τὴν καταδίκην χειρόνως βιώσας, πρῶτος μέτρα καὶ σταθμία καὶ γῆς ὅρους ἐπενόησεν. Εἶτα κτίσας» ἐν γῇ Ναῖδ πόλιν, κατέναντι Ἐδέμ, ἐπωνόμασεν αὐτὴν εἰς ὄνομα τοῦ υἱοῦ αὐτοῦ Ἐνώς», καὶ εἰς ἓν συνελθεῖν τοὺς οἰκείους αὐτοῦ ἀναγκάσας, εἰς πολέμους ἑαυτὸν ἀπησχόλει. [Μετὰ δὲ ταῦτα, τῆς εἰκίας ἐπ' αὐτὸν πεσούσης, ἀπέθανεν, ὡς ἔνιοί φασιν, ἕτεροι δὲ, ὅτι Δαμὲχ αὐτὸν ἀπέκτεινεν. (6) Αλλ' ὁ μὲν Καῒν ἐγέννησε τὸν Ἐνώς, ὁ δὲ Ἐνὼς τὸν Γαϊδάδ, ὁ δὲ Γαϊδὰδ τὸν Μαλελεήλ, ὁ δὲ Μαλελεὴλ τὸν Μαθουσάλα, ὁ δὲ Μαθουσάλα τὸν Λαμὲχ, ὃς καὶ δύο γυναῖκας ἀγόμενος, Ἐλδὰν καὶ Σελὰν, ἐγέννησε τὸν Ἰοβὴλ καὶ τὸν Ἰουβὰλ καὶ τὸν Θοβέλ. (7) Ὁ δὲ μὲν Ἰοβὴλ κατέδειξε κτηνοτροφίαν, ὁ δὲ Ἰουβὰλ κατέδειξε ψαλτήριον καὶ κιθάραν, ὁ δὲ Θοβὲλ σφυροκοπίαν χαλκοῦ καὶ σιδήρου. Καὶ ὁ μὲν ἐν σκηναῖς κατοικεῖν τε καὶ γεωργεῖν ᾑρετίσατο, ὁ δὲ κιθαρῳδίας καὶ τραγῳδίας τοῖς δαιμονικοῖς ἐπιτηδεύμασι προσεπενόησεν, ὁ δὲ ξίφη τε καὶ ὅπλα χορηγεῖν εἰς πολέμους ἐμηχανήσατο. Τὸ οὖν γένος Καῒν μέχρι τούτου ἀξιωθὲν μνήμης, τοῦ ἀριθμοῦ τῶν πατέρων ἀποκρίνεται, ἵνα μήτε τοῖς πρώτοις ᾖ συνταττόμενος, μήτε τῶν ἑξῆς ἀφηγούμενος. (8) Τὸ τοίνυν «πᾶς ὁ ἀποκτείνας Καὶν ἑπτὰ ἐκδικούμενα παραλύσει» τοιαύτην ἔχει τὴν λύσιν· ἕκαστος μὲν τῷ ἑαυτοῦ ἁμαρτήματι ἀποθανεῖται, σὺ δὲ ὁ τοῦ φόνου κατάρξας καὶ τοῖς ἄλλοις ὑφηγητὴς τοῦ ἁμαρτήματος γενόμενος ἑπτὰ ἐκδικούμενα παραλύσεις τουτέστιν] ἑπταπλασίως τιμωρηθήσῃ καὶ πάμπολλα. Σύνηθες γὰρ τῇ γραφῇ τὸν ἀριθμὸν τοῦτον ἐπὶ πολλαπλασίονα κεχρῆσθαι· καὶ ἔστιν ἀδιορίστου πλήθους σημαντικὸν, ὡς τὸ «ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα,» καὶ τὸ «ἡ στεῖρα ἔτεκεν ἑπτά» καὶ «οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά». Τὸ μὲν γὰρ τελευτῆσαι τῶν ἐν τῷ βίῳ πονηρῶν ἐπάγει τὴν κατάπαυσιν· τὸ δὲ ζῆν ἐν φόβῳ καὶ

2. Σταθμὰ Par. Leo. — 4. Ἐνὼχ Gen. IV. 16, 17. — 5. ἀποσχολεῖσθαι Leo. ἐπέβαλε Par. — Κατὰ Mon. Aug.? — 6. ἐτελεύτησε Leo. — 10. Ἀδδὰν Leo, Ἀδὰ Gen. IV. 19. Σελλὰν Leo, Σελλὰ Gen. — 18. τῶν πρώτων ἀποκεκήρυκται Leo, μηδὲ bis Leo. — 19. Gen. IV. 15. — 27. ἑπταπλάσια Ps. LXXVIII. 12; 1 Regg. II. 5. 28. Mt. XVIII. 22. — 30. ἐν om. Leo.

λύπη μυρίους ἐπάγει τοὺς ἐν συναισθήσει θανάτους. Τρέμων οὖν καὶ στένων ὁ Καΐν, ὥσπερ δαίμονι κάτοχος, ἐν ἐπιληψίᾳ πάντα τὸν ἑξῆς διῆγε χρόνον, τοῦτο πρὸς τὸ μὴ ἀναιρεθῆναι ὑπό τινος ἐκ θεοῦ λαβὼν τὸ σημεῖον. (9) Περὶ οὗ μέντοι καὶ ὁ μέγας Βασίλειός φησι· «ἐκδικούμενα δὲ, εἴτε τὰ παρὰ τοῦ Καΐν ἡμαρτημένα λέγεις, εὑρήσεις ἑπτά, εἴτε παρὰ τοῦ δικαίου κριτοῦ ἐπ' αὐτῷ ὁρισθέντα *, οὕτως οὐκ ἀποτεύξῃ τῆς ἐννοίας. Ἐν μὲν γὰρ τοῖς παρὰ τοῦ Καΐν τετολμημένοις πρῶτον ἁμάρτημα φθόνος ἐπὶ τῇ προτιμήσει ** Ἄβελ· δεύτερον δόλος, μεθ' οὗ διελέχθη τῷ ἀδελφῷ, εἰπών· «διέλθωμεν εἰς τὸ πεδίον». τρίτον φόνος, ἡ προσθήκη τοῦ κακοῦ· τέταρτον, ὅτι ἀδελφοῦ φόνος· πέμπτον, ὅτι πρῶτος φόνος· ὅτι γονεῦσι πένθος ἐποίησεν, τοῦτο τὸ ἔκτον· ἕβδομον, ὅτι θεῷ ἐψεύσατο. Ἐρωτηθεὶς γὰρ» ποῦ Ἄβελ ὁ ἀδελφός σου; εἶπεν, οὐκ οἶδα». Καὶ ταῦτα μὲν τοῦ Καΐν τὰ ἑπτὰ ἁμαρτήματα. Αἱ δὲ εἰς κόλασιν αὐτοῦ παρὰ τῆς θείας δίκης ἐπενεχθεῖσαι τιμωρίαι εἰσὶν αὗται. Πρώτη «ἐπικατάρατος ἡ γῆ ἀπὸ σοῦ» Δευτέρα «ἐργᾷ τὴν γῆν.» Τρίτη «οὐ προσθήσει δοῦναί σοι τὴν ἰσχὺν αὐτῆς.» Τετάρτη «μετὰ τῆς ē συνεζευγμένη» στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς. «Ἕκτη, ἣν αὐτὸς ἀπεκάλυψεν ὁ Καΐν εἰπών» εἰ ἐκβάλλεις με νῦν ἀπὸ σοῦ καὶ προσώπου σου κρυβήσομαι», ἡ βαρυτάτη κόλασις, ἤτοι ὁ ἀπὸ θεοῦ χωρισμὸς τοῖς σωφρονοῦσιν. — Ἑβδόμη τὸ μηδὲ κρύπτεσθαι τὴν τιμωρίαν, ἀλλὰ σημείῳ προδήλῳ πᾶσιν προκεκηρύχθαι» διὰ τοῦ στεναγμοῦ καὶ τοῦ τρόμου. (10) Πᾶς οὖν φησιν, ὁ τὸν κατὰ σοῦ φόνον ἀποτολμήσας κακώσει τὰ κατὰ τὸν βίον ἀπαλλάξας, τὴν κατὰ σοῦ παραλύσει τιμωρίαν. Διὸ, φησὶν «ἔθετο κύριος ὁ θεὸς τῷ Καΐν σημεῖον τοῦ μὴ ἀνελεῖν αὐτὸν πάντα τὸν εὑρίσκοντα αὐτόν.»

---

3. τὸν ἐξ αὐτοῦ δ. βίον τοῦτο τοῦ μὴ **Leo.** 5 **Ep. 260 III. 397 A.** — 6. λέγοις εἴτε τὰ πρ. **Bas.** — * καὶ **Bas.** — ** τοῦ **Bas.** — 10. **Gen. IV 8.** — 11. ὅτι καὶ ἀδ. φ. μείζω ἡ ἐπίτασις **Bas.** — 12. ὅτι καὶ πρ. φονεὺς ὁ Κ. πονηρὸν ὑπόδειγμα τῷ βίῳ καταλιπών. ς' ἀδίκημα ὅτι γ. π. ἐπ. **Bas.** — 14. οὐ γινώσκω **Gen. IV. 9.** ζ' οὖν τὰ ἐκδικούμενα παρελύετο ἐν τῷ ἀναιρεθῆναι τὸν Κ. ἐπειδὴ γὰρ εἶπεν ὁ κς ὅτι ἐπικατάρατος ἡ γῆ, ἣ ἔχανε δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου καὶ στένων **Bas.** — 16. **Gen. IV. 10. 11.** γῆς ὁ Κ. φησίν. εἰ **Bas.** — 19. με σήμερον ἀπὸ πρ. τῆς γῆς, **Gen. IV. 14.** με σημ. ἀπὸ πρ. τῆς γῆς καὶ ἀπὸ τοῦ πρ. σου κρ. — προκ. **Bas.** — 25. κακόσε **Mon. Aug.?** 26 **Gen IV 15.**

(11) Ὁ δὲ Ἀδὰμ σλ ἐτῶν ὢν, ἐγέννησε τὸν Σήθ. Οὗτος ὁ 5641
Σὴθ πρῶτος ἐξεῦρε γράμματα Ἑβραϊκὰ καὶ σοφίαν καὶ τὰ (230)
σημεῖα τοῦ οὐρανοῦ καὶ τὰς τροπὰς τῶν ἐνιαυτῶν καὶ τοὺς μῆνας
καὶ τὰς ἑβδομάδας, καὶ τοῖς ἄστροις ἐπέθηκεν ὀνόματα καὶ
τοῖς πέντε πλανήταις, εἰς τὸ γνωρίζεσθαι ὑπὸ τῶν ἀνθρώπων
καὶ μόνον· καὶ τὸν μὲν πρῶτον πλανήτην ἀστέρα ἐκάλεσε Κρόνον,
τὸν δὲ β Δίαν, τὸν δὲ τρίτον Ἄρεα, τὸν δὲ δ Αφροδίτην, τὸν
δὲ ε Ἑρμῆν. Τοὺς γὰρ δύο φωστῆρας, ἥλιον καὶ σελήνην
ἐκάλεσεν ὁ θεός. (12) Σὴθ δὲ ὢν ἐτῶν σε ἐγέννησε τὸν 5436
Ἐνὼς, ὃς «ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου.» (13) (435)
Μετὰ δὲ τὸν κατακλυσμὸν Καϊνὰν ὁ υἱὸς Ἀρφαξὰδ συνέγραψε τὴν
ἀστρονομίαν, εὑρηκὼς τὴν τοῦ Σὴθ καὶ τῶν αὐτοῦ τέκνων τὴν
ἐνομασίαν καὶ τῶν ἀστέρων, ἐν πλακὶ λιθίνῃ γεγραμμένην. Ἦσαν
γὰρ τοῦ Σὴθ ἔγγονοι προμυηθέντες ἄνωθεν τὴν μέλλουσαν ἔσε-
σθαι φθορὰν τῶν ἀνθρώπων. Καὶ ποιήσαντες δύο στήλας, μίαν
μὲν λιθίνην, ἑτέραν δὲ πλινθίνην, [ἐνεκολαψαν αὐ]ταῖς τὰ ἐκ τοῦ
πάππου αὐτῶν Σὴθ ἐκτεθέντα οὐράνια πάντα ταῦτα, λογισάμενοι,
ὅτι, εἰ μὲν δι' ὕδατος ὁ κόσμος κατεφθάρη, ἡ λιθίνη στήλη μένει
καὶ τὰ ἐν αὐτῇ γεγραμμένα· εἰ δὲ διὰ πυρὸς, ἡ πλινθίνη σωθήσε-
ται πυρουμένη πλεῖον, καὶ τὰ ἐν αὐτῇ γεγραμμένα, ἥτις στήλη
μετὰ τὸν κατακλυσμὸν εἰς τὸ Σίριδος ὄρος ἔμεινε, καὶ ἔστιν ἕως
ἄρτι ὥς φησιν Ἰώσηπος.

II. ΠΕΡΙ ΤΟΥ ΝΕΒΡΩΔ.

Μετὰ δὲ ταῦτα γέγονέ τις γίγας, τοὔνομα Νεβρὼδ, υἱὸς
Χοῦς τοῦ Αἰθίοπος, ἐκ φυλῆς Χάμ· ὃς κτίσας τὴν Βαβυλῶνα
πολιν καὶ πρῶτος καταδείξας κυνηγίαν καὶ μαγείαν, Περσῶν
ἐπρώτευσε, διδάξας αὐτοὺς ἀστρονομίαν καὶ ἀστρολογίαν, τῇ
οὐρανίῳ κινήσει τὰ περὶ τοὺς τικτομένους πάντα δῆθεν σημαίνον

---

1. γενόμενος ἐτῶν σλ Leo. — 2. Ὁ δὲ γε Σὴθ Par. τὰ Ἑ. γ. ἐξευρὼν συνεγρά-
ψατο Leo. cf. Glycam 228,8 — 20 cum 243, 1 ὥς φησι Γεώργιος. — 6. μόνων? —
7. Δία Leo, Par. — 8. τοὺς — 10 κυ om. Par. — 9. θεοὺς ἐκ. Leo, sed cf. Gen. I.
16. — 10 Gen. IV 26. — συνεγράψατο Par. — 13. γεγλυμμένην Par. — 22. Μένει
δ' ἄχρι τοῦ δεῦρο κατὰ γῆν τὴν Σίριδα Jos. A. I. II. 3. — 24 Gen. X. 8.

τα. (2) Ἀφ' ὧν Ἕλληνες τὴν γενεθλιαλογίαν μαθόντες ἤρξαντο τοὺς γενομένους ὑπὸ τὴν τῶν ἄστρων κίνησιν ἀναφέρειν. (3) Οὐκοῦν ἀστρονομία καὶ ἀστρολογία τε καὶ μαντεία ἀπὸ Μαγουσαίων ἤτοι Περσῶν ἤρξατο. Οἱ γὰρ Πέρσαι Μαγὼγ ὑπὸ τῶν ἐγχωρίων προσαγορεύονται, οἵ γε τὸν Νεβρὼδ λέγουσιν ἀποθεωθέντα καὶ γενόμενον ἐν τοῖς ἄστροις τοῦ οὐρανοῦ, ὃν καλοῦσιν Ὠρίωνα· (4) περὶ οὗ φησι Μωυσῆς, ὅτι «ἐγένετο ἡ ἀρχὴ τῆς βασιλείας αὐτοῦ Βαβυλὼν καὶ Χαλὰν ἐν γῇ Σεναάρ», «ὅθεν ἐξῆλθον Φιλιστιεὶμ» ἐκ τῆς φυλῆς τοῦ Σήμ, τοῦ «Ἀσσοὺρ, ἀφ' οὗ Ἀσσύριοι». (5) Καὶ κρατήσας τὴν Συρίαν καὶ τὴν Περσίδα καὶ τὰ λοιπὰ μέρη τῆς ἀνατολῆς, ἀνεφάνη καὶ ἄλλος υἱός τινος, Οὐρανοῦ λεγομένου, καὶ Ἀφροδίτης γυναικὸς αὐτοῦ, γιγαντιαῖος, ὀνόματι Κρόνος, κατὰ τὸ ὄνομα τοῦ πλανήτου ἀστέρος. Γενόμενος δὲ καὶ οὗτος δυνατὸς πάνυ, καὶ πολλοὺς ὑποτάξας καὶ κυριεύσας πρῶτος κατέδειξε τὸ βασιλεύειν καὶ κρατεῖν τῶν ἄλλων ἀνθρώπων, ὃς καὶ βασιλεύσας πρῶτος Συρίας ἔτη $\overline{νς}$, ὑπέταξε πᾶσαν τὴν Περσίδα, ἀρξάμενος ἀπὸ τῆς Συρίας. Ἔχων δὲ γυναῖκα Σεμίραμιν, τὴν Ῥέαν καλουμένην παρὰ Ἀσσυρίοις, ἔσχεν υἱοὺς δύο καὶ θυγατέραν μίαν· καὶ τὸν μὲν προσηγόρευσεν Δίαν καὶ Ζεῦ εἰς ὄνομα τοῦ πλανήτου ἀστέρος· τὸν δὲ ἐπωνόμασεν Νῖνον, καὶ τὴν θυγατέραν Ἥραν, ἣν καὶ ἔλαβεν εἰς γυναῖκα Πῖκος, ὁ καὶ Ζεῦς, τὴν ἰδίαν ἀδελφήν. (6) Μετὰ δὲ Κρόνον ἐβασίλευσε Νῖνος, ὁ υἱὸς αὐτοῦ ἔτη $\overline{νβ}$, ὃς καὶ τὴν ἰδίαν μητέρα Σεμίραμιν λαβὼν εἰς γυναῖκα, νόμος ἐγένετο Πέρσαις λαμβάνειν τὰς ἑαυτῶν μητέρας καὶ ἀδελφάς, διὰ τὸ καὶ τὴν ἰδίαν λαβεῖν αὐτοῦ ἀδελφὴν Ἥραν [ἣν καὶ ἔλαβε γυναῖκα Πῖκος, ὁ καὶ Ζεῦς, τὴν ἰδίαν ἀδελφὴν Ἥραν.]

---

* Ὠρὶχ καὶ Ἀρχὰδ καὶ Gen. X. 10, 14; 9 ἐκ τῆς γῆς ἐκείνης ἐξῆλθεν Ἀσσούρ Gen. X. 11. — 12. ανος γιγαντογενὴς, ὀνομασθεὶς ὑπὸ τοῦ $\overline{πρς}$ Κρ. εἰς ἐπωνυμίαν τοῦ Leo. — 14. κατ. ἄρχειν καὶ β. Ἀσσυρίων Leo. — 17. Ἔσχε Leo. — * καὶ Leo. — 18. ἐξ ἧς ἐ. $\overline{υν}$, ὃς ἐπεκλήθη Ζεὺς ὁ καὶ Π. γῆμας τὴν ἰ. ἀ. Ἥ. Leo. — 23. ὃς γε τὴν. — 25. καὶ Διὰ λ. τὴν ἰ. ἀ. Ἥ. Par. omissis seqq. e glossemate illatis.

Α'. γ' π. Νίνου, δ' π. Θούρα, ε' π. Λάμου, ς' π. Σαρδαναπάλου.

III. ΠΕΡΙ ΝΙΝΟΥ ΒΑΣΙΛΕΩΣ.

Ὁ δὲ Νῖνος ἐπικρατὴς γενόμενος τῆς Συρίας καὶ κτίσας * πόλιν 2116
μεγίστην σφόδρα, πορείας ἡμερῶν γ̄, ἣν καὶ ἐκάλεσεν εἰς ὄνομα
αὐτοῦ Νινεύη, καὶ πρῶτος ἐν αὐτῇ βασιλεύει· (2) ἐξ οὗ γένους ἐγένετο
καὶ ὁ Ζωροάστρος ὁ περιβόητος καὶ Περσῶν ἀστρονόμος, ὃς μέλλων
τελευτᾶν ηὔχετο ὑπ' οὐρανίου πυρὸς ἀναφθῆναι, εἰπὼν τοῖς Πέρ-
σαις· «ἐὰν καύσῃ με τὸ πῦρ, ἐκ τῶν καιομένων μου ὀστέων λάβετε
καὶ φυλάξατε, καὶ οὐκ ἐκλείψει τὸ βασίλειον ἐκ τῆς χώρας ὑμῶν,
ἕως οὗ φυλάττητε τὰ ὀστᾶ μου». Καὶ εὐξάμενος τῷ Ὡρίωνι ὑπὸ **
πυρὸς ἀνηλώθη. Καὶ λαβόντες οἱ Πέρσαι ἀπὸ τῶν τεφρωθέντων
ὀστέων αὐτοῦ ἔχουσι φυλάττοντες ἕως ἄρτι.

IV. ΠΕΡΙ ΘΟΥΡΑ ΒΑΣΙΛΕΩΣ.

Μετὰ δὲ Νῖνον ἐβασίλευσεν Ἀσσυρίων Θούρας τις τοὔ-
νομα, ἔτη λ̄, ὃν καὶ μετωνόμασαν Ἄρεα εἰς ὄνομα τοῦ πλανήτου
ἀστέρος, ᾧτινι Ἄρει πρώτην στήλην ἀναστήσαντες Ἀσσύριοι καὶ
ὡς θεὸν μέχρι τοῦ νῦν προσκυνοῦντες καλοῦσι περσιστὶ Βάαλ
θεόν, τουτέστι Ἄρης πολεμικός, οὗ καὶ Δανιὴλ μέμνηται, ὡς
προσκυνουμένου καὶ λατρευομένου.

V. ΠΕΡΙ ΛΑΜΟΥ ΒΑΣΙΛΕΩΣ.

Μετὰ δὲ Ἄρεα ἐβασίλευσεν Λάμης, ἔτη κ̄.

V. ΠΕΡΙ ΣΑΡΔΑΝΑΠΑΛΟΥ ΒΑΣΙΛΕΩΣ.

Μετὰ δὲ Λάμην ἐβασίλευσεν Σαρδανάπαλος ὁ μέγας, ἔτη λε̄· (4380)
καὶ ἐσφάγη ὑπὸ τοῦ Περσέως. (2) Οἱ δέ γε κόλακες καὶ μιμηταὶ
τῆς ἐκείνου φιλοσαρκίας καὶ γαστριμαργίας καὶ οἰστρηλασίας ἐπέ-
γραψαν, ὡς ἐξ αὐτοῦ δῆθεν, τῷ τάφῳ αὐτοῦ τοιάδε· «τάσ' ἔχω,
ὅσ' ἐφύβρισα καὶ ἔφαγόν τε καὶ ἔπιον.... καὶ μετ' ἔρωτος τερπνοῦ
ἐπολιτευσάμην. Παθόντα καὶ πολλὰ καὶ ὄλβια πάντα λέλειπται.

---

2. * ἐν αὐτῇ Par.—3. καὶ καλέσας εἰς—N. πρ. Par.—5. καὶ Ζ. Π. Par.—6. ἀνα-
λωθῆναι Par. — 9. οὗ om. Par. — ** ἀερίου Par. — 10. Π. ἐκ τῶν Par.—11. αὐτοῦ
om. Par.—13. Θούρρας Leo. Θοῦρος Cod. — 14. Ἀ. ὡς πολεμικώτατον καὶ γενναῖον
ὄντα, ὃν οἱ Ἀ. Β. θν μετωνόμασαν Leo. 20. Ζάμις Cod.— 27. λέλυνται Ath. VIII. 14.

Καὶ γὰρ νῦν σποδός εἰμι, Νίνου μεγάλης βασιλεύσας».

Ἀλλ' οὖν γε ψευδῶς οἱ γεγραφότες ἐπέγραψαν. Οὐ γὰρ ἔχει ὁ τελευτήσας, ὅπερ ἔφαγε καὶ ἔπιεν, ἀλλ' εἰς τὴν δυώδην (δυσώδη) φθορὰν ἐκεῖ τὰ πάντα κεκύρηκεν· ἔχει δὲ τοῦ παρανόμου βίου τὴν δυσωδίαν, ἥτις διηνεκῶς τὴν ἐμπαθῆ καὶ ἀθλίαν ψυχὴν ἀλγύνει καὶ ἀκῇ, ξυνειδυῖα ἑαυτῇ τὰ κάκιστα καὶ μεμνημένη, ὧν παρανόμως καὶ ἀκολάστως εἰργάσατο.

VII. ΠΕΡΙ ΤΟΥ ΠΕΡΣΕΩΣ ΒΑΣΙΛΕΩΣ.

816 (3854) Μετὰ δὲ Σαρδανάπαλον ἐβασίλευσε Περσεὺς ὁ υἱὸς Πίκου, τοῦ καὶ Διός· ὃς γε πολεμήσας καὶ νικήσας τοὺς Λυκάονας καὶ πόλιν κτίσας ἐκεῖ καὶ τὴν ἑαυτοῦ στήλην στήσας ἐκάλεσεν αὐτὴν Ἰκονίαν ἐκ τοῦ ἰδίου ἀπεικονίσματος· ὑποτάξας* καὶ τὰς ἄλλας χώρας καὶ πρὸς τὴν Ἰσαυρίαν καὶ Κιλικίαν ἐλθὼν καὶ ἀπὸ τοῦ ἵππου κατελθὼν καὶ πήξας τὸν ταρσὸν τοῦ ποδὸς ἐν τῇ γῇ,** ἣ καὶ πόλιν κτίσας ἐπωνόμασεν αὐτὴν Ταρσὸν ἐκ τοῦ ἰδίου ποδός. (2) Καὶ ὁρμήσας κατ' Ἀσσυρίων καὶ Σαρδανάπαλον φονεύσας ὑπέταξε καὶ ἐβασίλευσεν ἔτη $\overline{νγ}$, ὃς καὶ ἐπ' ὀνόματι αὐτοῦ Πέρσας ἐκάλεσεν αὐτούς, ἀφελόμενος ἀπὸ Ἀσσυρίων τήν τε βασιλείαν καὶ τὴν προσηγορίαν. (3) Ἐδίδαξε δὲ αὐτοὺς καὶ τὴν μυσαρὰν τελετὴν καὶ μαγείαν, τὴν λεγομένην Μηδοῦσαν, ἐξ ἧς καὶ τὴν χώραν αὐτῶν ἐπωνόμασεν Μηδείαν, ἀπὸ τοῦ μιαροῦ μαθήματος. Ἐφ' οὗ καὶ πῦρ ἐκ τοῦ οὐρανοῦ κατῆλθεν ἐν Περσίδι, καὶ θαυμάσας, ἐξ οὗ καὶ ἀνάψας καὶ κτίσας ἱερὸν ἔθηκεν αὐτὸ ἐν αὐτῷ. Καταστήσας δὲ ἄνδρας εὐλαβεῖς διακονεῖν αὐτὸ καὶ φυλάττειν ἄσβεστον, ἐκέλευσε τοὺς μάγους· ὅπερ ἕως ἄρτι ἐν πολλῇ τιμῇ ἔχοντες οἱ Πέρσαι πυρσολατροῦσι κατὰ τὴν παράδοσιν τοῦ βασιλέως αὐτῶν Περσέως.

(4) Οὐκ οὖν πρώτη μέν ἐστιν ἡ βασιλεία ἡ τῶν Ἀσσυρίων ἤτοι Βαβυλωνίων· δευτέρα δὲ καὶ τῶν Περσῶν, ὁμωνύμως Βαβυλώνιοι καὶ Ασσύριοι οὗτοι κληθέντες.

---

1. Καὶ γαρ ἐγὼ Ath. — 5. ἐμπαθίαν Aug. Mon.? 9. Eus. Chr. II. 119. Ἰκόνιον Par. — * δὲ Par. — ** ἐν Par. — 12. οἰκείου Par. — 17. ὡς καὶ. — 21. ἐκάλεσε.

VIII. ΠΕΡΙ ΣΩΣΤΡΟΥ.

Μετὰ δὲ Περσέα καὶ τοὺς μετ' αὐτὸν χρόνους καὶ βασιλεῖς 2384
ἐβασίλευσεν Αἰγυπτίων Σώστρης ἐκ φυλῆς Χάμ, ἄνθρωπός τις πανοῦργος, ὀνόματι Σέσωστρις, ἔτη ῑϛ̄· (2) καὶ πολεμήσας Ἀσσυρίους ὑπέταξεν αὐτοὺς καὶ τοὺς Χαλδαίους καὶ Πέρσας ἕως Βαβυλῶνος· ὡσαύτως καὶ τὴν Ἀσίαν καὶ Εὐρώπην καὶ τὴν Σκυθίαν ἐκπολεμήσας ὑπέταξεν. (3) Ἐφ' οὗ ἦν Ἑρμῆς ὁ Τρισμέγιστος, ἀνὴρ Αἰγύπτιος, θαυμαστὸς παρ' Ἕλλησιν ἐν σοφίᾳ.

IX. ΠΕΡΙ ΤΟΥ ΦΑΡΑΩ.

Μετὰ δὲ Σώστρην ἐβασίλευσε τῆς Αἰγύπτου Φαραώ, ὁ καὶ 2183
Ναραὼν καλούμενος, ἔτη ν̄, ἀφ' οὗ πάντες οἱ Αἰγύπτιοι βασιλεῖς (3345)
Φαραωνῖται προσηγορεύθησαν. (2) Ἐν δὲ * τοῖς προειρημένοις τοῦ Πίκου Διὸς χρόνοις ἀναφαίνεταί τις ἐπὶ τὰ δυτικὰ μέρη, ἐκ φυλῆς Ἰαφεθ, ἐν τῇ χώρᾳ τῶν Ἀργείων, τὸ ὄνομα Ἶναχος, ὃς ** πρῶτος ἐν ἐκείνῃ τῇ χώρᾳ ἐβασίλευσεν· ἐν ᾗ ** πόλιν εἰς ὄνομα τῆς Σελήνης κτίσας ἐκάλεσεν Ἡλιούπολιν. (3) Λιβύη δὲ ἡ θυγάτηρ τοῦ Πίκου Διὸς συναφθεῖσα τινὶ ὀνόματι Σιδόνι ἔτεκε τὸν Βὴλ καὶ τὸν Ἀγήνωρα. Καὶ ὁ μὲν Βὴλ ἀπελθὼν εἰς Αἴγυπτον καὶ λαβὼν τὴν γυναῖκα, ὀνόματι Σίδαν, καὶ γεννήσας υἱὸν ἐκάλεσεν αὐτὸν Αἴγυπτον, ἐξ οὗ καὶ ἡ Αἴγυπτος τὴν ἐπωνυμίαν εἴληφεν, ὃς καὶ ἐν αὐτῇ ἐβασίλευσεν. Ὁ δὲ Ἀγήνωρ ἐπὶ Φοινίκην ἐλθὼν καὶ γυναῖκα λαβών, τοὔνομα Τύρον, καὶ κτίσας πόλιν εἰς ὄνομα αὐτῆς, εἰς ἣν καὶ ἐβασίλευσεν, ἐγέννησε δὲ υἱοὺς τρεῖς καὶ θυγατέρα μίαν, τὸν Φοίνικα, τὸν Σύρον καὶ τὸν Κίλικα καὶ τὴν Εὐρώπην. Ἐφ' ὧν χρόνων καὶ Ταῦρος, ὁ Κρήτης βασιλεύς, δορυάλωτον εἰληφὼς καὶ πρὸς τὴν Θρᾴκην, τὴν ἰδίαν χώραν, ἀπαγαγὼν τὴν Εὐρώπην παρθενεύουσαν καὶ εὐπρεπῆ, προσηγόρευσεν ἐκεῖνα τὰ μέρη εἰς ὄνομα αὐτῆς Εὐρώπην. Μέλλων δὲ τελευτᾶν Ἀγήνωρ διετάξατο πᾶσαν, ἣν ὑπέ-

η' Eus. Chr. I. 211.—2. αὐτοῦ Mon. θ' Eus. Chr. II. 77. 111. — 11. Ναραχὼ—Αἰγυπτίων Par.—12. Φαραὼ Par. — * γοι (τοι?) Par. — ** καὶ Par. bis. — 15. τοῦ Ἡλίου? — 16. ἐκ. αὐτὴν Ἰόπολιν Par. κτίζει π. Ἰὼ καὶ Ἰώπολιν ἐκ. ταύτην Ced.

ταξε, γῆν μερίσασϑαι τοὺς τρεῖς υἱοὺς αὐτοῦ. Καὶ ὁ μὲν Φοῖνιξ λαβὼν τὴν Τύρον καὶ τὴν αὐτῆς ἐνορίαν, ἐκάλεσεν αὐτὴν Φοίνικα. Ὁ δὲ Σύρος τὴν ἐπιλαχοῦσαν αὐτῷ χώραν ἐκάλεσεν Συρίαν· ἀφ' οὗ Σύροι μετωνομάσϑησαν, οἱ πρώην Ἰουδαῖοι καὶ Παλαιστίνοι καλούμενοι· καὶ Συρία ἡ Ἰουδαία κέκληται. Ὁ δὲ Κίλιξ τὸ ἐπελ- 5
ϑὸν αὐτῷ κτῆμα ἐκάλεσεν Κιλικίαν, εἰς τὸ ἴδιον ὄνομα ἕκαστος τὰς χώρας αὐτῶν προσαγορεύσαντες.

IX. ΠΕΡΙ ΤΗΣ ΚΟΓΧΥΛΗΣ ΕΥΡΕΣΕΩΣ.

Ἐν δὲ τοῖς χρόνοις τῆς βασιλείας τοῦ Φοίνικος ἦν Ἡρακλῆς ὁ Τύριος καὶ φιλόσοφος, ὁ καὶ τῆς κογχύλης ἐφευρετής. Μετεωρι- 10
σμένος γὰρ ἐπὶ τὸ παράλιον μέρος τῆς Τύρου, εἶδε ποιμενικὸν κύνα ἐσϑίοντα τὴν λεγομένην κογχύλην. Καὶ τοῦ ποιμένος νομίζοντος ἐκμάσσειν τὸν κύνα, λαβὼν πόκον ἐρίου ἀπὸ τῶν προβάτων καὶ ἐκμάξας τὸ καταφερόμενον ἐκ τοῦ στόματος τοῦ κυνὸς, καὶ βα- φέντος τοῦ πόκου, προσέσχεν ὁ Ἡρακλῆς, μὴ εἶναι αὐτὸ αἷμα, 15
ἀλλὰ βαφῆς πρόξενον. (2) Ὃ καὶ ϑαυμάσας, ὡς μέγα δῶρον προσή- γαγε τοῦτο τῷ βασιλεῖ Φοίνικι, ὃς καὶ μᾶλλον ἐκπλαγεὶς ἐκέλευ- σεν ἀπὸ κογχύλης ἔριον βαφῆναι καὶ γενέσϑαι αὐτῷ περιβόλαιον. (3) Καὶ οὗτος πρῶτος φορέσας ἐκ πορφύρας ἱμάτιον, πάντες ἐϑαύμα- σαν τὴν ξένην ταύτην ἐσϑῆτα, ἣν καὶ ἐϑέσπισεν ὁ Φοῖνιξ μηδένα 20
τῶν ὑπὸ τὴν βασιλείαν αὐτοῦ τολμᾶν φορεῖν, εἰ μὴ αὐτὸν καὶ τοὺς μετ' αὐτὸν βασιλεύσαντας τῆς Φοινίκης, πρὸς τὸ γνωρίζεσϑαι τὸν βασιλέα τῷ στρατῷ καὶ παντὶ τῷ πλήϑει ἐκ τῆς τοιαύτης ἐσϑῆ- τος. Πρώην γὰρ οὐκ ἐγίνωσκον οἱ ἄνϑρωποι * χροιὰς ἱματίων· ὅϑεν οὐδὲ ῥᾳδίως ὁ βασιλεὺς ὑπὸ τῶν ὑπηκόων ἐγνωρίζετο. 25

XI. ΠΕΡΙ ΤΟΥ ΠΕΛΟΠΟΣ.

(3809) Μετὰ δὲ τοὺς χρόνους ἐκείνους καὶ βασιλείας ἐβασίλευσε τῆς Ἑλλάδος Πέλοψ ὁ Λυδὸς, ὃς κτίσας πόλιν ἐκεῖσε προσηγόρευσεν

---

10. καὶ φιλόσοφος καὶ Μετεωριζόμενος Par. — 13. νομίζοντος αἷμασι τὸν κ. βε- βάφϑαι, λαβὼν Par. — 14. ἐκμάξαντος Mon. Aug.? — 15. βάμματος Par.—16. προ- σήνεγκε τῷ Par. et Ced. — 19. οὕτως Par. — 21. αὐτοῦ φορεῖν Par. — * βάπτειν Par. — 23. ὅϑεν ῥᾳδίως Par. — ια' Eus. Chr. II. 115.

αὐτὴν Πελοπήννησον, ἐκ τοῦ Πέλοπος καὶ τῆς νήσου, ἀφ' ἧς καὶ Πελοποννήσιοι κέκληνται οἱ Ἑλλαδικοί.

XII. ΠΕΡΙ ΚΥΡΟΥ.

Ἐβασίλευσε τοίνυν Ἀσσυρίων Κρόνος καὶ Νῖνος καὶ Σαρδανά- 542?
παλος καὶ καθεξῆς ἕως Οὐλεμαροδάχ· εἶτα Ναβουχοδονόσωρ· μετὰ (4654)
δὲ τούτους καὶ Βαλτάσαρ καὶ Δαρεῖος, υἱὸς αὐτοῦ. (2) Ἐβασίλευσε Περσῶν Κῦρος ὁ Πέρσης ἔτη λβ, καὶ ἐσφάγη ἐν Περσίδι. (3) Ἐφ' οὗ καὶ Κροῖσος ὁ Λυδῶν βασιλεὺς ἐπαρθεὶς διὰ τὸ ὑποτάξαι τὰς πλησίον αὐτοῦ χώρας καὶ τὰς πόρρωθεν ἐπαρχίας, δηλοῖ Κύρῳ, ἢ παραχωρῆσαι αὐτῷ τὴν βασιλείαν Περσῶν ἢ δέξασθαι τὴν παρουσίαν αὐτοῦ ἐν πολέμῳ. (4) Ὁ δὲ Κῦρος ἀκούσας ταῦτα καὶ πάνυ φοβηθεὶς καὶ τοὺς ἀπεσταλμένους ἀποπεμψάμενος ἠβουλήθη φυγεῖν ἐπὶ τὴν Ἰνδικὴν χώραν. Ὅπερ μαθοῦσα γυνὴ αὐτοῦ λέγει πρὸς αὐτόν· «τί οὕτως ἀθυμεῖς καὶ ἀτονεῖς καὶ ἀβουλήτως τοῦτο πρᾶξαι βούλει»; ὁ δέ φησι «καὶ τίς μοι ὁ εἰς τοῦτο βουλευσάμενος ὠφελήσει ἑταῖρος»; ἡ δὲ λέγει αὐτῷ· «ἐπὶ Δαρείου, τοῦ πρώτου μου ἀνδρός, ἦν τις Ἑβραῖος προφήτης, ὀνόματι Δανιήλ, ἐκ τῆς αἰχμαλωσίας τῶν υἱῶν Ἰσραήλ, δυνατὸς ἐν ἔργῳ καὶ λόγῳ, ὃν καὶ ἐν πολλῇ τιμῇ Δαρεῖος ἔχων καὶ βουλευτήν, μεγάλως ηὐδοκίμει, ὅστις γεγηρακὼς ἄρτι εἰς τὴν Ἰνδικὴν ἰδιάζει χώραν, οὗ καὶ αὐτὸς ὑπακούσας τῆς βουλῆς καλῶς ποιήσεις». Τοῦτο Κῦρος ἀκούσας εὐθὺς ἔπεμψε τοὺς μεγιστάνους αὐτοῦ πρὸς αὐτόν, ἵνα μετὰ τιμῆς αὐτὸν ἀγάγωσι. Φιλεῖ γὰρ ἐν ἀνάγκαις πολλάκις τὰ γύναια σπουδαιότερον κεχρῆσθαι τῶν ἀνδρῶν ἐν τοῖς μηχανήμασι, καὶ ταῖς πρὸς θεὸν καταφυγαῖς σπουδαιότερον ἀποθέσθαι καὶ θερμότερον.

(5) Ὁ δὲ Κροῖσος μετὰ τὴν ἐπάνοδον τῶν ὑπ' αὐτοῦ πρὸς Κῦρον ἀποσταλέντων ἔπεμψεν εἰς τὸ μαντεῖον ἄνδρα πιστόν, ἐρωτῆσαι διὰ τοῦ ἱερέως τὴν Πυθίαν, εἰ ἐξελθὼν κατὰ Κύρου νικήσει τοῦτον· καὶ εἰσελθὼν ὁ ἱερεὺς καὶ εὐξάμενος ἔλαβε χρησμὸν παρὰ τῆς Πυθίας. «Κροῖσος Ἅλυν ποταμὸν διαβὰς μεγάλην ἀρχὴν καταλύσει»·

ιβ' Eus. Chr. II. 199. 8. Λύδων Mon. Aug? — 27. εἰς μ. ἄνδρας πιστοὺς Par.— 28. Μιερέως. 29. Μιερεὺς Mon. Aug.? νικήσει αὐτὸν καὶ ἐδόθη χρησμός. Κροῖσος Par.

ὅπερ καὶ γράψας ἐν χάρτῃ δέδωκε τοῖς ἀποσταλεῖσι πρὸς Κροίσου. (6) Τοῦ δὲ θείου Δανιὴλ ἐλθόντος πρὸς Κῦρον, εἶπεν αὐτῷ Κῦρος· «λέγε μου, σοφώτατε, εἰ νικήσω Κροῖσον τὸν ἅρπαγα καὶ ὑπερήφανον»; Καί φησιν ὁ Δανιήλ· «θάρσει, ὅτι νικήσεις τὸν Κροῖσον καὶ λαμβάνεις αὐτὸν αἰχμάλωτον. Περὶ σοῦ γὰρ εἶπεν Ἡσαΐας ὁ προφήτης· «οὕτω λέγει Κύριος τῷ χριστῷ* Κύρῳ, οὗ ἐκράτησα τῆς δεξιᾶς, ἐπακοῦσαι ἔμπροσθεν αὐτοῦ ἔθνη· καὶ ἰσχὺν βασιλέων διαῤῥήξω» — «αὐτὸς οἰκοδομήσει τὴν πόλιν μου καὶ τὴν αἰχμαλωσίαν τοῦ λαοῦ μου ἐπιστρέψει, εἶπε Κύριος Σαβαώθ». Ὁ δὲ Κῦρος ἀκούσας ταῦτα ἔπεσε πρὸς τοὺς πόδας Δανιὴλ, φάσκων· «ζῇ κύριος ὁ θεός σου· ἐγὼ ἀπολύσω τὸν Ἰσραὴλ ἐκ τῆς γῆς μου, ἵνα λατρεύσωσι τῷ θεῷ αὐτῶν ἐν Ἱερουσαλήμ. (7) Καὶ ὁπλισάμενος παρετάξατο Κροίσῳ. Ὁ οὖν Κροῖσος ἀκούσας τοῦ χρησμοῦ τὴν ἀπόκρισιν, ὥρμησε κατὰ Κύρου μετὰ πολλῆς δυνάμεως· καὶ διαβὰς τὸν Ἅλυν ποταμὸν καὶ συμβαλὼν τῷ Κύρῳ, χειμῶνος ὄντος μεγάλου, ἡττήθη. Ἠβουλήθη οὖν φυγεῖν μετὰ τοῦ λαοῦ αὐτοῦ· καὶ τοῦ ποταμοῦ πλημμυροῦντος, οὐκ ἠδυνήθη περάσαι. Τούτου ἕνεκα ἑλήφθη αἰχμάλωτος, καὶ ἀπώλλοντο τὰ πλήθη αὐτοῦ, χιλιάδες ῡ. Τοὺς δὲ περιλειφθέντας ἐξ αὐτῶν ἔλαβεν αἰχμαλώτους ὁ Κῦρος· τὸν δὲ Κροῖσον ἀναρτήσας ἐπὶ ξύλου δεδεμένον καὶ θριαμβεύσας αὐτὸν τῷ στρατῷ αὐτοῦ καταγαγών, καὶ ἀπαγαγὼν ἐν Περσίδι θανάτῳ παρέδωκε, τὸν τὰ ἀλλότρια καὶ ὑπὲρ δύναμιν ἐφιέμενον, καὶ αὐτὸν τὰ ἴδια προσαπολέσαντα διὰ πολλὴν ἀπληστίαν. (8) Τοὺς δὲ υἱοὺς Ἰσραὴλ πάντας ἐλευθερώσας μετὰ Ζοροβάβελ ἀπέλυσεν ἐν Ἱερουσαλήμ. (9) Καὶ οὕτως τῶν Δυδῶν κατελύθη ἡ βασιλεία ἀπὸ Κύρου, διαρκέσασα ἔτη σλβ.

XIII. ΠΕΡΙ ΚΑΜΒΥΣΟΥ.

527 Μετὰ δὲ Κῦρον ἐβασίλευσεν ὁ υἱὸς αὐτοῦ Καμβύσης, ἔτη η.
(4671) (2) Μετὰ δὲ Καμβύσην καὶ ἑτέρους ἐβασίλευσεν Ἀρταξέρξης, ὁ Μνή-
404 μων λεγόμενος, ἔτη η. (3) Ἐφ' οὗ ἦν τις ἐν Ἰταλίᾳ ἰθύνων ἐπαρχίαν,
(4706)

1. Κροῖσον Par. Mon. Aug. — 3. νικῶ Par. — 4. φ. Δ. — νικᾷς Par. — * μου Jes. XLV. 1. — 8. οὗτος Jes. XLV. 13. — 12 Ἰσραὴλ Mon. Aug? e compendio Ἱλημ male lecto.

ὀνόματι Πάλας, ὃς κτίσας οἶκον μέγαν πάνυ, οἷον οὐκ εἶχεν ἡ περίχωρος ἐκείνη, ἐκάλεσεν αὐτὸν Παλάτιον· ἐξ οὗ τὸ βασιλικον κατοικητήριον Παλάτιον προσαγορευεται.

XIV. ΠΕΡΙ ΡΩΜΟΥ ΚΑΙ ΡΩΜΥΛΟΥ.

Μετὰ δὲ ταῦτα ἐβασίλευσεν Ῥῶμος, ὁ κτίσας τὴν Ῥώμην καὶ 753
Ῥῆμος, ὁ ἀδελφὸς αὐτοῦ, οἵτινες ἀνενέωσαν καὶ προσῳκοδόμησαν (4448)
τὸ λεγόμενον Παλάτιον [ἤτοι τὸν βασιλικὸν τοῦ Παλατίου οἶκον]· καὶ ναὸν μέγιστον τῷ Διΐ ἀνεγείραντες, ἐπωνόμασαν αὐτὸ Καπετώλιον Ῥώμης, ὅ ἐστι ῥωμαϊστὶ κεφαλὴ τῆς πόλεως. (2) Ἐν δὲ τῷ βασιλεύειν εἰς ἔχθραν ἐλθόντες, καὶ φονεύσας Ῥῶμος τὸν Ῥῆμον ἐβασίλευσε μόνος. (3) Εἶτα πληρώσας τὰ τείχη καὶ κοσμήσας τὴν πόλιν, καὶ τῷ Ἄρει ναὸν κτίσας, καὶ ἐν τῷ Μαρτίῳ μηνὶ τοῦτον ἐγκαινίσας, ἐκάλεσε καὶ τὸν μῆνα Μάρτιον, τὸν πρώην λεγόμενον Πρίμον, ὅ ἐστιν Ἄρεως, ἥνπερ Ῥωμαῖοι ἑορτὴν κατ' ἔτος ἐπιτελοῦντες ὀνομάζουσι τὴν ἡμέραν τῆς πανηγύρεως Μάρτιον ἐν Κάμπῳ.

(4) Ἔκτισε δὲ καὶ ἱππικὸν, θέλων διασκεδᾶσαι τὸ πλῆθος τοῦ δήμου τῶν Ῥωμαίων, ὅτι στασιάζοντες ἐπήρχοντο αὐτῷ διὰ τὸν φόνον τοῦ ἀδελφοῦ αὐτοῦ· καὶ ἐπετέλεσε πρῶτος ἱπποδρομίαν ἐν Ῥώμῃ εἰς ἑορτὴν (φησὶ) τοῦ ἡλίου καὶ εἰς τιμὴν τῶν τεσσάρων στοιχείων, γῆς, ἀέρος, πυρός τε καὶ ὕδατος· καὶ προσηγόρευσε, τὸ μὲν πράσινον, τὸ δὲ λευκὸν, ῥούσιον, τὸ δὲ βένετον, ὑποθέμενος αὐτοῖς, ὡς εὐτυχῶς οἱ τῶν Περσῶν βασιλεῖς φέροντες πρὸς τοὺς πολέμους τιμῶντες τὰ τέσσαρα ταῦτα στοιχεῖα. Καὶ λοιπὸν οἱ τὴν Ῥώμην οἰκοῦντες, εἰς τὰ μέρη ταῦτα διαμερισθέντες καὶ ἀντιποιούμενοι ἑκάστου στοιχείου. Καὶ ἐν τούτοις ἀσχολούμενος καὶ ἀμιλλόμενος ἐδόκει τὸν στασιασμὸν παῦσαι. Ἀλλ' ὁ μὲν, εἰ καὶ ταῦτα Ῥῶμος ἐπενόησεν, ἀλλ' οὐκ ἐπαύσατο πᾶσα ἡ πόλις Ῥωμαίων σειομένη καὶ οἱ δῆμοι αὐτῶν καθ' ἑαυτοὺς στασιάζειν, ἐξ οὗ

---

1. Π. κτίσας οἶκον Π, καὶ ὁ μὲν Γεώργιος οὕτως Glyc. 266,5.—ιδ' Eus. II. 175.— 6. Ῥώμυλος Mon. Aug. — 7. ἤτοι — οἶκον om. Par. — 9. Διΐ κτίσαντες Par. — 11. Ῥώμυλον Mon. Aug. — 14. ἐκ. τὸν μ. τὸν πρὶν Par. — 15. πρίμνον Mon. Aug.— 15. ἐ. οἱ Ῥ. Par. — 16. Μάρτις Par. — 23. φέρουσι?

τε τὸν ἴδιον ἀδελφὸν ἀνεῖλεν. Ὅθεν ἀπορήσας καὶ εἰς τὸ μαντεῖον ἀπελθὼν καὶ ἐπερωτήσας, δι' ἣν αἰτίαν δημοκρὴς γίνεται σεισμός, ἐῤῥέθη αὐτῷ παρὰ τῆς Πυθίας οὕτως· «εἰ μὴ συγκαθήσει σοι ὁ ἀδελφός σου ἐν τῷ βασιλικῷ θρόνῳ, οὐ μὴ παύσῃ τοῦ σείεσθαι ἡ πόλις ἐν ταῖς ἡμέραις σου, οὐδὲ δῆμος ἡσυχάσει τοῦ στασιάζειν». Καὶ ποιήσας χρυσοῦν στηθάριον ἐκτύπωμα τοῦ ἀδελφοῦ αὐτοῦ καὶ θεὶς ὑπὸ τὸν θρόνον, ἔνθα ἐκάθητο πλησίον ὁ ἀδελφὸς αὐτοῦ, ἔπαυσεν ὁ σεισμὸς αὐτίκα καὶ ἡσύχασεν ἡ δημοτικὴ ταραχή. Καὶ οὕτως ἐβασίλευσε, συγκαθημένου αὐτῷ τοῦ χρυσοῦ ἐκτυπώματος τοῦ ἀδελφοῦ αὐτοῦ Ῥωμύλου. Καὶ εἴ τι ἂν ἐκέλευσε, θεσπίζων ἔλεγεν ὡς ἀφ' ἑαυτοῦ· «ἐκελεύσαμεν, ἐθεσπίσαμεν».

XV. ΠΕΡΙ ΤΩΝ ΒΡΟΥΜΑΛΙΩΝ.

Ὁ αὐτὸς Ῥῶμος καὶ τὰ λεγόμενα Βρουμάλια ἐπενόησε διὰ τοιαύτην αἰτίαν. Φασὶ γὰρ αὐτὸν καὶ τὸν ἀδελφὸν αὐτοῦ διδύμους ἐκ πορνείας τεχθῆναι καὶ ῥιφῆναι ἐν ἀλσώδει τόπῳ, καὶ ὑπό τινος ἀγροικικῆς γυναικὸς πρόβατα νεμούσης εὑρεθέντας ἀνατραφῆναι. Ὄνειδος δὲ ὑπῆρχε παρὰ Ῥωμαίοις τὸ ἐξ ἀλλοτρίων ἐκτρέφεσθαί τινα· διὸ καὶ ἐν τοῖς συμποσίοις ἕκαστος τὸ ἴδιον βρῶμα καὶ πόμα κομίζων καὶ εἰς τὸ κοινὸν τὰ πάντα παρατιθέμενοι ἤσθιον, τὸ ὄνειδος ἐκφεύγοντες, μὴ ἀκούειν ἀλλοτριοφάγοι, οὗ δὲ χάριν ἐπενόησε Ῥῶμος τὰ Βρουμάλια, εἰρηκώς, ἀναγκαῖον εἶναι τρέφειν τὸν βασιλέα τὴν ἑαυτοῦ σύγκλητον ὡς ἐν τῷ χειμῶνι, ὅταν ἠρεμοῦσιν ἐκ τοῦ πολέμου· καὶ ἤρξατο καλεῖν τοὺς ἀπὸ ἄλφα ἔχοντας ὄνομα, καὶ ἀκολούθως ἕως τοῦ ω· κελεύσας καὶ τὴν σύγκλητον καλεῖν τῷ αὐτῷ σχήματι, καὶ ἐκτρέφειν τὸν στρατὸν ἅπαντα. Ὅθεν οἱ στρατιῶται εἰς τοὺς οἴκους ἀπιόντες τῶν καλεσάντων αὐτοὺς ἐπ' ἀρίστῳ, ἀφ' ἑσπέρας ἤλυον καὶ ἐχόρευον πρὸς τὸ γνῶναι πάντας, ὅτι παρ' αὐτῷ αὔριον τραφήσονται. Τοῦτο οὖν πεποίηκε Ῥῶμος, ὡς εἴρηται, πρὸς τὸ ἀπαλλαγῆναι τῆς ὕβρεως αὐτοῦ, καλέσας τὸ ὄνομα τοῦ ἀρίστου ἐκείνου Βρωμαλιούμ, ὅ ἐστι Ῥωμαϊστὶ ἐκ τῶν ἀλλοτρίων τραφῆναι. (2) Ἡ δὲ θεία δίκη τοῦτον μετὰ ταῦτα διὰ τὴν

20. οὐ δή?

τοῦ ἀδελφοῦ ἀναίρεσιν μετῆλθε. Καὶ αὐτὸς ἀναιρεῖται μεληδὼν κατατμηθεὶς ἐν τῷ τῆς Ρώμης βουλευτηρίῳ, βασιλεύσας ἔτι ιξ.

(3) Μετὰ δὲ Ῥῶμον συνέβη τὴν Ῥώμην ὑπὸ ὑπάτων διοικεῖσθαι καὶ στρατηγῶν ἔτη υξς· ἐξ ὧν γέγονέ τις στρατηγὸς, ὀνόματι Μάλιος· καὶ φθονηθεὶς διὰ τὴν ἀνδρείαν αὐτοῦ ὑπό τινος συνκλητικοῦ, ὀνόματι Φεβρουαρίου, παρεσκεύασε τοὺς συγκλητικοὺς ἐκδιῶξαι ἐκ τῆς πόλεως τὸν Μάλιον. Εἶτα ἀπελθόντες οἱ Γαλλοι παρέλαβον νυκτὸς τὴν Ῥώμην, καὶ πολλοὺς κατέσφαξαν τῇ εἰκάδι τοῦ λεγομένου Σεξτιλίου μηνός. Οἱ δὲ συγκλητικοὶ γνόντες τὴν παράληψιν τῆς πόλεως καὶ φυγόντες προσκαλοῦσι πάλιν μετὰ παράκλησεως τὸν στρατηγὸν Μάλιον εἰς ἐπικουρίαν· καὶ συναγαγὼν πλῆθος στρατοῦ, καὶ παραλαβὼν τοὺς ἄλλους ἀνεῖλε πάντας. Καὶ κρατήσας αὖθις τὴν Ῥώμην Μάλιος καὶ λυπηθεὶς διὰ τὴν παράληψιν αὐτῆς ἐν τῷ Σεξτιλίῳ μηνὶ, ἐκολόβωσε τὰς ἡμέρας τοῦ μηνός, ὡς δυστυχὴς λεγομένου τῇ Ῥώμῃ, ἀποχαράξας τὸ ὄνομα αὐτοῦ, μηκέτι λέγεσθαι οὕτως. Κατασχὼν δὲ τὸν ἐχθρὸν αὐτοῦ Φεβρουάριον, καὶ ἀφελόμενος αὐτοῦ τὰ ὑπάρχοντα καὶ γυμνὸν ἀποδύσας καὶ περιειλήσας ψιάθιον δρύϊνον καὶ σχοινίῳ περιζώσας, ἐκέλευσε τοῖς ῥαβδούχοις τύπτειν αὐτὸν καὶ λέγειν· «ἔξελθε, Φεβρουάριε». Καὶ οὕτως ἀτίμως ἐκβληθεὶς τῆς πόλεως Ῥώμης ἀνῃρέθη. Τὸν δὲ Σεξτίλιον μῆνα Φεβρουάριον ἐκάλεσεν, ὡς ἀξίου ὄντος τοῦ δυστυχοῦς μηνὸς τὸ ὄνομα αὐτοῦ Φεβρουάριον καλεῖσθαι.

XVI. ΠΕΡΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΦΙΛΙΠΠΟΥ ΤΟΥ ΠΑΤΡΟΣ ΑΛΕΞΑΝΔΡΟΥ.

Μετὰ δὲ τὸν προειρημένον Ἀρταξέρξην ἐβασίλευσεν Ὄχος, ὁ 363
υἱὸς αὐτοῦ. Ὃς πολεμήσας Αἴγυπτον παρέλαβεν αὐτὴν πᾶσαν καὶ (4830)
ἀπώλεσε, βασιλεύοντος τῶν Αἰγυπτίων τότε Νεκτεναβώ, τοῦ ποιήσαντος λεκανομαντείαν καὶ γνόντος τὴν παράληψιν τῆς Αἰγύπτου.
(2) Ἔφυγε δὲ μόνος εἰς Μακεδονίαν ἀλλάξας τὴν βασιλικὴν ἐσθῆτα. Καὶ δὴ καὶ φαντασίας τινὰς καὶ μαγείας Αἰγυπτιακὰς ἐνδεικνύ-

15. δυστυχοῦς? — 25. Χόος Mon. Aug?

μενος καὶ προαγορεύων τὰ μέλλοντα, γνώριμος ἐντεῦθεν Φιλίππῳ καὶ Ὀλυμπιάδι τῇ γυναικὶ αὐτοῦ γίνεται, καὶ εἰσοικίζεται. Καὶ
354 οὕτω διὰ μαγγανείας Ὀλυμπιάδι μιγνύμενος ἔτεκε τὸν Ἀλέξανδρον.
(4844) (3) Τῆς δὲ Μακεδονίας βασιλεύσαντος Φιλίππου ἔτη ῑ̄κ̄, καὶ ἐν τῷ Ἰλλυρικῷ πόλιν κτίσας ἐκάλεσεν αὐτὴν Θεσσαλονίκην· ἔπειτα καὶ Θετταλίαν ὑποτάξας κατεκράτησεν.

XVII. ΠΕΡΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΑΛΕΞΑΝΔΡΟΥ.

335 Μετὰ δὲ Φίλιππον ἐβασίλευσε τῆς Μακεδονίας Ἀλέξανδρος ὁ
(4839) υἱὸς αὐτοῦ· ἐφ' οὗ καὶ Δαρεῖος ὁ Ἀρσάμου μετὰ Ὦχον βασιλεύσας
332 κατεκυρίευσε πάντων. (2) Τῷ δὲ τετάρτῳ ἔτει τῆς βασιλείας αὐτοῦ
(4842) ἐξανέστησεν ὁ Θεὸς τοῖς Ἀσσυρίοις καὶ Πέρσαις καὶ Μήδοις καὶ Πάρθοις Ἀλέξανδρον τὸν Μακεδονίας βασιλέα· (3) ὃς καὶ καθοπλισάμενος κατὰ Δαρείου βασιλέως Περσῶν, καὶ ἐλθὼν εἰς Βυζούπολιν τῆς Εὐρώπης καὶ κτίσας ἐκεῖσε τόπον, ἐν ᾧ τὸν λαὸν αὐτοῦ στρατηγήσας ἐκάλεσεν αὐτὴν Στρατήγην. (4) Κἀκεῖθεν ἀπάρας ὀλίγον καὶ ἀντιπεράσας καὶ τῷ λαῷ αὐτοῦ διανείμας χρυσὸν πολύν, καὶ τὸν τόπον Χρυσούπολιν ἐκάλεσεν. (5) Ὁρμήσας ὡς πάρδαλις μετὰ δυνάμεως πολλῆς ἐπὶ τὰς τῆς Ἀνατολῆς χώρας καὶ πόλεις καὶ τὴν Τύρον παραλαβών, πρέσβεις ἀπέστειλε πρὸς Ἰουδαίους αἰτούμενος κατὰ Περσῶν συμμαχίαν. Οἱ δὲ μὴ καταδεξάμενοι Δαρεῖον δεδοικότες, ὡς ὑποχείριοι καὶ συνθήκας ἔχοντες μὴ πολεμεῖν αὐτὸν, θυμωθεὶς Ἀλέξανδρος ἐπὶ τῇ Ἰουδαίᾳ, ὥρμησεν κατ' αὐτῆς. (6) Ὁ δὲ ἀρχιερεὺς Ἰαδδοῦς τὴν ἱερατικὴν στολὴν ἐνδυσάμενος κατὰ θείαν ἀποκάλυψιν πρὸς ἔκπληξιν καὶ πίστωσιν Ἀλεξάνδρου ἐξῆλθεν εἰς ἀπάντησιν αὐτοῦ.

XVII. ΠΕΡΙ ΤΗΣ ΣΤΟΛΗΣ ΤΟΥ ΑΡΧΙΕΡΕΩΣ.

Ἦν γὰρ ὁ ἀρχιερεὺς ἐπὶ τοῦ παλαιοῦ τοιαύτῃ στολῇ κοσμούμενος. Ποδήρη μὲν ἠμφιέννυτο τοῦτ' ἔστιν ἱμάτιον περιχρυσώμενον ἀπὸ κεφαλῆς μέχρι ποδῶν· καὶ ζώνην ποριεζώννυτο ἐκ πορφύρας καὶ βύσσου καὶ ὑακινθίνῳ καὶ χρυσῷ πεποικιλμένην περικεκαλλω-

9. Χόον Mon. Aug. — 23. περιθέμενος Par. — 27. ἱερεὺς Par. 29. ζωνὴ Par.— 30. καὶ ὑακίνθου καὶ χρυσοῦ πεποικιλμένη καὶ περικεκαλλωπισμένη Par.

πισμένην. Περὶ δὲ τὰ κράσπεδα ῥοΐσκους εἶχεν ἐῤῥαμένους, καὶ ἀναμεταξὺ αὐτῶν χρυσοῦς κώδωνας ἐκ χρυσίου, καὶ καθαροῦ· ἐπέθηκεν αὐτοὺς ἀναμέσον τῶν ῥοΐσκων ἐπὶ τὸ λῶμα τοῦ ὑποδύτου κύκλῳ. Ἐπενδύετο δὲ καὶ ἄλλον χιτῶνα, ἐκ βύσσου καὶ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου καὶ χρυσοῦ καὶ παντοίων χρωμάτων περιωραϊσμένον καὶ καθυφασμένον, μέχρι τῶν μηρῶν κατερχόμενον καὶ ζώνην ὁμοίαν τῇ πρώτῃ κατασφιγγόμενον, ἥπερ ἐπωμὶς καὶ ἐφοὺδ προσαγορεύεται. Διὸ καὶ Ἀκύλας ἐπένδυμα αὐτὸ κέκληκεν, ἐν ᾧ καὶ ἐπεπόρπουν σαρδόνυχες καθ' ἑκατέρων τῶν ὤμων, χρυσίῳ δοκίμῳ περιεχόμενοι καὶ ἄλλοι ιβ̄ λίθοι, μεγέθει καὶ κάλλει διαφέροντες καὶ ἀνθρώποις δυσπόριστοι, οἵτινες ἐπὶ στίχων ϛ̄ ἑκατέρωθεν προσκείμενοι καὶ ὡσαύτως χρυσῷ διακρατούμενοι, καὶ τριάδα λίθων τοὺς στίχους ἔχοντας, θαυμάσιόν τι χρῆμα τοῖς ὁρῶσιν ἐξεφαίνοντο. Ὁ μὲν γὰρ πρῶτος στίχος εἶχε σάρδιον, τοπάζιον καὶ σμάραγδον· ὁ δὲ β̄ ἄνθρακα, ἴασπιν, σάπφειρον· ὁ δὲ γ̄ λίγυρον, ἀμέθυστον, ἀχάτην· ὁ δὲ δ̄ χρυσόλιθον, ὀνύχιον καὶ βηρύλλιον· καὶ ἐν πᾶσι τούτοις τῶν πατριαρχῶν ἐκεκόλαπτο τὰ ὀνόματα, ἑκάστου τοῦ λίθου ἴδιον ἔχοντος ὄνομα φυλάρχου. Συνῆν δὲ τὸ ἐφοὺδ περίτμημα, σπιθαμῆς μὲν τὸ μῆκος καὶ τόσον τὸ εὖρος, τετράγωνον περὶ τὸ στῆθος, τοῖς αὐτοῖς δὲ κάλλεσι διηνθισμένον, ὥσπερ δὴ καὶ αὐτὸ ἑβραϊστὶ μὲν ἐφοὺδ ὠνομάζετο,, ἑλληνιστὶ δὲ λόγιον· καὶ δήλωσις προσηγορεύετο, δι' οὗ ὁ θεὸς μέλλουσι πολεμεῖν νίκην πρόδηλον προέλεγε.

Τοσαύτη γὰρ ἐκ τῶν αὐτῶν λίθων ἀπέστιλβεν αὐγή, ὡς, εἴποτε τῆς στρατιᾶς κεκινημένης, καὶ μάλιστα τοῦ ἀδαμαντίνου λίθου σημασίαν ποιοῦντος, τῷ πλήθει τοῦ λαοῦ τυγχάνειν γνώριμον, τὸ παρεῖναι τὸν θεὸν εἰς ἐπικουρίαν αὐτῶν. Ἐν μέσῳ γὰρ εἶχεν ὥσπερ ἀστέρα ὁλόχρυσον, καὶ ἑκατέρωθεν αὐτοῦ σμαράγδους ἔχοντας ἀνὰ ἓξ γεγραμμένας τὰς β φυλὰς τοῦ Ἰσραήλ· ἐν δὲ τῷ μεταξὺ τῶν β̄ σμαράγδων λίθον ἀδαμάντινον. Ἡνίκα οὖν ἔμελλεν ὁ ἱερεὺς ἐπερωτᾶν τὸν θεόν, ἐδέσμει αὐτὸν ἐν τῇ ἐπωμίδι κατὰ μέσον τῶν

---

3. ὑποδὸς Mon. Aug.? sed. cf. Ex. XXXVIII. 30. — 13. σχῆμα? — 15. πάζιον et. — 16. ἀμέθυσον Mon. Aug.? — 18. τῷ?

στέρνων καὶ ὑποτιθὼν τὰς χεῖρας ὑποκάτωθεν εὑρίσκετο ἐξηπλωμένον ταῖς παλάμαις αὐτοῦ, καθάπερ πυξίον. Ὅθεν φησὶν ὁ Σαοὺλ πρὸς τὸν ἱερέα, βουλόμενος θᾶττον εἰς τὸν πόλεμον παρατάξασθαι· «συνάγαγε τὰς χεῖρας σου, καὶ ἆρον τὸν ἐφούδ». Καὶ οὕτω λοιπὸν ἀφορῶν εἰς τὸ ἐφοὺδ ἠρώτα τὸν θεόν, τὸ ἐρώτημα προσέχων ἀκριβῶς τε καὶ μᾶλλον τὸν ἀδάμαντα λίθον, ὡς ἐναλλάττων τὴν χροιὰν ἐκ θείας μεταβολῆς καὶ ἀλλοιώσεως ἐδήλου προφανῶς τὰ τῷ λαῷ ἐσόμενα. Μέλας μὲν γὰρ γενόμενος θάνατον, ἐρυθρὸς δὲ σφαγάς, λευκὸς δὲ διαλλαγὴν τῷ θεῷ προεσήμαινε. Καὶ πρὸς τούτοις ἦσαν καὶ γράμματα ἐκ χαλκοῦ καθαρωτάτου πεποιημένα καὶ ἐκτετυπωμένα ἑκάστου στοιχείου τοῦ παρ' Ἑβραίοις ἀλφαβήτου, ἅπερ δὴ προσάγων ὁ ἱερεὺς τῷ κυρίῳ ἐπετίθει ἐν τῷ Ἐφοὺδ, καὶ οὕτω διερωτῶν, εὐθὺς ἀνωρθοῦντο τὰ στοιχεῖα δηλοῦντα σαφῶς τὴν ἐπίνευσιν τοῦ θεοῦ ἢ τὴν ἀνάνευσιν. Οἷον, εἰ μὲν ἦν τὸ ἐρώτητα καὶ τὸ πρᾶγμα κατὰ γνώμην θεοῦ, ἀνωρθοῦντο μόνα τὰ σημαίνοντα τὸ· οὗ. Ὡσαύτως γε ἐπὶ τῶν ἄλλων ἀποκρίσεων τοῦ κυρίου τῶν δι' αὐτῶν δήλων γινομένων, προδήλως καὶ διαφόρως συνέβαινεν, εἴ γε πάντως εὐδοκίμοι αὐτῷ ὑπῆρχον· εἰ δὲ ὠργισμένος ἦν αὐτοῖς οὐδὲν αὐτοῖς διὰ τῶν δήλων τούτων ἀπεκρίνετο, οὔτε μὴν διὰ θείων ἀποκαλύψεων ἢ προφητειῶν. Ὅθεν φησί· «εἶδε Σαοὺλ τὴν παρεμβολὴν τῶν ἀλλοφύλων καὶ ἐφοβήθη, καὶ ἐξέστη ἡ καρδία αὐτοῦ σφόδρα, καὶ ἐπηρώτησεν διὰ κυρίου, καὶ οὐκ ἀπεκρίθη αὐτῷ ὁ κύριος· καὶ τότε εἶπε Σαοὺλ τοῖς παισὶν αὐτοῦ· ζητήσατέ μοι γυναῖκα ἐγγαστριμύθιον». (4) Ἐπὶ δὲ τὴν κεφαλὴν ἐφόρει τελαμῶνα χρυσώνυμον ὁ ἀρχιερεὺς ἤτει μήτραν καὶ κίδαριν λεγομένην, ἐν ᾗ πέταλον χρυσοῦν ἐπέκειτο πρὸς τὸ μέτωπον αὐτοῦ, ἐν ᾧ γράμμασιν ἱεροῖς τοῦ θεοῦ τὸ ὄνομα ἐντετύπωτο, καθὼς αὐτὸς ἐδήλου τὴν ὀνομασίαν ταύτην, πρὸς Μωϋσέα λέγων· «ἐγώ εἰμι ὁ ὤν». (5) Τοῦτο δὲ παρ' Ἑβραίοις ἄφραστον ὀνομάζεται· ἀπείρητον γὰρ αὐτοῖς τοῦτο διὰ γλώττης προσφέρειν. Γράφεται δὲ διὰ τῶν τεσσάρων

3. 1 Sam. XIV. 18. 19. — 9. Καὶ om. Par. — 12. καὶ ἐπιτιθεὶς Par. — * ναί, εἰ δὲ παρὰ γνώμην αὐτὰ ἐτύγχανεν, ἀνωρθοῦντο μόνα τὰ σημαίνοντα τὸ Par. ex homoioteleuto omissa — Ὡ. δὲ καὶ ἐπὶ Par. — τοῦ θῦ Par. — 16. γεν. πρ. καὶ δ. εἰ δὲ ὀλιγισμὸς ἦν Par. — 19. οὐδὲ ἀ. Par. — 20. προφητῶν Par. 1. Sam. XXVIII. 15. — 28. Ex. III. 14.

στοιχείων, ὅθεν καὶ τετράγραμμον αὐτὸ λέγουσιν. Καλοῦσι δὲ αὐτὸ Σαμαρεῖται μὲν ΙΑΒΕ, Ἰουδαῖοι δὲ ΑΕΙΑ. Τῆς οὖν ἱερατικῆς ἐσθῆτος ἡ τετράριθμος χροιὰ σύμβολον τῶν τεσσάρων ἐτύγχανε στοιχείων, ἐξ ὧν τὰ πάντα συνέστηκεν, ἅπερ ὁ ἀρχιερεὺς μυστικῶς τε καὶ συμβολικῶς περιβαλλόμενος, καὶ εἰς τὰ ἅγια εἰσερχόμενος δι' αὐτῶν ὑπὲρ τοῦ κόσμου τὸν τοῦ παντὸς δημιουργόν τε καὶ κύριον ἐξιλεοῦτο. Ἡ μὲν γὰρ βύσσος ἀντὶ τῆς γῆς, ἡ δὲ ὑακίνθος ἀντὶ τοῦ ἀέρος, ἡ δὲ πορφύρα ἀντὶ τοῦ ὕδατος, τὸ δὲ κόκκινον ἀντὶ τοῦ πυρός. Καὶ ἦσαν ἄλλα μὲν τὰ φαινόμενα, ἄλλα δὲ τὰ νοούμενα. Καὶ μέντοι ἡ σκηνὴ τοῦ μαρτυρίου ἔνδοθεν καὶ ἔξωθεν χρυσίῳ περικεκαλυμμένη ὑπῆρχε, τὸν ὄροφον ἔχουσα ἐξ ὑφασμάτων ποικίλων καὶ διαφόρων χρωμάτων κατεσκευασμένον. Τὸ μὲν γὰρ ἦν ἁλουργὸν, τὸ δὲ ροδοειδὲς ἢ κοκκοβαφὲς, τὸ δὲ ὑακινθίνῳ προσεοικός, ἤτε βύσσος τὴν λευκὴν εἶχε χροιάν· ἅπερ δὴ τῶν τεσσάρων ἦν στοιχείων, ὡς ἔφην, αἰνίγματα. Ὁ μὲν γὰρ ὑάκινθος τῷ ἀέρι προσέοικε, τὸ δὲ ροδοειδὲς ἢ κοκκοβαφὲς τῷ πυρὶ, τὸ δὲ ἁλουργὸν ἐδήλου τὴν θάλασσαν. — ἐκείνη γὰρ τρέφει τὴν κόχλον, ἐξ ἧς τὸ τοιοῦτον γίνεται χρῶμα — ἡ δὲ βύσσος τὴν γῆν· ἐκ ταύτης γὰρ φύεσθαι λέγουσι. Καὶ δέρρεις δὲ εἶχε τριχίνας ἐπικειμένας καὶ διαφόρας ποικίλας, ὥστε καὶ τὸν ὑετὸν ἀπείργειν καὶ τὸν φλογμόν. Ὁ μέντοι θεὸς καὶ τοῖς ἱερεῦσι παντοδαπὸν περιέθηκε κόσμον, τὸν μὲν λαὸν καταπλήττοντα τῷ διαφόρῳ τοῦ σχήματος, αὐτοὺς δὲ τοὺς ἱερέας διδάσκοντα, ὅπως χρὴ τὴν ψυχὴν ὡραΐζειν, καὶ τὸν τῆς ἀρετῆς αὐτῇ κόσμον περιτιθέναι.

(6) Οὕτω τοίνυν* μετὰ τῆς τοιαύτης στολῆς τε καὶ δόξης μετὰ τῶν λοιπῶν ἱερέων καὶ τοῦ πολιτικοῦ πλήθους ἱεροπρεπῆ** διαφέρουσαν τῶν ἄλλων ἐθνῶν ποιησάμενος ὁ ἀρχιερεὺς τὴν ὑπάντησιν Ἀλεξάνδρου, εἰς τόπον ἐπίσημον ἔστη, ἔνθα μάλιστα ἡ περικαλλὴς τοῦ ναοῦ πρόσοψις ἐξεφαίνετο. Καὶ τὸ μὲν πλῆθος πόρρωθεν ἰδὼν ὁ Ἀλέξανδρος ἐν λευκαῖς στολαῖς, καὶ τοὺς ἱερεῖς προεστῶτας ἐν βυσσίναις μετὰ πολλῆς εὐταξίας καὶ σεμνότητος, τὸν δὲ ἀρχιερέα ἐν ὑακίνθῳ καὶ διαχρύσῳ κόσμῳ καὶ ἐπὶ τῆς κεφαλῆς τὴν κίδαριν

---

25. * καὶ Par. — 26. ** καὶ Par. — 28. Ἀλ. om. Par. — τοῦ λαοῦ Mon. Aug.? 30. τοὺς δὲ i. Par.

ἔχοντα καὶ τὸ χρυσοῦν ἐπ' αὐτῆς ἔλασμα, ᾧ τὸ ὄνομα τοῦ θεοῦ ἐπεγέγραπτο, καθὼς εἴρηται καὶ ἐπὶ τῇ ξένῃ θέᾳ καταπλαγεὶς ὁ Ἀλέξανδρος ἀπὸ τοῦ ἅρματος εὐθὺς καταπηδήσας καὶ προσελθὼν μόνος προσεκύνησε τὸ θεῖον ὄνομα καὶ τὸν ἀρχιερέα ἠσπάσατο, ὃν πάντες οἱ Ἰουδαῖοι μίᾳ φωνῇ σὺν τῷ ἀρχιερεῖ γνησίως ἠσπάσαντο.

Τῶν δὲ γε τῆς Συρίας βασιλέων καὶ τῶν λοιπῶν καταπλαγέντων καὶ διεφθάρθαι τὴν διάνοιαν τοῦ βασιλέως Ἀλεξάνδρου ὑπειληφότων καὶ Παρμενίωνος τοῦ στρατηγοῦ μᾶλλον θαυμάσαντος καὶ ἀγανακτήσαντος, διότι καθάπερ εἷς τῶν ὑπηκόων προσεκύνησεν, εἶπεν ὁ Ἀλεξάνδρος· «οὐ τὸν ἀρχιερέα προσεκύνησα, ἀλλὰ τὸν ὑπ' αὐτοῦ τιμώμενον θεὸν κἀμοὶ τὴν βοήθειαν κατὰ τῶν ὑπεναντίων ὑποσχόμενον. Ἡνίκα γὰρ τὴν κατὰ Περσῶν διενοούμην στρατείαν, καὶ οὐκ ἐτόλμων διὰ τὸ μέγεθος τῆς δυναστείας αὐτῶν, ὤφθη μοι κατ' ὄναρ κατὰ τὸ σχῆμα τοῦδε τοῦ ἀρχιερέως ὁ θεός, καὶ θαρρεῖν μοι παρεκελεύσατο καὶ τῆς προθυμίας σπουδαίως ἔχεσθαι, λέγων· «εἰς σὲ καταλήξω τὴν Περσῶν βασιλείαν». διό, τοῦτον θεασάμενος ἐν τοιαύτῃ στολῇ καὶ τῆς κατὰ τοὺς ὕπνους ὑπομνησθεὶς ὄψεως, εἰκότως προσεκύνησα.» Καὶ ταῦτα εἰπὼν πρὸς τὸν οἰκειακὸν Παρμενίωνα καὶ τὸν ἀρχιερέα δεξάμενος, τῶν ἱερέων παρεπομένων, εἰς τὴν πόλιν Ἱερουσαλὴμ παρεγένετο, μετὰ πολλῆς τῆς ὑπὸ τῶν Ἰουδαίων δεχθεὶς εὐφροσύνης. (7) Οἱ δὲ γραμματεῖς βιβλίον τοῦ Δανιὴλ προσκομίσαντες, τὴν προφητείαν αὐτοῦ διηρμήνευον, ἣν ὁ προφήτης περὶ αὐτοῦ προηγόρευσεν, ὡς δεῖν τινα τῶν Μακεδόνων τὴν Περσῶν χειρώσασθαι βασιλείαν. Ὅς ἐπὶ τοῦτο μᾶλλον ἡσθεὶς καὶ περιχαρὴς γενόμενος, καὶ ἐπὶ τὸ ἱερὸν ἀνελθὼν θύειν μὲν τῷ θεῷ κατὰ τὴν τοῦ ἀρχιερέως ἀφήγησιν ἐκέλευσεν, αὐτὸν δὲ τὸν ἀρχιερέα καὶ πάντας τοὺς ἱερεῖς ἀξιοπρεπῶς τιμήσας, καὶ λαμπροῖς καὶ μεγίστοις ἀναθήμασι τὸν ναὸν διακοσμήσας κατὰ Περσῶν ἐκίνησεν. (8) Ἰουδαίους δέ τινας πρὸς συμμαχίαν ἔλαβεν, ἐν οἷς ὑπερέχων ἦν τις ὀνόματι Μοσόμαχος, ἄριστος κατὰ ψυχὴν καὶ

---

1. τὸ τοῦ θῦ ὁ. ἐγγεγ. ὡς Par. — 2. ἐκπλ. ὁ Ἀλ. καὶ ἀπὸ Par. — 4. ἠκούσατο Par. — 6. ἀντη. αντο Par. (ἀντίασαντο?)

τοξότης εὐστοχώτατος, ὃς βαδιζόντων αὐτῶν κατὰ τὴν Βαβυλῶνα ὁδὸν, καὶ μάντεώς τινος ὀρνιθευομένου καὶ πάντας ἐπέχοντος, ἠρώτησε τὴν αἰτίαν τῆς παραμονῆς τοῦ λαοῦ. Καὶ ἀποκριθεὶς ὁ μάντις δεικνύων τὸ ὄρνεον λέγων· ἐὰν μὲν ἀσάλευτος μένῃ, προσμένειν συμφέρον πᾶσιν· ἐὰν δὲ ἀναστὰς εἰς τὰ ἔμπροσθεν πέτηται, προσάγειν· εἰ δὲ ὄπισθεν, ἀναχωρεῖν αὖθις. Ταῦτα Μοσόμαχος ἀκούσας παρὰ τοῦ μάντεως καὶ λάθρα τὸ τόξον ἑλκύσας βάλλει τὴν ὄρνιν. Μοσόμαχος τοιάδε ἔφη· «τί μοι μέμφεσθε, κακοδαίμονες; πῶς γὰρ οὗτος μὴ τὴν ἑαυτοῦ σωτηρίαν προγινώσκων, τὸ ὑμέτερον συμφέρον προανήγγειλεν; εἰ γὰρ ἠδύνατο προειδέναι τὸ μέλλον, οὐκ ἂν εἰς τὸν τόπον τοῦτον ἦλθε, φοβούμενος, μὴ τοξεύσας αὐτὸν ἀποκτείνει Μοσόμαχος». Καὶ ταῦτα εἰπόντος αὐτοῦ κατησχύνθησαν σφόδρα. (9) Ὁ δὲ Ἀλέξανδρος ἀντιπαραταξάμενος Δαρείῳ ἐν Ἴσσῳ τῇ πόλει Κιλικίας, καὶ τοῦτον χειρωσάμενος καὶ πολλοὺς σὺν αὐτῷ κατασφάξας παρέλαβε πᾶσαν τὴν βασιλείαν αὐτοῦ· δίχα τῆς βασιλείας Κανδάκης τῆς χήρας, βασιλευούσης τῶν ἐνδοτέρων Ἰνδῶν, ἥτις καὶ συνέλαβεν αὐτὸν οὕτως.

ΧΙΧ. ΠΕΡΙ ΤΗΣ ΒΑΣΙΛΙΣΣΗΣ ΚΑΝΔΑΚΗΣ.

Ἔθος εἶχεν Ἀλέξανδρος μετὰ τῶν πεμπομένων ὑπ' αὐτοῦ πρέσβεων πρὸς τοὺς ἐναντίους βασιλεῖς συνεισέρχεσθαι σχήματι στρατιώτου καὶ ὁρᾶν, ὁποῖος ἐστὶν ὁ βασιλεὺς ἐκεῖνος. Ἡ οὖν Κανδάκη τοῦτο μαθοῦσα περιεργάσατο, ὁποίας ἐστὶ θέας, παί τί ἔχει σύσσημον. Καὶ μαθοῦσα, ὅτι χθαμαλός ἐστιν, ὀδόντας ἔχων μεγάλους καὶ φαινομένους καὶ τὸν ἕνα μὲν ὀφθαλμὸν γλαυκὸν, τὸν δὲ ἕτερον μέλανα, παρεσημειώσατο καθ' ἑαυτὴν ταῦτα. Καὶ δὴ εἰσελθόντος πρὸς αὐτὴν ἅμα τοῖς πεμφθεῖσι παρ' αὐτοῦ πρεσβευταῖς, καὶ γνωρίσασα αὐτὸν ἐκ τῶν συσσήμων, συνέσχεν αὐτὸν, λέγουσα. «Ἀλέξανδρε βασιλεῦ, τὸν κόσμον ἔλαβες καὶ γυνή σε παρέλαβεν».

---

13. Ἰ. π. τῆς Κ. Par. — 15. σφάξας Par. — * καὶ πᾶσαν τῶν Περσῶν καὶ Μήδων καὶ Πάρθων καὶ τὴν Βαβυλωνίαν χώραν καὶ μέν τοι καὶ τὰ Ἰνδικὰ πάντα μέρη καὶ τὰ βασίλεια αὐτῆς Par. — 20. Ἐ. γὰρ ἐ. ὁ Ἀλ. Par. — 24. Καὶ ἀκούσασα Par. — 26. εἰσελθόντα Par. — 27. * στρατιώταις.

Ὁ δὲ εἶπεν αὐτῇ· «διὰ τὸ πανοῦργον καὶ περίεργον τῆς φύσεώς σου ἀβλαβῆ σε καὶ τοὺς υἱούς σου καὶ τὴν βασιλείαν σου διαφυλάξω, καὶ λήψομαί σε καὶ γυναῖκα». Ἦν καὶ λαβὼν καὶ εἰς Αἴγυπτον ἐλθὼν καὶ τὴν μεγάλην Ἀλεξάνδρειαν εἰς τὸ ἴδιον κτίσας
321 ὄνομα, πάλιν ὑπέστρεφεν εἰς Βαβυλῶνα· ἐν ᾗ καὶ τελευτᾷ, ὑπάρ-
(4976) χων ἐτῶν λβ, βασιλεύσας ἔτη ιβ.

(2) Πολλὰ μὲν οὖν καὶ ἄλλα μυρία τρόπαια δυσδιήγητα καὶ λόγον ὑπερβαίνοντα εἰργάσατο. Καὶ διὰ τοῦτο πτηνὴν πάρδαλιν ὁ προφήτης αὐτὸν προβλέπει, τὸ ταχὺ καὶ σφοδρὸν καὶ τὸ πυρῶδες καὶ τὸ ἄφνω διαπτῆναι τῆν οἰκουμένην μετὰ τροπαίων καὶ νίκης προϋπέφηνε. (3) Λέγεται δὲ, ὅτι [φιλοσόφου τινὸς εἰρηκότος ἤκουσεν, ὅτι] κόσμοι ἄπειροί εἰσι. [Ὃς καὶ ἀκούσας] καὶ μέγα στενάξας ἔφη· «καὶ ἀπείρων ὄντων, μηδενὸς ἐγὼ κεκράτηκα». Οὕτως ἦν μεγαλόφρων, μεγαλόψυχος καὶ γενναῖος (ὅθεν καὶ πανταχοῦ ἥδετο καὶ ἐθαυμάζετο μάλιστα διὰ σωφροσύνην αὐτοῦ καὶ σύνεσιν καὶ πολλὴν ἀγχίνοιάν τε καὶ σοφίαν). Ἀριστοτέλει γὰρ μαθητευθεὶς πᾶσαν λογικὴν ἐπιστήμην εἰς ἄκρον ἐξεπαιδεύθη. (4) Πολεμικώτατος δὲ καὶ τολμηρότατος ὑπάρχων, ἰδὼν ὁμώνυμον αὐτῷ νεανίσκον τινὰ δειλῶς μαχόμενον εἶπε πρὸς αὐτόν. «νεανίσκε, ἢ τὸν τρόπον ἄλλαξον ἢ τὸ ὄνομα». (5) Ἐπεὶ οὖν καὶ σωφροσύνῃ πολλῇ διεκόσμητο, ἐκδηλοτέραν ταύτην ἐποίησε μετὰ τὴν νίκην. Καὶ γὰρ αἰχμαλώτους λαβὼν τὰς θυγατέρας Δαρείου μαρτυρουμένας ἔχειν κάλλος ἀξιοθαύμαστον, οὐδὲ προσιδεῖν ἠξίωσεν, αἰσχρὸν καὶ λίαν... ἀποφήνας, τὸν ἄνδρας ἀνδρείως χειρωσάμενον ὑπὸ γυναικῶν ἀθλίως ἡττηθῆναι.

XX. ΠΕΡΙ ΤΩΝ ΒΡΑΧΜΑΝΩΝ.

Ὃς γε καὶ μέχρι τῶν ἐνδοτάτων Ἰνδῶν καὶ τοῦ κυκλοῦντος πᾶσαν τὴν γῆν ὠκεανοῦ, μεγάλου ποταμοῦ, καὶ τῆς μεγίστης νήσου τῶν Βραχμάνων φθάσας καὶ ὑπὲρ ἄνθρωπον βίον καὶ τὴν εἰς τὸν πάντων θεὸν εὐσέβειάν τε καὶ λατρείαν μεμαθηκὼς ἐξεπλάγη πάνυ

8. Dan. VII. 6. (3) Ced. 272,9—13. — 17. ἐκπ Mon. Aug.?

καὶ ἠγάσθη τῆς τῶν ἀνδρῶν ἐκείνων ἀκροτάτης φιλοσοφίας. (2) Ἐν ᾧ καὶ τόπῳ καὶ στήλην ἔστησεν, ἐπιγράψας· «ἐγὼ μέγας Ἀλέξανδρος βασιλεὺς ἔφθασα μέχρι τούτου». (3) Ἐν ἐκείνῃ γὰρ τῇ νήσῳ κατοικοῦσιν οἱ * Μακρόβιοι. Ζῶσι γὰρ οἱ πλείους αὐτῶν περὶ τὰ $\overline{\rho}$ ἔτη διὰ τὴν πολλὴν αὐτῶν καθαρότητα καὶ ἐγκράτειαν καὶ εὐκρασίαν — ἀέρος ἀνεξερεύνητον τοῦ θεοῦ κρίμα — ἐν ᾗ πάλιν οὐδέποτε ὀπώρα ** λείπει τὸν ὅλον χρόνον· ἐπειδὴ γὰρ ἐν ταὐτῷ ἡ μὲν ἀνθεῖ, ἡ δὲ ὀμφακίζει, ἡ δὲ τρυγᾶται· καί γε τὰ μέγιστα Ἰνδικὰ κάρυα γίνονται, καὶ τὰ δυσπόριστα ἡμῖν καὶ πανεπέραστα ἀρώματα, καὶ ὁ μαγνήτης λίθος. (4) Οἱ τοίνυν Βραχμᾶνες ἔθνος ἐστὶν εὐσεβέστατον καὶ βίον ἀκτήμονα σφόδρα κεκτήμενοι καὶ τὸν κλῆρον τοῦτον ἐκ τῶν τοῦ θεοῦ κριμάτων χρησάμενοι, καὶ τὴν τοῦ ποταμοῦ παροικίαν ἐν γυμνότητι φυσικῇ διαζῶσιν, ἀεὶ τὸν θεὸν δοξάζουσι. Παρ' οἷς οὐδὲ τετράποδόν ἐστιν, οὐ γεωργία, οὐ σίδηρος, οὐκ οἰκοδομή, οὐ πύργος, οὐ χρυσός, οὐκ ἄργυρος, οὐκ ἄρτος, οὐκ ἄλλο τι τῶν εἰς ἐργασίαν τελούντων ἢ πρὸς ἀπόλαυσιν συντεινόντων· ἀλλὰ τὸν ὑγρὸν καὶ γλυκὺν καὶ εὔκρατον ἄγαν καὶ κάλλιστον ἀέρα καὶ πάσης ἀῤῥωστίας τε καὶ φθορᾶς ἀπηλλαγμένον μετρᾶς τε ὀπώρας καὶ διειδέστατα ὕδατα ἀπολαύοντες σέβονται γνησίως τὸν θεὸν καὶ ἀδιαλείπτως προσεύχονται. (5) Καὶ οἱ μὲν ἄνδρες εἰς τὰ μέρη τοῦ ὠκεανοῦ ποταμοῦ παροικοῦσιν, αἱ δὲ γυναῖκες αὐτῶν ἔνθεν εἰσὶ τοῦ ποταμοῦ Γάγγου, τοῦ παραῤῥέοντος εἰς τὸν ὠκεανὸν ἐπὶ τὸ μέρος τῆς Ἰνδίας. Οἱ οὖν ἄνδρες περῶσι πρὸς τὰς γυναῖκας Ἰούλιον καὶ Αὔγουστον μῆνα, παρ' αἷς ὑπάρχουσι ψυχρότερα, τοῦ ἡλίου πρὸς δυσμὰς καὶ πρὸς βορρᾶν ὑψωθέντος, οἵ γε καὶ εὐκρατώτεροι γενόμενοι πρὸς οἶστρον αὐτοὺς κινεῖν λέγουσι. Ὅπερ δὲ καὶ τὸν Νεῖλόν φασιν οὐ κατὰ τὸν αὐτὸν τοῖς πολλοῖς πλημμυρεῖν καιρόν, ἀλλὰ μεσοῦντος τοῦ θέρους ἐπικλύζειν τὴν Αἴγυπτον, ὡς τοῦ γε παντὸς ἡλίου τὴν βορρειοτέραν διαθέοντος ζώνην, καὶ τοῖς ἄλλοις μὲν παρενοχλοῦντος ποταμοῖς καὶ σμικρύνοντος, τούτου δὲ πλεῖστον ἀπέχοντος. Ποιοῦντες μετὰ τῶν γυναικῶν ἡμέρας $\overline{\mu}$ πάλιν ἀντιπερῶσι. Τῆς δὲ γυναικὸς δύο παῖδας τε-

1. ἡράσθη Cod. 267,13.—2. ἐν ᾧ τ. καὶ στ. στήσας ἐπέγραψεν Par.— * λεγόμενοι Par.— ** πανταχοῦ Par. — 9. γ. κ. Par. παναπόριστα Mon. Aug. — 13. δοξάζοντες?

κούσης οὐκ ἔτι ὁ ἀνὴρ ἀντιπερᾷ πρὸς αὐτὴν, οὔτε μὴν ἐκείνη πλησιάζει πρὸς ἕτερον ἄνδρα παντελῶς διὰ πολλὴν εὐλάβειαν. Εἰ δὲ συμβῇ στεῖραν ἐν αὐταῖς εὑρεθῆναι μέχρι πενταετίας, διαπερᾷ ὁ ἀνὴρ αὐτῆς· καὶ συγγινόμενος αὐτῇ, ἐὰν μὴ τέκῃ, οὐκέτι προσεγγίζει αὐτῇ. Καὶ διὰ τοῦτο οὐδὲ πολυάνθρωπός ἐστιν ἡ χώρα, διά γε τὴν ὀλιγοδεῖαν καὶ τὴν φυσικὴν ἐγκράτειαν. Καὶ αὕτη μὲν ἡ τῶν Βραχμάνων πολιτεία. (6) Τὸν δὲ ποταμόν φασιν δυσπεραιότατον εἶναι, καὶ διὰ τὸν λεγόμενον ὀδοντοτύραννον. Ζῶον γάρ ἐστι τοῦτο ἀμφίβιον μέγιστον, ἐν τῷ ποταμῷ διαιτώμενον καὶ δυνάμενον ἐλέφαντα καταπιεῖν ὁλόκληρον διὰ τὴν ὑπερβολὴν τοῦ μεγέθους. ὅστις ἐν ταῖς μ ἡμέραις τῆς περαιώσεως τῶν ἀνδρῶν ἐκείνων ἀφανὴς γίνεται κατὰ θείαν πρόσταξιν. (7) Οὐ μὴν * ἀλλὰ καὶ δράκοντές εἰσιν ἐν τοῖς ἐρημοτέροις τόποις ἐκείνοις μέγιστοι σφόδρα, ὡς πηχῶν ο τὸ μῆκος, τὸ πάχος πολύ τε καὶ φρικωδέστατον· καὶ τὴν σοφίαν τοῦ δημιουργοῦ καὶ δόξαν φαινομένην προφανῶς ἐκδιηγοῦνται. Καὶ ** σκορπίοι *** εὑρίσκονται πηχυαῖοι, καὶ μύρμηκες παλαιστιαῖοι. Διὸ καὶ δυσδιόδευτοί εἰσιν οἱ ἐρημικοὶ τόποι ἐκεῖνοι καὶ ἀοίκητοι διὰ τὰ φοβερώτατα θηρία καὶ ἰοβόλα. Ἐλέφαντες δὲ γίνονται κατὰ τὰς χώρας ἐκείνας πλεῖστοι, ὡς καὶ ἀγεληδὸν παραπορευόμενοι βόσκονται. (8) Ἀμέλει γέ τοι καὶ ὁ μέγας Καισάρειος, ὁ ἀδελφὸς τοῦ μεγάλου Γρηγορίου τοῦ θεολόγου, διαφόρων ἐθνῶν καὶ ἠθῶν καὶ τρόπων καὶ νόμων ἐξήγησιν ποιούμενος σύντομον, τοιάδε φησίν· «ἐν γὰρ ἑκάστῃ χώρᾳ καὶ ἔθνεσιν, ἐν τοῖς μὲν ἔγγραφος [νόμος] ἐστίν, ἐν τοῖς δὲ ἡ συνήθεια. Νόμος γὰρ ἀνόμοις [τὰ] πάτρια δοκεῖ.»

XXI. ΠΕΡΙ ΣΗΡΩΝ.

«Ὥνπερ πρῶτοι Σῆρες, οἱ, τὸ ἄκρον τῆς γῆς οἰκοῦντες, νόμον ἔχουσι τὸ πατρῷον ἔθος, μὴ πορνεύειν καὶ μοιχεύειν, ἢ κλέπτειν, ἢ λοιδορεῖν, ἢ φονεύειν καὶ κακουργεῖν τὸ σύνολον.»

9. ἐστιν ἀ. μ. λίαν Par.—δ. δ. Par.— 11. ταῖς μὲν ἡμ. Par. ἐκεῖνο ἀφανῆ Mon. Aug.— * δὲ Par.— 13. ἐρήμοις Par. — 15. φαινόμενοι Par.— ** οἱ μὲν Par.— *** πάλιν Par.— 16. πηχ. οἱ δὲ μ. Par.— 17. δυσωδευτοι-ἔρημοι Par.—18. φοβερὰ Par.—20. βόσκεσθαι Par. — 23. τρ. τε ἐξηγούμενος ἐν ἐπιτομῇ, τοιάδε Par. Caesarius c. 47. — 27. Ὧν πρ. Par. Caes. — τῆς χέρσου Caes. Cetera ejusdem a Georgio abbreviata

XXII. ΠΕΡΙ ΒΑΚΤΡΩΝ.

«Νόμος δὲ παρὰ Βακτριανοῖς ἤτοι Βραχμάναις [καὶ νησιώταις] ἡ ἐκ προγόνων παιδεία [τε καὶ εὐσέβεια], μὴ κρεωφαγεῖν καὶ οἰνοποτεῖν, ἢ λαγνεύειν, ἢ παντοίαν κακίαν διαπράττεσθαι, διὰ πολὺν φόβον θεοῦ καὶ πίστιν, καί τοι γε τῶν παρακειμένων αὐτοῖς * μιαιφονούντων καὶ αἰσχροπραγούντων ἐμμανῶς τε καὶ ὑπερφυῶς. (2) Ἐν δὲ τοῖς ἐσωτέροις μέρεσι τούτων ἀνθρωποβοροῦντες μάλιστα καὶ κατεσθίοντες ἀλλήλους ὡς οἱ κύνες.»

XXIII. ΠΕΡΙ ΧΑΛΔΑΙΩΝ.

«Ἕτερος νόμος Χαλδαίοις τε καὶ Βαβυλωνίοις, μητρογαμεῖν καὶ ἀδελφοτεκνοφθορεῖν καὶ μιαιφονεῖν καὶ πᾶσαν θεομισῆ πρᾶξιν ὡς ἀρετὴν ἀποτελεῖν, κἂν πόρρω τῆς χώρας αὐτῶν γένωνται. (2) Ἄλλος * παρὰ Γηλαίοις νόμος, γυναῖκα οἰκοδομεῖν καὶ γεωργεῖν καὶ τὰ ἀνδρῶν ἔργα πράττειν, ἀλλὰ καὶ πορνεύειν, ὡς ἂν βούλωνται, μὴ κωλυόμεναι παντελῶς ὑπὸ τῶν ἀνδρῶν ἢ ζηλούμεναι, αἳ ὑπάρχουσαι ** πολεμικώταται καὶ θηρῶσαι τὰ μὴ λίαν ἰσχυρότερα τῶν θηρίων. Ἄρχουσι δὲ καὶ τῶν ἰδίων ἀνδρῶν καὶ κυριεύουσιν.»

XXIV. ΠΕΡΙ ΒΡΕΤΑΝΩΝ.

«Ἐν δὲ * Βρεττανίᾳ πλεῖστον ἄνδρες μιᾷ συγκαθεύδουσι γυναικί,** καὶ πολλαὶ γυναῖκες *** ἑταιρίζονται ἀνδρί·» καὶ τὸ παράνομον ὡς νόμον καλὸν καὶ πατρῷον πράττουσι ἀζήλωτον καὶ ἀκώλυτον.

---

2. N. δὲ καὶ B. ἤτοι Βρ. Par. — ἢ νησ. Par. om. Caes. — 3. ἡ τῶν πρ. Par. — τε καὶ ἐ. om. Caes. — κρ. ἢ ὀ. Par. — * Ἰνδῶν Caes. — 6. μ. οἰνοφλογούντων ἀ. Par. — μ. καὶ ὀ. ἀ. Caes. — ἐμφανῶς Par. — 7. ἐνδ. Par. ἐσπερίοις Caes. — ἀνθ. καὶ τοὺς ἐπιξενομένους ἀναιροῦντες μάλιστα κατεσθίουσιν ὥσπερ κ. Par. — 11. μ. ἀδ. Par. ἀδελφοφθορεῖν καὶ μιαιφθορεῖν Caes. — θεοστυγῆ Par. — * δὲ Par. Caes — Γήλαις Caes. Galilaeis Mon. Aug.? γυναῖκας γ. καὶ ὀ. Par. — 15. κωλ. ὑπὸ τῶν ἀ. αὐτῶν π. ἢ ζημιούμεναι, ἐν αἷς ὑπ. Par. — ** καὶ Par. — 16. ἰσχυρότατα Par. — 17. τῶν οἰκείων ἀ. Par. — * τῇ Par. — ** ὡσαύτως Caes. — *** ἑνὶ Par. Caes. — 21. ἀκ. καὶ ἀζ. Par.

XXV. ΠΕΡΙ ΑΜΑΖΟΝΩΝ.

Ἀμάζονες δὲ ἄνδρας οὐκ ἔχουσιν, ἀλλ' ὡς τὰ ἄλογα ζῶα ἅπαξ τοῦ ἐνιαυτοῦ περὶ τὴν ἐαρινὴν ἰσημερίαν ὑπερόριοι γίνονται, καὶ μιγνύμεναι τοῖς γειτνιῶσιν ἀνδράσιν ὡς πανήγυρίν τινα καὶ [μεγάλην] ἑορτὴν τὸν καιρὸν ἐκεῖνον ἡγοῦνται, ἐξ ὧν [καὶ] κατὰ γαστρὸς συλλαβοῦσαι πάλιν δρομοῦσιν οἴκαδε * πᾶσαι. Τῷ δὲ καιρῷ τῆς ἀποκυήσεως τὸ μὲν ἄῤῥεν φονεύουσι, τὸ δὲ θῆλυ ζωογονοῦσι καὶ ** ἐπιμελῶς ἐκτρέφουσι.

XXVI. ΠΕΡΙ ΤΩΝ ΒΑΣΙΛΕΙΩΝ ΑΡΧΩΝ.

(1) Μετὰ δὲ Ἀλεξάνδρου τελευτὴν εἰς πολλὰς ἀρχὰς ἡ βασιλεία αὐτοῦ διῃρέθη. Καὶ Ἀριδαῖος μὲν ὁ ἀδελφὸς, ὁ καὶ Φίλιππος, Μακεδονίας ἀφηγεῖτο. Αντίπατρος δὲ Εὐρώπης ἐβασίλευσεν, Αἰγύπτου δὲ Πτολεμαῖος, ὁ Λάγου, Φοινίκης δὲ καὶ Κοιλοσυρίας Σέλευκος, Κιλικίας δὲ Φιλώτας, Ἀσίας δὲ Ἀντίγονος, Καρίας δὲ Κάσανδρος, Ἑλλησπόντου δὲ Λεωνᾶς, Παφλαγονίας δὲ Εὐμένης, Θράκης δὲ Λυσίμαχος. Καὶ [οὗτοι μὲν] οὐ διέλιπον ἀεὶ κατ' ἀλλήλων ἐπανιστάμενοι, ἕως ἡ Ῥωμαίων ἀρχὴ τὰς ποπαρχίας πάσας κατέλυσεν. (2) Τούτων δὲ οὕτως καὶ ἐπὶ τοσοῦτον εἰρημένων, δεῖν ᾠήθημεν ἐπαναλῆψιν ποιήσασθαι· καὶ ἀπὸ Ἀδὰμ πάλιν ἀρξάμενοι, καὶ ἑκάστου τῶν ἐπισήμων καὶ ἀναγκαίων ἀνδρῶν τοὺς τῆς ζωῆς χρόνους διὰ βραχέων ἐπισημηνάμενοι, καὶ μέντοι καὶ τοὺς καθεξῆς ἄρχοντάς τε καὶ βασιλεῖς τοῦ Ἰσραὴλ ἐν ἐπιτομῇ ἀπομνημονεύσαντες, οὕτως αὖθις τὴν ἀκολουθίαν τῆς χρονικῆς πραγματείας ἐπισυνάψαι. (3) Τὴν δέ γε ἀπαρίθμησιν τῶν χρόνων κατὰ τὸν μέγαν Μωϋσῆν ποιησόμεθα, τὸν καὶ προγενέστερον καὶ ἀληθέστερον καὶ σοφώτερον παρ' Ἕλλησιν ἀρχαίων πάντων σοφῶν τε καὶ συγγραφέων εἰκότως ἀναφανέντα.

---

3. τοῦ ἔτους Par. Caes. — γίνεται μιγ. Caes. — 5. κ. τῆς ἑταιρίας ἡγούμεναι Caes. — 6. φέρουσαι Caes. — * ἅμα Caes. — τὸν μὲν ἄῤῥενα φθείρουσι Par. Caes. — ** τιθηνοῦσι Par. Caes. — 8. ἐπ. καὶ ἐκτ. Par. ἐπ. Caes. — 16. Ἀριδ. Mon. Aug.? — 23. δὲ καὶ Par. — 25. ἐπ. ἀν. Mon. Aug.? — ἀνδρῶν τῶν τε κ. ἀρχόντων τε καὶ βασιλέων Par. — 30. τὸν πρ. Par. — 31. σοφ. τῶν ἅπαρ Par.

(4) Πρῶτος γὰρ σοφὸς Μωϋσῆς ἀναδέδεικται, ὡς ἱστορεῖ Εὐπόλεμος, καὶ πρῶτος γράμματα * Ἑβραίοις παρέδωκεν, ἅπερ ὁ θεῖος Ἀβραὰμ ἀπὸ τῶν Χαλδαίων ἐκόμισε. Λέγει γὰρ Ἰώσηπος, ὅτι πρῶτος Ἀβραὰμ δημιουργὸν τὸν θεὸν ἀνεκήρυξε, καὶ πρῶτος κατελθὼν εἰς Αἴγυπτον ἀριθμητικὴν καὶ ἀστρονομίαν Αἰγυπτίους ἐδίδαξε. Πρῶτοι γὰρ εὑρεταὶ τούτων οἱ Χαλδαῖοι γεγένηνται. (5) Παρὰ δὲ τῶν Ἑβραίων ἔλαβον Φοίνικες, ἀφ' ὧν ὁ μὲν Κάδμος ταῦτα μετήγαγεν εἰς τοὺς Ἕλληνας, ὁ δὲ Ἡσίοδος μάλα συντάξας εὐφυῶς Ἕλλησιν. (6) Ὁ δὲ Ἰώσηπος ἐν τῷ Ἰουδαισμῷ μείνας τυφλώττων, Κλήμης δὲ καὶ Ἀφρικανὸς καὶ Τατιανός, τῶν δὲ ἐκ περιτομῆς Ἰώσηπος καὶ Ἰοῦστος κατὰ Ἰναχὸν ἀκμάσαι τὸν θεσπέσιον Μωϋσῆν ἱστόρησαν, ἰδίως ἕκαστος ἐκ παλαιᾶς ἱστορίας παρασχὼν τὴν ἀπόδειξιν, Κλήμης δὲ ὁ Στρωματεύς, Ὠριγενιάστης ὤν, ὥς τινι τῶν πατέρων ἀπεκαλύφθη, μὴ ἐν κολάσει Ἰουδαῖος ὤν.

XXVII. ΣΧΟΛΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ.

Περὶ τοῦ Παμφίλου Εὐσεβίου, ὅτι ἐν πολλοῖς αὐτοῦ συγγράμμασι δείκνυται Ἀρειανὸς γνήσιος· εἰ δὲ καὶ παραινεῖται παρά τινων ἐκκλησιαστικῶν ἀνδρῶν ὡς πολυμαθὴς καὶ πολυΐστωρ, καθάπερ καὶ Ὠριγένης καὶ ἄλλοι πολλοὶ τῶν ἔξω τῆς ἐκκλησίας ὄντων, [οὐδὲν θαυμαστόν]. (2) Ὁ δὲ πολυμαθὴς καὶ πολυΐστωρ Εὐσέβιος, ἀκριβεστάτην τῶν χρόνων ἀναγραφὴν ποιησάμενος, τοῖς χρόνοις μὲν Ἰναχοῦ ἱερὸν Ἰάκωβον εὗρε συνακμάσαντα, Μωσέα δὲ Κέκροπος. (3) Χρονικοῦ γὰρ κανόνος σύνταξιν ἐπινοήσας, ἐκ παραλλήλου ἀντεπαρέθηκε τὸν παρ' ἑκάστῳ ἔτει δυναστεύοντα. Συνήγαγε δὲ χρόνους τῆς βασιλείας Χαλδαίων, Λακεδαιμονίων, Κορινθίων, Θετταλῶν, Μακεδόνων (τῶν πάλαι Κειτιέων λεγομένων), Λατίνων τῶν ἀπὸ Λατίνου βασιλέως αὐτῶν καὶ Ἰταλῶν ἔκ τινος ἡγεμονεύσαντος αὐτῶν προσαγορευθέντων καὶ ὕστερον ἐπικληθέντων Ῥωμαίων ἀπὸ Ῥώμου

---

* τοῖς Par. — 4. Ἀ. τὸν δ. θν Par. — δ. ἀστρ. ἢ ἀρ. ἐδ. τοὺς Ἀ. Par. cf. Jos. A. I. VII 13. Πρ. οὖν τολμᾷ θν ἀποφήνασθαι δ. τῶν ὄντων ἕνα. IX. 35. τήν τε ἀρ. αὐτοὺς χαρίζεται καὶ τὰ π. ἀστρονομίας αὐτοὺς ἐδ. — 24. χρόνοις Mon. Aug.

καὶ Ῥήμου· καὶ τούτων τοὺς χρόνους ἐπὶ τὸ αὐτὸ συναρτήσας, ἑκάστου ἔθνους τῶν βασιλέων συνέκρινε τοὺς χρόνους, ἀντιπαραθεὶς τὰ ἔτη τῆς βασιλείας τῇ Ἀσσυρίων βασιλείᾳ, τοῦτ' ἔστι τῆς Σεμιράμεως* τοῖς Ἀβραὰμ ἔτεσι. (4) Κατὰ γὰρ τὴν Σεμίραμιν Ἀβραὰμ ἐγνωρίζετο, καὶ Ἰακὼβ κατὰ Ἰναχὸν, καὶ Μωϋσῆς κατὰ Κέκροπα τὸν διφυῆ, ὃν πρῶτον βασιλέα τῆς Αττικῆς Ἕλληνες ἱστόρησαν· ὡς εἶναι τῶν παρ' Ἕλλησιν ἀρχαίων σοφῶν Μωϋσέα πρεσβύτερον, Ὁμήρου λέγω καὶ Ἡσιόδου καὶ τῶν Τρωϊκῶν, Ἡρακλέους τε καὶ Μουσαίου, Λυδίου τε καὶ Ὀρφέως καὶ Διοσκόρων, Ἀσκληπιοῦ καὶ Διονύσου καὶ Ἑρμοῦ, Ἀπόλλωνός τε καὶ τῶν Ἑλληνικῶν μυστηρίων καὶ τελετῶν, καὶ αὐτῶν τῶν τοῦ Διὸς πράξεων· ὅθεν καί τινες τῶν παρὰ τῶν προκρίτων φαίνονται ἐκ τῶν αὐτοῦ συγγραμμάτων σφετερισάμενοι. Πάντες μὲν οὗτοι μετὰ τὸν Κέκροπα γεγόνασιν, ὧν πολὺ Ὅμηρος καὶ Ἡσίοδος τοῖς χρόνοις ὑποβεβήκασιν.

XXVIII. ΤΟΥ ΑΓΙΟΥ ΒΑΣΙΛΕΙΟΥ.

Οὗτός γέ τοι Μωϋσῆς τῶν σοφῶν πάντων διδάσκαλος πέφηνε, τῶν ἀποῤῥήτων ἐξηγητὴς γενόμενος, καὶ τῆς ἀληθείας ὑφηγητὴς θειότατος. Τὴν γὰρ σοφίαν τῶν Αἰγυπτίων διαπτύσας ἄριστα, περὶ δὲ τῆς τοῦ κόσμου ἐξῆλθε συντάξεως, ὑπ' αὐτοῦ δῆλον ὅτι ἐπὶ πάντων θεοῦ καὶ δημιουργοῦ πάσης κτίσεως ἐμπνευσθεὶς τὴν ἀληθειαν. (2) Λέγει γάρ· «ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». Καὶ πολλοὶ τῶν παρ' Ἕλλησι τἀναντία τούτων τολμήσαντες διεξιέναι εἰς βυθὸν ἀγνωσίας καὶ ἀσεβείας κατηνέχθησαν· καὶ εἰκότως. Τὰ ἐξ ἀνθρωπίνης διανοίας προσφερόμενα δόγματα σαθρὰ τυγχάνει καὶ ἀνάρμοστα· διόπερ οὐδεὶς παρ' αὐτοῖς ἕστηκε λόγος ἀκίνητος, ἀεὶ τοῦ δευτέρου τοῦ πρὸ αὐτοῦ καταβαλλοντος, ὥστε μηδὲν ἡμῖν ἔργον εἶναι τὰ ἐκείνων ἐλέγχειν. (3) Ἀρκοῦσι γὰρ ἀλλήλοις πρὸς τὴν οἰκείαν ἀνατροπήν. Οἱ γὰρ θεὸν ἀγνοήσαντες αἰτίαν ἔμφρονα προεστάναι τῆς γενέσεως τῶν ὅλων οὐ συνεχώρησαν, ἀλλ' οἰκεῖα τῇ ἐξ ἀρχῆς ἀγνοίᾳ τὰ ἐφεξῆς συνεπέραναν. Διὰ τοῦτο

* ἢ? 11 τὸν τοῦ Δ. Mon. 21. Gen. I. 1 — 27 Hexaemeron I. 3. B. — 30. οἰκείως Bas.

οἱ μὲν εἰς τὰς ὑλικὰς ὑποθέσεις κατέφυγον τοῖς τοῦ κόσμου στοιχείοις τὴν αἰτίαν τοῦ παντὸς ἀναθέντες· οἱ δὲ ἄτομα καὶ ἀμερῆ σώματα καὶ ὄγκους καὶ πόρους συνέχειν τὴν φύσιν τῶν ὁρατῶν ἐφαντάσθησαν. Νῦν μὲν γὰρ καὶ συνιόντων ἀλλήλοις τῶν ἀμερῶν σωμάτων, νῦν δὲ μετασυγκρινομένων, τὰς γενέσεις καὶ τὰς φθορὰς ἐπιγίγνεσθαι, καὶ (ἐπὶ) τῶν διαρκεστέρων σωμάτων τὴν ἰσχυροτέραν τῶν ἀτόμων ἀντεμπλοκὴν τῆς διαμονῆς τὴν αἰτίαν παρέχειν. Ἀλλ' ὄντως ἰστὸν ἀράχνης ὑφαίνουσιν οἱ ταῦτα γράφοντες, οἱ οὕτω λεπτὰς καὶ ἀνυποστάτους ἀρχὰς οὐρανοῦ καὶ γῆς καὶ θαλάσσης ἀνοήτως ὑποτιθέμενοι. Οὐ γὰρ ἤδεσαν εἰπεῖν· «ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καί τὴν γῆν.»

Β'

ΑΡΧΗ * ΧΡΟΝΙΚΟΥ ΓΕΩΡΓΙΟΥ ΜΟΝΑΧΟΥ **.

Ι. ΠΕΡΙ ΓΕΝΕΑΛΟΓΙΑΣ ΑΔΑΜ ΚΑΙ ΤΩΝ ΥΙΩΝ ΑΥΤΟΥ.

Ἀδὰμ τοίνυν κατὰ τὸν σοφώτατον καὶ θεῖον ὑποφήτην Μωϋσῆν γενόμενος ἐτῶν $\overline{\sigma\lambda}$ ἐγέννησε τὸν Σήθ, καὶ μετὰ τοῦτο ἔζησεν ἔτη *** $\overline{\theta\lambda}$ καὶ ἀπέθανεν. Ὃς καὶ λέγεται πρῶτος εἰς τὴν γῆν ἐξ ἧς ἐλήφθη, ταφῆναι· καὶ μνῆμα αὐτῷ κατὰ τὴν τῶν Ἱεροσολύμων γεγονέναι γῆν, ἑβραϊκή τις ἱστορεῖ παράδοσις, ὡς φησιν Ἰώσηπος. Θνήσκει δὲ κατὰ τὴν παραβάσεως ἡμέραν, χιλιονταετίας τῆς τοῦ θεοῦ ἡμέρας ἐχούσης τὸ διάστημα, $\theta\lambda$ ἔτη μόνον ζήσας τελευτᾷ. Τοῦτον λέγεται πρῶτον εἰς τὴν γῆν, ἐξ ἧς ελήφθη, ταφῆναι. Ἀφανὲς γάρ φασι τὸ τοῦ Ἄβελ σῶμα γενέσθαι, τοῖς μετέπειτα δικαίοις ἀγαθὰς ἀποφαίνων ἐλπίδας. (2) Σὴθ δὲ γενόμενος ἐτῶν $\overline{\sigma\varepsilon}$ ἐγέννησε Ἐνώς, καὶ μετὰ τοῦτο ἔζησεν ἔτη $\overline{\psi\zeta}$ καὶ ἀπέθανε ζήσας τὰ πάντα ἔτη $\overline{\theta\iota\beta}$. Περὶ οὗ εἴρηται· **** εἰσῆλθον οἱ υἱοὶ τοῦ

5641 (230)

4941 (930)

5436 (535)

---

1. ἐπὶ τὰς Bas. — 4. γὰρ συν. Bas. — 6. καὶ τῶν Bas. — ἀντεμπλοκῆς Mon. Aug.? παρ. ὄντως Bas. — * τοῦ Par. — ** καὶ συγκέλλου Mon. Aug.? — 19. Βίος τοῦ κρς ἡμῶν Ἀ. καὶ τῶν σὺν αὐτῷ Sym. Ms. Ven. 608. — 20. Ἀ. γεν. Sym. — 21. γεννᾷ — καὶ ἐζ. ὁ αὐτὸς Ἀ. ἐ. ψ'. Σὴθ δὲ λ. Sym. — 22. ψ' καὶ ἀπ. ζήσας τὰ πάντα ἐ. θλ δς λ. Par. — *** ψ' καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Ἀ. ἃς ἔζησεν ἔτη Gen. V. 4, 5.—23. τὴν Ἱερ. Par.—25. θνήσκει—ἐλπίδας om. Par.—**** καὶ Par. Gen. IV. 26.

θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων», ἤτοι τὰς ἀπὸ τοῦ Καΐν. Θεὸν γὰρ αὐτὸν οἱ τότε * ἄνθρωποι προσηγόρευον διὰ τὸ ἐξευρεῖν τὰ Ἰουδαϊκὰ γράμματα καὶ τὰς τῶν ἀστέρων ὀνομασίας, καὶ πρὸς τούτοις καὶ τὴν πολλὴν αὐτοῦ εὐσέβειαν θαυμάσαντες· ὅς γε καὶ πρῶτος «ἤλπισεν ἐπικαλεῖσθαι» θεὸς καὶ ὀνομάζειν, καθὰ δὴ καὶ τῷ Μωϋσῇ λέγει κύριος. «Θεὸν δέδωκά σε τῷ Φαραώ.» Καὶ περὶ τῶν ἐναρέτων καὶ πνευματικῶν καὶ τῶν κριτῶν ἔφη. «Θεοὺς οὐ κακολογήσεις, καὶ ἄρχοντας τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς.» Εἰκότως οἱ τοῦ Σὴθ καὶ τοῦ Ἐνὼς καὶ Ἐνὼχ παῖδες υἱοὶ θεοῦ καὶ υἱοὶ τῶν θεῶν κατὰ τὸν Σύμμαχον νοείσθωσαν, οἵ τινες ἀλόντες ἀκολαστίᾳ πρὸς τὰς θυγατέρας Καΐν εἰσῆλθον, ἐξ ὧν οἱ τῆς κατ' ἀλλήλου μιαιγαμίας γίνονται γίγαντες, διὰ μὲν τὸν δίκαιον Σὴθ ἰσχυροὶ καὶ μέγιστοι, διὰ δὲ τὸν ἄδικον καὶ βέβηλον Καΐν
5246 πονηροὶ καὶ κάκιστοι. (3) Ἐνὼς δὲ γενόμενος ἐτῶν ϙ ἐγέννησε τὸν
(625) Καϊνᾶν, καὶ μετὰ τοῦτο ἔζησεν ἔτη ψιε καὶ ἀπέθανε, ζήσας τὰ
5911 πάντα ἔτη ϡε.*** (4) Μαλελεὴλ δὲ γενόμενος ἐτῶν ρξε ἐγέννησε
(960) τὸν Ἰάρεδ, καὶ μετὰ τοῦτο ἔζησεν ἔτη ψλ καὶ ἀπέθανε, ζήσας
4749 τὰ πάντα ἔτη ωϙε. (5) Ἰάρεδ δὲ γενόμενος ἐτῶν ρξβ ἐγέννησε τὸν
(1122) Ἐνὼχ καὶ μετὰ τοῦτο ἔζησεν ἔτη ͵ω καὶ ἀπέθανε, ζήσας τὰ πάν-
4584 τα ἔτη ϡξβ. (6) Ἐνὼχ δὲ γενόμενος ἐτῶν ρξε ἐγέννησε τὸν Μαθου-
(1287) σάλα καὶ μετὰ τοῦτο ἔζησεν ἔτη ͵σ καὶ μετετέθη ζήσας τὰ πάντα
4235? ἔτη τξε. (7) Μαθουσάλα δὲ γενόμενος ἐτῶν ρξϛ ἐγέννησε τὸν Λαμὲχ
(1454) καὶ μετὰ τοῦτο ἔζησεν ἔτη ωβ καὶ ἀπέθανε, ζήσας τὰ πάντα ἔτη
4047 ϡξθ. (8) Λαμὲχ δὲ γενόμενος ἐτῶν ρπη ἐγέννησε τὸν Νῶε, καὶ
(1642) μετὰ τοῦτο ἔζησεν ἔτη φξε καὶ ἀπέθανε, ζήσας τὰ πάντα ἔτη ψνγ.
Δύο τοίνυν Λαμὲχ ἡ γραφὴ μνημονεύει, ἕνα μὲν τὸν ἀπὸ Καΐν, ἐκ δὲ τοῦ πατρὸς Νῶε. Γεγέννηται γὰρ Νῶε διὰ Λαμὲχ, οὐκ ἐκ τοῦ ἀπὸ Καΐν καὶ πεφονευκότος ἄνδρα**** καὶ νεανίσκον, ἀλλ' ἐκ μεταγενεστέρου καὶ ἐξ ὁμωνύμου τοῦ ἀπὸ Σήθ. Ἐκεῖνος γὰρ λέγει· «ἄνδρα

---

1. τὰς ἀπὸ K. Par. — * οἱ Mon. Aug.? — 3. γρ. τάς τε τῶν Par. — 4. τούτοις τὴν Par.—5. πρ. Par. οὗτος ἡ. ἐπ. τὸ ὄνομα κυ τοῦ θῦ Gen. IV. 26—6. Ex. VII. 1.—7. Ex. XXII. 28. — 8. οὐκ ἀκολουθήσεις Mon. Aug.? — *** Καινᾶν δὲ γενόμενος ἐτῶν ρο ἐγέννησε τὸν Μαλελεὴλ καὶ μετὰ τοῦτο ἔζησεν ἔτη ψμ΄ καὶ ἀπέθανε, ζήσας τὰ πάντα ἔτη θι΄ Eus. Chr. I. 122. — 26. ἑνὸς μὲν ἀπὸ K. ἑνὸς δὲ τοῦδε τοῦ πρς Ἐνώχ Par. — **** τε Par. — 29. ἐξ om. Par. Gen. IV. 23.

ἀπέκτεινα εἰς τραῦμα ἐμοὶ καὶ νεανίσκον εἰς μώλωπα ἐμοί». Καὶ ὡς δύο φόνους πεποιηκὼς καὶ τῶν δύο τὰς γυναῖκας εἴληφεν, Ἐλδὰν καὶ Σελάν, ἑαυτὸν καταμέμφεται ἑβδομηκοντάκις ἑπτὰ ἄξιον εἶναι κολάσεως, «ὅτι ἐκ Καΐν μέν, φησίν, ἐκδικεῖται ἑπτάκις, ἐκ δὲ Λαμὲχ ἑβδομηκοντάκις ἑπτά». Καὶ διὰ τί μειζόνως κολάζεται; Διότι τῇ πτώσει τοῦ προημαρτηκότος οὐκ ἐσωφρονίσθη. Ὁρᾷς, πῶς τὸ πρὸ ἡμῶν ἁμαρτάνειν αὔξει καὶ τὴν κόλασιν ἡμῖν; Τοῖς οὐδ' οὕτως σωφρονιζομένοις καὶ ἀσύγγνωστον ποιεῖ τὴν τιμωρίαν, ὥσπερ οὖν καὶ ὁ Λαμὲχ οὕτω πέπονθεν. Τοῦ δικαίου γὰρ Ἐνὼχ ἀδελφοὺς ἀνεῖλε, τοῦ πίστει διὰ τοῦτο προσευξαμένου, μὴ ἰδεῖν τοιοῦτον θάνατον, καὶ ἀκουσθεὶς μετετέθη. Ἦν δὲ Ἐνὼχ ἐκ τοῦ δικαίου Σήθ, ἐξ οὗ Χριστὸς κατάγεται γενεαλογούμενος ἀπὸ τοῦ Ἀδὰμ ὑπὸ τοῦ Λουκᾶ ἕως τοῦ Σήθ, καὶ «τοῦ Ἀδὰμ καὶ τοῦ θεοῦ», τὸ μὲν κατὰ σάρκα ἐξ αὐτῶν, τὸ δὲ κατὰ πνεῦμα ἐκ τοῦ θεοῦ. Πνεῦμα γὰρ ὁ θεός. Ἐσπούδαζε γὰρ τῶν ἀσεβῶν σπέρμα τῶν δικαίων ἐξαίρειν τὸ γένος, ἐπειδὴ γὰρ βδέλυγμα ἁμαρτωλῷ θεοσέβεια· καὶ γὰρ τὸ γένος καὶ σπέρμα τοῦ Καΐν κατηράθη, τοῦ δὲ Σὴθ εὐλογήθη· καὶ οὐκ ἐβούλετο ὁ θεὸς ἐπιμιξίαν γενέσθαι τῶν δικαίων τὸ γένος πρὸς τῶν ἀσεβῶν, ἀλλ' ἐξαλειφθῆναι. Ἐπεὶ οὖν ἐφόνευον καὶ ἐλάμβανον τὰς γυναῖκας αὐτῶν, ἐξαίσια τέρατα ἐτίκτοντο οἱ γίγαντες, δι' οὓς καὶ ὁ κατακλυσμὸς ἐλθὼν πάντας ἄρδην ἀπώλεσεν. Καὶ μόνος εὑρίσκεται ὁ Νῶε δίκαιος ἐν τῇ γενεᾷ αὐτοῦ· διὸ καὶ ἐφυλάχθη.

(9) Νῶε δὲ γενόμενος ἐτῶν $\overline{\varphi}$ ἐγέννησεν υἱοὺς $\overline{\gamma}$, τὸν Σήμ, τὸν Χάμ, τὸν Ἰάφεθ. Μετὰ δὲ ἔτη $\overline{\rho}$ τοῦ τεχθῆναι τοὺς υἱοὺς αὐτοῦ εἰσῆλθε τὴν κιβωτὸν, ὑπάρχων ἐτῶν $\overline{\chi}$, καὶ γίνεται ὁ κατακλυσμός. Καὶ ἐν τῷ ἑνὶ καὶ $\overline{\chi}$ ἔτει τῆς ζωῆς αὐτοῦ ἐξῆλθεν ἐκ τῆς κιβωτοῦ. Καὶ μετὰ τὸν κατακλυσμὸν ἔζησεν ἔτη $\overline{\tau\nu}$ καὶ ἀπέθανε ζήσας τὰ πάντα ἔτη $\overline{\theta\nu}$. Τοῦ δὲ κατακλυσμοῦ γενομένου ἐπὶ ἡμέρας $\overline{\mu}$, πᾶσα μὲν ἡ γῆ ἐκαλύφθη ἐπὶ ἡμέρας $\overline{\rho\kappa}$. Παντὸς δὲ ὄρους ὑψηλοτάτου τὸ ὕδωρ ὑπὲρ ἄνω γέγονε πήχεων $\overline{\iota\varepsilon}$. Τῆς δὲ κιβωτοῦ τὰ λείψανα ἕως ἄρτι πρὸς ἀπόδειξιν τῶν γεγενημένων δείκνυται ἐν τῷ ὄρει Ἀραρὰτ ἀναμέσον τῆς Ἀρμενίας καὶ τῆς Παρθικῆς χώρας καὶ

3547 (2142) 3447 (2242)

1. τρ. καὶ Par. — 2. εἰληφὼς Par. — 4. Gen. IV. 24. — 6. τοῦ ἁμ. Par. — 13. Luc. III. 28. om. καὶ. — 27. τ' Mon. — 32. Παρθενικῆς Mon.

τῆς τῶν Διαβηνῶν χώρας. Ἐκ γὰρ ξύλων ἀσήπτων ἡ κεδρίνων ἐστὶ κατασκευασμένη. Φησὶ γὰρ «καὶ εἶπεν κύριος ὁ θεός. Οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις διὰ τὸ εἶναι αὐτοὺς σάρκας. Ἔσονται αἱ ἡμέραι αὐτῶν $\overline{ρκ}$ ἔτη», καὶ ἐπάγει ἡ γραφὴ λέγουσα· «καὶ εἶπεν ὁ θεὸς πρὸς Νῶε· καιρὸς παντὸς ἀνθρώπου ἥκει ἐναντίον μου, ὅτι ἐπλήσθη ἡ γῆ ἀδικίας ἀπ' αὐτῶν· καὶ ἰδοὺ ἐγὼ καταφθείρω αὐτοὺς καὶ τὴν γῆν». Πλὴν οὐ * εἶναι τὴν ζωὴν αὐτῶν περιώρισεν $\overline{ρκ}$ ἔτη, ἀλλὰ πλημμυροῦσαν τὴν ἁμαρτίαν ἰδὼν καὶ αὔξουσαν οὐκ ἀνέμεινε τὴν κυρείαν, ἀλλὰ τὴν προσθεσμίαν συντεμὼν τῶν $\overline{ρ}$ ἐτῶν, πᾶσιν ἐπήγαγε τὸν κατακλυσμόν. Ὅθεν φησί· «ποίησον σεαυτῷ κιβωτὸν ἐκ ξύλων τετραγώνων ἀσήπτων· νοσσιὰς ποιήσεις ** καὶ ἀσφαλτώσεις αὐτὴν ἔσωθεν *** τῇ ἀσφάλτῳ, καὶ οὕτω ποιήσεις αὐτὴν $\overline{τ}$ πήχεων τὸ μῆκος καὶ $\overline{ν}$ τὸ πλάτος καὶ $\overline{λ}$ τὸ ὕψος. Ἐπισυναγαγὼν ποιήσεις αὐτὴν ****, συντελέσεις αὐτὴν ἄνωθεν. Τὴν δὲ θύραν ἐκπλαγίου διώροφα, καὶ τριώροφα ποιήσεις αὐτήν».

(10) Ἀλλ' οὖν γέ τινες τῶν Ἑλλήνων ἐπιλαμβανόμενοι τὸ ῥητὸν ἔφασαν, ὡς ἀδύνατον ἦν χωρῆσαι τοσαῦτα πολυειδῆ καὶ ἄπειρα γένη τῶν ζώων πήχεις τριακοσίας καὶ μόνον. Καὶ οὐκ ἴσασιν οἱ δῆθεν σοφοὶ καὶ ἀπερισπέπτως καὶ ἀμαθῶς τὰ θεῖα λόγια πολυπραγμονοῦντες, ὅτι περ ὁ συγγραφεύς, γεωμέτρης ὑπάρχων Αἰγύπτου — ἐπαιδεύθη γάρ, φησι, Μωϋσῆς πάσῃ σοφίᾳ Αἰγυπτίων — ὅτι γεωμετρικὴν πῆχυν ἔφη, ἥτις ὀργυῖαν μεγίστην ἔχει. Τὴν γάρ τοί γε γεωμετρίαν Αἰγύπτιοι, φασίν, ἐφεῦρον, ἐκ τοῦ ἀπλέτου τῆς γῆς τὴν διαίρεσιν διδαχθέντες καὶ γράψαντες, ἀφ' ὧν ἕτεροι μετέλαβον. Ὅθεν σοφοὺς ἄγαν καὶ φρονίμους αὐτοὺς ἀπεκάλεσε διὰ τὴν θαυμαστὴν ἐπιστήμην ταύτην καὶ σοφίαν. Καὶ πρὸς τούτοις ἔτι καὶ ἄλλη μαρτυρία εὐαπόδεκτος περὶ τοῦ κατακλυσμοῦ, ὥς φησιν Ἰώσηπος.» Ἔσω γὰρ ἐφ' ὑψηλοτάτοις ὄρεσι καὶ δυσβάτοις γῆς καὶ θαλάσσης λείψανα εὑρίσκεται κόχλιαι καὶ ὀστρέων κελύφαι καὶ τὰ

1. Gen. VI. 3. — 5. Gen. VI. 13. — * διὰ τοῦτο? — 11. Gen. VI. 14. ἀσήπτων ἢ κεδρίνων in scholio.— ** τὴν κιβωτὸν Gen.— *** καὶ ἔξωθεν Gen. — 14. Ἐπισυνάγων Gen. VI. 16. — **** καὶ εἰς πῆχυν Gen. — 15. ϑ. τῆς κιβωτοῦ ποιήσεις ἐκ πλαγίων κατάγαια Gen. — 16. αὐτῇ Aug. — 29. Εὐσέβιος? Chr. I. 129, 130. — 30. κ.λυφα Mon. Aug.?

τούτοις ὅμοια, κηρύττοντα τὸ φοβερὸν ἐκεῖνο καὶ παγκόσμιον ναυάγιον ἐπὶ τοῦ δικαίου τούτου γενόμενον, καὶ πολλῆς ἀθυμίας καὶ λύπης κόπου τε * περιστάσεως αἴτιον τοῦτο πεφηνότα. Περὶ οὗ καὶ θεῖος Χρυσόστομός φησι· » Πάντων διεφθαρμένων μόνος εὑηρέστησε τῷ θεῷ, τῶν ἄλλων πάντων προσκεκρουκότων. Καὶ ἄλλας μυρίας θλίψεις ὑπέμενε πολλὰς καὶ κακάς». — «ἐνιαυτὸν γὰρ ὅλον δεσμωτήριον ξένον καὶ φοβερὸν ᾤκησεν [οὐδὲν ἄμεινον τῶν ἐν μετάλλοις πιεζομένων διακείμενος]. Ἵνα γὰρ τὸ πλῆθος ἐάσω τῶν θηρίων καὶ τῶν ἑρπετῶν, οἷς τοσοῦτον ἔζησε χρόνον, εἰς τοιαύτην ἀπειλημμένος στενοχωρίαν· τί οἴει πάσχειν αὐτὸν ὑπὸ τοῦ πατάγου τῶν βροντῶν καὶ ὑπὸ τοῦ ψόφου τῶν ὑετῶν; Ἄβυσσος γὰρ ἡ μὲν κάτωθεν ἀνερρήγνυτο, ἡ δὲ ἄνωθεν κατεφέρετο· ** ἔνδον ἐκάθητο *** μετὰ τῶν υἱῶν αὐτοῦ. Εἰ γὰρ καὶ ὑπὲρ τοῦ τέλους εἶχε θαρρεῖν, ἀλλὰ τῇ τῶν γινομένων σφοδρότητι προαποτεθνήκει τῷ δέει. Ὅπου γὰρ ἡμεῖς, οἰκίας ἔχοντες ἡδρασμένας ἐπὶ τῆς γῆς, καὶ πόλεις οἰκοῦντες, ὅμως, ὅταν ἴδωμεν κατενεχθέντα σφοδρότερον ὀλίγον τοῦ συνήθους ὑετὸν, καταπίπτομεν καὶ συστελλόμεθα· τί οὐκ ἂν ἔπαθεν ἐκεῖνος, ἔνδον ὢν καὶ τὴν φρικωδεστάτην ἐκείνην ἄβυσσον ἐννοῶν καὶ τῶν ἀποπνιγομένων τὰ διάφορα γένη; Ἱκανὸν μὲν οὖν **** καὶ τὴν πόλιν μίαν ἢ οἰκίαν ἐπικλυσθεῖσαν καλυφθῆναι τοῖς κύμασιν, ἐκπλῆξαι τὴν ψυχήν. Τὸ δὲ τὴν οἰκουμένην ἅπασαν τοῦτο παθεῖν, οὐδὲ ἔστιν εἰπεῖν, πῶς ***** διέθηκε τὸν ἐν μέσῳ περιφερόμενον τῷ κλυδωνίῳ».

(11) Τὸν μὲν οὖν ἐνιαυτὸν ἐκεῖνον τοσούτῳ συνείχετο δέει. Ἐπειδὴ δέ ποτε ὁ κατακλυσμὸς ἐπαύσατο, ὁ μὲν φόβος ἐνεδίδου λοιπὸν, ἐπετείνατο δὲ τὰ τῆς ἀθυμίας αὐτῷ σφόδρα. Καὶ τὸ προφητικὸν ἔπασχεν, ὃ περὶ τῆς ἡμέρας Κυρίου φησὶν Ἀμώς· » ὃν τρόπον ἐὰν ἐκφύγῃ ἄνθρωπος ἀπὸ προσώπου λέοντος καὶ ἐμπέσῃ αὐτῷ ἄρκτος καὶ

---

* καὶ — 3. Π. οὖν Mon. Aug.? — 5. π. τῶν ἀ. πρ. αὐτῷ, μ. μὲν οὖν Θ. Chr. I. 186. A. — 6. ἐν. ὁ. οὗτος δ. ὡ. ξ. καὶ φ. Chr. — 8. πλ. ἀφῶ τῶν Chr. — 9. συνέζησεν Chr. ἔζη Par. — 11. γὰρ om. Chr. — ** ὁ δὲ Chr. Par. — *** μόνος Chr. Par. — 14. αὐτοῦ om. Chr. — θαρρῶν Par. — 14. γεν. Par. — προαποτεθνήκει Chr. προαποτεθνήσκει Mon. Aug.? — 15. οἰκείας Mon. Aug.? — 17. τί οὖν ἂν Mon. Aug.? — 18. ἐκ. ἐπ. μόνος ἔνδον ὢν Chr. — 19. ἀποπνιγέντων Chr. — **** ἐκπλῆξαι ψυχήν Chr. — 20. ἢ καὶ οἰκίαν μόνην Chr. — 21. Καὶ τὸ Chr. — ***** ἂν Chr. — 26. σφ. — ὅφις om. Chr. — 28. ἐκ πρ. τοῦ λ. — ἀ. ἡ ἄρκτος καὶ εἰσπηδήσῃ εἰς τὸν οἶκον — ἀπερείσηται — ἐπὶ Amos V. 19.

εἰσελθοι εἰς τὴν οἰκίαν αὐτοῦ καὶ ἀπερείσῃ τὰς χεῖρας αὐτοῦ εἰς τὸν τοῖχον, καὶ δακῇ αὐτὸν ὄφις».] Καὶ γὰρ τῆς κιβωτοῦ προκύψαντα [καὶ τῆς δυσώδους καὶ ἐστενοχωρημένης εἱρκτῆς ἀπαλλαγέντα] χειμὼν ἕτερος διεδέχετο τοῦ προτέρου οὐχ ἧττων ὁρῶντα τὴν πολλὴν ἐρημίαν*, τὸν βίαιον θάνατον ἐκεῖνον καὶ τῶν ἀναιρεθέντων τὰ σώματα τῇ ἰλύϊ πεφυρμένα καὶ τῷ πηλῷ καὶ πάντας ὁμοῦ ἀνθρώπους τε καὶ ὄνους καὶ τὰ τούτων ἀτιμότερα γένη μιᾷ τῇ ἐλεεινοτάτῃ ταφῇ κατασχέντας, μᾶλλον δὲ εἰπεῖν καταχωσθέντας. Εἰ γὰρ καὶ σφόδρα ὑπῆρχον ἁμαρτωλοὶ οἱ ταῦτα πεπονθότες, ἀλλ' ὅμως ἄνθρωπος ὁ Νῶε καὶ ἔπασχέ τι πρὸς τὸ ὁμόφυλον» «ἐπὶ μὲν τοῦ κατακλυσμοῦ τῷ πλήθει τῶν ὑδάτων συνεχόμενος τῇ μονώσει καὶ τῇ πρὸς τὸ ὁμόφυλον συμπαθείᾳ, τὸ ἄπειρον τῶν ἀπολωλότων, τῷ τρόπῳ τῆς τελευτῆς, τῇ τῆς γῆς ἐρημίᾳ».—«Πρὸ δὲ τούτων κακίας ἀβύσσῳ πάντοθεν συνείχετο, καὶ τῶν κυμάτων αὐτῷ σφοδροτέρων αἱ τῶν πονηρῶν ἀνθρώπων ἐπιβουλαὶ προερρήγνυντο. Μόνος γὰρ εἰς τοσοῦτον πλῆθος ἀπολειφθεὶς μοχθηρῶν ἀνθρώπων καὶ μιαρῶν,** πολὺν τὸν γέλωτα, πολλὰ σκώμματα [καὶ τὰς χλευασίας] ἔφερεν ὁ δίκαιος, μάλιστα ὅτε περὶ τῆς κιβωτοῦ καὶ τῆς μελλούσης αὐτοῖς διελέγετο συμφορᾶς» καὶ πανωλεθρίας, ἐν ἔτεσιν ϙ τῆς κιβωτοῦ τεκταινομένης καὶ αὐτοῦ διαῤῥήδην καθ' ἑκάστην ἡμέραν βοῶντος, οὐδεὶς ἐπίστευεν.

II. ΠΕΡΙ ΤΗΣ ΟΙΚΟΔΟΜΗΣ ΤΟΥ ΠΥΡΓΟΥ.

3444 (2244) Σὴμ δὲ μετὰ δύο ἔτη τοῦ κατακλυσμοῦ γενόμενος ἐτῶν ρϐ ἐγέννησε τὸν Ἀρφαξὰδ καὶ μετὰ τοῦτο ἔζησεν ἔτη ϕ, καὶ ἀπέ-
3309 (2379) θανε, ζήσας τὰ πάντα ἔτη χϐ. (2) Ἀρφαξὰδ δὲ γενόμενος ἐτῶν ρλϐ ἐγέννησε τὸν Καϊνᾶν, καὶ μετὰ τοῦτο ἔζησεν ἔτη υ καὶ ἀπέ-

2. γὰρ om. Chr. — 3. καὶ — ἀπ. om. Chr. — * καὶ Chr. — 8. καταχωσθέντα τ. Chr. — 9. Οἱ γὰρ Mon.? Aug.? — 11. Ἐπὶ δὲ τοῦ Νῶε — τοσούτοις συνεχομένῳ κακοῖς, τῇ μ. τῇ π. τὸ ὁ. σ. τῷ πλήθει τῶν Chr. — 14. τούτου Chr. — 15. αὐτῶν σφοδρότερον Chr. — 16. ἀποληφθεὶς Mon. Aug.? — ἀνδρῶν παρανόμων Chr. — ** εἰ καὶ μηδὲν ἔπασχεν δεινόν, ἀλλ' ὅμως Chr. — 18. ἐφ. εἰ καὶ μὴ πρότερον ἀλλ' ὅτε Chr. — 19. τῶν μελλουσῶν ἀ. δ. συμφορῶν Chr. — 23. Ἐν δὲ τῷ β' ἔτει μ. τὸν κ. Σὴμ γ. ρ' ἐ. ἐγ. τὸν Καινᾶν Leo. — 25. ρλε' Gen. XI. 12.

θανε ζήσας τὰ πάντα ἔτη φλβ. (3) Καϊνᾶν δὲ γενόμενος ἐτῶν 3179 (2309)
ρλ ἐγέννησε τὸν Σαλά, καὶ μετὰ τοῦτο ἔζησεν ἔτη τλ καὶ ἀπέ-
θανε, ζήσας τὰ πάντα ἔτη υξ. Τὸν δὲ Σαλὰ ὁ πατὴρ αὐξηθέν-
τα γράμματα ἐξεπαίδευσεν. Καὶ δήποτε ὁ Σαλὰ* πορευ-
θεὶς ἀποικίαν κατασκέψασθαι, ἐλθὼν κατὰ τὴν γῆν Χαλ-
δαίων, γράμματα ἐπί τινων** διακεχαραγμένα πετρῶν, τὰ
δὴ ἦν ἄρα τῶν ἐγρηγόρων παράδοσις· ταῦτα δὲ ἐκγραψά-
μενος ὁ Σαλά, αὐτός τε ἐν αὐτοῖς ἐξημάρτανε, καὶ τοῖς
ἄλλοις τὴν αὐτὴν ἀτοπίαν ἐξεπαίδευσεν. (4) Σαλὰ δὲ γενό- 3049 (2509?)
μενος ἐτῶν ρλ ἐγέννησε τὸν Ἔβερ, καὶ μετὰ τοῦτο ἔζησεν ἔτη
υλ καὶ ἀπέθανε, ζήσας τὰ πάντα ἔτη φξ. (5) Ἔβερ δὲ γενόμενος 2915 (2643)
ἐτῶν ρλδ, ἐγέννησε τὸν Ἰεκτὰν καὶ τὸν Φαλέκ. Ἐπὶ τοῦ Ἔβερ
πάλιν οἱ ἄνθρωποι εἰς ἄπειρον πληθυνθέντες καὶ εἰς ἄκρον
πονηρίας ἐλάσαντες πύργον ἐννοοῦσι κατασκευάσαι οὐρα-
νομήκη, πρὸς ἀποφυγὴν τοῦ κατακλυσμοῦ, ὡς τοῦ θεοῦ ἐπι-
βουλεύοντος αὐτοῖς. Ἦσαν δὲ πάντες μία φωνή. Νεβρὼδ γὰρ
ὁ γίγας, Χουσὲ τοῦ Αἰθίοπος υἱὸς, προσέτασσε, καὶ εἰς βρῶσιν
ἀγρεύων ἐχωρήγει ζῶα. Ὁ δὲ Ἔβερ, ὁ τοῦ Σαλὰ υἱὸς, ἐπεί-
γειν ἐνεκειρίστο τὴν οἰκοδομὴν τοῦ πύργου καὶ τῆς Βαβυ-
λῶνος, ὅ ἐστι σύγχυσις· ὧν τὸ ἔργον*** κατέρριπτο, ματαίαν τὴν
ἀνάβασιν ἐπικειρηκότων. Οἵ γε καὶ τὴν κατασκευὴν τῆς κι-
βωτοῦ σαφῶς εἰδότες, πρῶτοι ναῦς ποιεῖν ἐν τοῖς ὕδασι καὶ πλέειν
ἐπενοήσαντο. Τῶν δὲ πάντων ἐπὶ τὴν τοῦ πύργου καὶ τῆς πόλεως
ὁρμησάντων οἰκοδομὴν, ἀρχηγοὺς εἶχον οβ. Μόνος δὲ ὁ Ἔβερ οὐ
συνέθετο τῇ τούτων ἀλογίστῳ ἐργασίᾳ, Διὸ καὶ πάντων αἱ γλῶσσαι
συνεχύθησαν, τῶν συντεθειμένων εἰς οβ γλώσσας διαιρεθέντων κα-
τὰ τὸν ἀριθμὸν τῶν ἀρχόντων αὐτῶν. Καὶ εἰς ἀλληλογλωσσίαν

---

1. φλκ' Mon. Aug.? — 2. ρϑ' — τξζ' Mon. Aug.? — 4. γράμμασι Leo. — * ἑαυτῷ Leo. — ** εὑρίσκει Leo. — 7. αἱ παραδόσεις· τὰ δὲ Leo. — ἐγγρ. Mon. Aug.? — 8. αὐτὸς δὲ Mon. — 9. ἀτ. om. Mon. — 11. υγ' φγ' Mon. Aug.? — 12. λδ' Mon. — 13. πληθύνονται ἀριθμὸν Leo. — 14. αὐξηθέντες π. Leo. — 15. ἀπ. τῶν ἐπομβρίων ὑδάτων Leo.—16. φ. δὲ αὐτοῖς πᾶσιν ἐνυπῆρχε μ. N. δὲ αὐτοῖς ὁ γ. Χουσὲ Leo, Ἰχουσὲ Mon. Χοὺς Aug. — 19. ἐκειρίστο Leo. Εἶτα π. ἕως τοῦ οὖνου οἰκοδομεῖν ἐσενόουν καὶ περὶ αὐτὸν πόλιν τὴν Βαβυλῶνα, ὅ Par. — *** ἀτελὲς Par. — 20. μ. ἀν. Par. — 21. κατὰ τὴν Mon. Aug.? — 22. πρῶτα Par. — ναὼς Mon. Aug.? — 23. ἐπενοήσαν Par. — 24. ἐχόντων οβ', μ. Ἔ. Par. φασὶ δὲ μόνον τὸν Ἔ.

ὑπὸ τοῦ πνεύματος καὶ τῆς δικαίας ὀργῆς ἐλαυνομένων καὶ διασπασθέντων, τούτῳ μόνῳ θεὸς οὐκ ἐστήρησε τὴν ἀρχαίαν φωνήν. Ὅθεν οἱ ἀπομείναντες ἐν τῇ προτέρᾳ γλώσσῃ, Ἑβραῖς αὐτὴν ἐπωνόμασαν κατὰ τὴν τοῦ κρατήσαντος αὐτὴν ἐπωνυμίαν, Ἔβερ εἰς τὸ γένος τῶν Ἑβραίων, οἵτινες πατρωνυμικῶς καὶ φερωνύμως Ἑβραῖοι καλοῦνται.

III. ΟΤΙ ΟΠΟΙΑ ΗΝ Η Α' ΓΛΩΣΣΑ.

Ὅτι τῇ τῶν Ἑβραίων γλώσσῃ ἐχρῶντο οἱ ἀπὸ τοῦ Ἀδάμ, δῆλον μὲν, καὶ ἀπὸ τούτου καὶ τοὺς ἀμφὶ τὸν Ἀβραὰμ καὶ τὸν Νῶε καταγομένους καὶ χρωμένους· δῆλον δὲ καὶ ἀπὸ τοῦ *, τὸν δεύτερον Ἀδὰμ τὸν Χριστὸν τῇ τῶν Ἑβραίων φωνῇ κατὰ τὸν πρῶτον πάντως Ἀδὰμ χρώμενον, ὡς τὸ «ἐφφαθὰ», καὶ «ταλιθὰ κοῦμι» καὶ «λιμὰ σαβαχθανὶ» καὶ τὰ ὅμοια. Καὶ μέν τοι πρὸς τούτοις καὶ τὰ τῶν παλαιῶν ὀνόματα ἐναργὲς τεκμήριον τοῦ ταύτην εἶναι φωνὴν τὴν πρὸ τῆς συγχύσεως. Ἐφ' ὧν γὰρ κατ' οὐδεμίαν ἐστὶ γλῶσσαν τὸ σημαινόμενον ἐπιλύσασθαι, καὶ ταύτῃ τὸ ζητούμενον ἑρμηνεύεται. Οἷον τοῦ Ἀδὰμ καὶ τῶν λοιπῶν αἱ προσηγορίαι, δι' ἑτέρας οὐδεμιᾶς ἑρμηνεύεται, εἰ μὴ διὰ τῆς Ἑβραϊκῆς καὶ μόνης. Εἰ δέ τινες ἀμαθῶς ἀντιλέγουσιν, οὐ τὴν Ἑβραϊκὴν, ἀλλὰ τὴν Συριακὴν πρώτην εἶναι γλῶσσαν, ἀκουέτωσαν τῆς ἑρμηνείας τοῦ σοφωτάτου καὶ πολυμαθοῦς Ὠριγένους εἰς τὴν ἱστορίαν τοῦ Ἰὼβ «ἡ, φησὶν, οὕτως ἑρμηνεύεται ἐκ τῆς Συριακῆς βίβλου» καὶ ἑξῆς, Συριακὴν εἶπεν τὴν Ἑβραϊκὴν διάλεκτον, ἐπειδὴ γὰρ Συρίαν τὴν Ἰουδαίαν καὶ Σύρους οἱ παλαιοὶ τοὺς Παλαιστινοὺς ὠνόμαζον. (2) Ὁ μὲν οὖν πύργος ᾠκοδομήθη ἐν ἔτεσι τεσσαράκοντα, ἔμεινεν ἡμιτελὴς μετὰ τὴν σύγχυσιν. Ὁ δέ γε θεὸς ἀνέμῳ βιαίῳ τοῦτον ἀνατρέπει, καί ἐστιν ἀναμέσον Ἀσσοὺρ καὶ Βαβυλῶνος εἰσ-

διατερηρηκέναι τὴν ἀ. φ. Leo. — 3. Ἑβραΐδα δὲ τὴν φωνὴν ἐκάλεσαν Leo, Ἑβαῖς Ἑβαίων Mon et Aug. — * τοὺς Aug. Mon. — 10. πάντων Aug. Cod. — 13. τεκμήρια Mon. Quod ostendit ipsa Scriptura Job dicens: Hoc interpretatus est ex Syrorum libro (Anonymus II. 851). — 22. εἰπὼν Aug. — 24. ἐφ' ὅλα μγ' οἰκοδομηθεὶς ἔτη ὑπὸ τῆς κατὰ τὴν σύγχυσιν διαφωνίας ἐ. ἡ. Leo. — 25. Ὑστέρωθι δὲ ὁ θς ἀ. τὸν πύργον ὅλον ἀν. Leo. 25.

ἔτι φυλασσόμενα τὰ ἴχνη αὐτοῦ. (3) Φαλὲκ δὲ γενόμενος 2785
ἐτῶν ρλ ἐγέννησε τὸν Ῥαγαῦ, καὶ μετὰ τοῦτο ἔζησεν ἔτη σϑ (2778)
καὶ ἀπέϑανε, ζήσας τὰ πάντα ἔτη τλϑ. (4) Γίνονται οὖν ἀπὸ τοῦ 2994
Ἀδὰμ ἕως τοῦ κατακλυσμοῦ ἔτη βσμβ, καὶ ἀπὸ τοῦ κατακλυσμοῦ (2982)
ἕως τῆς συγχύσεως τῆς πυργοποΐας καὶ τῆς τελευτῆς Φαλὲκ, ὅ ἐστι μερισμός, ἔτη ωξη, καὶ γίνεται διαμερισμὸς ἤτοι διασπορὰ τῶν υἱῶν Νῶε καὶ τῶν ἐξ αὐτῶν γεννηϑέντων. Διὸ καὶ μέροπες ἐκλήϑησαν ἀπό τε τῆς μεμερισμένης φωνῆς, ἀπό τε τοῦ μερισμοῦ τῆς γῆς. (5) Ὁ μέν τοι Σὴμ ἐγέννησε τὸν Ἐλὰμ καὶ τὸν Ἀσσὺρ καὶ τὸν Ἀρφαξὰδ καὶ τὸν Λουδί· ὁ δὲ Χὰμ τὸν Χοῦς καὶ τὸν Μεσρὲμ καὶ τὸν Χαναάν· ὁ δὲ Ἰάφεϑ τὸν Χάμερ, τὸν Μαγὼγ καὶ τὸν Θήραν καὶ τὸν Ἰωυνίαν καὶ τὸν Ἐλισσὰν καὶ τὸν Θόβελ καὶ τὸν Μοσὸχ καὶ τὸν Μαδαί, ἀφ᾽ οὗ Μῆδοι γενόμενοι καὶ τῶν Βαβυλωνίων κρατήσαντες, ἡ χώρα Μηδία προσηγορεύϑη κυρίως καὶ φερωνύμως. (6) Μετὰ γοῦν τὴν σύγχυσιν καὶ τὴν τοῦ πύργου διάλυσιν μεταστέλλονται οἱ γ υἱοὶ τοῦ Νῶε πάντας τοὺς ἐξ αὐτῶν γενομένους, καὶ διδοάσιν αὐτοῖς ἔγγραφον τῶν τόπων τὴν κατανέμησιν, ὅπερ ἐκ τοῦ πατρὸς Νῶε παρειλήφασι, καὶ λαγχάνουσιν ἑκάστῳ καὶ ταῖς ἑκάστου φυλαῖς καὶ πατριαῖς τόπον καὶ κλίματα καὶ χώρας καὶ νήσους καὶ ποταμοὺς κατὰ τὴν ὑποκειμένην ἔκϑεσιν.

IV. ΠΕΡΙ ΤΟΥ ΤΗΣ ΓΗΣ ΔΙΑΜΕΡΙΣΜΟΥ.

Καὶ κατακληροῦται τῷ μὲν πρωτοτόκῳ υἱῷ Νῶε Σὴμ ἀπὸ Περσίδος καὶ Βάκτρων ἕως Ἰνδικῆς καὶ Ῥινοκουρούρων τὰ πρὸς ἀνατολήν· τῷ δὲ Χὰμ ἀπὸ Ῥινοκουρούρων ἕως Γαδείρων τὰ πρὸς νῶτον· τῷ δὲ Ἰάφεϑ ἀπὸ Μηδίας ἕως Γαδείρων τὰ πρὸς βορρᾶν. (2) Αἱ δὲ λαχοῦσαι χῶραι τῷ μὲν Σὴμ εἰσὶν αὗται· Περσὶς, Βακτριανὴ, Ὑρκανία, Βαβυλωνία, Κόρδυνα, Ἀσσυρία, Μεσοποταμία, Ἀραβία ἡ ἀρχαία,

4. βσξβ΄ Mon. Aug?. — 6. ψμ΄ Eus. φλσ΄ Mon. Aug; ἀπὸ Ἀ. ἐπὶ τὴν τοῦ Φ. τελευτὴν ἔτη ,γ Leo. — 10. Λοὸδ Aug. om. Par. — 11. Γάμερ καὶ Par. — 12. Ἰωΐαν Par. — 13. ὥνπερ Par. — Καὶ τυγχ. Par. — 20. τόποι — χῶραι καὶ νῆσοι καὶ ποταμοὶ Leo et Par. — 23. υἱῶν Par. e Iota subscr. — 29. Κ. δύνῃ Leo.

Ἐλυμαῖς, Ἰνδική, Ἀραβία ἡ εὐδαίμων, Κοιλησυρία, Κομμαγήνη καὶ Φοινίκη πᾶσα καὶ ποταμὸς Εὐφράτης.

(3) Τῷ δὲ Χὰμ Αἴγυπτος, Αἰθιοπία ἡ βλέπουσα κατ' Ἰνδούς, ἑτέρα Αἰθιοπία, ὅθεν ἐκπορεύεται ὁ ποταμὸς τῶν Αἰθιόπων, Ἐρυθρὰ* βλέπουσα κατὰ ἀνατολάς, Θηβαΐς, Λιβύη ἡ παρεκτείνουσα μέχρι Κυρήνης, Μαρμαρίς, Σύρτις, Λιβύη** ἄλλη, Νουμιδία, Μασσυρίς, Μαυριτανία ἡ κατέναντι Γαδείρων. Ἐν δὲ τοῖς κατὰ βορρᾶν τὰ παραθαλάσσια ἔχει, Κιλικίαν, Παμφυλίαν, Πισσιδίαν, Μυσίαν, Λυκαονιάν, Φρυγίαν, Καβαλίαν, Λυκίαν, Καρίαν, Λυδίαν***, Βιθυνίαν, τὴν ἀρχαίαν Φρυγίαν· καὶ νήσους πάλιν ἔχει, Σαρδινίαν, Κρήτην, Κύπρον καὶ ποταμὸν τὸν καὶ Νεῖλον καλούμενον.

(4) Τῷ δὲ Ἰάφεθ Μηδία, Ἀλβανία****, Ἀρμενία μικρὰ***** καὶ μεγάλη, Καππαδοκία, Παφλαγονία, Γαλατία, Κολχίς, Βόσπορος, Μαιῶτις, Δερβίς, Σαρματίς, Ταυριανίς******, Μολοσσή, Θεσσαλία, Λοκρίς, Βοιωτία, Αἰτωλία, Ἀττική, Ἀχαΐα, Πελλήνη, ἡ καλουμένη Πελοπόννησος, Ἀρκαδία, Ἠπειρῶτις, Ἰλλυρίς, Λυχνῖτις, Ἀδριακή, ἐξ ἧς******* τὸ Ἀδριακὸν πέλαγος. Ἔχει******** καὶ νήσους, Βρεταννίαν, Σικελίαν, Εὔβοιαν, Ῥόδον, Χῖον, Λέσβον, Κυθήρην, Ζάκυνθον, Κεφαλληνίαν, Ἰθάκην, Κόρκυραν, καὶ μέρος τι τῆς Ἀσίας, τὴν καλουμένην Ἰωνίαν, καὶ ποταμὸν Τίγριν, τὸν διορίζοντα μεταξὺ Μηδίας καὶ Βαβυλωνίας. (5) Τούτων οὖν κληροδοτηθέντων, ὁ τοῦ Χὰμ υἱὸς Χαναὰν ἰδὼν τὴν πρὸς τῷ Λιβάνῳ γῆν, ὅτι ἀγαθή τε καὶ εὔφορος καὶ κατὰ πολὺ

---

4. Ἀ. ἑτ. Par. — * ἡ Leo et Par., θάλασσα? — ** ἡ Par., Α. ἡ ἀπὸ ποταμέως παρεκτείνουσα μέχρις ἄκρας Σύρτεως, Νουμ. Μ. Μ. ἡ παρεκτείνουσα μέχρις Ἡρακλεωτικῶν στηλῶν κ. Γ. Ἔχει δὲ ἐν τοῖς κατέναντι β. Leo. — 8. ταῖς Mon. Aug. — παρὰ θάλασσαν Leo, Par. — 10. Φ. καὶ Μαλίαν Aug. Mon.? — *** Μυσίαν ἄλλην, Τρωάδα, Αἰωλίδα Leo. Par. — 12. π. Γηὼν τὸν κ. Ν. Leo. Par.— **** Ἀμαζονὶς Leo. — ἡ μ. Par. — ***** τε Leo. — 16. Βοσπόρη Leo, Par. — Δέρβη Aug. Mon. — ****** Βαστάρνις, Σκυθία, Θρᾳκία, Μακεδονία Leo, Par.—17. Μολοσσοὶ Par. Μολοσσὶς Leo. — 12. Πελληνὶς δὲ καὶ Π. Par. — ******* καὶ Par. — ******** δὲ Leo, Par. — 23. ἡ καλουμένη Ἰωνία Leo, τῆς καλουμένης Ἰωνίας Aug. Mon? — 24. Βαβυλῶνος Leo, Par. — T. οὕτω κληρωθέντων Par. — 26. τέ ἐστι Par. Leo.

τῆς ἑαυτοῦ διαλλάττουσα γῆς, τυραννικῶς καθήρπασεν αὐτὴν καὶ τοὺς ἐκ τοῦ Σὴμ κληρονόμους ἐξήλασεν, καὶ οὕτω πᾶσα ἡ γῆ τῆς ἐπαγγελίας τοῦ Χαναὰν προσαγορεύεται. Κἀντεῦθεν τοίνυν ὁ δίκαιος κριτὴς μετὰ ταῦτα τοῖς ἐκ τοῦ Σὴμ υἱοῖς· ἐκδωκεν αὐτὴν διὰ Ἰησοῦ τοῦ Ναυὴ, καθὼς καὶ τῷ Ἀβραὰμ προεπηγγείλατο. Δίκαιος γὰς ὁ Κύριος καὶ δικαιοσύνας ἠγάπησεν.

(6) Ῥαγαῦ δὲ γενόμενος ἐτῶν ρλβ ἐγέννησε τὸν Σερούχ, καὶ μετὰ τοῦτο ἔζησεν ἔτη σζ καὶ ἀπέθανε, ζήσας τὰ πάντα ἔτη τλθ. (7) Σερούχ δὲ γενόμενος ἐτῶν ρλ, ἐγέννησε τὸν Ναχώρ, καὶ μετὰ τοῦτο ἔζησε ἔτη σ καὶ ἀπέθανε, ζήσας τὰ πάντα ἔτη τλ, ὃς πρῶτος ἤρξατο τοῦ Ἑλληνικοῦ δόγματος διὰ τοὺς πάλαι γενομένους πολεμιστὰς καὶ ἡγεμόνας καὶ πράξαντάς τι ἀνδρεῖον, ἀρετῆς καὶ μνήμης ἄξιον, οὓς καὶ ἀνδριάσι στηλῶν ἐτίμησαν, ὡς ἀγαθόν τι πεπραχότας. Οἱ δὲ μετὰ ταῦτα ἄνθρωποι ἀγνοοῦντες τὴν τῶν προγόνων γνώμην, ὅτι ὡς προπάτορας καὶ ἀγαθῶν πραγμάτων ἐπινοητὰς ἐτίμησαν μνήμης μόνον χάριν, οὗτοι ὡς θεοὺς ἐτίμησαν καὶ ἔθυον αὐτοῖς, καὶ οὐχ ὡς ἀνθρώπους θνητοὺς γεγενημένους· ὧν τὴν ἀσέβειαν Σολομὼν στηλιτεύει, φάσκων· » τὸν πρὸ ὀλίγου τιμηθέντα ἄνθρωπον νῦν εἰς σέβασμα ἐλογίσαντο. (8) Σαφέστερον δὲ καὶ διεξοδικώτερον τὴν παράνοιαν τούτων καὶ ἀθεΐαν ἐλέγχων ὁ μέγας Ἀθανάσιος τοιάδε φησί.» Σαθρᾶς τοίνυν τῆς τοιαύτης αὐτῶν διανοίας φαινομένης, ἀνάγκη τὴν ἀληθεστέραν διαλάμπειν τῆς ἐκκλησιαστικῆς διαγνώσεως. Οὔτε γὰρ τὸ κακὸν παρὰ θεοῦ, οὔτε ἐν τῷ θεῷ· οὔτε μὴ οὐσία τις ἔστιν, ἀλλ' ἄνθρωποι ** κατὰ στέρησιν τῆς τοῦ καλοῦ φαντασίας *** ἐπινοεῖν ἤρξαντο, καὶ ἅμα πράττειν τὰ οὐκ ὄντα καὶ ἅπερ ἐβούλοντο. Ὥσπερ γὰρ ἄν τις, ἡλίου φαίνοντος ****, καμμύων τοὺς ὀφθαλμοὺς σκότος ***** ἐπινοεῖ, καὶ λοιπὸν ****** ἐν σκότει πλανώμενος καὶ περιπατῶν προσ-

2653 (2905)

2523 (2335)

1. διαλλαττούσης Mon. Aug?—3. πᾶσα γῆ Par.—προσηγορεύθη Leo, προσηγόρευτο. Καντ. ὁ δ. κρ. τοῖς Par. — ' Ἑβραὶμ Par. — 9. Σ. γ. Par. Leo. — 12. π. ἡ ἡγ. ἢ πρ. Par. ἢ π. ἢ ἡγ. καί τι πρ. Ced. 81,15—τι ἀγαθὸν καὶ μν. Par.—13. ἐτίμησεν Par. — 13. πρόπατρας Mon. Aug.? — 19. νῦν c. Sap. XIV. 20.—21. Oratio c. gentes I. A δ. ἔτι τὸ κ. οὐ π. θῦ οὐδὲ ἐν θεῷ οὔτε ἐξ ἀρχῆς γέγονεν, ὁ. ὁ. τις ἐ. αὐτοῦ Ath. — * τὴν Mon. Aug.? — 25. στ. τοῦ κ. Mon. Aug. — ** ἑαυτοῖς Ath. — 26. καὶ ἀναπλάττειν—βούλονται. Ὡς γὰρ Ath.—27. ἡ τοῦ Mon. Aug.? τοῦ ἡ.? — *** καὶ πάσης τῆς γῆς τῷ φωτὶ τούτου καταλαμπομένης Ath.—**** ἑαυτῷ Ath.—ἐπινοῇ Ath. — ***** ὡς Ath.

κόπτει, πολλάκις κατὰ μικρὸν ὑπάγει, νομίζων, μὴ εἶναι σκότος, ἀλλὰ φῶς, οὕτω καὶ ἡ ψυχὴ τῶν ἀνθρώπων καμμύουσα τὸν νοητὸν ὀφθαλμὸν, δι' οὗ τὸν θεὸν ὁρᾶν δύναται, ἑαυτῇ τὰ κακὰ ἐπενόησε.» «Γέγονε μὲν γὰρ εἰς τὸ ὁρᾶν τὸν θεὸν καὶ ὑπ' αὐτοῦ φωτίζεσθαι· αὐτὴ δὲ ἀντὶ τοῦ ἀφθάρτου θεοῦ φθαρτὰ τὰ τοῦ σκότους ἔργα ἐπεζήτησε, καθὼς γέγραπται, ὅτι· «ὁ θεὸς ἐποίησε τὸν ἄνθρωπον εὐθῆ. αὐτὸς δὲ ἐπεζήτησε λογισμοὺς πολλούς.» (9) Ἐπεὶ οὖν ὥσπερ μανέντες οἱ ἄνθρωποι τὴν οὐκ οὖσαν κακίαν ἐπενόησαν, οὕτω καὶ τοὺς οὐκ ὄντας θεοὺς ἑαυτοῖς ἀνεπλάσαντο. Ὡς γὰρ πάλιν εἴ τις εἰς βυθὸν καταδὺς μηκέτι μὲν βλέπει τὸ φῶς μήτε τὰ ἐν τῷ φωτὶ φαινόμενα, διὰ τὸ τῶν ὀφθαλμῶν αὐτοῦ πρὸς τὸ κάτω νεῦμα καὶ τὴν τοῦ ὕδατος ἐπίχυσιν, μόνα δὲ τὰ ἐν τῷ βυθῷ αἰσθόμενος νομίζει, μηδὲν εἶναι πλέον ἐκείνων· οὕτω δὴ καὶ οἱ πάλαι τῶν ἀνθρώπων καταδύντες εἰς τὰς τῆς σαρκὸς ἐπιθυμίας καὶ φαντασίας, κἀντεῦθεν ἐπιλαθόμενοι τῆς τοῦ θεοῦ ἐννοίας τε καὶ δόξης, τὰ φαινόμενα θεοὺς ἀνετυπώσαντο, λατρεύοντες τῇ κτίσει παρὰ τὸν κτίσαντα. Καὶ ὥσπερ κατὰ τὸ λεχθὲν παράδειγμα οἱ εἰς βυθὸν καταδυόμενοι, ὅσον ἐπικαταβαίνουσι, τοσούτῳ μᾶλλον τὰ σκοτεινότερα καὶ βαθύτατα βλέπουσιν, οὕτω καὶτὸ τῶν ἀνθρώπων πέπονθε γένος. Οὐ γὰρ ἁπλῆν ἔσχε τὴν πλάνην καὶ τὴν εἰδωλολατρίαν, οὐδὲ ἀφ' ὧν ἤρξαντο, ἐν τούτοις διέμειναν· ἀλλ' ὅσον τοῖς προτέροις ἐνεχείριζον, τοσοῦτον ἑαυτοῖς καινοτέρας ἐφεύρισκον τὰς δεισιδαιμονίας, μηδὲν ἄκορον τῶν πρώτων κακῶν λαμβάνοντες. (10) Ἐπικαταβαίνοντες γὰρ λοιπὸν ταῖς ἐννοίαις καὶ τοῖς λογισμοῖς οἱ ἄνθρωποι, οὐρανῷ καὶ ἡλίῳ καὶ σελήνῃ καὶ ἄστροις τὴν τοῦ θεοῦ τιμήν τε καὶ δόξαν ἀνέθησαν. Εἶτα πάλιν τοῖς σκοτεινοῖς λογισμοῖς ἐπικαταβαίνοντες, αἰθέρα καὶ ἀέρα καὶ τὰ ἐν τῷ ἀέρι θεοὺς προσηγόρευσαν. Προβαίνοντες δὲ τοῖς κακοῖς ἤδη καὶ τὰ στοιχεῖα καὶ τὰς ἀρχὰς τοῦ σώματος ἡμῶν συστάσεως, τὴν θερμὴν καὶ τὴν ὑγρὰν καὶ τὴν ξηρὰν οὐσίαν, θεοὺς ἀνύμνησαν. (11) Οἱ δέ γε τελειότεροι τὴν ἀσέβειαν καὶ ἀνθρώπους τοὺς μὲν ἔτι

1. περιπατῇ πίπτων καὶ κατὰ κρημνῶν ὑπάγων ν. οὐκ ἐ. φῶς ἀ. σκ. δοκῶν γὰρ βλέπειν, οὐδ' ὅλως ὁρᾷ, οὕτω Ath.—2. καμμύσασα τὸν ὀ. Ath.—5. φθ. καὶ τὸ σκότος ἐζ. Ath.—6. ὥς που τὸ πνεῦμα ἐγγράφως φησίν Ath. Eccl. VII. 29. — 20. ἔσχον? — 31. τελέωτεροι Aug. Mon.?

ζῶντας, τοὺς δὲ καὶ μετὰ θάνατον θεοὺς ἐκάλεσαν. (12) Καὶ οὐ μόνον εἰς ἀνθρώπους καὶ κτήνη καὶ ἑρπετά, χερσαῖά τε καὶ ἔνυδρα, τὴν τοῦ θεοῦ προσηγορίαν μετήγαγον, ἀλλὰ καὶ εἰς τὰ μηδ' ὅλως ὄντα ἢ φαινόμενα τὴν αὐτὴν δυσσέβειαν ἐξωκείλαντες ἐπεδείξαντο· λογικὰ γὰρ ἀλόγοις ἐπιμίξαντες καὶ ἀνόμοια τῇ φύσει ἐνειράντες ὡς θεοὺς ἐδόξασαν. Οἷοί εἰσιν οἱ παρ' Αἰγυπτίοις κυνοκέφαλοι καὶ ὀφιοκέφαλοι [καὶ ὀνοκέφαλοι καὶ ὁ παρὰ Λίβυσι κριοκέφαλος] καὶ παρὰ τοῖς μυθίοις τὰ λεγόμενα πλάσματα, ἡ Σκύλλα καὶ ἡ Χάρυβδις καὶ ἱπποκένταυρος καὶ τραγέλαφος, ἐπιτείνοντες τὴν ἀσέβειαν, καὶ τὴν ἡδονήν τε καὶ ἐπιθυμίαν θεοποιήσαντες, ἣν δὴ καὶ Ἀφροδίτην καλέσαντες προσεκύνησαν. (13) Καὶ μέν τοι καὶ τοὺς παρ' αὐτῶν ἄρχοντας διὰ τιμὴν τῶν ἀρξάντων ἢ διὰ φόβον τῆς αὐτῶν τυραννίδος ὡς θεοὺς ἐτίμησαν· ὥσπερ ὁ ἐν Κρήτῃ Ζεὺς τετίμηται, καὶ ὁ ἐν Ἀρκαδίᾳ Ἑρμῆς, καὶ ὁ ἐν Ἰνδίᾳ Διόνυσος, καὶ ἡ ἐν Αἰγύπτῳ Ἶσις καὶ Ὄσιρις, καὶ ὁ νῦν Ἀδριανοῦ τοῦ Ῥωμαίων βασιλέως παῖς Ἀντίνοος. Ἐπιδημήσας γὰρ [Ἀδριανὸς] ἐν Αἰγύπτῳ καὶ τελευτήσαντα ἰδὼν τὸν τῆς ἡδονῆς ὑπηρέτην Ἀντίνοον, ἐκέλευσε θρησκεύεσθαι τοῦτον, ἅτε δὴ καὶ μετὰ θάνατον ἐρῶν τοῦ παιδός, δι' ὑπερβάλλουσαν ἀσέβειάν τε καὶ οἰστρηλασίαν. Καὶ γὰρ οἱ παρ' Ἕλλησι διαβεβοημένοι θεοί, Ζεύς τε καὶ Ποσειδῶν καὶ Ἀπόλλων καὶ Ἥφαιστος καὶ Ἑρμῆς, καὶ ἐν θηλείαις Ἥρη καὶ Δήμητρα καὶ Ἀθηνᾶ καὶ Ἄρτεμις διαταγαῖς ἐκρίθησαν θεοποιεῖσθαι. (14) Διὸ δὴ ταύτας καὶ εἰδωλομανίας καὶ ἐφευρέσεις ἡ θεία γραφὴ θριαμβεύουσα οὕτω φάσκει· «ἀρχὴ πονηρίας ἐπίνοια εἰδώλων· εὕρεσις δὲ αὐτῶν φθορὰ ζωῆς. Οὔτε γὰρ ἦν ἀπ' ἀρχῆς, οὔτε εἰς τὸν αἰῶνα ἔσται. Κενοδοξίᾳ δὲ ἀνθρώπων εἰσῆλθεν εἰς τὸν κόσμον. Διὰ τοῦτο καὶ σύντομον αὐτῶν ἐπενοήθη τὸ τέλος. Ἀώρῳ γὰρ πένθει τρυχόμενος πατὴρ, τοῦ ταχέως ἀφαιρεθέντος τέκνου εἰκόνα ποιήσας τόν ποτε νεκρὸν ἄνθρωπον νῦν ὡς ζῶντα ἐτίμησε καὶ παρέδωκε τοῖς ὑποχειρίοις μυστήρια καὶ τελετάς· εἶτα χρόνῳ κρατηθὲν τὸ ἀσεβὲς ἔθος ὡς νόμος διεφυλάχθη καὶ

---

6. οἷον Par.—7. om. καὶ ὁ. καὶ ὁ π. Λ. κρ. Par.—8. μύθοις Par.—9. οἱ ἱπποκένταυροι. Ἐπ. Par. — ' δὲ Par. — 10. θ. ἤδη καὶ Par.—15. e Iustino M. Ap. I. 29.—24. τορνείας Sap. XIV. 12.—26. Κ. γὰρ Sap. 14. — 27. Καὶ διὰ τ. τέλος ἐπ. Sap.

τυράννων ἐπιταγαῖς ἐθρησκεύετο τὰ γλυπτά.» «Καὶ τοῦτο γέγονε τῷ βίῳ ὡς ἔνεδρον, ὅτι ἡ συμφορᾷ ἡ τυραννίδι δουλεύσαντες ἄνθρωποι τὸ ἀκοινώνητον ὄνομα λίθοις καὶ ξύλοις περιέθηκαν.» (15) Εἶτα τοίνυν καὶ οἱ τῶν τοιούτων ψευδοθέων κήρυκες καὶ μάντεις ποιηταί τε καὶ συγγραφεῖς οὐχ ἁπλῶς εἶναι θεοὺς μόνον ἔγραψαν, ἀλλὰ μὴν καὶ τὰς πράξεις αὐτῶν πρὸς ἔλεγχόν τε ἀθεότητος καὶ αἰσχροποιοῦ πολιτείας ἀνέγραψαν. Καὶ γὰρ τοὺς ἀκολάστους ἔρωτας καὶ ἀσελγείας τοῦ Διὸς καὶ παιδοφθορίας καὶ τῶν ἄλλων ζηλοτυπίας πρὸς ἡδονὴν τῶν θηλειῶν, καὶ φόβους καὶ δειλίας καὶ τὰς ἄλλας κακίας οὐδέτερον, καὶ ἑαυτοὺς ἐλέγχουσιν, ὡς οὐ μόνον περὶ θεῶν διηγοῦνται, ἀλλ' οὐδὲ περὶ σεμνῶν ἀνθρώπων. Ἐκ μὲν γὰρ Διὸς τὴν παιδοφθορίαν καὶ τὴν μοιχείαν, ἐκ δὲ Ἀφροδίτης τὴν πορνείαν· καὶ ἐκ μὲν Ῥέας τὴν ἀσέλγειαν, ἐκ δὲ Ἄρεως τοὺς φόνους, ἐκ Διονύσου τὴν οἰνοφλυγίαν καὶ ἐξ ἄλλων ἄλλα τοιαῦτά φασι τὴν ἀρχὴν εἰληφέναι. Ἀλλ' οὐκ ἄδηλον τοῖς νοῦν ἔχουσιν, ὅτι παρὰ γνώμην εἰρήκασι τὰ τούτων πάθη καὶ τὰς αἰσχίστας πράξεις*. Ἐπειδὴ γὰρ τὴν τοῦ θεοῦ ἀκοινώνητον προσηγορίαν καὶ τιμὴν τοῖς οὐκ οὖσιν θεοῖς, ἀλλ' ἀνθρώποις θνητοῖς ἐσπούδαζον ἀναθεῖναι, τούτου χάριν καὶ ἄκοντες ὑπὸ τῆς ἀληθείας ἠναγκάσθησαν τὰ τούτων παθήματα πρὸς ἔλεγχον τοῦ μὴ θεοὺς αὐτοὺς εἶναι, ἀλλ' ἐμπαθεῖς ἀνθρώπους. Ἀλλὰ φασὶν οἱ τῇ πλάνῃ δεδουλωμένοι. «Διὰ τοῦτο θεοὺς αὐτοὺς ἡγούμεθα, ὅτι τοῖς ἀνθρώποις χρήσιμοι γεγόνασι. Ζεὺς μὲν γὰρ λέγεται πλαστικὴν τέχνην ἐξευρηκέναι, Ποσειδῶν δὲ κυβερνητικήν, Ἥφαιστος μὲν τὴν χαλκευτικήν, Ἀσκλήπιος δὲ τὴν ἰατρικὴν καὶ Ἀπόλλων τὴν μουσικὴν καὶ Ἀθηνᾶ μὲν τὴν ὑφαντικήν, Ἄρτεμις δὲ τὴν κυνηγετικὴν καὶ Ἥρα μὲν στολισμόν, Δημήτηρ δὲ γεωργίαν καὶ ἄλλοι ἄλλας.» (15) Οὐκοῦν εἰ διὰ τὰς τῶν τεχνῶν εὑρέσεις θεοὺς αὐτοὺς ἄξιον ἀναγορεύεσθαι, δέον καὶ τοὺς

---

1. ἐγένετο τῷ βίῳ εἰς ἐν. Sap. XIV. 21. — 13. καὶ μὲν Ῥ. — καὶ ἐξ Ἀ. — καὶ ἐκ Δ. Par. — 15. ἄδηλος Par. — * προσκυνῆσαι διὰ τὸν πλοῦτον τῆς ἀσεβείας· καὶ τὸ μὲν ὕδωρ τοῦ Νείλου ἐσέβοντο ὡς τὴν χώραν αὐτῶν ἀρδεῦον, τὸν δὲ βοῦν ἐθεποιοῦντο ὡς τὴν γεωργίαν ἐπιτελοῦντα καὶ τὴν τροφὴν πορίζοντα, τὸν δὲ τράγον καὶ τὰ πρόβατα διὰ τὴν ἐξ αὐτῶν χρῆσιν κτλ. Par. — κυβερ. Hucusque e codd. Mon. et Aug. cum Par. 1705 collatis. Quae sequuntur sunt e codice Mosquensi, qui incipit νιτικὴν, Ἥφ. κτλ. cf. Glycam 244, 22—245,21.

τῶν ἄλλων τεχνῶν εὑρετὰς οὕτως ὀνομάζεσθαι; γραμμάτα μὲν γὰρ Φοίνικες εὗρον, ποίησιν δὲ ἡρωϊκὴν Ὅμηρος, καὶ διαλεκτικὴν μὲν Ζήνων ὁ Ἐλεάτης, ῥητορικὴν δὲ Κόραξ ὁ Συρακούσιος, καὶ μελισσῶν μὲν καρπὸν ὁ Ἀριστοτέλης, σίτου δὲ σπόρον καὶ κριθῆς Τριπτόλεμος, καὶ νόμους μὲν Λυκοῦργος ὁ Σπαρτιάτης καὶ Σόλων ὁ Ἀθηναῖος, τῶν δὲ γραμμάτων τὴν σύνταξιν καὶ ἀριθμὸν καὶ μέτρα καὶ σταθμία Παλαμήδης ἐφεῦρεν, καὶ ἄλλοι ἄλλα καὶ διάφορα τῷ βίῳ τῶν ἀνθρώπων ἐπήγγειλαν χρήσιμα κατὰ τὴν τῶν ἱστορησάντων μαρτυρίαν. (16) Ἀλλ' εὔδηλος ἡ τούτων παράνοια, ὅτι περ οὐ μόνον ἀνθρώποις φθαρτοῖς προσῆψαν τὴν τοῦ θεοῦ τιμὴν καὶ δόξαν, ἀλλὰ καὶ πετεινοῖς καὶ τετραπόδοις καὶ ἑρπετοῖς καὶ τὴν ποικιλίαν τῶν παθῶν αὐτῶν καὶ μανιώδη λύσσαν. (17) Περὶ ὧν φησὶν ὁ ἀπόστολος· » ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία· φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν καὶ ἠλλάξαντο τὴν δόξαν τοῦ ἀφθάρτου ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν· διὸ καὶ παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς πάθος ἀτιμίας». (18) Καὶ ὅλως τῶν ἐν εἰδώλοις μανέντων πάντων διάφορός ἐστιν ἡ δόξα καὶ ἡ θρησκεία. Καὶ οὐ τὰ αὐτὰ παρὰ τοῖς αὐτοῖς εὑρίσκεται. Καὶ εἰκότως· τοῦτο γὰρ οὐ μικρὸς ἔλεγχός ἐστι τῆς αὐτῶν ἀθεότητος· διαφόρων γὰρ ὄντων καὶ πολλῶν κατὰ χώραν θεῶν, τοῦ ἑτέρου τὸν τοῦ ἑτέρου θεὸν ἀναιροῦντος, οἱ πάντες ἀναιροῦνται· καὶ γὰρ οἱ παρ' ἄλλοις νομιζόμενοι θεοὶ τῶν παρ' ἄλλων λεγομένων θεῶν γινάνται σπονδαὶ καὶ θυσίαι. Αἰγύπτιοι μὲν τὸν Ἆπιν βοῦν μόσχον ὄντα σέβουσι καὶ τὸν Μενδήσιον τράγον, τούτους δὲ ἄλλοι τῷ Διὶ θύουσιν, Λίβες δὲ προβατοθεοποιοῦντες· καὶ τοῦτο παρ' ἑτέρων εἰς θυσίαν σφάττεται. Ἰνδοὶ δὲ τὸν Διόνυσον θρησκεύουσι συμβολικῶς αὐτὸν οἶνον ὀνομάζοντες. Καὶ ἄλλοι τοῦτον σπένδουσι, ἕτεροι δὲ ποταμοὺς καὶ πηγάς· καὶ πάντων μᾶλλον Αἰγύπτιοι τὸ ὕδωρ προτετιμήκασι καὶ θεὸν ἀνηγόρευσαν. (19) Ἐν οἷς καὶ τοσοῦτον ὑπερεπλεόνασεν ἡ εἰδωλομανία παρὰ τὰ ἔθνη πάντα, ὡς οὐ μόνον βόας τε καὶ τράγους καὶ κύνας καὶ πιθήκους θεραπεῦσαι, ἀλλὰ

3. Z. ὁ Ἐλάτων cod. — 13. Rom. I. 21 — 24 et 26.

καὶ σκόροδα καὶ κρόμυα καὶ πολλὰ τῶν εὐτελῶν λαχάνων θεοὺς ὀνομάσαι καὶ προσκυνῆσαι διὰ τὸν πλοῦτον τῆς ἀσεβείας. Καὶ τὸ μὲν ὕδωρ τοῦ Νείλου ἐσέβοντο ὡς τὴν χώραν (1[b]) αὐτῶν ἀρδεῦον· τὸν δὲ βοῦν ἐθεοποίουν ὡς τὴν γεωργίαν ἐπιτελοῦντα καὶ τὴν τροφὴν πορίζοντα, τὸν δὲ τράγον καὶ τὰ πρόβατα διὰ τὴν ἐξ αὐτῶν χρῆσιν, τὰ δὲ λοιπὰ βδελλύγματα, κύνας τε καὶ πιθήκους καὶ κνόδαλα καὶ τὴν λοιπὴν ἀπρέπειαν τῶν ζώων τε καὶ λαχάνων ἐθεράπευον, καθότι πρόφασις αὐτοῖς αἱ περὶ ταῦτα χρεῖαι γεγόνασιν, δῆθεν αἴτια σωτηρίας ἐν τῷ καιρῷ τῆς τοῦ Φαραὼ πανολεθρίας· ἡνίκα γὰρ ἐκεῖνος τὸν Ἰσραὴλ διώκων κατεποντίσθη, ἕκαστος περὶ ᾧ ἀπησχολίσθη, μὴ ἐξακολουθήσας τῷ Φαραῷ καὶ περισωθείς, τοῦτο ἐθεοποίησε λέγων. «Θεός μου γέγονας σήμερον μαλίστα, δι' οὗ καὶ σωθεὶς οὐ συναπολώμην τῷ Φαραῷ, κωλυθεὶς διὰ τῆς τούτου προνοίας.» (20) Ὑπὲρ χρόνον δὲ τοίνυν καὶ κατὰ περίοδον τινά, τοῖς Αἰγυπτίοις ἐγεννᾶτο βοῦς ἔχων σημεῖα τινὰ περὶ τὴν γλῶσσαν καὶ τὴν κέρκον, ἐξ ὧν ἐγνωρίζετο, ὅτι Ἆπις ἐστὶν ἤγουν θεός, ὅθεν καὶ ἑορτὴν ἐποίουν, ὡς θεοῦ αὐτοῖς ἐνδημήσαντος, καὶ παρατίθεασι τῷ βοῒ πανδαισίαν ἐν τῇ φάτνῃ πολλὴν, ὡς ἂν εἰ εὐωχοῦντες τὸν θεὸν αὐτῶν. Ὡσαύτως δὲ καὶ τὸν τράγον σεβόμενοι Μένδην λεγόμενον καὶ κατὰ τὴν ἑαυτῶν γλῶσσαν ὡς ἀνακείμενον ἔφασκον τῇ γονίμῳ δυνάμει, οὕτινος τράγου καὶ ἱερὸν ὑπῆρχεν ἐν ᾧ ἦν τραγοσκελὴς, ὄρθιον τὸ αἰδοῖον ἔχων. Ἔτι μὴν καὶ τοὺς κροκοδείλους καὶ τοὺς ὄφεις καὶ τοῦς αἰλούρους καὶ τοὺς ἰχθύας τιμῶντες, ἐξ ἀλόγου τιμῆς ἀτιμίαν ἑαυτοῖς περιποιοῦνται. (21) Ἤδη δέ τινες εἰς τοσαύτην ἀσθένειαν καὶ παραφροσύνην ἐξήχθησαν, ὡς καὶ ἀνθρώπους τοῖς παρ' αὐτῶν ψευδοθέοις κατασφάττειν καὶ εἰς θυσίαν προσάγειν. (22) Ὅθεν προασφαλιζόμενος ἄνωθεν ὁ θεῖος λόγος τὸν ἐκ τοιαύτης πλάνης ἀπαλλαγέντα λαὸν ἔφασκεν· «οὐ ποιήσῃς σεαυτῷ εἴδωλον οὐδὲ πᾶν ὁμοίωμα ὅσα ἐν τῷ οὐρανῷ ἄνω καὶ ὅσα ἐπὶ τῆς γῆς κάτω καὶ οὐ προσκυνήσῃς αὐτοῖς οὐδὲ μὴ λατρεύσῃς αὐτοῖς.» Ὡς οὖν διαφορᾶς οὔσης μεταξὺ εἰδώλου καὶ ὁμοιώματος, εἰκότως

---

18. πανδεσίαν codex. — 21. τραγοσκελὶς codex, sed cf. Herodotum. II. 46. — 28. Ex. XX. 4.

εἶπεν· «οὐ ποιήσῃς σεαυτῷ εἴδωλον οὐδὲ ὁμοίωμα»· τὸ μὲν γὰρ εἴδωλον οὐδεμίαν ὑπόστασιν ἔχει, τὸ δὲ ὁμοίωμα τινός ἐστιν ἴνδαλμα καὶ ἀπείκασμα. Ἐπειδὴ τοίνυν Ἕλληνες ἀναπλάττουσι τὰς οὐχ ὑφεστώσας μορφὰς, Σφίγγας καὶ Τρίτωνας καὶ Κενταύρους, καὶ Αἰγύπτιοι Κυνοπρόσωπον καὶ Βουκέφαλον, εἴδωλα καλεῖ τὰ τῶν οὐχ ὑφεστώτων μιμήματα, ὁμοιώματα δὲ τὰ τῶν ὑφεστώτων εἰκάσματα, οἷον ἡλίου, σελήνης, ἄστρων, ἀνθρώπων, θηρίων, ἑρπετῶν καὶ τῶν τοιούτοις παραπλησίων· τούτοις δὲ κελεύων μὴ προσκυνεῖν μηδὲ λατρεύειν, οὐχ ἁπλῶς ἀπαγορεύει (2ª) ἀμφότερα; ἀλλ' ἐπειδὴ σημαίνει τινὰς προσκυνῆσαι μὲν ἀμφότερα διὰ φόβον ἀνθρώπινον, οὐ μὴν δὲ λατρεῦσαι κατὰ ψυχὴν, ἐδίδαξεν ὡς ἑκάτερον ἀσεβὲς καὶ θεοστυγὲς καὶ λίαν ἀπόβλητον.

V. ΠΕΡΙ ΤΩΝ ΤΕΣΣΑΡΩΝ ΣΤΟΙΧΕΙΩΝ.

Διὰ δὴ τοῦτο πάλιν, ἵνα μή τινες ὡς οὗτοι, τῷ κάλλει τῶν κτισμάτων ἀποβλέψαντες, οὐχ ὡς ἔργον θεοῦ, ἀλλ' ὡς θεοὺς τιμήσουσιν, εἰσάγει προσφόρως ἡ γραφὴ λέγουσα. «Καὶ μὴ ἀναβλέψῃς τοῖς ὀφθαλμοῖς ἰδεῖν τὸν ἥλιον καὶ τὴν σελήνην * καὶ πάντα τὸν κόσμον τοῦ οὐρανοῦ (καὶ) πλανηθεὶς προσκυνήσῃς αὐτοῖς **, ἃ ἀπένειμε Κύριος ὁ θεός σου *** πᾶσι τοῖς ἔθνεσιν», ἀπένειμε δὲ οὐχὶ εἰς τὸ εἶναι θεοὺς αὐτοῖς ταῦτα, ἀλλ' ἵνα τῇ τούτων ἐνεργείᾳ γινώσκωσιν οἱ ἀπὸ τῶν ἐθνῶν τὸν πάντων δημιουργὸν καὶ κύριον· ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς θεωρεῖται, καὶ «τὰ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται», καὶ «οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγελεῖ τὸ στερέωμα», καθὰ γέγραπται. (2) Ὁ μὲν οὖν κτίστης θεὸς, τέλειός ἐστι καὶ προτέλειος, ἀνενδεὴς κατὰ πάντα τρόπον· τὰ δὲ κτίσματα λαβών τις, οἷον ἥλιον καθ' ἑαυτὸν μόνον καὶ σελήνην, γῆν τε αὖ καὶ ἄστρα καὶ τὴν θερμὴν καὶ τὴν ψυχρὰν καὶ ξηρὰν καὶ ὑγρὰν οὐσίαν διαιρῶν ἀπὸ τῆς πρὸς

16. Deut. IV. 19. Καὶ μὴ ἀ. εἰς τὸν οὐνον καὶ ἰδὼν — * καὶ τοὺς ἀστέρας Deut. — ** καὶ λατρεύσῃς αὐτοῖς Deut. — *** αὐτὰ Deut. — 23. Rom. I. 20. — 24. Ps. XIX. 1.

ἀλλήλας συναφείας, καὶ ἕκαστον ἐκλάβοιεν καθ' ἑαυτὸν καὶ ἰδίᾳ θεωρήσειεν, εὑρήσει πάντως, μηδὲν ἱκανούμενον ἑαυτῷ, ἀλλὰ τῆς ἀλλήλων χρείας ἐπιδεόμενα καὶ ταῖς παρ' ἀλλήλων ἐπικουρίαις συνιστάμενα· ἥλιος μὲν γὰρ τῷ σύμπαντι οὐρανῷ περιστρέφεται καὶ ἐμπεριέχεται καὶ σκότος τῆς ἐκείνου κυκλοφορίας οὐκ ἄν ποτε γένοιτο· σελήνη δὲ καὶ ἄστρα μαρτυροῦσι τὴν παρὰ ἡλίου γενομένην αὐτοῖς φωταυγίαν· γῆ δὲ πάλιν οὐκ ἄνευ ὑετῶν τοὺς καρποὺς ἀποδιδοῦσα φαίνεται· οἱ δὲ ὑετοὶ χωρὶς τῆς τῶν νεφελῶν χρείας οὐκ ἂν ἐπὶ τῆς γῆς καταβαίνουσιν, ἀλλ' οὐδὲν ἔφυ χωρὶς τοῦ ἀέρος, καὶ ὁ ἀὴρ οὐχ ὑφ' ἑαυτοῦ, ἀλλ' ὑπὸ μὲν τοῦ αἰθέρος διακαίεται, ὑπὸ δὲ ἡλίου καταλαμπόμενος λαμπρύνεται. Καὶ πηγαὶ μὲν καὶ ποταμοὶ οὐκ ἄνευ τῆς γῆς συστήσονταί ποτε· γῆ δὲ οὐχ ὑφ' ἑαυτῆς ἐρέρεισται, ἀλλ' ἐπὶ μὲν τῆς τῶν ὑδάτων οὐσίας συνέστηκεν· ἐμπεριέχεται δὲ καὶ αὐτὴ κατὰ τὸ μέσον τοῦ παντὸς συνδεθεῖσα, ἥ τε θάλασσα καὶ ὁ ἔξωθεν περιῤῥέων σύμπασαν τὴν γῆν μέγας Ὠκεανὸς ὑπὸ ἀνέμων κινεῖται καὶ φέρεται ὅπου δ' ἂν αὐτὸν ἡ τῶν ἀνέμων προσρήξῃ βία. Καὶ αὖ πάλιν οἱ ἄνεμοι οὐκ ἐν ἑαυτοῖς, ἀλλὰ κατὰ τοὺς περὶ τούτων εἰπόντας, ἐκ τῆς πρὸς τὸν ἀέρα τοῦ αἰθέρος διακαύσεως καὶ θερμότητος, ἐν αὐτῷ τῷ ἀέρι συνίστανται καὶ δι' αὐτοῦ πανταχοῦ πνέουσιν. (3) Περὶ γὰρ τῶν δ στοιχείων, ἐξ ὧν καὶ συνέστηκεν ἡ τῶν σωμάτων φύσις, τὴν θερμὴν λέγω καὶ τὴν ψυχράν, ξηράν τε καὶ ὑγρὰν οὐσίαν, τίς ἂν (2ᵇ) οὐκ οἶδεν, ὡς ὁμοῦ μὲν συνημμένα ταῦτα συνίστανται, διαιρούμενα δὲ καθ' ἑαυτὰ γινόμενα λοιπὸν καὶ ἀλλήλων εἰσὶν ἀναιρετικά· τὸ γὰρ θερμὸν ὑπὸ τοῦ ψυχροῦ ἀναιρεῖται, καὶ τὸ ψυχρὸν ὑπὸ τοῦ θερμοῦ ἀφανίζεται, καὶ τὸ ὑγρὸν ὑπὸ τοῦ ξηροῦ ξηραίνεται· πῶς οὖν ταῦτ' ἂν εἶεν θεοί, δεόμενα τῆς παρ' ἑτέρων ἐπικουρίας καὶ ἀλλήλοις μαχόμενα, καὶ θεοὺς ἀναγορεύειν ἄξιον; πῶς δὲ πάλιν οἱ τὴν κτίσιν θεοποιοῦντες οὐχ ὁρῶσιν ἥλιον μὲν ὑπὸ τὴν γῆν γινόμενον καὶ τὸ φῶς αὐτοῦ μὴ ὁρᾶσθαι ὑπ' αὐτοῦ συγχωρούμενον; σελήνην δὲ ἥλιος κρύπτει μεθ' ἡμέραν τῇ τοῦ φωτὸς λαμπηδόνι· καὶ γῆς μὲν τοὺς

---

2. εὑρήσῃ codex. — 9. καταβαίνοιεν? — ἔφη codex. — 13. ἐρείρισται codex. — 18. εὖπον. codex.

καρποὺς, χάλαζα πολλάκις βλάπτει, τὸ δὲ πῦρ, πλημμυροῦντος ὕδατος, σβέννυται· εἴπερ ἦσαν θεοὶ, ἔδει τούτους μηδ' ὑπ' ἀλλήλων ἡττᾶσθαι καὶ ἐπικρύπτεσθαι, ἀλλὰ πάντοτε ἀλλήλοις συνεῖναι καὶ κοινὰς ἅμα τὰς ἐνεργείας ἐπιτελεῖν, ὅθεν εἰκότως οὔτε ἥλιος, οὔτε σελήνη, οὔτε μὴν ἄλλο τι μέρος τῆς κτίσεως, πολλῷ δὲ πλέον οὔτε τὰ ἐν λίθοις καὶ χρυσῷ καὶ ταῖς ἄλλαις ὕλαις ἀγάλματα, οὐδ' οἱ παρὰ ποιηταῖς μυθολογούμενοι Ζεὺς καὶ Ἀπόλλων καὶ οἱ λοιποὶ εἶεν ἀληθῶς θεοὶ, ὡς ὁ λόγος ἀπέδειξεν, ἀλλὰ τὰ μὲν αὐτῶν μέρη τῆς κτίσεώς εἰσι, τὰ δὲ ἄψυχα τυγχάνει, τὰ δὲ μόνον ἄνθρωποι θνητοὶ γεγόνασιν ἢ ὑπάρχουσιν. (4) Εἰ τοίνυν τοὺς παρὰ ποιηταῖς λεγομένους θεοὺς οὐκ εἶναι θεοὺς ἀποδέδεικται, ἀνάγκη πᾶσα, τούτων ἀναιρουμένων, παρ' ἡμῖν εἶναι λοιπὸν τὴν θεοσέβειαν καὶ τὸν παρ' ἡμῖν [προσκυνούμενον καὶ κηρυττόμενον, τοῦτον μόνον εἶναι θεὸν ἀληθινὸν καὶ πάσης κτίσεως] δημιουργὸν, τὸν ἐν τριάδι προσκυνούμενόν τε καὶ λατρευόμενον, ὃς καὶ καθόλου τοὺς ἀνθρώπους ἀπὸ τῆς περὶ τὰ εἴδωλα πλάνης καὶ ἀλόγου φαντασίας ἀπάγων, καὶ πρὸς τὴν ἑαυτοῦ θείαν γνῶσιν ἐπαναγών. Αὖθις φησί· «οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ» καὶ «ἄκουε, Ἰσραὴλ, κύριος ὁ θεός σου, κύριος εἷς ἐστιν»· καὶ «κύριον τὸν θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ λατρεύσεις.» (5) Οὕτως οὖν τῇ ἑαυτῶν σοφίᾳ καὶ δυνάμει πάντα συνέχων καὶ τὰς ἀρχὰς διαφυλάττων πάσης αἰσθητῆς οὐσίας, ἅπερ εἰσὶ θερμὰ καὶ ψυχρὰ καὶ ξηρὰ καὶ ὑγρὰ, εἰς ἓν συγκεραννύων σύμφωνα, ἀποτελοῦσιν ἁρμονίαν· καὶ οὔτε τὸ πῦρ τῷ ψυχρῷ μάχεται, οὔτε τὸ ὑγρὸν τῷ ξηρῷ ἀντιτάσσεται, ἀλλ' ὡς φίλα καὶ ἀδελφὰ καθ' ἑαυτὰ ὄντα, τὰ ἐναντία συνελθόντα τε καὶ φαινόμενα ζωογονοῦσιν καὶ τοῦ εἶναι τοῖς σώμασιν ἀρχαὶ γίνονται, καὶ οὕτως αὐτῷ πάντα πειθόμενα, τὰ μὲν ἐπὶ γῆς ζωογονεῖται, τὰ δὲ ἐν οὐρανοῖς συνίσταται. Καὶ ἡ μὲν θάλασσα πᾶσα καὶ ὁ μέγας ὠκεανὸς ὅροις ἰδίοις ἔχουσι τὴν ἑαυτῶν κίνησιν. Ἡ δὲ ξηρὰ πᾶσα χλοηφορεῖ καὶ κωμᾷ παντοίοις καὶ διαφόροις φυτοῖς, ὑπείκουσα τῷ θείῳ προστάγματι. (6) Τὴν δέ γε δημιουργίαν τοῦ κόσμου καὶ τὴν πᾶσαν κτίσιν, πολλοὶ διαφόρως ἐξειλήφασιν, καὶ

17. Ex. XX. 3. — 18. Deut. VI. 4. — 19. Mth. IV. 10. — 26. τὸ cod. — 31. ὑπηκ. cod. ὑπηκούουσα?

ὡς ἕκαστος αὐτῶν ἠθέλησε, οὕτω καὶ ὡρίσατο· οἱ μὲν γὰρ αὐτομάτως καὶ ὡς ἔτυχεν τὰ πάντα γεγενῆσθαι λέγουσιν, ἐξ ὧν εἰσὶν οἱ Ἐπικούριοι καὶ τὴν τῶν ὅλων πρόνοιαν πε (3ª) ρὶ αὐτῶν οὐκ εἶναι μυθολογοῦσιν. Οἱ δὲ ἐν οἷς ἔστι καὶ ὁ περιβόητος οὗτος Πλάτων ἐκ προϋποκειμένης καὶ ἀγενήτου ὕλης πεποιηκέναι τὸν θεὸν τὰ πάντα διηγοῦνται.

VI. ΠΕΡΙ ΜΑΓΕΙΑΣ ΚΑΙ ΓΟΗΤΕΙΑΣ.

Οὐ μὴν δὲ ἀλλὰ καὶ εἰς ἀδικίαν ἐκτραπέντες καὶ παρανομίαν πᾶσαν ὑπερβάντες, ἀκόρεστοι περὶ τὸ ἁμαρτάνειν γεγόνασιν· πόλεις γὰρ κατὰ πόλεων ἐπολέμουν, ἔθνη κατὰ ἐθνῶν ἠγείροντο, καὶ διῃρητο πᾶσα ἡ οἰκουμένη εἰς μάχην, ἕκαστος φιλονεικοῦντες ἐν τῷ παρανομεῖν καὶ πράττειν ἄθεσμα πρὸς λύπην θεοῦ καὶ θεραπείαν τοῦ διαβόλου. Τοσοῦτον γὰρ ἠσέβουν, ὅτι καὶ δαίμονας ἐθρήσκευον καὶ θεοὺς αὐτοὺς ἀνηγόρευον καὶ θυσίας αὐτοῖς διὰ ἀλόγων ζῴων, καὶ ἀνθρώπων σφαγὰς προσήγαγον, ὡς εἴρηται. (2) Διὸ καὶ μαγείαις παρ' αὐτοῖς ἐδιδάσκοντο, καὶ μαντεῖαι καὶ φαρμακεῖαι, καὶ μέντοι καὶ τὴν γένεσιν αὐτῶν καὶ τὴν αἰτίαν πάσης πολιτείας τε καὶ συμβάσεως τύχῃ καὶ ἄστροις ἀνετίθουν, μηδὲν τῶν φαινομένων πλέον λογιζόμενοι. Καὶ ὅλως ἦν πάντα παρανομίας καὶ ἀσεβείας ἔμπλεα καὶ πανταχοῦ τῆς ἀπάτης τῶν μάντεων ἐπεπλήρωτο· καὶ γὰρ τὰ ἐν Δελφοῖς καὶ τὰ ἐν Δοδώνῃ καὶ τὰ ἐν Βοιωτίᾳ καὶ Λυκίᾳ καὶ Λιβύῃ καὶ Αἰγύπτῳ καὶ Καλβρίοις μαντεύμασιν· ἡ Πυθία ἐθαυμάζοντο μὲν τότε ὑπὸ τῶν ἀνθρώπων τῇ φαντασίᾳ· νῦν δὲ ἀφ' οὗ Χριστὸς, ὁ θεὸς λόγος, ἡ τοῦ θεοῦ σοφία καὶ δύναμις καταγγέλλεται, πέπαυται ταῦτα καὶ ἡ τούτων δαιμονιώδης μανία, καὶ οὐκ ἔστιν ἔτι λοιπὸν ἐν αὐτοῖς ὁ μαντευόμενος. Καὶ πάλαι μὲν ἐφαντασισκόπουν δαίμονες τοὺς ἀνθρώπους, προκαταλαμβάνοντες πηγὰς ἢ ποταμοὺς ἢ ξύλα ἢ λίθους, καὶ οὕτω ταῖς μαγείαις ἔπλητον τοὺς ἄφρονας· νῦν δὲ, τῆς θείας ἐπιφανείας τοῦ θεοῦ λόγου, γενομένης, ἠφάνισται τούτων ἡ φαντασία. (3) Καὶ πάλαι μὲν τοὺς

16. μαγεῖαι? — 22. Καλαυρίᾳ μαντεύματα ἥ τε?

παρὰ ποιηταῖς λεγομένος θεοὺς Δίαν καὶ Κρόνον καὶ Ἀπόλλωνα καὶ ἥρωας, νομίζοντες οἱ ἄνθρωποι θεοὺς ὑπάρχειν, ἐπλανῶντο σέβοντες· καὶ μέντοι καὶ ἀλληγορικῶς τινὰς αὐτῶν ἐκλαμβάνοντες προσεκύνουν, οἷον τὸν Ποσειδῶνα ὕδωρ καὶ τὸν Ἥφαιστον πῦρ καὶ τὴν Ἥραν ἀέρα καὶ τὴν Δήμητραν γῆν καὶ καρποὺς καὶ Δία ὑετόν, ἀντὶ μὲν ἐκείνοις ἐγνώσθησαν ἄνθρωποι θνητοί. Μόνος δὲ Χριστὸς ἐν ἀνθρώποις ἐπεγνώσθη θεὸς ἀληθινός, ἀληθινοῦ θεοῦ θεὸς λόγος. (4) Οἱ τοίνυν ποιηταὶ εἰρήκασιν, ὅτι Ζεῦς ἐστιν ὁ ὗων, ἀλλ' οἱ αὐτοὶ πάλιν εἶπον, ὅτι μοιχός ἐστι καὶ παιδοφθόρος καὶ παράλῳας καὶ ἕτερα τούτων οὐκ ἔλαττον ἐγκλήματα, ἀλλ' οὐκ ἔστι, φημί, ἀληθῶς, οὐκοῦν οὐδὲ τὸ ὗειν. Εἰ γὰρ ταῦτα δέχῃ, κακεῖνά σε ἀνάγκη δέξασθαι· εἰ δὲ ἐκεῖνα ἐκβάλλεις, καὶ ταῦτα μετ' ἐκείνων. (5) Εἰ δὲ ἀφεὶς τοὺς ποιητὰς ὡς πλαστολόγους, καὶ ἐπὶ τὰς ἀλληγορίας δράμοις, ἐκεῖνό σε ἐρήσομαι, τί ποτέ ἐστιν ὁ Ζεύς, ἡ ζέουσα, φημί, οὐσία καὶ τὸ ὑπὲρ τὸν ἀέρα ὄμβρος, ὃ αἰθὴρ λέγεται παρὰ τὸ ζέον καὶ καῖον· οὐκοῦν οὔκ ἐστι λογική τις καὶ διακριτικὴ, ἀλλὰ ἄλογος, ὅτι γὰρ ἡ τοῦ ἀέρος φύσις ἄλογός ἐστι παντί που δῆλον· εἰ γὰρ ἀήρ ἐστιν ὁ Ζεύς, ἄλογός ἐστι καὶ ἀναίσθητος· καὶντεῦθεν ὁ μῦθος οἰχήσεται· ὁ γὰρ ἀὴρ οὔτε πατὴρ ἐγένετό τινος οὔτε τινὰ ἔτεκεν οὐσίαν οἵαν ἀναπλάττουσιν οἱ μυθολόγοι καὶ μυθοπλάσται τὸν Ἥλιον, ὃν καὶ Ἀπόλλωνα καλοῦσιν, υἱὸν αὐτοῦ λέγουστν εἶναι· οὔτε γὰρ ὁ ἥλιος λογισμὸν ἔχει οὔτε διάνοιαν ἢ νοῦν, ἀλλὰ καὶ αὐτὸ φυσικόν ἐστι τὸ ἔργον, ἀγόμενον καὶ περιφερόμενον τῷ νόμῳ, ᾧ πάλαι τὴν ἀρχὴν αὐτῷ ἐτάξεν ὁ θεός· ἀλλ' ὥστε οὐδὲ τὸ ὗειν τοῦ αἴθερος ἐστὶν, ἀλλὰ τῶν νεφελῶν δεχομένων τὸ ὕδωρ ἢ ἀπὸ τῆς θαλάσσης ἢ ἄνωθεν φερομένων τῶν ναμάτων ἢ τῶν ὑπὲρ τὸν οὐρανὸν ὑδάτων ὡς ἡ ὄντως ἀλήθεια διὰ τῶν θείων προφητῶν ἔφη. (6) Καὶ ὥσπερ οὖν ἡλίου φαίνοντος ἀπελαύνεται σκότος, οὕτως τῆς θείας ἐπιφανείας γενομένης, ἀπελήλατο τῆς εἰδωλομανίας τὸ σκότος, καὶ πᾶσα ἡ τῶν φιλοσόφων πιθανολογία μωρία καὶ φλυαρία φανερῶς ἀπεδείχθη καθὼς γέγραπται. Περὶ μὲν γὰρ τῆς τῶν εἰδώλων ἄρδην καταλύσεως «καὶ ἔσται, φησὶν, ἐν

6. ἐκείνων? — 11. et 15. φη codex. — 21. καλοῦντες vel 22. λέγοντες? — 32. Zach. XIII, 2.

ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει κύριος Σαβαὼθ, ἐξολοθρεύσω τὰ ὀνόματα τῶν εἰδώλων ἀπὸ τῆς γῆς καὶ οὐκ ἔσται αὐτῶν ἔστι μνεία». Περὶ δὲ τῆς τῶν φιλοσόφων ματαιολογίας «ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν» καὶ» Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν σοφῶν, ὅτι εἰσὶ μάταιοι». (7) Καὶ πάλαι μὲν εἰδωλολατροῦντες Ἕλληνες καὶ βάρβαροι κατ' ἀλλήλων ἐπολέμουν, ὡς εἴρηται, καὶ ὠμοὶ καὶ ἀπηνεῖς πρὸς τοὺς συγγενεῖς ἐτύγχανον· οὐκ ἦν γὰρ τινὰ τὸ σύνολον οὔτε τὴν γῆν οὔτε τὴν θάλασσαν ἄοπλον διαβῆναι διὰ τὴν πρὸς ἀλλήλους ἀκαταλλακτον μάχην· καὶ ἁπλῶς πᾶσα ἡ τούτων ζωὴ καὶ διαγωγὴ δι' ὅπλων ἐγένετο καὶ ξίφος ἦν αὐτοῖς διὰ βακτηρίας καὶ παντὸς βοηθήματος ἔρισμα. Νῦν δὲ, ὅτε εἰς τὴν τοῦ εἰρηνοποιοῦ Χριστοῦ διδασκαλίαν κεταβεβήκασι, τότε δὴ παραδόξως τῷ ὄντι κατὰ διάνοιαν κατανυγέντες τὴν ὠμότητα τῶν φόνων ἀπέθεντο, καὶ οὐκέτι πολέμια φρονοῦσιν ἀλλὰ κατὰ δαιμόνων τὸν πόλεμον διὰ τῶν ἀρίστων τρόπων καὶ τῶν κατ' ἀρετὴν πράξεων ἐτρέψαντο καὶ προδήλως ἀντεπαρατάξαντο. Περὶ ὧν καὶ γέγραπται, ὅτι «συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα, καὶ οὐ λήψεται ἔθνος ἐπ' ἔθνος μάχαιραν» καὶ τὰ ἑξῆς. (8) Περὶ τούτων μέν τοι καὶ Θεοδώρητος τάδε φησίν. «Εἰ τοίνυν Ἕλληνες ἀνέγνωσαν ἀκριβῶς τὰς ἑλληνικὰς ἱστορίας, ἔγνωσαν* δήπουθεν ὡς καὶ τὰς περιφανεῖς ἐπιστήμας καὶ τῶν τεχνῶν τὰς πλείστας παρ' Ἑβραίοις ἐπαιδεύθησαν Ἕλληνες· γεωμετρίαν** γὰρ*** Αἰγυπτίους εὑρηκέναι φασὶ, ἀστρολογία δὲ καὶ γενεθλιαλογία Χαλδαίων εὕρημα λέγεται, Ἄραβες δὲ καὶ Φρύγες οἰωνοσκοπίαν ἐπενόησαν εἶναι»· καὶ πρῶτοι θύειν θεοῖς, Χαλδαῖοι δὲ ἐξεῦρον ἤτοι Κύπριοι, διαφοροῦνται γὰρ ἔθνος Περσικὸν ὑπάρχοντες (4ª)· τὴν δὲ ἀστρονομίαν ἐφευρηκέναι πρῶτοι Βαβυλώνιοι διὰ Ὡρωάστρου, ἐξ ὧν δευτέροι παρείληφον Αἰγύπτιοι τὴν γεωμετρίαν ἐκ τοῦ ἁπλέτου τῆς γῆς καὶ τῆς διαιρέσεως τῶν χωρῶν προδιδαχθέντες καὶ εἶθ' οὕτω γράψαντες, ἕτεροι μετέλαβον. (9) Τὴν

3. I. Cor. III. 9. ex. Job. V. 13. et Ps. XCIV. 11.—18. Ies. II. 4.—21. ad Graecos 1592 f. 6,45 ἀνεγινώσκεσαν τὰς.—* ἂν Th. 22. δ. τὰς δὲ π. cod.—23. παρὰ βαρβάρων Th. — ** μὲν Th. — *** καὶ ἀστρονομίαν Th. — 26. οἰωνοσκοπικὴν ἐπ. πρῶτοι Th.

δὲ μαγείαν καὶ γοητείαν καὶ φαρμακείαν Μῆδοι μὲν ἐφεῦρον καὶ Πέρσαι, διαφέρουσι δὲ πρὸς ἀλλήλους· ἡ μὲν γὰρ μαγεία ἐπίκλησίς ἐστι δαιμόνων, ἀγαθοποιῶν δῆθεν πρὸς ἀγαθοῦ σύστασίν τινος, ὥσπερ τὰ τοῦ Ἀπολλωνίου τοῦ Τυανέως θεσπίσματα δι' ἀγαθῶν γεγόνασι· ἡ δὲ γοητεία ἐπίκλησίς ἐστι δαιμόνων κακοποιῶν περὶ τοὺς τάφους τελουμένη ἐπὶ κακοῦ τινὸς σύστασιν· ὅθεν καὶ γοητεία κέκληται ἀπὸ τῶν γοῶν καὶ τῶν θρήνων τῶν περὶ τοὺς τάφους γινομένων, φαρμακεία δὲ ὅταν διά τινος σκευασίας θανατοφόρου πρὸς φίλτρον δοθῇ τινὶ διὰ στόματος. (10) Ὁμοίως δὲ καὶ τῆς οἰωνικῆς τὸ μέν ἐστι ὀρνεοσκοπικόν, τὸ δὲ οἰκοσκοπικόν, τὸ δὲ ἐνόδιον, τὸ δὲ χειροσκοπικόν, τὸ δὲ παλματαῖον· καὶ ὀρνεοσκοπικὸν μέν ἐστι, ὅταν, πετομένου τοῦδε ἢ τοῦδε ὄρνιθος ἔμπροσθεν ἢ ὄπισθεν ἢ δεξιὰ ἢ ἀριστερὰ νεύοντος, εἴπωσι· «τόδε ἢ τόδε συμβαίνει»· περὶ δὲ ἀλματικὸν τὸ διὰ τῆς παλσεως τοῦ σώματος γνωριζόμενον, οἷον ἐπάλθη ὁ δεξιὸς ἢ ὁ ἀριστερὸς ὀφθαλμὸς ἢ ὁ ὦμος ἢ μηρὸς ἢ κνημὶς, ἢ κνισμὸς ἐν τῷ ποδὶ γέγονεν, ἢ πρὸς τὸ οὖς ἦχος ἐγένετο, «τόδε, φησὶ, συμβαίνει ἢ συμβήσεται»· οἰκοσκοπικὸν, δὲ ὅταν τὰ ἐν τῷ οἴκῳ συμβαίνοντα εἴπῃ τις· «τόδε συμβαίνει»; οἷον ἐν τῇ στέγῃ φανεῖ γαλῆ ἢ ὄφις ἢ μῦς, ἢ ἐκκενωθῇ ἔλαιον ἢ μέλι ἢ οἶνος ἢ τέφρα, ἢ τρισμὸς γένηται ξύλου ἢ ἄλλο τι· «τόδε προμηνύει»· ἐνόδιον δὲ ὅταν ἐξηγήσεταί τις τὰ ἐν τῇ ὁδῷ ὑπαντῶντα λέγων· «ἐάν σοι ὑπαντήσει τοιοῦτος ἄνθρωπος ἢ τόδε βαστάζων, τόδε σοι συμβήσεται»· χειροσκοπικὸν δὲ, ὅταν διὰ τῆς ἐκτάσεως τῶν χειρῶν διατεινόμενοι εἴπωσι· «τόδε αὐτῷ γενήσεται». (11) Καὶ τὰ μὲν γράμματα Φοίνικας εὑρηκέναι φασὶν Ἕλληνες καὶ τὸν Κάδμον ταῦτα πρὸς τὴν Ἑλλάδα κομίσαι, ἰατρικῆς δὲ τὸν Αἰγύπτιον Ἄπιν ἐλέξαν ἄρξαι καὶ τὸν Ἀκλήπιον αὐξῆσαι τὴν τέχνην ὧν πάντων Ἑβραῖοι προγενέστεροι. (12) Οὕτω καὶ περὶ τῶν δογμάτων διαφερόμενοι διαφόρως ἐδογμάτισαν. Οἱ μὲν γὰρ τὰ ὁρώμενα γενητὰ, οἱ δὲ ἀγέννητα καὶ ἐκ ταὐτομάτων γενέσθαι· καὶ οἱ μὲν ἔμψυχον εἶναι τὸ πᾶν, οἱ δὲ ἄψυχον ἔφασαν. Ἀναξαγόρας γὰρ καὶ Πυθαγόρας εἰς Αἴγυπτον ἀφικόμενοι καὶ τοῖς Αἰγυπτίων καὶ Ἑβ-

14. τὸ δὲ παλματικὸν?

ραίων αὐτόθι σοφοῖς προσομιλήσαντες, τὴν περὶ τῶν ὄντων γνῶσιν ἠκουτίσθησαν, ὥσπερ δὴ μετὰ ταῦτα καὶ Πλάτων ἐμυήθη μᾶλλον, καθὼς ἐν τοῖς παραλλήλοις ἔφη Πλούταρχος. (12) Οὐ μὴν δὲ ἀλλὰ καὶ θεοὺς Αἰγύπτιοι πρῶτοι τῶν ἄλλων, τὸν ἥλιον καὶ τὴν σελήνην ὠνόμασαν, καλέσαντες τὸν μὲν ἥλιον Ὄσιριν, τὴν δὲ σελήνην Ἶσιν· ἅτε οὖν ὁρῶντες αὐτοὺς ἰόντας δρόμῳ καὶ θέοντας, θεοὺς αὐτοὺς ἐκ τοῦ θέειν ἀνηγόρευσάν τε καὶ ἔθυσαν. Καὶ τὸ μὲν πῦρ Ἥφαιστον, Δήμητραν δὲ τὴν γῆν, καὶ τὴν ὑγρὰν οὐσίαν Ὠκεανὸν ἐπέθεσαν καὶ τὴν μὲν ἐπιθυμίαν Ἀφροδίτην καὶ Ἔρωτα ἐκεκλήκασιν, Ἄρεα δὲ τὸν θυμόν, καὶ τὴν μέθην Διόνυσον, τὴν δὲ κλοπὴν Ἑρμῆν καὶ τὴν φρόνησιν Ἀθηνᾶν καὶ πάλιν Ἥφαίστον τὰς τέχνας, ὡς πυρὶ συνεργὸν κεχρημένον· τοσοῦτον γὰρ ταῖς αἰσχραῖς ἐδουλώθησαν ἡδοναῖς, ὡς καὶ τὸν τράγον διὰ τὴν εἰς τὰς μίξεις μανίαν θεὸν ὁμολογῆσαι καὶ θῦσαι. Μενδήσιοι δὲ τοῦτον διαφερόντως ἐτίμησαν, ὡς καὶ τοῖς ἄλλοις ζῴοις αἱ ἄλλαι πόλεις θεολογίας τινὰς ἀνέφερον. Ἔσεβον δὲ καὶ Μεμφῖται τὸν ταῦρον καὶ Λυκοπολῖται τὸν λύκον καὶ Κυνοπολῖται τὸν κύνα καὶ ἄλλοι τὸν αἴλουρον καὶ ἕτεροι τὸν κροκόδειλον. (13) Οὐκοῦν πρῶτοι θεοὺς ὠνόμασαν οἱ Αἰγύπτιοι καὶ Φοίνικες, ὑφ' ὧν Ἕλληνες παρειλήφασι ἥλιον καὶ σελήνην, ἀστέρας τε καὶ οὐρανὸν καὶ γῆν καὶ τὰ ἄλλα στοιχεῖα προσκυνήσαντες, ὡς θεοὺς ἐλάτρευσαν· χρόνῳ δὲ ὕστερον καὶ τοὺς εὔ τι δεδρακότας ἢ ἐν πολέμοις ἀνδραγαθήσαντας ὡς τὸν Ἡρακλέα γενναῖον καὶ ἀνδρεῖον ἐθεοποίησαν Ἕλληνες καὶ τὸν Ἀσκλήπιον διὰ τὴν ἰατρικὴν ἐπιστήμην θεὸν τελευτησάντα προσηγόρευσαν, καὶ οὐ μόνον τοὺς ἀγαθόν τι δράσαντας, ἀλλὰ καὶ τοὺς ἀσελγείαις καὶ μυσαραῖς πράξεσιν ἁλῶντας ἄνδρας τε καὶ γυναῖκας ἐσεβάσθησαν καὶ ἐλάτρευσαν.

VII. ΠΕΡΙ ΤΩΝ ΘΕΟΠΟΙΗΣΑΝΤΩΝ ΡΩΜΑΙΩΝ.

Ἐξ ὧν Ῥωμαῖοι μεμαθηκότες τοὺς ἰδίους βασιλεῖς μετὰ θάνατον ἐθεοποίησαν· καὶ οὐ μόνον τοὺς ἐννόμως βεβασιλευκότας καὶ

12. συνεργῷ?

τοῦ δικαίου πεφροντικότας, ἀλλὰ καὶ τοὺς τυραννικῶς καὶ ἀδίκως τε καὶ παρανόμως τὴν ἀρχὴν ἰδυνάντας. Καὶ γὰρ Νέρωνα πᾶσαν ἰδέαν ἀκολασίας καὶ παρανομίας κατὰ κόρον μετεληλυθότα καὶ Δομιτιανὸν καὶ Κόμοδον καί γε ἄλλους μιαιφόνους καὶ λαγνιστάτους ἄνδρας τῷ τῶν σφετέρων θεῶν καταλόγῳ συνέταξαν. (2) Οὐ μὴν δὲ, ἀλλὰ καὶ τοὺς παμπονήρους δαίμονας ἐθεοποίησαν, παρ' ὧν καὶ τὰς γοητείας καὶ μαγγανείας μεμαθηκότες, πονηραῖς κακοτεχνίαις, θυσίαις καὶ τελεταῖς αὐτοὺς ἐτίμησαν, οὓς ἡμεῖς ἐκ διαμέτρου βδελυττόμεθα δικαίως ἄγαν ὡς θεομισεῖς καὶ τῆς αἰωνίου κολάσεως προξένους. Ἐπειδὴ δὲ καὶ δαιμόνων ἐμνήσθην, προύργου οἶμαι καὶ περὶ τούτου, ἄγε δὴ δοξαζομένων παρὰ τῶν ἑλεεινῶν καὶ τοῦ ἀσβέστου πυρὸς ἀξίων διασαφῆσαι· τὸν γὰρ τούτων ἄρχοντα Σατανᾶν τὰ θεῖα προσαγορεύουσι λόγια, δηλοῖ δὲ τὸ ὄνομα τὸν ἀποστάτην κατὰ τὴν φωνὴν τῶν Ἑβραίων, ὀνομάζει δὲ αὐτὸν Διάβολον ὡς τὸν θεὸν πρὸς τοὺς ἀνθρώπους συκοφαντοῦντα καὶ αὐτοῖς δὲ (5ª) τοῖς ἀνθρώποις ἔριν πρὸς ἀλλήλους καὶ μάχην ἐμβάλλοντα· τούτους ἡμεῖς οὐ πονηροὺς ἐξ ἀρχῆς παρὰ τοῦ θεοῦ τῶν ὅλων δημιουργηθῆναι φαμὲν, οὐδὲ τοιάνδε ἔξιν λαχεῖν, ἀλλὰ τῇ παρατροπῇ τῆς γνώμης ἀπὸ τῶν ἀμεινόνων εἰς τὰ χείρονα πεσεῖν αὐθαιρέτως καὶ αὐτεξουσίως καὶ τοῖς παρὰ τοῦ πεποιηκότος παρασχεθεῖσι οὐκ ἀρκεσθέντες, ἀλλὰ μειζόνως ὀρεχθέντες, εἰσδέξασθαι μὲν τοῦ τύφου τὸ πάθος, ἐκπεσεῖν δὲ τῆς ἀρχῆθεν δοθείσης τιμῆς· εἶτα κατὰ τῶν ἀνθρώπων ὡς εἰκόνι θείᾳ τετιμημένων λυττῆσαι καὶ τὸν κατ' αὐτῶν ἀναδέξασθαι πόλεμον· τὸν δὲ ποιητὴν τῇ μὲν τῶν ἁγίων ἀγγέλων ἐπιστασίᾳ φρουρῆσαι τῶν ἀνθρώπων τὸ γένος, ὅπως μὴ βίᾳ καὶ τυραννίδι χρώμενος ἀοράτως ἐπιὼν, οὓς διὰ φθόνον ἐμίσησεν, ἀθεῶς διαφθείρῃ· τὴν δὲ ἀγωνιστικὴν οὐκ ἐκώλυε μάχην, ἵνα δείξῃ τοὺς ἀρίστους ἡ πάλη καὶ γένωνται ἀνδραγαθιῶν ἀρχέτυπα· οὗ δὴ εἵνεκα τὴν βιαίαν ἐκείνου προσβολὴν ὡς ὀλέθριον διακωλύσας τῇ τῶν ἀγγέλων φρουρᾷ, τῇ τῶν λογισμῶν συνεχώρησεν ἀγωνίᾳ, ὅπως τοὺς ἀξιονίκους ἀποφήνῃ ἀξίους τῶν στεφάνων, οὐκ αὐτὸς ἐκεῖνον εἰς ἀντιπάλου τάξιν κληρώσας, ἀλλ'

---

21. ἀρκεσθέντας — ὀρεχθέντας? — 27. διαφθειρεῖ et 28. δείξει cod.

εἰς δέον τῇ ἐκείνου πονηρίᾳ χρησάμενος, ὥσπερ οἱ ἰατροὶ ταῖς ἐχίδναις εἰς ἀπαλλαγὴν νοσημάτων. (3) Ἐπεὶ οὖν βαρβαροφώνους Ἕλληνες τοὺς ἀποστόλους καὶ ἡμᾶς ἀποκαλοῦσιν, ἴστωσαν ὡς καὶ ἡμῖν πάντες Ἕλληνες σκυθίζουσιν· τοῦτο γὰρ ὁ Παῦλος ἐδήλωσε φάσκων· «ἐὰν μὴ γνῶ τὴν δύναμιν τῆς φωνῆς, ἔσομαι τῷ λαλοῦντι βάρβαρος»· τῷ ὄντι γὰρ ὥσπερ τοῖς Ἕλλησιν Ἰλλύριοι καὶ Παίονες καὶ ἄλλοι βαρβαρίζειν δοκοῦσιν, οὕτως ἐκείνοις καὶ τοῖς τοιούτοις ὅσοι τῆς Ἑλλάδος καὶ τῆς ἑλληνικῆς τεχνολογίας καὶ στωμυλίας ἐπαΐειν οὐ δύνανται, βάρβαροι δοκοῦσιν εἶναι. Ὅτι δὲ τὴν αὐτὴν ἔχει πᾶσα γλῶσσα διάνοιαν, μία γὰρ ἡ πάντων ἀνθρώπων φύσις, καὶ ἡ πεῖρα διδάσκαλος· ἔστι γὰρ εὑρεῖν καὶ παρὰ τοῖς βαρβάροις τέχνας καὶ ἐπιστήμας καὶ τὰς ἐν πολέμοις ἀνδραγαθίας ἐκ περιουσίας, ἔνιοι δὲ τούτων καὶ σοφωτέραν τὴν Ἑλλήνων παιδείαν καὶ πολυλογίαν βραχυλογίᾳ νικῶντες. (4) Τοῦτο γὰρ δὴ καὶ Πέρσαι μαρτυροῦσι καὶ οἱ παλαιοὶ συγγραφεῖς, καὶ εἴτις νῦν πρεσβευτῶν ἢ στρατηγῶν ἢ ἐμπορίαν τινὰ μετιὼν συνεγένετο, καὶ πεπείρατο καλῶς τῆς ἐκείνων ἀγχινοίας καὶ πανουργίας. Φασὶ γὰρ αὐτοὺς ὀξέως νοεῖν τὰς τῶν λόγων πλοκάς τε καὶ κλοπὰς καὶ ἐπικρύφεις καὶ ὀλίγα φθεγγομένους νικᾷν τοὺς προδιαλεγομένους, καί γε ξυλλογιστικοὺς ἄγαν εἶναι διαβεβαιοῦνται καὶ διαλύειν ἱκανοὺς τὰ παρ' ἑτέρων πλεκόμενα ῥαδίως, καὶ παροιμίαις κεχρῆσθαι σοφωτάταις καὶ αἰνίγμασι· οὐ γὰρ δήπου φιλοσοφικοῖς ἢ ῥητορικοῖς ἐνετρύφησαν λόγοις, ἀλλὰ τὴν φύσιν μόνην εἶχον διδάσκαλον. (5) Τοὺς δὲ Γίνδεις καὶ τούτων πολλῷ σοφωτέρους λέγουσιν εἶναι καὶ ἐντρεχιστέρους. (6) Καὶ (5[b]) οἱ παρ' ἡμῖν δὲ νομάδες καὶ πρόχωροι, τοὺς Ἰσμαηλίτας φημί, τοὺς ἐν ταῖς ἐρήμοις βιοτεύοντας καὶ μηδὲν τῶν ἑλληνικῶν ξυγγραμμάτων ἐπισταμένους, ἀγχινοίᾳ πολλῇ, συνέσει τε καὶ πολυπειρίᾳ κοσμοῦνται, καὶ διάνοιαν ἔχουσιν καὶ πανουργίαν ὀξυτάτην, ὅτι μάλιστα ξυνιδεῖν ταληθὲς δυναμένοι καὶ διελέγξαι τὸ ψεῦδος καὶ διακρῖναι τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος. (7) Περὶ δὲ τῶν Αἰγυπτίων περιττὸν οἶμαι λέγειν· καὶ γὰρ αὐτοὶ τῶν φιλοσόφων οἱ πρῶτοι κρείττους εἶναι τούτους ἔφα-

1. τὴν — πονηρίαν cod. e ι subscr. — 5. 1. Cor. XIV 11. — 13. σοφώτεροι? — 14. περὶ Περσῶν vel. Πέρσαις? — 29. δυναμένοις cod.

σαν τῶν ὀνομαστοτάτων γεγενημένων παρ' Ἕλλησιν. (8) Ῥωμαῖοι δὲ καὶ ποιητὰς ἔσχον καὶ συγγραφέας καὶ ῥήτορας, ὡς φασὶν οἱ ταύτην κἀκείνην ἠσκημένοι τὴν γλῶτταν· καὶ πυκνότερα καὶ δεινότερα τῶν ἑλληνικῶν εἶναι τὰ τούτων ἐνθυμήματα καὶ συντομωτέρας ἅμα καὶ βαθυτέρας τὰς γνώμας. (9) Ταῦτα λέγων, οὐ τὴν Ἑλλάδα σμικρύνων φωνὴν, οὐδὲ ἐναντία γε αὐτῇ παραδείγματα παρέχων, ἀλλὰ τῶν ἐπὶ ταύτῃ μεγαλαυχούντων συστέλλων τὴν γνάθον καὶ τὴν ὀφρὺν κατασπῶν καὶ διδάσκων μὴ κωμῳδεῖν γλῶσσαν ἀληθείᾳ παμπρυνομένην, μηδὲ βρινθύνεσθαι μὲν ἐπὶ λόγοις κομψοτικῇ τέχνῃ πεποικιλμένοις, ἀλλὰ τῇ ἀληθείᾳ γεγυμνασμένοις.

VIII. ΠΕΡΙ ΠΛΑΤΩΝΟΣ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

Καὶ γὰρ ἐντεῦθεν οἱ μὲν ἄτομά τε καὶ ἀμερῆ σώματα προσηγόρευσαν διὰ τὸ ἀπαθὲς καὶ σμικρὸν ἄγαν, ἅτε μὴν νῦν τομὴν καὶ διαίρεσιν δέξασθαι μὴ δυνάμενον· οὕτω γὰρ καλοῦσιν ἐκεῖνοι τὰ λεπτότατα καὶ σμικρότατα σώματα, ἃ διὰ τῶν φωταγωγῶν εἰσβάλλων ὁ ἥλιος, δείκνυσιν ἑαυτὸν ἄνω καὶ κάτω παλλόμενον.

Οἱ δὲ τύχην καὶ εἱμαρκένην ἐδόξασαν καὶ τὴν μὲν εἱμαρμένην ἀναγκαστικὴν δύναμιν εἶπον εἶναι καὶ τῆς ὕλης κινητικὴν, τὴν δὲ τύχην ὁ Πλάτων αἰτίαν ἔφη κατὰ συμβεβηκὼς γινομένην ἢ ξύμπτωμα φύσεως ἢ προαιρέσεως. (2) Καὶ γοῦν Δημόκριτος περὶ τούτου οὕτως εἶπεν· «καὶ γὰρ τὰ μὲν ἐκ θεοῦ πάντες ἔχομεν, τὰ δὲ ἐκ τῆς εἱμαρμένης καὶ τύχης καὶ τῶν σμικρότατων ἐκείνων σωμάτων, καὶ προδήλως φερομένων, ἄνω καὶ κάτω παλλομένων καὶ περιπλεκομένων τε καὶ διϊσταμένων καὶ περιφερομένων ἐξ ἀνάγκης», ἀφ' ὧν οὐ μόνον πλοῦτον καὶ πενίαν καὶ ὑγίειαν καὶ νόσον καὶ δουλείαν [καὶ] ἐλευθερίαν καὶ πόλεμον καὶ εἰρήνην διανέμειν, ἀλλὰ καὶ ἀρετὴν καὶ κακίαν ἀποκληροῦν ἔφη. (3) Καὶ πρὸς ἀλλήλους ἄλλας δοξάζονται ἀντιπαρατάξαντες διὰ τὸ ἀσύμφωνον καὶ ἀκα-

---

5. λέγω? — 6. αὐτῇ cod. — 8. γράθον cod. — 9. ἀληθ. cod. — 22. Diog. L. IX. 49. — 29. ἀντεπαραταξ. cod.

τάλληλον τῶν τηνικαῦτα δογμάτων καὶ πρὸς τὰς ἀλλήλων μαχεσάμενοι δόξας, εἰκότως καταλελύκασιν ὡς ψευδεπιπλάστους· ἐπειδὴ τὸ μὲν ψεῦδος οὐ μόνον τῇ ἀληθείᾳ πολέμιον, ἀλλὰ καὶ ἑαυτὸ ἑαυτοῦ πέφυκεν, ἡ δὲ ἀλήθεια ξύμφωνον ἑαυτῇ, καὶ μόνον ἔχουσα τὸ ψεῦδος ἀντικείμενον, ὅθεν οἱ μὲν αὐτοκράτορα τὸν νοῦν εἶπον εἶναι καὶ ἄγαν δύνασθαι (6ª) κατ' ἐξουσίαν τὰ πάθη θεραπεύειν· οἱ δὲ ἀνάγκης αὐτὸν καὶ εἱμαρμένης ἀπέφηναν δοῦλον· καὶ [ἐκ] τῆς τοῦ οὐρανοῦ περιδεινήσεως καὶ τῆς τῶν ἄστρων ξυνόδου τὰς τούτου πράξεις καὶ ἐνεργείας ἠρτῆσθαι. (4) Ὁ δέ γε Πλάτων τὴν ἐναντίαν τούτου περὶ ψυχῆς ἐξεπαίδευσε δόξαν, ἐλευθέραν αὐτὴν καὶ δέσποιναν τῶν παθῶν εἶναι φήσας, ὥσπερ δηλῶν ἐν τοῖς νόμοις ἔφη· «τὸ μὲν νικᾷν αὐτὸν ἑαυτόν, πασῶν νικῶν πρώτη καὶ ἀρίστη, τὸ δὲ ἡττᾶσθαι αὐτὸν ὑφ' ἑαυτοῦ, αἴσχιστόν τε καὶ κάκιστον», «ἴσμεν γὰρ, ὅτι τὰ πάθη ταῦτα ἐν ἡμῖν, οἷον νεῦρα ἢ μήρινθοί τινες ἐνοῦσαι σπῶσί τε ἡμᾶς καὶ ἀλλήλαις ἀνθέλκουσιν, ἐναντίαι γε οὖσαι ἐπ' ἐναντίας πράξεις, οὗ δὴ διωρισμένη ἀρετὴ καὶ κακία κεῖται· μιᾷ γὰρ, φησίν, ὁ λόγος δεῖν τῶν ἕλξεων ἑπομένων ἀεὶ καὶ μηδαμῇ ἀπολειπόμενον ἐκείνης ἀνθέλκειν τοῖς ἄλλοις νεύροις ἕκαστον, ταύτην δὲ εἶναι τὴν τοῦ λογισμοῦ ἀγωγήν». Ἀποδέδεικται οὖν ὡς τῇ βουλῇ τῆς ψυχῆς ἀπένειμεν ὁ ποιητὴς τῶν κρειττόνων καὶ χειρόνων διαίρεσιν καὶ ἁπλῶς ἔριν καὶ μάχην ἔχοντες· καὶ ὁ μὲν ταῦτα. (5) Οἱ δὲ ἐκεῖνα πρεσβεύοντες ἐναντίαν δόξαν ὤδινον· οὐ γὰρ τ ἀληθὲς μαθεῖν ἐπεθύμησαν, ἀλλὰ κενοδοξίᾳ καὶ φιλοτιμίᾳ δουλεύσαντες καινῶν εὑρεταὶ κληθῆναι δογμάτων ἐπεπόθησαν, ὅθεν καὶ τὴν πολλὴν ὑπέστησαν πλάνην, τῶν ὕστερον ἐπιγενομένων ἀνατρεπόντων ἀναιδῶς τῶν πρεσβυτέρων τὰς δόξας. Καὶ γὰρ Ἀριστοτέλης ὁ ταλας ἔτι ζῶντι Πλάτωνι προφανῶς τε καὶ ἀναισχύντως ἀντεπαρετάξατο καὶ τὸν τῆς Ἀκαδημίας ἀνεδέξατο πόλεμον· καὶ οὔτε τὴν διδασκαλίαν ἐτίμησεν, ἧς φιλοτίμως ἀπέλαυσεν, οὔτε τοῦ πολυθρυλλήτου ἀνδρὸς ἠδέσθη τὸ κλέος, οὔτε

9. ἠρτεῖσθαι cod. — 14. τόδε δὲ l. I. 644 E.—τ. τὰ π. Pl. — σμίρυνθοι cod. — 15. ἐνούσαις cod. — 16. ἐν. ὁ. Pl. — 17. ἑπομένην cod. συνεπομένων Pl. — 8. ἀπολειπομένην ἐκείνοις—μέτροις cod. — 21. ἐχόντων? — 22. κενοδοξίαν καὶ φιλοτιμίαν cod. — 26. ἀναιδῶν cod. e compendio ἀναιδ.

τὸ ἐν λόγοις ἔδεισε κράτος, ἀλλὰ ὑπερηφάνως καὶ ἀπερυθριασμένως ὁ ἐμβρόντιστος πρὸς αὐτὸν ἀντέστη, οὐκ ἀμείνοσιν ἐκείνῳ ἀλλὰ πολλῷ χείροσι χρησάμενος δόγμασιν. Καὶ γὰρ δὴ τὴν ψυχὴν ἐκείνου εἰπόντος τριμερῆ καὶ ἀθάνατόν τε καὶ θεοειδῆ, αὐτὸς θνητὴν ἔφη καὶ ἐπίκαιρον· καὶ τὸν θεὸν εἰρηκότος ἐκείνου προμηθεῖσθαι τῶν πάντων, οὗτος τὴν γῆν, ὅσον ἧκεν εἰς λόγους, τῆς θείας κηδεμονίας ἐστέρησε· τὰ γὰρ δὴ μέχρι σελήνης ἰδύνειν ἔφη τὸν θεὸν, τὰ δέ γε ἄλλα ὑπὸ τὴν εἱμαρμένην τετάχθαι καὶ τύχην καὶ κατὰ τὴν βιαίαν ἀνάγκην ἐφίστησιν ἑκάστῳ. Καὶ ταύτῃ παραγωμῃ ποιῶν τοὺς ἀνδροφόνους καὶ τοιχορύχους καὶ πόρνους, τὰ τῆς παρανομίας εἴδη, καὶ ἄλλα δὲ πάμπολλα πρὸς ἀνατροπὴν ὁ δειλαιος τοῦ διδασκάλου δυσσεβῶς τε καὶ τολμηρῶς ἐτερατολόγησεν. (6) Ὁ τοίνυν σοφώτατος Πλάτων θεολογῶν ἔφη· «τί τὸ ὂν (μὲν) ἀεὶ, γένεσιν δὲ οὐκ ἔχον καὶ· τὸ γιγνόμενον μὲν ἀεὶ, ὂν δὲ οὐδέποτε; τὸ μὲν δὴ νοήσει μετὰ λόγου περιληπτὸν ἀεὶ, κατὰ τὸ αὐτὸ ὄν, τὸ δὲ αἰσήσει ἀλόγῳ δοξαστὸν (6[b]) γιγνόμενον μὲν καὶ ἀπογιγνόμενον, ὄντως δὲ οὐδέποτε ὄν»· ταῦτα δὲ πάντα μέρος χρόνου, τὸ ἦν καὶ ἔσται, ἃ δὴ φέροντες λανθάνομεν ἐπὶ τὴν ἀΐδιον οὐσίαν οὐκ ὀρθῶς· λέγομεν γὰρ δή· ὃς ἦν ἔτι τε καὶ ἔσται, τί δὲ τὸ ἔστιν μόνον κατὰ τὸν ἀληθῆ λόγον προσήκει· τὸ δὲ ἦν καὶ ἔσται περὶ τὴν ἐν χρόνῳ γένεσιν οὖσαν πρέπει λέγεσθαι, τὸ δὲ ἀεὶ καὶ κατ' αὐτὸν ὂν ἀνακινήτως, οὔτε νεώτερον οὔτε πρεσβύτερον προσήκει λέγεσθαι· καὶ γὰρ τὸ ἀεὶ ὂν καὶ πρὸ ὄν, γενέσεώς ἐστιν ἁπάσης ὑπέρτερον, τὸ δὲ γενόμενον καὶ ἀλλοιώσεις πολλὰς δεχόμενον, εἰκότως ἔφησεν οὐδέποτε εἶναι. Καὶ πάλιν ὁ Πλάτων φησίν· «ἀγαθὸς μὲν ὁ θεὸς τῷ ὄντι γε καὶ λεκτέον, αἴτιος τῶν ἀγαθῶν, τῶν δὲ κακῶν ἁπάντων ἀναίτιος»· ταῦτα οὖν περὶ τοῦ πεποιηκότος θεοῦ καὶ περὶ τῆς ἡμῶν αὐτεξουσιότητος ἐδίδαξε καλῶς ὁ Πλάτων φρονεῖν καὶ δοξάζειν· καὶ τοὺς κακῶν αἴτιον τὸν θεὸν λέγοντας ἐξελαύνειν ἐκέλευσεν καὶ ἀνόσιον εἶναι τόνδε τὸν λόγον φησὶ καὶ ἀξύμφορον ἡμῖν καὶ ἀσύμφωνον ἑαυτῷ. Οὐκοῦν εἰ ἀγαθὸς ὁ θεὸς, ὥσπερ

---

1. ἔδησε cod. — 3. χείρονος cod. — 14. μὲν om. Tim. 27 D. * τί Pl. — 16. τὸ δ' αὖ δόξῃ μετ' αἰσθήσεως ἀλόγου Pl. — δόξα τὸν cod. — γ. καὶ ἀπολλύμενον, ὄντως Pl. — 25. Resp II. 380 B, C, Tim. 42 E?

δὴ καὶ ἀγαθὸς, οὐκ ἂν ἄρα κακῶν αἴτιος γένοιτ' ἄν; εἰ δὲ ἀναίτιος τῶν γενομένων κακῶν, κακὰ δὲ κυρίως ὀνομαζόμενα, οὐ τὰ παρὰ πολλῶν ὀνομάζειν φίλον τισίν, ἀλλὰ κακίαν, ἀκολασίαν καὶ τὰς ἄλλας παρανομίας τὰς ὑφ' ἡμῶν αὐτεξουσίως τολμωμένας· ἡμεῖς γὰρ τούτων ἄρα αἴτιοι, καὶ οὐχ ὁ τἀναντία νομοθετήσας θεός· ὅπερ δηλοῖ αὖθις ὁ Πλάτων ἐν τοῖς νόμοις καὶ δεικνὺς ἡμῖν τὸν τῶν ὅλων πρύτανιν, τῶν τοῦ παντὸς οἰάκων ἐπιλημμένον φησίν· «ὁ μὲν δὴ θεὸς, ὡς καὶ ὁ παλαιὸς λόγος, ἀρχὴν καὶ τελευτὴν καὶ μεσοτήτα τῶν ἁπάντων ἔχων, εὐθεία περαίνει κατὰ φύσιν περιπορευόμενος, τῷ δὲ ἀεὶ ξυνέπεται δίκη τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός· ἧς ὁ μὲν εὐδαιμονήσειν μέλλων ἐχόμενος ξυνέπεται ταπεινῶς * κεκοσμημένος· ὁ δέ τις ἐξαρθεὶς, ὑπὸ μεγαλαυχίας ἢ χρήμασιν ἐπαιρόμενος ἢ τιμαῖς ἢ καὶ σώματος εὐμορφίᾳ ἅμα νεότητι καὶ ** ἀνοίᾳ φλέγεται τὴν ψυχὴν μεθ' ὕβρεως, ὡς δὴ οὔτ' ἄρχοντος οὔτ' αὖ ἡγεμόνος δεόμενος, ἀλλὰ καὶ ἄλλοις ἱκανὸς ὢν ἡγεῖσθαι, καταλείπεται ἔρημος θεοῦ, καταλειφθεὶς δὲ καὶ ἔτι ἄλλους τοιούτους προσλαβὼν σκιρτᾷ ταράττων πάνθ' ἅμα· καὶ πολλοῖς τισὶν ἔδοξεν εἶναί τι, μετὰ δὲ χρόνον *** ὑποσχὼν τιμωρίαν οὐ μεμπτὴν τῇ δίκῃ, ἑαυτόν τε [καὶ] οἶκον καὶ πόλιν ἄρδην ἀνάστατον ἐποίησεν.» Διὰ τοῦτο ὁ φιλόσοφος καὶ τὸν τοῦ παντὸς ἔδειξε κηδεμόνα καὶ τὴν ἐπὶ τινῶν ἐσκόπει μακροθυμίαν καὶ τὴν ἐντεῦθεν τοῖς ἀνοήτοις προσγινομένην λώβην καὶ τὴν ἐσύστερον αὐτοῖς ἐπιφερομένην πανολεθρίαν. Ἐν τῷ Γοργίᾳ καὶ τῆς τιμωρίας δηλοῖ τὰς αἰτίας λέγων ὧδί. «Προσήκει δὲ παντὶ τῷ ἐν τιμορίᾳ ὄντι, ὑπ' ἄλλου ὀρθῶς τιμωρουμένῳ ἢ βέλτιον γίνεσθαι καὶ ὠνήσασθαι ἢ παράδειγμα **** ἄλλοις γίνεσθαι, ἵν' ἐκεῖνοι ὁρῶντες πάσχοντα ἃ πάσχει, φοβούμενοι (7ᵉ) βελτίους γίγνωνται· εἰσὶ δὲ οἱ ὠφελούμενοι μὲν καὶ δίκην διδόντες ὑπὸ θεοῦ καὶ ἀνθρώπων οὗτοι οἱ ἂν ἰάσιμα ἁμαρτήματα ἁμαρτάνωσιν, ὅμως δὲ δι' ἀλγηδόνων καὶ ὀδυνῶν γίγνεται αὐτοῖς ἡ

---

9. μέσα τῶν ὄντων ἀπ. Pl. IV. 716. A. περιραίνει cod.—10. τοῦ θείου λόγου Pl.—11. ἐχομένῳ cod. — * καὶ Pl. 13. χρημάτων cod. — ** ἀγνοίᾳ μᾶλλον cod. gloss.—14. ὡς οὔτ' Pl. — 16. ὁ. τινὸς ἡγ. Pl. — διηγ. cod. — 17. λαλῶν σκ. cod. — *** οὐ πολὺν Pl. — 25. τιμωρουμένου cod. — βελτίονι—ὀνίνασθαι Pl. 525 B. **** τοῖς Pl. — 26. ἵνα ἄλλοι Pl. — ἃ ἂν πάσχῃ Pl. — 27. μὲν ὠ. τε Pl. — 28. θεῶν τε καὶ Pl. — 29. ἁμαρτάνουσι cod. ἁμάρτωσι Pl.

ὠφέλεια, κἀνθάδε καὶ ἐν Ἅιδου· οὐ γὰρ οἵοντε ἄλλως * ἀπαλλάττεσθαι· οἱ δὲ, ἐὰν τὰ ἔσχατα ἀδικήσωσι καὶ διὰ τὰ τοιαῦτα ἀδικήματα ἀνίατοι πάμπαν γίνωνται, ἐνταῦθα τὰ παραδείγματα γίγονται, καὶ οὗτοι ** μὲν οὐκέτι ὀνίνανται ***, ἅτε ἀνίαται ὄντες· ἄλοι δὲ ὀνίνανται οἱ τούτους ὁρῶντες διὰ τὰς μεγίστας ἁμαρτίας καὶ ὀδυνηρότερα φαὶ φοβερωτερα πάθη πάσχοντας τὸν ἀεὶ χρόνον ἀτεχνῶς παραδείγματα ****. (7) Ταῦτα δὲ ἔοικεν ὁ σοφώτατος Πλάτων ἐκ τῶν θείων σελυληκέναι λόγων· ἤκουσε γὰρ πάντως τὰ διὰ Μωϋσέως ἐπὶ θεοῦ πρὸς τὸν Φαραὼ λεχθέντα· τό·» εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοι τὴν δύναμίν μου καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ». Παμπονήρῳ γάρ τοι γεγενημένῳ ἐκείνῳ παντοδαπὰς καὶ κολάσεις ἐπήγαγεν αὐτῷ ὁ θεὸς, οὐχ ὥστε ἀποφῆναι βελτίονα—ἤδει γὰρ αὐτοῦ καὶ τὸν νοῦν ἀντίτυπον καὶ τὸ πάθος ἀνήκεστον—ἀλλ' ὅπως τὰ περὶ ἐκείνου διηγήματα πᾶσιν ὠφελείας γένωνται παραδείγματα. Καθάπερ γὰρ αἱ πόλεις τρέφουσι τοὺς δημίους, ὥστε τοὺς ἀνδροφόνους καὶ τοιχορύχους καὶ τοὺς ἄλλως παρανομοῦντας κολάζειν, οὐκ ἐπαινοῦσαι μὲν αὐτῶν, ἀλλὰ καὶ λίαν μισοῦσαι τὴν τοῦ βίου προαίρεσιν, ἀνεχόμεναι δὲ τῆς τούτων ὑπερησίας διὰ τὴν χρείαν, οὕτως ὁ τοῦ κόσμου πρύτανις, οἷα δημίους τινὰς γενέσθαι συγχωρεῖ τοὺς τυράννους ὥστε διὰ τούτων ποινὴν τοὺς παρανομοῦντας καὶ ἀσεβοῦντας εἰσπράττειν· ὕστερον δὲ καὶ αὐτοὶ παραδοθήσονται τιμωρίαις, ἐπειδὴπερ οὐχ ὡς θεῷ διακονοῦντες, ἀλλ' οἰκείᾳ πονηρίᾳ δουλεύοντες, τὰ δεινὰ δεδράκασιν ἐκεῖνα. Οὕτως ἡμαρτηκότα τὸν Ἰσραὴλ τῇ τῶν Ἀσσυρίων ὠμότητι παρέδωκε, καὶ ἐπειδὴ δὲ τὸν τοιοῦτον οὐκ ἔγνωσαν σκοπὸν, καὶ τούτων καταλύσας τὴν δυναστείαν, ἑτέροις δουλεύειν ἠνάγκασεν, ὡς διαῤῥήδην οἱ προφῆται διδάσκουσιν, παρ' ὧν ὁ Πλάτων τὰς ἀφορμὰς κεκλοφὼς τοιάδε ἔφη, τοὺς ἀνιάτως διακειμένους εἰς ὠφέλειαν ἑτέρων παιδεύεσθαι. (8) Καὶ μέν τοί γε καὶ περὶ τῶν λήξεων καὶ ἀποκληρώσεως τῶν ψυχῶν ὁ σοφώτατος ἐν

* ἀδικίας Pl. — 2. διὰ τ. Pl. — 3. ἀν. γένωνται, ἐκ τούτων — γίγνεται Pl. — ** αὐτοὶ Pl. — *** οὐδὲν Pl. — 4. ἀνίατα ὄντα cod. — 5. διὰ τὰς ἁ. τὰ μέγιστα καὶ ὀδυνηρότατα καὶ φοβερώτατα Pl. — 6. πάσχοντες καὶ τὸν cod. — 7. παραθέσονται cod. — **** ἀνηρτημένους Pl. — 9. Ex. IX. 16.

τῷ Φαίδωνι πάλιν φησί· «ὁ μὲν ἀτέλεστος καὶ ἀκάθαρτος εἰς Ἅδην ἀφικόμενος ἐν βορβόρῳ κείσεται· ὁ δὲ τετελεσμένος καὶ κεκαθαρμένος ἐκεῖσε μεταχωρήσας, μετὰ θεοῦ οἰκειώσει· τὸν μὲν γὰρ δικαίως τὸν βίον μετεληλυθότα καὶ ὁσίως, ἐπειδὰν τελευτήσει, εἰς μακάρων νήσους ἀπιόντα οἰκεῖν ἐν πάσῃ εὐδαιμονίᾳ κακῶν ἐκτὸς, τὸν δὲ ἀδίκως καὶ ἀθέως εἰς τὸ τῆς κρίσεώς τε καὶ δίκης δεσμοτήριον, ὃ δὴ Τάρταρον καλοῦσιν, ἰέναι καὶ οὕτω γυμνὸν, ἔπειτα κριτέον ἁπάντων τούτων· τεθνεώτας γὰρ (7ᵇ) δὴ κρίνεσθαι, ἵνα δικαία ἡ κρίσις τοῦ κριτοῦ γένηται·» οὕτως ὁ Πλάτων ἀκριβῶς ἐπίστευσεν εἶναι τὰ ἐν Ἅδου κριτήρια. (9) Ἐντυχὼν γὰρ Ἑβραίοις ἐν Αἰγύπτῳ, τῶν προφητικῶν λογίων ἀσπασίως ἤκουσε καὶ τὸν τοῦ πυρὸς ποταμὸν ἔμαθεν, ὃν ὁ μέγας ἐθεάσατο Δανιὴλ, καὶ τοὺς Ἡσαΐου τοῦ θειοτάτου μεμυήται λόγους, ἐν οἷς φησὶ περὶ τῶν ἁμαρτωλῶν· «ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ καὶ τὸ πῦρ οὐ σβεσθήσεται»· καὶ «τίς ἀναγγελεῖ ὑμῖν τὸν αἰώνιον τόπον»; Ὥστε οὖν Πλάτων, ὁ τῶν Ἑλλήνων πάντων σοφώτερος καὶ ὑπέρτερός τε καὶ διαβόητος, ἐν Αἰγύπτῳ πρὸς τοὺς φρονίμους καὶ σοφοὺς τῶν Αἰγυπτίων ἀφίκετο, πολυπειρίαν καὶ φυσιολογίαν ἀκριβεστέραν μαθησόμενος, ὡς Ἕλληνες ἱστοροῦσιν· ἔμαθε δὲ παρ' Ἑβραίοις καὶ θεολογίαν, εἰ καὶ μὴ σαφεστάτην καὶ ἀκραιφνῆ, καθὼς παρειλήφει διὰ τὴν προκατέχουσαν αὐτὸν δεινὴν ἀθείαν καὶ χαλεπὴν ἔτι πλάνην ἀκμάζουσαν, ἀλλ' οὖν ἐξηγήσατο· καὶ γὰρ τὰ Μωσαϊκὰ σφετερισάμενος ἱερὰ πάμπολλα καὶ μεταφράσας λόγια, ταύτῃ τοι πειρᾶται λελήθοτως, αἰνιγματοδῶς ποιεῖσθαι τὴν ἀφήγησιν, ὅθεν καὶ πρός τινα τοῦτο δὴ παρυπεμφαίνων εὖ μάλα ἔφη· «φραστέον δή σοι δὶ αἰνιγμάτων, ἵν ἄν τι ἡ δέλτος ἢ πόντου ἢ γῆς ἐν πτυχαῖς πάθῃ, ὁ ἀναγνοὺς μὴ γνῷ· ὧδε γὰρ ἔχει· περὶ τὸν πάντων βασιλέα πάντα ἐστιν καὶ ἐκείνου εἵνεκα πάντα, καὶ ἐκεῖνο πάντων τῶν καλῶν αἴτιον, δεύτερον δὲ περὶ τὰ δεύτερα, καὶ τρίτον περὶ τὰ τρίτα». (10) Καὶ ἁπλῶς, ἵνα συλλήβδην περὶ τῶν αὐτῶν αὖθις κεφαλαιωδῶς εἴπω καὶ περιληπτικῶς, πολλὰ μὲν οὖν καὶ παντοδαπὰ

---

1. 108 A. — 144 C, contracta. — 14. LXVI 24. — 15. XXXIII. 14. — 26. αἰνιγμῶν Ep. II. 312 D. — τι δέλτου cod. — 27. μάθῃ — π. τοῦ π. βασιλέως ὅτι cod. — 28. ἐκ. δὲ σοὶ cod. — ἀ. ἁπ. τῶν κ. Pl.

τῶν δυσσεβῶν αἱρουμένων τὰ στίφη καὶ διάφορα τῆς βλασφημίας τὰ βέλη, πολυσχεδὲς δὲ καὶ ποίκιλον τὸ ψεῦδος * τῷ τερπνῷ τοῦ μυθώδους κεράσασα καὶ οἷον κυκεῶνα κατασκευάσασα, τῆς πολυθέου πλάνης τὴν μέθην τοῖς ἀνθρώποις προσήνεγκεν· ἡ δὲ σοφιστικὴ ἐν τρίβωνι λευκῷ καὶ πώγωνι μακρῷ καὶ κώμῃ κεφαλῆς τὴν φιλοσοφίαν ὁριζομένη, τῆς ποιητικῆς θεολογίας τὸ καταγέλαστον ὁρῶσα, ἑτέρας πλάνης ἐνενοήσεν ἀτραπούς, εἰς αὐτὸ τὸ ποιητικὸν ἐκεῖνο βάραθρον ἀπαγούσας. Οἱ μὲν γὰρ τῇ κομψίᾳ τοῦ λόγου καὶ τῇ τῶν ἐνθυμημάτων δεινότητι τῇ ποιητικῇ τὴν περὶ τῶν θεῶν αἰσχρουγίαν καὶ αἰσχρολογίαν ἐκάλυψαν· οἱ δὲ τοῖς πάθεσι τὴν θείαν προσηγορίαν ἔθεσαν, καὶ τὴν μὲν ἡδονὴν, ὡς ἔφην, Ἀφροδίτης ὄνομα, Ἄρεα δὲ τὸν θυμὸν, τὴν δὲ μέθην Διόνυσον, Ἑρμῆν δὲ τὴν κλοπὴν, τὴν δὲ φρόνησιν Ἀθηνᾶν, καὶ τοιαῦτα τινὰ μετὰ ἀλαζωνικῆς ὀφρύος καὶ τῆς Ἀττικῆς στωμυλίας τερατευόμενοι, τοὺς πολλοὺς τῶν ἀνθρώπων εἰς ἑτέραν εἴδους ἀπάτην μετήγαγον· καὶ οἱ φιλοσοφεῖν ὑπισχνούμενοι καὶ τὴν ἀπὸ τοῦ σχήματος τιμὴν παρὰ πάντων δρεπόμενοι (8ª) καὶ τῶν παθῶν κρατεῖν ἐπαγγελλόμενοι, προσκυνεῖν τὰ πάθη τοὺς ἀνθρώπους ἀνέπεισαν καὶ τὸν αὐτοκράτορα νοῦν τῶν παθῶν καὶ ἡνίοχον, θύειν ἐπιθυμίᾳ καὶ θυμῷ καὶ κλοπῇ καὶ μέθῃ καὶ τοῖς ἄλλοις πάθεσιν, ἀνοήτως πεπείκασιν. (11) Ἄλλοι δὲ πάλιν οὐδὲν ὑπὲρ τὰ ὁρώμενα νοῆσαι δυνηθέντες, ἀλλὰ τοῖς αἰσθητοῖς τὸν νοῦν ἐγκαθείρξαντες, τὰ τοῖς ὀφθαλμοῖς εἰς θέαν προκείμενα, θεοὺς προσηγόρευσαν καὶ τὸ σεπτὸν ὄνομα καὶ φρίκην ἐμποιοῦν τοῖς ἀκούουσιν, οἱ μὲν τοῖς στασχείοις, οἱ δὲ τοῖς μέρεσι τούτων ἐπέθηκαν· καὶ οἱ μὲν ἀπὸ ταὐτομάτου γεγενῆσθαι τὸν κόσμον, οἱ δὲ πολλοὺς θεοὺς ἀνθ' ἑνὸς ἐφαντάσθησαν· καὶ οἱ μὲν μὴ εἶναι παντελῶς τὸ θεῖον, οἱ δὲ εἶναι μὲν, σὐδενὸς δὲ τῶν ὄντων ἐπιμελεῖσθαι· οἱ δὲ ἐπιμελεῖσθαι μὲν ἔφασαν, σμικρῷ λόγῳ δὲ τοῦτο ποιεῖν καὶ τῇ σελήνῃ περιορίζειν τὴν πρόνοιαν, τὸ δὲ λοιπὸν τοῦ κόσμου μέρος, ὡς ἔτυχε, φέρεσθαι τῇ τῆς Εἱμαρμένης ἀνάγκῃ δουλεύειν βεβιασμένον. (12) Διὰ δὴ τούτων καὶ τῶν τοιούτων σαφῶς ἔγνωμεν, ὡς οὐ μόνον ἀλλήλους ἀλλὰ

1. στήφη cod. — * ἡ φιλοσοφία? — 8. τῇ — αἰσχρουργίᾳ καὶ αἰσχρολογίᾳ cod.

γε καὶ σφισὶν αὐτοῖς περὶ τῶν αὐτῶν ἐναντία γεγράφασι καὶ μεγίστων διαφωνίαν φιλοδοξίᾳ τε καὶ κακουργίᾳ πιεζόμενοι πρὸς ἀλλήλους εἰργάσαντο καὶ τὴν οἰκουμένην ἐτάραξαν καὶ σὺν ἑαυτοῖς πολλοὺς ἀπώλεσαν.

(13) Τοσαύτη γοῦν πάλαι πλάνη κατεῖχε τὸν κόσμον· ἀλλὰ ταύτην ἄρδην ἠφάνισε καὶ πάμπαν ἐξήλασε προδήλως ὁ παρ' ἡμῶν προσκυνούμενος Κύριος. Καὶ μαρτυρεῖ τῷ λόγῳ τὰ πράγματα, γῆ τε καὶ θάλασσα, τῆς προτέρας ἀγνοίας καὶ δυσσεβείας ἀπηλλαγμέναι, πεπαυμένης τῶν εἰδώλων τῆς πλάνης, τῆς ἀγνοίας ὁ ζόφος ἐληλαμένος, τοῦ φωτὸς τῆς γνώσεως αἱ ἀκτῖνες τὴν οἰκουμένην ἐμπλήσασαι, Ἕλληνές τε καὶ Ῥωμαῖοι καὶ βάρβαροι τὸν ἐσταυρωμένον θεολογοῦντες καὶ ἀντὶ τῶν πολλῶν καὶ ψευδωνύμων θεῶν τῇ τριάδι μόνῃ λατρεύοντες, τὰ δὲ τῶν δαιμόνων τεμένη ἄρδην ἀπολλύοντες· οἱ βωμοὶ τῶν εἰδώλων ἐκ βάθρων ἀνεσπασμένοι, ἐκκλησίαι περιφανεῖς πανταχοῦ δεδομημέναι, ἐν πόλεσιν, ἐν κώμαις, ἐν ἐσχατιαῖς μαρτύρων καὶ ὁσίων σηκοὶ ἐξειργασμένοι, ἀσκητῶν καταγωγαὶ τὰς τῶν ὀρῶν κορυφὰς ἀγιάζουσιν. Ταῦτα καὶ τὰ τούτοις ὅμοια τῆς τοῦ σωτῆρος ἡμῶν οἰκονομίας τὸ θεοπρεπὲς ἐπιδεικνύει κατόρθωμα, κενὴν ἅπασαν τῶν φιλοσόφων αἱρεσχελίαν * καταλειπόντων τοῖς τῶν ἀλιαίων καὶ ἰδιωτῶν ἐντρυφῶσι μαθήμασι. (14) Διέμεινε τοίνυν ἡ παλαιὰ τῶν εἰδώλων πλάνη ἀπὸ Σερούχ ἕως τῶν χρόνων Θάρρα τοῦ πατρὸς Ἀβραάμ.

2444 (3114) (25) Ναχὼρ δὲ γενόμενος ἐτῶν οθ', ἐγέννησε τὸν Θάρρα (καὶ μετὰ τοῦτο ἔζησεν (8ᵇ) ἔτη ρκβ' καὶ ἀπέθανε, ζήσας τὰ πάντα ἔτη σβ'.)

IX. ΠΕΡΙ ΤΗΣ ΓΕΝΝΗΣΕΩΣ ΑΒΡΑΑΜ.

2373 (3184) Θάρρα δὲ γενόμενος ἐτῶν ο' ἐγέννησε * τὸν Ἄβραμ καὶ τὸν Ναχὼρ καὶ τὸν Ἄραν, τὸν πατέρα τοῦ Λὼτ, ὃς καὶ ἀπέθανε πρὸ τοῦ πατρὸς αὐτοῦ Θάρρα, καὶ μετὰ τοῦτο ἔζησεν ὁ Θάρρα ἔτη ρλε' καὶ

---

1. μεγίστην? — 5. Τοιαύτη οὖν Par. 2. — 9. πεπαυμένος τ. ἐ. ὁ πλάνος Par 2. — 13. ἀπώλλοντες cod. — * καὶ ματαιολογίαν secunda manus. — 25. Cod. 47,11. ἐκ γυναικὸς Ἔδνας θυγατρὸς Ἀβραὰμ τοῦ πατραδέλφου αὐτοῦ Leo, Cod.

ἀπέϑανε, ζήσας τὰ πάντα ἔτη σε· (2) ἦν δὲ οὗτος ἀγαλματοποιος απο 2238
λίϑων καὶ ξύλων ϑεοὺς πλαστοὺργῶν καὶ πιπράσκων. (3) Περίεστη (3319)
μέντοι ὁ αἰὼν εἰς εἰκοστὴν γενεὰν ἕως τούτου ἐτῶν, γτλβ' καὶ
οὐδεὶς πώποτε τῶν προγενεστέρων ἀνϑρώπων φαίνεται υἱὸς πρὸ
πατρὸς τελευτήσας, ἀλλὰ πατέρες πρὸ παίδων, τοὺς υἱοὺς διαδό-
χους τῶν πραγμάτων αὐτῶν καταλιμπάνοντες. Καὶ μήτις λεγέτω
περὶ τοῦ Ἄβελ· οὐ γὰρ ἰδίῳ ϑανάτῳ τέϑνηκεν ἀλλὰ βιαίῳ· ἐξ ὅτε
γὰρ Θάῤῥα ἀντίζηλον τῷ ϑεῷ παρεστήσατο διὰ τῆς οἰκείας πλαστ-
τουργίας τεχνασάμενος εἴδωλα, τὰ ὅμοια οἷς ἔπραξεν ἐκ τῆς δίκης
ἀπείληφεν καὶ αὐτὸς παραζηλωϑεὶς ἀπὸ τοῦ ἰδίου τέκνου· Ἀπέ-
ϑανε γὰρ ὁ Ἄραν ἐν τῷ ἐμπυρισμῷ, ᾧ ἐνεπύρησεν Ἄβραμ καῦσαι
εἴδωλα τοῦ πατρὸς αὐτοῦ· ἐν γὰρ τῷ εἰσελϑεῖν Ἄραν ἐξελέσϑαι
αὐτὰ, συνεφλέχϑη καὶ ἀπέϑανεν· διὸ καὶ ϑαυμάσασα ἡ ϑεῖα γρα-
φὴ ἐπεσημήνατο λέγουσα· «καὶ ἀπέϑανεν Ἄρα ἐνώπιον Θάῤῥα τοῦ
πατρὸς αὐτοῦ» (4) Ὁ γὰρ Ἄβραμ ὑπάρχων ἐτῶν ιδ' καὶ * ϑεο-
γνωσίας ἀξιωϑεὶς, ἐνουϑέτει τὸν πατέρα αὐτοῦ λέγων·» τί πλανᾷς
τοὺς ἀνϑρώπους διὰ κέρδος ἐπιζήμιον; οὐκ ἔστιν ἄλλος ϑεὸς εἰ
μὴ ὁ ἐν τοῖς οὐρανοῖς, ὁ καὶ πάντα τὸν κόσμον ποιήσας»· οὕτως **
λεγέται τῆς ϑεογνωσίας ἀξιωϑῆναι· ὁρῶν γὰρ τοὺς ἀνϑρώπους
πάντας κτισματολατροῦντας καὶ διαφόρους ϑεοὺς τὰ φαινομε-
να προσαγορεύοντας καὶ προσκυνοῦντας, περιήρχετο καϑ' ἑκά-
στην ἡμέραν διαπονούμενος καὶ τὸν ὄντως ὄντα ϑεὸν ἐκζητῶν
ἐκ φιλοϑέου καρδίας, Καὶ οὕτω βλέπων οὐρανὸν ποτὲ μὲν λαμπρὸν,
ποτὲ δὲ σκοτεινὸν, ἔλεγεν ἐν ἑαυτῷ· «οὐκ ἔστιν οὗτος ϑεός»· ὁμοίως
δὲ καὶ ἥλιον καὶ σελήνην, τὸν μὲν ἀποκρυπτόμενον ἢ ἀμαυρούμε-
νον πολλάκις, τὴν δὲ φϑίνουσαν καὶ ἀπολήγουσαν, ἔφασκεν· «οὐδ'
σύτοι εἰσὶ ϑεοί·» καὶ μέντοι τὴν τῶν ἄστρων φοράν τε καὶ κίνησιν
πολυπραγμονῶν — ἦν γὰρ ἀστρονόμος ἄκρος ἐκ τοῦ πατρὸς πε-
παιδευμένος — καὶ μήτε διὰ τούτου μήτε μὴν δι' ἄλλων τινῶν ὁρω-
μένων εὑρίσκων τὸν τούτων δημιουργὸν, ἐδυσχέρηνε σφόδρα καὶ
ἠϑύμει, οὗ τὸν πόϑον καὶ τὴν ἐπιϑυμίαν ἰδὼν ὁ πλάσας κατα-

Ἄρραν καὶ τὸν N. Leo, Ἀράμ καὶ τὸν N. Ced.—3. γτιβ' Georg. continuatus, γτιϑ' Eus. Chr. I. 134. — 12. Ced. 48,15. — 14. Gen. XI. 28. — 15 κδ' Ced. 48,4, sed Glyc. 246,12 e Georgio ιδ'. — * τότε Par. 2; — ** δὲ Par. 2. — 19. π. τ. ἀ. Par. 2. — 20. διαφόρως κτίσματα λαμπροῦντας καὶ διὰ φόβου ϑ. Par. 2. — 21. πρ. καὶ λατρεύοντας Par.

μόνας τὰς καρδίας ἡμῶν καὶ συνεὶς εἰς πάντα τὰ ἔργα αὐτοῦ, ὥφϑη αὐτῷ καὶ πρὸς τὴν γῆν τῆς ἐπαγγελίας πορείαν παρεκελεύσατο λέγων· «ἔξελϑε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου· καὶ δεῦρο εἰς γῆν ἣν ἄν σοι δείξω.» (5) Καὶ δὴ παραχρῆμα λαβὼν τὰ εἰδώλα καὶ τὰ μὲν κλάσας, τὰ δὲ ἐμπυρήσας ἀνεχώρει μετὰ τοῦ πατρὸς αὐτοῦ ἐκ γῆς Χαλδαίων, καὶ (9ª) ἐλϑὼν εἰς Χαῤῥὰν ἐτελεύτησεν ὁ πατὴρ αὐτοῦ. Καὶ ἐξελϑὼν ἐκεῖϑεν πάλιν ἐν λόγῳ Κυρίου ἦλϑε σὺν τῇ γυναικὶ αὐτοῦ Σάῤῥᾳ καὶ τῷ ἀνεψιῷ αὐτοῦ Λὼτ μετὰ πάσης αὐτῶν τῆς ἀποσκευῆς εἰς τὴν ὀφειλομένην γῆν Χαναάν, ἣν οἱ Χαναναῖοι τυραννικῶς ᾤκησαν, πολεμικῇ χρησάμενοι βίᾳ. (6) Περὶ οὗ μέντοι καὶ Κλήμης ὁ Ρωμαῖος καὶ σοφώτατος καὶ μαϑητὴς Πέτρου τοῦ μεγάλου γνήσιος, οὕτως ἔφη· «Λιμοῦ δὲ γενομένου καταλείπων Ἀβρὰμ τὴν Χαναναίαν γῆν, εἰς Αἴγυπτον ἀπῄει, οὗ τὴν γυναῖκα Σάῤῥαν Ἀβιμέλεχ ἁρπάσας ὁ βασιλεύς, αὐτίκα τοῦτον ὁ ϑεὸς ἐτάσας καὶ λίαν ἐκδειματώσας, ἅμα καὶ πάρεσιν τῶν μελῶν ἐπάξας· «ἄποδος, ἔφη, τὴν γυναῖκα τῷ ἀνϑρώπῳ, ὅτι προφήτης ἐστί, καὶ προσεύξεται περὶ σοῦ καὶ ζήσεις· εἰ δὲ μὴ ἀποδῷς, γνῶϑι ὅτι ἀποϑανῇ σὺ καὶ τὰ σὰ πάντα». Καὶ οὕτως ἀπολαβὼν ὁ Ἄβραμ τὴν Σάῤῥα ἀμίαντον καὶ προσευξάμενος, ἰάϑη τῆς παρέσεως ὅ τε Ἀβιμέλεχ καὶ πάντες οἱ ἐν τῷ οἴκῳ αὐτοῦ ἐκ τῆς ϑεηλάτου πληγῆς». (7) Ὅϑεν δὴ λοιπὸν ὡς δίκαιον ἐκτότε καὶ τοῦ ϑεοῦ δοῦλον τιμῶν αὐτὸν ὁ βασιλεὺς καὶ προσέχων τοῖς ὑπ' αὐτοῦ λεγομένοις, διδάσκαλος εὐσεβείας καὶ πολυπειρίας Αἰγυπτίοις ἐγένετο». Πρῶτος γάρ, ὡς φησὶν Ἰώσηπος, Ἀβρὰμ δημιουργὸν τὸν ϑεὸν ἀνεκήρυξεν, καὶ πρῶτος κατελϑὼν εἰς Αἴγυπτον ἀριϑμητικὴν καὶ ἀστρονομίαν αὐτοὺς ἐδίδαξεν κἀντεῦϑεν ἐπέραστος καὶ παγγέραστος γενάμενος, ἠξίωσεν ὁ βασιλεὺς ὑπ' αὐτοῦ γυμνασϑῆναι τὰ περὶ ἀστρολογίας καὶ μαγείας ἅτε πολυπείρῳ καὶ Χαλδαίῳ τυγχάνοντι· ἀστρολογία γὰρ καὶ μαγεία ἀπὸ Μαγουσαίων ἤτοι Περσῶν ἤρξατο· οἱ γάρ τοι Πέρσαι Μαγῶγ ὑπὸ τῶν ἐγχωρίων ὠνο-

3. Gen. XII. 1. — 13. Clemens, recog. I. 33,34 de his nihil habet nec alibi ubi de Abrahamo agitur. — 17. Gen. XII. 10, XX. 2, Ced. 52,11, 53,19 — 56,8, Glyc. 246.19 — 22 e Iosepho. — 25. A. t. VII. 1. VIII. 2.

μάζοντο. Καὶ δὴ τῶν ἀστρολόγων καὶ μάγων συναϑροϊσϑέντων, ὁ βασιλεὺς ἅμα τῷ Ἄβραμ καὶ τοῖς συνήϑεσιν ἐκαϑέσϑη. Καὶ ἡσυχίας γενομένης, ὁ Ἄβραμ ἔφη· «Μαϑεῖν βούλομαι παρ' ὑμῶν τῶν σοφῶν· εἰ δύναται γένεσις καὶ μαγεία βλάψαι τινὰ ἢ ὠφελῆσαι κατὰ τὴν ὑμετέραν δόξαν»· ἀφ' ὧν ἀποκριϑεὶς Αἰγύπτιος ἀστρολόγος καὶ μάγος εἶπεν· «μεγάλων ἡμῖν καὶ ἀναγκαίων ζητημάτων ἀγαϑὴ πρόφασις, ὦ διδάσκαλε, γίνῃ· καὶ ἄξιόν ἐστι μηδὲν ἀποκρύψασϑαί σε τῶν παρ' ἡμῖν ἀποῤῥήτων, πάντας οἴομεν ἀϑρώπους γενέσει καὶ εἱμαρμένῃ δουλεύειν· ἀδύνατον γάρ ἐστιν ἄνϑρωπον φονευϑῆναι ἢ τελευτῆσαι παρὰ γένεσιν». Ὁ δὲ Ἄβραμ ἔφη· «ἠπατήϑης ὄντως εἰπεῖν τοῦτο, μὴ εἰδὼς ὅτι ἐπὶ κριτοῦ βασιλέως ἔφης, ὃς ἀνϑρώπων τὴν ἐξουσίαν ἔχει». Καὶ ὁ βασιλεὺς ἀγανακτήσας ἔφη πρὸς τὸν ἀστρολόγον· νῦν οὖν ἐὰν μεταπέμψωμεν τῶν ὑπηκόων ἀνϑρώπων ἕνα καὶ σκεψάμενος ἐφ' ἡμῶν εἴπῃς, ζωῆς αὐτὸν χρόνον ἔχειν ἢ μὴ ἔχειν, ἐγὼ τοὐναντίον πρὸς τοῦτον ποιήσω γενέσϑαι, οὐ σαφῶς ἐληλεγξαι ψεύστης ὑπάρχειν; Καὶ γὰρ ἐὰν εἴπῃς αὐτὸν ἔτι χρόνον ἔχειν ζωῆς, εὐϑὺς κελεύσω αὐτὸν ἀναιρεϑῆναι, εἰ δὲ μὴ ἔχειν αὐτὸν χρόνους λειπομένους (9ᵇ) λέξῃς πλὴν τὴν συνεστῶσαν ὥραν, αὐτὸν μὲν τῆς καταδίκης ἀπολύσω, σὲ δὲ παρευϑὺ ὡς ψευδολόγον τοῦ ζῆν προεκκόψω, ἵνα λοιπὸν ὁ ϑάνατός σου πείσῃ πάντας αὐτίκα μηδεμίαν ἀληϑείας ἔμφασιν ἔχειν τὰ περὶ τῆς ἀστρολογίας σου μυϑολογούμενα». Ταῦτα δὲ τοῦ βασιλέως εἰπόντος, ὁ Αἰγύπτιος ἔντρομος γενόμενος ἔπεσε πρηνής, δεόμενος ἐλέους τυχεῖν, αὐτός τε καὶ οἱ ὁμόφρονες αὐτοῦ. Καὶ ὁ βασιλεὺς τῷ Ἄβραμ χαριζόμενος ὡς διδασκάλῳ καὶ τὴν πλάνην ἐναργῶς φανερώσαντι δι' ἐπινοίας καὶ ὑπὲρ τῶν ματαιολόγων συνκετεύσαντι συνεχώρησεν αὐτοὺς, ἐπὶ πλεῖον κωμῳδήσας τὴν ἄλογον αὐτῶν δόξαν ὡς ἀνίσχυρον καὶ λαοπλάνον. Καὶ δὴ κελεύσας ὡς ἐξ ὑποβολῆς Ἄβραμ ἀχϑῆναι τινὰ προκαταδικασϑέντα πυρίκαυστον γενέσϑαι, προσέταξεν ἐπὶ πάντων εὑρεϑῆναι τὴν γέννησιν αὐτοῦ καὶ τὸν ϑάνατον καὶ διασκεψαμένους εἰπεῖν τὸν τρόπον τοῦ ϑανάτου. Τῶν δὲ νουνεχῶς ἐπὶ πολὺ διασκεψαμένων καὶ εἰπόντων, ὅτι

---

27. αὐτοῖς cod. — 31. διασκεψάμενοι cod.

πυρποληϑεὶς ἀποϑανεῖται, τῆς γενέσεως ἐπαγούσης καὶ διαγορευούσης τοῦτο σαφῶς, ἀλλὰ νῦν ἔτι χρόνον ἔχει ζωῆς καὶ οὔπω ἐλήλυϑεν ὁ χρόνος τοῦ ϑανάτου, φησὶν ὁ βασιλεύς· «ἐγὼ σημέρον τοῦτον ἀπαλλάξω τοῦ διὰ πυρὸς ϑανάτου, κελεύσας ὕδατι αὐτὸν ἀναιρεϑῆναι, ἵνα ὑμῖν ἔργῳ παραστήσω προδήλως, ὅτι δύναταί τι παρὰ γένεσιν γενέσϑαι»· καὶ οὕτως ἤλεγξεν αὐτῶν εὖ μάλα τὴν περὶ τῶν χρόνων περὶ τῆς ζωῆς πρόῤῥησιν καὶ τῆς τελευτῆς ἀπόφασιν. Ἡσυχασάντων οὖν πάντων, ὁ Ἄβραμ τοῦ λέγειν ἤρξατο· «μέγιστε καὶ φιλαληϑέστατε βασιλεῦ, ἐπειδὴ ὁρῶ σε φροντίζοντα σφόδρα τῆς προκειμένης ζητήσεως τὸ ἀληϑέστερον ἐγώ σοι παρέξω δι' ἐπιτομῆς, ἀληϑεύων ἐν πᾶσι, ὡς τῆς ἀληϑείας ὄντως δοῦλος». Τοῦ δὲ βασιλέως εἰπόντος· «μεγάλην μοι ταύτην ποιήσεις χάριν», φησὶν ὁ Ἄβραμ» οὐ μόνον οἱ ἄνϑρωποι, ἀλλὰ καὶ τὰ ἄλογα ζῷα γενέσει ὑπόκεινται· οἱ μέντοι ἄνϑρωποι ἔχουσί τι ἐν ἑαυτοῖς ἐλεύϑερον, γενέσει μὴ ὑποκείμενον, καϑότι τῆς γενέσεως ἐκεῖνο πρεσβύτερον, ὅπερ ἐστὶν ἐν ἀνϑρώποις αὐτεξουσιότης, ἥτις ἐκ ϑεοῦ δοϑεῖσα ἡμῖν, ὅϑεν τῶν ἀλόγων κρείττους ὄντες καὶ κατ' ἐξουσίαν ἀναιρεῖν μὲν ἡμεῖς αὐτὰ πεφύκαμεν. Ἡμῶν δὲ τὴν ἐξουσίαν αὐτῶν ἐχόντων, σὺ πάλιν κρειττων ὑπάρχεις, ἡμῶν ἔχων τὴν ἐξουσίαν. Ὡς οὖν ἡμεῖς καταλογικώτερον τῶν ἀλόγων ζῴων, ἄμεινον ὄντες, ἄρχομεν, οὕτως ἡμῶν σὺ, βασιλεῦ, κρειττων ὑπάρχων, κατὰ τὸν τῆς ἀρχῆς λόγον τὴν ἐξουσίαν ἔχεις, ὥσπερ δὴ καὶ σοῦ κρειττων οὐκ ἄνϑρωπος, ἀλλ' ὁ ϑεὸς ὁ ἀόρατος καὶ ποιητὴς πάντων καὶ δεσπότης, παρ' οὗ καὶ τὸ συμφέρον αἰτεῖσϑαι προσήκει». Πολλὰ δέ γε τοιαῦτα λέξας ὁ Ἄβραμ εἰς τὸν τῆς ἀστρολογίας σκοπὸν τῷ βασιλεῖ χαριζόμενος, πολλοὺς τῶν Αἰγυπτίων ἐπεσπάσατο εἰς ϑεοσέβειαν καὶ τὴν ἐσφαλμένην (10ª) αὐτῶν γνῶσιν καὶ παιδείαν περὶ ἀστρολογίας καὶ μαγείας διωρϑώσατο φάσκων· «πολλή τις, ὦ ἄνδρες, ἡ διαφορά ἐστιν ἀληϑείας καὶ συνηϑείας· ἡ μὲν γὰρ ἀλήϑεια γνησίως ζητουμένη πάντως εὑρίσκεται, τὸ δὲ ἔϑος ὁποῖον ἂν παραληφϑῇ εἴτε ἀληϑῶς, εἴτε ψευδῶς, ἀκρίτως ὑφ' ἑαυτοῦ κρατύνεται καὶ οὔτε ἀληϑεῖ αὐτῷ ἥδεται ὁ παραλαβών,

---

19, 21 et 23. κρεῖττον cod. — 39. ἀληϑ. αὐτὸν cod.

οὔτε ὡς ψευδὲς ἄχθεται· οὐ γὰρ κρίσει, ἀλλὰ προλήψει ὁ τοιοῦτος πεπίστευκε γνώμῃ τῶν πρὸ αὐτοῦ, ἐπ' ἀδήλῳ τύχῃ τὴν ἰδίαν ἐπιδεδωκὼς ἐλπίδα. Καὶ οὐκέτι ῥαδίως ἀποδύσασθαι τὴν πάτριον περιβολήν, κἂν πάνυ αὐτῷ δείκνυται μωρία καὶ καταγέλαστος οὖσα· αὐτίκα οὖν ἐγὼ τὴν παρ' Ἑλλήνων παιδείαν καὶ φληναφίαν κακοῦ δαίμονος χαλεπωτάτην ὑπόθεσιν εἶναι λέγω· οἱ μὲν γὰρ αὐτῶν πολλοὺς θεοὺς εἰσηγήσαντο καὶ τούτους φαύλους καὶ παντοπαθεῖς, ἵνα ὁ τὰ ὅμοια πράττειν ἐθέλων, μηδὲ αἰδῆται, ὅπερ ἴδιον ἀνθρώπου, παράδειγμα τῶν μυθολογουμένων θεῶν ἔχων τοὺς κακίστους καὶ ἀσέμνους βίους, τῷ δὲ μὴ αἰδεῖσθαι οὐδὲ μετανοίας ἐλπίδα πάντως ὁ τοιοῦτος ἐμφαίνει· οἱ δὲ Εἱμαρμένης πλάσαντες πλάνην, ἑτέραν τὴν λεγομένην γένεσιν, ἧς χωρὶς μηδὲν πάσχειν ἢ ποιεῖν τι δύνασθαί τινα τερατολογοῦσιν· καὶ τῇ αὐτῇ πλάνῃ καὶ δυσσεβείᾳ περιπίπτουσι· νομίσας γάρ τις, ὅτι παρὰ γένεσιν ἤγουν Εἱμαρμένην οὐδεὶς οὔτε ποιεῖν τι οὔτε πάσχειν ἐζουσίαν ἔχει, ῥαδίως λοιπὸν ὡς κτενῶδες ἐπὶ τὸ ἁμαρτάνειν ἔρχεται. Καὶ ἁμαρτὼν οὐ μεταμελεῖται παντελῶς ἐφ' οἷς ἠσέβησεν, ἀπολογίαν ἄλογον φέρων, ὡς ὑπὸ γενέσεως αὐτὰ ποιεῖν ἐξηναγκαστο. Καὶ ὁ τὴν γένεσιν ἄλλως κατορθῶσαι μὴ δυνάμενος, οὐδὲ τὸ αἰδεῖσθαι ἔχει ἐφ' οἷς ἐξαμαρτάνει. Ἄλλοι δὲ ἀπρονόητον φορὰν εἰσηγοῦνται καὶ αὐτόματον τὸ πᾶν συνεστάναι τε καὶ φέρεσθαι, οὐδενὸς ἐφεστηκότος κυρίου καὶ δεσπότου· διὸ δὴ τοίνυν οὐδὲ ῥαδίως ἢ τάχα οὐδ' ὅλως οἱ τὰ τοιαῦτα φρονοῦντες παντελῶς βελτιοῦνται καὶ σωφρονίζονται».

Ἐφ' οἷς ὁ βασιλεὺς ἄγαν ἐπαινέσας αὐτὸν καὶ ὑπὸ πάντων ἰδὼν θαυμασθέντα πολλοῖς δώροις καὶ μεγάλοις αὐτὸν τιμήσας ἐπὶ πάντων καὶ τῆς διδασκαλίας τὴν ὠφέλειαν ὁμολογήσας, μετὰ παίδων καὶ παιδισκῶν ἐπανελθεῖν οἴκαδε σπεύδοντα προὔπεμψεν, ὑπερεκπληττόμενος τὴν ἄκραν συνέσιν αὐτοῦ καὶ σοφίαν καὶ θεοσέβειαν εἰς πάντα τὰ ὑπ' αὐτοῦ ἑρμηνευθέντα.

Χ'. ΠΕΡΙ ΣΙΔΟΥ ΚΑΙ ΜΕΛΧΙΣΕΔΕΚ.

Γίνονται οὖν ἀπὸ τοῦ διαμερισμοῦ τῆς συγχύσεως ἕως οὗ ἦλθεν Ἄβραμ ἐκ Μεσοποταμίας, ἐκ πόλεως Χαρὰν καὶ τοῦ

1. ψευδῆ cod. — 8. αἰδεῖται cod. — 10. τὸ cod. — 11. ἁπλ. cod. ἐκπλ? — 14. ἤτουν cod

οἴκου τοῦ πατρὸς αὐτοῦ κατὰ κέλευσιν θεοῦ εἰς γῆν Χαναὰν
ἣ ἐπὶ Παλαιστίνην ἔτη ριζ', ὑπῆρχε δὲ (10[b]) ἐτῶν οε'. Διατρίψας δὲ εἰς Χαναὰν ἔτη κε', ἐγέννησε τὸν Ἰσαὰκ καὶ
2273 (3284) μετὰ τοῦτο ἔζησεν ἔτη ος' καὶ ἀπέθανε, ζήσας τὰ πάντα ἔτη ρος'. (2) Ὃς καὶ τῆς εὐλογίας τοῦ θεσπεσίου Μελχισεδὲκ βασιλέως Σαλὴμ ἠξιώθη μετὰ τὸ ὑποστρέψαι αὐτὸν ἀπὸ τῆς κοπῆς τοῦ Χοδολαγομὼρ καὶ λυτρωσάμενος τὸν ἀδελφιδοῦν ἐκ τῆς αἰχμαλωσίας «καὶ Μελχισεδὲκ, φησὶν, βασιλεὺς Σαλὴμ, ἐξήνεγκεν ἄρτους καὶ οἶνον· ἦν δὲ ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου καὶ εὐλόγησεν Ἀβραὰμ καὶ εἶπεν·» εὐλογημένος Ἀβραὰμ τῷ θεῷ τῷ ὑψίστῳ, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ εὐλογημένος ὁ θεὸς ὁ ὕψιστος, ὃς παρέδωκε τοὺς ἐχθρούς σου ὑποχειρίους σοι. Καὶ ἔδωκεν αὐτῷ δεκάτην Ἀβραὰμ ἀπὸ πάντων». (3) Περὶ οὗ καὶ ὁ ἀπόστολος ἔφη. «Οὗτος γὰρ ὁ Μελχισεδὲκ, βασιλεὺς Σαλὴμ, ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου, ὁ συναντήσας Ἀβραὰμ ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων καὶ εὐλογήσας αὐτὸν, ᾧ καὶ δεκάτην ἀπὸ πάντων ἐμέρισεν Ἀβραὰμ, πρῶτον μὲν ἑρμηνευόμενος βασιλεὺς δικαιοσύνης, ἔπειτα δὲ βασιλεὺς Σαλὴμ, ὅ ἐστι βασιλεὺς εἰρήνης, ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν μήτε ζωῆς τέλος ἔχων, ἀφοιωμένος τῷ υἱῷ τοῦ θεοῦ, μένει ἱερεὺς εἰς τὸ διηνεκές· θεωρεῖτε δὲ πηλίκος οὗτος, ᾧ καὶ δεκάτην Ἀβραὰμ ἔδωκεν ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης. Καὶ οἱ μὲν τῶν υἱῶν Λευῒ τὴν ἱερατείαν λαμβάνοντες ἐντολὴν ἔχουσιν ἀποδεκατοῦν τὸν λαὸν κατὰ τὸν νόμον τούτεστι τοὺς ἀδελφοὺς αὐτῶν, καίπερ ἐξεληλυθότας ἐκ τῆς ὀσφύος Ἀβραάμ. Ὁ δὲ μὴ γενεαλογούμενος ἐξ αὐτῶν δεδεκάτωκε τὸν Ἀβραὰμ καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας ηὐλόγησεν· χωρὶς γὰρ πάσης ἀντιλογίας τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται». (4) Ἀνὴρ γὰρ ἦν δίκαιος καὶ θεοσεβὴς, ἐθνικῶς καταγόμενος, ἐφ' ὅσον γὰρ λέγεται, φυλῆς ἑτέρας μετέσχηκεν, ἐκ τοῦ γένους Σίδου, υἱοῦ βασιλέως Αἰγύπτου, ἐξ οὗ Αἰγύπτος ὠνόμασται, ὡς καὶ πρόσθεν εἴρηται, ὅστις Σίδος ἐξελθὼν ἐξ Αἰγύπτου καὶ τὴν χώραν τῶν

---

2. χιζ' cod. secunda manu, priori erasa, ας' Leo. — 5. Glyc. 255,1 — 258,6. 8. Gen. XIV. 18 — 20; 14. Hebr. VII. 1 — 7. — 30. υἱὸς Σ. β. υἱοῦ Leo.

Χαναναίων παραλαβών, τὴν νῦν Παλαιστίνην καλουμένην, εἰς ἣν οἰκήσας καὶ πόλιν κτίσας, ἐκάλεσεν αὐτὴν Σιδόνα εἰς τὸ ἴδιον ὄνομα, καὶ λοιπὸν ἐκ τοῦ γένους Σίδου κατῆλθεν Ἐλχὶ ὁ πατὴρ τοῦ Σεδὲκ, ὅστις Σεδὲκ γενόμενος ἱερεὺς καὶ βασιλεὺς ἐπεκλήθη Μελχισεδὲκ πατρωνυμικῶς.

XI. ΠΕΡΙ ΤΗΣ ΚΤΙΣΕΩΣ ΤΟΥ ΜΕΛΧΙΣΕΔΕΚ.

Οὗτος ὑπάρχων ἱερεὺς τοῦ θεοῦ καὶ βασιλεὺς τῶν Χαναναίων καὶ κτίσας πόλιν ἐν τῷ ὄρει τῷ λεγομένῳ Σιών, ἐπωνόμασεν αὐτὴν Σαλήμ, ὅ ἐστι πόλις εἰρήνης, ἐν ᾗ καὶ βασιλεύσας ἔτη ριγ' ἐτελεύτησε δίκαιος καὶ παρθένος, ὥς φησιν Ἰώσηπος, ᾧ καὶ συνάδουσι Ἰωάννης καὶ Κύριλλος. (5) Ἀγενεαλόγητος δὲ εἴρηται Μελχισεδὲκ, παρὰ τὸ μὴ ὑπάρχειν μὲν ἐκ τοῦ σπέρματος Ἀβραὰμ ὅλως, μηδὲ ὑπὸ Μωσέως γενεαλογεῖσθαι τοπαράπαν, εἶναι δὲ Χαναναῖον τὸ γένος καὶ ἐκ τῆς ἐπ (11[a]) αράτου σποράς ὁρμώμενον, ὅθεν οὐδὲ γενεαλογίας ἠξίωτο, οὐδὲ γὰρ πρεπωδέστερον ἦν, τὸν τῆς ἄκρας δικαιοσύνης ἐπιλημμένον συμπλέκειν τῷ τῆς ἄκρας ἀδικίας γένει· (3) διὸ καὶ ἀμήτορα καὶ ἀπάτορα τυγχάνειν, οὐκ ἀξίους ἡγούμενος τοὺς προγόνους τῆς ἀρετῆς τοῦ δικαίου ἀνδρὸς καὶ σώφρονος· (4) ὅτι γὰρ Χαναναῖος ἦν τὸ γένος, εὔδηλον καὶ ἀφ' ὧν ἐκράτει καὶ ἐβασίλευσε κλιμάτων τῶν Χαναναίων καὶ οἷς ἐπλησίαζε πονηροτάτοις Σοδόμοις.

XII. ΠΕΡΙ ΤΗΣ ΣΑΛΗΜ.

Καὶ μέντοι καὶ ἡ Σαλὴμ ἧς ὑπῆρχε βασιλεὺς, ἡ πολυθρύλλητος Ἱερουσαλήμ, ἐκ προσθήκης δὲ τὴν τοῦ ἱεροῦ μετὰ τῆς Σαλὴμ συλλαμβάνουσα συλλαβὴν καὶ κατὰ συναφειαν ὀνομασθεῖσα φερωνύμως Ἱερουσαλήμ, πῇ μὲν διὰ τὴν ἱερουργίαν τοῦ Μελχισεδὲκ, πῇ δὲ διὰ τὴν τοῦ ἱεροῦ ναοῦ κατασκευὴν, εἴληφε τὴν προσθήκην

1. Χαλδαίων cod. — 6. ΚΑΙΣΕΩΣ Mon. Aug.? — 22. ΤΟΥ Mon. Aug.? — 24. μετὰ τὴν cod.

τῶν συλλαβῶν ὕστερον. (2) Περὶ οὗ μέντοι καὶ Μάρκος ὁ θεῖος ὕστερον, ὁ καὶ τοῦ Χρυσοστόμου φοιτητὴς, ἔφη· «ἐπειδὴ γὰρ ἐν τῇ γενεαλογίᾳ οὐκ ἐκφέρεται τίνος πατρὸς ἢ ποίας μητρὸς ἢ πότε ἀπέθανε, διὰ τοῦτο μήτε ἀρχὴν ἡμερῶν μήτε ζωῆς τέλος ἔχειν εἴρηται· οὐ γὰρ ἠδύνατο γενεαλογηθῆναι ἐκ τῶν παραλειφθέτων ἐθνῶν καταγόμενος, καθὼς ἐκ τῆς κατοικίας αὐτὸν ἡ γραφὴ παρεδήλωσεν, περὶ οὗ καὶ ὁ ἀπόστολος εἶπεν.» Οὗτος γὰρ ὁ Μελχισεδὲκ πρῶτον μὲν ἑρμηνευόμενος βασιλεὺς δικαιοσύνης, ἔπειτα δὲ βασιλεὺς Σαλήμ, ὅ ἐστι βασιλεὺς εἰρήνης».

XIII. ΠΕΡΙ ΤΗΣ ΚΛΗΣΕΩΣ ΙΕΡΟΥΣΑΛΗΜ.

Ἡ μὲν γὰρ νῦν Ἱερουσαλὴμ Ἰεβοὺς ἐκαλεῖτο πρώην, ὅθεν μανθάνομεν, ὅτι ἐκ τῶν καθαιρεθέντων ἑπτὰ ἐθνῶν ὁ Μελχισιδὲκ Ἰεβουσαῖος πρῶτον ἐτύγχανεν. (2) Ὕστερον δὲ μετὰ τὴν ἐκβολὴν τῶν ἐθνῶν καὶ κατοίκησιν τοῦ λαοῦ, ἐπεκλήρωσεν αὐτὴν ὁ θεὸς τοῖς ἱερεῦσι τοῦ ἐκεῖ ἀναφέρεσθαι τὰς θυσίας ἐκ παντὸς τόπου τῶν Ἰουδαίων. (3) Διὸ καὶ μετὰ τὸ καταπαῦσαι ἀπὸ τῶν πολέμων, μετωνόμασε τὴν πόλιν Σαλήμ, ὅ ἐστι εἰρήνη· Ἱερουσαλὴμ γὰρ ἑρμηνεύεται ὅρος εἰρήνης, οὗ δὴ χάριν ὁ Μελχισεδὲκ «βασιλεὺς εἰρήνης» ἑρμηνεύεται, βασιλεύσας ἐν αὐτῇ πρότερον. (4) Τὸ δὲ «βασιλεὺς δικαιοσύνης» πάλιν τοῦ ἰδίου ἐστὶν ὀνόματος ἑρμηνεία, τούτεστι Μελχισεδὲκ γλώσσῃ τῇ χανανίτιδι. (5) Ὅταν οὖν ἀναγινώσκῃς, ὡς οὗτος, καὶ εὕρῃς τι περὶ τοῦ Μελχισεδὲκ γεγραμμένον ὑπὲρ ἄνθρωπον, μνήσθητι παρ' αὐτίκα τοῦ ἀποστόλου φάσκοντος· «ἐφ' ὅσον λεγέται ταῦτα, φυλῆς ἑτέρας μετεσχηκέναι», καὶ οὐδέποτε πλανηθήσῃ. (6) Ἐματαιώθησαν τοίνυν ἐκ διαμέτρου οἱ ἀπόπληκτοι καὶ δυσσώδεις Μελχιδεσεκιανοὶ, θεὸν φύσει τοῦτον πιστεύοντες εἶναι καὶ οὐ θνητὸν ἄνθρωπον, ὅθεν δικαίως καταδικασθήσονται παρὰ τῆς ἀδικάστου δίκης ὡς ἀνθρωπολάτραι «τῇ κτίσει παρὰ τὸν κτίσαντα λατρεύοντες» διὰ πολλὴν καὶ ἐσχάτην ἄνοιαν, μᾶλλον δὲ ταλησθέστερον εἰπεῖν, διὰ κτηνωδίαν τε καὶ δυσσέβειαν. (11[b]) (7) Εἰ-

11. ΚΑΙΣ. Mon. Aug.? — 23. ἐφ' ὃν Heb. VII. 13. — 28. Rom. I. 25.

κότως οὖν περὶ τῶν τοιούτων ὁ μὲν ἀπόστολος ἔλεγεν· «ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία. Φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν. Καὶ ἠλλάξαντο τὴν δόξαν τοῦ ἀφθάρτου θεοῦ ἐν ὁμοιώματι [εἰκόνος] φθαρτοῦ ἀνθρώπου. Διὸ καὶ παρέδωκεν αὐτοὺς ὁ θεὸς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν εἰς ἀδόκιμον νοῦν — καὶ εἰς πάθη ἀτιμίας, οἵ τινες μετήλλαξαν τὴν ἀλήθειαν τοῦ θεοῦ ἐν τῷ ψεύδει καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα, ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας· ἀμήν».

(8) Ὁ δὲ Σολομὼν ὡσαύτως ἔφη· «μάταιοι μὲν γὰρ πάντες ἄνθρωποι φύσει, οἷς πάρεστιν ἀγνωσία τοῦ θεοῦ» καὶ «σποδὸς ἡ καρδία αὐτῶν καὶ γῆς εὐτελεστέρα ἡ ἐλπὶς αὐτῶν», «ὅτι ἠγνόησαν τὸν ποιήσαντα αὐτοὺς καὶ τὸν ἐμπνεύσαντα αὐτοῖς πνεῦμα ζωτικόν». (9) Ἐφ' ὧν χρόνων πῦρ κατὰ τῆς Πενταπόλεως Σοδόμων καὶ Γομόρρων ὁ θεὸς ὑετίζει καὶ ἀναλίσκει μὲν ἅπαν τὸ γένος τῶν ἀνθρώπων παρεκτὸς Λὼτ ἀνεψιοῦ Ἄβραμ καὶ τῶν δύο θυγατέρων αὐτοῦ, διαφθείρει δὲ καὶ ἅπαν τῆς γῆς τὸ ἀνάστημα, καὶ τῆς παρακειμένης θαλάσσης νεκροῦται τὰ ὕδατα. Ὁ μὲν οὖν Λὼτ ἐγέννησεν υἱοὺς δύο ἐκ τῶν δύο θυγατέρων αὐτοῦ, τὸν Μωὰβ καὶ τὸν Ἀμμανόν, ἐξ ὧν Μωαβῖται καὶ Ἀμμανῖται. (10) Ὁ δὲ Ἄβραμ ἔτεκε τὸν Ἰσμαὴλ ἐκ τῆς Αἰγυπτίας αὐτοῦ παιδίσκης Ἄγαρ καὶ τὸν Ἰσαὰκ ἐκ τῆς Σάρρας, ἀφ' ὧν Ἰσμαηλῖται καὶ Ἰσραηλῖται. Τῆς τοίνυν Ἄγαρ ἐκ τοῦ Ἄβραμ συλλαβούσης καὶ κακουμένης ὑπὸ τῆς Σάρρας, ἀποδρασάσης «εὗρε, φησίν, αὐτὴν ἄγγελος Κυρίου ἐν τῇ ἐρήμῳ καὶ εἶπεν αὐτῇ· «πόθεν ἔρχῃ καὶ ποῦ πορεύῃ»; καὶ εἶπεν· «ἀπὸ προσώπου τῆς κυρίας μου Σάρρας ἀποδιδράσκω», καὶ φησὶν ὁ ἄγγελος Κυρίου. «Ἀποστράφηθι πρὸς τὴν κυρίαν σου καὶ ταπεινώθητι ὑπὸ τὰς χεῖρας αὐτῆς καὶ πληθύνων πληθυνῶ τὸ σπέρμα σου, καὶ οὐκ ἀριθμηθήσεται ὑπὸ τοῦ πλήθους· ἰδοὺ γὰρ ἐν γαστρὶ ἔχεις καὶ τέξῃ υἱὸν καὶ κα-

---

1. Rom. I. 21 — 26. — 6. ἀ. εἰς ἀκαθαρσίαν 24 — εἰς π. ἀτ. 26. — 11. παρῆν θεοῦ ἀγ. Sap. XIII. 1. — 12. αὐτοῦ bis XV. 10. — ἠγνόησε τὸν πλάσαντα αὐτὸν καὶ τὸν ἐ. αὐτῷ ψυχὴν ἐνεργοῦσαν καὶ ἐμφυσήσαντα π. ζ. 11. — 17. καὶ ἀπὸ τῆς Leo. — 18. προκ. Leo cf. Ced. 31. 5 — 247 — 24. Gen. XVI. 7 — 13.

λέσεις τὸ ὄνομα αὐτοῦ Ἰσμαὴλ, ὅτι ἐπήκουσε Κύριος τῆ ταπείνωσει σου· οὗτος ἔσται ἄγροικος ἄνθρωπος· αἱ χεῖρες αὐτοῦ ἐπὶ πάντας καὶ αἱ χεῖρες πάντων ἐπ' αὐτὸν, καὶ κατὰ προσώπου τῶν ἀδελφῶν πάντων κατοικήσει». Καὶ ἐκάλεσε Ἄγαρ τὸ ὄνομα Κυρίου τοῦ λαλοῦντος αὐτῆ. «Σὺ ὁ θεὸς ἐπιδών με». Τεχθέντος τοῦ Ἰσμαὴλ, φησὶν Ἄβραμ πρὸς τὸν θεόν. «Ἰσμαὴλ οὗτος ζήτω ἐναντίον σου». Καὶ εἶπεν ὁ θεὸς τῷ Ἄβραμ· «Ναὶ, ἰδοὺ Σάῤῥα, ἡ γυνή σου, τέξεταί σοι υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσαάκ· καὶ στήσω τὴν διαθήκην μου πρὸς αὐτὸν εἰς διαθήκην αἰώνιον καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτόν. Περὶ δὲ Ἰσμαὴλ ἰδοὺ ὑπήκουσά σου καὶ εὐλόγησα αὐτὸν καὶ πληθυνῶ αὐτὸν σφόδρα καὶ ιβ' ἔθνη γεννήσει καὶ δώσω αὐτὸν εἰς ἔθνος μέγα. Τὴν δὲ διαθήκην μου στήσω πρὸς Ἰσαάκ, ὃν τέξεταί σοι Σάῤῥα». Εἶτα πάλιν ἡ (12ª) γραφὴ περὶ τῶν ἐξ Ἰσμαὴλ τεχθέντων· «πρωτότοκος υἱὸς Ἰσμαὴλ Ναβεὼθ καὶ Κεδὰρ καὶ Ναβεὴλ καὶ Μασισὰν καὶ Μασμὰ καὶ * Μασὴ καὶ Χοδὰδ καὶ Θεμὰν καὶ Ἰετοὺρ καὶ Ναφὲς καὶ Κεδμά. Οὗτοί εἰσιν υἱοὶ Ἰσμαὴλ, ἄρχοντες ιβ' κατὰ ἔθνος αὐτῶν». «Κατῴκησε δὲ Ἰσμαὴλ ἀπὸ Εἰλὰτ ἕως Σοὺρ, ἥ ἐστι κατὰ πρόσωπον Αἰγύπτου ἕως ἐλθεῖν πρὸς Ἀσσυρίους. Κατὰ πρόσωπον τῶν ἀδελφῶν αὐτοῦ πάντων κατῴκησεν».

XIV. ΑΡΧΗ ΑΒΡΑΑΜ. ΠΕΡΙ ΤΟΥ ΙΣΑΑΚ.

2273 (3284). Ἀβραὰμ δὲ ὢν ἐτῶν οε' ἐγέννησεν ἐκ τῆς Σάῤῥας τὸν Ἰσαάκ. Ὀλίγῳ δὲ ὕστερον ἀπὸ τῆς κατὰ Μαμβρὴ δρυὸς μεταναστὰς ὁ Ἀβραὰμ, ἐπὶ τὸ φρέαρ κατασκηνοῖ τοῦ ὅρκου, ἑαυτῷ τε ἰδίᾳ καὶ τοῖς οἰκέταις κατὰ συγγένειαν πηξάμενος σκηνήν. Τότε πρῶτον Ἀβραὰμ τῆς σκηνοπηγίας ἐπὶ ζ' ἡμέρας ἐπιτελεῖ τὴν ἑορτὴν, ἣν εἰσέτι καὶ νῦν ὁ Ἰσραὴλ ἑορτάζει σκηνοπηγῶν. (2) Κῆ δὲ φασὶν ἐτῶν ἦν ὁ Ἰσαάκ, ὅτε πρὸς θυσίαν ἀνήχθη· εἰς ἐκεῖνον δὲ τὸν τόπον τὸ θυσια-

---

4. λ. πρὸς αὐτὴν Gen. XVI. 13. — 6. Gen. XVII. 18 — 21 — * Δουμὰ καὶ Gen. XXV. 14. — 61. Ἰερούρ cod. — 17. Gen. XXV. 18.

στήριον ᾠκοδόμησεν Ἀκραάμ, ἔνθα ὕστερον Δαυὶδ τὸ ἱερὸν ἱδρύσατο.

XV. ΠΕΡΙ ΤΟΥ ΗΣΑΥ ΚΑΙ ΙΑΚΩΒ.

Ὁ δὲ Ἰσαὰκ γεννήσας τὸν Ἡσαῦ καὶ τὸν Ἰακὼβ ἐκ τῆς 2213 (3344)
Ῥεβέκκας, τὸν μὲν Ἰακὼβ εὐλόγησεν κλέψαντα τὴν εὐλογίαν τοῦ ἀδελφοῦ, λέγων· «δώσει σοι ὁ θεὸς ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ καὶ ἀπὸ τῆς πιότητος τῆς γῆς καὶ πλῆθος σίτου καὶ οἴνου, καὶ δουλευσάτωσάν σοι ἔθνη, καὶ προσκυνησάτωσάν σοι ἄρχοντες· καὶ γίνου κύριος τοῦ ἀδελφοῦ σου, καὶ προσκυνήσουσί σοι οἱ υἱοὶ τοῦ πατρός σου. Ὁ καταρώμενός σε, ἐπικατάρατος, ὁ δὲ εὐλογῶν σε, εὐλογημένος». (2) Πρὸς δὲ τὸν Ἡσαῦ φησίν· «Ἰδοὺ ἀπὸ τῆς πιότητος τῆς γῆς ἔσται ἡ κατοικία σου καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ ἄνωθεν· ἐπὶ τῇ μαχαίρᾳ σου ζήσῃ καὶ τῷ ἀδελφῷ σου δουλεύσεις· ἔσται δὲ ἡνίκα ἂν καθέλῃς ἑλκύσαι τὸν ζυγὸν αὐτοῦ ἀπὸ τοῦ τραχήλου σου», πλημμελήσας πλημμελίαν θανάτου. (3) Ἀλλ' αἱ μὲν εὐλογίαι πρὸς τὸν Ἰακὼβ ἐῤῥήθησαν, ἐφ' ἑτέρους δὲ ἐπεκλήρωντο, καθάπερ καὶ τὸ ἐπὶ τοῦ Συμεὼν καὶ Λευὶ παρὰ τοῦ Ἰακὼβ εἰρημένον ἐστὶν ἰδεῖν· «διαμεριῶ γάρ, φησίν, αὐτοὺς ἐν Ἰακὼβ καὶ διασπερῶ αὐτοὺς ἐν Ἰσραήλ», καί τοι γε οὐκ ἐπ' αὐτοῦ τοῦτο γέγονε ἀλλ' ἐπὶ τῶν ἐγγόνων. Καὶ μέντοι οὐκ ἐπὶ τοῦ Χαναὰν τὰ ὑπὸ τοῦ Νωὲ λεχθέντα εἰς τοὺς ἐγγόνους ἐξέβη Γαβαωνίτας. Οὕτω δὴ κἀνταῦθα οὐκ ἐπὶ τοῦ Ἰακὼβ τέλος ἔσχεν — πῶς γὰρ τοῦ δεδοικότος καὶ τρέμοντος καὶ μυριάκις τὸν ἀδελφὸν αὐτοῦ προσκυνοῦντος; — ἀλλ' ἐπὶ τῶν ἐγγόνων αὐτοῦ. Τοιγαροῦν ἐκ μὲν τοῦ Ἰσμαὴλ ἀνεφύησαν οἱ Ἰσμαηλῖται οἱ νῦν Ἀγαρηνοί τε καὶ Σαρακηνοὶ λεγόμενοι, διὰ μὲν τῆς Αἰγυπτίας Ἄγαρ, ὡς εἴρηται, Ἀγαρηνοί, διὰ δὲ τῆς Σάῤῥας, Σαρακηνοί. Ἐκ δὲ Ἰσαάκ, Ἡσαῦ ὁ καὶ Ἐδὼμ καὶ Ἰακὼβ ἀνεβλάστησαν διὰ τῆς Ῥεβέκκας· (2[b]) καὶ ἐκ μὲν τοῦ Ἡσαῦ Ἐδὼμ ἐτέχθη υἱὸς ὁμώνυμος τῷ πατρὶ καὶ Ἀμαλήκ, ἐξ ὧν Ἰδουμαῖοι καὶ Ἀμαληκῖται· ἐκ δὲ τοῦ Ἰακὼβ τοῦ

---

6. Gen. XXVII. 28,29. — 11. 39,40. — 18. XLIX. 7.

καὶ Ἰσραὴλ Ἰούδας, ἀφ' οὗ Ἰουδαῖοι πάντες καὶ οἱ ἐκ τῶν λοιπῶν γινόμενοι προσηγορεύθησαν, καὶ Ἰσραηλῖται μὲν ἐκ τοῦ πατρὸς Ἰακώβ τε καὶ Ἰσραὴλ, Ἰουδαῖοι δὲ ἐκ τοῦ ἐπισημοτέρου αὐτῶν ἀδελφοῦ Ἰούδα φερωνύμως κέκληνται. (4) Ὁ δέ γε θεῖος Ἀβραὰμ ἐγέννησε πάλιν υἱοὺς ἐκ τῆς ἐσχάτης αὐτοῦ γυναικὸς Χεττούρας ε', ἀφ' ὧν ἐστὶ Μαδιάμ, ἐξ οὗ Μαδιανῖται, καὶ Ἄφαρ, ἐξ οὗ Ἀφρικὴ, ἐν ᾗ παρῴκησε, καὶ ἡ χώρα προσωνομάσθη πατρωνύμως, ὥσπερ καὶ Αὐσῖτις ὁ τόπος· τοῦ Ἡσαῦ, ἐν ᾧ ἀνεβλάστησεν ὁ μακάριος καὶ πολύτλας καὶ διαβοήτος Ἰώβ, ὃν ἐγκωμιάζων ὁ θεῖος Χρυσόστομος λέγει. «Ἄνθρωπός τις ἦν ἐν τῇ χώρα τῇ Αὐσίτιδι· κηρύττει, φησὶν, αὐτὸν καὶ ἀπὸ τῆς φύσεως καὶ ἀπὸ τῆς χώρας, ἵνα ὥσπερ ἀκούσας αὐτὸν ἄνθρωπον θαυμάζῃς, ὅτι ὑπὲρ ἄνθρωπον ἐπολιτεύσατο, οὕτω μαθὼν καὶ τὴν χώραν, ἐξ ἧς ὁ τοσοῦτος καρπὸς ἤνθησεν, ἐκπλαγῇς ἀληθῶς ὁποῖον ῥόδον ἐν μέσῳ τῶν ἀκανθῶν ἐβλάστησε»· ἦν γὰρ τῆς Αὐσίτιδος χώρας τοῦ Ἡσαῦ, ἐξ οὗπερ Αὐσῖτις ὠνόμασται, ἐκ τοῦ πόρνου καὶ βεβήλου, ὅπως θαυμάζῃς ἐκ ποίας πατρίδος καὶ ῥίζης κακῆς ἐβλάστησε καρπὸς ὡραιότατος. Ἀπόγονος γάρ ἐστι τοῦ διαβαλλομένου, καθὼς ἡ γραφὴ πέμπτον ἀπὸ τοῦ Ἀβραάμ.» Ἀβραὰμ γὰρ, φησίν, ἐγέννησε τὸν Ἰσαάκ, Ἰσαὰκ τὸν Ἡσαῦ, Ἡσαῦ τὸν Ῥαγουὴλ καὶ τὸν Ζαρὰ, Ζαρὰ τὸν Ἰώβ. Ἔχων οὖν τὴν διαδοχὴν ἀπὸ τοῦ Ἀβραὰμ εἰς αὐτὸν καταντρεχομένην διὰ τοῦ Ἡσαῦ, δείκνυσι· τὴν ῥίζαν, ἵνα τὸν καρπὸν θαυμάσῃς· ὅτι ὁ μὲν πόρνος ἦν καὶ βέβηλος, ὁ δὲ σώφρων καὶ σεμνὸς, λέγων οὕτως. «Εἰ δὲ ἐπηκολούθησεν ὁ ὀφθαλμός μου γυναικὶ ἀλλοτρίᾳ» — καὶ «διαθήκην διεθέμην τοῖς ὀφθαλμοῖς μου». Οὐ μὴν δὲ ἀλλὰ καὶ θυσίας ὑπὲρ τῶν ἰδίων τέκνων προσήγαγε καθ' ἡμέραν φάσκων· «μήποτε κακὰ ἐνόησαν οἱ υἱοί μου πρὸς τὸν θεόν». Εἰκότως οὖν ἔφη· «καὶ ἦν ἄνθρωπος ἐκεῖνος θεοσεβὴς, ἀμέμπτος» καὶ τὰ ἑξῆς. Οἱ μὲν γὰρ ἔξω φιλόσοφοι τὸν ὅρον τοῦ ἀνθρώπου δηλοῦν-

---

4. Ced. 76,19—80,7, Glyc. 276,10—278,7. — 7. ὡ. Ἀ. Par. 2. — * ἐκ Par. 2.— 10. Χρ. ἔφη Par. 2. — 11. κ. ἀ. Chr. VI. 584 A. — 13. ἐὰν μάθῃς Chr. — 14. θαυμάσῃς Chr. — 20. Ῥ. τὸν Ζ. Chr. — 21. Εἶχον. * οὖν Chr. — 23. τὶς δὲ ἦν Ἡ. π. καὶ β. ὁ δὲ σεμνὸς καὶ θαυμάσιος Chr. — 24. Iob XXXI. 7. Εἰ δὲ καὶ τῷ ὀφθαλμῷ ἐπ. ἡ καρδία μου. — 25. XXXI. 1. — 28. I. 5—29. I. 1. — 22. οἱ ἔξωθεν ὁ. ἔθεντο ἀ. Chr.

τες φασίν· ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητόν· ἡ δὲ θεία γραφὴ οὐχ οὕτως, ἀλλ· ἄνθρωπός ἐστιν «ἄμεμπτος, δίκαιος, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος» — ὡς ὅ γε τούτοις μὴ μεμαρτυρημένος οὐδὲ ἄνθρωπος, ἀλλὰ κτῆνος· ἐὰν γὰρ ἔχῃ τὸν χαρακτῆρα τῆς φύσεως, ὑβρίζῃ δὲ αὐτὸν τῇ κακίᾳ τῆς προαιρέσεως, ἀκούσετε παρὰ τοῦ προφήτου· «ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς» — Ὥσπερ τοίνυν ἐπὶ τῆς κοινῆς συνηθείας ἐπειδάν τις τὸν ἑαυτοῦ υἱὸν ἢ οἰκέτην ἀποστέλλῃ ἐπί τινα πρᾶξιν, παρακελεύεται λέγων· «ὡς ἄνθρωπος πράξαι τὰ τῆς πράξεως», καὶ τὸ κοινὸν ὄνομα ἰδιοποιεῖται, οὕτως εἰ καὶ πάντες ἄνθρωποι λέγονται, μόνος ἀληθὴς ἐκεῖνος ἐστὶν ὁ τὴν εἰκόνα σώζων καὶ (13ª) τὸ πρωτότυπον κάλλος μὴ ἀφανίζων. Εἶπεν οὖν αὐτὸν ἄνθρωπον, ἵνα ἀπὸ τῆς φύσεως τὴν πρόθεσιν ἐπαινέσῃς, εἶτα δὲ αὐτὸν καὶ ἀπὸ τῆς Αὐσίτιδος χώρας, ὅπως ἐκ τῆς κωμώσης γῆς τῇ ἀσεβείᾳ, τὸν καρπὸν ἀνυμνήσῃς, ὃν ὁ ἀρχέκακος ὁρῶν καὶ φθόνῳ βαλλόμενος, αἰτεῖται παρὰ τοῦ θεοῦ τὸν κατὰ τοῦ δικαίου πειρασμόν, ἵνα σὺ θάρσος λάβῃς καὶ μάθῃς, ὅτι οὐκ ἔχει δαίμων ἐξουσίαν κατὰ θεοσεβοῦς ὄντως χριστιανοῦ καὶ φοβουμένου τὸν θεόν, ἐὰν μὴ ἐπιτροπὴ γένηται ἄνωθεν ἢ διὰ παιδείαν ἢ διὰ συγχώρησιν· ὅταν γὰρ ἐπάγει ὁ θεὸς παιδευτήρια ἢ δίκας ἀπαιτεῖ τῶν ἁμαρτημάτων ἢ τὴν ἀρετὴν γυμνάζει τῶν θείων κατορθωμάτων, τότε παραδιδοῖ αὐτὸν τῷ πονηρῷ· οὐ γὰρ ἠδυνήθη πολεμῆσαι ἕως ἐπετράπη· καὶ μὴ θαυμάσῃς· οὐδὲ γὰρ κατὰ ἐξουσίαν ἔχει, καθὼς ἐν τοῖς εὐαγγελίοις ἤκουσας. Οἱ μὲν οὖν θεῖοι ἄγγελοι διακονοῦσι ταῖς τῶν ἀγαθῶν ἀνθρώπων σωτηρίαις· «πάντες γὰρ, φησὶν, λειτουργικὰ πνεύματά εἰσιν εἰς διακονίαν ἀποστελλόμενα διὰ μέλλοντας κληρονομεῖν σωτηρίαν», οἱ δὲ πονηροὶ δαίμονες εἰς τὰς κατὰ τῶν ἁμαρτωλῶν τιμωρίας· «ἐξαπέστειλας γὰρ, φησὶν, εἰς αὐτοὺς θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν ἀποστολῇ δι' ἀγγέλων πονηρῶν». Οἱ τοίνυν δαίμονες, εἰ καὶ ἀφηνίασαν τῇ προθέσει, ἀλλ' ὑπὸ ζυγὸν κεῖνται τῆς δουλείας

---

2. διχ. ἀληθινὸς, ἀπ. Chr. — 3. τοῖς τοιούτοις Chr. — 6. ἀκούσει Chr. — Ps. XLIX. 12. — 26. Heb. I. 14. — 29. Ps. LXXXVIII. 49.

καὶ κελεύονται πρᾶξαι ὡς οἱ δήμιοι τὰ προσταττόμενα παρὰ τοῦ θεοῦ καὶ τῶν ἁγίων. Καὶ δηλοῖ Παῦλος περί τινων λέγων «οὓς καὶ παρέδωκε τῷ Σατανᾷ ἵνα παιδευθῶσι μὴ βλασφημῆσαι»· ἵνα γὰρ μὴ νομισθῶσιν οἱ δαίμονες, ὅτι πάντα καθ' αὐθεντίαν πράττουσιν, κελεύονται ἄκοντες ποιεῖν τὰ προσταττόμενα. Καὶ τοῖς μὲν ἁγίοις ἀποστέλλει ὁ θεὸς διακόνους ἀγγέλους ἁγίους εἰς σωτηρίαν, τοῖς δὲ ἁμαρτωλοῖς ἐπιτρέπει δαίμονας εἰς τιμωρίαν· καὶ γὰρ ὅτε κατὰ τοῦ Ἀχαὰβ ὁ θεὸς ἀπεφήνατο λέγων· «τίς πορεύσεται καὶ ἀπατήσει τὸν Ἀχαὰβ καὶ πεσεῖται;» ἀπεκρίθη πνεῦμα πονηρόν· «ἰδοὺ ἐγώ», πάντως γινώσκων, ὅτι εἰς τοῦτο τέτακται. Καὶ ἀποστέλλονται μὲν ἰδικῶς εἰσπράξασθαι τιμωρίαν ἐπὶ τῶν πονηρῶν, ἀποστέλλονται δὲ καὶ πρὸς δικαίους, οὐχ ἵνα τιμωρήσωνται, ἀλλ' ἵνα πειράσωσιν· ἐπειδὴ γὰρ ἄγγελος ἅγιος ὑπουργῆσαι τῇ πείρᾳ οὐ κελεύεται· —οὐδὲ γὰρ ὁ θεὸς κελεύει τὸ ἀπρεπὲς πρᾶγμα ἀγγέλῳ θείῳ—διὰ τοῦτο δαίμονες ταύτην ἐπιτρέπονται τὴν πεῖραν. Καὶ μὴ θαυμάσῃς εἰ πρὸς δικαίους δαίμονες ἀποστέλλονται· «ἀνήχθη» γὰρ, φησὶν, ὁ πάντων δεσπότης ἀπὸ τοῦ Ἰορδάνου «εἰς τὴν ἔρημον, πειρασθῆναι ὑπὸ τοῦ διαβόλου». Εἰ τοίνυν τὸν τοῦ παντὸς κύριον ὁ διάβολος ἐπείρασε, τί θαυμάζῃς, εἰ καὶ ἐπὶ τοὺς δικαίους εἰς γυμνάσιον ὑπομενῆς δαίμων ἀποστέλλεται; ἀποστέλλεται δὲ, οὐ θεοῦ κελεύοντος αὐτὸν, ἀλλὰ παραχωροῦντος· σχηματίζει γὰρ τὸν λόγον ἡ γραφὴ ὡς ἐν προσωποποιΐᾳ, ὡς ὅταν λέγει, «τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ θεὸς».

XVI. ΠΕΡΙ ΤΟΥ ΙΑΚΩΒ.

Ἰσαὰκ δὲ γενόμενος ἐτῶν ξ' ἐγέννησε τὸν Ἰακὼβ καὶ μετὰ τοῦτο ἔζησε (13[b]) ρκ' ἔτη καὶ ἀπέθανε, ζήσας τὸ πάντα ρπ' ἔτη. (2) Ἰακὼβ δὲ γενόμενος ἐτῶν πε' ἐγέννησε τὸν Λευΐ καὶ μετὰ τοῦτο ἔζησαν ἔτη ξθ' καὶ ἀπέθανεν εἰς Αἴγυπτον, ποιήσας ἐκεῖ ἔτη ιζ', ζήσας τὰ πάντα ἔτη ρμζ'. (3) Ὃς ὑπάρχων ἐτῶν οε' καὶ φυγὼν Ἡσαῦ τὸν ἀδελφὸν αὐτοῦ, κατήντησεν εἰς

2428 (3429)

2. 1 Tim. I. 20. — 8. 3 Regg. XXII. 20. — 16. Mt. IV. 1. — 22. Ps. L. 16.

Χαρρὰν τῆς Μεσοποταμίας πρὸς Λάβαν, τὸν ἀδελφὸν τῆς μητρὸς αὐτοῦ Ῥεβέκκας, οὗ καὶ τῶν προβάτων νομεὺς γενόμενος ἔτη κ', καὶ τὰς β' θυγατέρας αὐτοῦ Λέαν καὶ Ῥαχὴλ εἰς γυναῖκας λαβὼν, ἔσχεν υἱοὺς ιβ' καὶ θυγατέρα μίαν, ἀπό τε τῶν ἐλευθέρων, ἀπό τε τῶν θεραπαινίδων Βάλλας καὶ Ζελφᾶς· ἐκ μὲν γὰρ Λέας, τῆς γυναικὸς αὐτοῦ, ἐγέννησε τὸν Ῥουβὴμ καὶ Συμεῶνα καὶ τὸν Λευῖ καὶ τὸν Ἰούδαν, τὸν Ἰσάχαρ καὶ τὸν Ζάβουλὼν καὶ τὴν Δεῖνα, ἐκ δὲ Ῥαχὴλ τὸν Ἰωσὴφ, ὕστερον δὲ καὶ τὸν Βενιαμίν μετὰ τὴν ἐπάνοδον, ἐκ Βάλλας τὸν Δᾶν καὶ τὸν Νεφθαλίμ, ἐκ δὲ Ζελφᾶς τὸν Γὰδ καὶ τὸν Ἀσήρ. (4) Μετὰ δὲ τὸν κ' χρόνον τῆς ἀποφυγῆς τε καὶ δουλείας, [καὶ μετὰ] τὴν ἐκ Μεσοποταμίας καὶ πρὸς γῆν Χαναὰν ὑποστροφὴν καὶ τὴν παλαίστραν μετὰ τοῦ θεοῦ, δι' ἧς καὶ Ἰσραὴλ ὠνομάσθη δι' ὀπτασίας, εἶδε πάλιν ὅραμα ἐν Βεθὴλ καὶ πάντα ἀποδεκατώσας ἅπερ ἐκέκτητο, τελευταίους ὑποβάλλει τοὺς παῖδας, καὶ ἀριθμήσας αὐτοὺς ἀπὸ τοῦ Βενϊαμὶν ἀρξάμενος ἀνάπαλιν καὶ ἐπὶ τὸν Λευῖ ἐλθὼν, ὃν δέκατον εὑρὼν, τῷ θεῷ τοῦτον προσήγαγεν, ἀποδεκατώσας καὶ τέκνα καὶ πάντα ὅσα ἦν αὐτῷ, καθὼς καὶ προυποσχέμενος εἶπε τῷ θεῷ ἐν τῷ ἀποδιδράσκειν, ὅτι «πάντων, ὅσα ἄν μοι δῷς, δεκάτην ἀποδεκατῶ σοι αὐτά». Καὶ εὐθὺς ἐνδύσας τὸν Λευῖ στολὴν ἱερατικὴν, δι' αὐτοῦ θυσίας προσήνεγκε τῷ θεῷ ἐν Βεθὴλ, κἀντεῦθεν οἱ μὴ τῇ κατανόμῳ θυσίᾳ τε καὶ λειτουργίᾳ προσεδρεύοντες, Λευῖται κέκληνται, οἱ δὲ τὴν κατὰ τῆς θείας χάριτος ἱερουργίαν, κληρικοὶ προσαγορεύονται, διὰ τὸ γεγράφθαι· «οὐ κεῖται τοῖς Λευίταις κλῆρος ἐν υἱοῖς Ἰσραὴλ· ὁ γὰρ Κύριος μερὶς αὐτῶν καὶ κλῆρος»

XVII. ΠΕΡΙ ΘΑΝΑΤΟΥ ΗΣΑΥ.

Ὁ δέ γε Ἰσαὰκ καὶ ἡ Ῥεβέκκα μετὰ τὴν τοῦ Ἰακὼβ ἐπάνοδον, προσκαλεσάμενοι τόν τε Ἰακὼβ καὶ τὸν Ἡσαῦ καὶ παρα-

---

13. τῆς παλαίστρας cod. — 16. ἀρξαμένου cod. — 20. Gen. XXVIII. 22. — 22. οἱ μὲν? — 25. Deut. X. 9.

καλέσαντες αὐτοὺς ἅμα καὶ ἐνορκισάμενοι εἰρήνην ἄγειν πρὸς ἀλλήλους καὶ τῆς ἀδελφικῆς οἰκειότητος ἀσπάζεσθαι τὴν διάθεσιν, τελευτῶσι, προτέρα μὲν ἡ Ῥεβέκκα, μετ' οὐ πολὺ δὲ καὶ Ἰσαάκ, τῷ Ἰακὼβ τῆς πρωτοτοκίας καταλιπόντες τὰ γέρα. (2) Μετὰ δὲ ταῦτα παρωξύνθη Ἡσαῦ ὑπὸ Ἀμαλήκ, τοῦ ἐκ παλλακίδος υἱοῦ αὐτοῦ, καὶ συναγαγὼν ἔθνη ὥρμησεν κατὰ τοῦ Ἰακὼβ, ὡς φησὶν Ἰώσηπος· ὁ δὲ τὰς πύλας ἀποκλείσας τῆς πόλεως εἰς ἣν κατέφυγε, ἐκ τοῦ τείχους παρεκάλει τὸν Ἡσαῦ μνησθῆναι τῶν γονικῶν ἐντολῶν· τοῦ δὲ μὴ ἀνασχομένου, ἀλλὰ μᾶλλον ὑβρίζοντος καὶ ὀνειδίζοντος (14ᵃ) καὶ ὀλοθρεύσειν αὐτὸν ἀπειλοῦντος, ἐντείνας ὁ Ἰακὼβ τὸν τόξον, κατέβαλεν Ἡσαῦ κατὰ τοῦ δεξιοῦ μαστοῦ καὶ πλήξας ἀνεῖλε. Καὶ τότε ἐπληρώθη τοῦ Ἰσαὰκ ἡ πρόρρησις ἡ λέγουσα πρὸς τὸν Ἡσαῦ· «ἐὰν καθέλῃς τὸν ζυγὸν τοῦ ἀδελφοῦ σου ἀπὸ τοῦ τραχήλου σου, πλημμελήσεις πλημμέλειαν θανάτου».

XVIII. ΠΕΡΙ ΤΗΣ ΓΕΝΝΗΣΕΩΣ ΜΩΥΣΕΩΣ.

2082 (3475) Τῷ δὲ δευτέρῳ ἔτει τῆς τοῦ Ἰσραὴλ ἐν Αἰγύπτῳ παροικίας ἱερογραμματέα δεινὸν προειπεῖν*, ὅτι τὸ τικτόμενον παιδίον ἐν τῷδε τῷ χρόνῳ τοῖς Ἑβραίοις τὴν Αἰγυπτίων καταλύσει βασιλείαν καὶ διὰ τοῦτο Φαραὼ προσέταξε φονεύειν τὰ τικτόμενα ἄῤῥενα τῶν Ἑβραίων παιδία.

2082 (3474) (2) Λευὶς δὲ γενόμενος ἐτῶν με', ἐγέννησε τὸν Καάθ καὶ μετὰ τοῦτο ἔζησεν ἔτη ϛ', καὶ ἀπέθανε, ζήσας τὰ πάντα ἔτη ρλ'.

2020 (3537) Καάθ δὲ γενόμενος ἐτῶν ξγ', γεννᾷ τὸν Ἄμραμ. (3) Ἄμραμ δὲ γενόμενος ἐτῶν ο', γεννᾷ τὸν Μωϋσῆν καὶ τὸν Ἀαρών· (4) τὸν δὲ Ἄμραμ φασὶ τὸν πατέρα Μωϋσέως εὔξασθαι τῷ θεῷ μὴ περιϊδεῖν ἀπολλύμενον τὸ γένος τῶν Ἑβραίων· χρηματισθεὶς δὲ κατ' ὄναρ περὶ τῆς γεννήσεως καὶ δυνάμεως τοῦ

1930 (3607)

---

7. Ios. A. 2. I. 2. de his nihil habet. — 18. τοῦ λογοθέτου. Nota codicis marginalis. — * φησὶν Leo; Glyc. 278,8—280,15 e Josepho; Ced. 75,19.

παιδίου Μωϋσέως, οὗ τεχθέντος καὶ ἐκθέτου γενομένου, Θερμούθις ἡ τοῦ Φαραὼ θυγάτηρ ἀνείλετο· τοσοῦτον δὲ ἦν ἀστεῖον τὸ παιδίον Μωϋσῆς, ὡς τοὺς ὁρῶντας αὐτὸ ἀμεταστρεπτὶ θαυμάζοντας ἐνορᾶν, ὃς καὶ ἐγενήθη εἰς υἱὸν τῇ θυγατρὶ τοῦ Φαραώ.

(5) Λέγεται δὲ ἔτι νήπιον ὄντα εἰσαχθῆναι πρὸς Φαραὼ τὸν πατέρα αὐτῆς, ἀστεῖον ὄντα τῇ ὄψει καὶ χαριέστατον, λαβέσθαι τῆς γενειάδος αὐτοῦ καὶ διὰ τοῦτο προστάξαντος ἀναιρεθῆναι αὐτὸ, προνοίᾳ δὲ θεοῦ ἐπισχεθῆναι τὸν Φαραὼ τοῦ μὴ ἀνελεῖν αὐτὸν τρόπῳ τοιῷδε· ἄνθρακας ἀναφθέντας ἐν τῇ γῇ κατατεθῆναι καὶ χρυσίου σωρὸν ὑποθήκῃ τινῶν τῶν ὑπ' αὐτὸν σοφῶν· καὶ εἰ μὲν ἅψαιτο ὁ παῖς, φησὶ, τοῦ χρυσοῦ καὶ τούτου λάβοι, κακοήθως ἐδράξατο τῆς γενειάδος αὐτοῦ, εἰ δὲ θίξοι τῶν καιομένων ἀνθράκων, ἀπανούργως καὶ ὡς ἀφελὲς παιδίον τοῦτο εἰργάσατο, καὶ οὐ χρὴ μάτην ἀναιρεθῆναι· ὃ καὶ γενόμενον, ἔστησε τὴν ἀπόφασιν· ἀφέμενος γὰρ τοῦ χρυσοῦ, προσέδραμε τοῖς ἄνθραξι καὶ τούτων ἕνα λαβὼν, κατὰ τὸ ἠθισμένον ὡς τὰ πολλὰ τοῖς παισὶ, τῷ στόματι προσήνεγκε καὶ ψαύσαντος αὐτοῦ τῇ γλώσσῃ, βραδύγλωσσος γέγονε καὶ δύσηχος τοῦ λαλεῖν.

XIX. ΟΤΙ ΥΙΟΙ ΙΣΡΑΗΛ ΕΞΗΛΘΟΝ ΕΚ ΤΗΣ ΑΙΓΥΠΤΟΥ.

Ἐν δὲ τῷ ὀγδοηκοστῷ ἔτει τοῦ Μωϋσέως ἐξῆλθον υἱοὶ Ἰσραὴλ ἐξ Αἰγύπτου, ἐν ᾗ παρῴκησαν ἔτη σιε'. πῶς οὖν φησὶν ὁ θεὸς τῷ Ἀβραὰμ, ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἔτη υ'; ἀλλὰ δῆλον, ὅτι ἀπὸ τῆς ἀναβάσεως Ἀβραὰμ ἐκ Χαναὰν δεῖ τὴν τοῦ λαοῦ παροικίαν ἀριθμεῖν· οὐ γὰρ ἐν Αἰγύπτῳ μόνον γέγονεν ἡ παροικία, ἀλλὰ καὶ ἐν γῇ Χαναὰν, καθὼς μαρτυρεῖ Μωϋσῆς λέγων· (14[b]) «ἡ δὲ παροίκησις τῶν υἱῶν Ἰσραὴλ ἐν γῇ Χαναὰν καὶ ἐν Αἰγύπτῳ ἔτη υλ'». Καὶ ἐστὶ τοῦ μὲν Ἀβραὰμ ἀπὸ τῆς ἐν Χαῤῥὰν ἀναβάσεως μέχρι τοῦ Ἰσαὰκ

1867 (3689)

6. ἐξ ἄλλου βιβλίου cod. — 11. χρυσίον cod. — 21. Γεώργιος cod. — 27. Ex. XII. 40. — 29. ἐκ. X. Leo; τῆς Ἰ. Leo.

γεννήσεως ἔτη κε', τοῦ δὲ Ἰσαὰκ μέχρι Ἰακὼβ ξ' ἔτη, τοῦ δὲ Ἰακὼβ μέχρι Λευῒ ἔτη πζ', τοῦ δὲ Λευῒ μέχρι Καὰϑ ἔτη με', τοῦ δὲ Καὰϑ μέχρι Ἀμραμ ἔτη ξγ', τοῦ δὲ Ἀμραμ μέχρι Μωϋσέως ἔτη ο', τοῦ δὲ Μωυσέως μέχρι τῆς ἐξόδου ἔτη π'.
(2) Καὶ οὕτως ἐξελϑὼν Ἰσραὴλ, ἐπιφερόμενον τὰ ὀστᾶ Ἰωσὴφ, ἐποίησεν ἐν τῇ ἐρήμῳ ἔτη μ'· φησὶ γὰρ· «πέμπτῃ γενεᾷ ἀνέβησαν υἱοὶ Ἰσραὴλ ἀπὸ τῆς Αἰγύπτου, καὶ ἔλαβε Μωϋσῆς τὰ ὀστᾶ Ἰωσὴφ μετ' αὐτοῦ· ὁρκώσας γὰρ ὥρκισεν Ἰωσὴφ τοὺς υἱοὺς Ἰσραὴλ λέγων·» ἐπισκοπῇ ἐπισκέψεται ὑμᾶς ὁ ϑεὸς, καὶ συνανείσετε τὰ ὀστᾶ μου ἐντεῦϑεν μεϑ' ὑμῶν·» ὃς ὑπάρχων ἐτῶν ιζ' φϑονηϑεὶς ὑπὸ τῶν ἀδελφῶν ἐπράϑη καὶ γενόμενος ἐτῶν λ', ἄρχων πάσης Αἰγύπτου καϑίσταται, ἐν ᾗ γεννήσας υἱοὺς β', τὸν Ἐφραΐμ καὶ τὸν Μανασσῆ, ἀπέϑανεν ἐτῶν ρι'.

(3) Ἐπεὶ οὖν, ὅτε παρέστη Μωϋσῆς τῷ Φαραὼ, ἦν ἐτῶν π', ἔμεινε δὲ ἄλλα μ' ἔτη ἐν τῇ ἐρήμῳ, δῆλον οὖν ἐστιν, ὅτι ὅλαις μ' ἡμέραις γεγόνασιν αἱ κατ' Αἴγυπτον πληγαὶ, ἃς ἡμέρας ἀριϑμοῦμεν μετὰ τῶν μ' ἐτῶν τῆς ἐρήμου· ἀναγνοὺς γὰρ μετὰ ἀκριβείας ἐσημειωσάμην τὰς μ' ἡμέρας γενέσϑαι οὕτως· α', ἀφ' ἧς ἡμέρας συνέτυχε τῷ Φαραώ· δευτέρᾳ δὲ, τῇ ἐπιούσῃ «διεσπάρη ὁ λαὸς ἄχυρα συλλέξαι» «καὶ ἐμαστιγώϑησαν οἱ γραμματεῖς αὐτῶν», μὴ ποιησάντων τὸ τῆς ἡμέρας ἔργον· τρίτῃ γὰρ, τῇ ἑξῆς καταβοῶντες υἱοὶ Ἰσραὴλ διὰ τὸ ἀπαιτεῖσϑαι ἄχυρον, εἰσῆλϑε πρὸς Φαραώ. Τετάρτῃ δὲ εὐξάμενος ἐν λόγῳ κυρίου εἶπε τῷ Ἰσραὴλ, ὅτι» ἐξάξει ὑμᾶς ἐξ Αἰγύπτου ὁ ϑεός» καὶ οὐ προσέσχον ἐκ πολλῆς ὀλιγωρίας. Πέμπτῃ δὲ, εἰσῆλϑε πρὸς Φαραὼ καὶ τὴν ῥάβδον ὄφιν ἐποίησεν· ἕκτῃ δὲ τὸ ὕδωρ εἰς αἷμα μετέβαλεν. Εἶτα ἀνελάβοντο μέχρι τῆς γ' καὶ ι' ἡμέρας καὶ ἀνέβη ὁ βάτραχος. Τέσσαρες καὶ δεκάτῃ ἀπέϑανον οἱ βάτραχοι· ιε' σκνίφες γεγόνασι· ις' συνέτυχε τῷ Φαραὼ, ὅτι αὔριον μέλλει γίγνεσϑαι κυνόμυα· ιζ' ἦλϑεν ἡ κυνόμυα· ιη' ἀπέστη ἡ κυνόμυα, ἐν ᾗ καὶ ἠπειλήϑη τῶν κτηνῶν ὁ ϑά-

---

8. ὅρκῳ γὰρ ὡ. τοὺς Ex. XIII. 18,19, Gen. L. 25. — 9. ἡμᾶς cod. ὑμᾶς κ ς Ex. ὁ ϑς ὑ. Gen. — 14. Cod. 65,6? — 19. Ex. V. 12,14. — 20. ἐμαστίχϑησαν cod. — 21. ποιήσαντες cod. — 24. ἀπὸ τῆς ὀλιγοψυχίας Ex. VI. 9.

νατος· ιϑ' ἀπέϑανον τὰ κτήνη· κ' δὲ «φλυκτίδες ἀναζεύσαι» γεγόναστν· κα' δὲ ἀπειλὴ τῆς ἐσομένης τῇ ἐπαύριον χαλάζης ἐξηνέχϑη· κβ' ἦλϑεν ἡ χάλαζα· κγ' δὲ ἡ ἀκρὶς ἐπῆλϑε, ἐν ᾗ καὶ διὰ προσευχῆς ἤρϑη· κδ' δὲ μέχρι κε' τὸ τριήμερον «ἐγίνετο σκότος»· καὶ μετὰ τὰς γ' ἡμέρας διελύϑη. Εἶτα μεϑ' ἡμέρας ϑ' εἶπε Κύριος πρὸς Μωσὴν καὶ Ἀαρὼν διαταξάμενος περὶ τοῦ πάσχα· «οὗτος ἐστιν ὁ πρῶτος μὴν», ὁ παρ' Ἑβραίοις μὲν Νισὰν λεγόμενος, παρ' ἡμῖν δὲ Μάρτιος, ὡς φησὶν ὁ Κύριος· «ὁ μὴν οὗτος ἀρχὴ μηνῶν, ὑμῖν ἐστὶ πρῶτος· λάλησον τοῖς υἱοῖς Ἰσραὴλ λέγων. Τῇ δεκάτῃ τοῦ μηνὸς τούτου λαβέτωσαν ἕκαστος πρόβατον», ἤτις ἐτὶ λς' ἡμέρα. Εἶτα μετὰ δ' ἡμέρας, ἐσφάγη τὰ πρόβατα καὶ πασχάσαντες ἐξῆλϑον, ὡς εἶναι τὴν (15ᵉ) μ' ἡμέραν, καϑ' ἣν ἐϑανατώϑησαν τὰ πρωτότοκα Αἰγύπτου περὶ τὸ μεσονύκτιον, ὥστε καὶ τὰ ἄζυμα βαστάσαντες ἐξῆλϑον διὰ τῆς μεσιτείας καὶ ὁδηγείας τοῦ ἀοιδίμου καὶ τερατούργου Μωϋσέως.

XX. ΠΕΡΙ ΤΗΣ ΔΟΘΕΙΣΗΣ ΠΛΑΚΟΣ ΜΩΥΣΗ.

Οὗτος ἐκεῖνος ἐστὶν ὁ μέγας ϑεοφάντωρ καὶ ϑεοφιλέστατος σημαντὴς, πρὸς ὃν εἶπεν ὁ ϑεός. «Ἰδοὺ δέδωκά σε ϑεὸν Φαραὼ, καὶ Ἀαρὼν ὁ ἀδελφός σου ἔσται προφήτης· σὺ δὲ λάλησον πάντα ὅσα ἐντέλλομαί σοι». Οὗτος παταξας τοὺς Αἰγυπτίους διὰ τῆς δεκαπληγίας καὶ διὰ τῆς ϑαλάσσης ὁλοϑρεύσας, ἐξήγαγε τοὺς υἱοὺς Ἰσραὴλ ἐκ τῆς σιδηρᾶς καμίνου ἐν σημείοις καὶ τέρασι μεγάλοις ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ, καϑὼς φησὶν καὶ

---

1. IX. 9. — 4. X. 22. — 6. XII. 23. Τὸν Νεῖλον φασὶ μὴ ἀνελϑεῖν ἐν ὅλοις ζ' ἔτεσι τοῦ λιμοῦ τῶν Αἰγυπτίων (cod. in m. et Leo 25,2). Ἐν τοῖς χρόνοις τούτοις διέπρεπον ἐν Αἰγύπτῳ πάντων ἐν σοφίᾳ Ἰαννῆς καὶ οἱ Ἰαμβρῆς οἱ ἐπαοιδοὶ (cod. in m. Glyc. 293,5). [Κατὰ] τούτους τοὺς χρόνους Ἴναχος πρῶτος Ἄργους ἐβασίλευσεν· ἐπὶ τούτου ὁ λαὸς διέτριβεν ἐν τῇ ἐρήμῳ ἔτη μ'. Εἶτα Φορωνεὺς Ἀργείων ἐβασίλευσε, καϑ' ὃν χρόνον ὁ ἐπὶ Γύγου κατακλυσμὸς ὑπὸ Ἑλλήνων ἱστόρηται καὶ Ἀσσυρίων μετὰ Πῖκον τὸν πρῶτον βασιλέα, ὃς ἐν Κρήτῃ ἀπέϑανεν, ὃς καὶ τοῖς τότε καιροῖς Ζεὺς μετωνομασϑεὶς· Σεμίραμις δὲ Νίνου ἐβασίλευσε (cod. in m. Leo 26,10 — 16). — 18. Ex. VII. 1.

Δαυίδ. «Τῷ καταδιελόντι τὴν ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις» καὶ τὰ λοιπά. (2) Οὐ γὰρ μία γέγονεν ὁδὸς, καθὼς ὁ Χρυσόστομος ὁ θεόσοφος λέγει, ἀλλὰ καθ' ἑκάστην φυλὴν τὸ ὕδωρ ἐσχίζετο, ὡς πολλὰς γενέσθαι τὰς διαβάσεις τοῦ λαοῦ, ἵνα μὴ φύσεως ἐργὸν τοῦτο νομισθῇ, ἀλλὰ θεοῦ τοῦ πᾶσαν φύσιν δημιουργήσαντος καὶ κυριεύοντος, ὅθεν ἐν βραχείᾳ καιροῦ ῥοπῇ τἀναντία εἰργάζετο· καὶ οὐ καθ' ἓν ἐτέμνετο μέρος τὸ ὕδωρ, κορυφουμένων τῶν ὑδάτων, ἀλλὰ κατὰ ἀριθμὸν τῶν φυλῶν ἁπάντων· καθ' ἕκαστον γὰρ τῶν σημείων τοῦτο μάλιστα ἦν περισπούδαστον τῷ θεῷ, ἐπεὶ διὰ τῶν στοιχείων τὰ θαύματα ἐγίνετο, ὅπως μὴ φυσικῆς τινὸς ἀκολουθίας ἢ συντυχίας εἶναι τὰ γινόμενα νομισθῇ, ἀλλὰ τῆς ἄνωθεν ῥοπῆς τὰ συμβαίνοντα παραδοξοποιούσης διὰ Μωσέως εἰς τοὺς υἱοὺς Ἰσραήλ. (3) Οὕς περ καὶ ὁδηγήσας ἐν τῇ ἐρήμῳ ἐν στύλῳ πυρὸς καὶ ἐν νεφέλης, καὶ ἄρτῳ διατρέψας οὐρανίῳ, τοὺς ἐχθροὺς αὐτῶν Ἀμαληκίτας χειρῶν ἐκτάσει κατετροπώσατο. Οὗτος ἤκουσε παρὰ Κυρίου λέγοντος. «Ἰδοὺ ἐγὼ, παραγίνομαι πρός σε ἐν στύλῳ πυρὸς καὶ νεφέλης, ἵνα ἀκούσῃ ὁ λαὸς λαλοῦντος μου πρός σε, καὶ πιστεύσωσί σοι εἰς τὸν αἰῶνα». (4) Καὶ «τῇ τρίτῃ ἡμέρᾳ, φησὶν, ἐγίνοντο φωναὶ καὶ ἀστραπαὶ καὶ νεφέλη γνοφώδης ἐπὶ ὄρους Σινὰ καὶ φωνὴ σάλπιγγος ἦχη μέγα. Καὶ ἐπτοήθη ὁ λαός». «Τὸ δὲ ὄρος ὅλον ἐκαπνίζετο διὰ τὸ καταβεβηκέναι τὸν θεὸν ἐν αὐτῷ ἐν πυρὶ, καὶ ἀνέβαινεν ἡ ἀτμὶς ὡσεὶ καπνὸς καμίνου, καὶ πᾶς ὁ λαὸς ἐξέστη σφόδρα· ἐγίνοντο δὲ αἱ φωναὶ τῆς σάλπιγγος προβαίνουσαι ἰσχυρῶς σφόδρα». «Καὶ πᾶς ὁ λαὸς ἑστήκει μακρόθεν, ἀκούων τὰς φωνὰς, καὶ τὸ ὄρος ὅλον καπνιζόμενον ὁρῶντες» καὶ πλησιάσαι μὴ τολμῶντες ἀλλὰ προσκυνῆσαι πόρρωθεν κελευσθέντες· «κἂν θηρίον, φησὶ, θίγῃ, λιθοβοληθήσεται», καὶ φοβερὸν ἦν τὸ φανταζόμενον. Φοβηθεὶς δὲ πᾶς ὁ λαὸς εἶπε πρὸς Μωσῆν· «λάλησον ἡμῖν σὺ, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ θεὸς, μήποτε (15[b]) ἀποθάνωμεν». «Καὶ ἐκάλεσε Κύριος τὸν Μωϋσῆν ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους» «καὶ

1. Ps. CXXXVI. 13. — 2. In unico, qui de hoc miraculo Chrysostomi editus est loco (III. 459 B.) nihil est hujus generis. — 16. Ex. XIX. 9. — 18. XIX. 16. — 20. XIX. 18,19. — 24. XX. 18,21. — 26. XIX. 12,13. — 28. XX. 19. — 29. XX. 20. — 30. XXIV. 15 — 18.

ἀναβὰς ἐκάλυψεν ἡ νεφέλη τὸ ὄρος, καὶ κατέβη ἡ δόξα τοῦ θεοῦ ἐπὶ τὸ ὄρος καὶ ἐκάλυψεν αὐτὸν ἡ νεφέλη ἡμέρας ς΄· τὸ δὲ εἶδος τῆς δόξης Κυρίου ὡσεὶ πῦρ φλέγον, ἐπὶ τῆς κυρυφῆς τοῦ ὄρους ἐναντίον τῶν υἱῶν Ἰσραήλ· εἰσελθὼν δὲ Μωϋσῆς εἰς τὸ μέσον τῆς νεφέλης ἐπὶ τοῦ ὄρους, ἦν ἐκεῖ ἡμέρας μ΄» ἐνώπιον τοῦ θεοῦ ἑστηκώς· «ἄρτον οὐκ ἔφαγεν, ὕδωρ οὐκ ἔπιεν». Καὶ ἄλλοτε πάλιν· «ἀνέβη Μωϋσῆς καὶ Ἀαρὼν καὶ πρεσβύτεροι ο΄, καὶ εἶδον τὸν τόπον οὗ εἱστήκει ὁ θεὸς καὶ τὰ ὑπὸ τοὺς πόδας αὐτοῦ, ὡς ἔργον λίθου σαπφίρου καὶ ὡς εἶδος στερεώματος τοῦ οὐρανοῦ τῇ καθαρότητι». (5) Καὶ αὖθις φησίν. «Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν ἐνώπιον ἐνωπίῳ ὡς εἴτις λαλήσει πρὸς ἑαυτοῦ φίλον, καὶ ἀπελύετο εἰς τὴν παρεμβολήν. Καὶ εἶπε Μωϋσῆς πρὸς Κύριον. «Εἰ εὕρηκα χάριν ἐνώπιόν σου, ἐμφάνισόν μοι σαυτὸν γνωστὸς, ὡς ἴδω σε, ὅπως ἂν ᾧ εὑρηκὼς χάριν ἐνώπιόν σου καὶ ἐνδοξασθησώμεθα ἐγώ τε καὶ ὁ λαός σου». Καὶ εἶπε Κύριος πρὸς Μωσῆν. «Καὶ τοῦτον σου τὸν λόγον, ὃν εἴρηκας, ποιήσω· εὕρηκας γὰρ ἐνώπιόν μου χάριν· καὶ οἶδα σε παρὰ πάντας, καὶ χάριν ἔχεις παρ' ἐμοί, ἀλλ' οὐ δυνήσει ἰδεῖν τὸ πρόσωπόν μου· οὐ γὰρ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόσωπόν μου καὶ ζήσεται· καὶ ἰδοὺ τόπος παρ' ἐμοὶ καὶ στήσῃ ἐπὶ τῆς πέτρας καὶ σκεπάσω σε τῇ χειρί μου καὶ τότε ὄψει τὰ ὀπίσω μου· τὸ δὲ πρόσωπόν μου οὐκ ὀφθήσεταί σοι». (6) Εἶτα μέλλων τὸ δευτερονόμιον δέχεσθαι, πάλιν φησίν. «Καὶ ἀνέβη Μωϋσῆς εἰς τὸ ὄρος τὸ Σινᾶ, καθὼς συνέταξεν αὐτῷ Κύριος. Καὶ κατέβη Κύριος ἐν νεφέλῃ». «Καὶ παρέστη αὐτῷ ἐκεῖ ἡμέρας μ΄ καὶ νύκτας μ΄· ἄρτον οὐκ ἔφαγε καὶ ὕδωρ οὐκ ἔπιεν καὶ ἔγραψεν ἐπὶ τῶν πλακῶν τὰ ῥήματα τῆς διαθήκης, τοὺς ι΄ λόγους. Καὶ λαβὼν τὰς πλάκας καὶ καταβὰς ἀπὸ τοῦ ὄρους δεδοξασμένος, εἶδεν Ἀαρὼν καὶ πάντες οἱ υἱοὶ Ἰσραὴλ τὸ πρόσωπον Μωϋσέως καὶ ἦν δεδοξασμένον, καὶ ἐφοβήθησαν αὐτῷ προσεγγίσαι». Καὶ εἰκότως· νηστεύσας γὰρ ἡμέρας π΄ Κυρίῳ παρεστηκὼς καὶ τὰς θεογράφους πλάκας δεξάμενος καὶ τὸ θεόσδοτον δευτερονόμιον εἰληφὼς, τοσοῦτον αὐτοῦ τὸ πρό-

6. Deut. IX 9; Ex. XXIV. 9,10. — 10. XXXIII. 11 — 23. — 21. Cod. 89,20—91,14. — 22. Ex. XXXIV. 4 — 26, 28 — 30, Glyc. 294,14 Ὁ δὲ Γεώργιος λέγει, ὅτι ὁ Μωϋσῆς π. ἡμέρας νήστης ἦν.

σωπον ἐκ τῆς θεοπνευστίας ἐδοξάσθη, ὥστε μὴ δύνασθαι τὸν λαὸν ἀτενίσαι πρὸς τὴν ἐκεῖθεν φερομένην θείαν αὐγήν τε καὶ δόξαν. Καὶ διὰ τοῦτο «κάλυμμα ἐπετέθη ἡνίκα πρὸς αὐτοὺς ὡμίλει»· ἀκτίνας γὰρ ἐκπέμπων σελαφόρους καὶ ἀπαστράπτων σφόδρα, τὰς ὄψεις ἐπέστρεψε τῶν ὁρώντων, ὥσπερ τις ἡλιακὴ αὐγὴ τοῖς ὀφθαλμοῖς προσπίπτουσα. (7) Μετὰ γὰρ ἡμέρας μ' κατελθὼν καὶ διὰ τὴν μοσχοποιΐαν θυμωθεὶς εὐθέως τὰς πλάκας συντρίψας, εἰς τὸ ὄρος πάλιν ἀνέδραμεν, τοσαύτας ἄλλας ἐνδιατρίψας ἐν τῷ ὄρει ἡμέρας προσφιλοσοφῶν τῷ θεῷ, πάσης (16ᵃ) ἀνθρωπίνης τροφῆς ὡς καὶ ἐν ταῖς προτέραις ἡμέραις γενόμενος ἄγευστος. Οὕτως τὰς δευτέρας πλάκας λαβὼν, πρὸς τὸν λαὸν κατῆλθε. (8) Ποῖος οὖν λογισμὸς ἀνθρώπινος τὸ ὑπέρογκον τοῦδε τοῦ θαύματος παραστῆσαι δυνήσεται, πῶς ἡρωόδης τοῦ σώματος φύσις τοσοῦτον κινουμένη διήρκεσεν, οὐδενὸς ἀνεκπληροῦντος τὸ καθ' ἡμέραν διαπνέον καὶ ἐξωθούμενον τῆς δυνάμεως; λύει δὲ τὸ ἄπορον τοῦτο πρᾶγμα καὶ θαυμάσιον ὁ θεῖος λόγος, ὡς ὅταν λέγει. «Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ ἐκ στόματος θεοῦ». Οὐκοῦν εὐδήλως πᾶσιν ἐντεῦθεν, ὡς μηδὲν τὸν ἄγγελον τοῦτον βεβρωκέναι παντελῶς ἐν ᾗ καὶ κατῆλθεν ἡμέρᾳ, σπεύδων ἐν λόγῳ Κυρίου, καὶ τῇ ἐπαύριον ἐν τῷ ὄρει ἀνῆλθεν, ὥστε δικαίως τῷ δικαίῳ θυμῷ χρησάμενον, τὰς ἐν λίθῳ σαπφίρῳ δακτύλοις θεοῦ γραφείσας θείας ῥήσεις μὴ φέρων τὴν ἐπάρατον ἐργασίαν τε καὶ θεοστυγῆ πρᾶξιν τῶν ἀνοσίων ἐκείνων καὶ βεβήλων, συνετριψεν, τοῦτο μὲν ἀνάξιον πάμπαν εὖ μάλα κρίνας τοιαύτης θεουργίας καὶ εὐεργεσίας ἀπολαῦσαι τοὺς θεομισεῖς καὶ ἐμβροντήτους, τοῦτο δὲ μᾶλλον εἰδὼς, τὴν κατ' αὐτῶν ἐνδικον τοῦ θεοῦ ἀγανάκτησιν, καὶ διὰ τοῦτο παντί που δῆλον κελεύσας, εἰ καὶ μὴ πάντας, ἀλλὰ τοὺς παρατυγχάνοντας ἀναιρεθῆναι. Πῶς οὖν ὁ τοιαύτης καὶ τοσαύτης ἐγκρατείας καὶ νηστείας ἐργάτης καὶ χαρίτος θείας ἔμπλεος ἐκ διαμέτρου καὶ θείῳ ζήλῳ πυρπολούμενος ἅμα καὶ ἡλιγγιῶν καὶ ἀδημονῶν καὶ ἀθυμῶν σφόδρα καὶ λυπούμενος καθ' ὑπερβολὴν ἐπὶ τῇ φοβερᾷ τῶν ἀχαρίστων ἁμαρτίᾳ, τῶν ἀστόργων καὶ

---

2. αἴγην cod. — 3. Ex. XXXIV. 33. — 16. Deut. VIII. 3.

ἀσπόνδων, ἠνέσχετο βρώσεως ἢ πόσεως μετασχεῖν ἐν ἡμέρᾳ μιᾷ, πικρίας καὶ θυμοῦ πεπληρωμένος καὶ στενοχωρίας ἐν λαῷ κακούργῳ καὶ πονηροτάτῳ καὶ μυσαροτάτῳ, μὴ πρότερον ὑπὲρ ἑαυτοῦ ἐξιλεωσάμενος δι' ἐπιτεταγμένης ἐστὶ νηστείας καὶ κατανύξεως, ἧς οὐδὲν φίλον θεῷ πέφυκεν, εὖ εἰδὼς εἰ καί τις ἄλλος; (9) Ὅτι γὰρ μία γέγονεν ἡμέρα μεταξὺ τῆς ἀπὸ τοῦ ὄρους καταβάσεως αὐτοῦ καὶ ἀναβάσεως, ἐν ᾗ τάς τε πλάκας συντρίψας καὶ τὸν μόσχον ἐξαφανίσας καὶ τοὺς τρισχιλίους αἰσχίστους καὶ κακίστους ἄνδρας ὀλοθρεύσας, βουλόμενος, ὡς οἴονται, καταπαῦσαι τὴν ὀργὴν τοῦ θεοῦ μικρὸν καὶ τὸν ἄκρατον θυμὸν, αὐτίκα τῇ ἐπιούσῃ βάττον ἀνῆλθεν εἰς τὸ ὄρος πρὸς Κύριον, δυσωπήσων ὑπὲρ αὐτῶν, ἄκουσον τί φησὶν ἡ γραφὴ διαῤῥήδην· «Καὶ ἐγένετο μετὰ τὴν αὔριον καὶ εἶπε Μωϋσῆς πρὸς τὸν λαόν· Ὑμεῖς ἡμαρτήκατε ἁμαρτίαν μεγάλην, καὶ νῦν ἀναμνήσομαι πρὸς τὸν θεὸν, ἵνα ἐξιλεώσωμαι περὶ τῆς ἁμαρτίας ὑμῶν». Εἶτα ἐπήγαγεν εὐθέως. «Ἐπέστρεψε δὲ Μωσῆς πρὸς τὸν Κύριον καὶ εἶπε. «Δέομαι, ἡμάρτηκεν ὁ λαὸς οὗτος ἁμαρτίαν μεγάλην καὶ ἐποίησαν (16ᵇ) ἑαυτοῖς θεοὺς, καὶ νῦν, εἰ μὲν ἀφεῖς αὐτῶν τὴν ἁμαρτίαν, ἄφες, εἰ δὲ μὴ, ἐξάλειψον κἀμὲ ἐκ τῆς βίβλου ἧς ἔγραψας»· καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν· «εἴ τις ἥμαρτεν ἐνώπιόν μου, ἐξαλείψω αὐτὸν ἐκ τῆς βίβλου μου· νῦν δὲ βάδιζε καὶ ὁδήγησον τὸν λαὸν τοῦτον εἰς τὸν τόπον, ὃν εἴρηκά σοι. Καὶ ἰδοὺ ὁ ἄγγελός μου προπορεύσεται πρὸ προσώπου μου, ᾗ δ' ἂν ἡμέρᾳ ἐπισκέψωμαι, ἐπάξω ἐπ' αὐτοὺς τὴν ἁμαρτίαν αὐτῶν». Καὶ ἐπάταξε Κύριος τὸν λαὸν περὶ τῆς ποιήσεως τοῦ μόσχου οὗ ἐποίησεν Ἀαρών». (10) Ἴδε τοίνυν χρηστότητος καὶ ἀποτομίας θεοῦ κατὰ τὸν χριστοφόρον· καὶ γνῶθι σαφῶς, ὅτι φοβερὸν ὄντως τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος καὶ ἀμήχανον ἐκφυγεῖν τοὺς ἑπταικότας ἀμετανόητα δήπουθεν τὴν ἔνδικον καὶ ἀδέκαστον θείαν δίκην, εἰ καὶ παραχρῆμα ταύτην οὐκ ἐπήγαγεν καθὼς ἐναργεστάτως διὰ βραχυλογίας ἀποδέδεικται. (11) Ὥστε λοιπὸν ἀναμφήριστόν ἐστιν, ὡς π' ἡμέρας ἐφεξῆς ἀπόσιτος ἔμεινε θεοφορούμενος ὁ θεσπέσιος οὗτος ἀνὴρ καὶ ἐνισχυόμενος ἐν ἐκείνῃ τῇ πολλῇ προεδρείᾳ

---

5. φίλιον? — 12. Ex. XXXII. 30 — 16. 31 — 35.

καὶ παραστάσει θεοῦ, θεὸς καὶ θεοφάντωρ ἤδη γενόμενος καὶ ὑπὲρ φύσιν ἀνθρωπίνην καρτερίαν καὶ εὐτονίαν ἐπιδειξάμενος, «εἴτε ἐν σώματι πέλων, εἴτε ἐκτὸς τοῦ σώματος, ὁ θεὸς οἶδεν» ὁ τοῦτον οὕτως ἀποφήνας καὶ ὑπερφυῶς δοξάσας. (12) Εἶτα πάλιν φησίν. «Ἡνίκα δ' ἂν ἐπορεύετο Μωϋσῆς εἰς τὴν σκηνὴν, κατέβαινεν ὁ στύλος τῆς νεφέλης καὶ ὁ θεὸς ἐπὶ σκηνήν. Ὁ δὲ λαὸς ἑώρα τὸν στύλον τῆς νεφέλης, καὶ προσεκύνουν ἕκαστος ἐκ τῆς σκηνῆς αὐτοῦ· καὶ οὕτως ἐλάλησε Κύριος μετὰ Μωϋσέως» ἐνώπιον τοῦ λαοῦ. (13) Καὶ τὸν μὲν λαὸν ἐκ τῆς ὀργῆς Κυρίου διαφόρως ἐπαγωνιζόμενος ἐξελέσθαι, τοσοῦτον ὑπὲρ αὐτῶν ἠλγησε τῆς οἰκείας σωτηρίας *, ὡς καὶ ἐν τῇ θραύσει τοῦ θεοῦ κατὰ ** τὸν Δαυὶδ στῆναι φάναι· «εἰ μὲν ἀφεῖς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες, εἰ δὲ μή, ἐξάλειψον κἀμὲ ἐκ τῆς βίβλου ἧς ἐγράψας»· εἶπε γὰρ, φησὶν, τοῦ ἐξολοθρεῦσαι αὐτοὺς, εἰ μὴ Μωϋσῆς, ὁ ἐκλεκτὸς αὐτοῦ, ἔστη ἐν τῇ θραύσει ἐνώπιον αὐτοῦ τοῦ μὴ ἐξολοθρεῦσαι αὐτούς· ὅσοι δὲ κατεξανέστησαν αὐτῷ, οἱ μὲν κατεπόθησαν εἰς Ἅδου ζῶντες, οἱ δὲ θείου πυρὸς γεγόνασι παρανάλωμα· φησὶ γάρ. «Καὶ ἐγένοντο οἱ τεθνηκότες ἐν τῇ θραύσει χιλιάδες ιδ' χωρὶς τῶν τεθνηκότων ἕνεκε Κορέ». (14) Οὐ μὴν δὲ, ἀλλὰ καὶ Μαρία ἡ προφῆτις καὶ ἀδελφὴ αὐτοῦ λαλήσασα κατ' αὐτοῦ, δίκην δέδωκε. «Καὶ ἐλάλησαν, φησὶν, Μαρία καὶ Ἀαρὼν κατὰ Μωϋσέως ἕνεκε τῆς γυναικὸς αὐτοῦ Αἰθιοπίσσης, ὅτι γυναῖκα Αἰθιόπισσαν ἔλαβεν· καὶ εἶπαν, «μὴ Μωϋσεῖ μόνῳ λελάληκεν ὁ θεός;» Καὶ ἤκουσε Κύριος. Καὶ ὁ ἄνθρωπος Μωϋσῆς πραΰς σφόδρα παρὰ πάντας ἀνθρώπους ἐπὶ τῆς γῆς. Καὶ κατέβη Κύριος ἐν στύλῳ νεφέλης ἐπὶ τὴν σκηνὴν τοῦ μαρτυρίου καὶ εἶπε πρὸς Ἀαρὼν καὶ Μαρίαν. «Ἐὰν γένηται προφήτης ὑμῶν Κυρίῳ, ὁράματι αὐτῷ γνωσθήσομαι καὶ ἐν ὕπνῳ λαλήσω αὐτῷ· οὐχ οὕτως ὁ θεράπων μου Μωϋσῆς, ἐν ὅλῳ τῷ οἴκῳ μου (17ª) πιστός ἐστιν· στόμα κατὰ στόμα λαλήσω αὐτῷ ἐν εἴδει καὶ οὐ δι' αἰνιγμάτων καὶ τὴν δόξαν μου εἶδε· καὶ διὰ τί οὐκ ἐφοβήθητε καταλαλῆσαι κατὰ τοῦ θεράποντός μου Μωϋσέως;» καὶ ὀργὴ θυμοῦ Κυρίου *** καὶ ἀπῆλθεν. Καὶ ἰδοὺ Μαρία λεπρώσασα ὡσεὶ χιών» — Ἀλλ' οὖν γε

---

2. 2 Cor. XII. 2. — 4. Ex. XXXIII. 9. — * ἀμελήσας? — ** τοῦ λαοῦ? — 17. Num. XVI. 49. — 20. XII. 1 — 3,5 — 16. *** ἐπ' αὐτοῖς LXX.

δυσωπήσας Μωϋσῆς δὲ αὐτήν, καὶ ἀφορισθεῖσα ἐκ τοῦ λαοῦ ἡμέρας ξ', ἰάθη κατὰ τὸν λόγον Κυρίου. Καὶ μετὰ ταῦτα Μαρία ἐτελεύτησε. (15) Καὶ οὐκ ἦν ὕδωρ ἐν τῇ συναγωγῇ, καὶ ἐλοιδόρει ὁ λαὸς τὸν Μωϋσῆν καὶ τὸν Ἀαρών. «Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν»· «λάβε τὴν ῥάβδον ταύτην καὶ ἐκκλησίασον τὴν συναγωγὴν σὺ καὶ Ἀαρὼν ὁ ἀδελφός σου, καὶ λαλήσατε πρὸς τὴν πέτραν ἐναντίον αὐτῶν, καὶ δώσει τὰ ὕδατα αὐτῆς». Καὶ ἔλαβε Μωϋσῆς τὴν ἀπέναντι Κυρίου ῥάβδον, καὶ ἐκκλησίασε Μωϋσῆς καὶ Ἀαρὼν τὴν συναγωγὴν ἀνέναντι τῆς πέτρας καὶ εἶπον πρὸς αὐτούς. «Ἀκούσατε ἡμῶν, οἱ ἀπειθεῖς, μὴ ἐκ τῆς πέτρας ταύτης ἐξάξω ὑμῖν ὕδωρ;» Καὶ ἐπάρας Μωϋσῆς τὴν χεῖρα αὐτοῦ καὶ παταίξας τὴν πέτραν τῇ ῥάβδῳ, ἐυθὺς ἐξῆλθεν ὕδωρ πολύ, καὶ ἔπιεν ὁ λαὸς τῆς συναγωγῆς καὶ τὰ κτήνη αὐτῶν. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν καὶ Ἀωρών. «Ἀνθ' ὧν οὐκ ἐπιστεύσατε ἁγιάσαι με ἐναντίον τοῦ λαοῦ, διὰ τοῦτο οὐκ εἰσάξετε ὑμεῖς τὴν συναγωγὴν ταύτην εἰς τὴν γῆν, ἣν ἔδωκα αὐτοῖς». Διὸ «προστεθήτω Ἀαρὼν πρὸς τὸν λαὸν αὐτοῦ (καὶ ἀποθανείτω), ὅτι οὐ μὴ εἰσέλθητε εἰς τὴν γὴν ἐκείνην, διότι παρωξύνατέ με ἐπὶ τοῦ ὕδατος τῆς ἀντιλογίας καὶ λοιδορίας τοῦ λαοῦ». Καὶ ἀνεβίβασε Μωϋσῆς τὸν Ἀαρὼν εἰς τὸ ὄρος καθὰ συνέταξε Κύριος ἐναντίον πάσης συναγωγῆς» καὶ ἐξέδυσεν αὐτὸν τὰ ἱερατικὰ ἱμάτια καὶ ἐνέδυσεν αὐτὰ Ἐλεάζαρ τὸν υἱὸν αὐτοῦ, καὶ 1828
ἀπέθανεν Ἀαρὼν ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους» ἐν τῷ μ' ἔτει τῆς (3728)
ἐξόδου τῶν υἱῶν Ἰσραὴλ, ζήσας ἔτη ρκγ'. «Καὶ εἶδε πᾶσα ἡ συναγωγή, ὅτι ἀπελύθη Ἀαρών, καὶ ἔκλαυσαν αὐτὸν ἡμέρας λ'».

XXI. ΠΕΡΙ ΤΗΣ ΤΕΛΕΥΤΗΣ ΜΩΥΣΕΩΣ.

Καὶ μετὰ ταῦτα εἶπε Κύριος πρὸς Μωϋσῆν. «Ἀνάβηθι εἰς τὸ ὄρος — τὸ Ναβαὺ καὶ ἴδε τὴν γῆν — ἣν δίδωμι τοῖς υἱοῖς Ἰσραὴλ, καὶ τελεύτα — ἐκεῖ — ὃν τρόπον ἀπέθανεν Ἀαρὼν ὁ ἀδελ-

---

1. αὐτῆς cod. Num. XX. 1,2. — 3. Cod. 91,18 — 93,6. — 4. Num. XX. 7 — 12. — 6. λαλήσαντες cod. — 9. εἶπε LXX. — Ἀπ. ἡμῖν cod. d. μου LXX. — 14. Num XX. 12 — 16. 24 — 26. 27 — 29. — 26. Num. XXVII. 12, Deut. XXXII 48 — 52.

φός σου ἐν* τῷ ὄρει — διότι ἠπειθήσατε τῷ ῥήματί μου — ἐπὶ τοῦ ὕδατος (τῆς) ἀντιλογίας Κάδης καὶ οὐχ ἡγιάσατέ με ἐν τῷ λαῷ. ὅτι ἀπέναντι ὄψει τὴν γῆν ἐκείνην καὶ ἐκεῖ οὐκ εἰσελεύσῃ». (2) Τοῦ δὲ Μωϋσέως πολλάκις δεηθέντος τοῦ θεοῦ περὶ τούτου καὶ λέγοντος· «διαβὰς οὖν ὠδέποτε, Κύριε, τὸν Ἰορδάνην, ὄψομαι τὴν ἀγαθὴν γῆν ἐκείνην καὶ τὸ ἅγιον ὄρος καὶ τὸν Ἀντιλίβανον». Καὶ εἶπε Κύριος πρὸς αὐτόν· «ἱκανούσθω σοι· ὅρα μὴ προσέλθῃς μοι ἔτι λαλῆσαι περὶ τούτου, ἀλλ' ἀνάβηθι ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους καὶ ἴδε κατὰ θάλασσαν καὶ βορρᾶν καὶ λίβαν καὶ ἀνατολὰς τὴν ἀγαθὴν γῆν ἐκείνην καὶ τὸ ἅγιον ὄρος, ὅτι τοῖς ὀφθαλμοῖς σου ὄψει αὐτὴν (17ᵇ) καὶ ἐκεῖ οὐκ εἰσελεύσει». (3) Καὶ γράψας ἐκ προστάγματος Κυρίου τὴν ᾠδὴν τὴν μεγάλην καὶ διαθήκην καὶ ἐπιθεὶς τὰς χεῖρας αὐτοῦ ἐπὶ Ἰησοῦν τὸν τοῦ Ναυῆ εἰς τὸ ὄρος τὸ Ἀβαρείμ, ὅ ἐστι Ναβαύ, καὶ ἔδειξεν αὐτῷ Κύριος πᾶσαν τὴν γῆν τῆς ἐπαγγελίας» καὶ εἶπε πρὸς αὐτόν. «Αὕτη ἡ γῆ, ἣν ὤμοσα πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ λέγων· τῷ σπέρματί σου δώσω αὐτήν, ἔδειξά σοι τοῖς
1827 ὀφθαλμοῖς σου· ἐκεῖ δὲ οὐκ εἰσελεύσῃ». Καὶ ἐτελεύτησε Μωϋσῆς—
(3729) ἐκεῖ διὰ ῥήματος Κυρίου, ζήσας ἔτη ρκ′. Καὶ θάψας αὐτὸν ὁ λαὸς καὶ κλαύσας ἡμέρας μ′, οὐδεὶς εἶδε τὴν ταφὴν αὐτοῦ». (4) «Καὶ οὐκ ἀνέστη ἔτι προφήτης ἐν Ἰσραὴλ ὡς Μωϋσῆς, ὃς ἔγνω αὐτὸν πρόσωπον πρὸς πρόσωπον ἐν πᾶσι τέρασι καὶ σημείοις». Μεθ' ὃν οὐδεὶς ὑπὲρ τὰ ρκ′ ἔτη ἔζησεν. (5) Καὶ τῷ μὲν μ′ ἔτει τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ τῇ νουμηνίᾳ, φησὶν Ἰώσηπος, τοῦ πρώτου μηνὸς Νισὰν ἐτελεύτησε Μαρία καὶ ἐτάφη ἐν Ὤρ τῷ ὄρει· καὶ τῇ νουμηνίᾳ τοῦ ε′ μηνὸς Ἀβ τοῦ αὐτοῦ ἔτους ἐτελεύτησεν Ἀαρὼν καὶ ἐτάφη καὶ αὐτὸς ἐν αὐτῷ τῷ ὄρει Ὤρ. Καὶ τῇ νουμηνίᾳ τοῦ ιβ′ μηνὸς Ἀδαρ τοῦ αὐτοῦ ἔτους, ἐτελεύτησε Μωϋσῆς ἐν ὄρει τῷ Βαρείμ ἐν ᾧ καὶ ἐτάφη, καὶ* τινὰ λοιπὸν φωτοειδῆ νεφέλην γεγεννῆσ-

---

* Ὤρ Deut. — 5. Δ. οὖν ὄψ. τὴν γῆν ἀγ. ταύτην, τὴν οὖσαν πέραν τοῦ Ἰορδάνου, τὸ ὀ. τοῦτο το ἀγαθὸν καὶ τὸν Ἀ. Deut. III 25. — 7. Ἱ. σοι, μὴ προσθῇς ἔτι λ. τὸν λόγον τοῦτον, ἀν. Deut. 26. — 8. κορ. τοῦ λελαξευμένου καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς σου κ. θ. Deut. 27. — 13. ἐπὶ Νῶ cod. — Βαρεῖμ cod. — 15. γῆν Γαλαὰδ ἕως Δὰν Deut. XXXII. 1. — 15. XXXIV. 4 — 6. — 19. 10,11. — 24. ὑπέρ τινος ὄρους ὃ καλοῦσι Σὶν Α. 4. IV. 6. — 27. Ἀβαρεῖ Jos. A. 4. VIII. 48. — * φασὶ? νέφους αἰφνίδιον ὑπὲρ αὐτὸν στάντος ἀφανίζεται κατά τινος φάραγγος Ios.

ϑαι κατὰ τὸν τόπον ἐκεῖνον ἀμαυροῦσαν καὶ ἀποτειχίζουσαν τὰς ὄψεις τῶν ὁρώντων, ἵνα μὴ γινώσκοιεν αὐτοῦ τὸν τάφον εἰς τὸν αἰῶνα. (6) Προσεκτέον οὖν ὅπως τὸν Νισὰν πρῶτον μῆνα λέγει, ὅνπερ ἡμεῖς ὀνομάζομεν Μάρτιον καὶ οὐχὶ Ἀπρίλλιον, ὡς τινὲς οἴονται, ὅτι μὲν πρῶτος μήν ἐστι παρ' Ἑβραίοις ὁ Νισὰν; ὡς καὶ αὐτὴ δηλοῖ τοῦ ὀνόματος ἡ προσηγορία καὶ ἡ ἑρμηνεία, ἑβραϊστὶ λεγόμενος Μάρτιος. Καὶ μάρτυς μὲν οὗτος ὁ σοφώτατος καὶ νομοδιδάσκαλος Ἰώσηπος, τὸν Νισὰν πρῶτον εἰπὼν μῆνα καὶ τὸν Ἀβὶ πέμπτον καὶ τὸν Ἄδαρ δωδέκατον· μάρτυς δὲ μᾶλλον ϑεῖος καὶ ἀξιόχρεως ὁ προφήτης Ζαχαρίας περὶ τοῦ Θ' καὶ ι' μηνὸς λέγων· «τῇ δ' καὶ ι' τοῦ Θ' μηνὸς, ὅς ἐστι Σαβάτ». Καὶ γὰρ οὗτος καὶ παρ' ἡμῖν, εἰ πρῶτος ὁ Μάρτιος ἀπηριϑμήϑη, ὄγδοος ὁ Ὀκτώβριος εὑρίσκεται, καὶ δέκατος ὁ Δεκέμβριος. Καὶ μέντοι τὸ ἔαρ ἀπὸ τοῦ αὐτοῦ πρωτοκτίστου μηνὸς ἄρχεται Μαρτίου καὶ ἡ γῆ βλαστάνει, κατὰ τὴν ϑείαν πρόστασιν, βοτάνην χόρτον· καὶ οἱ τοῦ ἐνιαυτοῦ καιροὶ τέσσαρες, ἀνὰ τρεῖς μῆνας ἔχοντες ἀριϑμοῦνται. Καὶ λέγεται ὁ ψῆφος αὐτῶν· ἔαρ, ϑέρος, φϑινόπωρον καὶ χειμών. (7) Οὐ μὴν δὲ ἀλλὰ καὶ ὁ πολυμαϑὴς καὶ πολυΐστωρ Εὐσέβιος ἐν τοῖς χρονικοῖς κανόσι φησί. «Οἱ οὖν Ἰουδαῖοι τὴν τοῦ ἔτους νεομηνίαν* τοῦ παρ' αὐτοῖς λεγομένου Νισὰν ἤτοι τῇ κε' τοῦ Μαρτίου μηνὸς ἔχουσι πάντοτε, ἥτις ἐστὶ πρωτόκτιστος ἡμέρα, ἐν ᾗ τόδε πᾶν ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παρήγαγεν ὁ ϑεός. Κατὰ τὴν εὐδοκίαν τοῦ πατρὸς καὶ συνεργίαν τοῦ ἁγίου πνεύματος ἐνοικήσας ἐν τῇ ἁγίᾳ παρϑένῳ, τῷ αὐτῷ ἔτει ἐνηνϑρώπησε. Καὶ κατ' αὐτὴν ἐκ τάφου ἀνέστη καὶ γέγονε τὸ (18ª) λεγόμενον κύριον πάσχα». Αὕτη τοίνυν ἡμῖν κατὰ τὴν τοῦ ϑεοῦ ἁγίαν ἐκκλησίαν ἀρχὴ ἔτους ἐστὶ πάντοτε καϑὸ καὶ τὸ ἅγιον πάσχα εὑρίσκοντες εἰς κυριακὴν ἐμπίπτον μετὰ τὴν ιϑ' τῆς σελήνης τοῦδε τοῦ μηνὸς Μαρτίου τοῦ καὶ Νισὰν προσαγορευομένου, οὐκ ἰουδαϊκῶς, ἀλλ' ἀποστολικῶς ἐκτελοῦμεν κατὰ φυσικὴν ϑεοπαράδοτον μέϑοδον.

---

11. τῇ δ' καὶ κ' τοῦ ια' Zach. I. 7. — 12. ἀπαριϑμήϑ. cod. — 16. τριῶν cod. — 19. Locus inedítus. — * τῇ α'?

XXII. ΕΤΙ ΠΕΡΙ ΤΟΥ ΜΩΥΣΕΩΣ.

Οὕτως οὖν ὁ θαυμάσιος οὗτος Μωϋσῆς διαπρέψας καὶ θαυματουργὸς ἀναδειχθεὶς τοὐναντίον πάλιν μετὰ πολλῆς ὀδύνης καὶ θλίψεως διεπέρανε τὸν βίον. Καὶ γὰρ ἀποδυρόμενος τὴν στέρησιν τῆς ἐπηγγελμένης ἁγίας γῆς ἔλεγε πρὸς τοὺς Ἰσραηλίτας. «Κύριος ὁ θεὸς ἐθυμώθη μοι περὶ τῶν λεγομένων ὑφ' ὑμῶν καὶ ὤμωσεν, ἵνα μὴ διαβῶ τὸν Ἰορδάνην καὶ εἰσέλθω εἰς τὴν γῆν, ἣν Κύριος ὁ θεὸς δίδωσιν ὑμῖν ἐν κλήρῳ· ἐγὼ γὰρ ἀποθνήσκω ἐν τῇ γῇ ταύτῃ καὶ οὐ διαβαίνω τὸν Ἰορδάνην*, ὑμεῖς δὲ διαβαίνετε καὶ κληρονομεῖτε τὴν ἀγαθὴν γῆν ταύτην». Ποίαν τοίνυν ἄρα λιθίνην καρδίαν οὐ συνέτριψεν ἡ τοῦ δικαίου θλῖψις τότε; ποίαν ψυχὴν ἀμείλικτον καὶ δυσπαράκλητον οὐ κατεμάλαξεν καὶ εἰς οἶκτον ἤγαγεν ταῦτα μετὰ δακρύων φθεγγόμενα; τίνα οὐκ ἔπληξε καὶ ἐφόβησε καὶ πρὸς δάκρυα καὶ θρῆνον ἀκατάσχετον οὐκ ἐκίνησεν; (2) Οὕτως ἀληθῶς, πολλαὶ θλίψεις τῶν δικαίων· ἰδοὺ γὰρ ὁ ἐκ βρέφους ἀστεῖος ὁρώμενος καὶ θείας χάριτος ἔμπλεος, οὗτος ὁ ἀοίδιμος καὶ ἐξοχώτατος δίκαιος ἀπὸ τῆς πρώτης ἡλικίας ἀρξάμενος θλίβεσθαι καὶ ὀδυνᾶσθαι καὶ ἀδημονεῖν, μετὰ τῆς αὐτῆς ἀθυμίας τὸν βίον κατέλυσε· ἵνα γὰρ τὰς ἐν Αἰγύπτῳ θλίψεις αὐτοῦ πολλὰς καὶ κακὰς παρῶμεν, καὶ τὰς ἐν ἐρήμῳ διασκοπήσωμεν, ἔνθα μηκέτι φέρων τοῦ πολλάκις λιθοβολήσαντος λαοῦ τὴν ἀγνομωσύνην καὶ θρασύτητά τε καὶ ἀγριότητα καὶ παραιτούμενος τὴν πρόστασιν ἐκ πολλῆς ἀθυμίας καὶ θάνατον αἰτούμενος. Ἄκουσον καὶ γνῶθι τὸν πολὺν θόρυβον καὶ φοβερὸν ἴλιγγα τῆς ψυχῆς αὐτοῦ δι' ὀλίγων ῥημάτων, φησὶ γάρ·» ἐβαρυθύμησεν Μωϋσῆς σφόδρα καὶ εἶπε πρὸς Κύριον· «ἵνα τί ἐκάκωσας τὸν θεράποντά σου, καὶ διὰ τί οὐχ εὕρηκα χάριν ἐναντίον σου, ἐπιθεῖναι μοι τὴν ὁρμὴν τοῦ λαοῦ τούτου; μικρὸν, λιθοβολήσουσί με· μὴ ἐγὼ ἐν γαστρὶ ἔλαβον** τὸν λαὸν τοῦτον; ἢ ἐγὼ ἔτεκον αὐτούς; ὅτι λέγεις μοι· ἆρον

---

1. Hoc caput in margine codicis non indicatum.—4. διαπεράνας cod. — 6. Deut IV. 21. — 7. Ἰ. τοῦτον καὶ ἵνα μὴ ἐ. Deut. — 8. δ. σοι ἐν Deut. — * τοῦτον Deut. — 10. κληρονομήσετε Deut. — γῆν τὴν ἀγ. Deut. — 25. ἐναντι Μωϋσῇ ἦν πονηρόν Num. XI. 10,11 sine μ. λ. με. — ** πάντα Num. — 29. λάβε αὐτούς Num. 12.

αὐτοὺς εἰς τὸν κόλπον σου, ὡσεὶ ἄραι τιθηνὸς τὸν θηλάζοντα, εἰς τὴν γῆν ἣν ὤμοσας τοῖς πατράσιν αὐτῶν; Πόθεν μοι κρέα δοῦναι παντὶ τῷ λαῷ τούτῳ, ὅτι κλαίουσιν ἐπ' ἐμοὶ λέγοντες· δὸς ἡμῖν κρέα ἵνα φάγωμεν· οὐ δυνήσομαι ἐγὼ μόνος φέρειν (18ᵇ) τὸν λαὸν τοῦτον, ὅτι βαρύτερόν μοι ἐστὶ τὸ ῥῆμα τοῦτο. Εἰ δὲ οὕτω σὺ ποιεῖς*, ἀπόκτεινόν με ἀναιρέσει, εἰ εὕρηκα χάριν ἐν ὀφθαλμοῖς σου, ἵνα μὴ ἴδω τὴν κάκωσίν μου». — Τί οὖν λοιπὸν τῶν ῥημάτων τούτων γένηται ὀδυνηρότερον καὶ τί τῆς ζωῆς ταύτης δυσαχθέστερον; (3) Καὶ αὐτὸς μὲν εὐεργετῶν αὐτοὺς διετέλει καὶ προκινδυνεύων αὐτῶν· ἐπεὶ γὰρ διαφόρως εἶπεν ὁ θεὸς πρὸς αὐτὸν ἐξολοθρεῦσαι τούτους, λέγων· «ἔασόν με καὶ θυμωθεὶς ἐξαναλώσω αὐτοὺς εἰς ἅπαξ καὶ ποιήσω σε εἰς ἔθνος μέγα». Καὶ τούτῳ πρεσβευόμενος ἔλεγεν· «εἰ μὲν ἀφεῖς τὴν ἁμαρτίαν αὐτοῖς, ἄφες, εἰ δὲ μή, ἐξάλειψόν κἀμὲ ἐκ τῆς βίβλου, ἧς ἔγραψας». Ἐκεῖνοι δὲ συνεχῶς καὶ ἀκαθέκτως ἐπανίστανται κατ' αὐτοῦ μέχρις ἂν καὶ εἰς ἔσχατον αὐτὸν κίνδυνον ἤγαγον καὶ τῆς ἐπαγγελίας ἀπεστήρησαν. Καὶ τοῦτο δηλῶν πρὸς αὐτοὺς πάλιν καὶ τραγῳδικότερον τὴν ἑαυτοῦ συμφορὰν διηγούμενος ἔφη. «Καὶ ἐμοὶ Κύριος ἐθυμώθη δι' ὑμᾶς καὶ ὑπερείδε με ἕνεκεν ὑμῶν καὶ οὐκ ἤκουσέ μου τῆς δεήσεως λέγων· οὐδὲ σὺ οὐ μὴ εἰσέλθῃς ἐκεῖ». Διὸ φησὶν ὁ Δαυίδ. «Καὶ παρώργισαν αὐτὸν ἐφ' ὕδατος ἀντιλογίας, καὶ ἐκακώθη Μωϋσῆς δι' αὐτούς, ὅτι παρεπίκραναν**, καὶ διέστειλεν ἐν τοῖς χείλεσιν αὐτοῦ»· ἀθυμοῦντι γὰρ διὰ τὴν τῆς ἀδελφῆς τελευτήν, ἐπέκειντο δίψει πιεζόμενοι. (4) Δυσχεραίνων τοίνυν τὴν πολλὴν ἀκρασίαν τε καὶ αὐθάδειαν, ἀνθρώπινόν τι πέπονθε, καὶ ὥσπερ διαθεῖον ζῆλον ἐπὶ τῆς μοσχοποιΐας αὐτῶν ἐξ ὑπερβολῆς ἀθυμίας ὁ πραότατος πέπονθε, τοῦτο καὶ ἐπὶ τῆς ἀντιλογίας, ὃ δὴ καὶ πρᾶος Δαυὶδ πάσχων ἔλεγε. «Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου», καὶ «εἶδον ἀσυνετοῦντας καὶ ἐξετηκόμην, ὅτι τὸν νόμον σου οὐκ ἐφυλάξαντο». Οὐ γὰρ ἂν, εἰ μὴ

---

1. ὡς ἤτις ἄρη cod. — * μοι Num. 15. — 6. παρά σοι Num. — 11. Deut. εἰ ἐ. ὄλεος IX. 14; Num. XVI. 21, 45. — 13. Ex. XXXII. 32. — 18. Deut. III. 26. — 19. εἰσήκουσέ μου Deut. sine reliquis. — 21. Ps. CVI. 32. — ** τὸ πνεῦμα αὐτοῦ Ps. — 28. Ps. CXIX. 53. — 30. ὅτι τὰ λόγιά σου Ps. 138.

σφόδρα αὐτὸν ἐσκώτωσαν ἐκ βάθρων αὐτοῦ τὴν ψυχήν, ἔτρεψεν ὁ τῆς ἀθυμίας ἐκείνης ταράχος, τὰς θεογράφους πλάκας ἔῤῥιψεν ἀπὸ τῶν χειρῶν καὶ συνέτριψεν, ἐν αἷς ὑπῆρχε γεγραμμένα ταῦτα. α'. «Ἐγώ εἰμι Κύριος ὁ θεός σου, ὃς ἐξήγαγόν σε ἐκ τῆς Αἰγύπτου, οἴκου δουλείας· οὐκ ἔσται σοι θεὸς ἕτερος πλὴν ἐμοῦ»· β'. «Οὐ ποιήσεις σεαυτῷ εἴδωλον παντὸς ὁμοιώματος, ὅσα ἐν τῷ οὐρανῷ ἄνω καὶ ὅσα ἐπὶ τῆς γῆς κάτω καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς· οὐ προσκυνήσεις αὐτοῖς»· γ'. «Οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ θεοῦ σου ἐπὶ ματαίῳ—». δ' «Μνήσθητι τὴν ἡμέραν τῶν σαββάτων ἁγιάζειν αὐτήν». ε' «Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς—». ς' «Οὐ μοιχεύσεις». ζ' «Οὐ κλέψεις». η «Οὐ φονεύσεις». θ' «Οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον μαρτυρίαν ψευδῆ». ι' «Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου οὐδὲ τὸν παῖδα αὐτοῦ (19ᵃ) οὐδὲ τὴν παιδίσκην αὐτοῦ οὐδὲ τὸν βοῦν αὐτοῦ οὐδὲ τὸ ὑποζύγιον αὐτοῦ οὐδ' ὅσα τῷ πλησίον σου εἰσίν». (5) Ἐννοήσον δέ γε πρὸς τούτοις οἷον πῦρ τὴν ψυχὴν αὐτοῦ ἀνῆψεν καὶ ἀκατάπαυστον φλόγα ἤγειρεν καὶ ἡ τοῦ ἀδελφοῦ τελευτή, οἷον καυστῆρα διηνεκῆ τε καὶ ἀθεράπευτον ὁ ταύτης ἐνέθηκε τρόπος, οἷον γὰρ εἰκὸς πάσχειν ὑπὸ τῆς φυσικῆς φιλοστοργίας. Πρῶτον μὲν γὰρ εἰς τὸ ὄρος αὐτὸν ἀγαγὼν, διὰ θείας ἐργῆς τελευτῆσαι, δεύτερον δὲ, ἡνίκα τὴν ἀρχιερατικὴν στολὴν ἀμφιάζων καὶ βλέπων αὐτὸν κατώδυνων σφόδρα καὶ συγκεχυμένον καὶ παρειμένον δάκρυσί τε καὶ συνεχόμενον καὶ ἀγωνιῶντα, τρίτον δὲ, τὸν ἀπ' ἀλλήλων ἀφνίδιον χορισμὸν καὶ τὴν ἐπ' αὐτοῦ ἐκ τῆς ἀδελφικῆς γλυκυτάτης ὁμιλίας τε καὶ συνουσίας ἐρημίαν καὶ μόνωσιν· εἰ γὰρ ὁ λαὸς ἐπένθησεν αὐτὸν ἡμέρας λ', πόσῳ μᾶλλον οὗτος οὐ διέλιπε θρηνῶν αὐτὸν ἀκατασχέτως μέχρι τέλους ζωῆς αὐτοῦ, φλεγόμενος πάνυ καὶ σφαδάζων ὑπὸ τῆς φυσικῆς τυραννίδος. (6) Καὶ τὸ δὴ πάντων θαυμαστότερον, ὅτι καὶ τὴν περιπόθητον γῆν, ὑπὲρ ἧς τε πολλοὺς καὶ φοβεροὺς ἀνέτλη πόνους, ἰδὼν μακρόθεν καὶ μειζόνως τρωθεὶς, ἀπῆλθε μὴ τυχὼν, ὁ θαυμάσιος

---

1. ἐσκώτο. cod. — 4. Ex. XX. 2. — 5. οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι Ex. 3. — 6. ἐ. οὐδὲ ὁμοίωμα Ex. 4. — 7. ἐν τῇ γῇ Ex. — 11. καὶ ἵνα μ. γένῃ Ex. 12. — 12. μοιχεύσῃς κτλ. cod. — 14. οὔτε Ex. 17. — 16. ἐστί Ex.

καὶ πανάρετος ποιμήν, τοῦ σπουδαζομένου διὰ τὴν ἀπειθειαν καὶ σκληροκαρδίαν καὶ δυστροπίαν τῶν σπουδαζομένων. Ποῦ οὖν εἰσὶν οἱ ἐνάρετοι ποιμένες; ἴσως καὶ λαὸν ἀπειθῆ καὶ σκληροτράχηλον καὶ δυσάγωγον ἅμα καὶ ἀντίλογον ποιμαίνοντες καὶ μηδὲν ἐκ τῆς ἐκείνων φαυλότητος οἰόμενοι κινδυνώδες πάσχειν ἐκ παγκάκου λήθης· εἰ γὰρ εἰς ἔννοιαν εἶχον ἀεὶ τὸν ἀοίδιμον ἄνδρα τοῦτον καὶ τὸν δίκαιον ἀρχιερέα Ἠλὶ καὶ ὅπως ἑκάτερος αὐτῶν ὁσίως καὶ ἀμέμπτως βιοῦντες καὶ προστατεύοντες ἐκ τῆς τῶν προστατευομένων ἐκινδύνευσαν κακίας, οὐκ ἂν ἐπαύσαντο θρηνοῦντες καὶ φρίττοντες εἰκότως καὶ τὴν ἑτέρων προστασίαν ἢ παραιτούμενοι, ἢ μετὰ πολλοῦ φόβου καὶ τρόμου καθηγεῖσθαι, καὶ διηνεκῶς πενθεῖν καὶ φροντίζειν περὶ τῆς ἐκείνων ἀπολογίας κατὰ τὴν περὶ τῶν ἀμφοτέρων ἀποστολικὴν παραίνεσιν τὴν λέγουσαν· «Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν ὡς λόγον ἀποδώσοντες.»

(7) Εἰ τοίνυν οἱ τοιοῦτοι καὶ τηλικοῦτοι καθηγηταὶ διὰ τὴν τῶν καθηγουμένων ὑποχειρίων ἐκινδύνευσαν, ὡς προείρηται, μοχθηρίαν, τίς ὑπὲρ τούτου καυχήσηται φανταζόμενος ἢ ἀλαζονευόμενος καὶ ἀκινδύνως τὴν ἡγεμονίαν μεγαλαυχῶν καὶ ματαιολογήσει φανερῶς, ἀμνημονήσας, ὅτι πολλοὶ πολλοὺς ἀφελεστέρους καὶ δυσπειθεῖς διασῶσαι πειραθέντες ὑπὲρ τὴν ἰσχὺν αὐτῶν, καὶ ἑαυτοὺς προσαπώλεσαν — οἶμοι τῷ ἐλεεινῷ — ἐσθ' ὅτε καὶ αἴσχιστον καὶ κάκιστον βίον βιοῦντες; ἄλλος μὲν γὰρ ἔφη τῶν ὁσίων ἀνδρῶν· «οὐ πάντες ἀπαιτούμεθα σῶσαι ἑτέρους, ἑαυτοὺς δὲ πάντες», ὅθεν οὖν λοιπὸν καὶ τῷ μαθητῇ αὐτοῦ ὁ χριστοφόρος τῷ (19ᵇ) τοιούτῳ δυνατῷ ἔργῳ καὶ λόγῳ παραγγέλλων καὶ ἀσφαλιζόμενος ἔφασκε· «μὴ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις· σεαυτὸν ἁγνὸν τήρει», διότι ὑπὲρ ἑαυτοῦ λόγον δώσεις τῷ θεῷ. Καὶ μάλα γε εἰκότως ἔφη τοῦτο καὶ λίαν προσφόρως· ἤδει γάρ, ὅτι ἡ γραφὴ τουτὶ προμεμαρτύρηκε σαφέστατα λέγουσα· «σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν», ἕκαστος δήπουθεν· καὶ ἀλλοίως οὐκ ἔστιν· (8) Ἄξιον τοίνυν ἀληθῶς, σφόδρα θαυμάσαι καὶ μᾶλλον φρίξαι, ὅτι καὶ προφήτης καὶ νομοθέτης καὶ θεόπτης

---

13. Heb. XIII. 17. — 26. I. Tim. V. 22. cf. Heb. XIII. 17. — 30. Gen. XIX. 17.

καὶ οὐρανομύστης καὶ πολλῶν θείων χαρισμάτων ἀξιωθείς καὶ διαφόρων τεραστείων ὑπηρέτης γενόμενος καὶ μέντοι καὶ τῷ λαῷ τοῦ θεοῦ κατὰ τὸ εἰρημένον ἑλόμενος συγκακουχεῖσθαι τοσαῦτα ἔτη ἢ πρόσκαιρον ἔχειν ἁμαρτιῶν ἀπόλαυσιν, εἶτα μετὰ τοὺς πολλοὺς ἐκείνους διαύλους καὶ πόνους καὶ κόπους καὶ ἀγῶνας καὶ ἱδρῶτας καὶ πειρασμοὺς καὶ θλίψεις, διὰ μικρὰν πλημμέλειαν διήμαρτε, ὁ πάσης ἀρετῆς ἐνθέου κεκοσμημένος καὶ λελομπρυσμένος καὶ ἔργῳ καὶ λόγῳ, τῆς ἐπηγγελμένης ἐλπίδος, καὶ τῆς διὰ τῶν τοσούτων χρόνων ἀποκαραδοκουμένης καὶ βλεπομένης ἐφέσεως καθέστηκε ξένος· βαβαὶ τοῦ θαύματος καὶ τῆς τοῦ θεοῦ τὰ περὶ τῆς τῶν ἁγίων πράξεις καὶ ῥήσεις ἀκριβολογίας καὶ ἐξετάσεως· ἀληθὲς γάρ, ὅτι «ὀλίγοι οἱ σωζόμενοι» καὶ «βιαστῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν «καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν» — ἐπείπερ οὐδὲ ὄφελον τῆς προειργασμένης δικαιοσύνης καὶ τῆς προλαβούσης πρὸς θεὸν οἰκειώσεως τοῦ δικαίου παῤῥησίας, εἰ μὴ σύμφωνον τῆς ἀρετῆς καὶ καταλληλον ἀπαντήσει τὸ τέλος ὡς ὁ μέγας οὗτος καὶ ἀξιάγαστος θεράπων καὶ ὑπὲρ ἄνθρωπον δίκαιος ἐναργῶς ἀπέδειξεν. Καὶντεῦθεν, ὡς ἔοικεν, ὁ δίκαιος κριτὴς εἰκότως ἔφη διὰ τοῦ προφήτου· «ἐν τῷ ἀποστρέψαι δίκαιον ἐκ τῆς δικαιοσύνης αὐτοῦ καὶ ποιήσει ἀδικίαν, πᾶσαι αἱ δικαιοσύναι αὐτοῦ, ἃς ἐποίησεν, οὐ μὴ μνησθῶσιν, ἀλλ' ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ ἀποθανεῖται»· καὶ «δικαιοσύνη δικαίου οὐ μὴ ἐξελεῖται αὐτὸν ἐν ᾗ ἂν ἡμέρᾳ πλανηθῇ». Ὅρα γὰρ ὅπως οὔτε τὰ ἐν τοσούτοις ἔτεσι τοῦ Μωϋσέως πλεῖστα καὶ διάφορα καὶ ὑπὲρ λόγον ἀριστεύματα καὶ αἱ συνεχεῖς μετὰ ταῦτα δεήσεις καὶ ἱκετηρίαι τὸν θεὸν ἐδυσώπησαν· οὔτε μὴν ἡ προλαβοῦσα τηλικαύτη καὶ τοσαύτη δόξα τε καὶ οἰκείωσις καὶ προσεδρία εἰς οἶκτον καὶ συγγνώμην τοῦ σφάλματος ἐπισπάσασθαι τὸν θεὸν τηνικαῦτα δεδύνηται διὰ τὸ μέγεθος τοῦ ἀξιώματος· εὔδηλον ὅτι κατὰ τὸν Σολομῶντα «κρίσις ἀπότομος ἐν τοῖς ὑπερέχουσι γίνεται» καὶ «τοῖς κραταιοῖς ἰσχυρὰ ἐφίσταται ἔρευνα». (9) Διδάσκει δέ γε διὰ τούτων ἡμᾶς ὁ θεὸς ὡς τοὺς ἀρετῇ τελείους τὴν ἀκρίβειαν ἀπαιτεῖ,

---

8. διὰ τῆς τῶν cod. — 12. Mt. XX. 16. Ὀ. οἱ ἐκλεκτοὶ, XI. 12. — 13. ὤφελον cod. — 19. ἀποστρέφειν δ. ἀπὸ τῶν δικαιοσυνῶν κ. π. παράπτωμα Ez. III. 20.— 21. ταῖς ἁμαρτίαις Ez. — XXXIII. 12. — 29. Sap. XVII, 5,8.

καὶ τοῖς ἄλλοις ἀνθρώποις μεγάλα παρανομοῦσι μακροθυμῶν, τοῖς ἁγίοις (20ª) ταύτης οὐ μεταδίδωσι τῆς συγγνώμης. Ὅθεν ὁ μὲν Σολομὼν αὖθις φησίν· «ὁ μὲν γὰρ ἐλάχιστος σύγγνωστός ἐστι ἐλέους, δυνατοὶ δὲ δυνατῶς ἐτασθήσονται»· ὁ δὲ Κύριος· «ᾧ μὲν γὰρ ὀλίγον ἐδόθη, φησίν, ὀλίγον ἀπαιτήσουσι παρ' αὐτοῦ· ᾧ δὲ πολύ, πολὺ καὶ ἀπαιτήσουσι παρ' αὐτοῦ»· — Οὐκοῦν εὔκαιρον εἰπεῖν· «ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ»· καὶ «φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος»· καὶ φοβερὸν τὸ «πρόσωπον Κυρίου ἐπὶ ποιοῦντας κακά». Διότι «κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ, οὕτως καὶ πολὺς ὁ ἔλεγχος αὐτοῦ»· «ἔλεος γὰρ καὶ ὀργὴ παρ' αὐτοῦ», καὶ «ἐπὶ ἁμαρτωλοὺς καταπαύσει ὁ θυμὸς αὐτοῦ»· καὶ διὰ τοῦτο πάντως «οὐδὲ ἀγγέλων ἁμαρτησάντων ἐφείσατο», καθὼς γέγραπται.

(10) Τί οὖν ἂν λοιπὸν ἐροῦμεν ἡμεῖς, οἱ μυρίων γέμοντες κακῶν καὶ τοσοῦτον ἀποδέοντες τῆς ἐκείνου ἀρετῆς ὅσον γῆ τοῦ οὐρανοῦ, καὶ τὸν θεὸν καθ' ἑκάστην ἡμέραν καὶ ὥραν δι' ἔργων καὶ λόγων παροργίζοντες; Μηδεὶς τοίνυν ἀρετάς τινας ἔχων ἢ δοκῶν ἔχειν καυχάσθω ἢ ἀμερίμνως διακείσθω, ὡς ἤδη τοὺς τῶν ἀρετῶν αὐτοῦ πόνους καὶ τὰς ἐπικαρπίας ἐν χερσὶν ἔχων ἢ πάντως ἀναντιῤῥήτως τοὺς στεφάνους ἀπολῃψόμενος· ἀλλὰ μᾶλλον ἀεὶ νηφέτω καὶ ταπεινούσθω μέχρι θανάτου καὶ ἑαυτὸν ὡς μηδεμίαν ἐντολὴν θεοῦ φυλάξαντα λογιζέσθω, κἂν πασας τὰς ἀρετὰς συλλήβδην κέκτηται, κἂν εἰς αὐτὴν ἀναβέβηκε τὴν τῶν ἁγίων κορωνίδα· εἰ γὰρ ὁ θεοφιλὴς καὶ ἱεροφάντης ἐκεῖνος καὶ τῆς οἰκουμένης ἀντίῤῥοπος, μᾶλλον δὲ καὶ μείζων, οὗ «οὐκ ἐστὶν ἄξιος ὁ κόσμος» κατὰ τὸ εἰρημένον, ᾧ ὁ θεὸς ἐνώπιος ἐνωπίῳ ὡμίλει, ὡς εἴτις λαλήσει πρὸς τὸν ἑαυτοῦ φίλον, ᾧ εἶπεν· «οἶδά σε παρὰ πάντας», ᾧ κατὰ πρόσωπον ὡμίλει, καὶ οὐ δι' ἀδήλων ἢ ἐνυπνίων ἢ αἰνιγμάτων, μετὰ τοσούτων κατορθωμάτων ὄγκον καὶ τοιαύτης φιλοσοφίας καὶ νή-

3. VI. 6 — συγγνώμης ἐ. καὶ ἐ. cod. — 4. Luc. XII. 48. — 7. Rom. XI. 33. — 8. Heb. X. 31. — 9. 1 Pet. III. 12. — 10. Sir. XVI. 12,11. — 11. Sir. V. 6. — 13. 2 Petri II. 4. — 21. ἀπολειψ. cod. ex itacismo. — 26. Heb. XI. 38. — 27. λαλῆσαι cod. — 28. Ex. XXXIII. 12.

ψεως, μικρὸν ἀπονυστάξας οὐκ ἔτυχε συγγνώμης, πῶς ἡμεῖς, οἱ μηδὲ ἴχνος τοιαύτης ἀρετῆς ἔμφασιν κεκτημένοι, μὴ διηνεκῶς γρηγορήσωμεν καὶ πενθήσωμεν καὶ κλαύσωμεν ἑαυτοὺς διαπαντὸς καὶ δούλους ἀχρείους ἀναλογισώμεθα; (11) Διὰ δὴ τοῦτο προασφαλιζόμενος ἡμᾶς ὁ Κύριος ἔλεγεν· «Ὅταν πάντα τὰ διατεταγμένα ὑμῖν πράξητε, τότε λέγετε, ὅτι ἀχρεῖοι δοῦλοι ἐσμέν, ὃ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν». Καὶ τοῦτο εἰδὼς ὁ θεῖος Ἡσαΐας φησίν· «πᾶσα ἡ δικαιοσύνη ἡμῶν ὡς ῥάκος ἀποκαθημένης ἐνώπιόν σου, Κύριε»· ὡσαύτως καὶ ὁ ἱεροφάντωρ καὶ πανάρετος Δαυίδ· «εἶπα τῷ Κυρίῳ· κύριός μου εἶ σύ, ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις», ὅθεν καὶ παραινεῖ λέγων· «δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ· δράξασθε παιδείας, μήποτε ὀργισθῇ Κύριος» καὶ τὰ λοιπὰ τοῦ ψαλμοῦ.

Τοιαῦτα γοῦν καὶ ὁ θεηγόρος Παῦλος παραγγέλλων φησί· «μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε»· καὶ «ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ». (12) Τοῦτο οὖν ἕκαστος ἠνίξατο δὶ ὧν εἴρηκεν, ὡς μὴ πεποιθέναι τῇ οἰκείᾳ ὁσιότητι, κἂν πάνυ τῶν εὐδοκίμων ὑπάρχῃ, μήτε μὴν καθυφῆναι πάμπαν τοῦ νήφειν καὶ ταπεινοῦσθαι καὶ δεδοικέναι λίαν ἄχρι σιωπῆς ὑστάτης, διότι καὶ μέχρι ψιλοῦ ῥήματος καὶ ἐνθυμήματος «λόγον εἰσπραττόμεθα» καὶ «ἐκ τῶν λόγων ἡμῶν δικαιούμεθά τε καὶ κατακρινόμεθα», καθὰ καὶ ἡ κατὰ τὸν φαρισαῖον καὶ τελώνην παραβολὴ σαφῶς διαδείκνυσιν, ἑκάτερον καθ' ἑαυτὸν καὶ ἐν καρδίᾳ φθεγγόμενον καὶ τὸν μὲν καταδεδικασμένον ἀποφαίνουσα, τὸν δὲ μᾶλλον δεδικαιωμένον. Ὅτι γὰρ τοὺς λογισμοὺς καὶ τὰς πονηρὰς ἐνθυμήσεις κρινεῖ Κύριος, ἄκουε τί φησιν ὁ θεὸς διὰ Ἡσαΐου· «κἀγὼ τὰ ἔργα καὶ τοὺς λογισμοὺς αὐτῶν ἔρχομαι συναγαγεῖν». Καὶ δὴ καὶ ὁ Δαυὶδ ἔλεγεν· «ἕνεκε τίνος παρώργισεν ὁ ἀσεβὴς τὸν θεόν; εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ· οὐκ ἐκζητήσει», δήπουθεν τὰ πλημμελήματά μου, ὥστε πάντως ἐρεῖ πρὸς αὐτὸν εἰκότως· «ἐλέγ-

---

1. νίψεως cod. — * κατ'? — 3. Luc. XVII. 10. — 8. Ies. LXIV. — 10. Ps. XVI. 2. — 11. Ps. II. 11,12. — 14. Ph. II. 12. — 16. I. Cor. X. 12. — 19. l. τὸ ν. — 20. Mt. XII. 36,37. — 27. Ies. LXVI. 18. — 28. Ps. X. 13. παρώξυνεν — ζητήσει. — 30. Ps. I.. 21.

ξω σε καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου». (13) Καὶ γοῦν πρὸς τοῦτον φησὶν ἡ γραφή· «Ἰδὼν Κύριος ὁ θεὸς, ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς, καὶ πᾶς τις διανοεῖται ἐν τῇ καρδίᾳ αὐτοῦ ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ πάσας τὰς ἡμέρας, καὶ εἶπεν· «ἀπαλείψω τὸν ἄνθρωπον, ὃν ἐποίησα, ἀπὸ προσώπου τῆς γῆς, ὅτι ἐνεθυμήθην ποιήσας αὐτόν». Εἶτα μετὰ τὸν κατακλυσμὸν σπλαγχνισθεὶς ὁ φιλάνθρωπος θεὸς,» ἐπήγαγεν ἡ γραφὴ λέγουσα· «καὶ εἶπε Κύριος ὁ θεός·» διανοηθεὶς ἔτι οὐ μὴ προσθήσω τοῦ καταρᾶσθαι τὴν γῆν διὰ τὰ ἔργα τῶν ἀνθρώπων, ὅτι ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ». (14) Ὥσπερ οὖν αἱ γυναῖκες ἀπὸ συνουσίας τίκτουσιν, κἂν μὲν ὑγιηνὰ τὰ σώματα, τοιαῦτα καὶ τὰ τικτόμενα, εἰ δὲ διεφθαρμένα, μιμοῦται τὴν τῶν γονέων φύσιν, οὕτω δὴ καὶ ἐπὶ τῶν λογισμῶν· ἂν μὲν ἀγαθοῖς συγγένῃ, τοιαῦτα ἔσται καὶ τὰ ἔγγονα, ἂν δὲ πονηροῖς, πολλὴν ἐκεῖθεν λήψῃ τὴν λοίμην, ὦ οὗτος. Καὶ ἄκουσον τί φησὶν ὁ προφήτης περὶ τῶν καλὰ διαλογιζομένων· «διὰ τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν καὶ ὠδινήσαμεν καὶ ἐτέκομεν πνεῦμα σωτηρίας», περὶ δὲ τῶν φαύλων· «ὠὰ ἀσπίδων ἐρρήξαν καὶ ἱστὸν ἀράχνης ὑφαίνουσιν». Τοῦτ' οὖν ἐννοοῦντες, ἀγαπητοί, γνωσιμαχήσωμεν καὶ περὶ τοῦ τέλους ἡμῶν φροντίσωμεν ὅτι μάλιστα καὶ μὴ παυσώμεθα τὰ περὶ τοῦ ἀοιδίμου ἐκείνου καὶ θεσπεσίου ἀνδρὸς νουνεχῶς ὑπομνημονεύοντες. (15) Καὶ γὰρ καὶ ὁ μέγας Βασίλειος τοῦτον μᾶλλον ὑπερεκπληττόμενος οὕτω φάσκει. «Ὅταν ἴδω Μωσέα, τὸν τοῦ θεοῦ θεράποντα τὸν μέγαν ἐκεῖνον, τὸν τοσαύτης ἀξιωθέντα παρὰ τοῦ θεοῦ τιμῆς, οὕτω δὲ πολλάκις ὑπ' αὐτοῦ μαρτυρηθέντα ὡς ἀκοῦσαι «ἔγνων σε παρὰ πάντας» καὶ «εὗρηκας χάριν ἐνώπιόν μου»· τοῦτον ὅταν ἴδω ἐπὶ τοῦ ὕδατος (21ª) τῆς ἀντιλογίας οὐδενὸς ἕνεκεν, ἀλλ' ἵνα μόνον εἴπῃ τῷ λαῷ γογγύζοντι δι' ἀπορίαν ὕδατος· «μὴ ἐκ τῆς πέτρας ταύτης ἐξάξω ὑμῖν ὕδωρ»; τούτου μόνου ἕνεκεν εὐθὺς ἀπειλὴν δεχόμενον, εἰς τὴν

---

2. τοῦτον, Mosem cf. lin. 21. Gen. VI. 5 — 7. — 7. σπλαγχνισθέντα τὸν φιλάνθρωπον θεόν? — 8. Gen. VIII. 24,22. — 16. Ies. XXVI. 18. — 18. Ies. LIX. 5. — 24. τὸν προφήτην Sü de judicio Dei. I. 263 D. — 26. ἀκ. οἶδα Bas. — 28. ἐν. ἑτέρου ἢ Bas. — 29. τ. τῆς π. ἐξάξωμεν Bas.

γῆν τῆς ἐπαγγελίας μὴ εἰσελεύσεσθαι, ἥτις ἦν τότε τῶν πρὸς Ἰουδαίους ἐπαγγελιῶν τὸ κεφάλαιον· ὅταν ἴδω τοῦτον παρακαλοῦντα καὶ μὴ συγχωροῦμενον· ὅταν ἴδω μηδεμιᾶς συγγνώμης διὰ τὰ τοσαῦτα κατορθώματα ἐπὶ τῷ βραχεῖ ἐκείνῳ ῥήματι καταξιούμενον* ὁρῶ «θεοῦ ἀποτομίαν» κατὰ τὸν ἀπόστολον, ὄντως δὲ ἐκεῖνο ἀληθὲς εἶναι πείθομαι, τὸ «εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται;» (16) Περὶ οὗ μέντοι καὶ ὁ θεῖος Ἰσίδωρος πρός τινα φησί· «εἰπὲ τῷ πρός σε διενεχθέντι Ἰουδαίῳ καὶ μηδὲν μὲν γενναῖον μηδὲ νεανικὸν φράσαντι, ἀγυρτικὰς δὲ λογοπαίας ἐμέσαντι καὶ φήσαντι περὶ τοῦ παιδὸς Ναυῆ εἰρῆσθαι τὸ· «προφήτην ὑμῖν ἀναστήσει ὁ θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμὲ», ὅτι κατὰ πολλὰ πλημμελεῖ, μὴ νοῶν τὰ λεγόμενα καλῶς, μήτε μὴν τὸ ἐπαγόμενον «αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν ἐντέλληται ὑμῖν· ἔσται δὲ πᾶσα ψυχή, ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτῆς»· πρῶτον μὲν γὰρ μετὰ τὴν χειροτονίαν ἐκείνου, ταῦτα Μωσῆς ἔνθους γενόμενος ἐθέσπισεν, β' δὲ, ὅτι εἰ μὲν ὁ τοῦ Ναυῆ παῖς ὑπερέβη τὸν Μωσέα, πιθανὸν μὲν* λεγόμενον, οὐκ ἀληθὲς δέ· εἰ δὲ πολλῷ αὐτοῦ καταδεέστερος ἦν, ἀδρανὴς αὕτη ἡ ἔννοια φαίνεται· γ' δὲ οὐδὲ προσέθηκέ τι τῷ νόμῳ, ἀλλὰ τοῖς ἐκείνου ἐπολιτεύσατο θεσμοῖς· δ' δὲ, ἐχρῆν, εἴγε περὶ αὐτοῦ** ὁ λόγος, εἰπεῖν οὐκ «ἀναστήσει», ἀλλ' «ἀνέστησε»· ε' δὲ, ἔδει φράσαι· «ἔσται δὲ πᾶσα ψυχή, ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου τούτου», τῷ δὲ εἰπεῖν· «ἐκείνου», τοῦτον παρεγράψατο· ς' δὲ, πῶς πρὸς τὸν Ἰωάννην μετὰ γενεὰς πολλὰς τεχθέντα ἀπέστειλαν πευσόμενοι, εἰ αὐτὸς εἴη ὁ προφήτης; πρὸς οὓς ἔφη· «οὐκ εἰμὶ ἐγώ»· προφήτης*** γὰρ ἦν, ὁ προφήτης δὲ, ὁ μέλλων ἔρχεσθαι· ζ' δὲ, πῶς τοῦ Χριστοῦ παραγενομένου, οἱ τὰ θαύματα θεώμενοι ἔλεγον· «οὗτός ἐστιν ἀληθῶς

---

1. οὐκ Bas. — 2. Ἰουδαίων cod. — * ὄντως μὲν Bas. — 5. Rom. XI. 22. — 6. 1 Petr. IV. 18. — 8. III. 94. — 10. ἐργοπ. cod. — 11. Deut. XVIII. 15,19,19. — 13. πλ. καὶ ν. οὐχ ὑγιῶς καὶ φεύγων τὸ μαθεῖν καὶ κρύπτων τὰ μείζονα ἢ κατὰ Μωϋσέα εἴρηται γὰρ αὐτοῦ Is. — 17. δεύτερον ὅτι Is. — * ἦν Is. — 20. γ', ὅτι οὐδὲ Is. — 21. ἐπολιτεύετο Is. — ** ἦν Is. — 22. ε' ὅτι ἔδει Is. — 23. τὸ cod. — 25. Io. I. 21. — 26. κἀκεῖνος ἔφη· οὐκ ἐ. Is. *** μὲν Is. — 27. ὁ πρ. δὲ οὐκ ἦν Is. — 28. τοῦ σωτῆρος θεοῦ ρο τοῦ ἡσαντος. Is. — 28. Io. VI. 14.

ὁ προφήτης»; Συνοράτω οὖν πόσα αὐτῷ ἐναντιοῦται καὶ τὸν ἀληθῶ προγνώστην τε καὶ βασιλέα (καὶ δημιουργὸν) προσκυνείτω.

XXIII. ΠΕΡΙ ΙΗΣΟΥ ΤΟΥ ΝΑΥΗ.

Μετὰ δὲ Μωϋσέα διεδέξατο τὴν ἀρχὴν Ἰησοῦς ὁ τοῦ Ναυῆ καὶ περάσας τὸν Ἰορδάνην καὶ ποιήσας ἐν τῇ γῇ τῆς ἐπαγγελίας ἔτη λβ', πολεμῶν καὶ κατακληροδοτῶν αὐτὴν τοῖς υἱοῖς Ἰσραὴλ, ἀπέθανε ζήσας ἔτη ρι'. (7) Καὶ ὁ μὲν Μωσῆς παταξας τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων καὶ τὸν Ὼγ βασιλέα τῆς Βασὰν, ὃς ὑπελείφθη ἐκ τῶν γιγάντων, κατοικῶν ἐν τῇ Ῥαφαῖν ἐν Ἀσταρώθ, ὄντα τοῦ Ῥαφαῖν ἀπόγονον, οὗ καὶ ἡ κλίνη σιδηρᾶ ὑπῆρχε, τὸ μῆκος ἔχουσα πῆχυς θ', τὸ πλάτος δ', ἀφείλατο πᾶσαν τὴν γῆν αὐτῶν. (3) Ὁ δὲ Ἰησοῦς χειρωσάμενος τοὺς Χαναναίους καὶ Φερεζαίους καὶ Γεργεσαίους καὶ Ἰεβαυσαίους καὶ Ἀμορραίους (21[b]) καὶ Εὐαίους καὶ πάντας αὐτῶν τοὺς βασιλεῖς, ὄντας τὸν ἀριθμὸν λβ', πᾶσαν τὴν γῆν αὐτῶν δέδωκεν, ὡς εἴρηται, τοῖς υἱοῖς Ἰσραήλ· «ἐν γὰρ τῷ φεύγειν αὐτούς, φησὶν, ἀπὸ προσώπου υἱῶν Ἰσραὴλ, καὶ Κύριος ἐπέρριψεν αὐτοῖς λίθους χαλάζης ἐκ τοῦ οὐρανοῦ, καὶ ἐγένοντο πλείους οἱ ἀποθανόντες διὰ τοὺς λίθους χαλάζης ἢ οὓς ἀπέκτειναν οἱ υἱοὶ Ἰσραὴλ μαχαίρᾳ (ἐν πολέμῳ)». (4) Στρατηγοῦντος οὖν Ἰησοῦ, ὃς γε μέγας καὶ τερατουργὸς καὶ θεοφιλὴς πάνυ καὶ οὗτος ἀναδειχθείς, οὐκ ἄμοιρος λύπης καὶ πειρασμῶν διαφόρων ἐγένετο, περὶ οὗ καὶ ὁ θεορρήμων Χρυσόστομος ἔφη· «ἐννόησον ὅσον ἐστὶ δίκαιος ἄνθρωπος·» εἶπεν Ἰησοῦς (τοῦ Ναυῆ)· «στήτω ὁ ἥλιος κατὰ Γαβαὼν καὶ ἡ σελήνη κατὰ φάραγγα Ἐλώμ·» καὶ ἐγένετο· φησὶ γάρ· «ἔστη ὁ ἥλιος καὶ κατὰ μέσον τοῦ οὐρανοῦ εἰς τέλος ἡμέρας μιᾶς, καὶ οὐκ ἐγένετο ἡμέρα τοιαύτη πρότερον καὶ ἔμπροσθεν, ὥστε ὑπακοῦσαι θεὸν ἀνθρώπου, ὅτι συνεπολέμει τῷ Ἰσραήλ». Τοῦτο τοῦ Μωϋσέως μεῖζον· (τί δήποτε; οὐ γάρ ἐστιν

---

2. β. πρ. Is. — 4. Cod. 93,7 — 9. — 7. 2 Περὶ Ὼγ. Cod. 93,9.—15. — 12. Cod. 93,15 — 95,11. — 16. Ios. X. 11. — 18. ἐκ τοὺς cod. — 22. Hic locus nullibi in opp edd. invenitur. — 23. Ios. X. 12. — 25. Ios. X. 13,14.

ἴσον θαλάττῃ ἐπιτάξαι καὶ τοῖς κατ' οὐρανόν· μέγα μὲν οὖν κἀκεῖνο καὶ σφόδρα μέγιστον πλὴν ἀλλ' οὐδὲν ἴσον. Εἰ τοίνυν ἐνταῦθα τοιαῦτα ἐργάζονται οἱ ἅγιοι, τί ἄρα ἐκεῖ; πόσην ἔχουσι μετ' ἀλλήλων λαμπρότητα καὶ παῤῥησίαν»; (5) «Ἀλλάγε καὶ οὗτος δὴ ὁ θαυμαστὸς καὶ τερατοῦργος διαδεξάμενος τὸν Μωϋσῆν, συναπέλαυσεν αὐτῷ πάντων, ὡς ἔπος εἰπεῖν τῶν ἀναρῶν· (εἰ δέ τί διὰ τὸ νέον τῆς ἡλικίας ἐξέφυγε, τοῦτο μετὰ τὴν ἐκείνου τελευτὴν ἐξεπλήρωσεν)· οὔτε γὰρ μόνον, ὅτε ἔζη Μωϋσῆς, τὰ ἱμάτια διέῤῥηξεν καὶ σποδὸν κατεπάσατο, ἀλλὰ καὶ τελευτήσαντος (πάλιν) εἰς (τὴν αὐτὴν πάλιν, μᾶλλον δὲ καὶ) χείρονα κατέστη ταύτης ἀνάγκην, δι' ὅλης ἡμέρας πρηνὴς κείμενος ἐπὶ τῆς γῆς» διὰ τὴν ἁμαρτίαν Ἄχαρ καὶ τὴν τοῖς λαοῦ ἧτταν (μετὰ τὸ στῆσαι τὸν Ἰορδάνην καὶ τὸν λαὸν διαβιβάσαι καὶ τὴν πόλιν Ἰεριχὼ καταστρέψαι. «Καὶ ἄκουσον αὐτοῦ καὶ τῶν ῥημάτων καὶ τῶν ὀδυρμῶν)· φησὶ γάρ· «καὶ διέῤῥηξεν ὁ Ἰησοῦς τὰ ἱμάτια αὐτοῦ καὶ ἔπεσεν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν ἐνώπιον Κυρίου ἕως ἑσπέρας, αὐτὸς καὶ οἱ πρεσβύτεροι Ἰσραὴλ, καὶ ἐπέβαλον χοῦν ἐπὶ τὴν κεφαλὴν αὐτῶν, καὶ εἶπεν Ἰησοῦς·» δεόμαι, κύριε, ἵνα τί διεβίβασεν ὁ παῖς σου τὸν Ἰσραὴλ τὸν Ἰορδάνην, παραδοῦναι αὐτὸν τῷ Ἀμορῥαίῳ, ἀπολέσαι ἡμᾶς; — Καὶ τί ἐρῶ, ἐπεὶ μετέβαλεν Ἰσραὴλ αὐχένα ἀπέναντι τοῦ ἐχθροῦ αὐτοῦ; Καὶ ἀκούσας ὁ Χαναναῖος καὶ πάντες οἱ κατοικοῦντες τὴν γῆν, περικυκλώσουσιν ἡμᾶς καὶ ἐκτρίψουσιν ἀπὸ τῆς γῆς». Ὁρᾷς ὅπως καὶ οὗτος οὐχ ἧττον Μωσέως ἀδημονεῖ καὶ θορυβεῖται δεδοικὼς τὴν τοῦ λαοῦ πανολεθρίαν; καί που τάχα καὶ αὐτὸς ὁμοίως τὴν ζωὴν (22ᵃ) ἐξ ἀπορίας ἀπελέγετο καὶ περιστάσεως· ἐῶ δὲ λέγειν τοὺς διαφόρους πολέμους καὶ μάχας καὶ φροντίδας καὶ τῶν Γαβαωνιτῶν τὴν ἀπάτην. «Καὶ μέντοι καὶ ἡ τῶν κλήρων διανομή, πολὺν μέν τὸν πόνον, πολλὰς δὲ παρεῖχεν αὐτῷ τὰς δυσκολίας καὶ θλίψεις. (Καὶ τοῦτο ἴσασιν, ὅσοι καὶ τὴν τυχοῦσαν διανεῖμαι προσετάχθησαν οὐσίαν ἀδελφοί τε καὶ κληρονό-

---

4. 5. I. 210 E — 211 A. — 8. ἀνεπλ. Chr. — οὐ γὰρ ὅτε ἔζη μ. M. Chr. — 9. τ. μᾶλλον cod. — 10. εἰς τὴν ἀ. π. cod. τ. εἰς Ced. δὲ εἰς μείζονα Chr. — 14. Ἀχ. δὴ καὶ τῶν ῥ. ἀ. Chr. 211 A. — Ios. VII. 6 — 9. — 21. αὐχ. ἀ. ἀπ. τοῦ ἐ. Chr. — 27. Chr. I. 211. C. — 29. οἷοι cod.

μαι», καὶ τὸ δυσπειθὲς ἑκατέρων καὶ δυσάρετον). Οὕτω τοίνυν ἅπαντες, ὅσοι τῷ θεῷ εὐηρέστησαν μεγάλως, διὰ θλίψεων καὶ πειρασμῶν δοκιμασθέντες, τῆς πρὸς θεὸν ἀγάπης καὶ παῤῥησίας ἐπέτυχον· (καὶ ὅλως, εἰ βούλοιτό τις ἐξαριθμῆσαι ἅπαντα, πολλὰ ἂν εὕροι τὰ κέρδη τῶν πειρασμῶν). Καὶ οὐκ ἐστιν οὐδείς, ᾧ πολὺς παρὰ θεῷ λόγος, θλίψεως ἐκτὸς, κἂν ἡμεῖς ἀγνοῶμεν τοῦτο καὶ τὰ τοῦ θεοῦ περὶ αὐτῶν κρίματα.

XXIV. ΠΕΡΙ ΤΩΝ ΚΡΙΤΩΝ.

Μετὰ Ἰησοῦν διὰ τῶν κριτῶν ἔσωζεν ὁ θεὸς τὸν λαὸν θλιβόμενον ὑπὸ τῶν καταλειφθέντων ἀλλοφύλων. 1802 (3756)

XXV. ΠΕΡΙ ΙΟΥΔΑ.

Ἐν οἷς ὑπῆρχε πρώτιστος Ἰούδας καλούμενος καὶ ἔκρινε τὸν λαὸν ἔτη ζ', χειρωσάμενος καὶ τὸν Ἀδωνιβεζὲκ βασιλέα τῶν ἀλλοφύλων καὶ ἀκρωτηριάσας αὐτοῦ χεῖρας καὶ πόδας, εἶπεν Ἀδωνιβεζέκ· «ἑβδομήκοντα βασιλεῖς ἦσαν, τὰ ἄκρα τῶν χειρῶν καὶ τῶν ποδῶν ἀποκεκομμένα συλλέγοντες τὰ ὑποκάτω τῆς τραπέζης μου· καθὼς οὖν ἐποίησα, οὕτως ἀνταπέδωκέ μοι ὁ θεός».

XXVI. ΠΕΡΙ ΓΟΘΟΝΙΗΛ.

Μετὰ δὲ Ἰούδαν γέγονε κριτὴς Γοθονὴλ (ἔτη ν', πατάξας καὶ τὸν Χουσαρσαθὲμ βασιλέα Συρίας, θλίψαντα τὸν λαὸν ἔτη η'.) 1671 (3757)

XXVII. ΠΕΡΙ ΑΩΔ.

Μετὰ δὲ Γοθονιὴλ γέγονε κριτὴς Ἀὼδ ὁ ἀμφοτεροδέξιος ἔτη ν', πατάξας καὶ τὸν Ἐγλὼμ βασιλέα Μωὰβ ἐν μαχαίρᾳ 1613 (3797)

---

1. Barnabas 7. — 9. Ced. 93,11 — 19. — 11. π. Ἰ. a secunda manu — 15. Iudd. I. 7. — 18. π. Γ. a sec. m. — 19. Ced. 93,19. — 20. Χουσαρσαθαὶ Iud. III. 8,11. — 21. π. Ἀὼδ a sec. m. — 24. Ced. 93,11. — 25. π. Iudd. III. 30.

διστόμῳ, δρακὸς ἐχούσης τὸ πλάτος, θλίψαντα τὸν Ἰσραὴλ ἔτη ιη'· ἀμφοτεροδέξιος δὲ ἐκλήθη διὰ τὸ ὁμοίως ἐν παντὶ πράγματι καὶ τῇ εὐωνύμῳ χρῆσθαι χειρὶ ὥσπερ καὶ τῇ δεξιᾷ.

XXVIII. ΠΕΡΙ ΣΑΜΕΓΑΡ.

1532 (3876) Μετὰ δὲ Ἀώδ γέγονε κριτὴς Σαμεγὰρ ἔτη ζ', παταξας ἐκ τῶν ἀλλεφύλων ἐν ἡμέρᾳ μιᾷ, ἐν τῷ ἀροτρόποδι τῶν βοῶν, ἄνδρας χ'.

XXIX. ΠΕΡΙ ΒΑΡΑΚ.

1466 (3877) Μετὰ δὲ Σαμεγὰρ γέγονε κριτὴς Βαρὰκ, μεθ' οὗ καὶ Δεβῶρα ἡ προφῆτις (καὶ γυνὴ Λαφφιδὼθ ἔτη μ', πολεμήσας τὸν Ἰαβεὶμ καὶ τὸν Σισάρα, θλίψαντα τὸν Ἰσραὴλ ἔτη κ', ὅτε καὶ τὸν Σισάρα ἡ Ἰαὴλ ἀπέκτεινε πασσαλῳ, γυνὴ Χαβὲρ τοῦ Κινέου· διψήσαντος γὰρ τοῦ Σισάρα καὶ προσελθόντος τῇ Ἰαὴλ πρόβατα νεμούσῃ, γάλα αὐτῷ ἐπιδοῦσα, καὶ εἰς κόρον πιὼν καὶ εἰς ὕπνον τραπείς, πασσάλου τῆς σκηνῆς λαβομένη καὶ τοῖς ὠσὶν αὐτοῦ ἀνδρείως ἐμπήξασα, τῷ θανάτῳ παρέπεμψεν, καὶ σωτηρίαν τοῦ λαοῦ τῶν Ἰουδαίων εἰργάσατο·) ἐν ταύταις δὲ ταῖς ἡμέραις καὶ Προμηθεὺς καὶ Ὀρφεὺς ὁ Θρᾷξ, οἱ σοφώτατοι παρ' Ἕλλησιν, καὶ Ἀσκλήπιος ὁ ἰατρὸς καὶ Λυκοῦργος, ὁ Σπαρτιάτης καὶ νομοθέτης τῶν Ἑλλήνων, ἐγνωρίζοντο.

XXX. ΠΕΡΙ ΓΕΔΕΩΝ.

1419 (3917) Μετὰ δὲ Βαρὰκ γέγονε κριτὴς Γεδεών, ὁ καὶ Ἱεροβοὰμ, ἔτη μ', παταξας (22[b]) καὶ τὴν Μαδιὰμ μετὰ τ' τῶν λαψάντων (τῇ γλώττῃ ἐν τῷ πίνειν, καὶ τὸν Ὠρὴβ καὶ Ζὴβ καὶ Ζεβεὲ, τοὺς ἄρχοντας αὐτοῦ, τὸν δὲ πύργον Φανουὴλ κατέστρεψε) καὶ τοὺς ἄρχοντας αὐτῶν ἠλόησεν ἐν ταῖς ἀκάνθαις, θλίψαντας τὸν Ἰσραὴλ ἔτη ζ'.

---

1. σπιθαμῆς τὸ μῆκος Iudd. III. 16. — 4. π. Σ. a sec. m. — 5. Ced. 95,20 — 22. τῷ τοῦ ἀρότρου ποδί. — 7. π. Β. a sec. m. — 8. Ced. 95,22 — 96,2. — 14. πασσάλῳ cod. — 20. π. Γ. a sec. m. — 21. Ced. 96,2 — 5. — Ἱεροβάαλ Iudd. VI. 32. Ced. — 22. τοὺς λαμψάντας cod.

XXXI. ΠΕΡΙ ΑΒΙΜΕΛΕΧ.

Μετὰ δὲ Γεδεὼν γέγονε κριτὴς Ἀβιμέλεχ, υἱὸς αὐτοῦ, ἔτη γ', παταξας τοὺς ἀδελφοὺς αὐτοῦ, ἐκ τῶν ἐλευθέρων, ἄνδρας ο' ἐπὶ λίθον ἕνα, ἐξ ὧν οὐ κατελείφθη πλὴν Ἰωάθαμ τοῦ νεωτέρου διαδράντος, ὃς καὶ (παραπορευομένου τοῦ Ἀβιμελὲχ μετὰ τοῦ λαοῦ) ἀνῆλθε Ἰωάθαμ ἐπὶ (τὴν κορυφὴν) τοῦ ὄρους (καὶ ἐπάρας τὴν φωνὴν αὐτοῦ) φησὶ (πρὸς αὐτὸν) παραβολὴν τοιαύτην· («ἀκούσατέ μου, ἄνδρες Σικίμων, καὶ ἀκούσει ὑμῶν ὁ θεός· πορευόμενα ἐπορεύθη τὰ ξύλα τοῦ χρίσαι βασιλέα ἐφ' ἑαυτῶν· καὶ εἶπον τῇ ἐλαίᾳ· βασίλευε ἐφ' ἡμᾶς. Καὶ εἶπεν αὐτοῖς ἡ ἐλαία· μὴ καταλείψασα τὴν πιότητά μου, ἣν ἐδόξασέ με ὁ θεὸς καὶ οἱ ἄνθρωποι, πορεύσομαι ἄρχειν ξύλων; Καὶ εἶπον τῇ συκῇ· βασίλευσον ἐφ' ἡμῶν. Καὶ εἶπεν αὐτοῖς ἡ συκῆ· μὴ παρεάσασα τὴν γλυκύτητά μου, πορεύσομαι ἄρχειν τῶν ξύλων; Καὶ εἶπον τῇ ἀμπέλῳ· βασίλευσον ἐφ' ἡμῶν· καὶ εἶπεν αὐτοῖς ἡ ἄμπελος· μὴ καταλείψασα τὸν οἶνον μου τὸν εὐφραίνοντα τοὺς ἀνθρώπους πορεύσομαι ἄρχειν ξύλων; Καὶ εἶπαν τὰ ξύλα τῇ ῥάμνῳ· δεῦρο σὺ, βασίλευσον ἐφ' ἡμῶν· καὶ εἶπεν ἡ ῥάμνος· εἰ ἐν ἀληθείᾳ χρίετέ με ὑμεῖς βασιλέα ἐφ' ὑμᾶς, δεῦτε, ὑπόστητε ἐν τῇ σκιᾷ μου, καὶ εἰ μὴ, ἐξέλθοι πῦρ ἀπ' ἐμοῦ καὶ καταφάγοι τὰς κέδρους τοῦ Λιβάνου. Καὶ νῦν εἰ ἐν ἀληθείᾳ ἐβασιλεύσατε τὸν Ἀβιμέλεχ υἱὸν τῆς παλλακῆς τοῦ πατρός μου, ἐξέλθοι πῦρ ἀπὸ Ἀβιμέλεχ καὶ καταφάγοι τοὺς ἄνδρας Σικίμων, καὶ ἐξέλθῃ πῦρ ἀπὸ ἀνδρῶν Σικίμων καὶ καταφάγοι τὸν Ἀβιμέλεχ»· καὶ παῦτα εἰπὼν Ἰωάθαμ, εὐθὺς ἀπέδρα. Καὶ ἐξαπέστειλεν ὁ θεὸς πνεῦμα πονηρὸν ἀναμέσον Ἀβιμέλεχ καὶ ἀναμέσον ἀνδρῶν Σικίμων, καὶ ἠθέτησαν οἱ ἄνδρες Σικίμων ἐν τῷ οἴκῳ Ἀβιμέλεχ τοῦ ἐπαγαγεῖν τὴν ἀδικίαν καὶ τὸ αἷμα τῶν ο' υἱῶν Γεδεὼν ἐπὶ τὴν κεφαλὴν Ἀβιμέλεχ. Καὶ γὰρ ἀπελθὼν πολεμῆσαί πόλιν καὶ προσεγγίσας τῇ θύρᾳ τοῦ πύργου ἐμπρῆσαι αὐτὴν, ἔῤῥιψε γυνὴ κλάσμα

1378 (3956)

---

1. Cod. 96,5 — 12. Iudd. IX. 5—24, 52 — 57. — 9. ἑαυτὰ Iudd. IX. 8. — 11. ἐν ᾗ δοξάσουσι τὸν θν ἄνδρες π. κινεῖσθαι ἐπὶ τῶν ξ. 9 ut v. 11. — 15. ἡμῖν cod. — ἀπολείψασα ἐγὼ 11. — 21. ὖν paidiskhs 18. — 28. πόλωσιν cod.

μύλου ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ συνέτριψε τὸ κρανίον αὐτοῦ καὶ ἐπιβοήσας ταχὺ εἶπε πρὸς τὸν αἴροντα τὰ σκεύη αὐτοῦ, «σπᾶσαι τὴν ῥομφαίαν σου καὶ θανάτωσόν με, μήποτε εἴπωσι· γυνὴ αὐτὸν ἀπέκτεινε». Καὶ ἐκέντησεν αὐτὸν τὸ παιδάριον αὐτοῦ καὶ ἀνεῖλε· καὶ ἐπέτρεψεν ὁ θεὸς τὴν πονηρίαν Ἀβιμέλεχ, ἣν ἐποίησε τῷ πατρὶ αὐτοῦ, ἀποκτείνας τοὺς ο' υἱοὺς τοῦ πατρὸς αὐτοῦ, ἀδελφοὺς δὲ ἑαυτοῦ, καὶ πᾶσαν τὴν πονηρίαν τῶν ἀνδρῶν Σικιμίτων ἐπέτρεψεν ὁ θεὸς ἐπὶ τὴν κεφαλὴν αὐτῶν κατὰ τὸν λόγον καὶ τὴν παραβολὴν Ἰωάθαν υἱοῦ Ἱεροβάαλ.)

(2) «Ἰστέον οὖν, φησὶν ὁ ἀοίδιμος Χρυσόστομος, ὡς πολυσήμαντόν ἐστι τὸ ὄνομα τῆς παραβολῆς· (23ᵃ) Ἔστι γὰρ παραβολὴ λαλημα καὶ ὑπόδειγμα καὶ ὀνειδισμός, ὡς ὅταν λέγῃ Δαυίδ· «ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσιν, κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς»· ἔτι γὰρ παραβολὴ αἰνιγματώδης λόγος, ὃ πολλοὶ λέγουσι ζήτημα, ἐμφαῖνον τι, οὐκ αὐτόθεν δὲ δῆλον πάντως ἀπὸ τῶν ῥημάτων, ἀλλ' ἔχον ἐντὸς ἐγκεκρυμμένην διάνοιαν, ὡς ὅταν ὁ Σαμψὼν ἔλεγεν «ἐξῆλθε ἀπὸ στόματος ἰσχυροῦ γλυκύ», καὶ ὁ Σολομὼν ἔφη· «τότε νοήσεις παραβολὴν καὶ σκοτεινὸν λόγον». Λέγεται δὲ παραβολὴ καὶ ὁμοίωσις· «καὶ ἄλλην γὰρ παραβολὴν παρέθηκεν αὐτοῖς λέγων. Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείροντι καλὸν σπόρον». Λέγεται δὲ παραβολὴ καὶ ἡ τροπολογία, οἷον ἐστὶ τό· «υἱὲ ἀνθρώπου, εἰπὸν αὐτοῖς τὴν παραβολὴν ταύτην· ὁ ἀετὸς ὁ μεγαλοπτέρυγος». Παραβολὴ λέγεται καὶ ὁ τύπος καὶ ἡ εἰκὼν ὡς ὁ Παῦλος ἔφη. «Πίστει προσενόνηχεν Ἀβραὰμ τὸν Ἰσαὰκ πειραζόμενος, καὶ τὸν μονογενῆ προσέφερεν τὰς ἐπαγγελίας ἀποδεξάμενος, ὅθεν καὶ ἐν παραβολῇ αὐτὸν ἐκομίσατο» τουτέστιν ἐν τύπῳ καὶ εἰκόνι». — Παροβολή ἐστι λόγος παραβάλλων τὰ νοητὰ πρὸς τὰ αἰσθητὰ καὶ παριστῶν ἐκ τῶν ἐγκοσμίων καὶ ὁρατῶν τὰ ὑπερκόσμια καὶ ἀόρατα. — «Πρόβλημα δέ ἐστι λόγος συνεσκια-

---

2. σπάσον τὴν ρ. μου 54. — 10. Cod. 96,13—97,17. Chr. V. 206 D.—12. λ. ἔθου Chr. Ps. XLIV. 14. — 14. ἔστι π. Chr. — 15. ἐμφαίνοντα Cod. ἐμφαῖνον μέντι Chr. πάντας Cod. — 16. ὂν Chr. ἔχων cod. — οἷα τὰ τοῦ Σ. ἃ ἑλ. Chr. Iudd. XIV. 14. — 17. Prov. I. 6. — 20. Mt. XIII, 24. — 22. Ez. XVII. 2,3. — 24. Hebr. XI. 17. — 25. Heb. XI. 19. — 29. Chr. 207. C.

σμένος καὶ αἰνιγματώδης, κατὰ τὸ εἰρημένον «κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου». Πρόβλημά ἐστι θεώρημα συντεῖνον πρὸς θεωρίαν καὶ γνῶσιν. Παράδειγμα δέ ἐστι λόγος ἀπὸ τοῦ καθ' ἕκαστα ἄγων ἐπὶ τὸ καθόλου, ἡ δεῖξις πιστουμένη τὸ μερικὸν διὰ μερικοῦ καὶ ὁμοίου. Παροιμία δέ ἐστι λόγος ἀπόκρυφος δι' ἑτέρου προδήλου σημαινόμενος.

XXXII. ΘΩΛΑΣ.

Μετὰ δὲ Ἀβιμέλεχ γέγονε κριτὴς Θωλᾶ ἔτη κγ'. 1375 (3960)

XXXIII. ΠΕΡΙ ΙΑΗΡ.

Μετὰ τοῦτον γέγονε κριτὴς Ἰαὴρ ἔτη κβ'. 1352 (3982)

XXXIV. ΠΕΡΙ ΙΕΦΘΑΕ*.

Μετὰ Ἰαὴρ γέγονε κριτὴς Ἰεφθάε ὁ Γαλααδίτης ἔτη ζ'. 1313 (4004)
πατάξας τοὺς Ἀμμανίτας καὶ τοὺς Φιλιστιείμ, θλίψαντας τὸν Ἰσραὴλ ἔτη ιή'.

(2) Μετὰ δὲ Ἰεφθάε γέγονε κριτὴς Σεβὼν ὁ Βηθλεεμίτης ἔτη κ'. 1307 (4010)

(3) Μετὰ δὲ Σεβὼν γέγονε κριτὴς Ἐγλῶν Ζαροῦ ἔτη ιβ'. 1300 (4014)

(4) Μετὰ τοῦτον γέγονε κριτὴς Ἀβδὼν Φαραθωνίτης ἔτη ή'. 1290 (4017)

XXXV. ΠΕΡΙ ΣΑΜΨΩΝΟΣ.

Μετὰ δὲ Ἀβδὼν γέγονε κριτὴς Σαμψὼν ἔτη κ', πατάξας καὶ τοὺς Φιλιστιείμ ἐν σιαγόνι ὄνου καὶ ἐν ῥάβδῳ καὶ ἐν ἀλώπηξι καὶ 1242 (4025)

---

1. Ps. XLIV. 4. — 8. Ced. 105,8 Iudd. X. 2. — 9. π. Ἰ. a sec. m. — 10. Ced. 105,9 Iudd. X. 3,4. — * ΚΤΔ. Mon. Aug.? — 12. Ced. 105,10 — 19, Iudd. XII. 7. ἔτη ς'. — 15. Ced. 105,20, ἔτη ζ' ut Leo et Iudd. XII. 9. Εὐσεβὼν Leo, Ἀβαισσὰν LXX. — 17. Ced. 105,20 et Leo ἔτη ι' ut Iudd. XII. 11. Αἰγλὼμ ὁ Ζαβουλωνίτης Leo, Ἐλγὼν ὁ Ζαβ. Ced. Αἰλὼμ ὁ Ζαβ. LXX. —18. Ced. 105,21. Δαβδὼν Μαραθ. Ced. Λαβδὼμ ὁ Μαραθ. Leo. — 20. Ced. 106,1 — 107,9?

ἐν συμπτώματι οἴκου, θλίψαντας τὸν Ἰσραὴλ ἔτη μ', οὗ τὴν ἰσχὺν καὶ ἀνδρείαν δεικνύουσι μὲν καὶ ταῦτα, δηλοῦσι δὲ καὶ τὰ διάφορα ἰσχυρώτατα δεσμὰ διαλυόμενα ῥαδίως ἀπὸ τῶν χειρῶν αὐτοῦ καὶ πύλαι πόλεως ἀναπτώμεναι· φησὶ γάρ· «εἰσῆλθε Σαμψὼν εἰς Γάζαν τὴν πόλιν πρός τινα πόρνην, καὶ γνόντες οἱ Γαζαῖοι ἐνήδρευσαν ἀφ' ἑσπέρας κλείσαντες τὴν πόλιν, βουλόμενοι αὐτὸν ἀνελεῖν τῇ ἐπαύριον. Ὁ δὲ μεσούσης τῆς νυκτὸς ἀναστὰς καὶ ἐπιλαβόμενος τὰς πύλας τῆς πόλεως σὺν τοῖς δυσὶ σταθμοῖς καὶ ἀναβαστάσας αὐτὴν σὺν τοῖς μοχλοῖς καὶ ἐπιθεὶς ἐπὶ τῶν ὤμων αὐτοῦ ἐξῆλθε, ἔθηκε δὲ αὐτὰς ἐπὶ τὴν κορυφὴν τοῦ κατὰ προσώπου ὄρους (23[b]) τῆς πόλεως· Ἐφ' οὗ καὶ Ἡρακλῆς ὁ παρ' Ἕλλησι διαβόητος ἐγνωρίζετο ὁ τοὺς ιβ' ἄθλους ἀνύσας. Οὗτος ἐστὶ καὶ ὁ τῆς καγχλύος εὑρετὴς καὶ οὐκ ἄλλος. (3) Περὶ δὲ Σαμψὼν καλῶς παραινεῖ ὁ προφήτης λέγων· «μὴ καταπιστεύετε ἐν φίλοις — καὶ ἀπὸ τῆς συγκοίτου σου φύλαξαι τοῦ ἀναθέσθαι αὐτῇ»· παρεγοχλήθη γὰρ ὁ δίκαιος οὗτος ὑπὸ τῆς πρώτης αὐτοῦ γυναικὸς, καὶ ἀναγγελλας αὐτῇ τὸ πρόβλημα, γέγονεν αὐτῷ λύπης μεγίστης ὑπόθεσις· ὡσαύτως δὲ καὶ ἡ δευτέρα Δαλιδὰς ἔργοις ἀπατηλοῖς δελέασασα τὸν ὅσιον, ἐπίχαρμον τοῦτον ἐποίησε τοῖς ἐχθροῖς αὐτοῦ, καὶ ὁ ἐξ ἐπαγγελίας συλληφθεὶς καὶ τὸν Ἰσραὴλ κρίνας ἔτη κ' καὶ ταῖς παλάμαις ἀνασχίσας τὸ στόμα τοῦ λέοντος καὶ ἐν σιαγόνι ὄνου χιλίους ἀποκτείνας ἄνδρας καὶ ὕδωρ ἐκ σιαγόνος πιὼν καὶ δι' ὑπερβολῆς ἰσχύος τὰς πύλας τῆς πόλεως ἀνασπάσας, ὡς εἴρηται, καὶ ἁπλῶς ὁ ἐκ κοιλίας μητρὸς ἁγιασθεὶς, ὑπὸ γυναικὸς, οἴμοι, δελεασθεὶς οὐ μόνον τὴν τοσαύτην θείαν χάριν καὶ τηλικαύτην ἰσχὺν ἀπώλεσε, ἀλλά γε καὶ τὰ ὄμματα ἐξορυχθεὶς, παίγνιον τοῖς παιδαρίοις τῶν ἀλλοφύλων γέγονεν καὶ σὺν αὐτοῖς τὸν βίον αἰσχίστῳ μόρῳ κατέστρεψε, ἑαυτὸν ἀποφήνας τοῖς ἐχθροῖς κωμῳδίαν, τοῖς δὲ φίλοις θρηνῳδίαν.

(4) Μετὰ δὲ Σαμψὼν ἐγένετο ἀναρχία ἔτη μ', καὶ ἕκαστος ἔπραττεν ὅπερ ἠβούλετο, ὅθεν ἡ γραφὴ τὴν αἰτίαν ἐμφαίνουσα

---

4. Iudd. XVI. 1 — 3. — 11. τοῦ ὄ. τοῦ ἐπὶ πρ. τοῦ Χεβρὼν 3. — 14. Mich. VII. 5; καταπιστεύεσθε cod. — 22. ἀποκτείναντα cod.

τῆς παρανομίας λέγει· «ἐν ταῖς ἡμέραις ἐκείναις οὐκ ἦν βασιλεὺς ἐν Ἰσραὴλ, ἀλλ' ἕκαστος τὰ ἄρεστον ἐν ὀφθαλμοῖς αὐτοῦ ἐποίει»— τοσαύτης πρόξενος βλάβης ἡ ἀναρχία — καὶ κατ' ἀλλήλων συνανεσταίμενοι συνωλοθρέυοντο, μάλιστα δὲ ὁπόταν εἰς τὴν παλλακίδα τοῦ ὁδοιπόρου οἱ τῆς φυλῆς Βενϊαμὶν ἐκπορνεύσαντες καὶ ταύτην ἐξ ὑπερβολῆς ἀκολασίας ἀνελόντες, αἱ δέκα φυλαὶ τὴν μίαν φυλὴν ἐπολέμησαν· ἀλλ' ἐπειδὴ καὶ οὗτοι εἰς τὰ εἴδωλα ἐξεπόρνευσαν, ὑπὸ τῆς μιᾶς φυλῆς αἱ ἕνδεκα ἐνεκήθησαν φυλαὶ καὶ ἅπαξ καὶ δίς· ἔπειτα κἀκεῖνοι ἐξωλοθρεύθησαν κατὰ τὸ εἰρημένον· «ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ» δικαίῳ γὰρ χρησάμενοι κατὰ τῶν ἐν Γαβαᾷ παρανενομηκότων εἰς τὴν κόρην θυμῷ, τετρακοσίας χιλίαδας ἐξώπλισαν. Παιδεῦσαι δὲ ὁ θεὸς αὐτοὺς βουληθεὶς ὡς τὰ ὅμοια δρῶντας καὶ ἐν ἄλλοις μὲν τὸ κακὸν θεωροῦντας, ἐν ἑαυτοῖς δὲ τοῦτο ποιεῖν οὐκ ἐθέλοντας, καὶ ἅπαξ καὶ δὶς ἡττηθῆναι συνεχώρησε, καὶ πολλὰς αὐτῶν χιλίαδας ἀναιρεθῆναι· ἐπειδὴ δὲ εἶδε καὶ τὴν παιδείαν δεξαμένους καὶ τῷ δικαίῳ θυμῷ ἐπιμένοντας, ὀλοφυρουμένους τε καὶ πολλὰ προχέοντας δάκρυα, συνήργησε τῷ σκοπῷ αὐτῶν, καὶ τὴν παράνομον φυλὴν ἄρδην ἀπώλεσεν πλὴν ὀλίγους εὐαριθμήτους, στρατηγοῦντος Φανεὲς υἱοῦ Ἐλεάζαρ· φησὶ γάρ. «Καὶ ἐπερώτησαν υἱοὶ Ἰσραὴλ ἐν Κυρίῳ· καὶ ἐκεῖ ἡ κιβωτὸς τῆς διαθήκης ἐν ταῖς ἡμέραις Κυρίου, καὶ Φινεὲς (24ᵃ), υἱὸς Ἐλεάζαρ, υἱοῦ Ἀαρών, παρεστηκὼς ἐπώπιον τῆς κιβωτοῦ λέγει· «εἰ προσθῶ ἔτι ἐξελθεῖν εἰς πόλεμον υἱῶν Βενϊαμὶν τοῦ ἀδελφοῦ ἡμῶν ἢ κοπάσω»; καὶ εἶπεν Κύριος· «ἀνάβηθι, ὅτι αὔριον ἀποδώσω αὐτοὺς ἐν τῇ χειρί σου», ὅπερ δὴ καὶ γέγονεν. πολεμήσαντες γὰρ αὐτοὺς, ἀνεῖλον ἐξ αὐτῶν χιλιάδας κε' καὶ πᾶσαν τὴν πόλιν αὐτῶν κατέσφαξαν ἐν στόματι μαχαίρας· καὶ γὰρ τῶν ἀκολάστων χείρους οἱ ἐκείνων προκινδυνεύοντες· ἐξαιτοῦντες γὰρ τῶν ὁμοφύλων τοὺς τὴν παρανομίαν τετολμηκότας, οὐ μόνον [οὐκ] ἐξέδωκαν, ἀλλὰ καὶ προθύμως ὑπερήσπισαν, οὗ δὲ χάριν κακὸν ὑπέστησαν ὄλεθρον· καὶ διὰ προφάσεως, καιροῦ καλοῦντος,

---

1. Iudd. XXI. 25. — 6. αἱ ια'? — 9. Ps. LXXIII. 28. — 11. θυμοῦ cod. — 20. Iudd. XX. 26—28. — 23. προσθῶμεν Iudd. — 30. δὴ? — 31. προφὶ cod.

ὑπὸ τῆς θείας δίκης ἐνδίκως ἐπαιδεύθησαν, ᾗ φησίν· «ὅταν λάβω καιρόν, ἐγὼ εὐθύτητας κρινῶ». Καιρὸν δὲ λέγει τὸν ἐκ τοῦ πλήθους τῶν ἁμαρτημάτων συναγόμενόν τε καὶ συναριθμούμενον παρὰ θεοῦ καὶ προσκαλούμενον τὴν ἐκδίκησιν καὶ τὴν ἀνταπόδοσιν, καθὼς γέγραπται ἐν ᾠδῇ Μωϋσέως. (3) «Οὐκ ἰδοὺ ταῦτα συνῆκται παρ' ἐμοὶ καὶ ἐφράγισται ἐν τοῖς θησαυροῖς μου; ἐν ἡμέρᾳ ἐκδικήσεως καὶ ἀνταποδώσεως ἐν καιρῷ ὅταν σφάλῃ ὁ ποῦς αὐτῶν» καὶ τὰ ἑξῆς. Οὕτως γε μὴν καὶ ὅτε ἔστη ἐν τῇ θραύσει αὐτοῦ πρεσβευόμενος τοῦ ἐξολοθρεῦσαι τὸν ἀγνόμονα λαὸν καὶ φιλαμαρτήμονα, παρακληθεὶς τέως, ἔφη πρὸς αὐτόν· «Νῦν βάδιζε πρὸς τὸ παρὸν διὰ τὴν παράκλησίν σου καὶ ὁδήγησον τὸν λαόν· ᾗ δ' ἂν ἡμέρᾳ ἐπισκέπτωμαι, ἐπάξω εἰς αὐτοὺς τὴν ἁμαρτίαν αὐτῶν». Καὶ ἐπάγει λέγουσα ἡ γραφή. «Καὶ ἐπάταξε Κύριος τὸν λαὸν περὶ τῆς ποιήσεως τοῦ μόσχου·» ὥστε οὐν ἀμήχανον ὄντως καὶ ἀνέφικτον διαδρᾶναι τὴν θεήλατον δίκην, εἰ καὶ παρὰ πόδας οὐκ ἐπάγει τοῖς ἁμαρτάνουσι ταύτην, μακροθυμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ τὴν ἐπιστροφὴν ἐκδεχόμενος ἢ τὴν ἐπὶ τὰ χείρω πρόβασίν τε καὶ δυστροπίαν, ὡς διὰ βραχέων σαφέως ἀποδέδεικται. (5) Καὶ γοῦν ὁ μέγας ἔφη Κύριλλος. «Μετροῦνται δὲ τῶν ἀνὰ πᾶσαν τὴν γῆν ἀνθρώπων τὰ κατὰ καιροὺς πλημμελήματα, ἃ καὶ μέχρι ποσότητος τινὸς ἐκδήλου τῆς ἁμαρτίας ἡμῶν οὐκ οὔσης· ἐπάγει δὲ τηνικαῦτα τὰς δίκας λελυμένῳ ὁ νομοθέτης Κύριος· διακαρτερεῖ δὲ ἐξ ἐμφύτου φιλανθρωπίας, ἐσθ' ὅτε καὶ κλημμελούντων ἀνέχεται, οὐκ εἰς ἅπαν ἀγαναχτῶν· καὶ γὰρ ἔφη πρὸς τὸν Ἀβραάμ· «οὔπω ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμορῥαίων ἕως τοῦ νῦν». Πρὸς δέγε τοὺς φαρισαίους ἀκαθέκτως λελυπηκότας φησίν. «Ὑμεῖς ἀναπληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν». Οὐκοῦν εἰ βούλοιτό τις διαβιῶναι μὲν ὀρθῶς, εὐβουλεστάτας δὲ καὶ ἐπιεικεστάτας ἐν τῷδε τῷ βίῳ ποιεῖσθαι τὰς διατριβάς, ὀρθοποδήσει καὶ διανύξεται τὰ δεινά, γνώμης ἐχόμενος ὀρθῆς καὶ ἀδιαστρόφου, τὸ μὴ ἐναλῶναι μὲν κακοῖς; Ἀτρεκὴς ὁ λόγος· ἐφ' ἡμῖν

1. Ps. LXXV. 2.—5. Deut. XXXII. 34,35.—7. ἐκδ. ἀνταποδώσω, ἐν 35.—10. Ex. XXXII. 34.—13. Ex. XXXII. 35.—19. Cod. 80,7—81,18.—20. ἅτε?—25. Gen. XV. 16. — 27. Mt. XXIII. 32. ἡμῶν cod. — 30. ὀρθοποδῆσαι δὲ καὶ? διανήξηται cod.

γάρ ἐστι τὸ ἐπ' ἄμφω βλέπειν, πρός τε τἀγαθὰ, φημὶ, καὶ τοὐναντίον. (24[b]) Καὶ οἱ μὲν ἐν λόγῳ πεποιημένοι τὸ θαυμάζεσθαι πεφυκὼς, ἐν καλῷ γενήσονται τῆς ἀρετῆς, οἱ δ' ἀποκλίναντες εἰς τοὐναντίον καὶ τῶν ἀμεινόνων προθέντες τὸ ἀδικοῦν, τὴν οἰκείαν καταφθείραντες ζωὴν, ἀλλοῖεν ἂν αὐθένται, καὶ ὀλετῆρες δεινοὶ κατὰ τῆς σφῶν αὐτῶν κεφαλῆς ἐζελελεγμένοι». (6) Ταύτῃ τοίνυν φησὶ καὶ ὁ ἱερὸς Ἰσίδωρος· «ἡ τῶν ἁμαρτημάτων ἐπίτασις ἀναγκάζει, ὥσπερ τὴν θείαν καὶ ἄϋλον φύσιν ἐκ τῆς κατὰ φύσιν ἀγαθότητος εἰς τὴν παρὰ φύσιν χωρεῖν ὀργὴν, ὅθεν καὶ Ἰουδαίοις ἔφη Χριστός. «Πολλάκις ἠθέλησα ἐπισυναγαγεῖν ὑμᾶς καὶ οὐκ ἠθελήσατε· ἰδοὺ, ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος»· ἐπειδὴ γάρ, φησὶν, οὐ δέχεσθε τὴν φιλανθρωπίαν, ἐπιγνώσεσθε τὴν ἐξουσίαν τῆς τιμωρίας. Ὅταν γὰρ ἴδῃ ὁ θεὸς εἰς ἄκρον κακίας ἐκκλίναντα τὸν ἄνθρωπον, ἀπαίρει τὴν ἑαυτοῦ χάριν ἐξ αὐτοῦ, ἧς ὁ ἄνθρωπος στερούμενος, ἐπὶ πλεῖον τραχύνεται, ἐκ τοῦ διαβόλου ἐρεθιζόμενος καὶ μὴ ἔχων τὸν θεὸν ἐν ἑαυτῷ συμβούλευτον ἀποσχέσθαι ἀπὸ κακοῦ, καὶ διὰ τοῦτο καταλαμβάνει αὐτὸν ἡ ὀργή. (7) (Οὕτω τοίνυν προφανῶς ἡ ψῆφος τῆς ἀδεκάστου καὶ θείας κρίσεως, διαδειχθεῖσα ἐν ἐπιτόμῳ· «ὄψονται εὐθεῖς καὶ εὐφρανθήσονται, καὶ πᾶσα ἀνομία ἐμφράξει στόμα αὐτῆς». Καὶ μάλα εἰκότως, πρὸς γὰρ τοὺς σκολιοὺς, σκολιὰς ὁδοὺς ἀποστελεῖ Κύριος, καὶ «οὐκ ἀδίκως ἐκτείνονται δίκτυα πτερωτοῖς· οἱ γὰρ πόδες αὐτῶν εἰς κακίαν τρέχουσιν καὶ ταχινοί εἰσι τοῦ ἐκχέειν αἷμα». Διὸ φησὶν ὁ ἀπόστολος· «ἢ ἀγνοεῖς, ὅτι τὸ χρηστὸν τοῦ θεοῦ εἰς μετάνοιάν σε ἄγει; κατὰ δὲ τὴν σκληρότητα καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας θεοῦ». «Καὶ γὰρ πάντα, φησὶ, τὰ ἔργα Κυρίου μετὰ δικαιοσύνης, φυλάσσεται δὲ ὁ ἀσεβὴς εἰς ἡμέραν κακήν». (8) Οἱ τοίνυν παρανομοῦντες καὶ παραπικραίνοντες, εὐωδούμενοι πολλάκις τῇ μακροθυμίᾳ τοῦ θεοῦ καὶ μηδὲν πάσχοντες δεινὸν ἀλλ' εὐθηνοῦντες καὶ πάσης εὐπραγίας καὶ εὐημερίας καὶ εὐῤῥωστίας καὶ πολυζωΐας ἀπολαύ-

---

4. προσθ. cod. — 5. ἀλλοι ἐναν cod. — 6. ἐξελιλεγμ. cod. — 10. Mt. XXIII. 37,38. — 14. ἐπαίρει cod. — 19. ἐν ἐπιτόμως cod. — Ps. CVII. 42. — 21. Prov. I. 17. — 23. Rom. II. 4. εἰ cod. — 26. Prov. XVI. 4.

οντες, «οὕτως, φασὶν οἱ ἀγνώμονες, εὐαριστεῖται ὁ θεὸς καὶ χαίρει». Καὶ, διὰ τοῦτο «ποιήσωμεν τὰ κακὰ ἵνα πλεῖον ἔλθῃ τὰ ἀγαθά», ὧν τὸ κρίμα ἔνδικόν ἐστι». Περὶ ὧν καὶ Δαυὶδ ἔλεγε· «ἐν κόποις ἀνθρώπων οὐκ εἰσὶ καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται· διὰ τοῦτο ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία εἰς τέλος, καὶ περιεβάλοντο ἀδικίαν καὶ ἀσέβειαν»· καὶ «διενοήθησαν καὶ ἐλάλησαν ἐν πονηρίᾳ, ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν· ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν, καὶ ἡ γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς καὶ εἶπαν· πῶς ἔγνω ὁ θεὸς; καὶ· εἰ ἔστι γνῶσις ἐν τῷ ὑψίστῳ»; «οἷς διὰ τὰς δολιότητας αὐτῶν ὁ θεὸς ἔθετο αὐτοῖς κακὰ, κατέβαλεν αὐτοὺς ἐν τῷ ἐπαρθῆναι καὶ ἐγένοντο εἰς ἐρήμωσιν, ἐξάπινα ἐξελίπον, ἀπώλοντο διὰ τὴν ἀνομίαν αὐτῶν», ὅθεν «εἶπα τοῖς παρανομοῦσι μὴ παρανομεῖτε, καὶ τοῖς ἁμαρτάνουσιν (25ª)· μὴ ὑψοῦτε κέρας — καὶ μὴ λαλεῖτε κατὰ τοῦ θεοῦ ἀδικίαν, ὅτι ὁ θεὸς κριτής ἐστι»· καὶ «μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ, ἐν ἀνθρώπῳ ποιοῦντι παρανομίαν»· «ὅτι, ὡσεὶ χόρτος, ταχὺ ἀποξηρανθήσονται, καὶ ὡσεὶ λάχανα χλόης, ταχὺ ἀποπεσοῦνται· δίκαιος γὰρ Κύριος καὶ δικαιοσύνας ἠγάπησεν». (9) Δεῖ τοίνυν, εἰ πάντως δοῦλοι εὐγνώμονες τυγχάνομεν καὶ ἀνυπόκριτοι, μὴ βασιλείας προσδοκίᾳ μηδ' ἄλλῃ τινὶ μελλόντων ἀγαθῶν ἐλπίδι τὴν ἀρετὴν πράττειν, ἀλλὰ δι' αὐτὸν τῶν ἁπάντων δεσπότην θεὸν πάντα ὑπομένειν· ἀλλ' εἰσὶ ἀναπεπτωκότες πολλοὶ καὶ νωθροὶ, ὅτι οὐδὲ μετὰ μισθοῦ τῆς ἀρετῆς ἐφίενται. Καὶ ὁ μὲν θεὸς βασιλείαν ἐπαγγελλόμενος, οὐκ ἀκούεται, ὁ δὲ διάβολος γέενναν προξενῶν, φιλεῖται· καὶ τί τῆς μανίας ταύτης χαλεπώτερον καὶ λυσσωδέστερον; καὶ τί λέγω γέενναν; καὶ πρὸ τῆς γεέννης, ὀδύνην ἐνταῦθα καὶ αἰσχύνην καὶ γέλωτα προσεπανάγων καὶ μυρίας κολάσεις καὶ θανάτους πολλοὺς ἔχειν τοὺς πειθομένους καὶ προστρέχοντας αὐτῷ.

---

1. φη. cod. — 2. Rom. III. 8. — 4. Ps. LXXIII. 5, 6, 8, 9, 11, 19. — 12. Ps. LXV. 4—7. — 15. Ps. XXXVII. 7,2. — 18. Σιράχ· «Μὴ εἴπῃς· τίς μου δυναστεύσει κατὰ τὰ ἔργα μου; ὁ γὰρ Κύριος ἐκδικῶν ἐκδικήσῃ σου τὴν ὕβριν μηδὲ εἴπῃς· ἡμάρτηκα καὶ τί μοι ἐγένετο; ὁ γὰρ Κύριός ἐστι μακρόθυμος (καὶ οὐ μὴ σὲ ἀνεῖ). V. 3,4 με δ. ὁ γὰρ κς ἐ. ἐ. σε. μὴ ἐ. μακρ. ceteris omissis.

XXXVI. ΠΕΡΙ ᾽ΗΛΕΙ ΤΟΥ ΑΡΧΙΕΡΕΩΣ.

Μετὰ δὲ τοὺς κριτὰς ἔκρινε τὸν λαὸν ὁ ἀρχιερεὺς Ἠλεὶ ἔτη 1142 (4045)
κ'. (καὶ τῇ παροινίᾳ τε καὶ ἀταξίᾳ τῶν υἱῶν αὐτοῦ Ὀφνὶ καὶ
Φινεὲς ἐπὶ τῶν θυσιῶν, ἑκατέρους μετῆλθε πάλιν ἡ θεία δίκη· οἱ
μὲν γὰρ ἐν τῷ πολέμῳ δεινῶς ἀνῃρέθησαν, ὁ δὲ τῆς θείας ἀκούσας
φωνῆς τῆς λεγούσης·» εἶπα· ὁ οἶκος σοῦ διελεύσεται ἐνώπιόν μου
ἕως τοῦ αἰῶνος· καὶ νῦν οὐχ οὕτως ἀλλ' ἢ τοὺς δοξάζοντάς με δο-
ξάσω, καὶ οἱ ἐξουθενοῦντες με ἀτιμασθήσονται, καὶ ἐξολοθρεύσω
τὸ σπέρμα σου ἐκ τοῦ θυσιαστηρίου μου». Καὶ πάλιν. «᾽Ιδοὺ ἐγώ,
φησὶν, ἐκδικῶ τὸν οἶκον Ἠλεὶ ἕως αἰῶνος ἐν ἀδικίαις υἱῶν αὐτοῦ».
Μεθ' ὧν καὶ τὴν παράληψιν τῆς κιβωτοῦ διαγνοὺς μετὰ ταῦτα,
ἔπεσεν ἀπὸ τοῦ δίφρου ὀπίσθιος, καὶ συντριβεὶς ὁ νῶτος αὐτοῦ,
ἀπέθανεν ἐτῶν ϙ'. (2) Περὶ ὧν φησὶν ὁ Χρυσόστομος»· ἱερεύς τις
ἦν παρὰ* ᾽Ιουδαίοις, μέτριος ἄνθρωπος καὶ ἐπιεικὴς, Ἠλεὶ τοὔ-
νομα, ὃς γενόμενος δύο παίδων πατὴρ καὶ ὁρῶν αὐτοὺς ἐπὶ κα-
κίαν βαδίζοντας, οὐ κατεῖχε οὐδὲ διεκώλυε μετὰ σπουδῆς καὶ
σφοδρότητος· τὰ δὲ τῶν παίδων ἐγκλήματα, πορνεία τε ἦν καὶ
γαστριμαργία· «ἐκοιμῶντο γὰρ, φησὶ, μετὰ τῶν γυναικῶν τῶν πα-
ρεστηκότων παρὰ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου» καὶ ἤσ-
θιον πρὸ τοῦ ἁγιασθῆναι τὰ κρέα καὶ τὴν θυσίαν ἐνεχθῆναι· ἅπερ
ἀκούων ὁ πατὴρ τιμωρίαν μὲν οὐκ ἐπέθηκεν, λόγοις δὲ καὶ παραι-
νέσεσιν ἐπειρᾶτο τῆς πονηρίας ταύτης αὐτοὺς ἀπαγαγεῖν λέ-
γων· «μὴ, τέκνα, μὴ ποιεῖτε οὕτως, ὅτι οὐκ ἀγαθὴ ἡ ἀκοὴ, ἣν
ἐγὼ ἀκούω περὶ ὑμῶν τοῦ ποιεῖν τὸν λαὸν τοῦ [τον] μὴ λατρεύειν
τῷ κυρίῳ· ἐὰν γὰρ ἁμαρτὼν ἄνθρωπος ἁμάρτῃ, προσεύξονται περὶ
αὐτοῦ πρὸς Κύριον· ἐὰν δὲ τῷ Κυρίῳ ἁμάρτῃ, τίς προσεύξεται
περὶ αὐτοῦ»; Ἐπεὶ οὖν μὴ πᾶν, ὅσον ἐχρῆν, ἐπεδείξατο*, καὶ αὐ-
τὸς μετ' ἐκείνων ἀπώλετο· καὶ γὰρ ἀπειλὰς ἔδει προσθεῖναι καὶ

---

2. Ced. 107,12—108,3. — 6. 1 Sam. II. 30,31.— 9. 1 Sam. III. 13. — * τοῖς Chr. I. 79. B.—16. κακία codex.—διεκ. οὐ μ. σπ. cod. ἐκ. οὐ μ. πάσης δὲ τοῦτο ἐποίει σπ. Chr. — 18. 1 Sam. II. 22 — 22. λόγῳ δὲ καὶ παραινέσει Chr.—ἀπάγειν αὐτοὺς Chr.— 23. λέγειν codex. 1. Sam. II. 2, 4, 25, καὶ ταῦτα συνεχῶς πρὸς αὐτοὺς ἔλεγε ῥήματα Chr. — 24. λαὸν μὴ Chr.—27. πάνυ cod. — * τὴν ἀπειλὴν cod.—28. πρ. ἐχρῆν Chr.

μάστιγας ἐπιθεῖναι καὶ τῆς ὄψεως αὐτοῦ ἐξελάσαι καὶ μὴ παντελῶς φείσασθαι· ἀλλ' ἐπειδὴ φεισάμενος αὐτοῦ τῶν παίδων ἀκαίρως, μετὰ τῶν παίδων καὶ τὴν ἑαυτοῦ σωτηρίαν ἀπώλεσε. Ἄκουσον γὰρ τί φησὶν πρὸς αὐτὸν ὁ θεὸς, μᾶλλον δὲ (25[b]) οὐ πρὸς αὐτόν· οὐδὲ γὰρ ἀποκρίσεως αὐτὸν ἄξιον ἔκρινεν εἶναι λοιπὸν ὡς προσκεκρουκότα, ἀλλὰ δι' ἑτέρου ποιεῖ μαθεῖν τὰ καταληψόμενα αὐτὸν κακά. — Διὸ φησὶν διὰ τοῦ μαθητοῦ αὐτοῦ Σαμουήλ· «ἔγνω, ὅτι κακολογοῦνται οἱ υἱοὶ αὐτοῦ, καὶ οὐκ ἐνουθέτει αὐτούς»— Καὶ μὴν ἐνουθέτησε, ἀλλ' οὐδὲν νουθεσία ἐκείνη λελόγισται, μὴ ἔχουσα τὸ σφοδρὸν καὶ ἐπιτεταμένον, — εἰπὼν δὴ τὸ ἔγκλημα ἐπάγει καὶ τὴν κόλασιν μετὰ πολλῆς τῆς ὀργῆς φάσκων. «Ὤμοσα τῷ οἴκῳ Ἠλεί, εἰ ἐξιλασθήσεται ἁμαρτία τῷ οἴκῳ αὐτοῦ ἢ ἐν θυμίαμασι ἢ ἐν θυσίᾳ ἕως τοῦ αἰῶνος»· εἶδες ἀγανάκτησιν ἐπιτεταμένην καὶ ἀσύγγνωστον κόλασιν καὶ ἀσυγχώρητον εἰς ὅλον αὐτοῦ τὸ γένος καὶ τὸν οἶκον, καίτοι τοῦ μὲν ἰδίου βίου ἕνεκα οὐδὲν ἠτιάθη ποτὲ, οὐδὲ κατεγκαλεῖν εἶχεν ὁ θεὸς ἕτερόν τι τῷ πρεσβύτῃ, ἀλλ' ἦν τἄλλα πάντα θαυμαστὸς καὶ τὴν φιλοσοφίαν, οὐκ ἐκ τῶν ἄλλων μόνον, ἀλλὰ καὶ ἀπ' αὐτῶν τῶν παρὰ τὴν συμφορὰν συμβάντων ἐστὶν ἰδεῖν. Ἐπειδὴ γὰρ ταῦτα πάντα ἤκουσε καὶ πρὸς ἔσχατον τιμωρίας εἶδεν αὐτὸν ἐλθόντα, οὐκ ἀπεδυσπέστησε, οὐκ ἐδυσχέρανεν, οὐκ εἶπέ τι οἷον εἰκὸς τοὺς πολλοὺς λέγειν· «μὴ γὰρ ἐγὼ τῆς ἑτέρων γνώμης κύριός εἰμι; καὶ» τῶν ἐκείνων ἁμαρτημάτων ὀφλήσω δίκας; αὐτοὶ ἡλικίαν ἔχουσι, καὶ αὐτοὶ δίκαιόν ἐστι κολάζεσθαι μόνον»· ἀλλ' οὐδὲν τοιοῦτον εἶπεν οὐδὲ ἐνενόησεν, ἀλλ' ὥσπερ οἰκέτης εὐγνώμων ἀπεκρίθη λέγων — «Κύριος τὸ ἀρεστὸν ἐν ὀφθαλμοῖς αὐτοῦ ποιείτω» — «Εἰ τοίνυν τὸν ἀρχιερέα τὸν πρεσβύτην, τὸν ἔνδοξον, τὸν ἔτη κ' προστάντα καὶ ἀμέμπτως τῷ θεῷ δουλεύσαντα, οὐδὲν ἴσχυσε τοῦτον ἐξελέσθαι τῆς ὀργῆς τοῦ θεοῦ καὶ ἀπειλῆς, ἀλλὰ διὰ τὰς ἑτέρων ἁμαρτίας

---

1. ἐπ. καὶ βαρύτερον πολλῷ γενέσθαι καὶ χαλεπώτερον· ἐπειδὴ οὖν τούτων οὐδὲν ἐποίησε κτλ. καὶ φεισ. Chr. — 3. προσαπώλεσε σ. Ἀκ. γοῦν Chr. —4. μ. δὲ π. ἀ. οὐκ ἔτι Chr. — 8. 1. Sam. III. 13. — 11. 1. Sam. III. 14. — 12. ἐξιλάσεται cod. Chr. — 14. εἰ ὅλον cod. — 19. συμφ. ταύτην ἐπισ. Chr. — 24. ἂν εἶεν δίκαιοι Chr. — 26. 1. Sam. III. 18.

ἀπώλετο καὶ τὸν ἐν τοσούτοις ἔτεσι τοσαῦτα κατορθωκότα, ἃ τὸν θεὸν οὐκ ἐδυσώπησαν, ποίαν ἡμεῖς ἕξωμεν συγγνώμην, οἱ τῆς ἀρετῆς ἐκείνου τοσοῦτον ἀποδέοντες» καὶ ἑτέροις ἁμαρτάνουσιν ἐφησυχάζοντες καὶ παραχωροῦντες καὶ προδυναμένοι κωλύειν αὐτοὺς καὶ ἀναστέλλειν, τοὐναντίον μᾶλλον μετερχόμεθα ἀνεγκλήτους αὐτοὺς ἑῶντες καὶ ἀτιμωρήτους; «Καὶ μηδεὶς λεγέτω, ὅτι πολλοὶ μειζόνως τοῦ Ἠλεὶ τῶν ἰδίων ἀμελήσαντες παίδων, οὐδὲν ἔπαθον οἷον ἐκεῖνος ἔπαθον οὗν πολλοὶ πολλάκις καὶ χαλεπώτερα τούτων, κἂν ἡμεῖς ἀγνοῶμεν, ἐκ πολλῆς ἀναισθησίας τῶν τε ἡμετέρων συμφορῶν καὶ συμβάσεων, καὶ τὰς τῶν πέλας· πόθεν γὰρ ἄωροι θάνατοι; πόθεν αἱ χαλεπαὶ καὶ συνεχεῖς νόσοι καὶ ἡμῖν καὶ τοῖς παισὶν αὐτοῖς; πόθεν ζημίαι καὶ περιστάσεις καὶ ἐπήρειαι; πόθεν τὰ μυρία κακὰ καὶ ποικίλα; Οὐκ ἐκ τοῦ μοχθηροὺς ὄντας τοὺς παῖδας περιορᾶν; Καὶ ὅτι τοῦτο ἀληθές ἐστιν, μάρτυς μὲν καὶ ὁ πρεσβύτης οὗτος, μάρτυς δὲ καὶ ὁ σοφὸς λέγων· «μὴ εὐφραίνου ἐπὶ υἱοῖς ἀσεβέσιν», καὶ «εἰ μή ἐστι μετ' αὐτῶν φόβος θεοῦ, μὴ ἐμπιστεύσῃς τῇ ζωῇ αὐτῶν», καὶ «στενάξεις πένθει ἀώρῳ· καὶ ἐξάπινα τὴν ἐξ αὐτῶν συντέλειαν γνώσῃ·» πολλοὶ μὲν οὖν, ὡς ἔφην, πολλὰ τοιαῦτα πεπόνθασιν· εἰ δέ τινες καὶ διέφυγον, ἀλλ' οὐκ (26ᵃ) εἰς τέλος ἐκφεύξονται, ἀλλ' ἐπὶ κακῷ τῆς ἑαυτῶν κεφαλῆς· ἀπελθόντες δὲ ἐκεῖ πικροτέραν τίσουσι δίκην». ὅπερ εἰδὼς ὁ ἀπόστολος παραινεῖ φάσκων· «οἱ πατέρες, ἐκτρέφετε τὰ τέκνα ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου». Καὶ μὴν ἐπισφαλὲς καὶ λίαν ἐπικίνδυνον ἐφησυχάζειν τοῖς ἁμαρτάνουσιν, καθὼς αἱ γραφαὶ διαγορεύουσιν· ἰδοὺ γὰρ ὁ μὲν Ἀχαρ ἡνίκα τὴν χρυσῆν γλῶτταν ἔκλεψε καὶ τὴν φηλὴν ἐσθῆτα, ἐπὶ πάντα τὸν λαὸν γέγονεν ἡ ὀργὴ τοῦ Κυρίου, καίτοιγε μὴ εἰδότα τὸν ἡμαρτηκότα καὶ τὸ ἁμάρτημα μέχρις οὗ ἐφανερώθη ὁ κλέπτης καὶ τὸν φοβερὸν ἐκεῖνον ἅμα πᾶσι τοῖς

---

1. ἐπ. καὶ τῆς ὀλιγωρίας ταύτης ἡ ἁμαρτία, καθάπερ κῦμα ἄγριον καὶ μέγα, πάντα ὑπερέσχεν ἐκεῖνα καὶ τὰ κατορθώματα ἔκρυψεν ἅπαντα, τίς ἡμᾶς λήψεται δίκη Chr. — 6. Καὶ μὴ μοι λ. τις 81. A. — 7. οἰκείων Chr. — 8. ὁ Ἠλεί· Ἐ. μὲν γὰρ καὶ π. Chr. — τούτων καὶ διὰ ταύτην τὴν ἁμαρτίαν· πόθεν Chr. — 13. καὶ κ. om. Chr. — 14. Καὶ ὅτι οὐ στοχασμὸς τ. ἐ. Chr. — 15. Sir. XVI. 1,2. — 17. Sap. XIV. 15. ἀ. γὰρ π. τρυχόμενος πατὴρ τοῦ ταχέως ἀφαιρεθέντος τέκνου — Στ. γὰρ Chr. — 18. ἐξ ἀ. σ. γν. Chr. — ὅπερ ἔφην Chr. — 22. Eph. VI. 4. — 26. Ios. VII. 21.

ἰδίοις ὑπέστη ὄλεθρον. Ὁ δὲ Ἠλεί, καίπερ οὐκ ἐφησυχάσας τοῖς ἑαυτοῦ υἱοῖς καὶ «λοιμοῖς», ὡς εἴρηται, ἀλλὰ καὶ λόγῳ πλείονα κατασκεύασας, τῆς τε ἁμαρτίας τὸ ἄτοπον καὶ τῆς κρίσεως τὸ ἄφυκτον, ὅτι μὴ ὅλως ἐμβριθέστερον ἐξεδίκησε, τοσοῦτον παρώξυνε τὴν ὀργὴν τοῦ θεοῦ, ὡς καὶ τὸν λαὸν σὺν τοῖς υἱοῖς αὐτοῦ μαχαίρᾳ πεσεῖν καὶ τὴν κιβωτὸν ἐκείνην τὴν φοβερὰν καὶ ὀλίγοις ληπτὴν, ὑπὸ χειρῶν ἀλλοφύλων ἄγεσθαι, ὅπου ἂν βούλοιντο· καὶ αὐτὸν ἐκεῖνον τὸν μέγαν ἱερέα λέγω, οἰκτρῷ τέλει τὸν βίον καταστρέψαι· εἰ δέ τοι κατὰ τοῦ μὴ ἁμαρτήσαντος καὶ κωλύσαντος καὶ διαμαρτυρωμένου τοῖς ἁμαρτήσασι τοιαύτη ὀργὴ ἐξεκαύθη, τί ἄν τις εἴποι περὶ τῶν γινωσκόντων καὶ ἐφησυχαζόντων; οἵτινες ἐὰν μὴ δέξωνται τὸ ὑπὸ τοῦ ἀποστόλου εἰρημένον· διὰ τί» οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο πράξας»; ἀνάγκη καὶ αὐτοὺς ἐκείνους ἀπόλλυσθαι· ὥστε κινδυνεύουσι πάντως καὶ νῦν ὁμοῦ πάντες, τὸν αὐτὸν ὄλεθρον ὑποστῆναι ἢ χείρονα· «ἑπτάκις μὲν γὰρ ἐκδικεῖται ἐκ Καΐν, ἐκ δὲ Λάμεχ (τὰ ὅμοια ὁ ἁμαρτὼν) ἑβδομηκοντάκις ἑπτά». Διὰ τί δὲ πάλιν οἱ μὲν τῶν ἀνθρώπων ἁμαρτάνοντες κολάζονται, οἱ δὲ οὐ κολάζονται; πῶς γὰρ τῶν Ἰουδαίων μοσχοποιησάντων ἁπάντων, οἱ μὲν ἐκολάζοντο, οἱ δὲ οὐκ ἐκολάζοντο; Ἢ πάντως οἱ μὲν, εὔδηλον ὅτι μετενόησαν καὶ τὴν φύσιν αὐτῶν ἠγνόησαν διὰ τὴν εὐλάβειαν, οἱ δὲ τῇ κακίᾳ ἐνέμειναν, ὡς τὸ μὲν ἁμάρτημα ἴσον ἦν, τὰ δὲ μετὰ ταῦτα οὐκ ἴσα; Τίνος δὲ ἕνεκεν καὶ ἐπὶ τοῦ Ἀδὰμ καὶ τῆς Εὔας οὐχὶ αὐτὴ τιμωρία, εἰ καὶ αὐτὴ ἡ ἁμαρτία; ὅτι οὐκ ἦν ἴσον τὸ ὑπὸ γυναικὸς ἀπατηθῆναι καὶ ὑπὸ ὄφεως· διὸ οὐδὲ ἀπάτην ἐκεῖνο Παῦλος ἐκάλεσε οὕτω λέγων· «ὁ μὲν Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἐξαπατηθεῖσα ἐν παραβάσει γέγονε». Τίνος δὲ ἕνεκεν ὁ τὰ ξύλα συλλέξας οὐκ ἔτυχε φιλανθρωπίας; ὅτι πολλῆς παρανομίας ἦν τὸ γινόμενον ἀνάμεστον· ἐκ προοιμίων αὐτῶν παραβῆναι πρόσταγμα θεοῦ, καὶ ὅπως τοῖς ἄλλοις γένηται παίδευμα μὴ καταφρονεῖν θεοῦ ἐντολήν. Τοῦτο καὶ ἐπὶ Σαμπφείρας καὶ Ἀνανία γέγονεν. Καὶ ἡμεῖς

---

2. 1 Sam. II. 12. — 9. δὲ τὸν τῷ ἁμαρτήσαντι καὶ κατὰ τοῦ κωλ. cod. — 12. 1. Cor. V. 2. — 16. Gen. IV. 24.—26. 1. Tim. II. 14. — 28. Num. XV. 32,36.

οὖν ὅταν ἁμαρτήσωμεν, σκοπήσωμεν, εἰ ἄξιοι ἐλέους ἐσμὲν καὶ εἰ ἐποιήσαμέν τι ὥστε ἐλεηθῆναι, εἰ μετενοήσαμεν (26[b]) γνησίως, εἰ βελτίους ἐγενόμεθα, εἰ ἀπέστημεν ἐκ τῶν πονηρῶν ἡμῶν ἔργων· «ἔκκλινον γὰρ, φησίν, ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν».

XXXVII. ΠΕΡΙ ΣΑΜΟΥΗΛ.

Μετὰ δὲ Ἠλεὶ ἔκρινε τὸν λαὸν Σαμουὴλ ὁ ἱερεὺς, καὶ προφήτης 1090
ἔτη λ'· καὶ οἱ υἱοὶ αὐτοῦ Ἰωὴλ καὶ Ἀβιὰ, μὴ πορευόμενοι κατὰ (4085)
τὴν ὁδὸν αὐτοῦ καὶ ἀρετὴν, ἀλλὰ τὸ δίκαιον ἀπεμπολοῦντες, συναθροίζεται πρὸς αὐτὸν ὁ λαὸς εἰς Ἀρμαθὲμ αἰτούμενοι βασιλέα κατὰ τὴν συνήθειαν τῶν ἐθνῶν· ὁ δὲ σφόδρα λυπηθεὶς, εἶπεν ὁ θεὸς πρὸς αὐτὸν· «ἄκουσον τῆς φωνῆς τοῦ λαοῦ, ὅτι οὐ σὲ ἐξουθενώκασι, ἀλλ' ἐμὲ, τοῦ μὴ βασιλεύειν ἐπ' αὐτούς».

XXXVIII. ΑΡΧΗ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΣΑΟΥΛ.

Καὶ ἔδωκεν αὐτοῖς τὸν Σαοὺλ υἱὸν Κὶς ἐκ φυλῆς Βενιαμὶν, 1070
χρίσας αὐτὸν εἰς βασιλέα, ἀγαθὸν ἄνδρα καὶ εὐμεγέθη ὑπερωμίαν (4085)
καὶ ἐπάνω ὑψηλότερον ὑπὲρ τὴν γῆν πᾶσαν. Καὶ γέγονε λοιπὸν ἐξ ἐκείνου ἐν τῷ Ἰσραὴλ ἀρχὴ βασιλέων. (2) Μετὰ δὲ Σαμουὴλ ἐβασίλευσε Σαοὺλ ἔτη μ', ὃς τολμήσας πρότερον μὲν θυμιάσαι τῷ θεῷ, ἔπειτα δὲ παραβὰς τὴν ἐντολὴν τοῦ θεοῦ καὶ τοὺς Ἀμαληκίτας, ζωογονήσας Ἀγὰγ τὸν βασιλέα αὐτῶν, ἤκουσε παρὰ τοῦ προφήτου «Μεματαίωταί σοι, ὅτι οὐκ ἐφύλαξας τὴν ἐντολὴν, ἣν ἐνετείλατό σοι Κύριος καὶ ἡτοίμασε τὴν βασιλείαν σου ἕως αἰῶνος ἐπὶ Ἰσραὴλ· καὶ νῦν οὐ στήσεται ἡ βασιλεία σου· ἀλλ' ἐζήτησε Κύριος ἄνθρωπον κατὰ τὴν καρδίαν αὐτοῦ εἰς ἄρχοντα ἐπὶ τὸν λαὸν αὐτοῦ».

(3) Μετὰ δὲ ταῦτα χρίσας τὸν Δαυὶδ ὁ Σαμουὴλ ἐν λόγῳ Κυ-

---

3. Ps. XXXIV. 14. — 7. Ced. 108,5 — 8. λέ ἔτη, cf. 110,8 — 20? 149,7 — 16. — 11. 1 Sam. VIII. 7. — 14. Ced. 110,20—114,14,149,16—150,5 Τῷ ι' ἔτει Σαοὺλ ἡ κάθοδος Ἡρακλειδῶν γέγονε, καὶ ἡ τῶν Μυκηνῶν κατελύθη βασιλεία, π' ἔτει τῆς Ἰλίου ἁλώσεως, ἐφ' οὗ ἦν Ὅμηρος καὶ Ἡσίοδος οἱ σοφοὶ παρ' Ἕλλησι καὶ Μένανδρος καὶ Θουκυδίδης· σχόλιον 27[c]; Ced. 170,21 sub. Salomone. — 21. 1 Sam. XIII. 13 — 14. — 25. Ced. 113,18—114,7, 150,5—151,14. Glyc. 327,3—328,8.

ρίου, εἶτα γηράσας καὶ τελευτήσας προσέθετο μᾶλλον ὁ Σαοὺλ παροργίζειν τὸν Κύριον, ὅθεν καὶ πνεῦμα Κυρίου ἀπέστη ἀπ' αὐτοῦ καὶ ἔπνιγεν αὐτὸν πνεῦμα πονηρόν, οὗ δὴ ἕνεκα Δαυὶδ ἄγεται πρὸς αὐτὸν εἰς παρηγορίαν τοῦ πάθους. «Καὶ ἐγένετο, φησίν, ἐν τῷ εἶναι πνεῦμα πονηρὸν ἐπὶ Σαοὺλ, καὶ λαμβάνων Δαυὶδ τὴν κίνυραν, ἔψαλλεν, καὶ ἀφίστατο ἀπ' αὐτοῦ τὸ πονηρὸν πνεῦμα». (4) Ἀλλ' οὖν γε παταξας τὸν ἀλλόφυλον «Γολιάθ, ος ἦν τῇ ἡλικίᾳ πηχέων τὸ ὕψος δ' καὶ σπιθαμῆς, καὶ περικεφαλαία χαλκῆ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ ἀλυσιδωτὸν θώρακα περιβέβληται χιλιάδας ἔχοντα ε' σίκλων χαλκοῦ καὶ σιδήρου, κνημίδες χαλκαῖ ἐπὶ τῶν σκελῶν αὐτοῦ, καὶ τὸ ξύλον τοῦ δόρατος αὐτοῦ ὡς ἀντίον ὑφαινόντων· καὶ ἡ ἐπ' αὐτῷ λόγχη, ἑξακοσίων σίκλων σιδήρου, καὶ ἀσπὶς χαλκῆ ἀναμέσον τῶν ὤμων αὐτοῦ». Καὶ διὰ τοῦτο ἐπιγαμβρευθεὶς τῷ Σαοὺλ ὁ Δαυὶδ, ἐφθονήθη προφάσει τῶν χορευτρίων ἕνεκεν τῆς εὐφημίας ἧς ἐπῇδον αὐτῷ λέγουσαι· «ἐνίκησε Σαοὺλ ἐν χιλιάσι καὶ Δαυὶδ ἐν μυριάσιν». (5) Καὶ ἀποδιδράσκει Δαυὶδ ἀπ' αὐτοῦ, ὅτε καὶ τοὺς ἄρτους ἔφαγε τῆς προθέσεως ἐκ χειρὸς Ἀβιμέλεχ τοῦ ἀρχιερέως, περὶ οὗ Σαοὺλ θυμωθεὶς καὶ ἀγανακτήσας ἀνεῖλε τὸν Ἀβιμέλεχ, διὰ χειρὸς Δοὴκ τοῦ Σύρου, καὶ πάντας τοὺς μετ' αὐτοῦ ἱερεῖς Κυρίου ἄνδρες υν', οὐ μὴν δὲ «καὶ πᾶσαν τὴν πόλιν τῶν ἱερέων Νομβὰν ἐπάταξεν ἐν στόματι ῥομφαίας ἀπὸ ἀνδρὸς ἕως γυναικὸς καὶ νηπίου θηλάζοντος καὶ μόσχου καὶ ὄνου καὶ προβάτων»· οὐ κατελείφθη αὐτῶν οὐδὲ εἷς, πλὴν Ἀβιάθαρ υἱὸς Ἀβιμέλεχ φυγὼν πρὸς τὸν Δαυίδ. (6) Αὕτη τοῦ Σαοὺλ ἡ μιαιφονία πασῶν τῶν ἄλλων ἁμαρτημάτων δυσσεβεστέρα· τοῦ μὲν γὰρ θεοῦ προστεταχότος (27ᵃ) ἄρδην ἐξολοθρεῦσαι τὸν Ἀμαλήκ, οὐ μόνον τὸν Ἀγαγ διέσωσεν, ἀλλὰ καὶ ὅσα ἦν αὐτοῦ ἀξιόκτητα· τοῦ δὲ θυμοῦ κεκινηκότος, οὐ μόνον τοὺς ἱερεῖς κατέκτεινεν, ἀλλὰ καὶ τὴν πόλιν αὐτῶν διέφθειρεν αὐτάνδρον. (7) Καταδιώκων δὲ τὸν Δαυὶδ, καὶ ἅπαξ καὶ δίς, ἐμπεσὼν εἰς χεῖρας τοῦ μακαρίου, καὶ μηδὲν ἀποδοὺς αὐτῷ κακὸν ἀντὶ κακοῦ, ἔφη Δαυὶδ

---

4. 1 Sam. XVI. 23.—9. 1 Sam XVII. 4—7. ὑ. αὐτοῦ δ. π. καὶ σπ. καὶ π. ἐπὶ τῆς κ. ἀ.—15. ἐπεῖδον cod. — 1 Sam. XVIII. 7.—6. Glyc. 329,1—4. — 20. 1 Sam. XXII. 18. πε'. — 21. 1 Sam. XXII. 19. — 23. 1 Sam. XXII. 20. — 29. Glyc. 329,5—9.

ὁ πραότατος πρὸς Σαοὺλ τὸν ἀπανθρωπότατον. «Ἵνα τί καταδιώκεις, ὦ βασιλεῦ, λαβεῖν τὴν ψυχήν μου; δικάσει Κύριος ἀναμέσον ἐμοῦ καὶ σοῦ καὶ ἐκδικήσει με ἐκ χειρός σου· ἡ δὲ χείρ μου οὐκ ἔστιν ἐπί σε, καθὼς λέγεται ἐν τῇ ἀρχαίᾳ παραβολῇ, ὅτι ἐξ ἀνόμων ἐξελεύσεται πλημμέλεια» «Καὶ ὁ μὲν οἶκος Δαυὶδ ἐπορεύετο καὶ ἐκραταιοῦτο, ὁ δὲ οἶκος Σαοὺλ ἐπορεύετο καὶ ἠσθένει». (8) Εἶτα τῶν ἀλλοφύλων πρὸς Σαοὺλ στρατοπεδευκότων, τοῦ δὲ πρὸς τὴν ἐγγαστρίμυθον ἀπελθόντος καὶ τὴν ἀπόφασιν δεξαμένου, προθύμως εἰσῆλθεν εἰς τὸν πόλεμον καὶ τοξευθεὶς εἰς τὰ ὑποχόνδρια, εἶπε· πρὸς τὸν αἴροντα αὐτοῦ τὰ σκεύη· «Σπάσαι τὴν ῥομφαίαν σου καὶ ἀποκέντησόν με, μήποτε παίξουσιν εἰς ἐμὲ οἱ ἀπερίτμητοι οὗτοι». Τοῦ δὲ φοβηθέντος καὶ μὴ ὑπακούσαντος, ἔλαβε Σαοὺλ τὴν ῥομφαίαν αὐτοῦ καὶ ἔπεσεν ἐπ' αὐτήν, ἐφ' ἣν καὶ ὁ σκευοφόρος ἐπιπεσὼν ἀναιρεῖται καὶ αὐτὸς διὰ τῆς αὐτῆς ῥομφαίας. Καὶ οὕτως ἀπέθανε Σαοὺλ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ, (αἷς ἠνόμησε τῷ θεῷ, διότι οὐκ ἐφύλαξε τὸν λόγον Κυρίου· καὶ ὅτι ἐπεζήτησε τῇ ἐγγαστριμύθῳ καὶ ἀπεκρίθη αὐτῷ Σαμουὴλ ὁ προφήτης καὶ οὐκ ἐζήτησε Κύριον· καὶ ἀπέκτεινεν αὐτὸν καὶ ἀφαιρεθεῖσα ἡ βασιλεία ἐκ τοῦ γένους αὐτοῦ, μετηνέχθη εἰς Δαυὶδ καὶ τὸ γένος αὐτοῦ). (9) Τί τοίνυν τὸν Σαοὺλ ὤνησε τὸ μέγεθος αὐτοῦ καὶ τὸ ὕψος τοῦ σώματος ἢ τί τὸν Δαυὶδ ἔβλαψε τὸ σμικρὸν καὶ εὐτελὲς τῆς ἡλικίας; Ὁ μὲν γὰρ ὥσπερ τις δρῦς ὑψηλόκομος καρπὸν κακίας ἔφερε καὶ τροφὴν χοίρων· ὁ δὲ οἱάπερ ἄμπελος εὐκλήματοῦσα καὶ καρποφοροῦσα ταῖς παντοδαπαῖς ἀρεταῖς, οἶνον εὐφραίνοντα καρδίαν ἀνθρώπων ἐβλάστανεν· «ἀρετῆς γάρ, φησὶν ὁ μέγας Ἰσίδωρος, ἀπούσης, οὐδὲν ὄφελος τῆς τοῦ σώματος κατασκευῆς»· ὅθεν φησὶν ὁ θεὸς πρὸς τὸν Σαμουήλ. «Μὴ βλέψῃς ἐπὶ τὴν ὄψιν τοῦ α' υἱοῦ Ἰεσσαὶ μηδὲ τὴν ἕξιν τοῦ μεγέθους αὐτοῦ καταπλαγῇς, διότι ἐξουδένωκα αὐτόν· διότι οὐχ ὡς βλέψῃ ἄνθρωπος, ὄψεται θεός· ὁ μὲν γὰρ ἄνθρωπος ὄψεται εἰς πρόσωπον, ὁ δὲ θεὸς εἰς καρδίαν». Οὐ δεῖ τοίνυν οὐδὲ ἐν «τῷ τοῦ σώματος ὕψει φαν-

---

1. 1 Sam. XXIV. 42 — 14. — 5. 2 Sam. III. 1. — 7. Glyc. 329,10 — 11. — 19. 1 Sam. XXXI. 4,5. — 25. Locus nondum editus? — 27. 1 Sam. XVI. 7. — 31. Isidorus I. 265.

τάζεσθαί καὶ μεγαλοφρονεῖν, ἀλλ' ἐν μόνῃ τῇ ἀρετῇ καὶ ταῖς ἐντολαῖς τοῦ θεοῦ σεμνύνεσθαι· ἐπεὶ καὶ» Νεβρὼδ ὁ γίγας πολλοὺς ὑπερίπτατο; καὶ οἱ Ἀσταρὼθ γίγαντες, (καὶ ὁ Ὢγ βασιλεὺς τῆς Βασὰν, ὃς ὑπελείφθη ἐκ τῶν γιγάντων καὶ κατοικῶν ἐν τῇ Ῥαφαῖν ἐν Ἀσταρὼθ, ὧν τε τῶν Ῥαφαῖν ἀπόγονος, οὗ καὶ ἡ κλίνη σιδηρᾶ, τὸ μῆκος ἔχουσα πῆχυς θ΄ καὶ τὸ πλάτος δ΄,) καὶ Γωλιὰθ ὁ ἀλλόφυλος· ὁμοίως Σαούλ, ὁ παντὸς * Ἰσραὴλ ὑπερώμιος· ἀλλ' οὐδὲν αὐτὸν ὤνησε τὸ μέγεθος (τοῦ σώματος μετὰ τῆς πολλῆς ἐκείνης ἰσχύος, ἀρετῆς ἐρήμου ὑπάρχοντος καὶ) τῆς θείας ἐπιεικείας φρονήσαντος ὑψηλότερα». (10)Ὅτι δὲ οὐκ ἀνήγαγεν ἀληθῶς τὸν Σαμουὴλ ἡ ἐγγαστρίμυθος, ὡς οἴονταί τινες, διὰ τὸ τὴν ἱστορίαν ἐν τούτῳ φάναι, (27ᵇ) οὕτως ἀδιαφόρως ἀναγαγεῖν ὀνομάσαι· πρῶτον μὲν δῆλον, τὸ μὴ φέρειν δαίμονα προσβολὴν ἁγίου· εἰ γὰρ ἔτι ἐν σαρκὶ περιόντι δέδοικε, πῶς ἀσωμάτους ἰδεῖν καρτερήσειεν; β΄ δὲ ὅτι οὐκ αὐτὸν ἀνήγαγεν, ἀλλὰ φάσματος ἰδέαν· ὁ γὰρ ἐκ ψυχῆς καὶ σώματος ἡρμοσμένος, οὗτός ἐστι Σαμουὴλ, ὡς καὶ ὁλοσώματον εἶδεν αὐτὸν καὶ ὁ Σαούλ· γ΄ δὲ· ἡ πρόῤῥησις ψευδής ἐστιν ἡ λέγουσα, ὅτι» αὔριον σὺ καὶ υἱοί σου πεσοῦνται»· μετὰ γὰρ ἡμέρας δ΄ ἀπέθανε Σαούλ, ὑποστρέψαντος τοῦ Δαυὶδ ἐκ [τοῦ μετὰ] τῶν Ἀμαληκιτῶν πολέμου· φησὶ γάρ· «Καὶ ὥρθρισε Δαυὶδ τοῦ ἀπελθεῖν πρωῒ καὶ φυλάσσειν τὴν γῆν τῶν ἀλλοφύλων· καὶ οἱ ἀλλόφυλοι ἀνέβησαν ἐπὶ Ἰσραήλ». Καὶ ἐλθόντος τοῦ Δαυὶδ εἰς τὴν γῆν ἐκείνην τῇ τρίτῃ ἡμέρᾳ καὶ καταδιώξαντος τοὺς Ἀμαληκίτας καὶ μετὰ νίκης ὑποστρέψαντος τῇ δ΄ ἡμέρᾳ, ἐπάγει λέγουσα ἡ θεία γραφή. «Καὶ οἱ ἀλλόφυλοι ἐπολέμουν ἐν Ἰσραὴλ καὶ ἔφυγον ἄνδρες Ἰσραὴλ ἐκ προσώπου τῶν ἀλλοφύλων καὶ πίπτουσι τραυματίαι ἐν τῷ ὄρει Γελβούε». «Καὶ βαρύνεται ὁ πόλεμος ἐπὶ Σαοὺλ καὶ τοξεύεται εἰς τὰ ὑποχόνδρια». Εἰ δὲ καὶ ἠλήθευσεν ἡ ἐγγαστρίμυθος, ὥς τινες νομίζουσιν, οὐ μέγα τοῦτο, ὁ γὰρ θεὸς καὶ τὸν δαίμονα ἐν σχήματι φανέντα εἰπεῖν ἄκοντα τὴν ἀλήθειαν κατηνάγκασεν,

---

2. πολλῷ σε ὑπ. Is. — 5. ὃν τὰ τοῦ codex. cf. Deut. III. 1 — 11. — 7. ἀλλ. καὶ Σ. Is. — * τοῦ Is. — 8. αὐτοὺς Is. — τὸ μῆκος τῆς Is. — 9. ἐρήμους codex. — 10. Glyc .322,18 — 330,14. — 12. τοῦτο codex. — 14. δεδοίκα codex. — 18. 1Sam. XXVIII. 19.—20. 1 Sam. XXIX. 11.—25. 1 Sam. XXXI. 1.—27. 1 Sam. XXXI. 3.

ὥσπερ καὶ τὸν Βαλαὰμ εὐλογῆσαι τὸν Ἰσραὴλ ἄκοντα πεποίηκεν· ἔφη γάρ. «Κἂν ἀπελϑῃς πρὸς τὸν ψευδοπροφήτην, ἐγὼ Κύριος ἀποκριϑήσομαί σοι». Τοῦ δέ γε Σαοὺλ ἀναιρεϑέντος, καταλιπὼν Δαυὶδ Ἄγχους τὸν βασιλέα τῶν ἀλλοφύλων καὶ ἐλϑὼν εἰς τὴν Ἰουδαίαν πρὸς τὸν ὁμόφυλον Ἰσραὴλ, βασιλεύει κατὰ ϑείαν εὐδοκίαν. «Πῶς οὖν, φησὶν ὁ μέγας Βασίλειος, ἐν μὲν τῇ ἐπιγραφῇ τοῦ λγ' ψαλμοῦ Ἀβιμέλεχ ὀνομάζεται»; (φησὶ γάρ· «ψαλμὸς τῷ Δαυὶδ, ὁπότε ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐναντίον Ἀβιμέλεχ καὶ ἀπέλυσεν αὐτόν».) Ἡ δὲ ἱστορία Ἄγχους αὐτὸν προσηγόρευσεν. Καὶ φαμέν, ὡς τινα τοιοῦτον λόγον φϑάσαντα εἰς ἡμᾶς ἐκ παραδόσεως *, ὅτι οἱ βασιλεῖς τῶν ἀλλοφύλων κοινὰ μὲν εἶχον ὀνόματα, τὸ Ἀβιμέλεχ, ἴδιον δὲ ἕκαστος ὃ προσηγορεύετο, ὡς καὶ ἐπὶ τῆς ῥωμαϊκῆς ἐστιν ἰδεῖν βασιλείας, Καίσαρας μὲν λεγομένους κοινῶς καὶ Αὐγούστους, ἄλλα δὲ τὰ κύρια αὐτῶν ὀνόματα, ὥσπερ καὶ παρ' Αἰγυπτίοις τὸ Φαραὼ ἐστιν. Φαίνεται γὰρ ** καὶ *** ἐπὶ Ἰωσὴφ καὶ ὁ ἐπὶ Μωϋσέως Φαραὼ μετὰ γενεὰς δ' ἐγερϑεὶς βασιλεὺς Αἰγύπτου καὶ ἐπὶ Σολομῶντος Φαραώ. «Ἔλαβε γάρ, φησί, τὴν ϑυγατέρα Φαραώ». Καὶ ὁ ἐπὶ Ἱερεμίου πάλιν βασιλεὺς τῆς Αἰγύπτου Φαραὼ προσηγορεύετο. Οὕτω δὴ καὶ Ἀβιμέλεχ καὶ κατὰ τοὺς χρόνους ἦν Ἀβραὰμ καὶ ὁ ἐν ταῖς ἡμέραις Ἰσαάκ· καὶ ὁ νῦν λεγόμενος ἐπὶ τῶν χρόνων Δαυίδ». — «Ἀβιμέλεχ εἴρηται ἐν τῇ ἐπιγραφῇ, τὸ κοινὸν μὲν τῆς ἱστορίας λέλεκται, ὅπερ ἰδίως ἦν αὐτῷ ἐκ γενετῆς ἐπικείμενον».

XXXIX. ΑΡΧΗ ΤΗΣ ΒΑΣΕΙΛΕΙΑΣ ΔΑΥΙΔ.

Μετὰ δὲ Σαοὺλ ἐβασίλευσε Δαυὶδ ἐκ φυλῆς Ἰούδα ἔτη μ', ὃς ἐποίησε τὰ ϑελήματα τοῦ Κυρίου πάντα κατὰ τὸ εἰρημένον. 1030 (4125)

---

2. Κἂν ἀπ. π. τ. Κυτιεῖς οὐδὲ ἐκεῖ ἔσται ἀνάπαυσίς σοι Ies. XXIII. 12.? — 7. I. 212. D. ἡ μὲν ἐπ. — ὀνόμαζει — Ps. XXXIV. — 10. Ἀγ. παραδίδωσι τὸν βασιλέα τῶν Γετϑαίων, τοιοῦτον λ. τ. Bas. — * ἔχομεν Bas. — 11. κοινὸν—ὄνομα Bas. — 14. ἑαυτῶν κεκτημένους ὁ. Bas. — 15. τῷ Ced. — τοιοῦτον γὰρ π. Ἀ. ἐ. τὸ Φ. Bas. — ** Φαραὼ λεγόμενος Bas. — *** ὁ Bas. — 16. M. μετὰ Bas. — 17. Φ. καὶ ὁ κατὰ τοὺς χρόνους Σ. Bas. — 1. Reg. III. 1. — 18. Καὶ ὁ κατὰ τοὺς χρόνους Ἱερεμίου Φ. Bas. — 19. Ὁ. δὲ καὶ Bas. — 20. καὶ κατὰ τοὺς χρόνους Ἰσ. Bas. — 21. καιρῶν Bas. B, sed. C. χρον. — 22. Ἀ. δὲ παραδίδοται ὑπὸ τῆς ἱ. Bas. — 25. Ced. 151,15 — 18. — 26. Act. XIII. 22. ex 1 Sam. XIII. 14,11, 35.

«Εὗρον Δαυὶδ, τὸν τοῦ Ἰεσσαί, ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου»· «εὗρον Δαυὶδ τὸν δοῦλον μου (28ᵃ) ἔχρισα αὐτόν· ἡ γὰρ χείρ μου συναντιλήψεται αὐτῷ, καὶ ὁ βραχίων μου κατισχύσει αὐτόν· οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ, καὶ υἱὸς ἀνομίας οὐ προσθήσει τοῦ κακῶσαι αὐτόν· καὶ συγκόψω ἀπὸ προσώπου αὐτοῦ τοὺς ἐχθροὺς αὐτοῦ καὶ τοὺς μισοῦντας αὐτὸν τροπώσομαι· καὶ ἡ ἀλήθειά μου καὶ ὁ ἔλεός μου μετ' αὐτοῦ, καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ»· διὸ δὴ τὸ θεῖον περὶ αὐτοῦ καὶ δι' αὐτοῦ φησίν· «ἐξελάξατο Δαυὶδ τὸν δοῦλον αὐτοῦ καὶ ἀνέλαβεν αὐτὸν ἐκ τῶν ποιμνίων τῶν προβάτων, — ποιμαίνειν Ἰακὼβ τὸν δοῦλον αὐτοῦ καὶ Ἰσραὴλ τὴν κληρονομίαν αὐτοῦ, ὃς καὶ μετ' ἐπιστήμης θείας καὶ εὐσεβείας ἡτοίμασεν αὐτοὺς, καὶ ἐν ταῖς συνέσεσι τῶν χειρῶν αὐτοῦ ὡδήγησεν αὐτούς»· ὅθεν ἐπήγαγεν ἡ γραφὴ λέγουσα. «Καὶ ἐβασίλευσε Δαυὶδ ἐπὶ Ἰσραὴλ καὶ ἦν ποιῶν κρίμα καὶ δικαιοσύνην». (2) «Οὗτος τοίνυν παταξας Μολχὸμ βασιλέα τῶν Σύρων καὶ λαβὼν ἀπὸ τῆς κεφαλῆς αὐτοῦ στέφανον χρυσοῦν μέγαν ἔχοντα λίθους τιμίους· καὶ φορέσας αὐτὸν ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ κόσμος εὐπρεπὴς, ὅπερ δηλῶν πάλιν ἔφη· «Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσονται ὁ βασιλεὺς καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιασθήσεται σφόδρα· τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτὸν, ὅτι πρέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος, ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου· ζωὴν ᾐτήσατό σε καὶ ἔδωκας αὐτῷ· μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου, δόξαν καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ' αὐτόν».

(3) Καὶ οὕτως ἐνισχύσας ὁ μακάριος καὶ κραταιωθεὶς τῆς συμμαχίας τοῦ κρείττονος πεπλήρωκε καὶ τοῦ Ἰσαὰκ τὴν προσηγορίαν καὶ τὴν πρὸς Ἰακὼβ δοθεῖσαν εὐλογίαν, ὡς φησιν Θεοδώρητος, ὅτι «γίνου Κύριος τοῦ ἀδελφοῦ σοῦ» Ἡσαῦ, καὶ παταξας

2. Ps. LXXXIX. 20—24. — 9. Ps. LXXVIII. 70,72. — 13. καὶ ἐποίμανεν ἀ. ἐν τῇ ἀκακίᾳ τῆς καρδίας αὐτοῦ καὶ ἐν τῇ συνέσει τ. χ. ἀ. ὡ. ἀ. Ps. — 14. 2 Sam. VIII. 15. — 15. 2 Sam. XII. 30. — 19. Ps. XXI 1—4. — 21. ψυχῆς 2. — δέησιν Ps. — 30. Quaestiones in Gen. 81; commentarius vero in Ps. de hac origine nihil habet Gen. XXVII. 29.

τὴν Ἰδουμαίαν, καὶ γενόμενοι πάντες οἱ ἐκ τοῦ Ἡσαῦ Ἰδουμαῖοι δοῦλοι τῷ Δαυὶδ, ἐπέϑηκε τῇ προῤῥήσει τὸ τέλος ψάλλων «ἐπὶ Ἰδουμαίαν ἐπιβαλῶ ὑπόδημά μου· ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν»· οἱ γάρ τοι Ἰδουμαῖοι πρόγονον ἔχοντες τὸν Ἡσαῦ ἐξ οὗ καὶ τὴν προ-
5 σηγορίαν ἐσχήκασιν.—Ἐδὼμ γὰρ ὠνομάσϑη, ὅτι τῶν πρωτοτοκίων τὸν φακὸν προτιμήσας —οὐ τῆς προσηγορίας μόνον ἀλλὰ καὶ τῆς μνησικακίας τοῦ προπάτορος ἐγένοντο κληρονόμοι. καὶ ὥσπερ ἐκεῖνος ἐπίμονον ἔσχε κατὰ τοῦ Ἰακὼβ τὴν ὀργὴν ἐπὶ πλεῖστον, ὡς καὶ διαῤῥήδην εἰπεῖν· «ἠγγισάτωσαν αἱ ἡμέραι τοῦ πατρός μου,
10 ἵνα ἀποκτείνω Ἰακὼβ τὸν ἀδελφόν μου», οὕτω καὶ οὗτοι τοὺς ἐξ Ἰακὼβ διηνεκῶς φϑονοῦντες ἐπιβουλαῖς κατ' αὐτῶν ἐχρῶντο μυρίαις, καὶ ἡνίκα μὲν τῆς Αἰγυπτιακῆς ἀπαλλαγέντες δουλείας καὶ ἐλϑεῖν εἰς τὴν ἐπηγγελμένην ἠβουλήϑησαν γῆν, τοῦ Μωϋσέως ἡγουμένου καὶ προστατοῦντος, οὐ μόνον οὐχ ὑπεδέξαντο φιλοφρόνως,
15 ἀλλ' οὐδὲ διελϑεῖν τὴν ἰδίαν συνεχώρησαν χώραν. Καὶ ταῦτα τοῦ ϑείου Μωϋσέως διὰ (28[b]) πρεσβευτῶν παρακαλοῦντος καὶ ὑποσχομένου, ὡς οὐκ ἐκκλίνουσι δεξιὰ ἢ ἀριστερὰ, ἀλλ' ὁδῷ βασιλικῇ βαδιοῦνται, καὶ αὐτοῦ τοῦ ὕδατος τὴν χρείαν ὠνούμενοι. Καὶ μετὰ ταῦτα δὲ συνεχῶς τὴν οἰκείαν δυσμένειαν ἐπεδείκνυντο, ποτὲ μὲν
20 μόνοι κατ' αὐτῶν στρατεύειν ἐπιχειροῦντες, ποτὲ δὲ τοῖς πολεμοῦσιν αὐτοὺς ἐπαμύνοντες προϑύμως. Καὶ μέντοι καὶ ἡνίκα πάλιν Ἀσσύριοι καὶ Βαβυλώνιοι ταῖς κατ' αὐτῶν ἐχρήσαντο προσβολαῖς, μυρία ἔδρασαν εἰς αὐτοὺς δεινὰ, οὐ συμπαρατάττοντες μόνον τοῖς πολεμίοις, ἀλλὰ καὶ λόχους καϑίζοντες, καὶ τοὺς φεύγειν πειρωμέ-
25 νους ϑηρεύοντες, τοὺς δὲ τοῖς ἐχϑροῖς παραδιδόντες, ὅπερ δὴ καὶ αὐτὸς οὗτος ὁ ϑεσπέσιος Δαυὶδ προϑεωρῶν ἐναργῶς ὑπέφηνεν· εἰπὼν γὰρ προφητικῶς περὶ τῆς αἰχμαλωσίας ἐκ προσώπου τοῦ λαοῦ. «Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαϑίσαμεν καὶ ἐκλαύσαμεν ἐν τῷ μνησϑῆναι ἡμᾶς τῆς Σιών»· φάσκει καὶ περὶ τῆς καταλη-
30 ψομένης τοὺς πολεμήσαντας τὸν λαὸν συμφορᾶς· «μνήσϑητι, Κύριε, τῶν υἱῶν Ἐδὼμ τὴν ἡμέραν Ἱερουσαλὴμ τῶν λεγόντων· ἐκκενοῦτε, ἐκκενοῦτε ἕως τῶν ϑεμελίων αὐτῆς», περὶ ὧν ἐπάγει τὰ ἐλεεινὰ πάϑη

---

2. Ps. CVIII. 9. — 9. Gen. XXVII. 41. — 28. Ps. CXXXVII. 1,7. τὸν ποταμὸν cod.

τῶν ἐξανδραποδιζομένων· «καὶ οἵτινες συνηγμένοι εἰσί, μαχαίρᾳ πεσοῦνται, καὶ τὰ τέκνα αὐτῶν ῥάξουσιν ἐνώπιον αὐτῶν». Τίνες μετὰ ταῦτα δράσουσι, πάλιν λέγει. «Ἰδοὺ ἐγερῶ ὑμῖν τοὺς Μήδους, — καὶ τὰ τέκνα ὑμῶν οὐ μὴ ἐλεήσωσιν, οὐδὲ ἐπὶ τοῖς τέκνοις σου φείσονται οἱ ὀφϑαλμοί αὐτῶν, καὶ ἔσται Βαβυλὼν ἡ καλεῖται ἔνδοξος ἀπὸ βασιλέως Χαλδαίων, ὃν τρόπον κατέστρεψε Κύριος Σόδομα καὶ Γόμορρα», λέγει Κύριος. Ὡσαύτως δὲ καὶ περὶ τῆς ἐρημώσεως Βαβυλῶνος ἔφη σχετλιαστικῶς. «Πῶς συνεκλάσϑη καὶ πῶς συνετρίβη (Βαβυλὼν) ἡ σφῦρα πάσης τῆς γῆς». Ἡ μὲν οὖν προφητεία αὕτη οὐ πρὸ πολλῶν γενεῶν ἔστι τῆς τοῦ Ἰσραὴλ αἰχμαλωσίας· πάλιν δὲ μετὰ πολλοῖς ὕστερον ἔτεσιν, φαινόνται οἱ Μῆδοι ἐπιστρατεύσοντες τοῖς Ἀσσυρίοις, παραμυϑία οὖν τῶν αἰχμαλωτιζομένων ἡ προσδοκία τῆς ἐκδικήσεως τῆς μετὰ πολὺ καταληψομένης τὸν λαὸν τὸν κακώσαντα τὸν Ἰσραήλ. Ταύτην γάρ τοι προβλέπων τὴν ἡμέραν τῆς ἀνταποδώσεως ὁ Δαυὶδ, καϑ' ἣν οἱ ἀπὸ τοῦ Μαδαὴ Μῆδοι κρατήσαντες τῶν Βαβυλωνίων καὶ μηδὲ τοῖς νηπίοις αὐτῶν φείσονται, εἰκότως ἔψαλλε «Μακάριος ὃς κρατήσει καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν». (4) Εἶτα πάλιν φησί. «Καὶ ἐπορεύϑη ὁ Δαυὶδ πορευόμενος καὶ μεγαλυνόμενος, καὶ Κύριος παντοκράτωρ μετ' αὐτοῦ, εἶχε δὲ καὶ δυνατοὺς ἄνδρας λζ' τοιούτους ὥστε τὸν μικρὸν αὐτῶν ποιεῖν πρὸς ρ', τὸν δὲ μέγαν πρὸς α, ἐξ ὧν αὐτῶν τὰ ὀνόματα ταῦτα· «Σεβοχᾶ· οὗτος ἐπάταξε τὸν Σὲφ, τὸν τοῦ Ῥαφᾶ ἀπόγονον τῶν γιγάντων». «Ἐλεανᾶν· οὗτος (29ᵃ) ἀνεῖλεν ἄνδρα δυνατὸν παμμεγέϑη, οὗ ἦν τὸ ξύλον τοῦ δόρατος ὡς ἀντίον ὑφαίνοντος. — Ἰωάϑαμ· οὗτος ἀπέκτεινεν ἄνδρα δυνατὸν Χετταῖον, ἔχοντα ἐν ταῖς χερσὶ καὶ τοῖς ποσὶ δακτύλους ἀνὰ ἓξ, τοὺς πάντας κδ'. — «Ἀδινών· οὗτος ἐσπάσατο τὴν ῥομφαίαν αὐτοῦ ἐπὶ ψ' στρατιώτας εἰς μίαν παρεμβολήν» — Ἰσπεβαδᾶ· οὗτος ἐσπά-

---

1. Ies. XIII. 15,16. — 3. μὲν ταῦτα? — Ies. XIII. 17—19 ἐπεγείρω. — 6. καλή τε καὶ ἔνδ. cod.—7. ὁ ϗ Ies.—9. Ier. L. 23 ἐκλ. καὶ σον. ἡ σφ.—17. Ps. CXXXVII. 9.—18. Περὶ τῶν δυνατῶν ἀνδρῶν ὧν εἶχε Δαυίδ. 1. Chr. XII. 10—47? Glyc. 336,10—20. Ced. 115,11—116,4; 151,18—153,9.—22. 2 Sam. XXI. 18.—23. 2 Sam. XXI. 19,20. — 25. Ἰωνάϑαν 2 Sam. XXI. 20—22. — 28, ω' στρ. εἰσάπαξ 2 Sam. XXIII. 8.

σατο τὴν μάχαιραν αὐτοῦ ἐν καιρῷ ἑνὶ ἐπὶ στρατιώτας τ'— Μαρᾶ· οὗτος τῶν ἀλλοφύλων ἐλϑόντων καὶ βουλομένων ἁρπάσαι τὴν μερίδα τοῦ ἀγροῦ, πλήρη οὖσαν φακοῦ, καὶ τοῦ λαοῦ φυγόντες, μόνος ἔστη καὶ τοὺς μὲν ἀλλοφύλους ἐδίωξε, τὴν δὲ μερίδα τοῦ ἀγροῦ ἐφύλαξεν — Ἐλεάζαρ, (οὗτος μερίδος οὔσης κριϑῆς, τῶν ἀλλοφύλων ἐπελϑόντων καὶ τοῦ λαοῦ φυγόντος, μόνος ἐστηλώϑη καὶ τοὺς μὲν ἀλλοφύλους ἔτρεψε, τὴν δὲ κριϑὴν διέσωσεν· τοσοῦτον γὰρ) «ἐπάταξε τοὺς ἀλλοφύλους, ἕως ἡ χεὶρ αὐτοῦ κοπιάσασα, προσεκολλήϑη τῇ μαχαίρᾳ καὶ ὁ λαὸς ἐπέτρεψεν ὀπίσω αὐτοῦ εἰς τὸ σκυλεύειν.—Βαναίας οὗτος πολλὰ μὲν ἐποίησεν ἔργα, ἐπάταξε δὲ καὶ τοὺς υἱοὺς Ἀριὴλ τοῦ Μωάβ, καὶ καταβὰς ἐν ἡμέρᾳ χειμῶνος εἰς λάκκον, ἀπέκτεινε λέοντα, ἀνεῖλε δὲ καὶ ἄνδρα Αἰγύπτιον, ἑπτὰ πήχυς ἔχοντα «δόρυ ὡς ξύλον διαβάϑρας»· ἁρπάσας γὰρ ἀπ' αὐτοῦ τὸ δόρυ, ἐν αὐτῷ ἀπέκτεινεν αὐτόν. — «Ἀβεσσὰ, ὁ ἀδελφὸς Ἰωὰβ», ἐπάταξεν ἄνδρας χ' — καὶ τὸν Ἰεσβὶ ϑέλοντα φονεῦσαι τὸν Δαυίδ· ἦν δὲ ὁ Ἰεσβὶ ἔγγονος τοῦ Ῥαφᾶ δόρυ ἔχοντος σταϑμῶν σίκλων τ'. — Ἠνίκα δὲ ἔτρεχεν ὁ Ἀβεσὰ, ἦν ὡς δορκὰς ἐν τοῖς ὄρεσιν — Τρεῖς δὲ ἀπὸ τῶν λοιπῶν δυνατοὶ, περικυκλωσάντων ποτὲ τῶν ἀλλοφύλων τὴν Βηϑλεὲμ καὶ τοῦ Δαυὶδ ἐπιϑυμήσαντος πιεῖν ἐκ τοῦ φρέατος τῆς Βηϑλεὲμ, διέβησαν οἱ γ' καὶ διαῤῥήξαντες τὴν παρεμβολὴν τῶν ἀλλοφύλων, ὑδρεύσαντο ἐκ τοῦ φρέατος καὶ ἤνεγκαν ὕδωρ τῷ Δαυίδ· ὁ δὲ ϑουμάσας αὐτῶν τὴν δύναμιν καὶ τὴν τόλμην, ἔλαβε τὸ ὕδωρ καὶ ἔσπεισεν αὐτὸ τῷ Κυρίῳ λέγων· «ἵλεως μοι, Κύριε, εἰ αἷμα ἀνϑρώπων τῶν πορευϑέντων ἐν ταῖς ψυχαῖς αὐτῶν πίομαι». — Ὁμοίως δὲ καὶ οἱ λοιποὶ στρατιῶται ὑπῆρχον ἄνδρες δυνατώτατοι καὶ ἀκαταγώνιστοι καὶ πρὸς τοὺς ἐναντίους φοβερώτατοι, ϑυρεοὺς αἴροντες καὶ δόρατα μέγιστα καὶ κοῦφοι τοῖς ποσὶν ὡς δορκάδες ἐπὶ τῶν ὀρέων ὑπάρχοντες καὶ ἡ κατασκευὴ αὐτῶν πάνυ ἔκπληκτος, καὶ τὰ πρόσωπα αὐτῶν ὡς πρόσωπα λεόντων.

1. Σαμαΐα 11,12. — 5. Ἐλεανὰν 9,10. — 10. καὶ ὁ λ. ἐκάϑησε ὀ. ἀ. πλὴν ἐκδιδύσκειν 10. — 8. ἀνὴρ αὐτὸς πολλοστὸς ἔργοις 20,21. — 11. ἡ. τοῦ χιόνος 20. — 15. αὐτὸς ἐξήγειρε τὸ δόρυ αὐτοῦ ἐπὶ τ' τραυματίας 18. — 17. Ἰ. ὃς ἦν ἐν τοῖς ἐκγόνοις τοῦ Ῥ. καὶ ὁ σταϑμὸς τοῦ δόρατος αὐτοῦ τ. σ. XXI. 16. — 2 Sam. XXI. 13—17. — 24. τῶν ἀνδρῶν 17. — 29. Cod. 153,9—154,19.

(5) Τοὺς δὲ γε πολεμιστὰς, οὓς εἶχε πάλιν ὁ Δαυὶδ, ἦν ὁ ἀριθμὸς μυριάδες σλδ', καθὼς ἠριθμήθησαν παρὰ Ἰωὰβ τοῦ ἀρχιστρατήγου· φησὶ γάρ. «Καὶ προσέθετο ὀργῇ Κύριος ἐκκαῆναι ἐν Ἰσραὴλ καὶ ἐπέσεισε τὸν Δαυὶδ ἐν αὐτοῖς λέγων· «πορεύθητι καὶ ἀρίθμησον τὸν Ἰσραὴλ καὶ τὸν Ἰούδα. Καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Ἰωὰβ τὸν ἄρχοντα τῆς ἰσχύος τῆς μετ' αὐτοῦ. Διέλθετε τὰς φυλὰς πάσας Ἰσραὴλ καὶ ἴδε καὶ ἐπίσκεψαι τὸν λαὸν καὶ γνώσωμαι τὸν ἀριθμὸν τοῦ λαοῦ». Καὶ εἶπεν Ἰωάβ. «Προσθείη Κύριος ὁ θεὸς ἐπὶ τὸν λαόν σου».—«Καὶ ἵνα τί ὁ κύριός μου βούλεται ἐν τῷ λόγῳ τούτῳ; Καὶ ὑπερίσχυσεν ὁ λόγος τοῦ βασιλέως πρὸς Ἰωὰβ καὶ πρὸς τοὺς ἄρχοντας τῆς δυνάμεως, καὶ ἀπῆλθε Ἰωὰβ ἐπισκέψασθαι τὸν λαόν». «Καὶ δὴ ἐπισκεψάμενος δέδωκε (29ᵇ) τὸν ἀριθμὸν τῆς ἐπισκέψεως τοῦ λαοῦ τοῦ Δαυίδ. Καὶ ἦν πᾶς Ἰσραὴλ χίλιαι * καὶ ρ' χιλιάδες ἀνδρῶν ἐσπασμένων ῥομφαίαν· καὶ Ἰούδας χιλιάδας υπ' ἀνδρῶν ἐσπασμένον μάχαιραν»· τὸν δὲ Λευὶ καὶ τὸν Βενιαμὶν οὐκ ἠρίθμησε, ὅτι προσώχθησεν ὁ λόγος τοῦ βασιλέως τῷ Ἰωάβ. Καὶ πονηρὸν ἐφάνη ἐναντίον τοῦ θεοῦ τοῦτο». «Καὶ ἐπάταξε καρδία Δαυὶδ αὐτὸν ἐν τῷ ἀριθμῆσαι τὸν λαόν». (6) Καὶ ἀπέστειλε Κύριος Γὰδ τὸν προφήτην πρὸς Δαυὶδ καὶ εἶπε· «Τάδε λέγει Κύριος· ἔκλεξαι σεαυτῷ γενέσθαι σοι, ἢ τρία ἔτη λιμὸν ἐν τῇ γῇ σου ἢ τρεῖς μῆνας φεύγειν σε ἐκ προσώπου τῶν ἐχθρῶν σου ἢ γ' ἡμέρας θάνατον ἐν τῇ γῇ σου». — Καὶ εἶπε Δαυὶδ πρὸς Γάδ. «Στενά μοι πάντοθέν ἐστι καὶ τὰ τρία, πλὴν ἐμπεσοῦμαι δὴ εἰς χεῖρας Κυρίου, ὅτι πολλοὶ οἱ οἰκτιρμοὶ αὐτοῦ· εἰς δὲ χεῖρας ἀνθρώπων μὴ ἐμπέσω». Καὶ ἐξελέξατο Δαυὶδ τὸν θάνατον· καὶ ἡμέραι θέρους πυρῶν, καὶ ἔδωκε Κύριος θάνατον ἐν Ἰσραὴλ ἀπὸ πρωΐθεν ἕως * ἀρίστου· καὶ ἀπέθανον ἐκ τοῦ λαοῦ χιλιάδες ο'. Καὶ ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ὁ ἄγγελος Κυρίου ἐν Ἱερουσαλὴμ τοῦ διαφθεῖραι ἐν αὐτῇ. — Καὶ εἶπε Δαυὶδ πρὸς τὸν θεὸν ἐν τῷ ἰδεῖν αὐτὸν τὸν ἄγγελον τύπτοντα ἐν τῷ λαῷ. «Ἰδοὺ, ἐγὼ ἡμάρτηκα καὶ

1. Cod. 153,9—154,19.—3. 2 Sam. XXIV. 1—4.—* χιλιάδες 1 Par. XXI. 5, χιλιάδες ρ' καὶ χβ' Leo. ω' χιλιάδες 2 Sam. XXIV. 9. — 14. τετρακόσια ἑβδόμηκοντα 1 Par. φ' χ. 2 Sam. — 16. 1 Par. XXI. 6 κατίσχυσε. — 17. 2 Sam. XXIV. 10. — 18. Cod. 160,6 — 19. — 19. 2 Sam. XXIV. 12—17. — 26. ὁρισμοῦ 15. — * ὥρας.

ἐγώ εἰμι ὁ ποιμὴν ὁ κακοποιήσας· καὶ οὗτοι τὰ πρόβατα τί ἐποίησαν; γενέσθω δὴ ἡ χείρ σου ἐν ἐμοί, Κύριε, καὶ ἐν τῷ οἴκῳ τοῦ πατρός μου». Καὶ παρακληθεὶς ὁ Κύριος εἶπε πρὸς τὸν ἄγγελον. «Ἄνες τὴν χεῖρα σου».—«Καὶ ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον Δαυὶδ καὶ ἀνήνεγκεν εὐθὺς ὁλοκαυτώσεις· καὶ ἐπήκουσεν αὐτοῦ ὁ Κύριος καὶ συνεσχέθη ἐπάνω Ἰσραὴλ ἡ θραῦσις». (7) Ταῦτα δὲ φησὶ πάλιν Θεοδώρητος οὐκ ἀπεικῶς συμβεβηκέναι, ἀλλ' οἰκείας παρανομίας ἔτισε δίκας ὁ λαὸς ἐπὶ προφάσει· καταλιπὼν γὰρ τὸν εὐσεβῆ καὶ θεῖον βασιλέα, τυράννῳ καὶ πατραλῴῃ παιδὶ συνεστράτευσεν. Οὕτω δὲ καὶ διὰ τὴν τοῦ Σαοὺλ εἰς τοὺς Γαβαωνίτας ἀναίρεσιν ἐπαιθεύθη διὰ λιμοῦ μετὰ τὴν ἐκείνου τελευτήν· ὁ μὲν γὰρ λαὸς ἅπας καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ, πεποίηκε τὰς πρὸς ἐκείνους συνθήκας τοὺς Γαβαωνίτας· ἐκοινώνησε δὲ τῶν ὅρκων καὶ Ἐλεάζαρ ὁ ἀρχιερεύς. Ἔδει τοίνυν τοὺς ἀπογόνους τῶν ὠμοκότων μὴ παραβῆναι τὸν ὅρκον καὶ τὰς σπονδάς, ἀλλὰ πεῖσαι μᾶλλον τὸν παρανομοῦντα βασιλέα τὰς πρὸς αὐτοὺς φυλάξαι συνθήκας· πληροῦται δὲ εἰς αὐτοὺς τὸ παρὰ τοῦ Νῶε πρὸς τὸν προπάτορα αὐτῶν Χαναὰν εἰρημένον. «Ἐπικατάρατος Χαναὰν παῖς, οἰκέτης ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ». Διὸ φησὶ πρὸς αὐτοὺς Ἰησοῦς μετὰ τὴν φανέρωσιν τῆς πανουργίας αὐτῶν. «Καὶ νῦν ἐπικατάρατοί ἐστε· οὐ μὴ ἐκλείπῃ ἐξ ὑμῶν δοῦλος οὐδὲ ξυλοκόπος καὶ ὑδροφόρος ἐμοὶ καὶ τῷ θεῷ μου». «Κατέστησεν αὐτοὺς Ἰησοῦς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ξυλοκόπους καὶ ὑδροφόρους πάσῃ τῇ συναγωγῇ καὶ τῷ θυσιαστηρίῳ τοῦ θεοῦ». Διὰ τοῦτο ἐγένοντο οἱ κατοικοῦντες Γαβαὼν ξυλοκόποι καὶ ὑδροφόροι τῷ θυσιαστηρίῳ τοῦ θεοῦ καὶ πάλιν τῇ συναγωγῇ ἕως τῆς ἡμέρας ταύτης καὶ εἰς (30°) τὸν τόπον οὗ ἂν ἐκλέξεται Κύριος». Ἐπεὶ οὖν ταῦτα παρελογίσαντο, καὶ μετὰ τὴν ἐκείνου τελευτὴν ὑπέστησαν τὴν διὰ τοῦ λιμοῦ παιδείαν, διδάσκει οὖν ἡμᾶς ὁ λόγος μὴ παραβαίνειν τὰς ἐπὶ θεοῦ γενομένας μεθ' ὅρκων συνθήκας, κἂν εἰς ἄλλων ὠφέλειαν ἡ παράβασις γίνηται. Ἀγνοῶν δὲ τὴν αἰτίαν

---

4. 2 Sam. XXIV. 25. — 6. Cod. 154.19 — 156,3. — 9. πατραλύα codex. — 14. ὁμωμ. cod. — 18. Theodoreti Quaest. in Gen. 58 Ἡ δὲ τοῦ Χαναὰν δουλεία ἐν τοῖς Γαβαωνίταις τὸ τέλος ἐδέξατο, in Ios. 12. Gen. IX. 25. — 20. Ios. IX. 23. — 22. Ios. IX. 27. — 26. οὗ ἂν ἐξελ. cod. — 27. Glyc. 334,14—335,1.

τῆς ϑεηλάτου ὀργῆς ὁ Δαυὶδ καὶ τῆς πληγῆς τοῦ λιμοῦ τὸν ϑεὸν ἠρώτησε καὶ μαϑὼν ὡς ἕνεκεν τῆς τῶν Γαβαωνιτῶν ἀδίκου ἀναιρέσεως εὐϑύνας ἐπράττοντο, καὶ τοῖς ἐκείνοις ἐχρήσατο κριταῖς τοῖς ἠδικημένοις λέγων. «Τί ποιήσω ὑμῖν; καὶ ἐν τίνι ἐξιλάσωμαι»; Καὶ φασίν· «οὐκ ἐστιν ἡμῖν ἀργύριον οὐδὲ χρυσίον μετὰ Σαοὺλ καὶ τοῦ οἴκου αὐτοῦ καὶ οὐκ ἐστιν ἡμῖν ϑανατῶσαι ἄνδρα ἐκ παντὸς Ἰσραήλ· ἀλλ' ὁ ἀνὴρ ὁ διώξας ἡμᾶς καὶ συντελέσας, καὶ ὡς παρελογίσατο ἡμᾶς ἐξολοϑρεῦσαι, ἀφανίσαι ἀφανίσωμεν αὐτὸν, τοῦ μὴ ἀντικαϑίστασϑαι παντὶ ὁρίῳ Ἰσραήλ, καὶ δοϑήτωσαν ἡμῖν ἄνδρες ζ' ἐκ τῶν υἱῶν αὐτοῦ καὶ ἐξιλασόμεϑα ἐν αὐτοῖς Κυρίῳ ἐν τῷ βουνῷ τοῦ Σαούλ». — Ἐν ἐκείνῳ οὖν τῷ χωρίῳ τοὺς ἐκδοϑέντας αὐτοῖς ἀνεσκολόπισαν ἄνδρας, ἐν ᾧ τὰς παρανομίας ἐκείνας ἐτόλμησε μιαιφονίας. Οὗτοι δὲ ἦσαν τοῦ Σαοὺλ δύο μὲν υἱοὶ νόϑοι, πέντε δὲ υἱῶν αὐτοῦ ὑστέρων· τῆς οὖν τιμωρίας γεγενημένης ἵλεως ὁ δεσπότης ἐγένετο καὶ ἡ γῆ τὸν ἐξ ἔϑους καρπὸν ἔδωκεν. (8) Ἡμεῖς δὲ μανϑάνομεν διὰ τούτων, ὡς γένους ὁ ϑεὺς οὐκ οἶδε διαφοράν, ἀλλὰ τοῖς ἠδικημένοις κἂν ἀλλογενεῖς ὦσιν, ἐπαμύνει δικαίως, εἰ καὶ παρὰ πίδας οὐκ ἀπαιτεῖ δίκην. Ἀμέλει γὰρ καὶ τότε μακροϑυμήσας ἔτη μ', οὕτω τὰς εὐϑύνας εἰσπράττεται νῦν ἐπὶ τοῦ Δαυὶδ· αὔξει δὲ αὐτῶν τὴν κατηγορίαν τὸ τὸν μὲν Σαοὺλ καταψηφισϑέντα καὶ τῆς ϑείας χάριτος γυμνωϑέντα μὴ καταλιπεῖν μέχρι τέλους ζωῆς αὐτοῦ· τὸν δὲ μυρίων αὐτοῖς ἀγαϑῶν γενόμενον πρόξενον καὶ τὸ τῶν ἀλλοφύλων καταλύσαντα ϑράσος καὶ τὸν Ἀμαλὴκ πανολεϑρίᾳ μὲν παραδώσαντα· Ἰδουμαίους δὲ καὶ Μωαβίτας καὶ Ἀμμανίτας καὶ Ἀσσυρίους ἑκατέρους χειρωσάμενον καὶ δουλωσάμενον καὶ φόρους ἀναγκάσαντα φέρειν καὶ προφητικῆς χάριτος ἀπολαύσαντα, οὐ μόνον καταλιπεῖν, ἀλλὰ καὶ ἀντιπαρατάξασϑαι καὶ δρᾶσαι τὰ πολεμίων καὶ συμπράξαι μιαιφόνῳ καὶ παρανόμῳ τέκνῳ. Ὅϑεν ὁ δίκαιος κριτὴς αὐτοὺς δίκας εἰσεπράξατο διὰ τῆς ὑποϑέσεως Δαυίδ. Καὶ γὰρ αὐτὸν ἠδίκησαν, καϑὼς δηλοῖ καὶ ἡ ἱστορία λέγουσα». Καὶ προσέϑετο ὀργῇ Κύριος ἐκ-

---

4. 2 Sam. XXI. 3—6. — 8. ὥσπερ ἐλ. cod. ὃς παρελ. LXX. — 11. ἐξηλιάσωμεν αὐτοὺς τῷ κῷ ἐν τῷ Γαβαὼν Σαοὺλ LXX. 2 Sam. XXI. 9. — 20. αὔξη cod. — 27. κατέλειπον cod. — 31. 2 Sam. XXIV. 1 ὀργὴν ἐ. ἐν Ἰῆλ.

καῆναι τὸν Ἰσραήλ». (9) Οὐ μὴν δέ, ἀλλὰ καὶ αὐτὸς διὰ τῆς ἐπαναστάσεως τοῦ υἱοῦ δίκας ἐναργεῖς ἔτισε τοῦ φόνου καὶ τῆς μοιχείας κατὰ τὴν ϑείαν πρόῤῥησιν· φησὶ γάρ. «Τάδε λέγει Κύριος»; «Ἰδοὺ ἐγὼ ἐγερῶ κακὰ ἐπὶ σὲ ἐκ τοῦ οἴκου σου» καὶ τὰ ἑξῆς. Ὅσον τοίνυν ὀνίνησι ϑλῖψις καὶ συμφορὰ καὶ μέριμνα, ἐκ ταύτης τῆς ἱστορίας μανϑάνομεν. Διωκόμενος γὰρ ὑπὸ τοῦ Σαοὺλ καὶ Ἀβεσαλὼ τοῦ υἱοῦ αὐτοῦ ὁ ϑεῖος οὗτος ἀνὴρ (30^b) — τὸν Δαυὶδ λέγω— πᾶσαν κατόρϑου φιλοσοφίαν· καὶ ταῖς φροντίσι τῶν πολεμίων ἐνασχολῶν τὴν διάνοιαν, κατὰ τοὺς ἱεροὺς ἐπολιτεύετο νόμους· ἀνακωχῆς δὲ τυχὼν ὀλίγης, τὸν ὅλισϑον ἐκεῖνον ὑπέμεινεν.

(10) «Ἐγένετο δὲ ἐν τῷ καιρῷ τῆς δείλης, καὶ ἀνέστη Δαυὶδ ἀπὸ τῆς κοίτης αὐτοῦ καὶ περιπατῶν ἐπὶ τοῦ δόματος τοῦ οἴκου τῶν βασιλειῶν καὶ εἶδε γυναῖκα λουομένην ἀπὸ τοῦ δόματος, καὶ ἡ γυνὴ καλὴ τῇ ὄψει σφόδρα». (Πολὺς ὁ πόλεμος καὶ σφοδρὸς, ἄνεσις καὶ τρυφὴ καὶ βασιλείας ἐξουσία καὶ σώματος ὥρα, καὶ μετὰ κόρον τρυφῆς ἡ προσβολὴ, ὅτε καὶ τοῖς μὴ βουλομένοις ὁ σπινϑὴρ ὑποτύφεται, οἷον εἰς συμμαχίαν καὶ ἀνδρείαν τὴν τρυφὴν δεχόμενος. Δῆλος δέ ἐστιν, ὅτι σφοδρότερον κατὰ φύσιν εἶχε τῆς ἐπιϑυμίας τὸ πάϑος· οὐ γὰρ ἂν πλείοσιν ἐχρήσατο γυναιξὶν, εἰ μὴ τῆς φύσεως τοῦτο δρᾶσαι βιασαμένης, ὅϑεν φησὶν ὁ μέγας Ἀναστάσιος Θεουπόλεως. «Ἰστέον, ὅτι πολλὰ καὶ διάφορά εἰσι παρὰ τῷ δικαιοκρίτῃ ϑεῷ τὰ κρίματα καὶ αἱ ἀνταποδόσεις, ἃς μέλλει ποιεῖν ἐπὶ τῶν εἰς τὸ σῶμα ἁμαρτανόντων» καὶ ἀκρατῶς τε καὶ ἀφειδῶς ἐξοιστρωμένων καὶ λαγνευόντων· εἰσὶ γὰρ καὶ χώραι ϑερμαί τινες, αἷς πεφύκασιν ἐκ ϑερμότητος ἀέρων ἢ καὶ ὑδάτων καὶ τροφῶν τὰ σώματα διεγείρειν πρὸς ἀκρατεῖς μίξεις, καϑάπερ Αἴγυπτος καὶ Αἰϑιοπία καὶ Ἰεριχὼ, Γομορρίτης ἐνορία καὶ ἡ Περσικὴ χώρα. Εἰσὶ δὲ πάλιν καὶ γένη πρὸς ἀσέλγειαν καὶ ἀκολασίαν εὐρίπιστα μᾶλλον, ἃ καὶ ἐκ συνηϑείας ἢ καὶ ἐξ ἑτέρας αἰτίας ῥυπαρώτερα καὶ ἀκολαστότερα ὑπάρχουσιν, ὡς τὰ τῶν Περσῶν καὶ Ἀσσυρίων.

---

1. Glyc. 332,9 — 333,18, 335,2 — 7. — 3 2 Sam. XII. 11. — 11. 2 Sam. XI. 2 Cod. 156,4—7. — 15. ὅρα cod. — 21. Χρὴ γινώσκειν ὅτι δύο εἰσὶν Ἀναστάσιοι συγγραμματαποιήσαντες, ὅτε Σιναΐτης καὶ ὁ νυνὶ μνημονευόμενος Θεουπόλεως ἤτοι Ἀντιοχείας Quaestio VIII. Maxima Bibliotheca IX. 968. B.

Ἀλλ' εἰ καὶ οὗτος ὁ κατὰ θεὸν ζῶν ἄνθρωπος ἐφέλκεται καὶ διὰ τοιαύτην αἰτίαν πρὸς ἁμαρτίαν, ἀλλὰ δεῖ τὴν φύσιν ἐκβιάζεσθαι κατὰ πάντα τρόπον· βιαστὴ γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, «καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν», καὶ «χρὴ μέχρις αἵματος πρὸς τὴν ἁμαρτίαν ἀνταγωνίζεσθαι»· «οὐδεὶς γάρ, φησί, στεφανοῦται ἐὰν μὴ νομίμως ἀθλήσῃ».) (11) (Διακύψας τοίνυν ἁπλοϊκῶς, οὐ περιέργως) καὶ ἰδὼν τὸ γύναιον λουόμενον, οὐκ ἔφυγε τὴν θέαν ὡς ὀλεθρίαν, ἀλλὰ καθελχθεὶς τῷ τῆς ὥρας δελέατι, τῷ τῆς ἁμαρτίας περιέπεσεν ἀγκίστρῳ. Ὅμως οὐκ ἐκ πονηρᾶς γνώμης τε καὶ συνηθείας, ἀλλ' ἐκ περισταίσεως καὶ συναρπαγῆς τὴν ἄγραν τε καὶ πληγὴν ἐδέξατο. Καὶ ἑτέρου πάθους χείρονος ἴαμα τάχα γέγονεν, ἐπάρσεως, ὅπερ δὴ καὶ αὐτὸς ὑπεμφαίνων ἔλεγεν. «Ὑψώθεις δὲ ἐταπεινώθην καὶ ἐξεπορήθην»· καὶ «ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου· οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα — ἀπέστρεψας δὲ τὸ πρόσωπόν σου, καὶ ἐγενήθην τεταραγμένος»· «ἀλλ' ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου». (12) Τὰ γάρ τοι σφάλματα καὶ ἐλαττώματα τῶν εὐλαβῶν γίνονται πολλάκις κατ' οἰκονομίαν πρὸς τὸ συμφέρον, τοῦ θεοῦ συγχωροῦντος ἐνίοτε ὀλισθῆσαι εἰς θεραπείαν ἐπάρσεως προλαβούσης· οἷόν ἐστι τὸ ὑπὸ τοῦ μεγάλου Πέτρου εἰρημένον καὶ ἐπ' αὐτοῦ γεγενημένον, καὶ ἁπλῆς (31ᵃ) ῥᾳθυμίας ἦν, οὐ κακοηθείας ἡ ἁμαρτία, ἥτις αὐτὸν συγγνώμης μετασχεῖν παρεσκεύασεν. Οἱ μὲν γὰρ τῶν ἀνθρώπων ἀπὸ κακίστης ἕξεως καὶ συνηθείας ἁμαρτάνουσιν· οἱ δὲ κατὰ συναρπαγὴν καὶ παρὰ προαίρεσιν, ὥς φησιν ὁ σοφός· «Ἔστιν ὀλισθαίνων, καὶ οὐκ ἀπὸ ψυχῆς καὶ τίς οὐχ ἥμαρτεν;» (13) Διὸ τὰς χαλεπὰς ἀπειλεῖ τιμωρίας ὁ τῶν ψυχῶν ἰατρὸς καὶ ἐπάγει αὐτάς, αἵτινες λαμπρότερον ἔδειξαν τοῦ θαυμαστοῦ βασιλέως τὸ κλέος· αἱ γὰρ θεηλατοι πληγαὶ τὴν νόσον ἐκείνην ἐξίλασαν καὶ τὴν προτέραν ὑγίειαν ἀπέδωκαν. Καὶ γὰρ παντοδαπαῖς αὐτὸν, οἷα δὴ πάνσοφος ἰατρὸς, παιδείαις ἀπέδωκεν μετὰ τὴν ὁμολογίαν τῆς ἁμαρτίας· εἰρηκὼς γὰρ ὁ προφήτης· «οὐ μὴ ἀποθάνῃς» ἐπήγαγε· «πλὴν παροργίζων παρώρ-

1. οὕτως? — 4. Mt. XI. 12. — Heb. XII. 4. — 5. 2 Tim. II. 5. — 6. Ced. 156,7—159,21. — 12. Ps. LXXXVIII. 15. — 13. XXX. 6. — 15. Ps. CXVIII. 71.— ᵃ σου Ps. — 20. ἁπλῶς? ἁπλ. cod. — 24. Sir. XIX. 16. — 31, 2 Sam. XII. 14. πλὴν ὅτι π. π. τοὺς ἐχθροὺς κῦ.

γισας ἐν τοῖς ὑπεναντίοις τὸν Κύριον». Καὶ πρῶτον μέντοι τὸ μοιχαλίδος παιδίον ἐπάταξεν ὁ Θεός, ἔπειτα δὲ καὶ τὴν τοῦ υἱοῦ Ἀβεσαλὼμ κατ' αὐτοῦ ἐπαναστασιν παραδηλῶν φησί. «Καὶ νῦν οὐκ ἐξαρθήσεται ῥομφαία ἐκ τοῦ οἴκου σου». Εἰκότως οὖν ἔλεγε· «Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με».

(14) Ὅταν τοίνυν ἴδῃς ἁμαρτωλὸν τινὰ πλουτοῦντα καὶ εὐημεροῦντα, ὑγιαίνοντα καὶ μηδὲν κακὸν πάσχοντα, στέναξον, δάκρυσον, πένθησον αὐτὸν, ὡς προσῆκεν εἰς κόλασιν ταῦτα αὐτῷ συμβαίνοντα· ὥσπερ γὰρ οἱ πολλὰ ἁμαρτάνοντες καὶ μὴ μετανοοῦντες, «θησαυρίζουσιν ἑαυτοῖς ὀργῆς» θησαυρὸν, οὕτως οἱ μετὰ τὸ μηδὲν κολάζεσθαι καὶ εὐπραγίας ἀπολαύοντες, μείζονα τὴν τιμωρίαν ὑποστήσονται. Καὶ δῆλον. Οὐκ ἀπὸ τῶν μελλόντων μόνον, ἀλλὰ καὶ ἀπὸ τοῦ παρόντος βίου τὸ ὑπόδειγμα. Ὁ γάρ τοι Δαυὶδ οὗτος μετὰ τὴν ἁμαρτίαν ἐκείνην ἐνεκαλεῖτο σφοδρότερον ὡς πολλῆς ἀπολαύσας ἀδείας καὶ τοιοῦτος γενόμενος· φησὶ γάρ. Ὀνειδίζων αὐτὸν ὁ Θεὸς διὰ Νάθαν τοῦ προφήτου λέγει οὕτως. «Ἐγὼ ἔχρισά σε βασιλέα ἐπὶ Ἰσραὴλ καὶ ἐῤῥυσάμην σε ἐκ χειρὸς Σαοὺλ καὶ ἔδωκά σοι τὸν οἶκον τοῦ Κυρίου σου — καὶ τὸν οἶκον Ἰσραὴλ καὶ Ἰούδα, καὶ εἰ μικρόν ἐστι, προσθήσω σοι καὶ πάντα ταῦτα. Καὶ τί ὅτι οὐκ ἐφύλαξας τὴν ἐντολήν μου;» Τότε γοῦν ἀκούσονται καὶ οἱ εὐημεροῦντες νῦν καὶ τὰς ἐντολὰς Κυρίου μὴ φυλάττοντες· «Ἀμὴν, λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς, πορεύεσθε εἰς τὸ πῦρ τὸ ἐξώτερον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ». Καὶ ταῦτα μὲν εἰς τοσοῦτον παρεκβατικῶς εἴρηται.) (15) Ὁ δὲ μακάριος Δαυὶδ πρὸ τῆς τελευτῆς αὐτοῦ καλέσας τὸν υἱὸν αὐτοῦ Σολομῶντα, εἶπεν αὐτῷ»· Σολομὼν, τέκνον μου, ἐμοὶ ἐγένετο ἐπὶ ψυχὴν τοῦ οἰκοδομῆσαι οἶκον Κυρίου τοῦ Θεοῦ, καὶ ἐγένετο λόγος Κυρίου ἐπ' ἐμὲ λέγων· «Αἷμα εἰς πλῆθος ἐξέχεας καὶ πολέμους ἐποίησας μεγάλους καὶ οὐκ οἰκοδομήσεις οἶκον τῷ ὀνόματί μου. Ἰδοὺ, υἱὸς τίκτεταί σοι καὶ ἀναπαύσω αὐτὸν ἐκ πάντων τῶν ἐχθρῶν αὐτοῦ τῶν ὄντων

---

3. 2 Sam. XII. 10. — 5. Ps. CXVIII. 18. — 9. προσθήκη vel προκθήκην? — 11. Rom. II. 5. — 16. 2 Sam. XII. 7 — 9. — 17. λέγων codex. — 22 Mt. XXV. 41. — 27. 1 Par. XXII. 7—10.

κυκλόϑεν, ὅτι Σολομὼν ὄνομα αὐτῷ. Καὶ οὗτος οἰκοδομήσει οἶκον τῷ ὀνόματί μου». «Καὶ νῦν ἀνδρίζου καὶ ἴσχυε. Καὶ ἰδοὺ ἐγὼ κατὰ πτωχείαν μου ἡτοίμασα εἰς οἶκον Κυρίου (31[b]) χρυσίου τάλαντα χιλιάδας ρ' καὶ ἀργυρίου τάλαντα χιλίας χιλιάδας καὶ χαλκὸν καὶ σίδηρον, οὗ οὐκ ἐστὶν ἀριϑμός. Καὶ πρὸς ταῦτα πρόσϑες εἰς οἰκοδομὴν ναοῦ Κυρίου». «Καὶ ὁ Δαυὶδ πρεσβύτης καὶ πλήρης ἡμερῶν. Καὶ βασιλεύσας τὸν υἱὸν αὐτοῦ Σολομῶντα» πάλιν εἶπε πρὸς αὐτὸν ἐνώπιον τοῦ λαοῦ· «Ἰδοὺ, ἡτοίμασα εἰς οἶκον τοῦ ϑεοῦ χρυσίον, ἄργυρον, χαλκὸν, σίδηρον, λίϑους πολυτελεῖς καὶ ποικίλους καὶ πάντα λίϑον τίμιον καὶ πρὸς τούτοις δέδωκα ἐκτὸς ὧν ἡτοίμασα εἰς τὸν οἶκον τὸν ἅγιον τάλαντα τρισχίλια τοῦ ἐκ Σουφὴρ καὶ ἑπτάκις χίλια τάλαντα ἀργύρου δοκίμου ἐξαλειφῆναι ἐν αὐτοῖς τοὺς τοίχους τοῦ ἱεροῦ». Οἱ δὲ ἄρχοντες τῶν υἱῶν Ἰσραὴλ ἔδωκαν εἰς τὰ ἔργα τοῦ οἴκου τοῦ ϑεοῦ χρυσίου τάλαντα ἑπτάκις χίλια καὶ ἀργύριον καὶ λίϑους τιμίους καὶ χαλκὸν ἄπειρον. Καὶ εὐλογήσας τὸν λαὸν ὁ Δαυὶδ καὶ ἀποστείλας, αὖϑις τὸν υἱὸν αὐτοῦ προσκαλεσάμενος λέγει. «Καὶ νῦν, τέκνον Σολομὼν, γνῶϑι τὸν ϑεὸν τῶν πατέρων σου καὶ δούλευε αὐτῷ ἐν ὅλῃ καρδίᾳ καὶ ψυχῇ ζεούσῃ, ὅτι καρδίας πάσας ἐτάζει Κύριος καὶ πᾶν ἐνϑύμημα γινώσκει· καὶ ἐὰν ζητήσῃς αὐτὸν, εὑρεϑήσεταί σοι, καὶ ἐὰν καταλείψῃς αὐτὸν, εἰς τέλος καταλείψεταί σε». «Καὶ ἔδωκε Δαυὶδ Σολομὼν, τῷ υἱῷ αὐτοῦ, παράδειγμα τοῦ ναοῦ παντὸς καὶ τῶν χερουβὶμ τῶν διαπετασμένων ταῖς πτέρυξιν * σκιαζόντων ἐπὶ τῆς κιβωτοῦ διαϑήκης Κυρίου, πάντα ἐν γραφῇ *** Κυρίου δέδωκε Δαυὶδ Σολομὼν, τῷ υἱῷ αὐτοῦ λέγων. «Ἴσχυε καὶ ἀνδρίζου, ὅτι Κύριος ὁ ϑεός μου μετὰ σοῦ». «Καὶ μετὰ ταῦτα ἐτελεύτησε Δαυὶδ ἐν γήρει καλῷ καὶ πλήρης ἡμερῶν, πλούτῳ καὶ δόξῃ» καὶ εὐσεβείᾳ, ἐτῶν ο'. φησὶ γάρ. «Καὶ ἐγένετο μετὰ τὸ ἀποϑανεῖν τὸν Σαοὺλ, καὶ ἔρχονται ἄνδρες τῆς Ἰουδαίας ἐν Χεβρὼν καὶ χρίουσιν αὐτὸν εἰς βασιλέα ἐπὶ πάντα τὸν Ἰσραὴλ», ὃς ἦν ἐτῶν λ' ἐν τῷ βασιλεύειν αὐτὸν καὶ ἐβασίλευσεν

---

2. 1 Par. XXII. 13. — 4. τάλαντόν ἐστι λίϑραι ρκε', Glossa marg. — 6. 1 Par. XXIV. 1.—8. 1 Par. XXX. 2—4. — 15. 1 Par. XXX. 7? — 17. Par. XXIX. 9. — 21. 1 Par. XXVIII. 1—20.—* ταῖς cod. — ** χειρὸς 1. Par.—25. 1 Par. XXIX. 20.— 26. 1 Par. XXIX. 28. Cod. 158 22—159,7. — 27. 2 Sam. II. 4. — 30. Cod. 116,6.

ἔτη μ'. Ἀλλὰ τῆς μὲν βασιλικῆς χρίσεως διὰ Σαμουὴλ ἠξιώϑη· τὰ δὲ τοῦ λαοῦ, ἀναγόρευσις, καϑὼς ἡ ἱστορία χρίσεις διαφόρους ὠνόμασε. (17) Τελευτήσας τοίνυν ἐτάφη ἐν τῇ πόλει Ἱερουσαλὴμ εἰς τὸ μέγιστον μνῆμα, ὃ κατεσκεύασεν ὁ σοφώτατος αὐτοῦ υἱὸς Σολομὼν ἀντρῶδες ἔχον τὸ σχῆμα διὰ βάϑους μεμηχαμένον πρὸς τὸ μὴ φαίνεσϑαι, τὴν Σολομώντιον δηλοῦν σοφίαν καὶ πολυτέλειαν, ἐν ᾧ δὴ καὶ συγκατώρυξε τῷ πατρὶ πολλὰς μυριάδας ταλάντων χρυσίου, καϑὼς φησι Ἰώσηπος, ὃ καὶ δῆλον ἐκ τῶν εἰς ὕστερον γενομένων, ὁ γάρ τοι» ἀρχιερεὺς Ὑρκανὸς, πολιορκουμένης τῆς πόλεως ὑπ' Ἀντιόχου τοῦ Δημητρίου παιδὸς — ἀνοῖξας τὸ μνῆμα τάλαντα τρισχίλια ἐκεῖϑεν ἐξεφόρησεν, μεϑ' ὃν Ἡρώδης γνοὺς ὡς Ὑρκανὸς τοῦτο πεποίηκεν, ἠνόιξε καὶ αὐτὸς τὸν τάφον καὶ χρήματα μὲν οὐχ εὗρεν, κόσμον δὲ χρύσιον καὶ κειμήλια πάμπολλα ἀνείλατο. Πειραϑέντος δὲ αὐτοῦ ἐνδότερον χωρεῖν, οὗ τὰ σώματα Δαυὶδ καὶ Σολομῶνος ἐτέϑησαν, πῦρ ἐξελϑὸν, δύο τῶν δορυφόρων αὐτοῦ διέφϑειρεν.

XL. ΠΕΡΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΣΟΛΟΜΩΝΟΣ.

Μετὰ γοῦν Δαυὶδ ἐβασίλευσε Σολομὼν, ὁ υἱὸς αὐτοῦ, ἔτη μ', ὁ τὴν πανϑαύμαστον (32ª) καὶ ϑεόσδοτον σοφίαν τὴν ὑπὲρ ἄνϑρωπον ὁ ϑαυμάσιος οὗτος δεξάμενος. (2) Καὶ ἐν τῷ τετρακοσιοστῷ καὶ μ' ἔτει τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ, ἐν τῷ δ' ἔτει τῆς βασιλείας αὐτοῦ, ἐν τῷ α' μηνὶ Νισὰν, ὑπάρχων ἐτῶν λγ' συνήγαγεν «ἐργάτας, χιλιάδας π', καὶ λατόμους, χιλιάδας υ' ἐν τῷ Λιβάνῳ ὄρει καὶ ἐπιστάτας ςχ'», προστησάμενος ἀπήρξατο τῆς οἰκοδομῆς «ἐν ὄρει οὗ ὤφϑη Κύριος Δαυὶδ, τῷ πατρὶ αὐτοῦ, ἐν ἅλῳ Ὀρνᾶ τοῦ Ἰεβουσαίου, ἐν ᾧ καὶ πρότερον Ἀβραὰμ ϑυσιαστήριον ᾠκοδό-

990 (4165)

987 (4168)

---

2. χρίσις διαφόρως ὀνόμα cod. — 5. ἀ. διὰ β. π. τὸ ὁρᾶσϑαι μ. Ced. 173,3—12. 8. Ios. A. 7. XV. 3 πλοῦτον πολὺν καὶ ἄφϑονον—9. πολιορκούμενος ὑπ' Ios.—16. μετὰ δὲ τοῦτον ἐτῶν πολλῶν διαγενομένων πάλιν Ἡ. ὁ βασιλεὺς ἕτερον ἀ νοῖξας οἶκον ἀνεῖλε χ. πολλὰ. ταῖς μέντοι γε ϑήκαις τῶν βασιλέων οὐδεὶς αὐτῶν ἐπέτυχε. ἦσαν γὰρ ὑπὸ τὴν γῆν μηχανικῶς κηδευμέναι πρὸς τὸ μὴ φανεραὶ εἶναι Ios. — 18. Glyc. 339,1—340,19? — 19. ὃς cod. — 22. 2 Par. II. 2. — 24. ,χχ? γω' Par. — 25. 2 Par. III. 1—40.

δησεν. Καὶ δὴ λίθους ἀκροτόμους καὶ ἀπελεκήτους ἤτοι ἀδαμαντίους καὶ παμμεγέθεις λίαν εἰς τὰ θεμέλια θέμενος, ἔχοντας πῆχυς ί τὸ πάχος, καὶ πάσης ὁμοῦ τῆς δομήσεως τοῦ τοίχου τοῦ ναοῦ *, ᾠκοδόμησε τὴν πόλιν καὶ τὸν ναὸν Κυρίου ἐν ἔτεσιν ζ', μῆκος πηχῶν ξ', εὖρος πηχῶν κ' καὶ ὕψος πηχῶν ρκ'· διόροφον γὰρ ἦν, ὡς φησὶ Ἰώσηπος, ὅπερ οὖν καὶ ἡ τῶν Παραλειπομένων βίβλος δεδήλωκεν. (3) Μηδεὶς δὲ νομιζέτω τήνδε τὴν βίβλον πρὸς τὰς Βασιλείας διαφωνεῖν, ἐπειδὴ τοῦ ναοῦ τὸ μῆκος ἐνταῦθα μὲν εὑρίσκομεν πηχῶν ξ', ἐκεῖ δὲ μ'· εὑρήσεις δὲ πρὸς τοῖς μ', ἄλλας κ' τοῦ καλουμένου Δαβὶρ τούτεστι τοῦ ἁγίου τῶν ἁγίων· οὕτω πάλιν ἐκεῖ μὲν τὸ ὕψος πηχῶν κε', ἐνταῦθα δὲ ρκ', ἀμέλει γε καὶ ἐν τῷ παραδείγματι προϋπέφηνεν ὁ θεῖος Δαυὶδ πρὸς τὸν υἱὸν λέγων. «Καὶ τὰ ὑπερῷα ποιήσεις». Καὶ γὰρ ἡ ἱστορία διδάσκει τῶν Βασιλειῶν, ὅτι οὐ μόνον διόροφα, ἀλλὰ καὶ τριόροφα εἶχεν ὁ οἶκος ὑπερῷα· Ἑλικτὴ γάρ, φησίν, ἡ ἀνάβασις ἦν εἰς τὴν μέσην καὶ ἐπὶ τῆς μέσης εἰς τὰ τριόροφα». εὐρύτατος γὰρ ὑπάρχων ὁ τοῖχος, κοχλιοειδῆ τὴν ἀνάβασιν εἶχεν. (4) «Καὶ κατεχρύσωσε τὸ ὑπερῷον ὅλον καὶ πᾶν τὸ ἔδαφος, καὶ ** τοῖς τοίχοις ποιήσας πλίνθους χρυσᾶς πενταπήχυς, ἐφ' ἑκάστης πλίνθου καθῆλωσε τέσσαρας ***, καὶ χερουβὶμ ἐπὶ τὸν τοῖχον ὅλον ἐγλυψεν. (5) Κατακοσμήσας οὖν λίθοις τιμίοις καὶ χρυσίῳ τῷ ἐκ Σουφὶρ καταχρυσώσας τὸν οἶκον, ὡς εἴρηται, καὶ τοὺς τοίχους καὶ τὰ ὀροφώματα καὶ τοὺς πυλῶνας καὶ τὰ θυρώματα, κεραμίσι χαλκαῖς κεχρυσωμέναις τοῦτον ἐσκέπασε. (6) Καὶ διαχωρίσας ἔνδοθεν τοῦ ναοῦ μέσον τυποῖ τὴν κιβωτὸν ἐκεῖ διαθήκης Κυρίου, πηχῶν κ' τὸ μῆκος καὶ τὸ πλάτος πηχῶν κ' καὶ τὸ ὕψος αὐτοῦ πηχῶν κ', περιέσχεν αὐτὸν καὶ τὴν θύραν αὐτοῦ χρυσίῳ συγκεκλεισμένῳ, ὃ καὶ ἅγια ἁγίων καὶ Δαβὶρ ἐκαλεῖτο. (7) Καὶ δύο χερουβὶμ κατασκευάσας ἐκ ξύλων ἀσήπτων, ἀνὰ πηχῶν ί τὸ μέγεθος καὶ ἀνὰ πηχῶν ε' τὰ πτερύγια ἔχοντας, πτέρυγος πτέρυξ ἥπτετο· καὶ

---

* ἀρξάμενος cf. 2 Par. III. 2 Καὶ ταῦτα ἤρξατο Σ. τοῦ οἰκοδομῆσαι τὸν οἶκον τοῦ θῦ.—5. δίορον cod.—8. 1 Regg. VI. 2.—δὲ ξ' Varr.—11. τὸ ὑ. π. λ', τὸ ἐξαπλοῦν.—15. 1 Reg. VI. 8.—ἡ ἀνάμεσις cod.—17. 1 Regg. VI. 21—31, 1 Par. III. 9.— ** ἐν? πλὴν. cod. bis.— *** φοίνικας 1 Regg. VI. 29.—24. 1 Regg. VI. 19,20.—28. 1 Regg. VI. 23—32.

ἀμφοτέρων αἱ λοιπαὶ δύο πτέρυγες, τοῦ τοίχου τοῦ οἴκου καὶ αἱ πτέρυγες αὐτῶν διαπετασμέναι πηχῶν κ', ἃ καὶ περιχρυσώσας ἔστησεν ἑκατέρωθεν, μέσον δὲ τοῦ ἐσωτάτου οἴκου πρὸς τὸ τὴν κάτωθεν συγκαλύπτειν, οὗ καὶ κατὰ πρόσωπον ἐποίησε θυσιαστήριον χρυσοῦν ἐσώτερον τοῦ καταπετάσματος, ἐν ᾧ τῆς προθέσεως ἄρτοι ἔκειντο, τὸ δὲ καταπέτασμα ποιήσας ἐξ ὑακίνθου καὶ κοκκίνου καὶ βύσσου καὶ πορφύρας, ἐξύφανεν αὐτὸ χερουβίμ. (8) Τῷ δὲ ναῷ συνῳκοδόμησε πλευρὰς κυκλόθεν ἔξω ἀπὸ πηχῶν, ἃς καὶ μελαθρα κέκληκεν, ὥστε τὴν οἰκοδομίαν συνέχειν, καὶ μηδένα τῶν Λευϊτῶν (32[b]) προσψαύειν τοῖς τοῦ ναοῦ τοίχοις, «ὅτι διάστημα, φησίν, δέδωκα τῷ οἴκῳ, ὅπως μὴ ἐπιλαμβάνωνται τῶν τοίχων τοῦ οἴκου»· μόνος γὰρ ἱερεῦσιν εἴσιτος ἦν ὁ πρῶτος ναὸς ὁ καλούμενος ἅγια· εἰς δὲ τὰ ἅγια τῶν ἁγίων οὐδὲ τούτοις ἐμπεμβαίνειν ἐξῆν, ἀλλὰ μόνος ὁ ἀρχιερεὺς ἅπαξ τοῦ ἐνιαυτοῦ. (9) Πάντα μὲν χρυσὸς συνεκάλυπτεν, καὶ τὰ χερουβὶμ καὶ τοὺς τοίχους καὶ θύρας, ὥστε μηδεμίαν σχεδὸν ἑτέραν ὕλην ἔνδοθεν �ρᾶσθαι· ὅτι δὲ καὶ μαρμάροις καλλίστοις ὁ ναὸς ἐπεποίκιλτο, δηλοῖ πάλιν ἡ ἱστορία λέγουσα. «Ὄνυχος καὶ λίθου πληρώσας πολυτελοῦς, λίθους ποικίλους καὶ πάντα λίθον τίμιον εἰς πλῆθος». (10) Δύο δὲ στύλους ποιήσας χαλκοῦς ἀνὰ πηχῶν λε' τὸ ὕψος καὶ τὰς κεφαλὰς ἔχοντας ἀνὰ πηχῶν ε' καὶ σπαρτίον δεκάπηχυν περικυκλῶν, ἑκάστῳ στύλῳ τὸ πάχος, καὶ χρυσοπεταλην, ἐκ δακτύλων τὸ πάχος, περικαλύψας, ἔστησεν αὐτοὺς κατὰ πρόσωπον τοῦ ναοῦ, ἕνα ἐκ δεξιῶν καὶ ἕνα ἐξ εὐωνύμων, καλέσας τὸ ὄνομα τοῦ μὲν Κατόρθωσις, τοῦ δὲ Ἰσχύς. Ἐπὶ δὲ τῶν κεφαλῶν ἐποιήσεν «ἔργον κρεμαστὸν δεδικτυωμένον» ἐκ χρυσοῦ «καὶ κώδωνας χρυσοῦς υ' εἰς τὰ β' δίκτυα καὶ δύο γένη ῥοΐσκων ἐν τοῖς δικτύοις, ἃ ἐστιν ἐπάνω τοῦ στύλου». Καὶ ποιήσας χαλκοῦν δίκτυον ἐκ δακτυλίων, καὶ κώδωνας ω' χαλκοῦς ταλαντιαίους ἐπ' αὐτοῦ ἐξαρτήσας, ἐπέθηκεν αὐτῷ ἐπὶ μηχανημάτων ὑψηλῶν, ἐξεχόντων τοῦ ναοῦ πήχεις κ', ὅπως ἐπι-

---

7. 1 Regg. VI. 5,6. — 8. Πλευρὰ—ἃ cod. ' ε', ς', ζ'.? — 18. 2 Par III. 6?—19. 1 Regg. VII. 15.—21. δύο δίκτυα 1 Regg. VII. 17. — 23. ἑστ. τοὺς στύλους τοῦ αἰλὰμ τοῦ ναοῦ 21.—25. 2 Par. III. 17.—1 Regg. VII. 18.—27. 2 Par. IV. 13. ῥ. ἐν τῷ δικτύῳ τῷ ἑνὶ—τοῦ συγκαλύψαι τὰς δύο γωλὰθ τῶν χωθαρὲθ (στρεπτὰ κεφαλίδων), ἃ.

σκίαζῃ τὸ ἔργον καὶ ἀποσβῇ τὰ ὄρνεα ἐφιζάνοντα καὶ ἐκκρίνοντα, μολύνειν μέλλοντα, τῷ κτύπῳ τῶν κωδώνων ἀεὶ κινουμένων καὶ ἀναριπιζομένων. (11) Καὶ ἐποίησε θυσιαστήριον χαλκοῦν, πηχῶν κ' τὸ μῆκος, καὶ πηχῶν κ' τὸ πλάτος, καὶ πηχῶν ι' τὸ ὕψος, ὡσαύτως καὶ θάλασσαν ποιήσας χαλκῆν χυτὴν στρογγύλην, καὶ τὰ ὑποστηρίγματα αὐτῆς, ἔχουσαν τὸ μὲν ὕψος πηχῶν ε', τὸ δὲ κύκλωμα πηχῶν λγ', τὸ πάχος παλαιστῆς, χωροῦσαν τρισχιλίους μετρητάς, ἔστησεν ὑποκάτω αὐτῆς μόσχους ιβ' χυτοὺς μεγάλους, πρὸς τὸ νιπτέσθαι τοὺς ἱερεῖς ἐν αὐτῇ. (12) Ποιήσας βάσιν χαλκῆν πηχῶν ε' τὸ μῆκος καὶ ε' τὸ πλάτος καὶ γ' πηχῶν τὸ ὕψος αὐτῆς, καὶ ἔθηκεν αὐτὴν ἐν μέσῳ τῆς αὐλῆς τοῦ ἱεροῦ. (13) Καὶ ἐποίησε τραπέζας χαλκᾶς ι' καὶ λουτῆρας ι' καὶ λυχνίας χρυσᾶς ι' μεγάλας καὶ ἔθηκεν ἀνὰ ε' ἐκ δεξιῶν τοῦ ναοῦ καὶ ἀνὰ ε' ἐξ ἀριστερῶν. (14) Ἐποίησε δὲ φιάλας χρυσᾶς ρ' καὶ θυΐσκας καὶ πυρεῖα καὶ σκεύη εἰς πλῆθος, ὅτι οὐκ ἐξέλειπεν ἡ ὁλκὴ τοῦ χρυσίου». (15) Ἐπεὶ οὖν συνετελέσθη πᾶν ἔργον, εἰσήγαγον οἱ ἱερεῖς τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου εἰς—τὰ ἅγια τῶν ἁγίων ὑποκάτω τῶν πτερύγων τῶν χερουβίμ, καὶ ἀρξαμένων ἐξομολογῆσαι τῷ Κυρίῳ ἐν σάλπιγξι καὶ ἐν κυμβάλοις καὶ ἐν ὀργάνοις, ἐπλήσθη νεφέλης ὁ οἶκος Κυρίου καὶ δόξης πολλῆς. Καὶ οὐκ ἠδύναντο οἱ ἱερεῖς στῆναι καὶ λειτουργεῖν ἀπὸ προσώπου τῆς νεφέλης. Ὁ δὲ βασιλεὺς Σολομὼν ἀναβὰς ἐπὶ τὴν χαλκῆν βάσιν καὶ τῷ θεῷ προσκυνήσας, διεπέτασε τὰς χεῖρας εἰς τὸν οὐρανὸν λέγων. «Κύριε, ὁ θεὸς Ἰσραὴλ, οὐκ ἔστιν ὅμοιός σοι θεὸς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς» καὶ τὰ ἑξῆς τῆς εὐχῆς. «Καὶ ὡς συνετέλεσεν εὐχόμενος, κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ κατέφαγε (33ᵃ) τὰ ὁλοκαυτώματα καὶ τὰς θυσίας καὶ δόξα Κυρίου ἐπλήρωσε τὸν οἶκον». «Καὶ πάντες υἱοὶ Ἰσραὴλ ἐθεώρουν τὸ πῦρ· καὶ ἡ δόξα Κυρίου ἐπὶ

---

2. κινούμενα καὶ ἀναριπιζόμενα cod. — 2 Par. IV. 1 — 6. — 4. εὖρος 1. — 5. θ. χ. ι' πήχεων τὴν διαμέτρησιν, στρ. κυκλόθεν καὶ ε' π. τὸ ὑ. καὶ τὸ κ. λ' π. — 6. ἔχουσα cod. — 7. καὶ τὸ π. αὐτῆς π. 5. — χωροῦσαν cod. μ. γ 5. — 8. καὶ ὁμοίωμα μόσχων ὑπ. ἀ. 3,4. — 9. καὶ ἡ θάλασσα εἰς τὸν. τ. ἱ. ἐν. ἀ. 6.—2. Par. VI. 13. — 10. καὶ πηχ. cod. —12. 2 Par. IV. 8. — 14. 2 Par. IV 8,21,18. — 16. χαλκοῦ 18.—1 Regg. VIII. 6.—19. 1 Regg. VIII. 10,2 Par. V. 12—14. — 22. 2 Par. VI. 12—14. — 25. 2 Par. VII. 1. — 28. 2 Par. VII. 3—10.

τὸν οἶκον, καὶ ἔπεσαν ἐπὶ πρόσωπον εἰς τὴν γῆν ἐπὶ τὸ λιθόστρωτον προσκυνοῦντες καὶ αἰνοῦντες Κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. (16) Καὶ τότε Σολομὼν ἐνεκαίνισε τὸν ναὸν, θύσας μόσχων χιλιάδας κβ' καὶ προβάτων χιλιάδας ρκ'. καὶ ποιήσας ἑορτὴν μεγάλην. Καὶ πᾶς Ἰσραὴλ μετ' αὐτοῦ ἐν τῷ ναῷ ἐσθίων καὶ πίνων καὶ εὐφραινόμενος ἐνώπιον Κυρίου ἡμέρας ζ'. τῇ δὲ η' ἡμέρᾳ, εὐλογήσας τὸν λαὸν ἀπέστειλε». (17) Καὶ μετὰ τὸ προσεύξασθαι αὐτὸν ὑπὲρ τοῦ ναοῦ καὶ τοῦ λαοῦ, ὤφθη αὐτῷ ὁ Κύριος λέγων. «Ἤκουσα τῆς φωνῆς τῆς προσευχῆς σου καὶ ἡγίακα τὸν οἶκον τοῦτον, ὃν ᾠκοδόμησας τοῦ θέσθαι τὸ ὄνομά μου ἐκεῖ εἰς τὸν αἰῶνα. Καὶ ἔσονται οἱ ὀφθαλμοί μου ἐκεῖ καὶ ἡ καρδία μου πάσας τὰς ἡμέρας. Καὶ σὺ, ἐὰν πορευθῇς ἐνώπιόν μου, καθὼς ἐπορεύθη Δαυὶδ ὁ πατήρ σου ἐν ὁσιότησι καρδίας αὐτοῦ καὶ εὐθύτητι, τοῦ ποιεῖν κατὰ πάντα, ἃ ἐνετειλάμην αὐτῷ, καὶ τὰ προστάγματά μου καὶ τὰς ἐντολάς μου φυλάξῃς, ἀναστήσω τὸν θρόνον τῆς βασιλείας σου ἐπὶ Ἰσραὴλ εἰς τὸν αἰῶνα, καθὼς ἐλάλησα τῷ πατρί σου λέγων. «Οὐκ ἐξαρθήσεται ἀνὴρ ἡγούμενος ἐν Ἰσραήλ». Ἐὰν δὲ ἀποστραφέντες ἀποστραφῆτε ὑμεῖς καὶ τὰ τέκνα ὑμῶν ἀπ' ἐμοῦ καὶ μὴ φυλάξητε τὰς ἐντολάς μου καὶ πορευθῆτε καὶ δουλεύσητε θεοῖς ἑτέροις καὶ προσκυνήσητε αὐτοῖς, ἐξαρῶ τὸν Ἰσραὴλ ἀπὸ τῆς γῆς, ἧς ἔδωκα αὐτῷ καὶ τὸν οἶκον τοῦτον, ὃν ἡγίασα ἐν ὀνόματί μου, ἀποῤῥίψω ἀπὸ προσώπου μου. Καὶ ἔσται Ἰσραὴλ εἰς ἀφανισμὸν καὶ εἰς λάλημα εἰς τὰ ἔθνη πάντα· καὶ ὁ οἶκος οὗτος ὁ ὑψηλὸς καὶ μέγας, ἔσται πᾶς ὁ διαπορευόμενος δι' αὐτοῦ, ἐκστήσεται καὶ συριεῖ, καὶ ἐροῦσιν· «Ἀνθ' ὧν ἐγκατέλιπον Κύριον τὸν θεὸν αὐτῶν καὶ ἀντελάβοντο θεῶν ἀλλοτρίων, διὰ τοῦτο ἐπήγαγε Κύριος τὴν κακίαν ταύτην».

(18) Τὸν μέντοι ναὸν ὁ Σολομὼν μέσον τῆς πόλεως δεμάμενος κατὰ νῶτον τετραμμένον καὶ τὰ ὄπισθεν πρὸς βορρᾶν ἔχοντα, λιθίνῳ περιβόλῳ τοῦτον συνέκλεισε. (19) Τὴν δὲ πόλιν μεγίστην καὶ περικαλλῆ καταρτίσας ἐκ λίθων λευκῶν καὶ ὅλην καταστρώ-

---

3. Ced. 163,15 — 164,14. 1 Regg. VIII. 65,66. — 7. 2 Par. VIII. 12; 1 Regg. IX. 3—9, Glyc. 338,17—19. — 28. δημ. cod. — 30. Ced. 164,15—20.

σας καὶ τὸ περίμετρον αὐτῆς ποιήσας ἀπὸ τείχους εἰς τεῖχος, μεταξὺ τὸ διάστημα ἔχουσαν στάδια μ', μίλια ἓξ ἥμισυ, δυσάλωτον ταύτην πάντοθεν κατεσκεύασε· περιτειχίσας γὰρ αὐτὴν τρισὶ τείχεσι καὶ φάραγξιν ἀπερρῳγυίαις κατάῤῥυτον ὕδασιν ὅλην ἐποίησε, ὥστε ἐκ τῆς ἀποῤῥοίας τοὺς κήπους αὐτῶν καταρδεύεσθαι· (ἔκειτο γὰρ ἡ πόλις ἐπὶ μετεώρου καὶ τραχέως τόπου, ἐν ᾧ ὑπῆρχε πηγή τις πολύῤῥυτος ἀεννάως ἐπιῤῥέουσα. Πολλὰ δὲ καὶ ἄλλα ὕδατα ἔβρυον ἐν αὐτῇ πότιμα [καὶ] ἀδιάλειπτα). (20) Ὁ δέ γε λαμπρὸς καὶ περιώνυμος ναὸς ἐκεῖνος, ἀξιάγαστος ὢν ἀληθῶς καὶ περίδοξος πάνυ καὶ τῆς Σολομῶντος σοφίας ἐνάρετος κήρυξ, μᾶλλον δὲ τοῦ προστεταχότος γενεσιουργοῦ πάντων θεοῦ καὶ συνεργήσαντος· οὐ γὰρ γέγονε τοιοῦτος ναὸς ἐπὶ τῆς γῆς, ὅθεν καὶ Ἰουδαῖοι ἐπὶ τῇ μεγαλουργίᾳ τούτου καὶ πολυολβίᾳ σεμνυνόμενοι ἔλεγον· «ναὸς Κυρίου, ναὸς Κυρίου, ναὸς Κυρίου». Καὶ γὰρ ὁ διαταξάμενος ἐκέλευσεν αὐτὸν μετὰ φιλοτιμίας γενέσθαι πολλῆς, ἐπειδὴ κἀκεῖνοι τοῖς σωματικοῖς μᾶλλον ἐφείλκοντο καὶ ἐφέποντο. Καὶ οὐκ ἐν τούτοις μόνον σεμνὸς ἦν, ἀλλὰ καὶ ἐν τῷ εἶναι καὶ μόνον ἐν τῷ κόσμῳ· οἱ γὰρ (33[b]) ἀπὸ τῶν περάτων τῆς γῆς ἐκεῖσε ἤρχοντο καὶ μάλιστα μετὰ τοὺς μετέπειτα χρόνους· καὶ τοῦτο δηλῶν ὁ Λουκᾶς ἐν ταῖς πράξεσιν ἔλεγεν. «Ἦσαν ἐκεῖ Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται καὶ οἱ κατοικοῦντες Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν, Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην». Οἱ οὖν πανταχοῦ τῆς οἰκουμένης ἐκεῖ συνήγοντο, καὶ πολυθρύλλητον ἄγαν καὶ διαβόητον ἐτύγχανε τοῦ ναοῦ τὸ ὄνομα. Κἂν διαφόρως κατελύθη, καὶ πάλιν ᾠκοδομήθη μέχρι τῆς ἐσχάτης αὐτοῦ καταπτώσεως. Καὶ ἁπλῶς ὅσα ἡ Σολομῶντος κατεσκεύασε σοφία, τῷ θεσπεσίῳ Ἰεζεκιὴλ ὦπται σαφῶς μετὰ τὴν καταστροφὴν τῆς πόλεως καὶ τοῦ ναοῦ, τὴν εἰς Βαβυλῶνα τοῦ λαοῦ αἰχμαλωσίαν.

(21) Ὁ τοίνυν Σολομὼν ποιήσας ἐλεφάντινον θρόνον ἐκ μεγάλων ὀδόντων, ἔχοντα σταθμοὺς ς' καὶ προτομὰς μόσχων ἐκ τῶν

---

4. ἀπερογγύως cod. — 20. Act. II. 9,10. — 30. Περὶ τοῦ θρόνου Σολομῶντος. Cod. 116,11—16, 1 Regg. I. 18.20.

ὀπίσω αὐτοῦ ἔνθεν καὶ ἔνθεν καὶ λέοντας ιβ' παρὰ τὰς χεῖρας ἑστηκότας καὶ ἄλλους ιβ' λέοντας ἑστῶτας ἐπὶ τῶν ἓξω ἀναβαθμῶν, (ἑκατέρωθεν περιεχρύσωσεν αὐτοὺς χρυσίῳ δοκίμῳ, ὅπερ «οὐ γέγονεν οὕτω πάσῃ βασιλείᾳ» πώποτε, ἐφ' ᾧ καθεζόμενος μετὰ λαμπρᾶς καὶ πολυτελοῦς ἐσθῆτος ὁ θαυμάσιος καὶ πάνσοφος ἀνὴρ ἐκεῖνος, τὰς τοῦ θείου πνεύματος χάριτας διηγόρευσεν. Διό φησιν ὁ Κύριος. «Οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων», ὑπεμφαίνων ὡς ὑπέρτερος ἦν καὶ περιφανέστερος βασιλέων πάντων ἔν τε πλούτῳ καὶ δόξῃ.) (22) «Καὶ σὺν τούτοις ἐποιήσε θυρεοὺς χρυσοῦς ἐλατοὺς ω' μεγάλους καὶ δόρατα τ' καὶ ἕτερα ὅπλα χρυσᾶ πλεῖστα». Καὶ μέντοι καὶ τὰ σκεύη τοῦ οἴκου αὐτοῦ καὶ οἱ λουτῆρες χρυσᾶ πάντα ὑπῆρχον. Καὶ οὐκ ἦν ἀργύριον λογιζόμενον ἐν ταῖς ἡμέραις αὐτοῦ *, ὅτι ναῦς αὐτοῦ ἐπορεύετο εἰς Θαρσὶς καὶ διὰ χρόνων γ' ἤρχετο φέρουσα χρυσίον πολὺ καὶ ἀργύριον καὶ λίθους τορνευτοὺς καὶ ὀδόντας ἐλεφάντων καὶ πιθήκους». «Καὶ ἔδωκε Σολομὼν τὸ χρυσίον καὶ τὸ ἀργύριον ἐν Ἱερουσαλὴμ ὡς λίθον καὶ τὰς κέδρους ὡς συκαμίνους εἰς πλῆθος»· (τὰς γάρ τοι κέδρους ἐκείνας ἀσήπτους ἔφη Θεοδώρητος εἶναι, καθάπερ δὴ καὶ τὰς κυπαρίσσους τὰς πεύκας δυσφθάρτους καὶ λευκοτάτας καὶ ταῖς παρ' ἡμῖν ἀνομοίας ὑπαρχούσας.)

XLI. ΠΕΡΙ ΤΟΥ ΑΡΙΣΤΟΥ ΣΟΛΟΜΩΝΤΟΣ.

Τὸ δέ γε ἄριστον αὐτοῦ ἦν καθ' ἡμέραν κόροι σεμιδάλεως λ' καὶ κόροι ἀλεύρου κεκοπανισμένου ξ' καὶ μόσχοι ἐκλεκτοὶ ι' καὶ πρόβατα ρ' ἐκτὸς ἐλάφων καὶ δορκάδων, ὀρνίθων ἐκλεκτῶν καὶ σιτευτῶν». (Καὶ ὁ μὲν κόρος ἐπότει μοδίους λ', ὁμοῦ γενόμενα μοδίους ,βψ'. Οἱ δὲ χορηγοῦντες αὐτὰ ἐξ Αἰγύπτου καθ' ἕκαστον μῆνα ἄρχοντες ἦσαν ιβ'.)

---

7. Mt. VI. 29. — 10. 1 Regg. X. 16,17 τ', τριακόσια Cod. 164,20—165,4 — 9. 1 Regg. X. 21,22. — * ἀργὸν cod. e glossemate. — 16. ἐδ. ὁ βασιλεὺς 1 Regg. X. 27.—22. 1 Regg. IV. 22,23, Cod. 165,4—8. — 24. δ. ἐκλ. σιτευτά 23.

XLII. ΠΕΡΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ*.

Περὶ δὲ τῆς πολλῆς φρονήσεως αὐτοῦ καὶ σοφίας ἧς ἔλαβε παρὰ τοῦ θεοῦ, ἄκουσον πάλιν τί φησιν ὁ θεὸς πρὸς αὐτόν. «Ἰδού, δέδωκά σοι καρδίαν φρόνιμον καὶ σοφήν· ὡς σὺ οὐ γέγονεν ἔμπροσθεν, καὶ μετὰ σὲ οὐκ ἀναστήσεται ὅμοιός σοι, καὶ πλοῦτον καὶ χρήματα καὶ δόξαν δώσω σοι· ὡς σὺ οὐκ ἐγεννήθη ὅμοιός σοι ἐν τοῖς βασιλεῦσιν, καὶ μετὰ σὲ οὐκ ἀναστήσεται». Τοῦτο δηλοῦσα ἡ γραφὴ ἐπάγει λέγουσα. «Καὶ ἔδωκεν ὁ θεὸς τῷ Σολομῶντι φρόνησιν καὶ σοφίαν πολλὴν σφόδρα καὶ χύμα σοφίας ὡσεὶ ἄμμος ἡ παρὰ τὴν θάλασσαν, καὶ ἐπληθύνθη (34ª) ἡ φρόνησις αὐτοῦ ὑπὲρ πᾶσαν φρόνησιν πάντων ἀνθρώπων καὶ ὑπὲρ πάντας φρονίμους Αἰγύπτου». (2) Δεῖξαι γοῦν βουλόμενος τὴν σοφίαν αὐτοῦ εἰκότως ἐκ τῶν παραλλήλων, καὶ τῶν πάλαι γεγενημένην ἀρίστων σοφῶν ἐμνήσθη· καὶ τοὺς Αἰγυπτίους προσέθηκεν ὡς δοκοῦντας παρὰ πάντας εἶναι σοφωτέρους καὶ φρονιμωτέρους. Καὶ γάρ, ὡς Ἕλληνες ἱστοροῦσι, καὶ Φερεκύδης ὁ Σύριος καὶ Πυθαγόρας ὁ Σάμιος καὶ Ἀναξαγόρας ὁ Κλαζομένιος καὶ Πλάτων ὁ Ἀθηναῖος πρὸς τούτους ἐξεδήμησαν, θεολογίαν καὶ φυσιολογίαν ἀκριβεστέραν μαθήσεσθαι παρ' αὐτῶν ἐλπίσαντες. Καὶ δὴ καὶ περὶ τοῦ Μωϋσέως διεξιὼν ὁ θεῖος λόγος ἔφη, «ὅτι ἐπαιδεύθη ἐν πάσῃ σοφίᾳ Αἰγυπτίων». (3) Τούτους, φησίν, ἅπαντας ὁ Σολομὼν ἀπέκρυψεν, ἅτε θεόθεν τῆς σοφίας τὰ δῶρα δεξάμενος, ὅθεν ἐπήγαγεν· «καὶ ἐσοφίσθη ὑπὲρ πάντα ἄνθρωπον καὶ ἐλάλησε τρισχιλίας παραβολάς, καὶ ἦσαν αἱ ᾠδαὶ αὐτοῦ ε', καὶ ἐλάλησε περὶ τῶν ξύλων, ἀπὸ τῆς κέδρου τῆς ἐν τῷ Λιβάνῳ καὶ ἕως τῆς ὑσσώπου τῆς ἐκπορευομένης διὰ τοῦ τοίχου. Καὶ ἐλάλησε περὶ τῶν κτηνῶν καὶ περὶ τῶν ἑρπετῶν καὶ περὶ τῶν πετεινῶν καὶ περὶ τῶν ἰχθύων».

(4) (Τὴν δὲ τούτων ἀπόλαυσιν ὁ πολυΐστωρ Εὐσέβιος οὕτως ἔφη· «Τὰς γάρ τοι βίβλους τοῦ Σολομῶντος τὰς περὶ τῶν παραβο-

---

* Σολομῶντος? Haec rubrica tota in codice evanuit, forsan π. τῆς σοφίας—2. Cod. 165,8—166,7. 163,4—8.—3. 1 Regg. III. 12,13. — 8. 1 Regg. IV. 29,30.—22. ἐσοφίσατο 1 Reg. IV. 31.—27. πετ. καὶ π. τῶν ἰ. 33.—28. ἀπωλ. cod. sed. cf. 144,10.

λῶν καὶ ᾠδῶν, ἐν αἷς περὶ τῶν φυτῶν καὶ παντοίων ζώων φυσιολογήσας, χερσαίων, πετεινῶν καὶ πνικτῶν καὶ ἰαμάτων πάθους παντὸς γραφείσας αὐτῷ) ἀφ' ὧν οἱ τῶν Ἑλλήνων ἰατροσοφισταὶ σφετερισάμενοι καὶ τὰς ἀφορμὰς εἰληφότες [τὰς οἰκείας συνεστήσαντο τέχνας· ταύτας], ἀφανεῖς ἐποίησεν Ἐζεκίας ὁ βασιλεύς, ἐπειδὴ τὰς θεραπείας τῶν νοσημάτων ἔνθεν κομιζόμενος ὁ λαὸς, περιώρα τὰς ἰάσεις αὐτῶν παρὰ τοῦ θεοῦ. (Καὶ μέντοι καὶ Ἰώσηπος τούτων πολλῶν μέμνηται πονημάτων ἐγγράφως πεποιημένων, ὡς ὅτι καὶ ἐπῳδὰς κατὰ δαιμόνων καὶ ἐξορκισμοὺς ἐπενόησεν, αἷς φησὶν διαχρώμενον Ἐλεάζαρον τὸν Ἰουδαῖον ἐπὶ Οὐεσπασιανοῦ καὶ Τίτου δακτύλιον τιθεὶς ἐν τῇ ῥινὶ τοῦ πάσχοντος ἐν σφραγίδι ῥίζαν ἔχοντα, ἐξ ὧν Σολομὼν ὑπέδειξε. Καὶ ὀσφραινόμενον τὸ δαιμόνιον εὐθὺς ἐξέλκεσθαι, σημείου ὑπὸ τοῦ Ἐλεαζάρου τιθεμένου ποτηρίου μεστοῦ ὕδατος ἢ ποδονιπτῆρος, ὃ καὶ συνέτριβε τὸ δαιμόνιον φεῦγον.)

(5) Καὶ ἐμεγαλύνθη Σολομὼν ὑπὲρ πάντας τοὺς βασιλεῖς τῆς γῆς πλούτῳ καὶ φρονήσει. Καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς ἐζήτουν ἰδεῖν τὸ πρόσωπον αὐτοῦ καὶ ἀκοῦσαι τῆς φωνῆς αὐτοῦ. Καὶ παρεγένοντο φέροντες ἑκάστοτε κατ' ἐνιαυτὸν τὰ δῶρα αὐτῶν, σκεύη χρυσᾶ καὶ ἱματισμοὺς καὶ ἡδύσματα καὶ ἵππους καὶ ἡμιόνους, καὶ ἦσαν αὐτῷ ατ' ἅρματα καὶ ἵπποι α', τοκάδες δὲ χιλιάδες μ', καὶ ἵπποι εἰς ἅρματα χιλιάδες ιβ'. Καὶ ἦν ἡγούμενος τῶν βασιλέων πάντων τῶν ἀπὸ τοῦ ποταμοῦ Εὐφράτου ἕως γῆς ἀλλοφύλων καὶ ἕως τῶν ὁρίων Αἰγύπτου.

XLIII. ΠΕΡΙ ΤΗΣ ΒΑΣΙΛΙΣΣΗΣ ΑΙΘΙΟΠΩΝ ΣΙΒΥΛΛΗΣ.

Καὶ βασίλισσα Σαβᾶ, ἥτις ἐλέγετο Σίβυλλα παρ' Ἕλλήνων, ἀκούσασα τὸ ὄνομα αὐτοῦ ἦλθεν εἰς Ἱερουσαλὴμ, πειράσαι αὐτὸν ἐν αἰνίγματι. Καὶ κάμηλοι αἴρουσαι ἡδύσματα πολλά τε καὶ ἐξαίρετα (34[b]) καὶ χρυσὸν καὶ λίθους τιμίους καὶ ἐν δυνάμει βαρείᾳ

---

3. Cod. 166,8 — 12. — 5. εἰληχότ. ἀφ. cod. lineâ totâ omissâ. — 11. τιθὼν cod. τιθέντα? — 16. Cod. 166,12—21.— 26. Cod. 166,22—167,23. — 28. αἰνίγμα. cod.

σφόδρα. Καὶ εἰσελθοῦσα πρὸς αὐτὸν καὶ λαλήσασα πρὸς τοῦτον πάντα ὅσα ἦν ἐν τῇ καρδίᾳ αὐτῆς, καὶ πάντα διαλύσας αὐτῇ ἐν συντάξει λόγων καὶ ἑρμηνείᾳ γλυκυτάτῃ, προσέθετο αὐτὸν πειράσαι καὶ ἐν τούτῳ· εὐόπτους γὰρ παῖδας ἄῤῥενάς τε καὶ θηλείας ὁμοτρόπῳ στολῇ καὶ κουρᾷ τῇ αὐτῇ περικαλλωπίσασα παρέστησεν αὐτῷ, ζητοῦσα ἑκατέρου γένους αὐτῶν διάκρισιν ποιήσασθαι. Ἦν γὰρ καὶ αὐτὴ ἡ Σίβυλλα πάνυ ἐπ' ἀγχινοίᾳ τε καὶ σοφίᾳ καὶ πολυπειρίᾳ διαβόητος. Ὁ δὲ βασιλεὺς νήψασθαι τούτους προστάξας τὸ πόσωπον, τὴν φύσιν ἑκατέρων διέγνωκεν, τῶν μὲν γὰρ ἀῤῥένων εὐτόνως καὶ ἀνδρικῶς τὰς ὄψεις καταψυχόντων, τῶν δὲ θηλειῶν ἁπαλῶς καὶ ἀπειρημένως, ὡς τὴν βασίλισσαν καταπλαγεῖσαν πάνυ· καὶ μέντοι καὶ πᾶσαν αὐτοῦ τήν τε φρόνησιν καὶ τὸν οἶκον, ὃν ᾠκοδόμησεν ἰδοῦσα καὶ τὴν κάθεδραν καὶ τὴν στολὴν αὐτοῦ τε καὶ τῶν ὑπουργῶν αὐτοῦ * καὶ ἐξ ἑαυτῆς γενομένη εἶπεν· «Ἀληθινὸς ὁ λόγος, ὃν ἤκουσα ἐν τῇ γῇ μου περὶ τούτων πάντων, καὶ οὐκ ἐπίστευσον. Ἰδού, οὐκ ἔστι τὸ ἥμισυ καθὼς ἀπηγγέλη μοι, ὅτι πλείονα ἑώρακα ὧν ἤκουσα. Μακάριαι γοῦν αἱ γυναῖκες καὶ οἱ παῖδες σου οἱ παρεστηκότες οὗτοι ἐνώπιόν σου καὶ ἀκούοντες τοὺς λόγους τῆς φρονήσεώς σου». Καὶ δοῦσα αὐτῷ τάλαντα χρυσίου ρκ' καὶ ἡδύσματα πολλὰ σφόδρα καὶ λίθους τιμίους καὶ τὴν τοῦ ὀποβαλσάμου ῥίζαν, ἀφ' οὗ ἡ Παλαιστίνη τοῦτο γεώργιον ἔσχεν, ὡς φησὶν Ἰώσηπος, ὑπέστρεψεν εἰς τὴν γῆν αὐτῆς ὑπερεκπληττομένη λίαν, περὶ ἧς καὶ ὁ Κύριος ἔφη. «Βασίλισσα νότου ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς, ἵνα ἴδῃ τὴν σοφίαν Σολομῶντος». (2) Πρὸς ὃν μέντοι γε καὶ Σιρὰχ τραγικώτερον ἔλεγε. «Σολομὼν ἐσοφίσθης ἐν νεότητί σου καὶ ἐνεπλήσθης ὡς ποταμὸς συνέσεως· γῆν ἐπεκάλυψεν ἡ σοφία σου καὶ ἐνέπλησας ἐν παραβολῇ αἰνίγματα· εἰς

---

1. πρὸς ταῦτα πάντα cod. — 11. καταπλαγῆναι? — 12. πάνυ ἔκ τε τῶν αὐτοῦ καὶ τῶν περὶ αὐτὸν καὶ ἐξ ἑαυτῆς γενομένων εἰπεῖν Cod. — * καὶ τὸν ἱματισμὸν καὶ τὰ βρώματα καὶ πᾶσαν τὴν κατάστασιν τοῦ οἴκου αὐτοῦ a secunda manu. — 22. Ios. A. VI. 6 εἴκοσι τ. χ. ἀρωμάτων τε πλῆθος ἀσυλλόγιστον καὶ λίθον πολυτελῆ. λέγουσι δ. ὅτι καὶ τὴν τοῦ ὀποβαλσάμου βίζαν, ἣν ἔτι καὶ νῦν ἡμῶν ἡ χώρα φέρει, δούσης ταύτης τῆς γυναικὸς ἔχομεν — εἰς τὴν οἰκίαν ὑπ. — 23. Mt. XII. 42. — 24. Cod. 167,23—68,11. — 25. Sir. XLVII. 14—20.

νήσους πόρρω (καὶ μακρὰς χώρας) ἀφίκετό σου τὸ μνημόσυνον, καὶ ἠγαπήθης ἐν τῇ εἰρήνῃ σου, ἣ κατέπαυσεν ὁ θεὸς κυκλόθεν· ἐν ᾠδαῖς καὶ παροιμίαις καὶ παραβολαῖς ἐθαυμαστώθης — καὶ συνήγαγες ὡς κασίτηρον τὸ χρυσίον καὶ ὡς μόλιβδον ἐπλήθυνας ἄργυρον». Ἀλλὰ «παρέκλινας τὰς λαγόνας σου γυναιξὶ, καὶ ἐξουσιάσθης ἐν τῷ σώματί σου»· καὶ «ἔδωκας μῶμον ἐν τῇ δόξῃ σου καὶ ἐβεβήλωσας τὸ σπέρμα σου, ἐπαγαγεῖν ὀργὴν ἐπὶ τὰ τέκνα σου». (3) Οὐ μὴν δὲ, ἀλλὰ καὶ αὐτὸς δι' ἑαυτοῦ σαφέστατα περὶ τῆς ἰδίας σοφίας καὶ τοῦ πλούτου σαφηνίζει. «Ἐμοὶ δώη ὁ θεὸς κατὰ γνώμην εἰπεῖν καὶ ἐνθυμηθῆναι ἀξίως τῶν λεγομένων, ὅτι αὐτὸς (ὁ Κύριος) καὶ τῆς σοφίας ἐδηγός ἐστι καὶ τῶν σοφῶν διορθωτής· ἐν γὰρ χειρὶ αὐτοῦ καὶ ἡμεῖς καὶ οἱ λόγοι ἡμῶν· αὐτὸς γάρ μοι δέδωκε τῶν ὄντων τὴν γνῶσιν ἀψευδῆ, εἰδέναι σύστασιν κόσμου καὶ ἐνέργειαν στοιχείων, ἀρχὴν καὶ τέλος καὶ μεσότητα χρόνων, (τροπῶν ἀλλαγὰς καὶ μεταβολὰς χρόνων), ἐναυτῶν κύκλους *, ἀστέρων θέσεις, φύσεις ζώων καὶ θυμοὺς θηρίων, πνευμάτων βίας καὶ διαλογισμοὺς ἀνθρώπων καὶ (35*) διαφορὰς φυτῶν, δυνάμεις ῥιζῶν, ὅσα τέ ἐστι κρυπτὰ καὶ ἐμφανῆ, ἔγνων. Ἡ γὰρ πάντων τεχνῖτις ἐδίδαξέ με **, «ἐκζητῆσαι καὶ τοῦ κατασκέψασθαι ***» ἐν τῇ σοφίᾳ περὶ τῶν γενομένων πάντων ὑπὸ τὸν οὐρανόν» (4). καὶ «ἰδοὺ ἐγὼ ἐμεγαλύνθην καὶ προσέθηκα σοφίαν ἐπὶ πᾶσιν, οἳ ἐγένοντο ἔμπροσθέν μου ἐν Ἰερουσαλήμ» — «καὶ ἡ καρδία μου εἶδε πολλὴν σοφίαν καὶ γνῶσιν (καὶ ἔγνων) παραβολὰς καὶ ἐπιστήμην»· καὶ «ἐμεγάλυνα τὰ ποιήματά μου, ᾠκοδόμησά μοι οἴκους, ἐφύτευσά μοι ἀμπελῶνας» καὶ «ἐποίησά μοι κήπους καὶ παραδείσους· ἐν αὐτοῖς ἐφύτευσα ξύλον πάγκαρπον, ἐποίησά μοι κολυμβήθρας ὑδάτων τοῦ ποτίσαι ἀπ' αὐτῶν δρυμὸν πλαστῶντα ξύλα. Ἐκτησάμην δούλους καὶ παιδίσκας, καὶ οἰκο-

---

1. τὸ ὄνομά σου Sir. om. ἣ—κυκλ. — 3. ἀπεθαύμασάν σε χῶραι Sir. — 5. ἀργύριον Sir. — 6. ἐνιξ. Sir. — 8. Ced. 168,11 — 21. — 9. σαφῆ cod. — Sap. VII. 15 — 22. — 10. λεγ. cod. A. ceteri διδ. — 11. ὁ κ̄ς om. Sap. — * καὶ Sap. Ced. — 17. ἀνῶν διαφ. φ, καὶ δ. Sap. — 18. Ὁ — τεχνίτης codex. Ced. Eccl. I. 13. — ** σοφίαν καὶ ἐγὼ ἐκκλησιαστικὸς Ced. — *** τὴν σοφίαν καὶ cod. — 19. Eccl. I. 16,17, II. 4—10, 17,18. — Ced. 169,2 — 15. — 20. οἳς cod. — 21. πολλὰ σ. καὶ γ. Eccl. om. καὶ ἔγνων. — 22. ἐμ. ποίημά μου Eccl. — 24. καὶ ἐφ. ἐν ἀ. ξ. πᾶν καρποῦ Eccl.

γενεῖς ἐγενοντό μοι· καίγε κτῆσις βουκολίου καὶ ποιμνίου ἐγένετό μοι πολλὴ ὑπὲρ πάντας τοὺς γενομένους ἔμπροσθέν μου ἐν Ἰερουσαλήμ». Καὶ «συνήγαγον* καί γε ἀργύριον καίγε χρυσίον καίγε περιουσιασμοὺς βασιλέων καὶ τῶν χωρῶν. Ἐποίησά μοι ᾄδοντας καὶ ᾀδούσας καὶ ἐντρυφήματα υἱῶν (τῶν) ἀνθρώπων, οἰνοχόους καὶ οἰνοχόας. Καὶ ἐμεγαλύνθην καὶ προσέθηκα ὑπὲρ πάντας τοὺς γενομένους** ἔμπροσθέν μου ἐν Ἰερουσαλήμ, καίγε σοφία μου ἐστάθη μοι. Καὶ πᾶν ὃ (ἂν) ᾔτησαν οἱ ὀφθαλμοί μου, οὐκ ἀφεῖλον ἀπ' αὐτῶν»· καὶ «οὐκ ἐκώλυσα τὴν καρδίαν μου ἀπὸ πάσης εὐφροσύνης»· καὶ γὰρ πολλῆς εἰρήνης καὶ πολυολβίας ἀπήλαυσεν, ἀδείας τε καὶ τρυφῆς. (5) Ἀλλ' ὕστερον εἰς πικρίαν ἡ σπαταλὴ καὶ ἡ ἡδονὴ γέγονεν αὐτῷ καὶ ἀκολασίας ὑπόθεσις, ὅθεν φησίν· «Ἐμίσησα σύμπασαν τὴν ζωὴν καὶ πάντα τὸν μόχθον, ὅτι πάντα ματαιότης». (ἐξ ἧς προφάσεως καὶ παρατροπῆς ὁ γενναῖος οἶμαι πρὸς τὴν ἀσέβειαν ἐξώκειλεν, ὅπερ καὶ αὐτὸς δηλῶν αὖθις διὰ τοῦ πρὸς γυναῖκας ὀλίσθου, ἐπήγαγε φάσκων)· «Εὗρον πικρότερον ὑπὲρ τὸν θάνατον*** τὴν γυναῖκα, ἥτις ἐστὶ θήρευμα, καὶ σαγῆναι καρδία»****. Ταύτῃ τοί φησιν. «Καὶ ὁ βασιλεὺς ἦν φιλογύναιος· καὶ ἦσαν αὐτῷ ἄρχουσαι ψ' καὶ παλλακαὶ τ'. καὶ ἔλαβε γυναῖκας Μωαβίτιδας καὶ Ἀμμωνίτιδας, Σύρας, Ἰδουμαίας, Χετταίας καὶ Ἀμορραίας ἐκ τῶν ἐθνῶν ὧν ἀπεῖπε Κύριος τοῖς υἱοῖς Ἰσραήλ» — «Καὶ ἐγένετο ἐν καιρῷ γήρως αὐτοῦ, καὶ οὐκ ἦν ἡ καρδία αὐτοῦ***** μετὰ Κυρίου τοῦ θεοῦ αὐτοῦ καθὼς ἡ καρδία Δαυὶδ τοῦ πατρὸς αὐτοῦ. Καὶ ἐξέκλιναν αἱ ἀλλότριαι γυναῖκες τὴν καρδίαν αὐτοῦ ὀπίσω θεῶν αὐτῶν. Καὶ τότε ᾠκοδόμησε Σολομὼν****** τῷ Χαμὼς εἰδώλῳ Μωὰβ — καὶ τῇ Ἀστάρτῃ βδελύγματι Σιδωνίων, καὶ οὕτως ἐποίησε ταῖς ἀλλοτρίαις γυναιξὶν αὐτοῦ πάσαις, αἳ (τινες) ἐθυμίων καὶ ἔθυον τοῖς εἰδώλοις αὐτῶν. Καὶ ἐποίησε Σολομὼν τὸ πονηρὸν

---

1. κτίσις cod. — ἐγίνοντο cod. — 2. πολλὴ ἐγ. μοι Eccl. — * μοι Eccl. — καὶ π. Eccl. — 5. τῶν om. Eccl. — οἰνοχόον Eccl. — 6. παρὰ Ecl. — ** ἀπὸ Eccl.— 8. ἂν om. Eccl.—9. ἀπεκ. Eccl. ἐπεκ. Ced. — 11. Ced. 169,15—170,22. — 12. Eccl. II. 17,18. — 14. γενεάδας cod.? — 16. Καὶ υὑρίσκω ἐγὼ αὐτὴν καὶ ἐρῶ Eul. VII. 26. — *** σὺν Eccl. — **** αὐτῆς Eccl. — 18. Ταῦτα Ced. — 1 Reg. XI. 1. — 14. — 22. ἐγενήθη 1 Reg. — ***** τελεία 1 Reg. — 24. γ. αἱ ἀλλ. 1 Reg. — ****** ὑψηλὸν 1 Reg. ναὸν Ced. — 27. πάσαις ταῖς γ. ἀ. ταῖς ἀλ. 1 Reg.

ἐνώπιον Κυρίου (καὶ) οὐκ ἐπορεύθη ὀπίσω Κυρίου (καθ)ὼς Δαυὶδ ὁ πατὴρ αὐτοῦ. Καὶ ὠργίσθη Κύριος ἐπὶ Σολομών, ὅτι ἐξέκλινε καρδίαν αὐτοῦ ἀπὸ Κυρίου θεοῦ Ἰσραὴλ τοῦ ὀφθέντος αὐτῷ δὶς καὶ ἐντειλαμένου αὐτῷ — μὴ πορευέσθαι ὀπίσω θεῶν ἑτέρων» παράπαν. «Καὶ εἶπε Κύριος πρὸς αὐτόν·» Ἀνθ' ὧν — οὐκ ἐφύλαξας τὰς ἐντολάς * καὶ τὰ προστάγματα *, ἃ ἐνετειλάμην σοι, διαρρήσσων διαρρήξω τὴν βασιλείαν σου ἐκ τῶν χειρῶν σου καὶ δώσω αὐτὴν τῷ δούλῳ σου. Πλὴν (35[b]) ἐν ταῖς ἡμέραις σου τοῦτο οὐ ποιήσω διὰ Δαυὶδ τὸν δοῦλον μου καὶ πατέρα σου καὶ διὰ Ἰερουσαλὴμ τὴν πόλιν (μου) ἣν ἐξελεξάμην». Καὶ ἤγειρε Κύριος τῷ Σολομῶντι σατὰν Ἄδερ τὸν Ἰδουμαῖον καὶ τὸν Ἀδραζὰρ βασιλέα Σοβᾶ» — «καὶ ἦσαν τῷ Ἰσραὴλ σατὰν πάσας τὰς ἡμέρας Σολομῶντος». Καὶ ἀπέθανε Σολομὼν ἐτῶν ογ' καὶ ἐτάφη μετὰ τοῦ πατρὸς αὐτοῦ. (6) Ἐντεῦθεν τοίνυν καὶ Θεοδώρητός φησιν· «Ἐδιδάχθημεν ὅσον ὀνίνησιν ἡ τῶν προγόνων εὐσέβεια· ἀνέχεται γὰρ πονηρῶν ὁ φιλάνθρωπος Κύριος τῆς τῶν κατοιχομένων ἀρετῆς μεμνημένος, πλὴν οὖν ἐδρέψατο μερικῶς καὶ ταὺς τῆς ἀσεβείας καρποὺς ἐνδίκως παρὰ τῆς θείας δίκης». (7) Ἕως μὲν τῆς ἄνωθεν ἀπήλαυε προμηθείας, ἐν εἰρήνῃ καὶ γαλήνῃ διῆγε, πάντας ἔχων ὑποχειμένους καὶ δασμὸν κομίζοντας ὅτι μάλιστα· ἐπειδὴ δὲ ταύτης ἐγυμνώθη, τοῖς δυσμενέσιν ἐπιχείρητος γέγονε· ἀληθῶς ὄντως «φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος». Ὥσπερ γὰρ ἔλεος αὐτοῦ ἄῤῥητος, οὕτω καὶ ἡ κόλασις ἀνυπόστατος. Ὅτι δὲ τοῖς εἰδώλοις ἐλάτρευσε καταλείψας τὸν ὄντως ὄντα θεὸν τοῦ πατρὸς αὐτοῦ Δαυὶδ, [εὔδηλον] ἐξ ὧν καὶ Ἀχίας ὁ προφήτης φησὶ πρὸς τὸν Ἱεροβοὰμ (οὕτως)· «Τάδε λέγει Κύριος. Ἰδοὺ ἐγὼ ῥήσσω τὴν βασιλείαν ** Σολομῶντος καὶ δώσω σοι τὰ ι' σκῆπτρα· καὶ δύο σκῆπτρα δώσω αὐτῷ διὰ Δαυὶδ τὸν δοῦλον μου καὶ Ἰερουσαλὴμ τὴν

---

4. πορευθῆναι 1 R. — * μου bis 1 R. — 8. οὐ π. αὐτὰ 1 R. — τὸν π. σου. ἐκ χειρὸς υἱοῦ σου λήψομαι αὐτὴν πλὴν ὅλην τὴν βασιλείαν οὐ μὴ λάβω. σκῆπτρον ἓν δώσῳ τῷ υἱῷ σου διὰ Δαυὶδ τὸν δ. μου καὶ διὰ 1 R. — 10. μου om. 1 R. — 11. σ. τῷ Σολομών τὸν 1 R. — Ἐσρὼμ ὢν Ἐλιαδαὶ τὸν ἐν Ῥαμὰ Ἀδαδίζερ 1 R. — 12. Σουβὰ 1 R. — σ. τῷ Ἰ. 1 R. — 14. Nec in q. 40 in Ex. nec 37 in Regg, haec sententia invenitur. — 18. Cod. 171,18—172,10. — 21. εὐεπιχ Cod. — Heb. X. 31. — 22. γὰρ ὁ ἐ. ἀρ. Cod. — 25. ἔφη Cod. — ** ἐκ χειρὸς 1 Reg. XI. 31 — 32. Cod.

πόλιν μου, ἣν ἐξελεξάμην ἐκ πασῶν* φυλῶν Ἰσραὴλ, ἀνθ' ὧν ἐγκατέλειπέ με καὶ ἐδούλευσε τῇ Ἀστάρτῃ, βδελύγματι Σιδωνίων, καὶ τῷ Χαμὼς, εἰδώλῳ Μωάβ, καὶ τῷ Μελχὼμ, προσοχθίσματι υἱῶν Ἀμών». (7) Ἡ μὲν οὖν Ἀσταρτη ἐστὶν ἡ παρ' Ἕλλησιν Ἀφροδίτη λεγομένη (ἐκ τοῦ ἄστρου τὴν ἐπωνυμίαν πεποιηκόσιν· αὐτῆς γὰρ εἶναι τὸν Ἑσπέρον μυθολογοῦσιν). Ὁ δὲ Χαμὼς θεὸς ἦν Τυρίων. («Τῷ δὲ Μελχὼμ προσοχθίσματι» εἴδωλον ἦν καὶ τοῦτο· προσοχθίσματα γὰρ καὶ βδελύγματα τὰ εἴδωλα προσαγορεύειν εἰώθει ἡ γραφὴ, ὅπερ δηλοῖ τὸ μύσος καὶ τὸ ἀπόβλητον.) (8) Θαυμάσει μέν τις μάλα εἰκότως, ὥσπερ ἐπὶ τοῦ θειοτάτου Μωϋσέως, οὕτω καὶ ἐπὶ [τοῦδε] τοῦ σοφωτάτου Σολομῶντος, πῶς ἑκάτερος αὐτῶν τοσαύτης παλαι θείας δόξης καὶ προμηθείας ἀξιωθεὶς, ὕστερον ὁ μὲν εἰς ἀγανάκτησιν καὶ λύπην τὸν θεὸν κινήσας, τῆς ἐπαγγελίας ἐξέπεσεν, ὁ δὲ εἰς ὀργὴν καὶ θυμὸν αὐτὸν διεγείρας, τούς τε προειργασμένους ἀρίστους πόνους ἄρδην ἐζημίωτο καὶ τὴν ψυχὴν προσαπώλεσεν. Πεῦ γὰρ ἡ τοιαύτη πρὸς θεὸν οἰκείωσις καὶ παῤῥησία, [καὶ] οἱ τοσοῦτοι καὶ τηλικοῦτοι πόνοι καὶ κόποι καὶ ἀγῶνες τοῦ θεσπεσίου Μωϋσέως; οἵτινες [διὰ] τὴν ἀπὸ τοῦ ὕδατος τῆς ἀντιλογίας ἁμαρτίαν παροραθέντες, τὴν εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἴσοδον ἀθρόως ὁ δίκαιος καὶ ἀσυγχωρήτως ἀπεστήρητο, καθὼς καὶ πρόσθεν εἴρηται. Πεῦ δὲ καὶ ἡ πρὸς τὸν Σολομῶντα θεία φιλοστοργία καὶ ἡ τοσαύτη χάρις τε καὶ σοφία; καὶ τίς ἡ ὠφέλεια τῆς πολλῆς ἐκείνης φρονήσεως καὶ συνέσεως καὶ ἡ προλαβοῦσα τοιαύτη νηφαλεωτάτη ἔννοια καὶ (σοφία), θεολογία (τε) καὶ φυσιολογία, ἔσχατον ἐκ γυναικομανίας εἰς εἰδωλομανίαν ἐκπεπτωκότος, ὡς σαφῶς δεδήλωται; Τῷ ὄντι γὰρ οὐδὲν ὄφελος «ἐναρξάμενον πνεύματι, καὶ σαρκὶ ἐπιτελέσαι». (9) Διὸ καὶ προασφαλιζόμενος Ἰωάννης φησί· (36ᵃ) «Βλέπετε ἑαυτοὺς, ἵνα μὴ ἀπολείπητε ἃ εἰργάσασθε, ἀλλὰ μισθὸν πλήρη ἀπολάβητε»· οὐ γὰρ ὁ καλῶς ἀρχόμενος καὶ κακῶς μετερχόμενος, οὗτος τέλειος, ἀλλ' ὁ καλῶς ἀποθέμενος καὶ θεαρέστως διαπεράνας, ἐπείπερ «ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται». Κἀντεῦθεν, ὡς ἔοικεν,

* τῶν Ced. — 4. Ced. 170,6,7. — 5. πεποιηκότ. cod. — 9. Θαυμάσειε δ' ἂν τις Ced. 171,1—18. — 14. ἐγ. ἀ. Ced. — 19. l. ὧν — παροραθέντον? οἵτινες — παρωράθησαν Ced. — 20. ἐμπρ. Ced. — 26. ἐναρξάμενοι cod. cf. Gal. III. 3. — 27. 2 Io. 8. — 31. Mt. X. 22.

εἰκότως διδασκόμεθα μὴ μακαρίζειν ἄνθρωπον κυρίως πρὸ τελευτῆς αὐτοῦ διὰ τὸ ἄδηλον τῆς ἐκβάσεως καὶ συμπληρώσεως· τοὺς γὰρ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἁπάξει κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν· πολλοὶ γὰρ εὐδρομοῦντες ἐνάρετοι καὶ ἐπὶ μεγέστοις κατορθώμασι θαυμαζόμενοι, προσκόψαντες ἐξάπινα πεπτώκασι πτῶμα δεινὸν καὶ ἐξαίσιον. (10) Οἷος ἦν καὶ ὁ μοναχὸς ἐκεῖνος, πρὸς ὃν ὁ μέγας Βασίλειος ἔγραφε λέγων· «Οἴμοι τί γράψω; ἢ τί λογίσομαι ἐν τριόδῳ ἀπειλημμένος; ἐὰν γὰρ ἔλθω εἰς μνήμην τῆς προτέρας σου ματαίας ἀναστροφῆς, ὅτε * περιέῤῥει ὁ πλοῦτος καὶ τὸ χαμερπὲς δοξάριον, φρίττω, ἡνίκα ἥπτετό σοι κολάκων πλῆθος καὶ τρυφὴ καὶ ἀπόλαυσις πρόσκαιρος. — Ἡνίκα ἐγυμνάζου πρὸς μεταβολὴν σεμνοῦ τρόπου, σκυβαλίζων μὲν σου τὴν ** περιουσίαν, οἶκου τε θεραπείαν καὶ συνοίκου ὁμιλίαν ἀπαρνούμενος, ὅλως δὲ ματάρσιος, ὥσπερ ξένος καὶ ἀλήτης, ἀγροὺς καὶ τόπους ἀμείβων, κατέδραμες ἐπὶ τὰ Ἱεροσόλυμα, ἔνθα σοι καὶ αὐτὸς συνδιατρίβων ἐμακάριζον τῶν ἀθλητικῶν πόνων, ὅτε ἑβδομαδικοῖς κύκλοις νῆστης διατελῶν, θεῷ προσεφιλοσόφεις, ὁμοῦ καὶ τὰς τῶν ἀνθρώπων ἀποφεύγων συντυχίας· ἡσυχίαν δὲ καὶ μονοτροπίαν ἐφαρμόσας σεαυτῷ, τοὺς πολιτικοὺς θορύβους ἐξέκλινες, σάκκῳ τε τραχεῖ τὸ σῶμά σου διανύττων καὶ ζώνῃ σκληρᾷ τὴν ὀσφῦν περισφίγγων, καρτερικῶς τὰ ὀστᾶ σου διέθλιβες, λαγόνας τε ταῖς ἐνδείαις κοιλαίνων μέχρι τῶν νοτιαίων μερῶν ὑπεχαύνωσας καὶ φασκίας μὲν ἀπαλῆς τὴν χρῆσιν ἀπηρνήσω· ἔνδοθεν δὲ τὰς λαπάρας σικύου δίκην ὑφελκύσας, τοῖς νεφριτικοῖς χωρίοις ἐβιάζου προσκολλᾶσθαι· ὅλην δὲ τὴν τῆς σαρκὸς πιμελὴν ἐκκενώσας, τοὺς τῶν ὑπογαστρίων ὀχετοὺς γενναίως ἐξήρανας, γαστέρα τε αὐτὴν ταῖς ἀσιτίαις τήξας, τὰ πλευριτικὰ μέρη ὥσπερ τινα στέγης ἔξοχὴν τοῖς τοῦ ὀμφαλοῦ μέρεσιν ἐπεσκίαζες καὶ συνεσταλμένῳ ὅλῳ τῷ σώματι, τὰς νυκτερινὰς ὥρας ἀνθομολογούμενος τῷ θεῷ, τοῖς τῶν δακρύων ὀχετοῖς ἔμβρυχον τὴν

---

7. Τοῦ ἁγίου Βασιλείου ed. P. 1618 II. 747 B—749 A.—8. γὰρ om. B. — * σε B. om. ὁ.—10. εἵπετό B.—11. πλήθη B.—τρυφῆς ἀπ. B.—** κολυκίνδυνον B.—15. ἀ. καὶ πόλεις ἐξ. B. — 16. ἑβδοματικοῖς Cod. B. — 18. σ. λόγῳ τροπῆς ὑποφ. B. — ἑαυτῷ ἐφ. B. — 19. σ. δὲ B. — τραχὺ Cod. — 22. νοτιέων ὑελων Cod. — 23. σικύας cod. 24. κρ. ἐβ. B. — 26. κλημμελὴν cod. — 26. συμπτύξας B. — 27. στέγην εἰς ἐξ. cod. — 28. τῷ ὀργάνῳ κατὰ τὰς B. — 29. τὴν γ. ἐ. B.

γενείαδα καθωμάλιζες. Καὶ τί δεῖ καταλέγειν ἕκαστα; Μνήσθητι ὅσα ἁγίων στόματα φιλήματι κατησπάσω; ὅσα ἱερὰ σώματα περιεπτύξω; ὅσοι σου τὰς χεῖρας ὡς ἀχράντους περιέθαλπον; ὅσοι δοῦλοι τοῦ θεοῦ τοῖς γόνασί σου περιεπλέκοντο; Καὶ τί τούτων τὸ τέλος; μοιχικῆς φήμης διαβολὴ βέλους ὀξύτερον διϊπταμένη τιτρώσκει ἡμῶν τὰς ἀκοὰς καὶ τὴν καρδίαν. — Ποῦ μοι τὰ διηγήματα τῶν σῶν πόνων; οἴχεται. Κατήσχυνας τὸ τῆς ἁγνείας καύχημα (36[b])· ἐμωμήσω τῆς σωφροσύνης τὸ ἐπάγγελμα· ἐγενόμεθα ἐχθρῶν μὲν τραγῳδία, φίλων δὲ θρηνῳδία· — διέτεμες φρόνημα μοναχῶν, τοὺς ἀκριβεστέρους εἰς φόβον καὶ δειλίαν ἐνέβαλες, θαυμάζοντας ἔτι τοῦ διαβόλου τὴν δύναμιν· τοὺς ἀδιαφόρους εἰς ἀκολασίας ζῆλον μετέθηκας· ἠθέτησας ὅσον ἐπὶ σοὶ τὸ τοῦ Χριστοῦ καύχημα, «θαρσεῖτε, λέγοντος, ἐγὼ νενίκηκα τὸν κόσμον», καὶ τὸν τούτου ἄρχοντα ἐκέρασας τῇ πατρίδι κρατῆρα δυσφημίας· ὄντως εἰς ἔργον ἤγαγες τὴν παροιμίαν «ὡς ἔλαφος τοξευθεὶς εἰς τὸ ἦπαρ. (11) Ὅθεν ἀλλαχοῦ κοινῶς παραινεῖ λέγων·» Δεῖ οὖν ἡμᾶς πολὺν καὶ ποικίλον τὸν οὐράνιον πλοῦτον συναγαγεῖν, εἰ μὴ μέλλοιμεν καταισχύνεσθαι ἐν τῇ ἐπιδείξει τῶν ἔργων [ὡς] οἱ λαβόντες τὸ τάλαντον, μηδὲ ἀκούειν· «Δοῦλε πονηρὲ καὶ ὀκνηρέ», ἐνθεμένους δὲ τὰ ἀγώγιμα, ἀσφαλῶς πειρᾶσθαι τὴν ζωὴν ταύτην διαπεραν Πολλοὶ γὰρ πολλὰ συναθροίσαντες ἐκ νεότητος καὶ περὶ τὰ μέσα τοῦ βίου γενόμενοι, ἐπαναστάντος αὐτοῖς πειρασμοῦ ἐκ τῶν πνευμάτων τῆς πονηρίας, οὐκ ἤνεγκαν τοῦ χειμῶνος τὸ βάρος, διὰ τὸ τὴν * κυβέρνησιν αὐτοῖς μὴ παρεῖναι· διὸ καὶ πάντων ἐκείνων ζημίαν ὑπήνεγκαν, ὅθεν ** οἱ μὲν «περὶ τὴν πίστιν ἐναυάγησαν», ἄλλοι δὲ σωφροσύνην, ἣν συνήγαγον ἐκ νεότητος, ὥσπερ καταιγίδος

---

1. τὴν γ. ἐ. B. — δὴ cod, με δεῖ B. — 2. ἐπί σου cod.? — 3. ἀχράντους cod.— 4. τοῦ om. B. — 5. θῦ ὥσπερ λάτρεις ὑπέδραμον τοῖς γ. σου περιπλεκόμενοι καὶ τ. τὸ τ. τί B. — φήμη διαβολῆς cod. — 6. ἀκρὰς, ἀκμαιοτέρῳ τῷ κέντρῳ τὰ σπλάχνα ἡμῶν διανύττουσα κτλ. B. — 9. ἐγ. αἰχματώτων τρ. Ἰουδαίοις καὶ Ἕλλησι δραματουργεῖται τὰ ἡμέτερα διετ. B. — 10. ἤγαγες B. — 11. ἐπὶ cod.? — 12. ἔλυσας ὅσον B. — 13. Is. XVI. 33. — 14. τοῦ κόσμου τούτου ἀ. B. — δυσθυμίας cod.— 15. τὰς παροιμίας B. — 16. I. 473 C—474 B. — 17. συνάγειν cod.? — 18. τῆς ἐργασίας B. — 19. τὰ τάλαντα B. — Mt. XXV. 26. — 21. καὶ om. B. — 22. μετὰ cod.? — ἐπαναστάντων ἀ. πειρασμῶν B. — * κακουργίαν καὶ cod. — 24. παρ. ἀλλὰ πάντων B. — 25. ὑπέμειναν B. — ** καὶ B. — 1 Tim. I. 19.

τινὸς τῆς πονηρᾶς ἡδονῆς ἐπιδραμούσης, ἀπώλεσαν· ἐλεεινότατον θέαμα! μετὰ νηστείαν, μετὰ σκληραγωγίαν *, μετὰ δάκρυον δαψιλὲς, μετὰ ἐγκράτειαν ἐτῶν κ' που ἢ λ', διὰ ἀπροσεξίαν ψυχῆς καὶ χαύνωσιν καὶ ἀμέλειαν, γυμνὸν ἁπάντων ἀποδειχθῆναι καὶ παραπλήσιον γενέσθαι τῶν τῇ ἐργασίᾳ τῶν ἐντολῶν εὐθηνουμένων, ἐμπόρῳ τινὶ μεγαλοπλούτῳ, ὃς τῷ πλήθει τῶν ἀγωγίμων ἐπαγγαλλόμενος, ἐξουρίας αὐτῷ τῆς νηὸς φερομένης, τὰ φορτηρὰ πελάγη διαδραμὼν, πρὸς τοῖς λιμέσιν αὐτοῖς διαῤῥαγέντος τοῦ πλοίου, πάντων ἀθρόως ἔρημος ἀπεδείχθη· ἐὰν γὰρ καὶ οὗτος τὰ μυρίοις πόνοις καὶ ἱδρῶσι κτισθέντα μιᾷ ῥοπῇ καὶ μικρᾷ προσβολῇ δαιμόνων ἀπολέσῃ, καθάπερ τινὶ ἀγρίᾳ λαίλαπι τῇ ἁμαρτίᾳ βυθισθείς, πρέπουσα φωνὴ τῷ πᾶσαν ὁμοῦ τὴ ἀρετὴν ναυαγήσαντι· «ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με». (12) Ὡσαύτως καὶ ὁ θεῖος Χρυσόστομός φησι· » Καὶ γὰρ ὅταν ὁ διάβολος ἴδῃ πολλὰ συναγηοχέτας, νηστείαν, εὐχὰς, ἐλεημοσύνην, παρθενίαν, τὴν ἄλλην ἅπασαν ἀρετὴν, ὅταν ἴδῃ γέμον τὸ πλοῖον ἡμῶν τῶν πολυτελῶν τῆς εὐσεβείας ἀριστευμάτων, τότε προσβάλλει, πάντοθεν διορύττων καὶ ἐπιβουλεύων τὸν θησαυρὸν, ὥστε παρ' αὐτὸ τοῦ λιμένος τὸ στόμα καταδύσαι τὸ σκάφος, καὶ γυμνοὺς καὶ ἐρήμους ἀποφῆναι μηδὲ ῥαδίως ἀναστῆναι δυναμένους. Καὶ γὰρ, μετὰ * τοιαύτην πτῶσιν, δυσανάπλητος ἡ ἀνάστασις γίνεται· καταφρονεῖ λοιπὸν ὡς εἰς κακῶν ἐλθὼν βάθος. Καὶ τῷ μὲν ἐν ἀρχῇ πεσόντι συγγινώσκομεν ἅπαντες διὰ τὴν ἀπειρίαν, τὸν δὲ μετὰ πολλοὺς διαύλους ὑποσκελισθέντα, οὐκ ἂν ** ῥαδίως ἀξιώσειεν συγγνώμης, ὡς ἐξ ἀμελείας τε καὶ ῥαθυμίας καταβληθέντα. Καὶ οὐ τοῦτο μόνον ἐστὶ (37ᵃ) τὸ δεινὸν, ἀλλ' ὅτι καὶ πολλῶν σκανδαλισθέντων καὶ ῥαθυμοτέρων πολλάκις γινομένων, αὐτὸς ὑπεύθυνος

---

* μετὰ προσευχὴν ἐκτενῆ B. — 4. καὶ χ. om. B. — 8. ἀ. τοῖς λ. B. — 9. ἀνεδ. cod.? — γὰρ om. B. — 10. κτηθ. B. — β. καὶ μ. om. B — 11. ἀπολείπει cod.? — ὅσπερ B. — 12. Ps. LXIX. 2. — 14. VI. 115 C. — 15. συνειλιχοτ. κατορθώματα οἷον cod. συνηγειοχόνας Savil. — 16. ἐλ. σωφροσύνην Chr. — 17. ἡ. τὸ π. Chr. — 17. εὐσ. λίθων Chr. — 18. καὶ ἐπ. om. Chr. — 19. αὐτὰ — τὰ στόματα Chr. — 20. γ. παρακέμψαι πρὸς ἐκεῖνον τὸν λιμένα λοιπὸν Chr. — * τὴν Chr. — πάλιν ἡ ἀν. Chr. — 22. Ὁ γὰρ ἐ. εἰς β. κ. κατ. Chr. — 24. τοὺς δρόμους Chr. — ** τις Chr. — 25. α. β. γὰρ τότε τὸ πτῶμα εἶναι δοκεῖ. — 26. τ. μὲν ἐ. cod.

γίνεται καὶ ἀναπολόγητος. Ταῦτ' οὖν εἰδότες* «εἰς τὸ τέλος μὴ διαφθείρωμεν», (ως παραγγέλλει Δαυὶδ φάσκων· «Εἰς τὸ τέλος μὴ διαφθείρῃς)». ** Ἐν τῷ ἀποστρέψαι, φησὶ, δίκαιον ἐκ τῆς δικαιοσύνης αὐτοῦ, ἃς ἐποίησεν, οὐ μὴ μνησθῶσι· ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ ἀποθανεῖται»· καὶ «δικαιοσύνη δικαίου οὐ μὴ ἐξελεῖται αὐτὸν ἐν ᾗ ἂν ἡμέρᾳ πλανηθῇ». (12) Ὅπερ οὖν εἰδὼς ὁ ἀπόστολος ἔλεγεν. «Ἐὰν ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ». Διὸ τὴν ἀρχομένην σπουδήν τε καὶ προθυμίαν ἐν φόβῳ θεοῦ καὶ πίστει μέχρι θανάτου δεῖ καθάπερ τὴν ὑπομονὴν ἐπιδείκνυσθαι, ἵνα μὴ τὸ πᾶν εἰς τὸ τέλος ἀπολέσωμεν. Μηδεὶς οὖν ἐνάρετος νυσταζέτω διὰ τὸ ἄδηλον τῆς μεταβολῆς. Τίς γὰρ τοῦ Δαυὶδ ὑψηλότερος; ἀλλὰ μικρὸν ἀπονυστάξας, ἔπεσε. Τίς δὲ τοῦ Σολομῶντος μακαριώτερος; ἀλλ' ἐν τῷ γήρει καὶ τῷ τέλει πεσὼν, ἀπώλετο. Τίς τοῦ Ἰούδα περιφανέστερος, ἀλλὰ προδότης γενόμενος ἀπήγξατο. Τίς τοῦ Πέτρου ζηλωτότερος; ἀλλ' ἑξάπινα πέπτωκε πτῶμα ἐξαίσιον. Πόσας τοιαύτας μεταβολάς ἐστιν ἰδεῖν πάλαι γεγενημένας καὶ νῦν γινομένας καθ' ἑκάστην ἡμέραν. Καὶ διὰ τοῦτο, φησὶν, ἄνω καὶ κάτω προδιαμαρτύρεται καὶ προασφαλίζεται καὶ διεγείρει πρὸς νῆψιν ἡ θεία γραφὴ λέγουσα· «Ὁ δοκῶν ἑστάναι, μὴ πέσῃ». Καὶ ταῦτα μὲν εἰς τοσοῦτον παρεκβατικῶς εἴρηται.

XLIV. ΒΑΣΙΛΕΙΑ ΡΟΒΟΑΜ.

931 (4205) Μετὰ δὲ Σολομῶντα ἐβασίλευσε Ῥοβοὰμ ἐκ τοσούτων γυναικῶν υἱὸς αὐτοῦ ἔτη ιζ', ἐφ' οὗ διῃρέθη ἡ βασιλεία εἰς δύο. Καταλείψας γὰρ τὴν βουλὴν τῶν πρεσβυτέρων καὶ κατὰ τὴ συμβουλὴν τῶν συνεκτραφέντων καὶ παρεστηκότων αὐτῷ λαλήσας τῷ λαῷ σκληρὰ, ἀπέστη ὁ Ἰσραὴλ ἀπ' αὐτοῦ καὶ ἀπῆλθε. Καὶ αἱ μὲν β' φυλαὶ, Ἰούδας καὶ Βενϊαμὶν, ἔμειναν μετ' αὐτοῦ ἐν Ἱερουσαλὴμ, αἱ δὲ

---

1. πολλοὶ οὐ σκανδαλιζόμενοι τοῖς τῶν τοιούτων πτώμασίν εἰσιν ὥστε καὶ ταύτῃ πάλιν ἀσύγγνωστον τὸ ἁμάρτημα γίνεται Chr. — * ἀκούωμεν τοῦ προφήτου καὶ Chr. — 2. Ps. LXII. 1 ὡς—διαφ. om. Chr. — ** Διὰ γὰρ τοῦτο καὶ ὁ Ἰεζεκιὴλ ἑβδόμῃ λέγων (Ez. III. 20) om. seqq. Chr. — 5. Ez. XXXIII. 12. — 7. 2 Tim. II. 5. — 19. 1 Cor. X. 12. — 22. Cod. 173,13—174,16?

λοιπαὶ δέκα ἀπῆλθον ἐν Σαμαρίᾳ καὶ ἐβασίλευσαν ἐπ' αὐτοὺς Ἱεροβοάμ, τὸν δοῦλον Σολομῶντος. Κἀντεῦθεν αἱ δύο φυλαὶ προσηγορεύθησαν Ἰούδας διὰ τὴν μεγάλην βασιλικὴν φυλὴν Ἰούδα, αἱ δὲ λοιπαὶ ι' Ἰσραὴλ καὶ Ἐφραΐμ, διά τε τὸ πλῆθος καὶ διὰ τὸ τὸν Ἱεροβοὰμ ἐκ τῆς φυλῆς Ἐφραΐμ τυγχάνειν, υἱοῦ Ἰωσήφ.

(2) Καὶ ἐποίησε Ῥοβοάμ, υἱὸς Σολομῶντος, τὸ πονηρὸν ἐνώπιον Κυρίου ὡς ὁ πατὴρ αὐτοῦ καὶ ἀπέθανεν ἐν ταῖς ἁμαρτίαις αὐτοῦ. (3) Ἐφ' οὗ Σουσακεὶμ ὁ Αἰγυπτίων βασιλεὺς τὴν Ἱερουσαλὴμ ἑλών, ἀφείλατο τὰ ἐν τῷ ναῷ καὶ ἐν τοῖς βασιλείοις χρήματα καὶ χρυσᾶ δόρατα καὶ τοὺς χρυσοῦς θυρεούς, ἀνθ' ὧν ἐγένοντο χαλκοῖ. 947 (4209)

XLV. ΒΑΣΙΛΕΙΑ ΑΒΙΑ.

Μετὰ Ῥοβοὰμ ἐβασίλευσεν Ἀβιά, ὁ υἱὸς αὐτοῦ, καὶ ἐποίησε τὸ πονηρὸν ἐναντι Κυρίου καὶ ἀπέθανε βασιλεύσας ἔτη ς', ὃς πολεμήσας Ἱεροβοὰμ [καὶ] τὰς ι' φυλὰς τοῦ Ἰσραὴλ, ἀνεῖλεν ἐξ αὐτῶν ἄνδρας δυνατοὺς ἐν ἡμέρᾳ μιᾷ κατὰ θείαν ὀργὴν χιλιάδας φ'. 934 — 932? (4220—4222)?

XLVI. ΒΑΣΙΛΕΙΑ ΑΣΑΦ.

Μετὰ Ἀβιὰ ἐβασίλευσεν Ἀσάφ, ὁ υἱὸς αὐτοῦ, καὶ ἐποίησε τὸ εὐθὲς ἐνώπιον Κύριου πρότερον, εἶτα μικρὸν ἀπὸ τῆς εὐθείας ῥαθυμήσας, ἠρρώστησε τοὺς πόδας· καὶ τοῖς ἰατροῖς χρησάμενος, τῷ θεῷ μὴ προσέχων, οὕτως ἀπέθανε, βασιλεύσας ἔτη ιζ'. 931 — 929 (4224—4226)

XLVII. ΒΑΣΙΛΕΙΑ ΙΩΣΑΦΑΤ.

Μετὰ Ἀσὰφ ἐβασίλευσεν Ἰωσαφάτ, υἱὸς αὐτοῦ, (37[b]) καὶ ἐποίησε τὸ εὐθὲς ἐνώπιον Κυρίου καὶ ἐτελεύτησε βασιλεύσας ἔτη κε'. (2) Ὃς διὰ τὴν πρὸς τὸν Ἀχαὰβ φιλοστοργίαν τε καὶ ἀγχιστείαν, ἔφη 889 — 888 (4265—4266)

---

13. γ' Leo. 1 R. XV. 2,2 Par. XIII. 2 — 18. — ὡς cod.— 20. μα' 1 R. XV. 10, μ' 2 Par. XVI. 13. — 22. 1 R. XXII. 42,2 Par. XXII 31.

πρὸς αὐτὸν ὁ προφήτης Ἰηοῦ ὁ τοῦ Ἀνανή· «Βασιλεῦ Ἰωσαφάτ, εἰ ἁμαρτωλῷ σὺ εἶ βοηθὸς, εἰ μισουμένῳ ὑπὸ Κυρίου σὺ φιλιάζεις, διὰ τοῦτο ἐγένετο ἐπί σε ὀργὴ Κυρίου, εἰ μὴ λόγοι ἀγαθοὶ ηὑρέθησαν ἐν σοὶ καὶ ὅτι ἐξῆρας τὰ ἄλση ἀπὸ γῆς Ἰούδα καὶ κατεύθυνας τὴν καρδίαν σου ἐκζητῆσαι τὸν Κύριον», καὶ εὑρέθη ἡ καρδία σου τελεία πρὸς Κύριον. Διὰ τοῦτο ἐφείσατό σου Κύριος, πλὴν ὅτι «διεκόπη τὰ ἔργα σου, καὶ συνετρίβησαν τὰ πλοῖα σου». (3) Κἀντεῦθεν διδασκόμεθα, ὡς ἐλαττοῖ τὰς ἐπὶ τοῖς ἁμαρτήμασιν ἐκείνοις ἀντιμετρῶν, οὕτως ἐκφέρει τὴν ψῆφον. Προσήκει τοίνυν ταῦτα μεμαθηκότες φεύγειν τῶν θεοστυγῶν καὶ τὴν φιλίαν καὶ τὴν συγγένειαν· οὐδὲ γὰρ μία κοινωνία φωτὶ πρὸς σκότος, οὔτε μὴν ἀρετῇ καὶ κακίᾳ, καὶ οὔτε κλέπτῃ δεῖ συνμετέχειν οὔτε μετὰ μοιχῶν τὴν μερίδα τιθέναι· διὸ φησί· «Οὐχὶ τοὺς μισοῦντας σε, Κύριε, ἐμίσησα καὶ ἐπὶ τοῖς ἐχθροῖς σου ἐξετηκόμην; Τέλειον μῖσος ἐμίσουν αὐτούς· εἰς ἐχθροὺς ἐγένοντό μοι»· «καὶ παρανομίαν ἐμίσησα, καὶ οὐκ ἐκολλήθη μοι καρδία σκαμβή». Καὶ μέντοι γε καὶ ὅτι πταίοντες ὡς ἄνθρωποι οἱ τοῦ θεοῦ δοῦλοι, φιλανθρωπίας ἀξιοῦνται πολλάκις, διὰ τὰς προειργασμένας ἀρετάς, εἰς δὲ τὰ κτήματα καὶ τὰ ὑπάρχοντα αὐτοῖς ἡ θεία δίκη ἀνταποδίδωσιν ὑπὲρ τῶν πταισμάτων αὐτῶν λελῃθότως· οὐ μὴν δὲ ἀλλὰ καὶ ἑτέρων ἁμαρτωλῶν συνόντων δικαίοις, τοῦτο διὰ τὴν τοῦ δικαίου δικαιοσύνην ὁ φιλάνθρωπος Κύριος ποιεῖν εἴωθε, ὅπερ ἤδη καὶ ἐπὶ Ἰωσαφὰτ καὶ Παύλου σαφῶς ἐδήλωσε καὶ τῆς τοῦ πλοίου συντριβῆς τε καὶ ἀπωλείας· ὅθεν οὖν πρὸς τοὺς ἐν τῷ πλοίῳ χειμαζομένους μετ' αὐτοῦ Παῦλος φησί. «Ἔδει μὲν οὖν, ὦ ἄνδρες, πειθαρχήσαντάς μοι μὴ ἀνάγεσθαι ἀπὸ τῆς Κρήτης, κερδῆσαί τε τὴν ὕβριν ταύτην καὶ τὴν ζημίαν. Καὶ τὰ νῦν παραινῶ ὑμᾶς εὐθυμεῖν· ἀποβολὴ γὰρ ψυχῆς οὐδεμιᾶς ἔσται ἐξ ὑμῶν πλὴν τοῦ πλοίου».

XLVIII. ΒΑΣΙΛΕΙΑ ΙΩΡΑΜ.

863 (4291) Μετὰ Ἰωσαφὰτ ἐβασίλευσε Ἰωράμ, υἱὸς αὐτοῦ, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου· πρὸς δὲ καὶ τοὺς ἐξα-

1. 2 Par. XIX. 43. — 6. 2 Par. XX. 37. — 13. Ps. CXXXIX. 21,22. — 15. Ps. CI. 3,4. — 22. ἐώθει? — 25. Act. XXVII. 21,22. — 30. 2 R. VIII. 17; 2 P. XXI. 5,6.

ἀδελφους αὐτοῦ ἀποκτείνας ἀπέθανε δυσεντερικὸς, βασιλεύσας ἔτη η'.

XLIV. ΒΑΣΙΛΕΙΑ ΟΧΟΖΙΟΥ.

Μετὰ τοῦτον ἐβασίλευσεν Ὀχοζίας, υἱὸς αὐτοῦ, καὶ ἐποίησε τὸ 856 — 855 (4299—4300)
πονηρὸν ἐπώπιον Κυρίου καὶ ἀνείλεν αὐτὸν Ἰηοῦ, βασιλεύσαντα ἔτος α'.

L. ΒΑΣΙΛΕΙΑ ΓΟΘΟΛΙΑΣ.

Μετὰ δὲ Ὀχοζίαν ἐβασίλευσε Γοθολία, ἡ μήτηρ αὐτοῦ, καὶ ἀποκτείνασα πάντας τοὺς υἱοὺς Ὀχοζίου παρεκτὸς νηπίου ἑνὸς διασωθέντος παραδόξως ὑπὸ τῆς γυναικὸς Ἰωδαὲ τοῦ Ἱερεμίου, αἰφνίδιον τὸ ἀποκεκρυμμένον παιδίον Ἰωᾶς ἀναγορεύεται βασιλεὺς ὑπὸ Ἰωδαὲ τοῦ ἱερέως καὶ τοῦ λαοῦ παντὸς, ὑπάρχον ἐτῶν ζ'. Καὶ ὁ μὲν λαὸς ἅπας ηὐφράνθη καὶ καὶ ἡ πόλις ἡσύχασεν· τὴν δὲ Γοθολίαν ἀπέκτειναν ἐν οἴκῳ τοῦ βασιλέως, βασιλεύσασαν ἔτη ς'.

LI. ΒΑΣΙΛΕΙΑ ΙΩΑ.

Μετὰ δὲ Γοθολίαν ἐβασίλευσεν Ἰωὰς Ὀχοζίου ἑπταετὴς καὶ 849 (4307)
ἐποίησε τὸ εὐθὲς ἐνώπιον Κυρίου πρότερον· εἶτα παρατραπείς, ἐσφάγη ἐν τῷ οἴκῳ αὐτοῦ, βασιλεύσας ἔτη μ'. (2) Ἕως μὲν γὰρ ἦν φωτιζόμενος ὑπὸ Ἰωδαὲ, τοῦ ἱερέως τοῦ καὶ βιώσαντος διὰ τὴν πολλὴν αὐτοῦ (38ª) εὐσέβειαν ἔτη ρλ', καλῶς ἐπολιτεύετο. (3) Μετὰ δὲ τὴν τελευτὴν τοῦ θείου ἱερέως πρὸς ἀσέβειαν ἀποκλίνας, ἀπέκτεινε Ζαχαρίαν, τὸν προφήτην καὶ υἱὸν τοῦ διδασκάλου αὐτοῦ, φησὶ γάρ;» Καὶ πνεῦμα Κυρίου ἐνέδυσε Ζαχαρίαν τὸν τοῦ Ἰωδαὲ τοῦ ἱερέως, καὶ ἀνέστη κατὰ πρόσωπον τοῦ λαοῦ καὶ εἶπε· «Τάδε λέγει Κύριος· ἵνα τι παραπορεύεσθε τὰς ἐντολὰς Κυρίου καὶ οὐκ εὐο-

---

4. Cod. 179,13? R. VIII. 26. 2 P. XXII. 2. — 8. Cod. 186,17—20? Glyc. 357, 18—358,4. 2 R. XI. 3,2 P. XXII. 12. — 16. 1 R. XII. 1,2. P. XXIV. 1. — 18. 2. P. XXIV. 2,18. — 23. Καὶ πν. θεοῦ ἐν τὸν Ἀζαρίαν — τὸν ἱερέα καὶ ἀ. ἐπάνω τοῦ λ — ὃς τί π. 2 Par. XXIV. 20—22.

δωθήσεσθε; ὅτι ἐγκατελείπατε τὸν Κύριον, καὶ ἐγκαταλείψει ὑμᾶς»· καὶ ἐπέθεντο αὐτῷ καὶ ἐλιθοβόλησαν αὐτὸν δι' ἐντολῆς Ἰωὰς τοῦ βασιλέως ἐν αὐλῇ οἴκου Κυρίου. Καὶ οὐκ ἐμνήσθη Ἰωὰς τοῦ ἐλέους οὗ ἐποίησεν Ἰωδαὲ, ὁ πατὴρ αὐτοῦ, μετ' αὐτοῦ, ἀλλ' ἐθανάτωσε τὸν υἱὸν αὐτοῦ. Καὶ ὡς ἀπέθνησκεν, εἶπεν· «Ἴδοι Κύριος καὶ κρινάτω». «Καὶ μετὰ ταῦτα ἐπέθεντο οἱ παῖδες αὐτοῦ ἐν αἵματι Ἰωδαὲ τοῦ ἱερέως καὶ ἐθανάτωσαν αὐτὸν ἐν τῷ οἴκῳ αὐτοῦ».

(4) Ἐφ' οὗ καὶ Σίβυλλα ἡ Κυμαῖα ἐγνωρίζετο, καὶ Λυκοῦργος Λακεδαιμονίων ἐνομοθέτει, καὶ Ἴφιτος τὰς Ὀλυμπιάδας συνεστήσεν.

LII. ΠΕΡΙ ΕΛΕΗΜΟΣΥΝΗΣ.

Καὶ ἄνθρωπός τις ἦν ἐν τῷ Ἰσραὴλ πλούσιός τε καὶ ἐλεήμων, ὃς ἐλθὼν πρός τινα τῶν διδασκάλων καὶ ἀναπτύξας τὴν Σοφιαν Σολομῶντος εὗρεν εὐθύς· «Ὁ ἐλεῶν πτωχοὺς δανείζει θεῷ»· καὶ εἰς ἑαυτὸν γενόμενος καὶ κατανυγεὶς, ἀπελθὼν πέπρακε πάντα καὶ διένειμε πτωχοῖς μηδὲν ἑαυτῷ καταλείψας πλὴν νομίσματα δύο· καὶ πτωχεύσας πάνυ καὶ ὑπὸ μηδενὸς ἐκ θείας δοκιμασίας ἐλεούμενος, ὕστερον ἐν ἑαυτῷ λέγει μικροψυχήσας· «ἀπελεύσομαι εἰς Ἱερουσαλὴμ καὶ διακρινοῦμαι τῷ θεῷ, ὅτι ἐπλάνησέ με, διασκορπίσας τὰ ὑπάρχοντά μου». Πορευομένου δὲ αὐτοῦ, εἶδεν ἄνδρας δύο μαχομένους πρὸς ἀλλήλους, εὑρόντας λίθον τίμιον. Καὶ φησὶ πρὸς αὐτούς· «ἵνα τί, ἀδελφοὶ, μάχεσθε; δότε μοι αὐτὸν καὶ λάβετε νομίσματα β'». Τῶν δὲ μετὰ χαρᾶς τοῦτον παρασχόντων — οὐ γὰρ ᾔδεσαν τοῦ λίθου τὸ ὑπερτίμιον — ἀπῆλθεν οὖν εἰς Ἱερουσαλὴμ τὸν λίθον ἐπιφερόμενος καὶ δείξας αὐτὸν χρυσοχόῳ, παραχρῆμα τὸν λίθον ἐκεῖνος ἰδὼν, ἀναστὰς προσεκύνησεν. Καὶ ἐκθάμβος γενόμενος ἐπυνθάνετο ποῦ τὸν θεῖον λίθον τοῦτον τὸν πολύτιμον

1. ἐγκατελίπετε 2 P. — 6. ἀπέθεντο cod. sed cf. 2 Par. XXIV. 25. — 9. Ced. 189,5,10,12 — 10. Ἥφαιστος cod. — 13. Περὶ τοῦ διαδώσαντος τὰ ἑαυτοῦ Ἰουδαίου in margine codicis. Ced. 193,3—194,11.—13. ἐπὶ τούτου (Ἐζεκίου) ἀ. τις ἐγνωρίζετο Ced. — 15. Prov. XIX. 17. — 21. διασκορπίσαντα? διασκορπίσαι Ced.

καὶ ἅγιον εὗρεν. Ἰδοὺ γὰρ ἔτη γ' σήμερον, Ἱερουσαλὴμ δονεῖται καὶ ἀκαταστατεῖ διὰ τὸν περιβόητον λίθον τοῦτον, ἀλλ' ἀπελθὼν δὸς αὐτὸν τῷ ἀρχιερεῖ καὶ σφόδρα πλουτήσεις. Τούτου δὲ ἀπερχομένου, ἄγγελος Κυρίου εἶπε πρὸς τὸν ἀρχιερέα· «νῦν ἐλεύσεται ἄνθρωπος πρός σε τὸν ἀπολεσθέντα πολυθρύλλητον λίθον ἐκ τῆς δικλοΐδος Ἀαρὼν τοῦ ἀρχιερέως ἔχων· λαβὼν αὐτὸν δὸς τῷ ἐνέγκαντι χρυσίον πολὺν καὶ ἀγύριον, ἅμα δὲ καὶ βαπίσας αὐτὸν μετρίως εἰπέ». «Μὴ δίσταζε ἐν τῇ καρδίᾳ σου μηδὲ ἀπίστει τῷ θεῷ σου διὰ τῆς γραφῆς λέγοντι· «Ὁ ἐλεῶν πτωχῷ δανείζει θεῷ». Ἰδοὺ γὰρ ἐν τῷ νῦν αἰῶνι ἐξεπλήρωσά σοι πολλαπλάσιονα ὑπὲρ ὧν ἐδάνεισάς μοι· καὶ εἰ πιστεύσεις, λήψῃ καὶ ἐν τῷ μέλλοντι πλοῦτον ἀνυπέρβλητον». Καὶ ὁ μὲν ἀρχιερεὺς πάντα τὰ διατεταγμένα πεποίηκεν πρὸς τὸν ἄνθρωπον καὶ ἐλάλησεν. Ὁ δὲ ἀκούσας καὶ ἔντρομος γενόμενος, πάντα ἐάσας ἐν τῷ ναῷ ἐξῆλθεν εὐχαριστῶν καὶ πιστεύων τῷ Κυρίῳ καὶ τὰ ἐν τῇ θείᾳ γραφῇ πάντα διηγορευμένα.

LIII. ΒΑΣΙΛΕΙΑ ΑΜΕΣΙΟΥ.

Μετὰ Ἰωὰς ἐβασίλευσεν Ἀμεσίας ὁ υἱὸς αὐτοῦ καὶ ἐποίησε τὸ εὐθὲς ἐνώπιον Κυρίου καὶ ἐπάταξε μὲν τοὺς ψονεύσαντας τὸν πατέρα αὐτοῦ, τοὺς δὲ υἱοὺς αὐτῶν οὐκ ἐθανάτωσεν διὰ τὸ γεγράφθαι· «Οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ υἱῶν, οὔτε υἱοὶ ὑπὲρ πατέρων, ἀλλ' ἕκαστος ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ ἀποθανεῖται». Καὶ ἐσφάγη ἐν τῷ πολέμῳ, βασιλεύσας ἔτη κθ'. (2) Διὸ φησὶν ὁ θεῖος λόγος ἐν ταῖς ἀποστολικαῖς διατάξεσιν. «ἕκαστος ὑπὲρ αὐτοῦ ἀπολογήσεται, καὶ οὐ μὴ συναπολέσῃ ὁ θεὸς τὸν δίκαιον μετὰ ἀδίκου· ἐπὶ περ παρ' αὐτῷ τὸ ἀναμάρτητον ἀτιμώρητον· οὔτε γὰρ τὸν Νῶε κατέκλυσεν οὔτε τὸν Λὼτ κατέφλεξεν, οὔτε μὴν τὴν Ῥαὰβ συναπόλεσε. Εἰ δὲ βούλεσθε γνῶναι τὰ ἐφ' ἡμῶν γενόμενα, οὐκ ἀποκρύψομεν. Ἰούδας σὺν ἡμῖν ὤν, ἔλαβε τὸν κλῆρον τῆς διακονίας, ὃν καὶ ἡμεῖς ἐλάβομεν, καὶ Σίμων ὁ μάγος τὴν ἐν χριστῷ

809 (4347)

---

15. τοῖς—πᾶσι διηγορευμένοις? — 20. Deut. XXIV. 16. — 22. κθ' 2 Par. XXV. 1. ιε' 2 R. XIV. 17, — 23. II. 14. περὶ ἀπ. Anastasius. — 24. ἐξομολογ. ed. — * τοῦ ed. — 55. ἐπεὶ γὰρ τῷ ἀ. cod.? — 28. οὐκ ἀπ. om. ed.—ἐλ. om. ed. — 29. κῷ ed.

σφραγίδα· ἀλλ' ἑκάτερος αὐτῶν ἀναφανεὶς φαῦλος, ὁ μὲν ἀπήγξατο, ὁ δὲ παρὰ φύσιν ἱπταμένος συνετρίβη· καὶ ἐν τῇ κιβωτῷ Νῶε καὶ οἱ υἱοὶ αὐτοῦ ὑπῆρχον· ἀλλὰ πονηρὸς ὁ Χάμ. εὑρεθείς, μόνος τὴν τιμωρίαν ἐδέξατο. Εἰ δὲ * πατέρες ὑπὲρ παίδων οὐ τιμωροῦνται, οὔτε υἱοὶ ὑπὲρ πατέρων, δῆλον ὡς οὐδὲ γυναῖκες ὑπὲρ ἀνδρῶν, οὐδὲ οἰκέται ὑπὲρ δεσποτῶν, οὔτε συγγενεῖς ὑπὲρ συγγενῶν, οὔτε φίλοι ὑπὲρ φίλων, οὔτε δίκαιοι ὑπὲρ ἀδίκων, ἀλλ' ἕκαστος ὑπὲρ τοῦ ἰδίου ἔργου τὸν λόγον ἀπαιτηθήσεται. Οὔτε γὰρ Νῶε ὑπὲρ τοῦ κόσμου καὶ σὺν τῷ κόσμῳ κατεκλύσθη, οὔτε Λὼτ ὑπὲρ Σοδόμων ἐπυρπολήθη, οὔτε Ῥαὰβ ὑπὲρ Ἰεριχουντίων ἐσφάγη, οὔτε ** Ἰσραὴλ ὑπὲρ Αἰγυπτίων κατεποντώθη—οὐ γὰρ ἡ συνοίκησις καταδικάζει, ἀλλ' ἡ τῆς γνώμης ὁμόνοια. — Οὐ τοίνυν ἕτερος ὑπὲρ ἑτέρου ἀποθανεῖται, ἀλλὰ «σειραῖς τῶν ἑαυτοῦ ἁμαρτημάτων ἕκαστος σφίγγεται» καὶ «ἰδοὺ ἄνθρωπος καὶ τὸ ἔργον αὐτοῦ πρὸ προσώπου αὐτοῦ» — καὶ «δικαιοσύνη δικαίου ἐπ' αὐτὸν ἔσται. «Ἕκαστον κατὰ τὴν ὁδὸν ὑμῶν κρινῶ ὑμᾶς, οἶκος Ἰσραὴλ, λέγει Κύριος ὁ θεός» — καὶ· «Τί ὑμεῖς λέγετε *** τὴν παραβολὴν ταύτην. Οἱ πατέρες ἔφαγον τοὺς ὄμφακας καὶ οἱ ὀδόντες τῶν τέκνων ἠμωδίασαν;» · «ζῶ ἐγώ, λέγει Ἀδοναὶ Κύριος, εἰ ἔστιν ἐν ὑμῖν ἔτι λεγομένη ἡ παραβολὴ αὕτη ἐν Ἰσραὴλ, ὅτι πᾶσαι αἱ ψυχαὶ ἐμαί εἰσιν· ὃν τρόπον ἡ ψυχὴ τοῦ πατρὸς, οὕτως ἡ ψυχὴ τοῦ υἱοῦ ἐμή ἐστιν· ἡ ψυχὴ ἡ ἁμαρτάνουσα, αὐτὴ καὶ ἀποθανεῖται.

LIV. ΒΑΣΙΛΕΙΑ ΟΖΙΟΥ.

780 (4376) Μετὰ δὲ Ἀμεσίαν ἐβασίλευσεν Ὀζίας ὁ καὶ Ἀζαρίας, ὁ υἱὸς αὐτοῦ, καὶ ἐποίησε τὸ εὐθὲς ἐνώπιον Κυρίου καὶ εὐωδούμενος ἐπήρθη καὶ ἠθέλησε θυμιάσαι τῷ θεῷ αὐτοῦ δι' ἑαυτοῦ, ὅπερ μόνοις

---

*1. ἀναδειχθεὶς ed. — 4. μ. εἰς τὸν ὕν ἐδ. τ. ed. ex emendatione, μ. ἐδ. τ. Anastasius. — * καὶ ed. — 8. οἰκείου ed. — 9. κόσμου δίκην εἰσεπράχθη ἄτε ed. — ** ὁ ed. — 11. κατ. om. ed. sed. habit Anastasius. — συν. κατακρίνει τοὺς δικαίους σὺν τοῖς ἀδίκοις ἀλλ' ed. — 12. Prov. V. 22. — 13. ἁμαρτῶν ed. — Ies. LXII. 11.— 14. Ez. XVIII. 20,30. — Ier. XXXI. 29. — *** αὐτοῖς ed. — 17. ὄμφακα ed.— 18. Ez. XVIII. 3,4. om. κ̣ς. — 19. ἐὰν γένηται Ez. — 24. Cod. 180,6 — 10? 2 R. XV, 2;2 P. XXVI. 1,3.

ἔξεστι τοῖς ἱερεῦσιν· καὶ δὴ θυμιάσας ἐν τῷ ναῷ εὐθὺς ἐλεπρώθη καὶ οὕτως ἐτελεύτησε, βασιλεύσας ἔτη νβ'. — (2) Περὶ οὗ καὶ ὁ Χρυσόστομος φησίν. «Ὁ οὖν Ὀζίας ἡνίκα ἴσχυσεν, οὐκ ἤνεγκε τῆς δυναστείας τὸ μέγεθος, ἀλλ' ὥσπερ ἐξ ἀδηφαγίας μὲν γίνεται φλεγμονή, ἐκ δὲ φλεγμονῆς τίκτεται πυρετὸς, εἶτα θάνατος ἐκεῖθεν πολλάκις· οὕτω κἀνταῦθα ἀπὸ τῆς τῶν (39ᵃ) πραγμάτων ὑπερβολῆς, ἀπονοία γέγονεν· ὅπερ γὰρ ἐπὶ τῶν σωμάτων φλεγμονή, τοῦτο ἐπὶ τῆς ψυχῆς, [ἀπόνοια], εἶτα ἐξ ἀπονοίας ἐπιθυμία τῶν οὐ προσηκόντων» ἐπακολουθεῖν εἴωθεν. — Οὕτως οὖν λοιπὸν «ὑψώθη ἡ καρδία αὐτοῦ, καὶ οὐκ ἔμεινεν ἔνδον ἡ ἀπόνοια οὐδὲ ἀπεσβέσθη, ἀλλ' ἐξώκειλεν καὶ πρὸς ἔργον ἐλθοῦσα πονηρὸν, πᾶσαν αὐτοῦ τὴν ἀρετὴν διεφθειρεν»· — φησὶ γάρ. «Καὶ ὡς κατίσχυσεν ὑψώθη ἡ καρδία αὐτοῦ καταφθεῖραι καὶ ἠδίκησεν ἐν Κυρίῳ θεῷ αὐτοῦ, καὶ εἰσελθὼν εἰς τὸν ναὸν τοῦ θεοῦ θυμιάσαι ἐπὶ τὸ θυσιαστήριον τοῦ θυμιάματος· εἰσῆλθεν ὀπίσω αὐτοῦ Ζαχαρίας ὁ ἀρχιερεὺς καὶ μετ' αὐτοῦ ἱερεῖς Κυρίου π' λέγοντες· «Οὐ σοί ἐστιν, Ὀζία, θυμιάσαι τῷ θεῷ, ἀλλὰ τοῖς ἱερεῦσιν τοῖς υἱοῖς Ἀαρὼν, τοῖς ἡγιασμένοις· ἔξελθε οὖν ἀπὸ τοῦ ἁγιάσματος, ὅτι ἀπέστης ἀπὸ Κυρίου, καὶ οὐκ ἔσται σοι τοῦτο εἰς δόξαν παρὰ Κυρίου, θεοῦ Ἰσραήλ». Καὶ ἐν τῷ θυμωθῆναι αὐτὸν πρὸς τοὺς ἱερεῖς, καὶ τὸ θυμιατήριον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἐξανέτειλεν ἡ λέπρα ἐν τῷ μετώπῳ αὐτοῦ ἐναντίον τῶν ἱερέων ἐν οἴκῳ Κυρίου»· — καὶ κατέσπασαν αὐτὸν ἐκεῖθεν, καὶ γὰρ αὐτὸς ἔσπευσεν ἐξελθεῖν, ὅτι ἤλεγξεν αὐτὸν ὁ Κύριος. «Καὶ ἦν λεπρὸς καθήμενος ἐν τῷ οἴκῳ αὐτοῦ μέχρι τελευτῆς, ὅτι ἀπεσχίσθη ἀπὸ οἴκου Κυρίου».

(3) Ἐφ' οὗ σεισμὸς μέγας ἐκεῖσε, καὶ διαῤῥαγέντος ὄρους μεγίστου, κατεκυλίσθη πρὸς τὴν πεδιάδα σταδίους μ'.

---

3. VI. 118. E, 119. B. — 4. ἀδιαφ. cod. — 5. φ. δὲ ed. — ἐκ. 3. ed. — 7. περιβ. ed. adjuncto πολλῆς quod in 3 Ms. deest. — 8. τῶν ψυχῶν ἀπόνοια ed. — 8. πρ. αὐτῷ πραγμάτων ed. — 11. κατεσβ. ed. — ἐξεπήδησε ed. — 11. δ. τὴν ἀρ. ed. — 12. 2 Par. XXVI. 16 — 20. — 17. Οὐ σοὶ Ὀ. 2 Par. — 26. ἐκεῖσαι cod. διαπήθη?

LVI. ΒΑΣΙΛΕΙΑ ΙΩΑΘΑΜ.

748 (4428) Μετὰ δὲ Ὀζίαν ἐβασίλευσε Ἰωάθαμ, ὁ υἱὸς αὐτοῦ, καὶ ἐποίησε τὸ εὐθὲς ἐνώπιον Κυρίου καὶ ἐτελεύτησε βασιλεύσας ἔτη ιζ'.

LVII. ΒΑΣΙΛΕΙΑ ΑΧΑΖ.

732 (4444) Μετὰ δὲ Ἰωάθαμ ἐβασίλευσεν Ἄχαζ ὁ υἱὸς αὐτοῦ καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου καὶ ἐτελεύτησε βασιλεύσας ἔτη ις'. (2) Ὃν καὶ πολεμήσας Φακεὲ βασιλεὺς Ἰσραὴλ, ἀνεῖλεν ἄνδρας μὲν δυνατοὺς ἐν ἡμέρᾳ μιᾷ χιλιάδας ρ', γυναῖκας δὲ καὶ παῖδας ᾐχμαλώτευσε χιλιάδας τ'.

LVIII. ΒΑΣΙΛΕΙΑ ΕΖΕΚΙΟΥ.

726 (4460) Μετὰ δὲ Ἄχαζ ἐβασίλευσεν Ἐζεκίας ὁ υἱὸς αὐτοῦ ἔτη ν' καὶ ἐποίησε τὸ εὐθὲς ἐνώπιον Κυρίου καὶ ἐτελεύτησε. (2) Ἐφ' οὗ ἦν ὁ Μωσαϊκὸς χαλκὸς ὄφις· ἔτι γὰρ αὐτῷ οἱ Ἰουδαῖοι μετὰ τῶν ἄλλων βδελλυγμάτων ἐθυμίων, ὃν καὶ ἠφάνισεν Ἐζεκίας ὥσπερ δὴ καὶ τὰς βίβλους τοῦ Σολομῶντος περὶ τῶν παραβολῶν καὶ ᾠδῶν, ἐν αἷς περὶ φυτῶν καὶ παντοίων ζώων φυσιολογία (ὡς προείρηται). (3) Ἐφ' ὧν χρόνων Ῥῶμος καὶ Ῥῆμος ἐβασίλευσαν ἐν Ῥώμῃ καὶ Σίβυλλα ἡ Ἐρυθραία ἐγνωρίζετο καὶ Σαλμανᾶς, ὁ τῶν Ἀσσυρίων βασιλεὺς παραλαβὼν τὴν ἐν Σαμαρείᾳ βασιλείαν Ἰσραὴλ, τὰς ὑπ' αὐτὴν ι' φυλὰς ᾐχμαλώτευσεν. (4) Κατὰ δὲ Ἐζεκίου ἀνέβη Σεναχειρίμ, ὁ διάδοχος Σαλμανάσαρ, καὶ πλεῖστα μεγαλορρημονήσας κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ λαοῦ, παρεκλήθη ὁ διασκεδάζων

---

2. Cod. 189,12? — 3. ις' 2 R. XV. 33,2 P. XXVII. 1, Cod. — 4. 2 R. XVI. 2,2. P. XXVIII. 1. σχόλιον. Τῷ Ἄχαζ συνήρχετο καὶ Ῥώμυλος ὁ κτίσας τὴν Ῥώμην. κτισθῆναι δὲ φασὶ τὴν Ρώμην ὑπ' αὐτοῦ τῷ ιγ' ἔτει, τῇ ια' Μαΐου ἰσταμένου μεταξὺ δύο ὡρῶν Cod. 289,16 — 18. — 8. ρκ' 2 P. XXVIII. 6,8. — 11. Cod. 189,20 — 190,21. — κθ' 2 R. XVIII. 2,2 P. XXIX. 1. Cod. — 13. αὐτὸν cod. sed. cf. 2 R. XVIII. 4. ubi de Salomonis libris nihil nec in Par. sed ex Eusebio petita sunt haec. — 20. Cod. 191,4—14.

βουλὰς ἐϑνῶν καὶ ἀϑετῶν λογισμοὺς λαῶν καὶ βουλὰς ἀρχόντων (καὶ φρονήματα ἀποστρέφων εἰς τὰ ὀπίσω καὶ τὴν βουλὴν αὐτῶν μωραίνων)· καὶ ἀποστείλας ἄγγελον, ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς τῶν Ἀσσυρίων ρπε' χιλιάδας· καὶ οὕτως μετ' αἰσχύνης καὶ λύπης ὁ Σεναχειρὶμ ἀναζεύξας εἰς Νινευΐ, δεινῶς ἀνῄρει τοὺς αἰχμαλωτισϑέντας ὑπὸ Σαλμανάσαρ ἀπὸ Σαμαρείας τοῦ Ἰσραὴλ, ὃν αὐτίκα (ἡ) ϑεία δίκη μετελϑοῦσα*.... (39ᵇ) καὶ ὑπὸ τῶν ἰδίων τέκνων ἀναιρεϑεὶς ἐπαύϑη τῆς αἰχμαλωσίας ἄδικος σφαγὴ διὰ τῆς ἐνδίκου ἀναιρέσεως.

LIX. ΠΕΡΙ ΤΟΥ ΤΩΒΙΤ ΚΑΙ ΑΓΓΕΛΟΥ.

Ἐξ ἧς αἰχμαλωσίας ὑπῆρχέ τις ἐλεήμων ἄνϑρωπος τοὔνομα Τωβὶτ πολλὴν ἔχων σπουδὴν εἰς τὸ ϑάπτειν τοὺς ἀποϑνήσκοντας τῶν Ἰουδαίων, περὶ ὧν διαβληϑεὶς τῷ βασιλεῖ καὶ φυγὼν ἐκοιμήϑη ἔξω τοῦ τείχους· καὶ ὡς εἴωϑεν πολλάκις γίνεσϑαι κοιμώμενος καὶ τοὺς ὀφϑαλμοὺς ἀνεωγμένους ἔχων, στρουϑίον ἀφοδεῦσαν εἰς τοὺς ὀφϑαλμοὺς αὐτοῦ λευκόμματον πεποίηκεν. (2) Ἦν δὲ καὶ ἐν Ἐκβατάνοις κόρη συγγενὴς αὐτοῦ, ἥτις ἑπτὰ ἄνδρας λαβοῦσα καὶ πάντων ὑπὸ δαίμονος ἀναιρουμένων πρὸ τοῦ γνῶναι ταύτην, ηὔξατο· καὶ ἀπέστειλεν αὐτῇ βοηϑὸν ὁ ϑεός, τὸν ἄγγελον Ῥαφαήλ. (3) Ὁ οὖν Τωβὶϑ παραγγείλας τῷ υἱῷ αὐτοῦ Τωβίᾳ μὴ λαχεῖν ἀλλαχόϑεν γυναῖκα εἰ μὴ ἐκ τῆς φυλῆς τοῦ γένους αὐτοῦ, κατὰ τὸν νόμον, δίηωσιν αὐτῷ χειρόγραφον περὶ ταλάντων ι' χρυσίου, ἃ καὶ παρέϑετο ἐν τῇ Μηδίᾳ, πρὸς τὸ ἀπελϑεῖν καὶ λαβεῖν αὐτὰ διὰ τάχους. (4) Τοῦ δὲ παιδίου ζητοῦντος συνοδοιπόρον ὡς τὴν ὁδὸν ἀγνοοῦντος, εὑρίσκει ϑεοῦ προνοίᾳ τὸν ἄγγελον Ῥαφαὴλ ὡς ἄνϑρωπον ἑστῶτα, ὃν μισϑωσάμενος, εἰδέναι τὴν ὁδὸν λέγοντα καὶ Ἀζαρίαν ὀνομαζόμενον, συνοδεύει τούτῳ. (5) Καὶ δὴ ἐλϑόντων αὐτῶν εἰς τὸν ποταμὸν Τίγριν καὶ τοῦ παιδὸς εἰσελϑόντος λούσασϑαι, ἰχϑύος αὐτῷ

---

5 ἀνείρητ. cod. — — ✓ ἐπάταξε προσκυνήσας γὰρ ἐν οἴκῳ τοῦ ϑεοῦ αὐτοῦ 2 R. XIX. 37; 3 vel 4 vocabula erasa sunt h. l. [μαρτυ]ρίου. ϑου χάριν a secunda manu? — 8. ἀναιρεϑέντος Cod. — 11. Cod. 191,15—193,2. — 24. ἀγνοοῦντα cod.

μεγάλου ἐπιπηδήσαντος, εἶπεν αὐτῷ ὁ ἄγγελος ἐπιλαβέσθαι τοῦ ἰχθύος καὶ τεμεῖν αὐτοῦ τὴν γαστέρα καὶ λαβεῖν τό τε ἧπαρ καὶ καρδίαν καὶ τὴν χολὴν καὶ φυλάττειν. Τοῦ δὲ πυνθανομένου τὸ χρήσιμον, αὐτῶν· «τὸ μὲν ἧπαρ, φησίν, καὶ ἡ καρδία θυμιώμενα διώκει δαίμονας, ἡ δὲ χολὴ καθαρίζει λευκόμματον. (6) Εἶτα ὁ παῖς λαμβάνει τὴν ἐκ τοῦ γένους αὐτοῦ προλεχθεῖσαν κόρην εἰς γυναῖκα, τῇ συμβουλῇ καὶ συνεργείᾳ τοῦ ἀγγέλου διωχθέντος τοῦ πονήρου δαίμονος ἐν τῷ θυμιάματι τούτῳ. (7) Ὁ δὲ ἄγγελος ὁ καὶ Ἀζαρίας ἀπελθὼν εἰς τὴν Μηδίαν καὶ τὰ ι' τάλαντα λαβὼν ὑποστρέφει μετὰ τῆς γυναικὸς καὶ τοῦ παιδὸς πρὸς τὸν πατέρα Τωβὶτ, οὗ τοὺς ὀφθαλμοὺς ὁ παῖς τῇ χολῇ τοῦ ἰχθύος ἐπιχρίσας, καὶ παρευθὺ ὁ Τωβὶτ ἀναβλέψας ἐφανέρωσεν ἑαυτὸν ὁ ἄγγελος, ὅτι οὐκ ἄνθρωπός ἐστιν, ἀλλὰ παρὰ θεοῦ ἄγγελος ἀπεσταλὴ πρὸς βοήθειαν αὐτοῖς τε καὶ τῇ κόρῃ Σαῤῥᾷ, διὰ τὴν αὐτῶν εὐσέβειαν, λέγων πρὸς αὐτούς. «Μυστήριον βασιλέως κρύπτειν καλόν, τὰ δὲ ἔργα τοῦ θεοῦ ἀνυμνεῖν ἐνδόξως ἀγαθόν». (8) Ὅθεν φησὶν ὁ Χρυσόστομος· — Οὐκοῦν «ἀγγέλους ἐγκωμιάζειν χρή, καὶ γὰρ αὐτοὶ τὸν δημιουργὸν ἀσίγητον ὑμνοῦντες ὕλεων αὐτὸν καὶ εὐμενῆ τοῖς ἀνθρώποις παρασκευάζουσιν· ἀγγέλους δέ φημι, τοὺς ὑμετέρους συμμάχους, τοὺς κατὰ τῶν ἀντικειμένων δυναμένων ἐκστρατεύοντας, ὧν* ἐστιν ὁ ἀρχάγγελος Μιχαὴλ, πρὸς μὲν τὸν διάβολον ὑπὲρ τοῦ Μωσέως σώματος ἀντιτασσόμενος, πρὸς δὲ τὸν ἄρχοντα* Περσῶν ὑπὲρ τῆς ἐλευθερίας τοῦ λαοῦ ἀνθιστάμενος· προστάγματι γὰρ θεοῦ τὴν πᾶσαν κτίσιν διαλαχόντες καὶ τῶν ἐθνῶν τοῖς κρατίστοις ἐπι (40ᵃ) στατοῦντες, τὸν μὲν Γαβριὴλ τοὺς Πέρσας ἐφορᾶν ἐδικαίωσεν, τὸν δὲ Μιχαὴλ τὸν ἐκ περιτομῆς λαὸν φρουρεῖν ἐκέλευσεν, ἀλλὰ κατὰ θεῖον τινὰ καὶ ἀπόῤῥητον λόγον, τοῦ μὲν δουλεύειν Ἰουδαίους Πέρσαις ἀναγκάζοντος, τοῦ δὲ πρὸς ἐλευθερίαν ἀνθέλκοντος καὶ συνεχῶς τὰς ἱκεσίας τῷ θεῷ προσάγοντος καὶ λέγοντος· «Κύριε παντοκράτωρ, ἕως τίνος οὐ μὴ ἐλεήσῃς τὴν Ἱερουσαλὴμ καὶ τὰς πόλεις Ἰούδα, ἃς παρεῖδες τοῦτο

4. Tob. VI. 7. — 15. Tob. XII. 11. — 17. VIII. 285 A — 286 D. — 18. δ. ὑ. Chr. — 19. παρέχουσιν Chr. — 20. δυνάμεως cod.? — εἰς Chr. — 22. ὑ. M. Chr. * τῶν Chr. — 23. λ. ἐλ. ἀντ. om. seqq. Chr. — 30. Zach. I. 12.

ἑβδομηκοστὸν ἔτος»; Ὃν εἶδεν ἐν τῇ ὁράσει Δανιὴλ πετόμενον «καὶ τὸ πρόσωπον αὐτοῦ ὡς ὅρασις ἀστραπῆς, φησὶν, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡσεὶ λαμπάδες πυρὸς, καὶ οἱ βραχίονες αὐτοῦ καὶ τὰ σκέλη ὡς ὅρασις χαλκοῦ στίλβοντος, καὶ ἡ φωνὴ αὐτοῦ ὡς φωνὴ ὄχλου».) Ὃν ἐστιν * ὁ τὴν ὄνον ἀποστρέφων καὶ Βαλαὰμ τῆς ἀποτόμου μαντείας ἔιργων, — ὧν ἐστιν ὁ τὴν μαχαίραν σπασάμενος καὶ τὸν υἱὸν τοῦ Ναυῆ συμπλέκεσθαι τοῖς πολεμίοις διὰ τοῦ σχήματος προτρεπόμενος, ὧν ἐστιν ὁ τὰς ρπε' χιλιάδας τῶν Ἀσσυρίων ἐν μιᾷ νυκτὶ πατάξας καὶ τῷ ὕπνῳ τῶν βαρβάρων συνάψας τὸν θάνατον, ὧν ἐστιν ὁ τὸν προφήτην Ἀμβακοὺμ ἀερίῳ μετακομίσας πηδήματι, ἵνα τὸν προφήτην Δανιὴλ μέσον τῶν λεόντων διαθρέψῃ. Οὗτοι μὲν οὖν οὗτοι καὶ οἱ τοιοῦτοι κατὰ ἐχθρῶν ἀριστεύουσιν· ὁποῖος ἦν ὁ θεσπέσιος Ῥαφαὴλ δί ἑνὸς ἰχθύος ἀνατομῆς δαιμονιῶσαν κόρην ἰασάμενος καὶ τυφλὸν γέροντα τὸν ἥλιον βλέπειν τεχνησάμενος». — «Ἆρ' οὖν * μεγίστης ἄξιοι τιμῆς οἱ τὴν ἡμετέραν ζωὴν διαφυλάττοντες· οὐ γὰρ μόνον φρουροὶ ἐτάχθησαν ἄγγελοι ἐθνῶν κατὰ τὸ εἰρημένον· «ὅτε διεμέριζεν ἔθνη ὁ ὕψιστος, ὡς διέσπειρεν υἱοὺς Ἀδάμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ», ἀλλὰ καὶ τῶν πιστῶν ἀνθρώπων ἑκάστῳ ἔλαχεν ἄγγελος. Τῆς γὰρ παιδίσκης Ῥόδης ἀπαγγελλούσης τοῖς ἀποστόλοις πρὸ (τῶν) θυρῶν ἑστάναι Πέτρον τὸ (τοῦ) Ἡρῴδου δεσμωτήριον διαδράντα, ἔλεγον ἀπιστοῦντες· «Ὁ ἄγγελος αὐτοῦ ἐστιν». Ἐπιμαρτυρεῖ δὲ τούτοις καὶ ὁ Κύριος λέγων· «Ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων, λέγω γὰρ ὑμῖν ὅτι οἱ ἄγγελοι αὐτῶν διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς», Καὶ μέντοι καὶ καθ' ἑκάστην ἐκκλησίαν φύλακας ἀγγέλους ἐπέστησεν ὁ Χριστὸς, καθὼς ἀποκαλύπτων Ἰωάννῃ φησί· «Εἰπὲ τῷ ἀγγέλῳ τῆς ἐκκλη-

---

* ἐκεῖνος Chr. — 5. καταστ. Chr. — ἀτόπου Chr. — 7. Ἰησοῦν, (ἵν pro οὗν) Chr. — πολέμοις πρ. Chr. — 10. τῷ πρσφήτῃ cod. — 11. ἐν μέσῳ τῶν ἀγεύστων λ. γεύσῃ τροφῆς Chr. — 12. τῶν ἐ. εἰσι οἳ καὶ κατὰ τῶν παθῶν ἀριστεύουσιν Chr. — 13. ἦν καὶ ὁ θαυμάσιος καὶ θ. Chr. — ἱστάμενος Chr. — 15. καὶ γέροντι τυφλῷ τὸ φῶς τεχνασάμενος Chr. τεχνασ. cod. — * οὐ Chr. — 16. διϊθύνοντες Chr. — ἐθνηφουρεῖν ἐτ. ἀγ. καθὼς βοᾶ τὸ λόγιον Chr. — 17. Deut. XXXII. 8. — 19. ἀ. γὰρ τῶν ἀνω» Chr. — 21. δ. δεσμ. ἀπ. ἐλ. Chr. — Act. XII. 15. — 24. καὶ ὁ σωτὴρ τούτοις Chr. — Mt. XVIII. 10. — 27. Καθ' ἑκ. δὲ ἐ. ἐπ. ἀ. φ. ὁ χς Chr. — Ap. II. 8.

σίας Σμύρνης· «Οἶδα σου τὴν πενίαν καὶ τὴν ϑλῖψιν· ἀλλὰ πλούσιος εἶ»— «Καλὸν οὖν ἡμᾶς ϑησαυρίζειν τὰ ἐπουράνια, πτωχοὺς τρέφοντας, ξένους ξενίζοντας καὶ τῆς καλλίστης εὐχῆς μὴ ἀμελεῖν πετὲ», ἅπερ ϑεωροῦντες ἄγγελοι ἐπὶ τὸν δίκαιον κριτὴν καὶ μισϑαποδότην ἀναφέρουσιν ὡς καὶ πραστάτας λέγειν αὐτοὺς τῷ ἐργαζομένῳ τὸ ἀγαϑὸν (ὡς λέγει πρὸς Κορνήλιον)· «Αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἔμπροσϑεν τοῦ ϑεοῦ». (9) Εἰκότως οὖν τοὺς ἀγαπῶντας ἡμᾶς ἀγγέλους γεραίρομεν ὡς ὑπὲρ ἡμῶν (40ᵇ) τῷ δεσπότῃ πρεσβεύοντας. Καὶ γὰρ «λειτουργικὰ πνεύματά εἰσι κατὰ τὸν ἀπόστολον εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομῆσαι σωτηρίαν», οἷς καὶ ὑπερμαχοῦσι καὶ συμμαχοῦσι, καϑὼς ἀρτίως ἠκουσας τοῦ Δανιὴλ, πῶς φέρει τὸν ἀρχάγγελον Μιχαὴλ, τῷ πασῶν ἐφόρῳ διαπληκτιζόμενον ἢπερ τῆς ἡμῶν ἐλευϑερίας. Ὁ μὲν γὰρ τὸν λαὸν δουλεύειν τοῖς Πέρσαις ἠνάγκαζεν, ὡς εἴρηται· ὁ δὲ λῦσαι τὴν αἰχμαλωσίαν ἐσπούδαζεν. Καὶ νικᾷ Μιχαὴλ τὸν ἀντίπαλον· καὶ τὸν Εὐφράτην Ἰουδαῖοι περάσαντες, τὴν πατρῴαν πάλιν ἑστίαν ἀπέλαβον καὶ τὴν πόλιν καὶ τὸν ναὸν ᾠκοδόμησαν. (10) «Ὁμοίως δὲ καὶ ὁ μέγας Ἐπιφάνιος ἔφη· «Ἑκάστῳ ἔϑνει ἀγγέλον ἐφεστάναι φησὶν ἡ ϑεία γραφή. Ὁ γὰρ τῷ Δανιὴλ προσλεγόμενος ἄγγελος καὶ ἄρχοντα Περσῶν εἴρηκεν καὶ ἄρχοντα Ἑλλήνων καὶ τὸν Μιχαὴλ ἄρχοντα τῶν Ἰουδαίων λέγει. καὶ Μωϋσῆς· «Ἐστησεν ὅρια ἐϑνῶν κατὰ ἀριϑμὸν ἀγγέλων ϑεοῦ». Διὸ καὶ Ἰωάννης ἐν τῇ ἀποκαλύψει φάσκει· «Λῦσον τοὺς δ' ἀγγέλους τοὺς ἐπὶ τοῦ Εὐφράτου ἐφεστα-μένους»· δῆλον ὅτι καὶ ἐπεχομένους ἐπιτρέπειν* ἔϑνεσιν εἰς πόλεμον. ἕως καιροῦ μακροϑυμίας Κυρίου· καὶ προστάσσει δὲ αὐτῶν ἐκδικίαν γίνεσϑαι τῶν ἁγίων αὐτῶν. Κρατοῦντες γὰρ οἱ ἐπιτεταγμένοι ἄγγελοι ὑπὸ τοῦ ϑείου πνεύματος, μὴ ἔχοντες καιρὸν ἐπιδρομῆς, διὰ τὸ μηδέπω λύειν αὐτοῖς τὴν δίκην, τοῦ τὰ ποιπὰ

---

2. Καλῶν Chr. — 3. τρέφειν, ἀσϑενεῖς ἐπισκέπτεσϑαι κτλ. Chr. — 6. Ταῦτα γὰρ ἀ. Θ. ἐπὶ τὸν κρ. τῶν ὅλων ἀν. ὁ δὲ προστάττει λέγων αὐτοῖς τῷ ἑ. τὸ ἀγ. Chr.— Act. X. 4.—9. Heb. I. 14.—13. πάντων?—19. Haer. II. 34.—22. Deut. XXXII. 8.— 24. Ap. IX. 14. — * τοῖς Ep. — 26. προστάξει Ep. — 27. τῶν ἁ. ἁγ. Ep. — 27. Κρατηϑέντες? Ἐκρατοῦντο Ep. — 29. ὑπὸ τοῦ πμς Ep. — 29. αὐτοὺς cod.

ἔϑνη λύεσϑαι, τῆς εἰς τοὺς ἁγίους ὕβρεως ἕνεκα· λύονται γὰρ οἱ τοιοῦτοι καὶ ἐπέρχονται τῇ γῇ, καϑὼς φησὶν Ἰωάννης καὶ οἱ προφῆται, καὶ * κινούμενοι ** κινοῦσιν εἰς ὁρμὴν ἐκδικίας τὰ ἔϑνη».

(11) Καὶ μέντοι γε ὁ ϑαυμάσιος Νικηφόρος Κωνσταντινουπόλεως ἔφη· «Ἴσμεν δὲ καὶ πιστεύομεν τὰς τρὸς ϑεὸν δοξολογίας ἡμῶν διὰ τῶν ἁγίων ἀγγέλων προσάγεσϑαι, εἴπερ ἐστὶν ἀληϑὲς τό»· «Οἱ ἄγγελοι αὐτῶν διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς», τί πράττοντες ἢ τί λέγοντες ἢ πάντως γε τὰς αἰτήσεις ἡμῶν εἰς τὰ ὦτα Κυρίου Σαβαὼϑ εἰσάγοντες, ἵλεον ἡμῖν αὐτὸν ἐπὶ τοῖς πεπραγμένοις παρασκευάζουσιν. (12) Ὅϑεν δὴ λοιπὸν εἰς τιμὴν αὐτῶν καὶ ναοὺς ἐγείρομεν καὶ πνευματικῶς ἑορτάζοντες, δοξολογοῦμεν ϑεὸν τὸν δοξάσαντα αὐτούς τε καὶ τοὺς ἁγίους πάντας, ὧν τὴν τάξιν γέ τοι καὶ στάσιν ἅμα καὶ τὴν ὑπεροχὴν τοῦ ϑείου φωτισμοῦ καὶ ὅπως ὑπερεχόντως μεταδιδόασιν τοῦ τε φωτισμοῦ καὶ τῆς γνώσεως, παρὰ τοῦ χριστοφόρου μυηϑεὶς ὁ ἀποστολικὸς Διονύσιος οὕτως ἔφη· «Πάσας ἡ ϑεολογία τὰς οὐρανίας δυνάμεις ἐννέα κέκληκεν ἐκφαντορικαῖς ἐπωνυμίαις — καὶ εἰς τρεῖς διαφορίζει τριαδικὰς διακοσμήσεις. Καὶ πρώτην μὲν εἶναι φησὶ τὴν περὶ ϑεὸν Οὐσίαν ἀεὶ καὶ προσεχῶς αὐτῷ καὶ πρὸ τῶν ἄλλων ἀμέσως ἡνῶσϑαι παραδεδομένην, [β] τούς τε γὰρ ἀγιωτάτους Θρόνους, [γ] καὶ τὰ πολυόμματα καὶ τὰ πολύπτερα Χερουβίμ, τῇ Ἑβραίων φωνῇ καὶ Σεραφὶμ ὠνομασμένα.—Καὶ ἀμέσως ἱδρύεσϑαι φησὶ, παραδιδόναι τὴν τῶν ἱερῶν λογίων ἐκφαντορίαν. Τὸν τριαδικὸν οὖν τοῦτον διάκοσμον ὡς ἕνα καὶ ὁμοταγῆ καὶ ὄντως πρώτην ἱεραρχίαν, ὁ κλεινὸς ἡμῶν ἔφη καϑηγεμὼν, ἧς οὐκ ἔστιν ἑτέρα ϑεοειδεστέρα καὶ [τοῖς] πρωτουργοῖς τῆς ϑεαρχίας (41ᵃ) ἐλλάμψεσιν ἀμέσως προσεχεστέρα. Δευτέραν δέ εἶναι τὴν [ὑπὸ] τῶν Ἐξουσιῶν καὶ Κυριοτήτων καὶ Δυνάμεων συμπληρουμένην, καὶ τρίτην ἐπ' ἐσχάτων τῶν οὐρανίων ἱεραρχιῶν τὴν τῶν *** Ἀρχῶν καὶ

---

1. ἐν. τῆς π. τ. ἁ. ὑ. Ep. — 2. ὡς Ἰωάννης προφητεύτει καὶ οἱ λοιποὶ πρ. Ep.— * γὰρ Ep. — ** οἱ ἄγγελοι Ep. — 3. κ. τὰ ἐ. εἰς ὁ. ἐ. Ep. — 4. In libro de Cherubinis Bibl. Max. XIV. 21 hoc non invenitur. — 5. ϑῦ cod. — 16. VI. 2 ὁ. οὐσίας ϑ'? — 18. ἀφ. Dion. — 19. αὐτῇ cod. — 20. ἡνωϑεντ. cod. — 22. καὶ π. τάγματα Χ. Ἐ. Dion. — *** Ἀρχαγγέλων καὶ? inter ἀγγ. et ἀρχ. Dion.

Ἀγγέλων διακόσμησιν». — (13) Ἰστέον οὖν ὡς οὐκ ἄλλου τινὸς ἀγγέλου προσηγορίαν ἐδήλωσεν ἡ γραφὴ παντελῶς ἢ μόνον τῶν τριῶν τούτων, Μιχαὴλ, Γαβριὴλ καὶ Ῥαφαήλ. Οὐκοῦν ἐματαιώϑησαν ἐκ διαμέτρου καὶ πεπλάνηνται λίαν οἱ πλαστουργοῦντες καὶ παρεισφέροντες ἑτέρας ὀνομασίας ἀγγέλων ἐπ' ὀλέϑρῳ τῆς ἀνοσίου καὶ παναϑλίου αὐτῶν ψυχῆς καὶ ἐπὶ καταστροφῇ τῶν ἀκουόντων καὶ πειϑομένων τῇ ϑεοστυγεῖ πλάνῃ τῶν δυσωνύμων καὶ πλαστωνύμων αἱρετικῶν; Ἀμέλει γέ τοι καὶ τοιοῦτοι εἰσὶ καὶ τηλικαύτης δόξης ἐκ τῆς ϑείας προσεδρίας ἠξιώϑησαν, ἀλλ' οὐδὲν τῶν μελλόντων ἴσασι πρὶν ἂν τύχωσι ϑείας ἀποκαλύψεως παρὰ τοῦ τὰ πάντα προγινώσκοντος φύσει καὶ προλέγοντος ϑεοῦ καὶ διαῤῥήδην εὖ μάλα φάσκοντος· «Οὐκ ἔστιν ὁ ἀναγγέλλων τὰ ἐπερχόμενα πλὴν ἐμοῦ». καὶ τοῦτο δηλῶν ὁ ἀρχάγγελος ἔφη· «Κύριε, παντοκράτωρ, ἕως τίνος οὐ μὴ ἐλεήσῃς τὴν Ἱερουσαλὴμ καὶ τὰς πόλεις Ἰουδαίας ἃς ὑπερεῖδες;» ὡς ἀγνοῶν δήπουϑεν τῆς ἐλευϑερίας τὸν χρόνον, ἔφασκε ταῦτα· καὶ ἀλλοίως οὐκ ἐστίν. Καὶ δὴ περὶ τῆς ἐσχάτης ἡμέρας καὶ συντελείας ἐναργῶς ὑπεμφαίνων ὁ Κύριος τὴν τούτων ἄγνοιαν «οὐδὲ οἱ ἄγγελοι γινώσκουσιν»· καντεῦϑεν λοιπὸν οὐδὲ τὸ μυστήριον τῆς ἐνσάρκου ϑείας οἰκονομίας εἴδεσαν τὸ ἀποκεκρυμμένον, ἀλλ' ἢ ἐν τῷ ϑεῷ μόνῳ, «ἐν ᾧ οἱ ϑησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι». «Τίς γὰρ ἔγνω νοῦν Κυρίου, φησὶ, ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο;» Μετὰ δὲ τῆς σωτηριώδους ἐνανϑρωπήσεως «ἐγνώσϑη, κατὰ τὸν αὐτὸν ἀπόστολον, ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις διὰ τῆς ἐκκλησίας ἡ πολυποίκιλος τοῦ ϑεοῦ σοφία»· μόνος γὰρ ἐστι τῇ φύσει σοφὸς καὶ προγνώστης καὶ προφήτης ἅμα καὶ τὸν νοῦν τῶν ἀνϑρώπων ἀκριβῶς ἐπιστάμενος ὡς καρδιογνώστης. Τὰ δὲ αὐτοῦ οὐδεὶς ἔγνω εἰ μὴ τὸ πνεῦμα αὐτοῦ. Διὸ φησί· «Σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόϑεν». Παρακύψας γὰρ ὁ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα Παῦλος εἰς τὸ ἀκατάληπτον καὶ ἀχανὲς πέλαγος τῶν ἀδήλων τοῦ ϑεοῦ καὶ ἀποῤῥήτων κριμάτων καὶ μυστηρίων καὶ ὑπερεκπλαγεὶς σφόδρα καὶ λίαν ἰλιγγιάσας, ἐξεβοήσε

---

12. Ies. XLI. 26.? — 12. Zach. I. 11. — 17. Mt. XXIV. 36. — 20. ἀλλ' ἢν τῷ? — Col. II. 3. — 21. Rom. XI. 34. — 22. Eph. III. 10. — 27. 1 Cor. II. 11. — Ps. CXXXIX. 2.

τὴν ἀοίδιμον φωνὴν ἐκείνην λέγων· «Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως ϑεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ». Ἀνέκφραστα πάντα εἰσὶ καὶ ἀδιάγνωστα πᾶσι τὰ τοῦ ϑεοῦ· οὐδὲ γὰρ τὰ τοῦ ἀνϑρώπου» οἶδε τίς» εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνϑρώπου»· εἰ γὰρ μόνος ὁ ϑεὸς καρδιογνώστης «καὶ διϊκνούμενος μέχρι μερισμοῦ ψυχῆς καὶ σώματος, ἁρμῶν τε καὶ μυελῶν καὶ κριτικὸς ἐνϑυμήσεων καὶ ἐννοιῶν καρδίας», εὔδηλον ὡς οὐδὲ νοῦν ἀνϑρώπου καὶ βούλημα καὶ ἐνϑύμιον κεκρυμμένον ἄγγελος οἶδεν, μήτι γε ϑεοῦ μυστήριον ἕτερον εἰ μὴ σαφῶς ὑπ' αὐτοῦ (41ᵇ) καὶ ἐξ αὐτοῦ δεδηλωμένον οἰκονομικῶς πρὸς τὸ συμφέρον, ὅϑεν τοίνυν ἄδηλον ἐποίησε τὴν ἔνσαρκον οἰκονομίαν καὶ τοὺς πολλοὺς κρύπτων διὰ τὴν ἀσάφειαν καὶ λανϑάνειν μέχρι πολλοῦ. Καὶ τί λέγω τοὺς πολλούς; ὅπου γε οὐδὲ αὐτὴ ἡ κυοφοροῦσα παρϑένος ᾔδει τοῦ μυστηρίου τὸ ἀπόῤῥητον, οὐ μὴν δὲ ἀλλὰ καὶ αὐτὸν τὸν διάβολον ἐλάνϑανεν· εἰ γὰρ καὶ τὰς προφητείας τὰς περὶ τούτου ἤκουεν, ἀλλὰ τὸν τρόπον ἠγνόει. οὐδὲ γὰρ, εἴπερ ᾔδει, ἠρώτα αὐτὸν μετὰ τοσοῦτον χρόνον λέγων αὐτῷ· «ὁ υἱὸς εἶ τοῦ ϑεοῦ» καὶ ἅπαξ καὶ δὶς καὶ τρίτον.

(14) Ὁ δέ γε Μαροδὰχ, ὁ καὶ διάδοχος Σεναχειρὶμ ϑεασάμενος τὴν ἐπιστροφὴν τοῦ ἡλίου ἐπὶ τῇ ῥώσει Ἐζεκίου—πάσῃ γὰρ τῇ οἰκουμένῃ γέγονεν ἡ ἀναστροφὴ τοῦ ἡλίου γνώριμος—οὗ δὴ χάριν καὶ οὗτος ὁ τῶν Βαβυλωνίων βασιλεὺς καὶ τὸν ὅλεϑρον τοῦ πρὸ αὐτοῦ βασιλέως ἐγνωκὼς καὶ τὰ κατὰ τὸν ἥλιον παραδόξως γεγενημένα μεμαϑηκὼς διὰ τὴν τοῦ Ἐζεκίου εὐσέβειαν, πρέσβεις αὐτῷ εἰρήνης καὶ δῶρα ἀπέστειλεν· ὅτι γὰρ διὰ τὸ ἀναστρέψαι τὸν ἥλιον ἀναβαϑμοὺς ιε' πρὸς αὐτὸν ἀπέστειλεν ὁ βασιλεὺς Βαβυλῶνος, φησὶ πάλιν ἡ ἱστορία· «Καὶ εὐωδώϑη Ἐζεκίας ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. Καὶ οὕτως (ἐν) τοῖς πρεσβευταῖς — Βαβυλῶνος, τοῖς ἀποσταλεῖσιν πρὸς αὐτὸν πυϑέσϑαι παρ' αὐτοῦ τὸ πέρας, ὃ γέγονεν ἐπὶ τῆς γῆς», καὶ «ἐγκατέλειπεν αὐτὸν Κύριος τοῦ πειράσαι αὐτὸν, εἰδέναι τὰ ἐν τῇ καρδίᾳ αὐτοῦ». Δείξας γὰρ τοῖς πρεσβευταῖς ὅλον

---

1. Rom. XI. 33. — 4. 1 Cor. II. 11. — 5. Heb. IV. 12. — 19. Cod. 189,20 — 190,17? 2 Regg. XX. 12. — 27. 2 Par. XXXII. 30,31. — 29. ἐγένετο 2 Par.

τὸν οἶκον αὐτοῦ καὶ τοὺς ϑησαυροὺς, εἶπεν Ἡσαΐας πρὸς αὐτὸν ἐν λόγῳ Κυρίου· «Ἀνϑ' ὧν ἔδειξας αὐτοῖς πάντα, ἰδοὺ ἡμέραι ἔρχονται καὶ ληφϑήσονται τὰ ἐν τῷ οἴκῳ σου πάντα, καὶ ὅσα ἐϑησαύρισαν οἱ πατέρες σου ἀπενεχϑήσονται εἰς Βαβυλῶνα, καὶ ἐκ τῶν υἱῶν σου λήψονται, καὶ ἔσονται ἐπάϊδοντες τοῦ βασιλέως Βαβυλῶνος». Δεῖ τοίνυν τὸν ἐχέφρονα καὶ χαρᾶς καὶ λύπης ὑψηλότερον εἶναι καὶ μετρίως καὶ ἐπιστημόνως τῶν ἑκατέρων φέρειν τὴν ἔφοδον. Καὶ γὰρ αὐτὸς Ἐζεκίας ἡνίκα εἶδε τρόπον κατὰ τῶν Περσῶν ἐγειρόμενον καὶ ϑαύματος κρεῖττον καὶ πάσης ἀνϑρωπίνης ῥώμης καὶ ἐλπίδος ὑπέρτερον καὶ λίαν ὑπὸ τῆς χαρᾶς φυσιωϑεὶς καὶ μεῖζον ἢ κατὰ ἄνϑρωπον φρονήσας, τότε δὴ, τότε νόσῳ βάλλεται, ἵνα τὰ σκιρτήματα τῆς ψυχῆς χαλινοῦ ἀξιωϑέντα, μὴ ἔξω τοῦ δέοντος αὐτὸν ἀναγκάσωσι περιπεσεῖν καὶ τὸν τῆς νίκης ὑπόϑεσιν ἀλαζονείας διαδέξηται πόλεμος, ὅπερ καὶ πέπονϑε μικρὸν ὕστερον. Περιχαρεὶς γὰρ μάλα γενόμενος ἐπὶ τῇ παρὰ προσδοκίαν εὐῤῥωστίᾳ καὶ ἐπὶ τῇ τῶν πρεσβευτῶν, παρουσίᾳ τοσοῦτον ὡς καὶ τοὺς ϑησαυροὺς Κυρίου ἐκ πολλῆς μεγαλοφροσύνης ϑριαμβεῦσαι, δέχεται τὸ ῥηϑὲν εἰκότως ἐπιτίμιον, ὅϑεν φησίν· «Καὶ οὐ κατὰ τὸ ἀνταπόδομα, ὃ ἀνταπέδωκεν αὐτῷ Κύριος ὁ ϑεὸς, ἀνταπέδωκεν (42ᵃ) Ἐζεκίας, ἀλλ' ὑψώϑη ἡ καρδία αὐτοῦ», ἐπιλαϑόμενος τοῦ πατρὸς αὐτοῦ Δαυὶδ φάσκοντος· «Κύριε οὐχ ὑψώϑη ἡ καρδία μου»· δηλαδὴ πρότερον, ἀλλ' ὕστερον «ὑψωϑεὶς ἐταπεινώϑην καὶ ἐξηπορεύϑην»· καὶ «ἀγαϑόν μοι, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάϑω τὰ δικαιώματά σου». — Καὶ ἐγένετο ἐπ' αὐτὸν ὀργὴ καὶ ἐπὶ Ἰούδαν καὶ ἐπὶ Ἱερουσαλὴμ καὶ ἐταπεινώϑη Ἐζεκίας ἀπὸ τοῦ ὕψους τῆς καρδίας αὐτοῦ καὶ οἱ κάτοικοι Ἱερουσαλὴμ. Ἀμέλει γέ τοι καὶ Σεναχειρὶμ, ἐπειδὴ μεῖζονα δυνάμεως ἀνϑρωπίνης ἠπείλησε τῷ Ἐζεκίᾳ, τούτου χάριν ἔγνω τῆς οἰκείας ἀσϑενείας τὴν οὐϑενότητα· ὁ γὰρ ἐπιδρομῆς καὶ αὐτοβοῆς προσδοκήσας ὅλην τὴν Ἱερουσαλὴμ, πᾶσαν τὴν στρατιὰν σχεδὸν ἄνευ πολέμου καὶ μάχης ἀποβαλὼν, ἀγαϑὸν ἡγήσατο διασωϑῆναι μόνος καὶ διαφυγὼν οἴκαδε ὑπὸ τῶν

---

2. 2 Regg. XX. 17,18. — 9. κρείττονα? — 14. ἀλαζωνίας διαδέξεται cod. — 18. 2 Par. XXXII. 25. — 21. Ps. CXXX. 1. — 22. Ps. LXXXVIII. 15. — 23. Ps. CXVIII. 71. — 29. ἐπιδρομῇ καὶ αὐτοβοῇ π. λαβεῖν?

οἰκείων ἀνηρέϑη, ὅπως καὶ τὴν οἰκείαν ἀσϑένειαν γνοίη καὶ μὴ διαδράσῃ τὴν δίκην.

Οὕτω γε μὴν καὶ Ναβουχοδονόσωρ, ὁπόταν ἐπέκεινα τῆς ἀνϑρωπίνης φύσεως καὶ φρονήσας καὶ πράξας ἐφωράϑη, τότε τῆς τῶν ἀνϑρώπων μὲν ἐξηλάϑη συνουσίας τε καὶ τιμῆς, τοῖς δὲ ϑηρίοις συνέστιος καὶ σύνοικος γέγονεν. Ἡνίκα δὲ τὴν προσήκουσαν ἔσχε περὶ ϑεοῦ δόξαν, τότε τὴν οἰκείαν δόξαν ἀπέλαβεν καὶ τῆς ἀνϑρωπίνης φύσεως τὰ μέτρα διέγνωκεν· τῆς γὰρ συμφορᾶς ἦν ὅρος ἡ τοῦ κρείττονος ἐπίγνωσις. Ὅτι δὲ ἀπὸ χαρᾶς αἴρονται πάντως αἱ ψυχαί, ἔδειξαν οἱ Ἰουδαῖοι· ὅτε γὰρ ἀπηλλάγησαν τῶν Αἰγυπτίων καὶ εἶδον τὸν βυϑὸν τάφον γεγενημένον, τότε εἰς εἰδωλολατρείαν ἐτράπησαν, καὶ τὴν ϑάλασσαν διαβάντες ἀκινδύνως, εἰς τὴν γῆν ἐναυάγησαν, ὅϑεν ὁ Θηβαίων στρατηγὸς Ἐπαμεινώνδας, ἄριστα τοῦτο εἰδώς, Λακεδαιμονίους νικήσας, τῇ ἑξῆς ὤφϑη τοῖς φίλοις κατηφὴς καὶ στυγνός· τῶν δὲ ἐρωτησάντων· «μήτι λυπηρὸν συνέβη;» ἀπεκρίνατο· «Οὐχί, φησί, ἀλλὰ χϑὲς ἡσϑόμην ἑαυτὸν μεῖζον ἢ καλῶς ἔχειν φρονήσαντα· διὸ σήμερον τὴν ἀμετρίαν κολάζω τῆς χαρᾶς καὶ νίκης ἑκουσίως, μήπως ἐκ ταύτης εἰς λύπην καὶ ἧττάν ἀκούσιον καταντήσω». — «Καὶ γὰρ πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωϑήσεται, ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωϑήσεται».

LX. ΒΑΣΙΛΕΙΑ ΜΑΝΑΣΣΗ.

Μετὰ δὲ Ἐζεκίαν ἐβασίλευσε Μανασσῆς, (ὁ) υἱὸς αὐτοῦ, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου καὶ ἀπέϑανε βασιλεύσας ἔτη νέ. (2) Ὃς παρανομώτατος ὑπὲρ πάντας τοὺς ἔμπροσϑεν βασιλεῖς ὑπάχων ἐπὶ εἰδωλομανίᾳ τε καὶ αἱματεκχυσίᾳ, καὶ τὸν μέγαν Ἡσαΐαν πρίσας, καὶ τὴν Ἱερουσαλὴμ αἵματι ἀϑώων πληρώσας, οὐχ ἧττον εἰδωλολάτρησε τῶν Ἀμορῥαίων. Καὶ (μέντοι καὶ) τὸν οἶκον Κυρίου καταμολύνας καὶ τετραπρόσωπον εἴδωλον τοῦ Διὸς ἐν αὐτῷ στήσας, οὐ διέλιπεν οἰωνιζόμενος καὶ φαρμακεύων καὶ 697 (4489)

18. κολάζων Cod. — 19. Mt. XXIII. 12. — 22. Ced. 191,12—195,3; 2 Regg. XXI. 1; 2 Par. XXXIII. 1.

αἰσχουργῶν (καὶ πᾶν εἶδος κακίας δι' ὑπερβολῆς μανίας δια (42b) πραττόμενος· (3) Διὸ καὶ κατὰ (τὴν) θείαν ὀργὴν συλληφθεὶς ὑπὸ Μαροδὸχ, βασιλέως (Ἀσσυρίων) δέσμιος εἰς Νινευῖ (τὴν πόλιν αἰχμάλωτος) ἀπήχθη*. (4) (Περὶ οὗ φησὶ καὶ Ἰώσηπος, ὅτι συλληφθεὶς ὑπὸ τοῦ βασιλέως Ἀσσυρίων) καὶ χαλκοῖς δεσμοῖς αὐτὸν ὑποβαλὼν (αἰχμάλωτον ἀπήγαγεν· καὶ «συνεὶς» ἐπὶ τοῖς πλημμελήμασιν ἀξίαν εἰληφέναι τὴν τιμωρίαν καὶ) δι' εἰλικρινοῦς μετανοίας δεηθεὶς τοῦ θεοῦ, (παραχρῆμα) τὸν βασιλέα (ὁ θεὸς) ἠγάθυνε, εἰς Ἱερουσαλὴμ αὐτὸν ἐξέπεμψεν· ὁ δὲ ἐπανελθὼν, πᾶσαν μὲν εἰδωλικὴν κατέστρεψε σκηνὴν, τὸ δὲ ἱερὸν τοῦ θεοῦ ἥγνισε καὶ τὸν νόμον ἐφύλαξε καὶ εὐσεβῶς ἐβίωσεν.

(5) Ὡσαύσως δὲ ἐν ταῖς διατάξεσι τῶν ἀποστόλων οὕτως γέγραπται· «Μανασσῆς, υἱὸς Ἐζεκίου, ποίησας τὸ πονηρὸν ἐνώπιον Κυρίου ὑπὲρ πάντας τοὺς ἔμπροσθεν αὐτοῦ, καθὰ φησὶν ἡ γραφὴ, «ἐπήγαγεν ἐπ' αὐτὸν Κύριος τοὺς ἄρχοντας τῆς δυνάμεως τοῦ βασιλέως, καὶ δήσαντες αὐτὸν ἐν πέδαις χαλκαῖς, ἀπήγαγον εἰς Βαβυλῶνα». Καὶ ἦν δεδεμένος καὶ σιδηρωμένος ἐν οἴκῳ φυλακῆς, καὶ ἐδίδοτο αὐτῷ ἐκ πιτύρων ἄρτος** βραχὺς καὶ ὕδωρ ὀλίγον σὺν ὄξει ἐν μέτρῳ πρὸς τὸ ζῆν αὐτὸν καὶ μόνον. Συνεχόμενος δὲ σφόδρα καὶ ὀδυνώμενος «ἐζήτησε τὸ πρόσωπον Κυρίου τοῦ θεοῦ» — «καὶ προσηύξατο» λέγων· «Κύριε, παντοκράτωρ, ὁ θεὸς τῶν πατέρων ἡμῶν, τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ» καὶ τὰ ἑξῆς. «Καὶ ἐπακούσας ὁ θεὸς τῆς φωνῆς αὐτοῦ» καὶ διαλύσας τὰ δεσμὰ αὐτοῦ «ἀπέστρεψεν αὐτὸν εἰς Ἱερουσαλὴμ ἐπὶ τὴν βασιλείαν αὐτοῦ». — Καὶ λατρεύσας Κυρίῳ τῷ θεῷ μόνῳ ἐξ ὅλης καρδίας αὐτοῦ, ἐλογίσθη δίκαιος». — (6) Ὦ φιλανθρωπίας θεοῦ, ὅτι μεῖ-

---

* ὑπὸ Μεροδὲχ βασιλέως Ced. — 6. σ. ἐν οἷοις κακοῖς ἐστιν Ios. A. 10. III. 2.— 8. ἀγαθῦναι cod. — 11. καὶ τὸν ναὸν ἡγ. καὶ τὴν πόλιν ἐκάθηρε κτλ. Ios. — Ἐντοῖς χρόνοις Μανασσῆ ἡ βασιλεία τῶν Ἀθηναίων κατελύθη (Σχόλιον). — 13. Const. II. 22,170 D.—15. 2 Par. XXXIII. 11.—17. π. καὶ ἡγ. εἰς B. 2 Par. π. χ. καὶ ἡγ. αὐτὸν εἰς B. Const.—κατασεσιδ. ὅλος Const.— ** ἐν σταθμῷ Const.—19. σὺν ὀ. ὀλ. Const.— 20. μ. ὥστε ζῆν ἀ. καὶ ἦν σ. καὶ ὀδ. σ. καὶ ὡς βιαίως ἐθλίβη Const.—2 Par. XXXIII. 12. — 2 Par. XXXIII. 13. — 21. Oratio Manassis. σχόλιον: Ἱστόρηται παρὰ Ἀφρικανῷ, ὅτι ἐν τῷ ᾄδειν τὴν ᾠδὴν τὸν Μανασσῆν, τὰ δεσμὰ διερράγησαν σιδηρᾶ ὄντα.— 24. Καὶ ἐπήκουσε τῆς φ. ἀ. κ̄ς καὶ ἐτάκησαν πάντα τὰ περὶ αὐτὸν σίδηρα καὶ — ἐπεστρ. Const. — 26. καὶ ἐλάτρευσε μ. κῷ τῷ θεῷ ἐν ὅλῃ καρδίᾳ ἀ. καὶ ἐ. δ. Const.

ζον εἰδωλολατρείας οὐκ ἐστιν ἁμαρτία· εἰς θεὸν γάρ ἐστιν ἡ δυσσέβεια ἀλλ', ὅμως καὶ αὕτη διὰ γνησίας καὶ ὁλοψύχου μετανοίας συγκεχώρηται. Καὶ γὰρ ἄξιον θαυμάσαι τὴν τοῦ θεοῦ φιλανθρωπίαν πῶς τὸν τοσαῦτα καὶ τηλικαῦτα πλημμεληκότα χρόνοις τοσούτοις, ἐν μιᾷ καιροῦ ῥοπῇ, συγγνώμης ἠξίωσεν. Ἔτι γὰρ πᾶν εἶδος κακίας μετῆλθεν· ἄκουσον τί φησιν ἡ γραφή· «Καὶ ᾠκοδόμησε Μανασσῆς τὰ ὑψηλά, ἃ κατέστρεψεν Ἐζεκίας, ὁ πατὴρ αὐτοῦ, καὶ ἀνέστησε θυσιαστήριον τῇ Βάαλ καὶ ἐποίησεν ἄλση, καθὼς ἐποίησεν Ἀχαάβ, ὁ βασιλεὺς Ἰσραήλ, καὶ προσεκύνησε πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ καὶ ἐδούλευσεν αὐτοῖς», «καὶ ἐποίησεν ἐγγαστριμύθους καὶ γνώστας ἐπλήθυνεν καὶ ἐκληδονίζετο»· στρατιὰν μὲν λέγει τοῦ οὐρανοῦ τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας, κληδονισμὸν δὲ τὰς διὰ τῶν λόγων παρατηρήσεις, γαστριμυθίαν δὲ τὰς διὰ τῆς γαστρὸς ψευδομαντείας, οἰωνισμὸν δὲ τὰς διὰ τῶν πτηνῶν περιεργείας, γνώστας δὲ τοὺς δι' ἥπατος ἢ ἄλλως πῶς μαντευομένους καὶ προφητεύοντας δαιμονίως, περὶ ὧν εἶπεν ὁ θεὸς πρὸς Ἱερεμίαν· «ὁράσεις ψευδεῖς καὶ μαντείας καὶ οἰωνίσματα καὶ προαιρέσεις καρδίας αὐτῶν (43ᵃ) αὐτοὶ προφητεύουσιν».

(7) «Τῶν γὰρ προφητειῶν, ὥς φησιν ὁ μέγας Χρυσόστομος, ἡ μὲν ἐστι πνευματικὴ, ἡ δὲ διαβολικὴ· λέγονται γὰρ παρ' ἐκείνοις ὁμωνύμως προφητείαι· ἡ δὲ μέση τούτων, φυσική τις ἢ τεχνική, ἡ δὲ κοινὴ καὶ δημώδης. Τῆς μὲν οὖν πνευματικῆς προηγουμένως μὲν τοῖς ἁγίοις μέτεστιν, δι' οἰκονομίας δὲ τοῖς μὴ τοιούτοις ὡς τῷ Φαραὼ καὶ Βαλαὰμ καὶ Ναβουχοδονόσωρ καὶ Καϊάφα, τῆς δὲ διαβολικῆς τοῖς τούτου μόνον θεραπευταῖς· αὐτοῦ γὰρ οἱ ἀλευρομάντεις καὶ κριθομάντεις καὶ ἡ διὰ τῶν μωρίων τὰ θεῖα μαντευομένη Πυθία καὶ ἡ διὰ δρυὸς καὶ ἡ Δωδώνης ἱέρεια. Καὶ μέντοι καὶ ἡ διὰ σπλάγχνων καὶ πτήσεων ὀρνέων καὶ κλαγγῶν, συμβόλων τε καὶ πταρμῶν, κληδόνων καὶ βροντῆς, μυῶν τε καὶ γαλῆς καὶ τρισμῶν ξύλου καὶ ὠτῶν ἦχου καὶ παλμῶν σώματος καὶ δι' ὀνόματος νεκρῶν καὶ μυρίων τοιούτων· ἡ γὰρ δι' ὀνείρων καὶ παρ' ἡμῖν διὰ κατοχῆς

---

5. Ἐπὶ? — 6. 2 Par. XXXIII. 3. — 10. 2 Par. XXXIII. 6. — 17. Ier. XIV. 14. — 19. VI, 511 A Ὥσπερ γὰρ τρία εἴδη προφητείας εἰρήκαμεν πάλαι ὅτι α' μὲν εἶδος προφητείας τὸ εἰπεῖν, β' δὲ τὸ δι' ἔργου, γ' τὸ δι' ἔργου καὶ λόγου?

μὲν καὶ αὐτὴ, ἡ δὲ πρόγνωσις αὐτοῖς, οὐ δι' ἀρετῆς ὡς ἡμῖν, ἀλλὰ διά τινος κακοτεχνίας· καὶ ὁ μὲν θεὸς προλέγων καὶ λύσιν ὑποτίθεται, καὶ τὸ πέρας μετὰ πάσης ἀκριβείας γίνεται· ἐκεῖνοι δὲ κατὰ συμβεβηκὸς ἔν τισιν ἀληθεύσαντες, ἐν τοῖς πλείοσι διήμαρτον. Καὶ τοιαύτη μὲν ἡ τε θεία καὶ διαβολικὴ προφητεία. Φυσικὴ δὲ ἡ τῶν ἀλόγων· χελιδόνες γὰρ καὶ γερανοὶ καὶ μύρμηκες ἐπίοντος χειμῶνος αἰσθάνονται, ἔχινοί τε καὶ ἀλκύονες, φύσει τοῦτο κτησάμενοι. Ἡ δὲ τεχνικὴ προφητεία παρὰ ἰατροῖς καὶ συμβόλοις καὶ κυβερνήταις· οἱ μὲν γὰρ ἀῤῥωστείας καὶ τὰς λύσεις τούτων προλέγουσιν, οἱ δὲ πνευμάτων μεταβολὴν, οἱ δὲ τοῦ μέλλοντος συνέπειν καταστοχάζοντες. Ἡ δὲ κοινὴ καὶ δημώδης τοῦ μέλλοντος γνῶσις, οἷον ὅτι μετὰ μῆνας γ' ὁ χειμὼν γίνεται. πάντες γὰρ ἔχουσι τὰς περιόδων προτηρήσεις. οὐδὲν γὰρ, εἰ καὶ δαίμονες πρόγνωσιν ἔχοιεν ὅπου γε καὶ μύρμηκες ἔχουσιν· καὶ δεινοὶ ἄνθρωποι τοῦ μέλλοντος καταστοχασταί εἰσιν, ἀλλ' οὐχ ὡς πάντως πάντα εἰδέναι, ἐπεὶ καὶ ὁ διάβολος προεφήτευσεν εἰπών· «τοῦ γινώσκειν καλὸν καὶ πονηρόν», καὶ ἐγένετο. Καὶ πάλιν ὁ Βαλαὰμ προεῖπεν, ὅτι πόρνους στῆσον, καὶ προδοθήσεται δι' αὐτῶν Ἱερουσαλὴμ, καὶ ἐγένετο οὕτως, ὅπερ στοχασμός ἐστι μᾶλλον ἢ πρόῤῥησις· καὶ οὐδὲν παράδοξον αἱ τοιαῦται προφητεῖαι ἔχουσιν.

LXI. ΒΑΣΙΛΕΙΑ ΑΜΩΣ.

642 (4556) Μετὰ δὲ Μανασσῆν ἐβασίλευσεν Ἀμώς, (ὁ) υἱὸς αὐτοῦ, (καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου καὶ ἐσφάγη ἐν τῷ οἴκῳ αὐτοῦ, βασιλεύσας) ἔτη β'. (2) Κατὰ τούτους τοὺς χρόνους Μίδας ὁ Φρύγιος ἐγνωρίζετο (ὅστις διέλαβέ ποτε τὸ ἑαυτοῦ ἅρμα καὶ ἐλθὼν εἴς τινα τόπον, καὶ τὸ ἅρμα περαιτέρω μὴ προβαῖνον, ἔστη τοῦ δρόμου καὶ κτίσας ἐκεῖσε πόλιν, ἐκάλεσεν αὐτὴν Ἄγκυραν,

---

11. καταστοχάζουσιν? — 18. ἔχειν codex.? — 16. Gen. III. 5. — 19. πίλαι? — Num. XXIV. 24?—18. Ἰσραὴλ (Marginalis). A secunda manu leguntur erasa quaedam ἐν τῷ ἀναγινώσκειν τί αὐτὸν εἰσβ..... — 22. Cod. 195,4; 2 Regg. XXI. 18,19; 2 Par. XXXIII. 21. — 24. Περὶ Ἀγκύρας τῆς πόλεως. Cod. 195,5 ὁ Φρυγίας βασιλεὺς ἐτελεύτησε, ὄντινα ἐ. ἐν. ἐ. ὁ.

ἄγκυρα γὰρ, σιδήριον πλοίου ποταμίου, ἐπισχὸν (43[b]) τὸ ἅρμα, ἔστησε τὸν Μίδαν), ὃν τινα ὦτα ἔχειν ὄνου ἔλεγον. (3) Ἆξιον ταύτην ἐπαπορῆσαι τί δήποτε τὸν Ναβουχοδονόσωρ καὶ τὸν Μανασσῆν ὁ Θεὸς παιδεύσας, εἰς τὴν βασιλείαν πάλιν αὐτοὺς ἐπανήγαγε, τὸν δὲ Βαλτάσαρ καὶ τὸν Ἀμὼς αὐτίκα τῆς βασιλείας καὶ τῆς ζωῆς αἰσχίστως καὶ ἀσυγγνώστως ἀπεστήρησεν; ἀλλ' εὔδηλον διὰ τὸ τὴν πατρικὴν ἀσέβειαν καὶ κακουργίαν αὐτοὺς μιμήσασθαι καὶ μὴ σωφρονισθέντας ἐκ τῆς ἐκείνων παιδείας καὶ τιμωρίας, τὴν δὲ μετάνοιαν αὐτῶν καὶ ἐπιστροφὴν μὴ ζηλώσαντας· εἰκότως οὖν ὁ δίκαιος κριτὴς ἐπ' ἐκείνους μὲν ῥητῷ χρόνῳ τὴν βασιλείαν περιώρισεν, τούτους δὲ οὐδεμιᾶς ἠξίωσε συγγνώμης· ἀλλ' ὥστε δὲ καὶ πάντα προορῶν ὁ Θεὸς τὰ ἑπόμενα, γινώσκει ἑκάστου καὶ τὸν τρόπον καὶ τὴν γνώμην «ἐτάζων καρδίας καὶ νεφροὺς» καὶ συνιὼν εἰς πάντα τὰ ἔργα ἡμῶν, διὰ τοῦτο πάντων ἐκείνων μὲν προειδὼς τὴν μεταμέλειαν, οὕτως τὰ κατ' αὐτοὺς ὠκονόμησεν, τούτων δὲ προβλέπων τὴν μέχρι τέλους ἀσέβειαν, τῷ θανάτῳ καταλύει τῆς κακουργίας καὶ σκληροκαρδίας καὶ συστροπίας τὴν ἄξησιν. (4) Ὅπερ οὖν καὶ ἐν ταῖς ἀποστολικαῖς διατάξεσιν ὑπεμφαίνων ὁ θεῖος λόγος, οὕτω πως φησίν· «Ἐὰν δέ τις ἐκ παραταξέως ἁμαρτάνων πειράζει τὸν Θεὸν, ὡς μὴ ἐπεξιόντα τοῖς πονηροῖς, ὁ τοιοῦτος ἄφεσιν οὐχ ἕξει· κἂν λέγῃ παρ' ἑαυτῷ ὅσια μοι γένοντο, ὅτι πορεύσομαι ἐν τῇ ἀναστροφῇ τῆς πονηρᾶς μου καρδίας (καὶ τότε μετανόησω)· τοιοῦτος γὰρ * ἐγένετο ** Ἀμὼς, ὁ τοῦ Μανασσῆ υἱός. φησὶ γὰρ ἡ γραφή· «Καὶ παρελογίσατο Ἀμὼς (ὁ τοῦ Μανασσῆ υἱὸς) λογισμὸν παραβάσεως καὶ εἶπεν· Ὁ πατήρ μου πολλὰ ἐκ νεότητος παρηνόμησε καὶ ἐν ψήρει μετενόησεν· καὶ νῦν ἐγὼ πορεύσομαι καθὼς ἐπιθυμοῖ ἡ ψυχή μου, καὶ ὕστερον ἐπιστρέψω πρὸς Κύριον. Καὶ ποιήσας τὸ πονηρὸν ἐνώπιον Κυρίου ***, ἐξωλόθρευσεν αὐτὸν **** ἐν

---

1. ἐπισχὼν cod. — 13. Ps. VII. 9. — 19. Τοῦτο εἴρηται ἐν τῇ β' βίβλῳ τῶν διαταγῶν ἐν κεφαλαίῳ κ (γ'). — 20. ἁμαρτάνῃ πειράζων Const. — 22. κ. μου τῆς π. Const. — * τις Const. — ** καὶ Const. — 24. Καὶ οὐκ ἐταπεινώθη ἐναντίον Κυρίου ὡς ἐτ. Μ. ὁ πατὴρ αὐτοῦ, ὅτι υἱὸς αὐτοῦ Ἀμὼν ἐπλήθυνε πλημμέλειαν 2 Par. XXXIII. 23. — 25. ἐκ. ν. π. Const. — 26. ἐν γήρᾳ μετέγνω Const. — καθὰ Const. — 28. ἐποίησε Const. — *** παρὰ πάντας τοὺς γενομένους ἔμπροσθεν αὐτοῦ καὶ Const. — **** κς ὁ θς Const.

τάχει» — (5) Διὸ δὴ λοιπὸν ὄντως ἀληθῶς εἰπεῖν· «φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος». «Τίς γὰρ, φησὶν ὁ προφήτης, σκληρὸς γενόμενος, ἐναντίον Κυρίου ὑπέμεινεν»; Ὅθεν ἐκβοᾷ Δαυὶδ σαφέστατα λέγων· «Σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνετε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ», ὅπερ εὐλόγως ἑρμηνεύων ὁ ἀπόστολος φησίν· «Βλέπετε, ἀδελφοὶ, μήποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας ἐν τῷ ἀποστῆναι ἀπὸ θεοῦ ζῶντος, ἀλλὰ παρακαλεῖτε ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν μέχρις ἂν τὸ σήμερον καλεῖται, ἵνα μὴ σκληρυνθῇ τις ἐξ ὑμῶν ἀπάτῃ τῆς ἁμαρτίας».

LXII. ΒΑΣΙΛΕΙΑ ΙΩΣΙΟΥ.

652 (4556) Μετὰ δὲ Ἀμὼς ἐβασίλευσε Ἰωσίας, υἱὸς αὐτοῦ, ἐτῶν ὑπάρχων ὀκτὼ, καὶ ἐποιήσε τὸ εὐθὲς ἐνώπιον Κυρίου καὶ ἐτελεύτησε τοξευθεὶς ἐν τῷ πολέμῳ, βασιλεύσας ἔτη λα'. (2) Ὁ γὰρ Νεχαὼ, βασιλεὺς Αἰγύπτου, κατὰ τῶν Ἀσσυρίων στρατεύσας, ἐπικουρῆσαι τοῖς Ἀσσυρίοις οὗτος ἐσπούδαζεν, ὅθεν φησὶν Ἔσδρας· «Καὶ εἶπεν (44ª) βασιλεὺς Αἰγύπτου πρὸς Ἰωσίαν·» Τί ἐμοὶ καὶ σοὶ, βασιλεῦ τῆς Ἰουδαίας; Οὐχὶ πρὸς σὲ ἐξαπέσταλμαι, τοῦ ποιῆσαι πόλεμον, ἀλλ' ἐπὶ τοῦ Εὐφράτου. Καὶ νῦν Κύριος μετ' ἐμοῦ ἐστιν. Ἀπόστηθι καὶ μὴ ἐναντίου τῷ Κυρίῳ». Καὶ οὐκ ἀπέστρεψεν ἀπ' αὐτοῦ Ἰωσίας, ἀλλὰ (πολεμεῖν αὐτὸν ἐπεχείρησεν, οὐ προσέχων ῥήματι» Ἱερεμίου τοῦ προφήτου λαλοῦντος ἐκ στόματος Κυρίου· καὶ) συνεστήσατο πρὸς αὐτὸν πόλεμον ἐν τῷ πεδίῳ παρὰ γνώμην θεοῦ καὶ τοξευθεὶς ὑπὸ τῶν πολεμίων εἶπε τοῖς παισὶν αὐτοῦ· «Ἐξαγάγετέ με, ὅτι ἐπόνεσα σφόδρα». Καὶ εὐθέως ἀποστρέψαντος αὐτοῦ εἰς Ἱερουσαλὴμ καὶ τὸν βίον καταλλάξαντος, ἐγένετο πένθος

---

1. Heb. X. 31. — 2. Hiob. IX. 4. — 4. Ps. XCV. 7,8. — 6. Heb. III. 12,13. — 12. Ced. 195,7 — 197,10. 2 Regg. XXII. 1; 2 Par. XXXIV. 21. — 14. Τοῦ γὰρ — βασιλέως — στρατεύσαντος? — 18. οὕτως cod. — 2 Par. XXXV. 21,25. — 18. οὐκ ἐπὶ 2 Par. — 21. ἀλλ' ἡ π. ἀ. ἐκραταιώθη καὶ οὐκ ἤκουσε τῶν λόγων Νεχαὼ διὰ στ. θεοῦ καὶ ἦλθε τοῦ πολεμῆσαι ἐν τῷ π. Μαγεδδὼ καὶ ἐτόξευσαν οἱ τοξόται ἐπὶ βασιλέα Ἰωσίαν· καὶ ἐ. ὁ βασιλεὺς τ. π. ἀ. 2 Par.

μέγα κατὰ πᾶσαν τὴν Ἰουδαίαν, καὶ μᾶλλον Ἱερεμίας ἐθρήνησεν ὑπὲρ Ἰωσίου». (3) Ὃς καὶ δικαιότατος ὑπὲρ τοὺς ἔμπροσθεν αὐτοῦ βασιλέας γέγονεν. καὶ τοῦ νόμου Κυρίου ἀναγινωσκομένου ἀκριβῶς, ἀκούσας καὶ λίαν ἀθυμήσας, εἰδὼς τοῦτον ἐν τοσούτοις ἔτεσι καταπατούμενον «τὰ ἱμάτια διαῤῥήξας» καὶ ἔμφοβος γενόμενος, ἀπέστειλε «πρὸς Ὄλδαν τὴν προφῆτιν» πυθανόμενος, τί βούλεται Κύριος περὶ αὐτοῦ καὶ παντὸς τοῦ λαοῦ; Ἡ δέ φησι· «Τάδε λέγει Κύριος· Ἀνθ' ὧν [ὅτι] ἠπαλύνθη ἡ καρδία [σου] καὶ ἐνετράπης ἀπὸ προσώπου μου, ὡς ἤκουσας ὅτι ἐλάλησα ἐπὶ τὸν τόπον τοῦτον καὶ ἐπὶ τοὺς ἐνοικοῦντας αὐτὸν, τοῦ εἶναι εἰς ἀφανισμὸν καὶ κατάραν, καὶ διέῤῥηξας τὰ ἱμάτιά σου καὶ ἔκλαυσας ἐνώπιόν μου, ἰδοὺ προστίθημί σε πρὸς τοὺς πατέρας σου ἐν εἰρήνῃ, καὶ οὐκ ὄψει πᾶσι τοῖς κακοῖς οἷς ἐπάξω ἐπὶ τὸν τόπον τοῦτον».

Ὅθεν ζήλῳ θείῳ κινούμενος οὐ μόνον τὰ πανταχοῦ εἰδωλά τε καὶ σεβάσματα συνέτριψεν ἐκ βάθρων, ἀλλὰ καὶ τοὺς εἰδωλολάτρας, τοὺς μὲν ἔτι ζῶντας, ἐξωλόθρευσεν, τοὺς δὲ ἤδη τεθνηκότας ἐν τοῖς τάφοις κατέκαυσεν. Καὶ ἐπάρας τοὺς ὀφθαλμοὺς ἐπὶ τὸν τάφον τοῦ ἀνθρώπου τοῦ θεοῦ εἶπε· «Τί τὸ σκόπελον ἐκεῖνο, ὃ ἐγὼ βλέπω;» Καὶ φασὶν οἱ ἄνδρες τῆς πόλεως· «Ὁ ἄνθρωπος τοῦ θεοῦ ἐστιν ὁ προφητεύσας τοὺς λόγους τούτους ἐπὶ τὸ θυσιαστήριον Βιθὴλ». Καὶ εἶπεν· «Ἄφετε αὐτὸν, μηδεὶς κινήσει αὐτοῦ τὰ ὀστᾶ». Καὶ μέντοι καὶ τοὺς ἐγγαστριμύθους καὶ τοὺς ψευδοπροφήτας καὶ πᾶν βδέλυγμα καὶ προσόχθισμα, ἐν Ἱερουσαλὴμ ἐξῆρεν· «καὶ ἐπέστρεψε πρὸς Κύριον ἐν ὅλῃ καρδίᾳ καὶ ἰσχύϊ καὶ ἐν ὅλῃ ψυχῇ αὐτοῦ κατὰ τὸν νόμον Μωϋσέως»· διὸ δὴ καὶ τὸ πάσχα τοιοῦτον ἐποίησε οἷον οὐ γέγονεν ἀπὸ χρόνου Ἰησοῦ τοῦ Ναυῆ καὶ Σαμουὴλ· ἐν ᾧ βόας μὲν ἔθυσε χιλιάδας ιβ', πρόβατα χιλιάδας λη'. Καὶ κατωρθώθη, φησὶν, τὰ ἔργα Ἰωσίου ἐνώπιον Κυρίου ἐν καρδίᾳ πλήρει εὐσεβείας». «Καὶ γὰρ ὅμοιος αὐτῷ οὐκ ἐγενήθη ἔμπροσθεν αὐτοῦ

---

3. τὸν νόμον — ἀναγινωσκόμενος cod. — 5. 2 Regg. XXII. 11,14. — 7. 2 Regg. XXII. 18 — 20. — 9. μου om. — ὅσα ἐλ. 19. — * εἰς 19. — 12. σου καὶ συναχθήσῃ εἰς τὸν τάφον σου ἐν εἰρήνῃ καὶ οὐκ ὀφθήσεται ἐν τοῖς ὀφθαλμοῖς σου ἐν π. τ. κ, οἷς ἐγὼ εἰμι ἐπάγω[ν].—18. Regg. XXXIII. 16 — 18. — 23. 2 Regg. XXIII. 25. — 27. 2 Par. XXXV. 10,16;3 Esdr. I. 21. — 29. 2 Regg. XXIII. 25,26.

καὶ οὐκ ἀνέστη ὅμοιος αὐτῷ, πλὴν οὐκ ἀπεστράφη Κύριος ἀπὸ θυμοῦ ὀργῆς αὐτοῦ, οὗ ἐθυμώθη ἐν τῷ Ἰούδα ἐπὶ τοὺς παροργισμούς, οὓς παρώργισεν αὐτὸν Μανασσῆς.

(4) Ἐπὶ τούτων τῶν χρόνων καὶ τὸ Βυζάντιον ὑπὸ Βύζου, βασιλέως τῆς Θράκης, ἐκτίσθη καὶ τῶν Μεγαρέων, καὶ Σίβυλλα ἡ Σάμιος ἐγνωρίζετο (44[b]).

LXIII. ΒΑΣΙΛΕΙΑ ΙΩΑΧΑΖ.

608 (4587) Μετὰ δὲ Ἰωσίαν ἐβασίλευσε Ἰωάχαζ, υἱὸς αὐτοῦ, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου καὶ ληφθεὶς ὑπὸ Νεχαὼ, βασιλέως Αἰγύπτου, ἀπήχθη εἰς Αἴγυπτον, ἐν ᾗ καὶ ἀπέθανεν βασιλεύσας μῆνας γ'. (2) Ἐφ' οὗ οἱ Ἰσραηλῖται, καθὼς φησιν Ἰώσηπος, ἐκ τοῦ περικρατῆσαι τὴν τοῦ Ἰούδα φυλὴν καὶ κατοικῆσαι τὴν πόλιν Ἱερουσαλὴμ, οὗτοι μὲν ἐκλήθησαν Ἰουδαῖοι, ἡ δὲ πόλις, ἡ καὶ Σιὼν, Ἰουδαία, ἥτις παλαι μὲν Ἰεβοὺς ἐλέγετο, διὰ τὸ τὸν Ἰεβουσαὶ κατοικῆσαι τὸν τόπον ἐκεῖνον, Δαυὶδ δὲ Ἱερουσαλὴμ προσηγόρευσε διὰ τοῦ συμβεβηκότος ὀνόματος τεχνασάμενος· ἐν ὄροι γάρ ἐστιν ὑψηλοτάτῳ κατοικοδομουμένη, ἐν ᾧ Κύριος ὤφθη τῷ Δαυὶδ ἐν ἅλωνι Ἐρνὰ τοῦ Ἰεβουσαίου ἐν τῇ θραύσει τοῦ λαοῦ διὰ τὴν ἄλογον ἀπαρίθμησιν· καὶ τὸ μὲν ὄρος τῇ ἑβραΐδι φωνῇ λεγέται ἄρ. ἡ δὲ πόλις Σαλήμ. Ὁ οὖν Δαυὶδ νέον τόπον εἰς βασίλειον κατασκευάζων, Ἀρσαλὴμ ὠνόμασε, ὅ ἐστιν ὄρος εἰρήνης, Ἱερουσαλὴμ εἰς τὸ Ἑλληνικὸν παρενενεγμένη διὰ τὴν καλλιφωνίαν.

LXIV. ΒΑΣΙΛΕΙΑ ΙΩΑΚΕΙΜ.

607 (4587) Μετὰ Γ̈ωάχαζ ἐβασίλευσε Ἰωακείμ καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου· καὶ ἐλθὼν Ναβουχοδονόσωρ, ὁ διάδοχος Μαροδάχ, καὶ

---

4. Ὑπὸ cod. — 8. Ced. 197,10 — 198,3. — 11. τρίμηνον 2 Reg. XXIII. 31; 2 Par. XXXVI. 2. — A. 11. V. 7. Ἐκλήθησαν δὲ τὸ ὄνομα ἐξ ἧς ἡμέρας ἀνέβησαν ἐκ Βαβυλῶνος ἀπὸ τῆς Ἰούδα φυλῆς κτλ. — 22. Ἐπίδαμνος ἐκτίσθη καὶ μετωνομάσθη Δυββάχιον (Σχόλιον). — 24. Ced. 198,4 — 17,2 Reg. XXIII. 36;2 Par. XXXVI. 5.

πολιορκήσας τὴν Ἰουδαίαν, ὑπόφορον αὐτὴν ἐποίησεν. (2) Ἀθετήσαντος δὲ τὴν φορολογίαν Ἰωακείμ, ἦλθε πάλιν εἰς Ἱερουσαλὴμ Ναβουχοδονόσωρ καὶ τοῦτον χειρωσάμενός τε καὶ ἀνελὼν καὶ ἀπὸ τοῦ τείχους ῥιφῆναι κελεύσας, ὅταφον ἐπὶ πολὺν κατέλιπε χρόνον, βασιλεύσαντα ἔτη ια'. (3) Περὶ οὗ φησὶν Ἱερεμίας· «Τάδε λέγει Κύριος ἐπὶ Ἰωακκείμ, υἱὸν Ἄχαζ, βασιλέα Ἰούδα· «Οὐαὶ ἐπὶ τὸν ἄνδρα τοῦτον· οὐ μὴ κόψονται αὐτὸν, ὦ ἀδελφὲ, οὐδὲ μὴ κλαύσονται αὐτόν· οἴμοι, Κύριε, καὶ οἴμοι, ἀδελφὲ, ἀλλὰ ταφὴν ὄνου ταφήσεται καὶ συμψηφισθεὶς ῥιφήσεται ἐπέκεινα τῆς πόλεως Ἱερουσαλήμ». (4) Τότε καὶ Δανιὴλ ἀπήχθη καὶ οἱ γ' παῖδες καὶ ἄλλοι τοῦ λαοῦ πλεῖστοι καὶ μέρος τῶν σκεύων Κυρίου εἰς Βαβυλῶνα.

LXV. ΒΑΣΙΛΕΙΑ ΙΕΧΟΝΙΟΥ.

Μετὰ Ἰωακείμ ἐβασίλευσε Ἰεχονίας, υἱὸς αὐτοῦ ὁ καὶ Ἰωακείμ, διὰ προστάγματος Ναβουχοδονόσωρ, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου· καὶ περὶ τοὺς φόρους ἀγνομονήσαντος αὐτοῦ, ἦλθε Ναβουχοδονόσωρ εἰς τὴν πόλιν Ἱερουσαλὴμ καὶ ἐπολιόρκει αὐτήν. «πρὸς ὃν Ἰεχονίας ἐξελθὼν σὺν μητρὶ καὶ τέκνοις καὶ τοῖς ἄρχουσιν αὐτοῦ, εἰσῆλθον οἱ μεγιστᾶνες Ναβουχοδονόσωρ εἰς τὴν πόλιν καὶ ἐξήνεγκαν τοὺς θησαυροὺς Κυρίου καὶ τοῦ βασιλέως, τὰ χρυσᾶ σκεύη πάντα, ἃ ἐποίησε Σολομὼν ἐν ναῷ Κυρίου. Τὸν δὲ Σεδεκίαν ἀντὶ Ἰεχονίου καταστήσας, ἀπώκισε Ἰεχονίαν εἰς Βαβυλῶνα καὶ τὴν μητέρα καὶ τοὺς ἄρχοντας αὐτοῦ», βασιλεύσαντα μῆνας γ'. (2) Περὶ οὗ πάλιν Ἱερεμίας ἔλεγεν· «Ἠτιμώθη Ἰεχονίας ὡς σκεῦος, οὗ οὐκ ἔτι χρεία αὐτοῦ, ὅτι ἀπερρίφη καὶ ἐξερρίφη εἰς γῆν, ἣν οὐκ ᾔδει, λέγει Κύριος. Γῆ, γῆ, ἄκουσον λόγον Κυρίου. Γράψον τὸν ἄνδρα τοῦτον ἐκκήρυκτον ἄνθρωπον, ὅτι οὐ μὴ αὐξηθῇ ἐκ τοῦ σπέρματος αὐτοῦ ἀνὴρ καθήμενος ἐπὶ θρόνου Δαυὶδ, ἄρχων ἔτι ἐν τῷ Ἰούδα».

598 (4598)

---

5. Ies. XXII. 18,19. — 13. Ced. 200,7 — 22. — 17. 2 Reg. XXIV, 12—14.— 22. 2 Reg. XXIV. 8;2 Par. XXXVI. 9. τρίμηνον καὶ ι' ἡμέρας. — 23. Ier. XXII. 18 — 30.

LXVI. ΒΑΣΙΛΕΙΑ ΣΕΔΕΚΙΟΥ.

597 (4599) Μετὰ Ἰεχονίαν ἐβασίλευσε Σεδεκίας, πατρά(45ª)δελφος αὐτοῦ, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου· καὶ περὶ τὴν φορολογίαν ὡσαύτως παρασπονδήσαντος αὐτοῦ, ἦλθε πάλιν Ναβουχοδονόσωρ εἰς Ἰερουσαλὴμ καὶ ἐπολιόρκει αὐτὴν ἔτη β'. (2) Καὶ προφητεύσας Ἱερεμίας τὴν ἅλωσιν τῆς πόλεως, δέσμιος ἐβλήθη ὑπὸ Σεδεκίου ἐν λάκκῳ. Μετὰ δὲ τὸ θυσιαστήριον καὶ τὴν τράπεζαν καὶ τὴν λυχνίαν τοῦ ναοῦ ἐν λόγῳ Κορίου, μέλλουσαν τὴν πόλιν ἤδη παραλαμβάνεσθαι, κατέκρυψεν ἐν ἀδήλῳ τόπῳ καὶ οὐχ εὑρέθη ἔτι. Φησὶ γὰρ ἡ τῶν Μακκαβαίων βίβλος· «Ἐξῆλθεν Ἱερεμίας, χρηματισμοῦ γενηθέντος αὐτῷ, εἰς τὸ ὄρος οὗ Μωϋσῆς ἐθεάσατο τὴν τοῦ θεοῦ κληρονομίαν καὶ ἐλθὼν εἰς τόπον καὶ εὑρὼν οἶκον ἀντρώδη, εἰσήνεγκε τὴν κιβωτὸν καὶ τὸ θυσιαστήριον τοῦ θυμιάματος καὶ τὴν θύραν ἀνέφραξε· καὶ προσελθόντες τινὲς τῶν συνακολουθούντων αὐτῷ ὥστε τὴν ὁδὸν ἐπισημήνασθαι, οὐκ ἠδυνήθησαν εὑρεῖν. Ὡς δὲ Ἱερεμίας ἔγνω, μεμψάμενος αὐτοὺς εἶπεν· «Ἄγνωστος ὁ τόπος ἔσται ἕως ἂν συναγάγῃ ὁ θεὸς ἐπισυναγωγὴν τοῦ λαοῦ καὶ ἵλεως γένηται· καὶ τότε ὁ Κύριος ἀναδείξει ταῦτα, καὶ ὀφθήσεται ἡ δόξα Κυρίου καὶ ἡ νεφέλη καθὼς ἐπὶ Μωϋσέως ἐδηλοῦτο»). (3) Ὁ δέ γε Ναβουχοδονόσωρ παραλαβὼν τὴν πόλιν, ἐνέπρησεν αὐτὴν πᾶσαν, τὸν δὲ Σεδεκίαν χειρωσάμενος, τὴν μὲν γυναῖκα καὶ τὰ τέκνα αὐτοῦ, ἐν ὀφθαλμοῖς αὐτοῦ ἀνεῖλεν, αὐτὸν δὲ ἐκτυφλώσας καὶ δεσμοῖς καθείρξας, εἰς Βαβυλῶνα αἰχμάλωτον ἀπήγαγεν, βασιλεύσαντα ἔτη γ'. (4) Περὶ οὗ Ἱερεμίας αὖθις φησίν· «Ἰδοὺ, δίδωμι αὐτὸν εἰς χεῖρας βασιλέως Βαβυλῶνος, καὶ παταξει αὐτόν. Καὶ λήψοντα ἐπ' αὐτὸν κατάραν λέγοντες·» Ποίησαί σε Κύριος ὡς Σεδεκίαν ἐποίησε καὶ ὡς Ἀχιὰβ, οὓς ἀπετηγανίσε βασιλεὺς Βαβυλῶνος ἐν πυρὶ δι' ἣν ἐποίησαν ἀνομίαν ἐν Ἱερουσαλὴμ καὶ ἐμοίχευον τὰς γυναῖκας τῶν πολιτῶν αὐτῶν καὶ λόγον ἐχρημάτισαν ἐπὶ τῷ ὀνόματί μου, ὃν οὐ προσέταξα αὐτοῖς, φησὶν ὁ Κύριος».

---

* 2. Cod. 200,22 — 201,24. — 8. μελλούσης τῆς πόλεως? — 10. 2 Macc. II. 4—8. — 24. ια' 2 Reg. XXIV. 18,2 Par. XXXVI. 11. — Ier. XXIX. 21—23.

LXVII. ΠΕΡΙ ΤΗΣ Α' ΑΙΧΜΑΛΩΣΙΑΣ ΙΕΡΟΥΣΑΛΗΜ ΤΗΣ ΕΝ ΒΑΒΥΛΩΝΙ, ΗΤΙΣ ΕΣΤΙ ΔΕΥΤΕΡΑ ΤΗΣ ΠΑΡΟΙΚΙΑΣ ΑΙΓΥΠΤΟΥ.

Ἐν δὲ τῷ γ' ἔτει τῆς αἰχμαλωσίας ἀπέστειλε Ναβουχοδονόσωρ 584
τὸν Ναβουζαρδᾶν ἀρχιμάγειρον αὐτοῦ εἰς Ἱερουσαλὴμ καὶ τὸν μὲν (4611)
οἶκον Κυρίου καὶ τὸν οἶκον τοῦ βασιλέως καὶ τοὺς περιλειφθέντας ἐν τῇ πόλει ἐνέπρησε, διαρκέσαντα τὸν θεῖον οἶκον ἀπὸ τῆς α' οἰκοδομῆς ἔτη υμβ', τοὺς δὲ χαλκοῦς μεγάλους στύλους καὶ τὴν χαλκῆν θάλασσαν καὶ τοὺς ὑποκάτω αὐτῆς ιβ' μόσχους καὶ τὰ ὑποστηρίγματα καὶ πάντα τὸν ἐν τῷ ναῷ τοῦ Κυρίου χαλκὸν συντρίψας ἀπήγαγεν εἰς Βαβυλῶνα· καὶ μέντοι καὶ τοὺς Λευίτας καὶ τὰς θυΐσκας καὶ τὰ πυρεῖα καὶ τὰς χρυσᾶς φιάλας καὶ τὰς ἀργυρᾶς καὶ τὰς χαλκᾶς· οὐκ ἦν γὰρ σταθμὸς τοῦ χαλκοῦ τῶν σκευῶν πάντων ὧν ἔλαβεν ὁ ἀρχιμάγειρος Ναβουζαρδᾶν. Τῶν δὲ ἐπιλοίπων Ἰουδαίων τοὺς ἐπισήμους ἀπαγαγὼν πρὸς Ναβουχοδονόσωρ, τοὺς μὲν ἐθανάτωσε, τοὺς δὲ δούλους παρέδωκε τοῖς ἄρχουσιν αὐτοῦ. Τὸν δὲ Σεδεκίαν ἐπὶ σκότει κατακλείσας μυλωθρεῖν κατεδίκασε, (45[b]) ἐφ' οὗ γέγονεν ἡ παντελὴς καὶ πρώτη ἅλωσις Ἱερουσαλὴμ, οὐκέτι βασιλευθείσης ὑπὸ Ἰουδαίων, ἀλλ' ὑπὸ τῶν Χαλδαίων κρατηθείσης.

(2) Τοιγαροῦν τρίτον Ναβουχοδονόσωρ ἐπόρθησε τὴν Ἱερουσαλὴμ, ὡς εἴρηται· πρῶτον μὲν ἐπὶ Ἰωακεὶμ, μεθ' οὗ ἠχμαλωτίσθη καὶ Δανιὴλ ὁ προφήτης καὶ οἱ τρεῖς παῖδες (ὑφ' οὗ προεφήτευον Ἱερεμίας καὶ Βουζῆ καὶ Οὐρίας, ὁ τοῦ Σαμέου, ὃν καὶ φυγόντα εἰς Αἴγυπτον Ἰωακεὶμ συλλαβόμενος ἀναιρεῖ)· β' δὲ αἰχμαλωσία ἐπὶ Ἰεχονίου· τρίτον δὲ παραγενόμενος ἐπὶ Σεδεκίου, ὅτε καὶ τὸν ναὸν ἐνέπρησε, τὸν δὲ Σεδεκίαν ἐξετύφλωσε, τοὺς δὲ υἱοὺς αὐτοῦ σὺν ἑτέροις πολλοῖς κατέσφαξε καὶ τὸ λοιπὸν ἠχμαλώτευσε πλῆθος.

(3) Περὶ ὧν καὶ ὁ μέγας Γρηγόριος ὁ θεολόγος μνημονεύσας τάδε φησίν· «Καὶ ἵνα παρῶ δήμους καὶ πόλεις καὶ βασιλείας,

---

4. Cod. 202,1; 2 Regg. XXV. 8—21. — Oratio 12, I. 200 D — 202. B.

ἔτι δὲ καὶ χώρους καὶ στρατοὺς καὶ οἴκους καὶ νηῶν πληρώματα καὶ συζυγίας καὶ ἑταιρείας, ὑπὸ μὲν εἰρήνης συνεχομένας, ὑπὸ δὲ στάσεως καταλυομένας, ἐπὶ τὸν Ἰσραὴλ εἶμι τῷ λόγῳ καὶ τῶν ἐκείνου παθῶν ὑπομνήσας ὑμᾶς — ἐρήσομαι — τί* τῶν συμφορῶν τούτων αἴτιον, ἵνα παιδευθῶμεν τοῖς τῶν ἄλλων κακοῖς τὴν ὁμόκναν· οὐχ ἕως μὲν εἰρήνην εἶχον** πρὸς ἀλλήλους καὶ πρὸς τὸν θεόν, Αἰγύπτῳ, τῇ σιδηρᾷ καμίνῳ, πιεζόμενοι καὶ ὑπὸ τῆς κοινῆς θλίψεως συναγόμενοι. Ἔστι γὰρ ὅτε καὶ τοῦτο φάρμακον ἀγαθὸν εἰς σωτηρίαν ἡ θλῖψις· «λαὸς περιούσιος» ἦκουον καὶ «μερὶς Κυρίου» καὶ «βασίλειον ἱεράτευμα» καὶ «ἔθνος ἅγιον». Καὶ οὐ τοῖς μὲν ὀνόμασιν οὕτω, τοῖς δὲ ἔργοις ἑτέρως, ἀλλὰ καὶ στρατηγοῖς ἤγοντο ἀγομένοις ὑπὸ θεοῦ καὶ στύλῳ πυρὸς καὶ νεφέλης ὡδηγοῦντο νυκτὸς καὶ ἡμέρας. Καὶ θαλάσσα μὲν αὐτοῖς διίστατο φεύγουσι, πεινῶσι δὲ οὐρανὸς ἐχωρήγει τροφὴν***, πολεμοῦσι δὲ χειρῶν ἔκτασις αντὶ μυριάδων ἦν, δι' εὐχῆς ἐγείρουσα τρόπαια καὶ ὁδοποιοῦσα τὰ ἔμπροσθεν· ποταμοὶ δὲ ὑπεχώρουν τὴν συγγενῆ μιμούμενοι θάλασσαν· καὶ στοιχεῖα ἵστατο· καὶ τείχη σαλπιγξὶ κατεσείετο. Καὶ τί δεῖ λέγειν Αἰγυπτίων πληγὰς τούτοις χαριζομένας καὶ θεοῦ φωνὰς ἐξ ὄρους κατακουομένας καὶ νομοθεσίαν διπλῆν, τὴν μὲν ἐν γράμματι, τὴν δὲ ἐν πνεύματι καὶ τἄλλα οἷς ἐτιμῶντο πάλαι παρὰ τὴν ἑαυτῶν ἀξίαν****; Ἐπεὶ δὲ νοσεῖν ἤρξαντο καὶ κατὰ τοῦ θεοῦ καὶ κατ' ἀλλήλων ἐμάνησαν καὶ διέστησαν εἰς μέρη πολλά — τί γίνεται καὶ τί πεπόνθασιν; Θρηνεῖ μὲν τούτους Ἱερεμίας εἰκότως ἐπὶ τοῖς ἀνηκέστοις πάθεσι καὶ τὴν ἐπὶ Βαβυλῶνα αἰχμαχωσίαν ὀδύρεται· καὶ γὰρ ἦν ὄντως θρήνων***** ἄξια· πῶς δὲ οὐ; Τῶν μεγίστων τείχη κατεσκαμμένα, πόλις ἠδαφισμένη, ἁγίασμα καθῃρημένον, ἀναθήματα σεσυλημένα, πόδες βέβηλοι καὶ χεῖρες, οἱ μὲν τοῖς ἀβάτοις ἐμβατεύοντες, αἱ δὲ καὶ τῶν ἀψαύστων (46ᵃ) καταθρυφῶσαι, προφῆται σιγῶντες, ἱερεῖς ἀγόμενοι, πρεσβύτεροι μὴ ἐλεούμενοι, παρθένοι καθυβριζόμεναι, νεότης πίπτουσα, πῦρ ἀλλότριον

---

1. δὲ χ. Gr. — * τὸ Gr. — 3. τοῖς ἄλλοις cod. — ** καὶ Gr. — 6. πρ. θν Gr. — 7. τῇ κ. τῇ σ. Gr. — 9. λ. τε ἅγιος ἡκ. Gr. om. καὶ ἐ. ἀγ. — *** πέτρα δὲ διψῶσιν ἐπήγαζε Gr. — 18. δὴ cod. — **** ὁ Ἰσραήλ. Gr. — 21. κατὰ τοῦ θῦ om. Gr. — 23. αὐτοὺς Gr. — εἰκ. om. Gr. — 24. τ. προτέροις π. Gr. — ***** καὶ ὀδυρμῶν. Gr.

καὶ πολέμου, αἵματος ποταμοὶ ἀντὶ τοῦ ὁσίου πυρὸς καὶ αἵματος, Ναζιραῖοι κατασυρόμενοι — καὶ ἵνα ἐξ αὐτῶν εἴπω τι τῶν τοῦ Ἱερεμίου θρήνων· «Υἱοὶ Σιὼν οἱ τίμιοι καὶ ἀντιδέμενοι χρυσίῳ», οἱ τρυφεροὶ καὶ κακῶν ἀπαθεῖς, ξένην ὁδὸν ὁδεύοντες· καὶ «ὁδοὶ Σιὼν πενθοῦσι παρὰ τὸ μὴ εἶναι τοὺς ἑορτάζοντας». Καὶ μικρὸν πρὸ τούτων· «Χεῖρες γυναικῶν οἰκτιρμόνων», οὐ τροφὴν ὀρέγουσαι τέκνοις, τῆς πολιορκίας ἐπικρατούσης, ἀλλ' ἐπὶ τροφὴν ταῦτα σπαράττουσαι, καὶ λαμοῦ φάρμακον, τὰ ἐξ αὐτῶν ποιούμενα προσφιλέστατα. Πῶς οὐ δεινὰ ταῦτα καὶ πέρα δεινῶν, οὐ τοῖς πάσχουσι τότε μόνοις, ἀλλὰ τοῖς νῦν ἀκούουσιν;» Καὶ ταῦτα μὲν ὧδε.

LXVIII. ΑΡΙΘΜΟΣ ΤΩΝ ΕΤΩΝ ΤΩΝ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΒΑΣΙΛΕΩΝ.

Γίνονται οὖν ὁμοῦ τῶν ἐν Ἱεροσολύμοις βασιλευσάντων ἀπὸ Δαυὶδ ἕως Σεδεκίου ἔτη υζ', οἱ δὲ βασιλεῖς ὑπῆρχον τὸν ἀριθμὸν κβ'· πάντες δὲ ἐξ ἑνὸς ἐγένοντο γένους τοῦ Δαυίδ. (2) Ἐφ' ὧν ὑπῆρχον καὶ προφῆται οἵδε· ἐπὶ μὲν Σαοὺλ· Δαυὶδ καὶ Σαμουήλ. ἐπὶ Δαυίδ· Γάδ, Ναθάν, Ἀσσάφατ. ἐπὶ Σολομῶντος καὶ τῶν μετ' αὐτόν· Ἀχιὰ ὁ Σηλωνίτης, Σαμαΐας ὁ Ἀδδώ. ἐπὶ δὲ Ἰωσαφὰτ καὶ τῶν μετ' αὐτόν· Μιχαΐας, Ἠλίας, Ἐλισαῖος, Ἀβδίας, Ἰηοῦ ὁ Ζωήλ, Ἐλιέζαρ, Ἀζαρίας. ἐπὶ Ἐζεκίου καὶ τῶν μετ' αὐτόν· [Ὡσεέ, Ἀμμὼς, Ἡσαΐας, Ἰωνᾶ. ἐπὶ δὲ Ἰωσίου καὶ τῶν μετ' αὐτόν]· Ἱερεμίας, Σοφωνίας, Ὄλδα, Βαρούχ. ἐπὶ Σεδεκίου πάλιν· Ἱερεμίας καὶ Ἀμβακούμ· μετὰ δὲ τὴν αἰχμαλωσίαν, ἐπὶ Ἰησοῦ τοῦ ἱερέως Ἰωσέδεκ, προφητεύουσιν Ἀγγαῖος καὶ Ζαχαρίας καὶ τελευταῖοι προφῆται. Δανιὴλ γὰρ καὶ Ἐζεκιὴλ προεφήτευσαν ἐν τῇ αἰχμαλωσίᾳ ἐν Βαβυλῶνι.

---

3. τῶν Ἰ. Gr. — οἱ ἐπηρμένοι ἐν Thren. IV. 2, ἀντιθριοι cod. a prima, ἀντιδεμ. a sec. manu. — 5. πενθοῦσαι cod. — ἐρχομένους ἐν ἑορτῇ I. 4. — 6. μικρᾷ τ. cod. — IV. 10. γυναῖκες πενθοῦσαι cod. a prima manu. — 9. φιλτάτα τ. πῶς οὐδ. Gr. — 14. υιζ', codicis lectio a sec. manu, priori erasa, υπε', μῆνες ς' apud Eusebium in fragmentis chronici graecis, a Cramero editis, υε' μ. ς' in chr. armeno II. 21, at υλβ' a quarto Salomonis anno I. 183. — 18. 1 Regg. XI. 29. Ἀχίας ὁ Σιλ. cod. — 20. e margine a secunda manu.

(3) Συνάγεται τοίνυν ἀπὸ πρώτου ἔτους Ἄχαζ καὶ πρώτης Ὀλυμπιάδος μέχρι τῆς * μετοικεσίας τῆς εἰς Βαβυλῶνα, ὅτε καὶ Δανιὴλ καὶ οἱ γ' παῖδες ἀπήχθησαν, ἔτη ρμδ'· ἀπὸ δὲ Σαοὺλ, τοῦ πρώτου βασιλεύσαντος Ἑβραίων, ἔτη υζ' ἀπὸ δὲ τῆς τελευτῆς Ἰησοῦ τοῦ Ναυῆ, ἔτη αρ', ἀπὸ δὲ Νῶε καὶ τοῦ κατακλυσμοῦ, ἔτη, βχί, ἀπὸ δὲ Ἀδὰμ ἔτη, δωοβ'.

(4) Φυλαττομένης δὲ ἡμῖν τῆς τῶν χρόνων ἀκολουθίας διὰ τῆς τῶν ἐκ Δαυὶδ ἡγεμονίας, οὐκ ἄτοπον οἶμαι τῶν ἐπὶ Σαμάρειαν ἡγησαμένων ἐν παρεξόδῳ τοὺς χρόνους παραδραμεῖν. Τελευτήσαντος γὰρ τοῦ (βασιλέως) Σολομῶντος, Ῥοβοὰμ, ὁ τούτου παῖς, ἀνέρχεται εἰς Σίκιμα· ἐκεῖ γὰρ ὁ λαὸς συνηθροΐστο, ὥστε καταστῆναι ὑπ' αὐτῶν βασιλέα. Μέλλοντι δὲ αὐτῷ χρίεσθαι προσῆλθεν ὁ λαὸς παρακαλῶν ἀπὸ τοῦ πλήθους κουφισθῆναι τῶν τελεσμάτων, ὧν ὁ πατὴρ αὐτοῦ Σολομὼν ἐφορολόγησε τὸν λαόν. Ὁ δὲ τρεῖς ἡμέρας πρὸς διάσκεψιν δοῦναι καὶ τὴν τοῦ μέλλοντος ἀπόκρισιν λαβών **, παρὰ μὲν τῶν πρεσβυτέρων ἀκούσας κουφῖσαι τὸν λαὸν, παρὰ δὲ τῶν ὁμηλίκων ἐπιφορτῖσαι, μᾶλλον τούτοις πεισθεὶς (46ᵇ) κατὰ τὴν γ' ἡμέραν τὴν τῶν νεωτέρων συμβουλὴν πρὸς τὸν λαὸν ἀποκρίγεται· οἱ δὲ ἀναχωροῦσιν ἀποταξάμενοι τῇ αὐτοῦ ἀρχῇ. Καὶ αἱ μὲν ι' φυλαὶ καθιστῶσιν ἐφ' ἑαυτῶν τὸν Ἱεροβοὰμ, τὸν τοῦ Ναβὰτ καὶ Σαρίρας, γυναικὸς ἑταίρας, υἱὸν, ἐκ φυλῆς ὁρμώμενον τῆς Ἐφραΐμ, βασιλέα, παραμένουσι δὲ τῷ Ῥοβοὰμ ἡ τοῦ Ἰούδα καὶ *** Βενιαμὶν φυλή. Ἐξ ἐκείνου διαιρεθεὶς ὁ λαός,

---

1. Ἐξ ἄλλου βιβλίου, Desunt in versione bulgarica. — * δὲ τῆς Leo, Th. Pollux. — 3. ρνδ' in margine. — 4. ς' codex. — 7. Et haec desunt in versione bulgarica, quum similiter sint ἐκ τοῦ ἄλλου βιβλίου in textum Georgii a continuatore, Leone antiquiore, illata. — 10. ἐπιδρ. Leo. P. Th. Ced. 173,13 — 174,9 Ἀποθανόντος δὲ. — γὰρ om. Leo. P. Th. — 13. Ῥ. τὴν βασιλείαν διαδέχεται καὶ αὐτὸς ἀπῆλθεν εἰς Σ. ὅτι ἐ. πᾶς Ἰσραὴλ ἀπῆσαν τοῦ βασιλεῦσαι αὐτὸν κτλ. Ced. βασιλεὺς P. Th. — 16. δοῦναι om. Leo. P. Th. — δέοντος Leo. P. Th. — ** καὶ Leo. P. Th. — 18. κουφισθῆναι Leo. — 20. νεολαίων Leo. — 21. τῆς ἀ. ἀρχῆς cod. τῇ ὑπ' αὐτῷ ἀρχῇ Leo. P. Th. — *** τοῦ Leo. P. Th.

ἴδιον ἕκαστον μέρος καὶ τὸ ὄνομα καὶ τὸν τῆς βασιλείας οἶκον ἐκέκτητο, καθὼς καὶ ἀνωτέρω εἰρήκαμεν.

LXIX. ΑΡΧΗ ΤΩΝ ΕΝ ΣΑΜΑΡΕΙΑ ΒΑΣΙΛΕΩΝ.

Ἀρχὴ τῆς βασιλείας Ἱεροβοάμ. Μετὰ δὲ τὴν διαίρεσιν τῶν ι' σκήπτρων, ἐβασίλευσεν Ἱεροβοάμ, ὡς εἴρηται, υἱὸς Ναβάτ, ἐκ φυλῆς Ἐφραΐμ, ὁ δοῦλος Σολομῶντος καὶ ἀποστάτης, τοῦ ἀποστήσαντος Ἰσραὴλ ἐν Σαμαρείᾳ· καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου, καὶ ἐπάταξεν αὐτὸν ὁ θεὸς καὶ ἀπέθανεν ἐν ταῖς ἁμαρτίαις αὐτοῦ, βασιλεύσας ἔτη μβ'. (2) Ποιήσας γὰρ δαμάλεις χρυσᾶς β' καὶ τὴν μὲν στήσας ἐν Βαιθὴλ, τὴν δὲ ἐν Δάν, ἔφη πρὸς τὸν λαόν· «Ἱκανούσθω ὑμῖν ἀναβαίνειν εἰς Ἱερουσαλήμ· ἰδοὺ οἱ θεοί σου, Ἰσραὴλ, οἱ ἀναγαγόντες σε ἐκ γῆς Αἰγύπτου»· καὶ ἐξήμαρτεν αὐτοῖς ἁμαρτίαν μεγάλην, καὶ ἐπορεύθησαν υἱοὶ Ἰσραὴλ ἐν πάσῃ ἁμαρτίᾳ Ἱεροβοὰμ καὶ ἐλάτρευσαν καὶ προσεκύνησαν τοῖς ματαίοις ἕως οὗ μετέστησεν αὐτοὺς ὁ Κύριος ἀπὸ προσώπου αὐτοῦ εἰς Ἀσσυρίους. 951 (4205)

LXX. ΒΑΣΙΛΕΙΑ ΝΑΒΑΤ.

Μετὰ δὲ Ἱεροβοὰμ ἐβασίλευσε Ναβάτ, ὁ υἱὸς αὐτοῦ, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου καὶ ἐσφάγη ὑπὸ Βαασά, βασιλεύσας ἔτη β'. 928 (4227)

LXXI. ΒΑΣΙΛΕΙΑ ΒΑΑΣΑ.

Μετὰ δὲ Ναβὰτ ἐβασίλευσε Βαασὰ καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου καὶ ἐσφάγη ἐν τῷ πολέμῳ βασιλεύσας ἔτη κδ'. 927 (4229)

---

1. ἰδίᾳ Leo. P. Th. — 2. καθάπερ ἐν τοῖς Leo. P. Th. — εἴρηται Leo. P. Th. — 4. Cod. 174,9 — 176,4? — 9. κβ' Leo. P. Th. 1 Reg. XIV. 20 Hebraeus et Eus. Chr. II. 21. — 10. 1 Reg. XII. 28,29. — 18. 1 Regg. XV. 25. — 19. Βασὰν cod. — 22. 1 Regg. XV. 33.

LXXII. ΒΑΣΙΛΕΙΑ ΗΛΑ.

903 (4251) Μετὰ δὲ Βαασὰ ἐβασίλευσεν Ἠλὰ, υἱὸς αὐτοῦ, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου καὶ ἐσφάγη ὑπὸ Ζαμβρὶ, βασιλεύσας ἔτη β΄.

LXXIII. ΒΑΣΙΛΕΙΑ ΖΑΜΒΡΙ.

899 (4253) Μετὰ δὲ Ἠλὰ ἐβασίλευσε Ζαμβρὶ καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου καὶ ἐκαύθη ἐν οἴκῳ πρόσφυγών ὑπὸ τῶν πολεμίων, βασιλεύσας ἔτη β΄.

LXXIV. ΒΑΣΙΛΕΙΑ ΑΧΑΑΒ.

890 (4267) Μετὰ δὲ Ζαμβρὶ ἐβασίλευσεν Ἀχαάβ, υἱὸς αὐτοῦ, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου καὶ ἀπέθανεν ἐν ταῖς ἁμαρτίαις αὐτοῦ, βασιλεύσας ἔτη κβ΄.

LXXV. ΠΕΡΙ ΤΗΣ ΙΕΖΑΒΕΛ ΚΑΙ ΠΕΡΙ ΤΟΥ ΗΛΙΟΥ ΠΡΟΦΗΤΟΥ.

Τῆς γὰρ γυναικὸς αὐτοῦ Ἰεζάβελ ἀποκτεινάσης τὸν Ναβουθὲ, καὶ οὕτως αὐτοῦ τὸν ἀμπελῶνα λαβών, εἶπεν Ἠλίας ὁ προφήτης πρὸς αὐτόν· «Τάδε λέγει Κύριος· Ἀνθ' ὧν ἐφόνευσας καὶ ἐκληρονόμησας — ἐν τῷ τόπῳ ᾧ ἔλειξαν* κύνες τὸ αἷμα Ναβουθὲ, ἐκεῖ λείξουσι** κύνες τὸ αἷμά σου». καὶ» τὴν Ἰεζάβελ καταφαγῶνται κύνες ἐν τῷ προτειχίσματι». καὶ «ἐξολοθρεύσω τὸν Ἀχαὰβ καὶ πάντα οὐροῦντα πρὸς τοῖχον». (2) Ὁ τοίνυν Ἀχαὰβ κηδεύσας

---

3. 1 Regg. XVI. 8. — 4. Ἀμβρὶ 1 R. XVI. 23. Leo. P. Th. Ζαμβρὶ βασιλεύει ἡμέρας ζ΄ ex 1 R. XVI. 15, sed et in sequenti capite pro עמרי legitur Z. זמרי

9. Cod. 176,5—179,12, 1 R. XVI. 29. — 14. in codice non legitur haec rubrica. — 15. λαβόντος τοῦ Ἀχαάβ? — 17. 1 Regg. XXI. 19—23. Ὡς σὺ ἐφ. — 18. ἐν παντὶ τ. — * καὶ ὗες αἱ οἱ 1 R. — ** οἱ 1 R. — 19. καταφάγωσι cod. — 20. τοῦ Ἀχ. ὅ. π. τ. 1 R. Οὐροῦντες πρὸς τοῖχον εἰσὶ κύων καὶ κάτα (Σχόλιον).

πόλεις μεγάλας καὶ ἰσχυρὰς καὶ οἶκον ἐλεφάντινον ἐν Σαμαρείᾳ θαυμάσιον σφόδρα καὶ μετὰ ταῦτα ποιήσας πόλεμον πρὸς τοὺς Σύρους, ἀφ' ὧν πατάξας ἐν ἡμέρᾳ μιᾷ μυριάδας ιβ' ἤτοι χιλιάδας ρκ' καὶ τὸν βασιλέα τούτων Ἄδερ συλλαβών, ὃν καὶ περιποιησάμενος καὶ ἀποστείλας παρὰ γνώμην θεοῦ, ἐλέγχεται σαφῶς ὑπὸ Μιχαίου τοῦ προφήτου λέγοντος· «Τάδε λέγει Κύριος· ἐξαπέστειλας ἄνδρα ὀλέθριον ἐκ χειρὸς σου· ἡ ψυχή σου ἀντὶ τῆς ψυχῆς αὐτοῦ καὶ ὁ λα(47ᵃ)ός σου ἀντὶ τοῦ λαοῦ αὐτοῦ». «Τοῦτο ἀκούσας ἀπῆλθε συγκεχυμένος καὶ λελυμένος πάνυ».

(3) Ἐν τῷ γ' ἔτει παλιν ἐξελθὼν εἰς πόλεμον κατὰ τοῦ ἀγνωμονήσαντος καὶ παρασπονδήσαντος βασιλέως Συρίας, καὶ τοῦ Μιχαίου διακωλύοντος αὐτὸν, εἶπε μετ' ὀργῆς πρὸς τοὺς περὶ αὐτὸν, συλλαβόντας «ἀποθέσθαι τοῦτον εἰς οἶκον φυλακῆς, καὶ ἐσθιέτω ἄρτον ὀδύνης καὶ πινέτω ὕδωρ θλίψεως ἕως οὗ ἐπιστρέψωμαι μετ' εἰρήνης». Καὶ φησὶ Μιχαίας· «Ἐὰν ἐπιστρέφων ἐπιστρέψῃς μετ' εἰρήνης, οὐ λελάληκε Κύριος ἐν ἐμοί». Καὶ εἰσελθὼν ἐν τῷ πολέμῳ καὶ τοξευθεὶς «ἀναμέσον τοῦ θώρακος καὶ τοῦ πνεύμονος» καὶ ὑποστρέψας διὰ τοῦ ἅρματος καὶ θανών, «ἔλειξαν οἱ κύνες τὸ αἷμα αὐτοῦ ἐκεῖ εἰς τὸν τόπον ὅπου καὶ Ναβουθ, κατὰ τὸ ῥῆμα ὃ ἐλάλησεν ὁ Κύριος» ἐν χειρὶ Ἠλιοῦ τοῦ προφήτου.

(4) Περὶ οὗ καὶ Θεοδώρητος φησίν· «Ἄξιον ὄντως διαπορῆσαι τίνος ἕνεκεν ὁ θεῖος προφήτης καὶ ζηλωτὴς διάπυρος καὶ τηλικοῦτος τερατουργὸς τὸν μὲν Ἀχαὰβ παῤῥησιαστικῶς καὶ ἀνενδοιάστως κατὰ πρόσωπον διήλεγχεν, τῆς δὲ γυναικὸς αὐτοῦ Ἰεζάβελ οὐδὲ ψιλὴν ἀπειλὴν ἐνεγκών, ὁδὸν ἀπέδρα μ' ἡμερῶν· ἀλλὰ δῆλον, ὅτι εἰ καὶ τριοῦτος ἦν ὁ πανοίδιμος ἐν ταῖς ὑπὲρ ἄνθρωπον θαυματουργίαις, ἀλλ' ἄνθρωπος ὑπῆρχεν, οὐκ ἄμοιρος τῆς φυσικῆς ἀσθενείας, ἄλλως τε δὲ καὶ τῆς θείας οἰκονομίας ἦν τὸ δεός· ἵνα γὰρ μὴ τῆς θαυματουργίας τὸ μέγεθος ἐπάρῃ τὸ φρόνημα, ἐνδέδωκεν ἡ χάρις

---

6. 1 Regg. XXI. 42,43. Οὗτός ἐστιν ὁ προφήτης ὁ τῶν τελαμῶνα περικαλυψάμενος (Σχόλιον).—11. Ἀσυρίας cod. sed. cf. 1 Regg. XXII. 1.—13. 1 Regg. XXII. 27, 28.—15. Εἰ cod.— 17. 1 Regg. XXII. 34,38. — 20. ἐξέλειξαν αἱ ὗες καὶ οἱ κ. τὸ ἁ. καὶ αἱ πόρναι ἐλούσαντο ἐν τῷ αἵματι κ. τὸ ῥ. κῦ ὃ ἐλ. 38. — 21. In quaestionibus in libros Regum de hac re nihil legitur nec alibi in editis.

τῇ φύσει τὴν δειλίαν ἐνδείξασθαι, πρὸς ἐπίγνωσιν τῆς ἀνθρωπίνης ἀσθενείας. Τούτου χάριν αὐτῷ καὶ δεδήλωκεν ὁ δεσπότης· «Μὴ καυχῶ, Ἠλία. ἑπτὰ χιλιάδες εἰσὶν, αἳ οὐκ ἐμιάνθησαν τῇ ἀσεβείᾳ». — πρὸς δὲ τούτοις ἐδίδαξεν ὡς ἡμερότητι καὶ μακροθυμίᾳ πρυτανεύειν εὐδόκησεν τὸ τῶν ἀγγέλων γένος καὶ ὅτι ῥᾴδιον ἦν αὐτῷ καὶ κηραυνοὺς καὶ σκηπτοὺς ἐπιπέμψαι τοῖς δυσσεβέσι καὶ κλονίσαι τὴν γῆν καὶ τάφον αὐτοῖς αὐτοσχέδιον ἐπαφῆναι καὶ βιαίοις ἀνέμοις ἄρδην πάντας διωλέσαι. διὸ φησίν· «Καὶ πνεῦμα μέγα, κραταιὸν, διαλύον ὄρη καὶ συντρίβον πέτρας ἐνώπιον Κυρίου. οὐκ ἐν τῷ πνεύματι Κύριος. Καὶ μετ' αὐτὸ πνεῦμα συσσεισμός. καὶ οὐκ ἐν τῷ συσσεισμῷ Κύριος. [Καὶ μετὰ τὸν συσσεισμὸν πῦρ. οὐκ ἐν τῷ πυρὶ Κύριος]. Καὶ μετὰ τὸ πῦρ φωνὴ αὔρας λεπτῆς. καὶ ἐκεῖ Κύριος». Διὰ γὰρ τούτων ἔδειξεν, ὅτι μακροθυμία καὶ φιλανθρωπία μόνη φίλη θεῷ· ἕκαστον δὲ τῶν ἄλλων ἡ πονηρία τὴν δικαίαν ὀργὴν ἐφέλκεται. Τίνος δὲ χάριν πάλιν διὰ κόρακος τρέφεται, ἄκουσον· ἐπειδὴ γὰρ ὁ θεὸς τὴν δικαίαν τοῦ δικαίου ζηλωτοῦ κατὰ τῶν παρανόμων Ἰουδαίων ἀγανάκτησιν ἐκμαλάξαι βουλόμενος, παρεσκεύασεν αὐτὸν διὰ μισοτέκνου ὀρνέου τρέφεσθαι, καὶ τίκτοντος μὲν, οὐ τρέφοντος δὲ. Ὁμοίως καὶ Δαυίδ· Καίτοι πάσης τῆς κτίσεως φυσικῷ λόγῳ πρὸς τὸν δημιουργὸν ἀποβλεπούσης — «οἱ ὀφθαλμοὶ γὰρ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ» — (47ᵇ) καὶ κοράκων ἐμνήσθη κατεξοχὴν λέγων· «Τῷ διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν». Μάλιστα μὲν γὰρ πάντα ἡ θεία πρόνοια, φησὶ, τρέφει, διαφερόντως δὲ τοὺς νεοσσοὺς τῶν κοράκων τοὺς παρὰ τῶν τεκόντων ἀνελουμένους· ζωύφια γὰρ μικρὰ ταῖς καλλιΐς περιϊπτάμενα, τροφὴ αὐτοῖς γίνεται· μόνον οὐχὶ τούτοις συνεβούλευσεν ὁ θεὸς τῷ Ἠλίᾳ ἐπὶ τῆς δικαίας εὐδιάς τοῦ λαοῦ μὴ σφοδρωτάτῃ ἀγανακτήσει χρήσασθαι μηδὲ τῆς τοῦ μισοτέκνου πετεινοῦ φιλανθρωπίας καὶ ὑπηρεσίας ἀπάνθρωπον ὤφθη καὶ ἀμείλικτον; τὸ μὲν γὰρ διὰ τὴν ἐμὴν σε πρόστασιν

---

4. 1 Regg. XIX. 18. — 8. 1 Regg. XIX. 11,12. — 12. καὶ μετὰ — κ̄ς cod. a sec. manu. — 14. τῇ πονηρίᾳ? — 19. ὅμως cod. — 21. Ps. CXLIV. 15. — 23. Ps. CXLVII. — 27. καλλιαῖς cod. — 31. ὀφθῆναι?

τρέφει, σὺ δὲ τῇ ἀγαναχτήσει ὅλως γενόμενος τιθήνιος, τὰ τῆς φιλανθρωπίας ὑπερεῖδες δίκαια».

LXXVI. ΒΑΣΙΛΕΙΑ ΟΧΟΖΙΟΥ.

Μετὰ Ἀχαὰβ ἐβασίλευσεν Ὀχοζίας, ὁ υἱὸς αὐτοῦ, καὶ ἐποίησε 866
τὸ πονηρὸν ἐνώπιον Κυρίου καὶ πεσὼν ἐκ τοῦ ὑπερῴου τοῦ οἴκου (4289)
αὐτοῦ, ἀῤῥωστήσας ἀπέθανε, βασιλεύσας ἔτη β'.

LXXVII. ΒΑΣΙΛΕΙΑ ΙΩΡΑΜ.

Μετὰ δὲ Ὀχοζίαν ἐβασίλευσε Ἰωράμ, ἀδελφὸς αὐτοῦ, καὶ ἐποί- 867
ησε τὸ πονηρὸν ἐνώπιον Κυρίου καὶ ἐσφάγη ὑπὸ Ἰηοῦ, βασιλεύσας (4291)
ἔτη ιβ', ὃς ὑποτάξας τὸν Βασὰ βασιλέα Μωὰβ, ἦν λαμβάνων ἐξ αὐτοῦ φόρους κατ' ἐνιαυτὸν ἀρνῶν χιλιάδας ρ' καὶ κριῶν χιλιάδας ρ'. (2) Ἐφ' οὗ Ἠλίας ὁ μέγας ἀνελήφθη, χρίσας τὸν Ἐλισσαὲ ἀντ' αὐτοῦ εἰς προφήτην. (3) Ἄδερ, βασιλεὺς Συρίας, ἦλθε καὶ παφακαθίσας εἰς Σαμάρειαν, γέγονε λιμὸς μέγας, ὥστε πραθῆναι κεφαλὴν ὄνου ἀργυρίων λ'. «Καὶ ἦν Ἰωράμ διαπορευόμενος ἐπὶ τοῦ τείχους καὶ γυνή τις ἐβόησε πρὸς αὐτόν». Σῶσον, κύριε βασιλεῦ»· Καὶ ἀποκριθεὶς εἶπε· Μὴ σώσαι σε Κύριος; πόθεν σῶσαι; μὴ ἀπὸ τῆς ἅλωνος ἢ ἀπὸ τῆς ληνοῦ; Καὶ φησὶν ἡ γυνή· «Οὐχί, βασιλεῦ, ἀλλ' ἡ γυνὴ αὕτη εἶπέ μοι· Δὸς τὸν υἱόν σου, φαγώμεθα αὐτὸν σήμερον καὶ τὸν υἱόν μου αὔριον, καὶ ἑψήσαντες αὐτὸν χθὲς ἐφάγομεν, καὶ σήμερον τὸν υἱὸν αὐτῆς ἔκρυψεν». Ὅπερ ἀκούσας ὁ βασιλεὺς διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ, καὶ εἶδεν ὁ λαὸς τὸν σάκκον ἐπὶ τῆς σαρκὸς αὐτοῦ ἔσωθεν καὶ ἀποκριθεὶς εἶπεν· Τάδε ποιήσαί μοι ὁ θεὸς καὶ τάδε προσθείη, εἰ στήσεται ἡ κεφαλὴ Ἐλισαίου σήμερον ἐπ' αὐτῷ». Καὶ ἀποστείλας τὸν τριστάτην ἐφ' ὃν ἐπανεπαύετο εἶπε πρός αὐτὸν ὁ προφήτης· «Τάδε λέγει Κύριος· Αὔριον

---

4. Cod. 179,13—182,3? 1 Regg. XXII. 52. — 8. Cod. 182,41—184,10. 2 Regg. I. 18, III. 1. — 10. Μωσὰ 2 Regg. III. 4. — 11. ἀρνοὺς — κριοὺς cod. — 15. 2 R. VI. 26—31. — 23. 2 Regg. VII. 1—17.

ὡσεὶ ὥρα αὔτη, μέτρον σεμιδάλεως σίκλου καὶ δίμετρον κριθῆς σίκλου ἐν ταῖς πύλαις Σαμαρείας». Καὶ εἶπεν ὁ τριστάτης· «Εἰ καταράκτας ποιήσαι Κύριος, οὐ μὴ ἔσται τοῦτο». Ὁ δὲ Ἐλισσαῖος φησί· «Ἰδού, ὄψῃ τοῖς ὀφθαλμοῖς σου καὶ ἐκεῖθεν οὐ μὴ φάγῃ». Καὶ ἄνδρες λεπροὶ δ' παρὰ τὴν πύλην τῆς πόλεως καθήμενοι καὶ τὸν λιμὸν οὐ φέροντες, ἐβουλεύσαντο πρὸς τοὺς ἐναντίους αὐτομολῆσαι. Καὶ δὴ ἀναστάντες ἐν τῷ σκότει ἦλθον εἰς τὴν παρεμβολὴν Συρίας καὶ ἰδού, οὐκ ἦν ἀνὴρ ἐκεῖ, ὅτι Κύριος ἀκουστὴν ἐποίησε τὴν παρεμβολὴν Συρίας φωνὴν ἁρμάτων καὶ (48ᵃ) ἵππων καὶ δύναμιν μεγάλην, καὶ ἀπέδρασαν ἐν τῷ σκότει πάντες καταλείψαντες ἅπαντα· τῶν δὲ λεπρῶν πάντα διασαφησάντων ἐν τῇ πόλει, ἀπέστειλεν ὁ βασιλεὺς γνῶναι, εἰ ἀληθὴς ὁ λόγος, καὶ πορευθέντες ὀπίσω τοῦ βασιλέως Συρίας ἕως τοῦ Ἰορδάνου, ἰδοὺ πᾶσα ἡ ὁδὸς πλήρης ἱματίων καὶ σκευῶν, ὧν ἔῤῥιψε Συρία ἐν τῷ ταμβεῖσθαι αὐτούς. Καὶ ὑποστρεψάντων τῶν ἀπεσταλμένων, ἐξῆλθεν ὁ λαὸς τῆς πόλεως καὶ διήρπασε τὴν παρεμβολὴν Συρίας, καὶ ἐγένετο μέτρον σεμιδάλεως σίκλου καὶ δίμετρον κριθῆς σίκλου κατὰ τὸ ῥῆμα Κυρίου. Τοῦ δὲ βασιλέως καταστήσαντος τὸν τριστάτην ἐπὶ τῆς πύλης, συνεπάτησεν αὐτὸν ὁ λαός, καὶ ἀπέθανε μὴ φαγὼν ἐκ τοῦ σίτου κατὰ τὸ ῥῆμα τοῦ προφήτου. (4) Καὶ μέντοι καὶ τὰ Ἱεριχούντια ὕδατα διὰ προσευχῆς ἰάσατο πικρὸν γὰρ ἦν φύσει καὶ δύποτον καὶ πρὸς τεκνογονίαν ἐμπόδιόν τε καὶ θανατηφόρον, ἐσθ' ὅτε καὶ πρὸς ἀδρείαν ἀνεπιτήδειον, ὅπερ εἰς εὐχρηστίαν ἀνθρώποις καὶ κτήνεσι μεταβαλών, εὐκαρπίας μάλιστα πολλῆς καὶ σωτηρίας ὑπῆρξε τῇ χώρᾳ πρόξενον· ἄχρι γὰρ δεῦρο πλημμυρῶν μεγίστην πιαίνει πεδιάδα καὶ τρέφει παραδείσους καὶ φοινίκων γένη διάφορα μελιτοφόρα, ὧν οἱ πλεῖστοι πατούμενοι καὶ ἀπολιβόμενοι μέλι πολὺ ἐκχέουσιν· ἔστι γὰρ μελιτοφόρος καὶ ἀρωματοφόρος ἡ χώρα πάνυ, φέρουσα κύπρον καὶ μυροβάλανον καὶ ὀποβάλσαμον ὅτι πλεῖστον, ἥτις δὲ ὀλίγων παρπῶν καὶ ἀνθρώποις ἐπιθυμητῶν εὖ μάλα τῷ παραδείσῳ ποσῶς παρεικάζεται. (5) Περὶ οὗ φησὶν ὁ μέγας Ἀναστάσιος Θεουπόλεως· «Καὶ οἱ ἀκριβεῖς τοῦ κόσμου χρο-

19. 2 Regg. II. 19. — 22. ἄδρησιν? — 31. cf. similia in quaestione 23.

νογράφοι ὅτι περ ἀνατολικώτερος πάσης τῆς οἰκουμένης καὶ ὥσπερ θυσιαστήριον αὐτῆς ὑπάρχει ὁ παράδεισος, οὗ αἱ χῶραι τῶν ἐσώτερων Ἰνδῶν πλησίαζουσαι, πάντες σχεδὸν οἱ καρποὶ εὐωδέστατοί εἰσι καὶ ἀρωματώδεις. Διὰ γὰρ τῆς αὔρας τῶν ἀνέμων καταυγαζομένοις καὶ ἀποδιδομένοις αὐτοῖς τῆς εὐωδίας ἐκ τῶν τοῦ παραδείσου φυτῶν συλλαμβάνουσιν, καὶ ὥσπερ τὰ τῶν ἀλλήλοις πλησιαζόντων φοινίκων καὶ μεταδιδόντων διὰ τῶν ἀνέμων ἀλλήλοις ἐκ τῶν ἀῤῥένων τὸ σπερμολέγον ἄνθος. Πᾶσα τοίνυν εὐωδία καὶ μάλιστα ἡ τῶν ἐνδικῶν ἀρωμάτων χωρὶς τινὸς ὑγρᾶς ἐλαίου ἢ ἄλλων τινῶν σκευαζομένων, ὑγιοπονὴς καὶ συγκρατικὴ τοῦ ἀνθρωπίνου σώματός ἐστιν ὥσπερ καὶ τὸ ἔμπαλαι φθοροποιὸς καὶ λοιμώδης ἡ δυσωδία, ὅθεν δὴ καί τις τῶν ἰατροσοφιστῶν ἀκριβὴς ἄγαν ἔφη, ὅτι εἰ καταλάβοι τὸν τελευτῶντα πρὸ τοῦ παρατραπῆναι τὸν νοῦν, δυνάσθαι διά τινος αὐτὸν κατασκευῆς ἀρωμάτων ἐπὶ ὥραν ποιῆσαι νηφαλέον τὸν λογισμὸν αὐτοῦ ἔχειν καὶ τὰ καθ' ἑαυτὸν ἐκλαλῆσαι καὶ διαθέσθαι, ὅπερ οὖν καὶ ἡμεῖς εἰς πείραν τούτου παρειλήφαμεν καὶ αὐτόπται γεγόναμεν, μαρτυροῦσι δὲ (48ᵇ) καὶ ἄλλοι πλεῖστοι μέχρι τῆς δεῦρο τοῦτο γενόμενον βλέποντες ὑπὸ τῶν ἀκριβῶς καὶ περιεσκεμμένως τὴν ἐπιστήμην ἐξησκημένων».

LXXVIII. ΒΑΣΙΛΕΙΑ ΙΗΟΥ.

Μετὰ δὲ Ἰωρὰμ ἐβασίλευσεν Ἰηοῦ, υἱὸς Σαφὰτ τοῦ Ναμεσίου· 855 (4303)
αὐτὸν γὰρ τὸν βασιλέα Ἰωρὰμ εὑρὼν ἰατρευόμενον τὰ τραύματα, κατετόξευσεν Ἰηοῦ, καὶ εἰσερχομένου αὐτοῦ ἐν τῇ πόλει Σαμαρείας παρέκυψε Ἰεζάβελ διὰ τῆς θυρίδος περικεκαλλοπισμένη· καὶ προσέταξε τοῖς εὐνούχοις αὐτῆς κατακρημνίσαι αὐτὴν, καὶ κατεπατήθη ὑπὸ τῶν ἵππων καὶ ἐβρώθη ὑπὸ τῶν κυνῶν· πατάξας καὶ ο' υἱοὺς Ἀχαὰβ καὶ τοὺς περιλειφθέντας αὐτοῦ ἐν Σαμαρείᾳ, κατὰ τὸ ῥῆμα Ἠλιοῦ. (2) Συναθροΐσας δὲ ἅπαν τὸ πλῆθος τοῦ λαοῦ ἔφη πρὸς αὐτοὺς μετὰ πανουργίας· «Ἀχαὰβ μὲν ἐδούλευσε τῷ Βάαλ ὀλίγον, Ἰηοῦ δὲ πολλὰ δουλεύσει αὐτῷ. Καὶ νῦν πάντας κα-

11. τῇ θυσωδίᾳ? — 20. Ced. 184,7 — 185,6, 2 Regg. X. 36. — 25. 2 Regg. X. 1—17. — 28. 2 Regg. X. 18—26.

λέσατε πρός με τοὺς προφήτας καὶ ἱερεῖς τοῦ Βάαλ· πᾶς γὰρ ὃς ἂν ἀπολείψει, οὐ ζήσεται». Συναθροίσθέντες οὖν πάντες καὶ τοῦ εἰδωλίου πλησθέντος στόμα πρὸς στόμα, φησὶν ὁ βασιλεὺς τοῖς δούλοις τοῦ Βάαλ· «Ἐρευνήσατε ἀκριβῶς, εἰ ἐστι μεθ' ὑμῶν τῶν δούλων Κυρίου τις». Καὶ μηδενὸς εὑρεθέντος, ἐκέλευσε τοῖς ὑπούργοις αὐτοῦ, καὶ ἐπάταξαν πάντας ἐν στόματι ῥομφαίας. Καὶ τὸν Βάαλ καὶ τὰ αὐτοῦ πάντα ἐνέπρησεν. (3) Ἠλὴν οὐκ ἐφύλαξε πορεύεσθαι ἐν νόμῳ Κυρίου καὶ ἐσφάγη ἐν τῷ πολέμῳ βασιλεύσας ἔτη κή'.

LXXIX. ΒΑΣΙΛΕΙΑ ΙΩΑΧΑΣ.

827 (4331) Μετὰ δὲ Ἰηοῦ ἐβασίλευσε Ἰωάχας, υἱὸς αὐτοῦ, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου καὶ ἀπέθανε βασιλεύσας ἔτη [ι]ζ'.

LXXX. ΒΑΣΙΛΕΙΑ ΙΩΑΣ.

Μετὰ δὲ Ἰωάχας ἐβασίλευσε Ἰωάς, υἱὸς αὐτοῦ, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου καὶ ἀπέθανε, βασιλεύσας ἔτη ιδ'. (2) Ἐφ' οὗ Ἐλισαῖος ἐτελεύτησε, προφητεύσας τῷ Ἰωὰς τὴν προτέραν διὰ συμβούλων κατὰ Σύρων νίκην, ἐπιτρέψας αὐτῷ ἐπὶ τὴν γῆν τοξεῦσαι πεντάκις· καὶ τὸ μὲν τρίτον, εὐστόχως ἔβριψεν, τὸ δὲ τέταρτον ἠστόχησεν, καὶ προφητεύει αὐτῷ ἕως τρὶς συμβαλεῖν καὶ νικῆσαι τοὺς Ἀσσυρίους, τὰς δὲ ἑτέρας ἡττηθῆναι· εἰ γὰρ ἄχρις τῶν ε' εὐστόχως ἐπὶ τῆς γῆς ἐβεβλήκει, πεντάκις ἂν παραταξάμενος τὴν Σύρων ἀρχὴν κατέλυσεν. (3) Ὅς τις ἀξιάγαστος προφήτης τελευτήσας καὶ ταφεὶς ἐν τῷ μνήματι, «μονόζωνοι Μωαβιτῶν» νεκρὸν θάψαντες, καὶ τοῖς ὀστέοις τοῦ μακαρίου προφήτου πλησίασας, ἀνέστη.

---

7. 2 R. X. 31. — 12. Cod. 185,7 — 9 κζ' ? ις' 2 R. XIII. 10, Leo. P. Th. — 14. Cod. 185,9 — 17. — 15. ις' 2 R. XIII. 10, Leo, P., Th. — 2 R. XIII. 14—19. — 22. Cod. 186,22—187,3, 2 R. XIII. 20,21.

LXXXI. ΒΑΣΙΛΕΙΑ ΙΕΡΟΒΟΑΜ.

Μετὰ δὲ Ἰωὰς ἐβασίλευσεν Ἱεροβοάμ, υἱὸς αὐτοῦ καὶ, ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου καὶ ἀπέθανε βασιλεύσας ἔτη λδ'. 795 (4364)

LXXXII. ΒΑΣΙΛΕΙΑ ΑΖΑΡΙΟΥ.

Μετὰ δὲ Ἱεροβοάμ ἐβασίλευσεν Ἀζαρίας, υἱὸς αὐτοῦ καὶ, ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου καὶ ἐσφάγη ὑπὸ Σελούμ, βασιλεύσας μῆνας ς'. 763 (4405)

LXXXIII. ΒΑΣΙΛΕΙΑ ΣΕΛΟΥΜ.

Μετὰ δὲ Ἀζαρίαν ἐβασίλευσε Σελοὺμ καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου καὶ ἐσφάγη ὑπὸ Μαναείμ, βασιλεύσας μῆνα ἕνα. 762 (4406)

LXXXIV. ΒΑΣΙΛΕΙΑ ΜΑΝΑΕΙΜ.

Μετὰ δὲ Σελοὺμ ἐβασίλευσε Μαναείμ καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου καὶ ἐσφάγη ὑπὸ Φακεσίου βασιλεύσας ἔτη ι'. 761 (4407)

LXXXV. ΒΑΣΙΛΕΙΑ ΦΑΚΕΣΙΟΥ.

Μετὰ δὲ Μαναείμ ἐβασίλευσε Φακεσίας, υἱὸς αὐτοῦ, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου καὶ ἐσφάγη ὑπὸ Φακεέ, βασιλεύσας ἔτη β'. 751 (4417)

LXXXVI. ΒΑΣΙΛΕΙΑ ΦΑΚΕΕ.

Μετὰ δὲ Φακεσίαν ἐβασίλευσε Φακεὲ (49ª) καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου καὶ ἐσφάγη ὑπὸ Ὡσηὲ, βασιλεύσας ἔτη κ'. 749 (4426)

---

2. Ced. 187,4,5? — 3. μα' 2 Reg. XIV. 23, Leo. P. Th. — 5. Ced. 187; 5 2 R. XV. 8. Ζαχαρίας Leo. P. Th. — 9. Ced. 187,6, 2 Regg. XV. 13. — 12. Ced. 187,8, 2 Regg. XV. 17. — 15. Ced. 187,9? 2 Regg. XV. 23. — 19. 187,10, 2 Regg. XV. 27.

(2) Ἐντεῦθεν διδασκόμεθα ὡς τοὺς ἐν πονηρίᾳ συζῶντας δι' ἀλλήλων ὁ θεὸς κολάζειν εἴωθεν καὶ τὸν πονηρότερον τῷ πονηρῷ παραδίδωσιν, οἷόν τι Σιδημίοις αὐτοῖς κεχρημένος.

LXXXVII. ΒΑΣΙΛΕΙΑ ΩΣΗΕ.

729 (4446) Μετὰ δὲ Φακεὲ ἐβασίλευσεν Ὡσηὲ ἔτη θ' καὶ ποιήσας τὸ πονηρὸν ἐνώπιον Κυρίου ἦλθε Σαλμανάσαρ, βασιλεὺς Ἀσσυρίων, ἐπὶ Σαμάρειαν καὶ ἀπῴκισεν αὐτὴν (διὰ τὰς ἁμαρτίας αὐτῶν τὰς μεγάλας «καὶ γὰρ ἐποίησαν δύο χρυσᾶς δαμάλεις καὶ προσεκύνησαν — καὶ ἐλάτρευσαν αὐτὰς καὶ τῷ Βάαλ καὶ διῆγον τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας τῷ πυρὶ καὶ ἐμαντεύοντο — καὶ οἰωνίζοντο» καὶ ἐφαρμακεύοντο «καὶ ἀπώσατο αὐτοὺς Κύριος ἀπὸ προσώπου αὐτοῦ, καὶ οὐχ ὑπελείφθη πλὴν φυλὴ Ἰούδα μονωτάτη· καίγε Ἰούδας οὐκ ἐφύλαξε τὰς ὁδοὺς Κυρίου, ἀλλ' ἐπορεύθη ἐν ταῖς ἁμαρτίαις Ἰσραήλ. — Καὶ ἔδωκεν αὐτοὺς Κύριος εἰς χεῖρας ἁρπαζόντων αὐτούς». (2) Καὶ ἀπῳκίσθησαν εἰς Ἀσσυρίους· καὶ ἀπέστειλε βασιλεὺς Ἀσσυρίων ἔθνη δ', τοὺς Κουθιαίους καὶ Κουθιαίους καὶ Σεφαρουαίους καὶ Ἀναγαβαίους καὶ κατωκίσθησαν ἐν ταῖς πόλεσι Σαμαρείας. (3) «Καὶ πέμψας Κύριος ἐπ' αὐτοὺς λέοντας, ἀνήλισκον αὐτούς καὶ ἀνήγγειλαν τῷ βασιλεῖ Ἀσσυρίων, ὅτι τὰ ἔθνη, ἃ ἐκάθισαν ἐν πόλεσι Σαμαρείας, οὐκ ἔγνωσαν τὸ κρίμα τοῦ θεοῦ τῆς γῆς ἐκείνης, καὶ ἀπέστειλεν ἐπ' αὐτοὺς λέοντας, καὶ ὠλοθρεύοντο· καὶ φησὶν ὁ βασιλεύς· «Ἀπαγάγετε ἐκεῖ τινὰς καὶ φωτιοῦσιν αὐτοὺς τὸ κρίμα τοῦ θεοῦ». Καὶ ἀποστείλας ἕνα τῶν ἱερέων ὧν ἀπῴκισαν ἀπὸ Σαμαρείας, καὶ ἐδίδασκεν αὐτοὺς ὁ ἱερεὺς φοβεῖσθαι τὸν Κύριον, καὶ ἐφοβοῦντο τὸν Κύριον καὶ τοῖς θεοῖς αὐτῶν ἐλάτρευον καὶ κατῴκησαν ἐκεῖ ἕως τῆς ἡμέρας ταύτης».

---

3. σιδηρίοις?—5. Cod. 187,13, 2 R. XVII. 1—6.—8. Regg. XVII. 16—20.—9. ἀ. καὶ om. 2 R.—10. θ. αὐτῶν ἐν π. 2 R.—11. καὶ ἀπέστησεν ἀ. ἀπὸ 2 R.—* τοῦ 2 R.—14. τὰς ἐντολὰς κῦ τοῦ θῦ αὐτῶν καὶ ἐπορεύθησαν ἐν τ. δικαιώμασιν Ἰσραὴλ 2 R.—14. ἐν χειρὶ διαρπ. 2 R. — 16. τοὺς Χουθαίους 2 R. XVII. — 17. ἐκ Χουθᾶ, ἀπὸ Ἀϊὰ καὶ ἀπὸ Αἰμαθ καὶ Σεφαρουαΐμ 2 Regg. XVII. 24. — 18. 2 Regg. XVII. 25—34. — 22. ἀπ. ἐκεῖθεν καὶ πορευόθωσαν καὶ κατοικήτωσαν ἐκεῖ καὶ φ. 2 R.

(4) Ἐπανελθόντες οὖν οἱ Ἰουδαῖοι ζηλοτύπως εἶχον πρὸς αὐτούς, ἅτε ἀλλοφύλους, καὶ οὐ συνεχρῶντο αὐτοῖς, ἀλλὰ ἀπὸ τοῦ Σομὼρ, τοῦ ὄρος, ἐκάλουν αὐτοὺς Σαμαρείτας, οἵγε τὰ Μωϋσέως μόνον δεχόμενοι βιβλία, τῶν λοιπῶν γραφῶν οὐ πολὺν ἐποιοῦντο λόγον· κἀντεῦθεν πρὸς τοὺς Ἰουδαίους φιλονείκως διακείμενοι, πατέρα τὸν Ἀβραὰμ ἐπεγράφοντο, ἅτε ἀπὸ τῆς Χαλδαίας ὁρμώμενον, ἀφ' ἧς καὶ αὐτοὶ γεγόνασι, διὸ δὴ καὶ ἡ Σαμαρεῖτις πρὸς τὸν Κύριον ἔλεγεν· «Οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν», τοὺς περὶ τὸν Ἀβραὰμ ὑπεμφαίνουσα, ἔνθα τὸν υἱὸν εἰς ὁλοκάρπωσιν ἀνήνεγκεν. (5) Οἱ δὲ ἐν Σαμαρείᾳ βασιλεύσαντες ὑπῆρχον τὸν ἀριθμὸν ιη' ἀπὸ Ἱεροβοὰμ ἕως τοῦ εἰρημένου Ὡσηέ, ἐφ' οὗ πέπαυται καὶ ἀπώλετο Σαμάρεια, καὶ Ἀσσύριοι κατῴκισαν ἐκεῖ, ὡς εἴρηται, ἐξ ὧν οἱ αἱρετικοὶ Σαμαρεῖται καὶ Σαδδουκαῖοι πεφήνασι. γίνονται οὖν τὰ πάντα ἔτη σνγ'· καὶ ἐκ διαφόρων μὲν ἐγένοντο γενεῶν· ἅπαντες δὲ τὸ πονηρὸν ἐποίησαν ἐνώπιον Κυρίου κατὰ τὴν ἁμαρτίαν Ἱεροβοάμ.

LXXXVIII. ΠΕΡΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΒΑΒΥΛΩΝΟΣ.

Ἀρχὴ τῆς βασιλείας Ναβουχοδονόσωρ βασιλέως Βαβυλῶνος. Μετὰ δὲ τοὺς προειρημένους Ἀσσυρίων βασιλεῖς ἐβασίλευσε Ναβουχοδονόσωρ ἔτη κδ' (ὃς καὶ τὴν Ἱερουσαλὴμ ἐκράτησεν ἔτη ζ', καὶ ἔδησεν ὁ Θεὸς ἐν χειρὶ τὸν Ἰωακεὶμ βασιλέα Ἰούδα, καὶ πάντα τὰ σκεύη οἴκου Θεοῦ εἰσήνεγκεν εἰς τὸν οἶκον Θησαυροῦ (49ᵇ) Θεοῦ αὐτοῦ. (2) Οὗτος πόλιν μεγίστην εἰς Βαβυλῶνα κτίσας ἐξ ὀπτῆς πλίνθου καὶ λίθων λελαξευμένων, ἐχόντων ἀνὰ πηχῶν γ' τὸ πλάτος, τὸ δὲ μῆκος ἀνὰ πηχῶν ς', τὸ μὲν περίμετρον αὐτῆς ἐποίησε σταδια μ', γενόμενα μίλια ς'*, τὸ ὕψος τοῦ τείχους πηχῶν π' καὶ τὸ πλάτος πηχῶν λ', καὶ τοὺς πύργους ἔστησεν ἐπὶ ταῖς πύλαις ἀνὰ πηχῶν ρ' τὸ ὕψος, τὸ δὲ πλάτος ἀνὰ πηχῶν ξ' καὶ ἐποίησε τὰς

---

3. τὸ ὄρος cod. — 8. Io. IV. 20. — 13. πεφύκασι? — 17. Cod. 203,3—5. Ἐπὶ τούτου οἱ ἅγιοι γ' παῖδες ἐβλήθησαν ἐν τῇ καμίνῳ καὶ ὁ μέγας προφήτης Δανιὴλ ἐγνωρίζετο (Σχόλιον). — 23. Cod. 203,5—17. — * υ Cod.

πύλας αὐτῆς χαλκᾶς καὶ διεγειρομένας εἰς ὕψος ἀνὰ πηχῶν ϙ' καὶ τὸ πλάτος πηχῶν κ', εἰς ἐξόδους καὶ εἰς ὁδοὺς λαοῦ αὐτοῦ· πλησίον δὲ τῆς πόλεως ὤρυξε κινστέρναν καὶ ὠκοδόμησε καὶ περιετείχισεν αὐτὴν ἀξιολόγως, τὸ περίμετρον αὐτῆς ἔχον σταδία μ', τὸ βάθος ὀργυιὰς μ'· ὡσαύτως κατεσκεύασε καὶ ἄλλο ἔργον ἀξιοθαύμαστον· ἐγείρας γὰρ ἀναλήμματα λίθινα ὑψηλότατα σφόδρα καὶ παντοδαπὰ, καταφυτεύσας ὑπερθεν δένδρα καρποφόρα ὡς ὅμοια δασυτάτοις ὄρεσιν, κρεμαστὸν παράδεισον αὐτὸν ἐπωνόμασεν, εἰς ὃν ἡ γυνὴ αὐτοῦ περιπολοῦσα καὶ πᾶσαν τὴν γῆν ἐκείνην ἐποπτεύουσα κατετέρπετο ὑπ' οὐδενὸς ὁρωμένη. (3) Αὕτη ἐστὶν ἡ πόλις, περὶ ἧς διαπορευόμενος ἔφη μετ' ἐπάρσεως πολλῆς καὶ ἀλαζονείας· «Οὐχ αὕτη ἐστὶν Βαβυλὼν ἡ μεγάλη, ἣν ἐγὼ εἰς οἶκον βασιλείας ἐν τῷ κράτει τῆς ἰσχύος μου, εἰς τιμὴν τῆς δόξης μου, ᾠκοδόμησα;» Καὶ ἔτι τοῦ λόγου ἐν τῷ στόματι αὐτοῦ οὔτος, φωνὴ ἐκ τοῦ οὐρανοῦ ἐγένετο· «Σοὶ λέγεται, Ναβουχοδονόσωρ, ἡ βασιλεία σου παρῆλθεν ἀπὸ σοῦ, καὶ ἀπὸ τῶν ἀνθρώπων ἐκδιώξουσί σε, καὶ μετὰ θηρίων ἡ κατοίκησίς σου, καὶ χόρτον ὡς βοῦν ψωμιοῦσί σε, καὶ ζ' καιροὶ ἀλλαγήσονται ἐπί σε, ἕως οὗ γνῷ, ὅτι κυριεύει ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἐὰν δόξῃ, δώσει αὐτήν»! Καὶ αὐτῇ τῇ ὥρᾳ ὁ λόγος συνετελέσθη ἐπὶ Ναβουχοδονόσωρ, καὶ ἀπὸ ἀνθρώπων ἐξεδιώχθη καὶ χόρτον ὡς βοῦς ἤσθιεν καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἐβάφη ἕως οὗ αἱ τρίχες αὐτοῦ ὡς λέοντος ἐμεγαλύνθησαν καὶ οἱ ὄνυχες αὐτοῦ ὡς ὀρνέου». (4) Μετὰ δὲ ταῦτα πάλιν φησὶν ὁ αὐτὸς περὶ τῆς αὐτοῦ ἀποκαταστάσεως· «Ἐν τῷ καιρῷ ἐκείνῳ αἱ φρένες μου ἐπεστράφησαν ἐπ' ἐμὲ καὶ εἰς τιμὴν τῆς βασιλείας μου ἦλθον, καὶ ἡ μορφὴ ἐπέστρεψέν ἐπ' ἐμὲ, καὶ οἱ τύραννοί μου καὶ οἱ μεγιστᾶνές μου ἐζήτουν με, καὶ ἐπὶ τὴν βασιλείαν μου ἐκραταιώθην, καὶ (ἡ) μεγαλωσύνη μου προσετέθη μοι περισσοτέρα. Νῦν οὖν ἐγὼ Ναβουχοδονόσωρ αἰνῶ

---

3. γηστέρναν cod. — 11. Ἐκεῖσε δ. στόματι ὑπερηφάνῳ εἶπεν οὐχ. Ced. 203, 17—204,18. — 11, Dan. IV. 30—33. — * ἡ Ced. — 15. γέγονε Ced. — ** τῶν Ced. Dan. — 21. ἐξ. καὶ ἐν ἐρήμοις ἠυλίσθη καὶ ὄρεσιν· γέγονε γὰρ τὰ ἔμπροσθεν αὐτοῦ σὺν τῇ κεφαλῇ ὡς βοῦς καὶ αἱ πόδες σὺν τοῖς ὀπισθίοις ὡς λέων Ced. — 24. Ced. 204,18—203,9. — 24. ἑαυτοῦ cod. εἰς ἑαυτὸν Ced. — 25. Dan. IV. 36,37.

καὶ ὑπερυψῶ καὶ δοξάζω τὸν βασιλέα τοῦ οὐρανοῦ, ὅτι πάντα τὰ ἔργα αὐτοῦ ἀληθινὰ καὶ αἱ τρίβοι αὐτοῦ κρίσεις, καὶ πάντας τοὺς πορευομένους ἐν ὑπερηφανίᾳ δύναται ταπεινοῦν. (5) Τὴν τοίνυν ἐκ θεοῦ δοθεῖσαν (αὐτῷ) πολυολβίαν, ῥώμην τε καὶ περιφάνειαν ὁ θεῖος λόγος ὑπεμφαίνων διὰ Ἱερεμίου φάσκει· «Τάδε λέγει Κύριος»· Ἰδοὺ, δέδωκα πᾶσαν τὴν γῆν τῷ Ναβουχοδονόσωρ [βασιλεῖ] Βαβυλῶνος δουλεύειν αὐτῷ καὶ τὰ θηρία τοῦ ἀγροῦ ἐργάζεσθαι αὐτῷ· καὶ τὸ ἔθνος καὶ ἡ βασιλεία, ὅσοι μὴ ἐμβάλωσι τὸν τράχηλον αὐτῶν ὑπὸ τὸν ζυγὸν αὐτοῦ, ἐν μαχαίρᾳ καὶ (50ª) ἐν λιμῷ ἐπισκέψομαι αὐτοὺς, ἕως ἂν ἐκλείπωσιν ἐν χειρὶ αὐτοῦ». «Καὶ ἰταμός ἐστι, καὶ οὐκ ἐλεήσει· φωνὴ αὐτοῦ, ὡς θάλασσα κυμαίνουσα· ἐφ' ἵπποις πολλοῖς καὶ ἅρμασι παρατάξει ὡς πῦρ εἰς πόλεμον ἐπὶ σὲ, θύγατερ Σιών». «Καὶ ἀπὸ φωνῆς ὁρμῆς αὐτοῦ καὶ ἀπὸ τῶν ὅπλων τῶν ποδῶν αὐτοῦ καὶ ἀπὸ σεισμοῦ τῶν ἁρμάτων καὶ ἦχου τροχῶν αὐτοῦ οὐκ ἐπιστραφήσονται πατέρες ἐπὶ υἱοὺς αὐτῶν ἀπὸ ἐκλύσεως χειρῶν αὐτῶν»· καί· «Ἐκ Δὰν ἀκουσθήσεται φωνὴ ὀξύτητος ἵππων αὐτοῦ (καὶ ἀπὸ φωνῆς χρεμετισμοῦ ἱππασίας αὐτοῦ σεισθήσεται πᾶσα ἡ γῆ ἐκείνη· καὶ ἥξει καὶ φάγεται τὴν γῆν καὶ τὸ πλήρωμα αὐτῆς, πόλεις καὶ τοὺς ἐν αὐταῖς κατοικοῦντας». (6) Ὡσαύτως καὶ δι' Ἐζεκιὴλ οὕτω λέγει· «Ἰδοὺ, ἐπάγω ἐπὶ Σὸρ τὸν Ναβουχοδονόσωρ, βασιλέα Βαβυλῶνος, ὃς ἐστι βασιλεὺς βασιλέων μεθ' ἵππων καὶ ἁρμάτων καὶ συναγωγῆς ἐθνῶν πολλῶν σφόδρα. — Καὶ περιβαλεῖ σοι τάφρον καὶ οἰκοδομήσει κύκλῳ χάρακα καὶ περιστάσεις ὅπλων· καὶ τὰς λόγχας αὐτῶν ἀπέναντί σου δώσει. Τὰ τείχη σου καὶ τοὺς πύργους καθελεῖ ἐν τοῖς ὅπλοις αὐτοῦ. Ἀπὸ δὲ τοῦ πλήθους τῶν ἵππων αὐτοῦ καλύψει σε κονιορτὸς αὐτῶν». Καὶ πάλιν. «Τάδε λέγει Κύριος Ἀδοναΐ· Ἰδοὺ, ἐγὼ δίδωμι τῷ Ναβουχοδονόσωρ τὴν γῆν Αἰγύπτου, καὶ λήψεται τὸ πλῆθος αὐτῆς καὶ σκυλεύσει τὰ σκύβαλα αὐτῆς καὶ προνομεύσει τὴν προνομὴν αὐτῆς. Ἀντὶ τῆς λειτουργίας ἧς ἐδούλευσεν ἐπὶ (τὴν) Τύρον,

---

3. ταπεινοῖν cod. — Ced. 205,9—22. — 5. Ier. XXVII. 6,7. — 10. Ier. VI. 23.— 12. παρατάξεται LXX, Ced. — 13. Ier. XLVII. 3. — 16. ἐκλήσεως Ced. — Ier. VIII. 16. — 20. Ced. 205,22 — 206,11. — Ez. XXVI. 7—10. — ' σὲ Ez. — 27. κ̄ς κ̄ς Ez. XXIX. 19,20. Ἀδ. κ̄ς Ced.

δέδωκα αὐτῷ τὴν γῆν Αἰγύπτου». «Καὶ ἀπολῶ τὸ πλῆϑος τῶν Αἰγυπτίων» διὰ χειρὸς Ναβουχοδονόσωρ· «ἐν μαχαίραις γιγάντων αὐτοῦ, καταβαλῶ τὴν ἰσχὺν αὐτῶν». Καὶ μετὰ ταῦτα «ἐξελεύσονται οἱ κατοικοῦντες τὰς πόλεις καὶ ἐκκαύσουσι καὶ ἀνάψουσιν ἐν τοῖς ὅπλοις καὶ ϑυρεοῖς καὶ πέλταις καὶ δόρασι καὶ τόξοις καὶ βέλεσι καὶ βακτηρίαις χειρῶν καὶ λόγχαις καὶ καύσουσιν ἐν αὐταῖς πῦρ ἐν ἔτεσι ζ'. Καὶ οὐ μὴ λήψονται ξύλα ἐκ τοῦ ἀγροῦ οὐδὲ μὴ κόψουσιν ἐκ τῶν δρυμῶν ἀλλ' ἢ τὰ ὅπλα καύσουσιν». (7) Εἰκότως οὖν ἔλεγε πρὸς αὐτὸν ὁ Δανιήλ· «Σὺ, βασιλεῦ, βασιλεὺς βασιλέων, ᾧ ὁ ϑεὸς βασιλείαν ἰσχυράν τε καὶ κρατειὰν καὶ ἔντιμον ἔδωκεν ἐν παντὶ τόπῳ, ὅπου κατοικοῦσιν υἱοὶ τῶν ἀνϑρώπων, ϑηρία τε τοῦ ἀγροῦ καὶ πετεινὰ τοῦ οὐρανοῦ ἔδωκεν ἐν τῇ χειρί σου καὶ κατέστησέ σε κύριον πάντων, σὺ εἶ ἡ χρυσῆ κεφαλὴ — τῆς εἰκόνος». Καὶ «τὸ δένδρον, ὃ εἶδες τὸ μέγα, οὗ τὸ ὕψος ἔφϑασεν εἰς τὸν οὐρανὸν, καὶ τὸ κῦτος αὐτοῦ εἰς πᾶσαν τὴν γῆν, καὶ τὰ φύλλα αὐτοῦ εὐϑαλῆ, καὶ ὁ καρπὸς αὐτοῦ πολὺς, καὶ τροφὴ πᾶσα ἐπ' αὐτῷ, καὶ ὑποκάτω αὐτοῦ κατῴκουν τὰ ϑηρία καὶ ἐν τοῖς κλάδοις αὐτοῦ κατεσκήνουν πετεινὰ, σὺ βασιλεῦ, ὅτι ἐμεγαλύνϑης καὶ ὑπερίσχυσας καὶ ἡ μεγαλωσύνη σου ἔφϑασεν εἰς τὸν οὐρανὸν (50^{b}) καὶ ἡ κυρεία σου εἰς τὰ πέρατα τῆς γῆς».

LXXXIX. ΠΕΡΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΟΥΛΕΜΑΡΟΔΑΧ.

561 (4629) Μετὰ δὲ Ναβουχοδονόσωρ ἐβασίλευσεν Οὐλεμαροδὰχ, ὁ υἱὸς αὐτοῦ, ἔτη ε', ὃς τὸν Ἰεχονίαν λύσας τῶν δεσμῶν ἐποίησε συνεστιάτορα αὐτοῦ. (2) Περὶ οὗ καὶ ἡ τῶν βασιλειῶν ἱστορία καὶ ὁ ϑεῖος Ἱερεμίας ἔφη· «Καὶ ἐγένετο ἐν τῷ τριακοστῷ καὶ ζ' ἔτει, ἀποκισϑέντος τοῦ Ἰωακεὶμ βασιλέως Ἰούδα ἐν τῷ ι' μηνὶ, ἐν τῇ ιδ' τοῦ μηνὸς, ἔλαβεν Εὐΐλαδ Οὐλεμαροδὰχ, βασιλεὺς Βαβυλῶνος, ἐν τῷ ἐνιαυτῷ οὗ ἐβασίλευσε, τὴν κεφαλὴν Ἰωακεὶμ βασιλέως Ἰούδα καὶ

1. Ez. XXX. 15. — 2. Ez. XXXII. 12. — 3. Ez. XXXIX. 9,10. — 8. Ced. 206,11—20. — 9. Dan. II. 37,38. — 14. Dan. IV. 20—22. — 22. Ced. 206,21—23. 24. Ced. 206,23—207,8, ἱστοριῶν βασιλεία cod. — 25. Ier. LII. 31—33.

ἐξήγαγεν αὐτὸν ἐκ τοῦ οἴκου οὗ ἐφυλάσσετο καὶ ἐλάλησεν αὐτῷ χρηστὰ καὶ ἔδωκεν αὐτῷ τὸν δίφρον ἐπάνω τῶν ϑρόνων τῶν βασιλέων τῶν μετ' αὐτοῦ ἐν Βαβυλῶνι καὶ ἤλλαξε τὴν στολὴν τῆς φυλακῆς αὐτοῦ, καὶ ἤσθιε διὰ παντὸς ἄρτον κατὰ πρόσωπον αὐτοῦ πάσας τὰς ἡμέρας ἃς ἔζησεν. (3) Ἰωακεὶμ δὲ οὗτός ἐστιν (ὁ) καὶ Ἰεχονίας. Ἰωακεὶμ γὰρ τὸν τούτου πατέρα, ἐφ' οὗ καὶ Δανιὴλ ᾐχμαλωτίσθη, Ναβουχοδονόσωρ ἀνελὼν ἐν Ἱερουσαλὴμ, ἔῤῥιψεν ἔξω τοῦ τείχους.

ΧC. ΠΕΡΙ ΒΑΛΤΑΣΑΡ.

Μετὰ δὲ Οὐλεμαροδὰχ ἐβασίλευσε Βαλτάσαρ, ὁ ἀδελφὸς αὐτοῦ, ἔτη γ', ὃς (ἐποίησε δεῖπνον τοῖς μεγιστᾶσιν αὐτοῦ) μιάνας τὰ ἱερὰ σκεύη τοῦ ϑεοῦ ἐν τῷ συμποσίῳ, ἅπερ ἤγαγεν ὁ πατὴρ αὐτοῦ Ναβουχοδονόσωρ ἐξ Ἱερουσαλὴμ, ἀνῃρέθη κατὰ ϑείαν ὀργήν· (2) φησὶ γὰρ τηνικαῦτα Δανιὴλ πρὸς αὐτόν· «Ὁ ϑεὸς ὁ ὕψιστος τὴν βασιλείαν καὶ τὴν μεγαλωσύνην καὶ τὴν δόξαν ἔδωκε Ναβουχοδονόσωρ, τῷ πατρί σου· ἀπὸ τῆς μεγαλωσύνης αὐτοῦ πάντες οἱ λαοὶ καὶ γλῶσσαι ἦσαν τρέμοντες καὶ φοβούμενοι ἀπὸ προσώπου αὐτοῦ καὶ οὓς ἐβούλετο ἀνῄρει καὶ οὓς ἤϑελεν ἔσωσεν· καὶ ὅτε ὑψώθη ἡ καρδία αὐτοῦ καὶ τὸ πνεῦμα αὐτοῦ ἐκραταιώθη τοῦ ὑπερηφανεύεσθαι, κατήχθη ἀπὸ τοῦ ϑρόνου αὐτοῦ, καὶ χόρτον ὡς βοῦν ἐψώμιζον αὐτὸν, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἐβάφη ἕως οὗ ἔγνωσεν, ὅτι κυριεύει ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνϑρώπων καὶ ᾧ ἐὰν δόξῃ, δώσει αὐτήν· καὶ σὺ οὖν, ὁ υἱὸς αὐτοῦ Βαλτάσαρ, οὐκ ἐταπείνωσας τὴν καρδίαν σου· καὶ οἱ μεγιστᾶνες καὶ οἱ παράκοιτοι καὶ αἱ παλλακαί σου, οἶνον ἐπίνετε ἐν τοῖς ἁγίοις σκεύεσι διὰ τοῦτο ἀπεστάλη ἀστράγαλος χειρὸς ἐκ προσώπου αὐτοῦ (καὶ τὴν γραφὴν ταύτην ἐνέδειξε ὄντως· Μανῆ, Θεκὲλ, Φαρές. τοῦτο Μανῆ· ἐμέτρησεν ὁ ϑεὸς τὴν βασιλείαν σου καὶ ἐπλήρωσεν αὐτήν. Θεκέλ· ἐστάθη ἐν ζυγῷ καὶ εὑρέθη ὑστεροῦσα· Φαρὲς δέ· διῄρηται

557 (4634)

2. τὸ cod. — 3. αὐτῶν cod. — φωνὴν cod. — 5. Ced. 207,8—11. — 10. Ced. 207,12—15. — 13. Ced. 208,15—209,11. — Dan. V. 18.31. — 27. τοῦτον codex.

ἡ βασιλεία σου Μήδοις καὶ Πέρσαις»· καὶ ἐν αὐτῇ τῇ νυκτὶ ἀνῃρέθη Βαλτάσαρ ὁ Χαλδαῖος, καὶ Δαρεῖος παρέλαβε τὴν βασιλείαν». (3) Μὴ νομίσῃς, φησὶν, οἰκείᾳ ῥώμῃ χρησάμενος Ναβουχοδονόσωρ πᾶσαν ὑπέταξε τὴν γῆν· ὁ γὰρ θεὸς ἐπιφέρων ἀνθρώποις ἁμαρτωλοῖς τιμωρίαν, ὥσπερ τισὶν ὀργάνοις κέχρηται, προδήλως ἐπιτηδείοις καὶ πονηροῖς εἰς πονηρίαν τῆς κατ' αὐτῶν θείας ὀργῆς· ὅθεν φησὶν διὰ Ἡσαΐου· «Μὴ δοξασθήσεται ἀξίνη ἄνευ τοῦ κόπτοντος ἐν αὐτῇ; ἢ ὑψωθήσεται πρίων ἄνευ τοῦ ἕλκοντος αὐτόν; οὕτως ἐάν τις ἄρῃ ῥάβδον ἢ ξύλον». Ὥσπερ γὰρ φησὶν, ἀδύνατον ἀξίνην αὐτομάτως ἢ πρίονα ἢ ῥάβδον κινηθῆναι, τότε γὰρ τούτων ἕκαστον ἐνεργεῖ, ἡνίκα (51ᵃ) ἄν τις τῇ χειρὶ χρησάμενος κινῆσαι θελήσειεν, οὕτω δὴ κἀγὼ τοῖς πονηροῖς κατὰ τῶν πονηρῶν ἀνθρώπων κέχρημαι. Ταύτῃ τοίνυν καὶ Ἱερεμίας φησίν· «Οὕτως εἶπε Κύριος ὁ θεὸς Ἰσραὴλ· «ἐγὼ ἐποίησα τὴν γῆν τῇ μεγάλῃ ἰσχύι μου καὶ τῷ βραχίονί μου τῷ ὑψηλῷ καὶ δώσω αὐτὴν ᾧ ἐὰν δόξῃ ἐν ὀφθαλμοῖς μου. Καὶ ἰδοὺ, δέδωκα πᾶσαν τὴν γῆν Ναβουχοδονόσωρ, βασιλεῖ Βαβυλῶνος, τῷ δούλῳ μου, δουλεύειν αὐτῷ πάντα τὰ ἔθνη» καὶ τὰ ἑξῆς· [καὶ τοῦ θείου κρίματος καὶ τῆς ἀῤῥήτου δικαιοκρισίας καὶ μακροθυμίας καταφρονήσας] ἐπειράθη λοιπὸν ἐνδίκως παρὰ θείας ὀργῆς τὸ ἀδέκαστόν τε καὶ ἀναπόδραστον.

XCI. ΒΑΣΙΛΕΙΑ ΔΑΡΕΙΟΥ.

555 (4636) Μετὰ δὲ Βαλτάσαρ ἐβασίλευσε Δαρεῖος ὁ Μῆδος, ὁ καὶ Ἀστυάγης, ὁ Ἀρταξέρξης λεγόμενος, ἔτη ιξ', ὃς εἶχε γυναῖκα τοῦ Μαρδοχαίου Ἐσθήρ, ἐπιλεχθεῖσαν διὰ κάλλος [ἐκ τῶν] Ἑβραϊκῶν νεανίδων, ἥτις καὶ τὸν ἴδιον ναὸν Ἰουδαϊκὸν ἀναιρεῖσθαι μέλλοντα ἐξ ἐπιβουλῆς Ἀμὰν τοῦ ἀρχιστρατήγου λυτρωσαμένη, παρεσκεύασεν ἐκεῖνον ἀνασκολοπισθῆναι εἰς ὅπερ ξύλον ἐβουλεύσατο Μερδοχεὲ τὸν ἑαυτῆς ἀνασκολοπίσαι θεῖον μὴ τιμῶντα αὐτὸν καὶ προσκυνοῦντα· (2) ἐν οἷς εἰκότως πεπλήρωται ἡ γραφὴ ἡ λέγουσα, «ὃς

---

6. εἰς ἐπίδειξιν? — 7. Ies. X. 15. — 13. Ier. XXVII. 4—6. — 18. in margine, a secunda manu, a slavonico omissum. — 22. Cod. 208,10—17. — 29. Cod. 208,20—209,2. — Prov. XIX. 9.

δὰν ἐκκαύσει κακίαν, ἀπολεῖται ὑπ' αὐτῆς». καί· «ὃς παρασκευάζεται δίκτυον ἐπὶ πρόσωπον τοῦ πλησίον, περιβαλεῖ αὐτὸ τοῖς ἑαυτοῦ ποσίν». καί· «Ὁ ποιῶν πονηρόν, εἰς αὐτὸ ἐγκυλισθήσεται καὶ οὐ μὴ ἐπιγνῷ πόθεν ἥκει αὐτῷ». καί· «Ὁ ὀρύσσων βόθρον τῷ πλησίον, εἰς αὐτὸν ἐμπεσεῖται». καί· «Δι' ὧν τις ἁμαρτάνει, διὰ τούτων καὶ κολάζεται». (3) Φησὶ γάρ τις τῶν μεγιστάνων· «Ἰδοὺ ξύλον ἔστησεν Ἀμὰν τῷ Μαρδοχαίῳ πηχῶν ν'». Καὶ ἐγένετο οὕτως κατὰ τὴν κέλευσιν βασιλέως Ἀρταξέρξου. (4) Ἐφ' οὗ καὶ τῷ Δανιὴλ ὡράθησαν καὶ διὰ τοῦ ἀρχαγγέλου Γαβριὴλ ὀπτασίαι, καὶ ὁ χρόνος ἐδηλώθη τῆς Χριστοῦ παρουσίας, ὅστις καὶ φθονηθεὶς ὑπὸ τῶν μεγιστάνων διὰ τὸ μεγάλως τιμᾶσθαι ὑπὸ τοῦ βασιλέως, ἐβλήθη ἐν τῷ λάκκῳ τῶν λεόντων καὶ διεφυλάχθη ἀσινής.

XCII. ΒΑΣΙΛΕΙΑ ΚΥΡΟΥ.

Μετὰ δὲ Δαρεῖον ἐβασίλευσε Κῦρος ὁ Πέρσης ἔτη λβ', ὃς ἀνε- 359
λὼν Κροῖσον, πάσης ἐκράτησε τῆς γῆς (τῆς τε τῶν Χαλδαίων καὶ (4641)
Ἀσσυρίων καὶ Περσῶν, Παλαιστίνην τε καὶ πᾶσαν τὴν Ἀσίαν καὶ τὴν Λυδῶν βασιλείαν ὑπέταξε, ἀνελὼν Κροῖσον ὡς προείρηται). (2) Ἐφ' οὗ Κύρου Δανιὴλ ἐπιφανέστερος ὑπάρχων ἔτι καὶ τὸν Βὴλ συντρίψας καὶ δράκοντα φονεύσας καὶ «τὰ σεβάσματα» Περσῶν, ἐβλήθη πάλιν ἐν τῷ λάκκῳ τῶν λεόντων καὶ ἦν ἐκεῖ ἡμέρας ς'», «ἐν ᾧ λέοντες ἦσαν ζ'. ἐδίδοτο αὐτοῖς τὸ καθ' ἡμέραν τὸ καθ' ἡμέραν σώματα β' καὶ πρόβατα β'. τότε δὲ οὐκ ἐδόθη αὐτοῖς οὐδέν, ἵνα τὸν Δανιὴλ καταφάγωσι. Καὶ ἦν Ἀμβακοὺμ ὁ προφήτης ἐν τῇ Ἰουδαίᾳ καὶ ἥψησεν ἐψήματα καὶ ἐνέθρυψεν ἄρτους εἰς σκάφην καὶ ἐπορεύετο εἰς τὸ πεδίον ἀπενέγκαι τοῖς θερισταῖς. Καὶ εἶπεν ὁ ἄγγελος Κυρίου πρὸς αὐτόν· «Ἀπένεγκε τὰ ἄριστον τοῦτο εἰς Βαβυλῶνα τῷ Δανιὴλ ἐν τῷ λάκκῳ τῶν λεόντων». Ὁ δὲ φησί· «Βαβυλὼν οὐχ ἑώρακα καὶ τὸν λάκκον οὐ γινώσκω ποῦ ἐστιν».

---

1. Prov. XXIX. 5. — 3. Sir. XXVII. 27. — 4. Eul. X. 8. — 5. Sap. XI. 17. — 6. Ced. 208,17—20. — Esther. VII. 9. — 8. Ced. 209,2—7. — 15. Ced. 209,8,9. Δαρείου Ced. — 19. Bel et Dracon 27. — 20. εἰς τὸν λάκκον Bel 31. — 21. ἦσαν δὲ ἐν τῷ λ. ζ' λ. καὶ ἐδ. ἀ. τὴν ἡμ. δύο σ. καὶ δύο πρ. Bel 32—42. — 28. ποῦ ἐ. om. Bel 33.

Καὶ ἐπιλαβόμενος ὁ ἄγγελος τῆς κορυφῆς αὐτοῦ καὶ βαστάσας ἔθηκεν αὐτὸν εἰς Βαβυλῶνα ἐπάνω τοῦ λάκκου ἐν τῷ ῥοίζῳ τοῦ πνεύματος αὐτοῦ. καὶ ἐβόησεν Ἀμβακοὺμ λέγων· «Δανιὴλ, Δανιὴλ, λάβε τὸ ἄριστον ὃ ἀπέστειλέ σοι Κύριος». Καὶ εἶπε Δανιήλ. «Ἐμνήσθης γάρ μου, ὁ θεὸς, καὶ οὐκ ἐγκατέλιπες τοὺς ἀγαπῶντάς σε, Κύριε». Καὶ ἀναστὰς Δανιὴλ ἔφαγε, καὶ πάλιν εὐθὺς ὁ ἄγγελος ἀπεκατέστησε τὸν Ἀμβακοὺμ ἐπὶ τὸν τόπον αὐτοῦ· Ὁ δὲ βασιλεὺς τῇ ζ' ἡμέρᾳ ἐλθὼν ἐπὶ τὸν λάκκον καὶ εὑρὼν αὐτὸν μηδὲν ὑπὸ τῶν λεόντων ἀδικηθέντα, καὶ τὸν σεσωκότα θεὸν δοξάσας, τὸν μὲν Δανιὴλ εὐθὺς ἀνήγαγεν ἐκ τοῦ λάκκου, τοὺς δὲ αἰτίους τῆς ἀπωλείας αὐτοῦ κατήγαγον εἰς τὸν λάκκον, καὶ παραχρῆμα κατεβρώθησαν ὑπὸ τῶν λεόντων ἐνώπιον αὐτῶν». (3) Ὑφ' οὗ τῷ πρώτῳ ἔτει τῆς βασιλείας ἀνεκλήθησαν οἱ Ἰουδαῖοι, ἄφεσιν αὐτοῖς προσφωνήσαντος αὐτοῦ καὶ τὴν πρὸς Ἱερουσαλὴμ ἐπάνοδον ἐπιτρέψαντος, ἐπληρώθη ὁ ἑβδομηκονταετὴς χρόνος τῆς αἰμαλωσίας αὐτῶν κατὰ τὸν θεῖον ὅρον· Τοῦ δὲ υἱοῦ Ζοροβάβελ Σαλαθιὴλ καὶ Ἰησοῦ τοῦ Ἰωσεδὲκ ἐλθόντων εἰς Ἱερουσαλὴμ καὶ τὸν ναὸν οἰκοδομεῖν ὡς ἐξ ἐπιτροπῆς Κυρίου καὶ φιλοτιμίας ἀρξαμένων, ἐκωλύθησαν ὑπὸ τῶν περιοίκων διαβεβληκότων αὐτοὺς πρὸς τὸν βασιλέα.

XCIII. ΒΑΣΙΛΕΙΑ ΚΑΜΒΥΣΟΥ.

527 (4671) Μετὰ δὲ Κῦρον ἐβασίλευσε Καμβύσης, ὁ υἱὸς αὐτοῦ, ὁ καὶ Ναβουχοδονόσωρ κληθείς, ἔτη ς'. (2) Ὃς πόλεμον ἔχων πρὸς Ἀρφαξὰδ, βασιλέα Μήδων, καὶ συμμαχίαν αἰτήσας παρὰ τῶν ἐθνῶν πάντων ἕως Αἰγύπτου καὶ μὴ δεδωκότων αὐτῷ, ἀλλὰ καὶ ἀντιῤῥηκότων, πόλεμον ἔθετο μετὰ τὸ νικῆσαι καὶ περιγενέσθαι τοῦ Ἀρφαξὰδ κατὰ τῶν μὴ δεδωκότων. Καὶ δὴ ὑποστρέψας μετὰ νίκης, ἀπέστειλε τὸν αὐτοῦ ἀρχιστράτηγον Ὀλοφέρνην μετὰ δυνάμεως πολλῆς κατ' αὐτῶν. Καὶ παντὸς ἔθνους κυριεύσας ὁ Ὀλοφέρνης

---

11. ἐνέβαλεν Bel. 42. — 20. Ἀρτασάσθα καὶ Ναβουχοδονόσωρ ὀνομαζομένου a secunda manu. — 21. Ced. 243,7? — 22. Περὶ Ἰουδίθ Ced. 243,16 — 244,11?

καὶ τὰ εἴδωλα τούτων συντρίψας, πρὸς Βετιλούαν τὴν πόλιν ἦλθεν ἐν χιλιάσιν ὁπλιτῶν ρκ'. Καὶ ὁ μὲν Ὀλοφέρνης εἰς πόλεμον παρετάσσετο, κατεσφαλισμένων ἐν τῇ πόλει τῶν υἱῶν Ἰσραήλ. Ὁ δὲ στρατηγὸς αὐτοῦ Ἀχιὼρ συνεβούλευσεν αὐτῷ μὴ πολεμεῖν τὸ ἔθνος τῶν Ἑβραίων διὰ τὸ ὑπερασπίζειν αὐτῶν τὸν θεόν· Καὶ ὀργισθεὶς ὁ Ὀλοφέρνης ἀπέστειλεν αὐτὸν ἐν τῇ πόλει ἀπειλήσας ἀναιρεῖν αὐτὸν εἰ ταύτης περιγένοιτο. Καὶ ὁ μὲν Ἀχιὼρ ἦν ἐν τῇ πόλει Βετιλούᾳ· ὁ δὲ Ὀλοφέρνης ἐπολιόρκει τὴν πόλιν προκαταλαβὼν τὰ ὕδατα. Τοῦ δὲ λαοῦ ἐκλυθέντος διὰ τὸ δίψος καὶ μέλλοντος ἐκδοῦναι τὴν πόλιν, Ἰουδὶθ ἀποβαλοῦσα τὰ τῆς χηρεύσεως ἱμάτια—ἐπένθει γὰρ τὸν ἄνδρα καὶ δι' ὅλου ἔμενε νηστεύουσα, — ἐκόσμησεν ἑαυτὴν ὡς νύμφην καὶ πολλὰ τοὺς ἄρχοντας καὶ ὀλιγοψύχους ἐλέγξασα καὶ νουθετήσασα καὶ παραγγείλασα μὴ ἐκδοῦναι τὴν πόλιν μέχρι ἡμερῶν ε', ὑπεξῆλθε πρὸς τὸν Ὀλοφέρνην καὶ τῇ τοῦ θεοῦ βοηθείᾳ καὶ τῇ ἑαυτῆς σοφίᾳ τοῦτον ἀπατήσασα, ἀποκεφαλίσασα τῇ τρίτῃ ἡμέρᾳ πρὸς τὴν πόλιν ὑποστρέψασα νυκτὸς, τὴν κεφαλὴν ἔδειξεν Ὀλοφέρνου. Καὶ μὲν Ἰουδαῖοι ἐφοβήθησαν καὶ σφόδρα θαυμάσαντες καὶ τῷ συνεργήσαντι καὶ (52ᵃ) σοφίσαντι θεῷ τὴν δόξαν ἀναπέμψαντες προθυμίαν πολλὴν ἔλαβον· Ὁ δὲ στρατηγὸς Ἀχιὼρ μᾶλλον ὑπερεκπλαγεὶς τὴν μεγάλην καὶ ἰσχυρῶς κραταιὰν βοήθειαν τοῦ Κυρίου, αὐτίκα περιτμηθεὶς ἐπίστευσε Κυρίῳ τῷ θεῷ Ἰσραήλ, καὶ οὕτω λοιπὸν οἱ μὲν Ἀσσύριοι πρωΐας γεναμένης, ἑωρακότες τὴν κεφαλὴν Ὀλοφέρνου κονταυθεῖσαν, δεινῶς κατεσχύνθησαν φυγόντες. Οἱ δὲ υἱοὶ Ἰσραὴλ πανταχόθεν συνδραμόντες καὶ τοὺς πολεμίους συγκόψαντες καὶ λαφυραγωγήσαντες, δέδωκαν τῇ Ἰουδὶθ τὰ τοῦ Ὀλοφέρνου πάντα· Ἡ δὲ ἀπελθοῦσα εἰς Ἱερουσαλὴμ πάντα τῷ Κυρίῳ ἀναθεμένη, ὑπέστρεψεν ἐν τῷ οἴκῳ αὐτῆς καὶ τὴν αὐτὴν ἀρετήν τε καὶ ἄσκησιν ἔχουσα, ἐτελεύτησε χήρα ἐτῶν ρε'. (3) Ταύτην οὖν τὴν ἱστορίαν ᾠήθησάν τινες ἐπὶ τοῦ Ναβουχοδονόσωρ συμβῆναι, πεπλάνηνται δὲ διὰ τὴν ὁμωνυμίαν, ἀγνοοῦντες ὡς μετὰ τὴν αἰχμαλωσίαν τοῦτο γέγονεν. ὁ γὰρ πρῶτος Ναβουχοδονοσωρ ἐν τῷ τῆς αἰχμαλωσίας χρόνῳ προτετελεύκει. (4) Καθ' ὃν καιρὸν

2. Iudd. II. 13. — 32. Ced. 213,9 ἐφιλοσόφει παρ' Ἕλλησιν Ἀναξιμανδρος — καὶ Πυθαγόρας.

Ἀναξαγόραν καὶ Πυθαγόραν τὸν Σάμιον φιλόσοφον ἀκμάσαι λόγος.

XCIV. ΒΑΣΙΛΕΙΑ ΣΜΕΡΔΙΟΥ.

521 (4679) Μετὰ δὲ Καμβύσην βασιλεύει Σμέρδιος ὁ μάγος (ἔτος ἓν καὶ) μῆνας ζ'.

XCV. ΒΑΣΙΛΕΙΑ ΔΑΡΕΙΟΥ.

520 (4680) Μετὰ δὲ Σμέρδιον ἐβασίλευσε Δαρεῖος Ὑστάσπου ἔτη μβ', ἐφ' οὗ πάλιν Ζοροβάβελ καὶ Ἰησοῦς ἐπιτραπέντες ἐτελείωσαν τὴν οἰκοδομὴν τοῦ ναοῦ πρότερον ἀμεληθεῖσαν ἔτη μ'. ὅθεν Ἰουδαῖοι κατὰ τοῦτον πρὸς τὸν Κύριον ἔλεγον· «Τεσσαράκοντα καὶ ς' ἔτεσιν ὁ ναὸς ᾠκοδομήθη καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν;» Κῦρος μὲν γὰρ, τοῖς Ἰουδαίοις ἐλευθερίαν ἔδωκεν καὶ συγχωρίαν τῆς οἰκοδομῆς τοῦ ναοῦ καὶ τῆς πόλεως, ὡς εἴρηται. ὑπὸ δὲ τῶν Σαμαρειτῶν κωλυθέντες, ὡς εἴρηται, ἔτη μ', καὶ μετὰ τοῦτο ἄλλοθεν εἰς τὸ ς' ἔτος τῆς Δαρείου βασιλείας περαιούσης, οὐκοῦν ἡ ἐπάνοδος τῶν υἱῶν Ἰσραὴλ ἐκ Περσίδος εἰς Ἱερουσαλὴμ γέγονεν ἐκ προστάγματος Κύρου πρότερον, ἔπειτα Δαρείου κελεύσαντος ἐν χειρὶ Ἰησοῦ τοῦ Ἰωσεδὲκ καὶ Ζοροβάβελ καὶ Νεμεσίου εὐνούχου Ἰουδαίου. (2) Ἡ πρόφασις τῆς ἐπανόδου οὕτω γέγονε· Στρατιωτῶν γ' τὸν βασιλέα φυλαττόντων, ἐν οἷς ἦν Ζοροβάβελ, εἴρησαν ἐν προβλήματι, τεθείσης ἐπαγγελίας αἰτῆσαι τὸν νικῶντα ὅπερ ἂν θελήσειε παρὰ τοῦ βασιλέως. Τοῦ οὖν ἑνὸς εἰπόντος νικᾷν τὸν οἶνον, τοῦ ἑτέρου φήσαντος νικᾷν τὸν βασιλέα, ὁ Ζοροβάβελ ἔφη νικᾷν τὰς γυναῖκας καὶ ὑπὲρ πάντων τὴν ἀλήθειαν, καὶ ἐπειδὴ ταῦτα εἰρηκὼς ἐνίκησε καὶ ἐπέτραπτο αἰτήσασθαι ὃ βούλεται,

---

5. ἔτος ἓν καὶ deest in Leone ut in Ensebio et videtur a secunda manu in Ge. esse cf. Herodotum III. 68. — 7. Ced. 253,16—254,9 κόσμου ἔτει δθϙβ' (4992). — a sec. m. a prima λς' ut a pud Leenem cum Eusebio et Herodoto (VI. 4) consentientem. — 10. Io. II. 20. Κατὰ τούτους τοὺς χρόνους Πυθαγόρας ὁ φιλόσοφος ἐτελεύτησε καὶ Ἱπποκράτης ὁ ἰατρὸς ἐγνωρίζετο (Σχόλιον). — 12. συγχωρή cod. συγχώρησιν? — 14. περεούσης cod. — 18. Iosephus A. 11. III. 2—7. Ced. 254,10 Ἡ δὲ τοῦ Ζοραβάβελ ὑπόμνησις τοιαύτη ἦν τρεῖς σωματοφύλακες κτλ.

ηξίωσεν ἀφεθῆναι τὴν αἰχμαλωσίαν καὶ οἰκοδομηθῆναι τὴν Ἱερουσαλήμ, ὅπερ καὶ γέγονεν. Καὶ τότε πεπλήρωται εἰς τέλος τὸ τῆς αἰχμαλωσίας καὶ ὀργῆς ἔτει ὅ' (3) Ὁ δὲ ἀρχιερεὺς καὶ γραμματεὺς Ἔσδρας ἦν διδάσκων τὸν λαὸν τὸν νόμον καὶ διερμηνεύων, ὡς εὐφυέστατος πάντων, ὃς καὶ τὰς ἱερὰς βίβλους ἀπεκατέστησε διαφθαρείσας ὑπὸ τῶν πολέμων· Οἱ γάρ τοι Χαλδαῖοι μετὰ τὴν ἅλωσιν τῆς Ἱερουσαλὴμ ἐμπρήσαντες πάσας, ἐνέπνευσεν ὁ θεὸς τούτῳ ὥστε αὐτὰς ἐκθέσθαι. (4) Γίνονται οὖν ἀπὸ τῆς α' οἰκοδομῆς (52[b]) τοῦ ναοῦ ἕως τῆς β' ἔτη φιά'. (5) Τὸ τοίνυν σχῆμα καὶ εἶδος τῆς β' οἰκοδομῆς καὶ τοῦ ναοῦ καὶ τῆς πόλεως Ἱερουσαλὴμ ἦν οὕτως· Ἡ μὲν οὖν πόλις τρισὶ τείχεσιν ὀχυρωμένη καὶ δυσάλωτος ὑπῆρχε· τοῦ δὲ τείχους οἱ πύργοι τετράγωνοι ὄντες, εἶχον τὸ πλάτος καὶ τὸ ὕψος ἀνὰ πηχῶν ν', ἕκαστος λίθος τῆς δομήσεως ἦν εἰκοσάπηχυς· ἐφ' ὧν ἦσαν οἶκοι πολυτελεῖς καὶ ὑπερῷα καὶ δεξαμεναὶ πρὸς ὑποδοχὴν ὀμβριμαίων ὑδάτων. εἶχε δὲ παράπυργα ὀκτάγωνα καὶ παμμεγέθη ἀνὰ πηχῶν σ' τὸ ὕψος ἔχοντα, ὡς τὴν Ἀραβίαν ἐκεῖθεν ἡλίου ἀνίσχοντος ὁρᾶσθαι. Καὶ τὸ μὲν μέτρον τῆς πόλεος καὶ περίμετρον ἀπ' ἄκρων εἰς ἄκρον εἶχε στάδια ν' καὶ τὸ ὕψος πήχεις μ'. οἱ δὲ λίθοι τῆς οἰκοδομῆς εἶχον ἀνὰ πηχῶν κ' τὸ μῆκος, τὸ δὲ πλάτος ἀνὰ ἰ' ποδῶν, ὡς κάτω, καὶ τὸ πάχος. Καὶ οὕτως ἐν τῇ δομήσει οἱ λίθοι ἀλλήλοις ἥνωνται ὡς δοκεῖν μίαν εἶναι πέτραν, μηδαμοῦ τῆς συναφείας τῆς ἁρμονίας διαφαινομένης. Τὸ δὲ ἱερὸν ἐπὶ λόφου καρτερῶς δεδομημένον καὶ τετράσι περιβόλοις κυκλούμενον, εἶχε λίθους ἡ οἰκοδομὴ αὐτοῦ λευκοὺς καὶ ξεστοὺς ἀνὰ ποδῶν μ' τὸ μέγεθος ἑκάστου λίθου. Μέσον δὲ τῆς πόλεως ἦν ὁ ναός. δωδεκάβαθμος ὁ ἀναβάτης ὑπῆρχε. Καὶ τὸ μὲν κατὰ πρόσωπον αὐτοῦ ὕψος ἦν πηχῶν ρ', τὸ δὲ κατόπισθεν μ'. κατόρθρον γὰρ ἐτύγχανεν τὸ ἓν μέρος τῆς πόλεως, τὸ δὲ ἕτερον ὑπόλοφον κατὰ τὸ ὄρος· ἡ δὲ πρώτη πύλη τοῦ ναοῦ, τὸ μὲν ὕψος, εἶχε πηχῶν ο', τὸ δέ εὖρος κς' Κορινθίῳ χαλκῷ κεκαλυμμένη ὡς ὑπεράγειν τῇ καλλονῇ τὰς διαχρύσους καὶ περιαργύρους πύλας, ἀνὰ πηχῶν μ' τὸ μέγεθος, ἐπὶ πάχος πολὺ τοῦ χρυσοῦ καὶ τοῦ ἀργύρου κεκοσμη-

---

3. Ced. 244,22—245,2? — 8. Ios. b. I. V. 5. Γιν.—φιά' om. in versione Bulgar.

μένας, ὥστε καταστράπτεσθαι τὰ πάντα. Ὁ οὖν πρῶτος οἶκος εἶχεν ἐντὸς ὑπερῷα, τὸ μὲν ὕψος ἔχοντα πηχῶν ρ', τὸ δὲ μῆκος ν'. ἡ δὲ πύλη τοῦ οἴκου κεχρυσωμένη οὖσα καὶ χρυσᾶς ὑπὲρ αὐτῆς ἀμπέλους ἔχουσα, κατεκρέμαντο βότρυες ἀνδρομήκεις. Μετὰ δὲ τὸ εἰσελθεῖν τὸ ἐπίπεδον τοῦ ναοῦ, ἄλλος ἦν οἶκος τοῦ ἐνδοτάτου, οὗπερ τὸ μὲν ὕψος ἦν πηχῶν ξ', τὸ δὲ πλάτος κ', ἐν ᾧ λυχνία, τράπεζα καὶ θυμιατήριον ἔκειντο. διείργετο δὲ καταπετάσματι πρὸς τὸ ἔξωθεν, ἐν ᾧ οὐδὲν ἔκειτο, ἀλλ' ἦν ἄβατόν τε καὶ ἄχραντον, ὅθεν ἁγίων ἅγια ἐλέγετο. τὸ δὲ ἄνω καὶ ἔξωθεν τοῦ ἀχράντου ναοῦ τούτου μεγίστην παρεῖχε τοῖς ὁρῶσιν ἔκπληξιν, πλαξὶ γὰρ χρυσαῖς στιβαρωτάταις κεκαλλοπισμένα ὑπὸ τὰς πρώτας ἀνατολὰς τοῦ ἡλίου πυροδεστάτην αὐγὴν ἀνέπεμψεν καὶ τὰς ὄψεις τῶν ὁρώντων ἀπέστρεφεν ὥσπέρ τις ἡλιακὴ αὐγὴ τοῖς ὀφθαλμοῖς προσπίπτουσα. διὸ τοῖς ἀφικνουμένοις ξένοις πόρρωθεν ὁ ναὸς ὁρώμενος, ὄμβρος χίονος ἐπ' ὄρους ὑψηλοῦ κειμένη ἐξεφαίνετο διὰ τὸ ἐκ λευκοτάτου μαρμάρου συνεστηκέναι καὶ ἐπὶ λόφου δεδομεῖσθαι. Ἐπὶ δὲ τῆς κορυφῆς εἶχεν ἑστώτας χρυσοῦς καὶ τεθηγμένας ὀβελούς, ἀνὰ πηχῶν μ' τὸ ὕψος καὶ ἀνὰ ἓξ τὸ πλάτος πρὸς τὸ κωλύειν ἐφιζάνειν τὰ πετεινὰ καὶ ἐκρεύσει τὸν ναὸν μολύνειν. Τῶν δὲ κυκλούντων περιβόλων τεσσάρων τὸ ἱερὸν ἰδίας ἕκαστον παρατηρήσεις κατὰ τὸν νόμον ἠξίωτο. εἰς μὲν γὰρ τὸ πρῶτον (53ª) καὶ ἐξώτατον πᾶσιν ἐγχωρίοις τε καὶ ἀλλοφύλοις εἰσελθεῖν ἐπετέτραπτο, εἰς δὲ τὸ δεύτερον Ἰουδαίοις ἠφίετο εἰσιέναι, εἰς δὲ τὸ τρίτον μόνοις τοῖς ἀρχιερεῦσι τῶν Ἰουδαίων καθαροῖς καὶ ἁγνοῖς ὑπάρχουσιν, εἰς δὲ τὸ δ' ἱερεῦσι μόνον ἁγνεύουσιν, εἰς δὲ μετὰ τὸν ναὸν, τοῖς ἀμώμοις ἱερεῦσιν, στολὰς ἱερατικὰς ἠμφιεσμένοις, εἰς δὲ τὰ ἄδυτα, ἔνθα ἦν ὁ βωμὸς, ἡ τράπεζα καὶ τὸ θυμιατήριον καὶ ἡ ἄσβεστος λυχνία, μόνῳ τῷ ἀρχιερεῖ συγκεχώρηται ἅπαξ τοῦ ἐνιαυτοῦ. Εἰκότως ἔλεγεν ὁ προφήτης· «Καὶ ἔσται ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην, λέγει Κύριος». Καὶ γὰρ ἡ β' οἰκοδομὴ αὕτη τοῦ ναοῦ λαμπροτέρα γέγονε τῆς πρώτης εἴς τε κάλλος καὶ μέγεθος καὶ τὰ λοιπὰ πάντα. Καὶ ταῦτα μὲν οὕτως.

---

4. κατέκρεμμαν[τ] cod. — 5. ἐπίποδ. cod. — 7. τοὐ ἐξ cod. — 13. ἀπέστρεψεν? — 23. ἀνδράσι? — 29. Aggai II. 10.

(6) Μετὰ δὲ ταῦτα ὁ βασιλεὺς Δαρεῖος ἐπιστρατεύσας μετὰ διαφόρων ἐθνῶν Συρίαν μὲν καὶ Φοινίκην καὶ τὴν παραλίαν πᾶσαν ἐσκύλευσε. τῇ δὲ Ἱερουσαλὴμ ἐπανελθὼν κατεβλήθη καὶ διώλωλε παμπληθεί, τοῦ θεοῦ θεηλάτοις αὐτὸν πληγαῖς καὶ σκηπτοῖς παντάξαντος καὶ τὰς σὺν αὐτῷ μυριάδας. Κἀντεῦθεν μὲν νίκην παράδοξον ἔδωκεν ὁ θεὸς τὴν ἐν Ἱερουσαλὴμ, ὅπλων καὶ μάχης ἐκτὸς, πλούτου δὲ καὶ λαφύρων ἀπείρων ἔπλησεν, ἄρχοντος τοῦ Ζοροβάβελ τότε, μεθ' ὧν οὐκέτι ἕτερος ἐκ τοῦ Ἰούδα ἦρξεν, ἀλλ' οἱ ἀρχιερεῖς ἡγεμόνευον. Μετὰ γὰρ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον οὐκέτι βασιλεῖς, ἀλλ' ἀρχιερεῖς αὐτῶν ἦρχον. (7) Διὸ φησὶν ὁ μέγας Βασίλειος· «Καθαιρεθείσης γὰρ τῆς Ἱερουσαλὴμ ὑπὸ τοῦ Ναβουχοδονόσωρ, λέλυτο μὲν τὰ βασίλεια, οὐκέτι δὲ πατρικαὶ διαδοχαὶ τῶν ἡγεμονιῶν ἦσαν, ὥσπερ τὸ πρότερον, ἀλλὰ τότε μὲν ἐξ ἀρχῆς ἐπὶ τῆς αἰχμαλωσίας διῆγον οἱ ἀπόγονοι τοῦ Δαυίδ. ἐπανελθόντες δὲ οἱ περὶ τὸν Ζοροβάβελ καὶ τὸν Σαλαθιὴλ δημοτικώτερον καθηγοῦντο τοῦ λαοῦ, τῆς ἀρχῆς λοιπὸν ἐπὶ τὴν ἱερωσύνην μεταπεσούσης, διὰ τὸ ἀναμιγῆναι τὴν ἱερατικὴν καὶ τὴν βασιλικὴν φυλήν, ὅθεν ὁ Κύριος καὶ βασιλεὺς * καὶ ἀρχιερεὺς εἰς τὰ πρὸς ** θεόν. καὶ οὐκ ἐξέλιπεν *** ἡ βασιλικὴ φυλὴ μέχρι τῆς **** Χριστοῦ παρουσίας, οὐ μὴν δὲ ἀλλὰ καὶ καθῆκεν ἔτι ἐπὶ θρόνου Δαυὶδ τὸ σηέρμα ***** Ἰεχονίου θρόνος γὰρ δηλονότι, τὸ βασιλικὸν ἀξίωμα λέγεται πάντως γὰρ τῆς ἱστορίας μέμνησθε, ὅτι ὑπόφορος μὲν ἦν τῷ Δαυὶδ πᾶσα Ἰουδαία καὶ ****** Ἰδουμαία χώρα καὶ ἡ Μωαβῖτις καὶ τῆς Συρίας ὅσα τε πρὸς Χωρὸν καὶ ποῤῥωτέρω μέχρι τῆς μέσης τῶν ποταμῶν, καὶ καθ' ἕτερον μέρος ἕως ποταμοῦ Αἰγύπτου. εἰ οὐδεὶς ἐφάνη ἐπὶ τοσούτου ἀξιώματος τῶν μετ' αὐτὸν, πῶς οὐκ ἀληθὴς ὁ τοῦ προφήτου Ἱερεμίου λόγος, ὅτι «ἠτιμώθη Ἰεχονίας ὡς σκεῦος, οὗ οὐκ ἐστι χρεία», καὶ «ὅτι ἀπερρίφη αὐτὸς καὶ τὸ σπέρμα αὐτοῦ — καθήμενος ἐπὶ θρόνου Δαυὶδ, ἄρχων ἐν τῷ

---

8. ὂν? — 11. Ep. 236. ὑπὸ N. ed. Par. 1730. III. 362 E—363. C. — 13. ω. καὶ πρ. B. — 15. καὶ Σ. B. — 16. μεταπεπούσης Cod. — * ἐστι B. — ** τὸν B. — *** μὲν B. — **** τοῦ B. — 20. δὲ ἐκάθισεν ἐπὶ B. — ***** τοῦ B. — 21. θνόνον codex. — 22. λ. τὸ β. ἀ. B. — π. δὲ B. — μέμνησαι B. — ****** ἡ B. — 24. πρόσχωρα B. — καὶ τὰ πορρ. B. — 26. ἐι οὖν B. — μετὰ ταῦτα B. — 27. Ἱερ. om. B. — Ier. XXII. 28—30. 29. καθημένου cod.

Ἰούδα»; Οὐδεὶς γὰρ φαίνεται τῆς ἀξίας ταύτης καὶ τῆς δυναστείας ἐπειλημμένος τῶν ἐξ αὐτοῦ· Οὐ μέντοι ἐξέλιπεν ἡ * Ἰούδα φυλὴ «ἕως οὗ ἦλθεν ᾧ ἀπέκειτο», ὃς οὐδὲ αὐτὸς ἐκάθισεν ἐπὶ τοῦ σωματικοῦ θρόνου· μεταπεσούσης γὰρ τῆς Ἰουδαϊκῆς βασιλείας ἐπὶ τὸν ** τοῦ Ἀσκαλωνίτου Ἀντιπάτρου Ἡρώδην, καὶ τοὺς ἐκείνου παῖδας, οἱ εἰς ἀρχὰς δ' κατενείμαντο τὴν Ἰουδαίαν, ἡγεμονεύοντος μὲν Πιλάτου, τὸ *** σύμπαν τῆς Ῥωμαϊκῆς **** κράτος ἔχοντος Τιβερίου Καίσαρος. Ἀλλὰ θρόνον Δαυὶδ λέγει ἐφ' ὃν ὁ Κύριος ἐκάθισεν, τὴν ἀκαθαίρετον καὶ αἰώνιον βασιλείαν, αὐτὸς γάρ ἐστι προσδοκία ἐθνῶν, οὐχὶ τοῦ ἐλαχίστου μέρους τῆς οἰκουμένης. «Ἔσται γάρ, φησίν, ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν· ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι». καί· «Τέθεικά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν». καὶ· «Θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ». Οὕτως οὖν καὶ βασιλεὺς διέμεινε, [εἰ] καὶ [μὴ] τὰ σκῆπτρα τῆς Ἰουδαίας παρέλαβε καὶ βασιλεὺς πάσης τῆς γῆς ἐστιν ὁ θεὸς καὶ ἡ εὐλογία τοῦ Ἰακὼβ ἐβεβαιώθη· «Καὶ ἐνευλογηθήσονται ἐν τῷ σπέρματι αὐτοῦ πᾶσαι αἱ φυλαὶ τῆς γῆς». «καὶ πάντα τὰ ἔθνη μακαριοῦσι τὸν Χριστόν». (8) Ἵνα δὲ σαφέστερον γένηται πῶς ἱερατεία ἐμίγη τῇ βασιλείᾳ, λέξομεν οὕτως· Ὁ μὲν Ἰούδας ἐγέννησε τὸν Φαρὲς, ὁ δὲ Φαρὲς Ἐσρὼμ, [ὁ δὲ Εσρὼμ] τὸν Ἀρὰμ, ὁ δὲ Ἀρὰμ τὸν Ἀμιναδὰμ, ὁ δὲ Ἀμιναδὰμ τὸν Ναασσὼν, ὁ δὲ Ναασσὼν τὸν Σαλμὼν, ὁ δὲ Σαλμὼν τὸν Βοὸζ, ὁ δὲ Βοὸζ τὸν Ωβὴδ, ὁ δὲ Ὠβὴδ τὸν Ἰεσσαὶ, ὁ δὲ Ἰεσσαὶ Δαυὶδ, τὸν βασιλέα. Ἐπεὶ οὖν ὁ Ναασσὼν υἱὸς ἦν τοῦ Ἀμιναδὰμ, τούτου τὴν ἀδελφὴν γυναῖκα ἠγάγετο ὁ μέγας ἀρχιερεὺς Ἀαρὼν, ἀδελφὸς ὑπάρχων Μωϋσέως ἐκ φυλῆς Λευί· καὶ μέντοι καὶ ὁ θεσπέσιος ἱεράρχης Ἰωδαὲ, φυλῆς ὢν τῆς λευιτικῆς,

---

1. ὅτι οὐκέτι καθιεῖται ἐπὶ τοῦ θ. Δ. ἐκ τοῦ σπέρματος Ἰεχονίου οὐδεὶς B. — 2. καὶ τῆς δ. om. B. — 2. ἐπ. ἐξ ἀ. B. — * τοῦ B. — 3. ἕως ἐὰν ἔλθῃ τὰ ἀποκείμενα αὐτῷ Gen. XLIX. 10. — 3. ἐκαθίσθη B. — 4. μ. λοιπὸν τῆς B. — ** υἱὸν B. — 6. δ' ἀ B. — *** δὲ B. — **** ἀρχῆς B. om. κρ. — 8. Ced. 316,18—317,24. — 8. λ. Δ. B. — 4. καὶ αἰώνιον om. B. — 11. Ies. IX. 10. — 12. Ies. XLII. 6. — 12. ἐλπ. τ. γάρ σε B. — 13. Ps. LXXXVIIII. 29. — 15. Βασ. ut conjecit Combefis pro ἱερεύς B. — 16. γῆς ὁ B. — 17. Gen. XXVI. 14. XXXIII. 14. — 17. ἐν. τῷ B. — 18. Ps. LXXVIII. 18. — 20. ἡ ἱερατικὴ φυλὴ ἐ. τῇ βασιλικῇ Ced. 317,8—24.

ἠγάγετο γυναῖκα τὴν ἀδελφὴν Ὀχοζίου, φυλῆς οὖσαν τοῦ Ἰούδα. κἀντεῦθεν λοιπὸν ἡ βασιλικὴ φυλὴ συνεμίγη μετὰ τῆς λευιτικῆς. Μάλα γε εἰκότως ὁ Κύριος ἐκ Μαρίας, τῆς παρθένου καὶ κατὰ σάρκα μητρὸς αὐτοῦ, γενεαλογούμενος, οὕτω βασιλεὺς καὶ ἱερεὺς εἰς τὰ πρὸς τὸν θεόν, ὡς ἔφην, ἀνθρώποις ἀναδέδεικται καὶ προδήλως κηρύττεται βασιλεὺς ἀιώνιος καὶ ἀδιάφθορος (καὶ «τὴν γενεὰν αὐτοῦ», δηλαδὴ τὴν ἀκαταλειπτον καὶ ὑπερούσιον καὶ ἄναρχον τῇ θεότητι, «τίς διηγήσεται»).

XCVI. ΒΑΣΙΛΕΙΑ ΞΕΡΞΟΥ ΤΟΝ ΜΑΚΡΟΧΕΙΡΟΣ.

Εἶτα ἐβασίλευσε Ξέρξης, ὁ Δαρείου υἱὸς ὁ μέγας, ἔτος ἓν καὶ μῆνας ζ'. (2) Μετὰ δὲ τοῦτον ἐβασίλευσε Ἀρταξέρξης ὁ μακρόχειρ, ἔτη μ'. Εἰκοστῷ δὲ ἔτει τῆς αὐτοῦ βασιλείας Νεεμίας ἀνελθὼν τὴν πόλιν Ἱερουσαλὴμ ἀνίστησι, καθὼς φησιν Ἔσδρας. (3) Ἐφ' οὗ Σοφοκλῆς καὶ Ἡράκλειτος καὶ Διονύσιος καὶ Εὐσέβιος καὶ Θουκυδίδης καὶ Εὐριπίδης καὶ Ἀρίσταρχος καὶ Ἱπποκράτης ὁ ἰατρὸς καὶ Παρμενίδης καὶ Δημοσθένης ἐγνωρίζοντο καὶ Δημόκριτος ὁ Ἀβδηρίτης καὶ Σωκράτης ὁ Ἀθηναῖος ἄμφω φιλόσοφοι. Οὗτος δὲ ὁ σφαλήσας τοὺς νόμους τῶν Ἑλλήνων θανατοῦται, κώνιον πιὼν ἐν τῷ δεσμωτηρίῳ. 488 (4716) 469 (4737)

XCVII. ΒΑΣΙΛΕΙΑ ΕΤΕΡΟΥ ΑΡΤΑΞΕΡΞΟΥ.

Μετὰ δὲ Ἀρταξέρξην ἐβασίλευσεν Ἀρταξέρξης ἄλλος καὶ οἱ καθεξῆς ἕως Δαρείου Ἀρσάμου, ὃν ἀνεῖλεν Ἀλέξανδρος ὁ Μακεδὼν καὶ τὴν Περσῶν βασιλείαν παταλύσας καὶ πάσης τῆς γῆς κρατήσας, διαιροῦνται τὴν βασιλείαν οἱ παῖδες (54ª) αὐτοῦ, ὡς καὶ πρόσθεν εἴρηται. 409 (4795)

(2) Οἱ τοίνυν Περσῶν βασιλεῖς μετὰ Ναβουχοδονόσωρ καὶ τοὺς υἱοὺς αὐτοῦ εἰσὶν οἵδε· Δαρεῖος ὁ Ἀστυάγης ὁ καὶ Ἀρταξέρξης

---

6. Ies. LIII. 8. — 9. Ἀρταξέρξου Mon. — 11. ἔτη κ'. Ἀρτάβανος μῆνας ζ' Ced. 241,12, 253,4, sed Eus.: Ἀρταβ. μ. ζ'. Ἀρταξ. ὁ μ'. ἔτη μ'. — 11. Ced. 253, 5—20. Deest rubrica in codice; βασιλεία Ἀλεξάνδρου? — 21. Ced. 256,19—24. — 26. Ced. 251,18. 252,7; 263,4—7; 256,19—27. τῶν υἱῶν cod.

ἐβασίλευσεν ἔτη ιζ', Κῦρος λβ', Καμβύσης ς', Σμέρδις ὁ μάγος β', Δαρεῖος Ὑστάσπου ἔτη μβ', Ξέρξης, ὁ υἱὸς αὐτοῦ, ἔτη κα', Ἀρτάβανος μῆνας ζ', Ἀρταξέρξης ὁ μακρόχειρ μα', Ἀρταξέρξης ὁ β', ι', Σογδάνης ιγ', Δαρεῖος ὁ νόθος ἔτη ιθ', Ἀρταξέρξης, ὁ υἱὸς αὐτοῦ ὁ Μήμνων, ἔτη μ' — ἐπὶ τούτου κατελύθη ἡ βασιλεία τῶν Ῥωμαίων καὶ διῳκεῖτο ὑπὸ ὑπάτων ἕως Ἰουλλίου-Ἀρταξέρξης ὁ καὶ Ὦχος ἔτη κζ', Ἄρσης Ὦχου ἔτη δ', Δαρεῖος ὁ Ἀρσάμου ἔτη ς', ὃν Ἀλέξανδρος ἀνελὼν, ὡς ἔφην, καθεῖλε τὴν βασιλείαν Περσῶν, διαρκέσασαν ἔτεσιν σμζ'. (3) Ἐφ' οὗ καὶ Πλάτων καὶ Ἀριστοτέλης οἱ φιλόσοφοι ἤκμαζον καὶ Σπεύσιππος καὶ Ξενοκράτης καὶ Φιλιστίων (Εὐσέβειος). Καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον, τῆς δὲ προτέρας ἀκολουθίας, ὡς ὑπεσχόμεθα, πάλιν ἀψώμεθα.

321 (4876) (4) Οἱ οὖν παῖδες καὶ οἱ μεγιστᾶνες Ἀλεξάνδρου τὴν βασιλείαν αὐτοῦ διελόμενοι, τῆς μὲν Αἰγύπτου Πτολεμαῖος ἐβασίλευσε, ὁ Λαγοῦ ὁ πρεσβύτης, καὶ οἱ καθ' ἑξῆς Πτολεμαῖοι δέκα ἕως Κλεωπάτρας,

312 (4889) θυρατρὸς Διονυσίου. (5) Τῆς δὲ Ἀσίας πάσης Ἀντίγονος ἐκράτησε, τῆς δὲ Συρίας καὶ Βαβυλωνίας καὶ Παλαιστίνης Σέλευκος ἐβασίλευσεν ὁ Νικάνωρ, ὃς πόλεις β' κτίσας, εἰς τὰ μέρη Κιλικίας καὶ ἄλλην ἐν Συρίᾳ, τὴν μὲν Σελεύκειαν ἐκάλεσε, τὴν δὲ Ἀντίοχειαν, τὴν δὲ Λαοδίκειαν, εἰς τὸ ἑαυτοῦ ὄνομα καὶ τοῦ υἱοῦ καὶ τῆς θυρατρὸς αὐτοῦ Λαοδικείας. Ἐφ' οὗ Ῥόδιοι θαλασσοκρατήσαντες ἀνέστησαν ἐν τῇ νήσῳ χαλκοῦν ἀνδριάντα τοῦ Ἡλίου, ὃν διὰ τὸ μέγεθος ἐκάλεσαν Κολοσσὸν, ἀφ' οὗ καὶ αὐτοὶ Κολοσσεῖς ὠνομάσθησαν.

(6) Μετὰ δὲ Σέλευκον ἐβασίλευσεν Ἀντίοχος ὁ υἱὸς αὐτοῦ, καὶ ἄλλοι ε'· εἶτα ἐβασίλευσεν Ἀντίοχος ὁ Ἐπιφανὴς, υἱὸς Σελεύκου τοῦ φιλοπάτορος, ὑφ' οὗ γέγονεν ἡ β' ἅλωσις τῆς Ἱερουσαλήμ· καὶ τὰ κατὰ τῶν Μακκαβαίων ἐπράχθη καὶ τὸ ἱερὸν ἐμολύνθη.

---

2. β' a secunda manu cod. — 2. ἔτος ογ μ. ϛα' cod. a sec. m. priori erasa, sed ἔτη κ', Ἀρταβανος μῆνας ζ' Eusebius II, 209, Leo 47,17 et Ced. — 4. μηνᾶς β' Eus. — 4. Σογδιανὸς μηνᾶς ζ' Eus. Sync. — 7. κς' Ced. Eus. κβ Leo. — 7. β' Ced. Ναρσῆς ἔτη δ' Leo, Ἀρσιοχοῦ ἔτη δ' Eus. — 8. καθελὼν Eus. — 9. a secunda manu: τ' Ced. Leo, σλε' Eus. — 11. Ἐφ' — Εὐσέβιος om. Slav.; de Philistione apud Eus. nihil est. — 13. Ced. 272,21, 284,19—285,1. — 18. γ'? — Ced. 38,1; 292,11; 339,6—9 ex Eusebio. — 24 Ced. 755,10 -16. —25. Ced. 285,1—7.

(7) Περὶ ἧς ἁλώσεως οὕτω πως γέγραπται· «Καὶ ἐγένετο μετὰ τὸ ὑποτάξαι Ἀλέξανδρον τὸν Φιλίππου τὸν Μακεδόνα, Δαρεῖον βασιλέα τῶν Περσῶν καὶ Μήδων καὶ βασιλεῦσαι ἀντ' αὐτοῦ καὶ πολλοὺς ποιῆσαι πολέμους καὶ κρατῆσαι ὀχυρώματα μεγάλα καὶ σφάξαι βασιλεῖς πολλούς, τοπάρχας τε καὶ στρατηγοὺς καὶ σατράπας καὶ τυράννους καὶ φθάσαι ἕως ἄκρων τῆς γῆς καὶ πλοῦτον ἄπειρον συλλέξαι, μηδενὸς ἀνθεστηκότος, ὑψώθη ἡ καρδία αὐτοῦ σφόδρα, καὶ ἦρξε χωρῶν, ἐθνῶν καὶ τυράννων, καὶ ἐγένοντο αὐτῷ εἰς φόρον. Καὶ μετὰ ταῦτα πεσὼν ἐπὶ τὴν κλίνην αὐτοῦ καὶ γνοὺς, ὅτι ἀποθνήσκει, προσεκαλέσατο τοὺς ἐνδόξους καὶ συνεκτρόφους αὐτοῦ· καὶ διελὼν αὐτοῖς τὴν βασιλείαν ἀπέθανε, βασιλεύσας ἔτη ιβ΄. Καὶ ἐπεκράτησαν οἱ παῖδες αὐτοῦ ἕκαστος ἐν τῷ τόπῳ αὐτοῦ. Καὶ περιθέμενοι οἱ παῖδες αὐτοῦ ἕκαστος διαδήματα καὶ βασιλεύσαντες ἐπλήθυναν τὰ κακὰ, ἀφ' ὧν ἐξῆλθε ῥίζα ἁμαρτωλός».

XCVIII. ΒΑΣΙΛΕΙΑ ΑΝΤΙΟΧΟΥ ΤΟΥ ΦΙΛΟΜΗΤΟΡΟΣ.

Ἀντίοχος, ὁ Ἐπιφανὴς, υἱὸς Σελεύκου τοῦ φιλομήτορος, ὃς ὑπάρχων δεινὸς ἀνὴρ καὶ πλεονέκτης καὶ πολλὰς ἁρπαγὰς καὶ λεηλασίας ποιήσας, συνήγαγεν ἀργύριον καὶ χρυσίον, πλῆθος ἀμύθητον· καὶ πρὸς τούτῳ ἐκ πολλῆς ἀκολασίας καὶ οἰστρηλασίας εἰς τοὺς μίμους ἑαυτὸν καθεὶς ἐν ὄψει πάντων ἀναιδῶς ταῖς γυναιξὶν ἐπεμαίνετο, ᾧ καὶ κατὰ πρόσωπον τῆς βασιλείας χωρούσης, κρατῆσαι τῆς Αἰγύπτου προσώρμησεν, ὅπως μίαν βασιλείαν ποιῇ, τήν τε Ἀντιόχειαν καὶ τὴν Αἴγυπτον. (2) Καὶ δὴ καταλαβὼν τὴν Αἴγυπτον ἐν ὄχλῳ βαρεῖ καὶ ἅρμασι καὶ ἐλέφασι καὶ στόλῳ μεγάλῳ, συνάπτει μάχην πρὸς Πτολεμαῖον, βασιλέα Αἰγύπτου καὶ, τρέψας αὐτὸν, κατεκράτησε τὰς Αἰγύπτου πόλεις καὶ πάσας ἐσκύλευσε. 174 (5026)

---

1. 1 Macc. I. 1—10. — 7. Desunt in Slav. — 16. 1 Macc. I. 10—24. Ced. 285,7—13. — 16. Αντιόχου 1 Macc. I. 10. — 22. ὃς κατὰ Ced. — 23. ἐβουλήθη μ. β. ποιῆσαι Ced. — 24. Ced. 285,13—17 καὶ δὴ τὴν Ἀ. κ. — ἐν Ced. 26. σ. πόλεμον Ced. — 27. Ἀ. ὃν καὶ τρ. Ced. — ἐν Αἰγύπτῳ Ced.

XCIX. ΠΕΡΙ ΤΗΣ Β' ΑΛΩΣΕΩΣ ΤΗΣ ΙΕΡΟΥΣΑΛΗΜ.

166 (5034) Τῆς δὲ ἁγίας πόλεως κατοικουμένης μετὰ πάσης εἰρήνης, διὰ τὴν τοῦ ἀρχιερέως Ὀνίου μισοπονηρίαν τε καὶ εὐσέβειαν, «συνέβη καὶ ὅλην τὴν πόλιν σχεδὸν ἐφ' ἡμέραις μ' φαίνεσθαι διὰ τοῦ ἀέρος ἱππεῖς τρέχοντας ἐν ὅπλοις (καὶ) διαχρύσους στολὰς ἔχοντας καὶ προσβολὰς (ἐξ) ἑκατέρων γινομένας καὶ ὅπλων κινήσεις καὶ χρυσέων κόσμων ἐκλάμψεις παντοίοις εἴδεσιν ἀμφιάσεων τεθωρακισμένους· διὸ πάντες ἠξίουν ἐπ' ἀγαθῷ γενέσθαι τὴν ἐπιφάνειαν», ἥτις καὶ προεδήλου τὴν πονηρὰν ἔφοδον Ἀντιόχου. (2) Τέλος δὲ «ἀναζεύξας μετὰ νίκης πολλῆς καὶ τεθηριωμένος τῇ ψυχῇ (ἐξ ἄκρας ἀπονοίας τε καὶ ἀλαζωνείας) παρέλαβε τὴν πόλιν δορυάλωτον. εἶτα προστάξας τοὺς στρατιώτας ἀφειδῶς τύπτειν τοὺς παρατυγχάνοντας, ἀνῃρέθησαν μυριάδες ιή'. Κατατολμήσας οὖν καὶ εἰς τὸν ἁγιασμὸν εἰσελθὼν ἐν ὑπερηφανίᾳ πολλῇ, καὶ στήσας βωμὸν καὶ «εἴδωλον, βδέλυγμα ἐρημώσεως», καὶ τὸν ναὸν μιάνας δὶ ἀκαθάρτων θυσιῶν, ἱερὸν Διὸς Ὀλυμπίου προσηγόρευσεν.

C. ΠΕΡΙ ΕΛΕΑΖΑΡ ΚΑΙ ΤΩΝ Ζ' ΠΑΙΔΩΝ ΤΩΝ ΜΑΚΚΑΒΑΙΩΝ ΚΑΙ ΤΗΣ ΑΥΤΩΝ ΜΗΤΡΟΣ.

Οὗτος ἐφ' ὑψηλοῦ τόπου καθίσας (τῶν στρατευμάτων αὐτῷ παρεστηκότων κύκλοθεν ἐνόπλων) ἐκέλευσε τοῖς δοροφόροις ἕνα ἕκαστον Ἑβραῖον ἐπισπᾶσθαι καὶ κρεῶν χοιρείων καὶ εἰδωλοθύτων ἀναγκάζειν ἀπογεύεσθαι. εἰ δέ τινες μὴ θέλοιεν (μιαροφαγῆσαι), τούτους (τριχισθέντας) ἀναιρεῖσθαι. (2) Πολλῶν δὲ συναρπασθέντων, ἐξ ὧν ὁ Ἐλεάζαρ τις, τῶν πρωτευόντων γραμματέων, ἀνὴρ ἤδη προβεβηκὼς τὴν ἡλικίαν, ἠναγκάζετο μιαροφαγῆσαι. Ὁ δὲ τον μετ'

---

2. Ced. 285,18—286, 2. — 3. 2 Macc. V. 2—4. — 5. δὶ αὐτοῦ μέρος codex. — 5. ἐνόπλους Ced. — 10. 3 Macc. V. 11—15, Ced. 286, 2—7. Ἀν. γὰρ μ. ν. — 12. προστάξαντος Ced. — 12. κόπτειν Ced. — 13. ἡ μ. 2 Macc. V. 14, χιλιάδες ρπ' Ced. — 14. τὸ ἁγίασμα Ced. — 15. 1 M. I. 51. — 16. προσαγορεύσας καὶ ἐφ' Ced. 286,8—10. — 19. Haec rubrica in codice deest, sed legitur ad § 3: τὰ κατὰ τῶν M. — 23. ἀπ. ἀν. Ced. — 24. τυμπανισθέντας? — 24. Ced. 286,11—17. 23; 2 M. VI, 18—31.

εὐκλείας θάνατον μᾶλλον ἢ τὸν κατὰ τοῦ μύσους βίον ἀναδεξάμενος, αὐθαιρέτως πρὸς τύμπανον ἤγετο. καὶ οὕτως μετὰ πολλῶν πρῶτον αἰκισμῶν καὶ μαστίγων ὑπαλλάξας τὸν βίον, οὐ μόνον τοῖς νέοις, ἀλλὰ καὶ τοῖς προβεβηκόσι τὸν ἑαυτοῦ θάνατον ὑπόδειγμα γενναιότητος, μνημόσυνον ἀρετῆς κατέλιπε ταῦτα».

(3) Μεθ' ὃν καὶ ἄλλοι τινὲς ζ' ἀδελφοὶ σὺν τῇ μητρὶ ἑαυτῶν διαφόρως * βασανισθέντες τὸν τοῦ μαρτυρίου στέφανον ὡσαύτως ἀνεδήσαντο (4). Περὶ ὧν ἡ μὲν γραφὴ φησιν· Οὕτως ἀπέλαυσε τῆς ἱερωσύνης ὁ θεῖος Ἐλεάζαρ μυηθεὶς καὶ μυήσας τὰ ἐπουράνια καὶ οὐ τοῖς ἔξωθεν βαντισμοῖς τὸν Ἰσραὴλ ἁγιάσας, ἀλλ' οἰκείοις αἵμασι καὶ ποιήσας τὴν τελευτὴν τελευταῖον μυστήριον. οὕτω καὶ οἱ νέοι παῖδες οὐχ ἡδοναῖς δουλεύσαντες, ἀλλὰ τῶν παθῶν κυριεύσαντες καὶ τὸ σῶμα (55ᵃ) καθαγνίσαντες, πρὸς τὴν ἀπαθῆ ζωὴν μετέστησαν. «Οὕτως ἀπέλαυσε τῆς πολυτεκνίας ἡ μήτηρ, ὡς φησί τις, οὕτω καὶ ζῶσιν ἐκαλλωπίσατο, καὶ ἀπελθοῦσα συνανεπαύσατο καὶ οὓς ἐγέννησε κόσμῳ, θεῷ παραστήσασα. Ἠγάσθη δὲ καὶ Ἀντίοχος οὕτω μεταβαλὼν εἰς θαῦμα τὴν ἀπειλήν. Ἴσασι γὰρ θαυμάζειν ἀρετὴν ἀνδρῶν καὶ πολέμιοι, ὅταν, τοῦ θυμοῦ λήξαντος, ἐφ' ἑαυτῆς ἡ πρᾶξις δοκιμάζεται, ὥστε καὶ ἀπῆλθεν ἄπρακτος καὶ ἀπληροφόρητος». (5) Ὑφ' ὧν (τοίνυν) ὁ τύραννος καταισχυνθεὶς καὶ μᾶλλον ἐκμανεὶς (καὶ) τὰ ἱερὰ σκεύη πάντα λαβὼν, χρυσόν τε καὶ ἄργυρον ἄπειρον καὶ πᾶσαν τὴν πόλιν λαφυραγωγήσας καὶ τὰ κτήνη κρεουργήσας καὶ πολλὴν φονοκτονίαν ποιήσας καὶ μεγαλορρημονήσας, ἀνεχώρησεν εἰς Ἀντιόχειαν, (μέγα πένθος καταλείψας τοῖς υἱοῖς Ἰσραήλ). — καὶ μετὰ β' ἔτη κατὰ Περσῶν ἐπιστρατεύσας, ἀπέστειλεν ἄρχοντα φορολογῆσαι τὰς πόλεις Ἱερουσαλήμ, ὃς παραγενόμενος μετὰ πολλῆς δυνάμεως καὶ λαλήσας εἰρηνικοὺς λόγους, μετὰ δόλου πρὸς τὴν πόλιν Ἱερουσαλήμ ** εἰσελθὼν ἐπάταξεν αὐτοὺς πληγῇ μεγάλῃ, καὶ καθελὼν τὰ τείχη, πᾶσαν (αὐτὴν) ἐνέ-

---

2. προσηγ Ced. — 3. πρότερον Ced. — 5. γ. καὶ ἀ. κατ Ced. — 6. 2 Macc. VII. Ced. 286,18. μετὰ μητρὸς διαφ. βασ. τὸν τοῦ μ. στ. ἐνδόξως ἀν. — * γὰρ cod. — 8. Desunt in Bulg.? — 20. Ced. 286,20—287,8. — 21. π. σκ. Ced. — 26. ἄρχοντες cod. a prima m. sed cf. 1 Macc. I. 29. τὰς πόλεις cod. — 28. ** καὶ Ced. — 28. αὐτοῖς πληγ. μεγαλ. cod. αὐτὴν πλ. μ. Ced. ut 1 M. I. 30.

πρησε (καὶ κατέστρεψε) καὶ τὸ μὲν ἱερὸν (ἀσωτίαις καὶ) μιαραῖς θυσίαις ἀνεπλήρωσεν, τοὺς δὲ μὴ προαιρουμένους τῶν Ἰουδαίων μεταβαίνειν εἰς τὰ Ἑλληνικὰ καὶ τῶν ἀθεμίτων ἀπογεύεσθαι, ἀφειδῶς κατέκτεινεν. Πολλοὺς οὖν (ἄνδρας καὶ γυναῖκας καὶ παῖδας μετὰ πολλῶν καὶ χαλεπῶν κολάσεων) ἀνελὼν (καὶ ἄλλους αἰχμαλωτεύσας) ἀπῆλθε, ἄρχοντα καταλιπὼν εἰς τὸ βασανίζειν τοὺς Ἰουδαίους.

CI. ΠΕΡΙ ΤΟΥ ΜΑΤΘΙΟΥ ΙΕΡΕΩΣ.

162 (5035) Ματθίας δέ τις ἱερεύς, ἔχων υἱοὺς ε', ἀφ' ὧν Ἰούδας ὁ Μακκαβαῖος ἐτύγχανεν, ζήλου πλησθεὶς καὶ ὁρμήσας κατὰ τοῦ ἄρχοντος, ἀνεῖλεν αὐτὸν καὶ συναγαγὼν ἅπαντας τοὺς περὶ αὐτόν, ἐπέρχεται καὶ κατασκάπτει τοὺς ἀκαθάρτους βωμοὺς τῶν Ἑλλήνων, καὶ τοὺς ἀποστατοῦντας τοῦ νόμου ἀναιρεῖ. (2) Ὁ δέ γε Ἀντίοχος ἀκόσμως τε καὶ ἠττημένος ἐκ τῶν κατὰ Περσίδος τόπων τὴν ἀνάζευξιν ποιούμενος, (καὶ) ἐκ πολλῆς ἀθυμίας ἀῤῥωστήσας ἔφη πρὸς τοὺς ἑαυτοῦ μεγιστᾶνας· «Ἀφίσταται [ὁ] ὕπνος ἀπὸ τῶν ὀφθαλμῶν μου, καὶ συμπέπτωκα * ἀπὸ τῆς μερίμνης. — νῦν οὖν μνήσκομαι τῶν κακῶν ὧν ἐποίησα ἐν Ἱερουσαλήμ. — ἔγνων **, ὅτι χάριν τούτων εὗρον ***, τὰ κακὰ ταῦτα. Ἰδού, ἀπόλλυμαι ἐν γῇ ἀλλοτρίᾳ». (3) Καὶ συνέταζε τὸν ἁρματηλάτην αὐτοῦ ἀνενδότως ἐλαύνοντα κατανεύειν τὴν πορείαν, ἐπαισθανόμενος ἐναργῶς τῆς ἄνωθεν κρίσεως τὴν τιμωρίαν· συνέσχε γὰρ αὐτὸν ἀνήκεστος ἀλγηδὼν τὰ σπλάγχνα καὶ πικραὶ τῶν ἔνδον βάσανοι. Συνέβη δὲ καὶ πεσεῖν αὐτὸν ἀπὸ τοῦ ἅρματος βοίζῳ φερόμενον καὶ, δυσχερεῖ πτώματι περιπεσόντα, παντὸς τοῦ σώματος ἀποστρεβλοῦσθαι τὰ μέλη. Ἡ δὲ νόσος τοσοῦτον ἐπέτεινεν, ὥστε καὶ σκώληκας ἐκβρύσαι, καὶ ἐν ὀδύναις μεγίσταις καταπίπτειν αὐτοῦ τὰς σάρκας, καὶ μέντοι καὶ ὑπὸ τῆς δυσῳδίας τοῦ ἀθλίου αὐτοῦ καὶ δυστήνου σώματος πᾶν τὸ στράτευμα

---

2. μιαρῶν θυσιῶν ἐνέπλησε Ced. — 3. Ἰ. ἐλληνίσαι ἀφ. Ced. — 7. Rubrica in codice deest. — 8. Ced. 287,9—13. 1 Mac. II—V. — 12. ἀποσταντας Ced. — 1 Macc. VI, 10—13. Ced. 287, 13—19. — 13. ἐκ τῆς Π. τὴν ὑποστροφήν. — 15. σἰκείους ἑαυτοῦ Ced. — * τῇ καρδίᾳ 1 M. — 17. νῦν δὲ μιμνήσκομαι 1 M. — ** οὖν 1 M. — *** με 1 M. — 18. καὶ ἰ. ἀ. λύπη μεγάλη ἐν γῇ ἀ. 1 M. — Ced. 287,19—288,3.

βαρύνεσθαι μεγαλως, καὶ ὁ πολλὰ μεγαλαυχήσας καὶ πάνδεινα πράξας, οὕτως αἰσχίστῳ μόρῳ τὸν βίον ἐπὶ ξένης καταστρέφειν. (Καὶ ἐνταῦθα μὲν ἐνδίκως ὁ ἄδικος κατετι(55^{b})μώρητο, θαγὼν δὲ οἰκτρῶς ἐκεῖθεν μᾶλλον ἀιωνίως κολάζεται).

CII. ΒΑΣΙΛΕΙΑ ΑΝΤΙΟΧΟΥ ΤΟΥ ΕΥΠΑΤΟΡΟΣ.

Μετὰ δὲ Ἀντίοχον ἐβασίλευσεν Ἀντίοχος ὁ Εὐπάτωρ, υἱὸς αὐ- 163
τοῦ, ἐφ᾽ οὗ Ἰούδας ὁ Μακκαβαῖος τοὺς φρουράρχους Ἀντιοχείας τρο- (5036)
πωσάμενος, ἐπέρχεται αὐτῷ Ἀντίοχος μετὰ χιλιάδων ἱππέων κ΄ καὶ πεζῶν χιλιάδων ρ΄, ἁρμάτων τ΄, ἐλεφάντων νε΄ γεγυμνασμένων πρὸς πόλεμον· καὶ διελὼν τοὺς ἐλέφαντας εἰς φάλαγγας, παρέστησε ἑκάστῳ ἐλέφαντι χιλίους ἄνδρας τεθωρακισμένους ἐν ἁλυσιδωτοῖς, καὶ περικεφαλαῖαι χαλκαῖ ἐπὶ τὰς κεφαλὰς αὐτῶν, καὶ ἱππεῖς ἐκλεκτοὶ φ΄ διατεταγμένοι ἑκάστῳ θηρίῳ διὰ μηχανῆς, καὶ ἐφ᾽ ἑκάστῳ ἄνδρες δυνάμεως ἔνοπλοι λβ΄. Ὡς δὲ κατέλαμπεν ὁ ἥλιος ἐπὶ τὰς χρυσᾶς ἀσπίδας καὶ ἅρματα, ἔστιλβε τὰ ὄρη ἀπ᾽ αὐτῶν (καὶ κατηύγαζον ὡς λαμπάδες πυρός. Κἀντεῦθεν ἐσαλεύοντο πάντες οἱ ὁρῶντες καὶ ἀκούοντες τὴν φωνὴν τοῦ πλήθους καὶ τὸν συγκρουσμὸν τῶν ἁρμάτων)· ἦν γὰρ ἡ παρεμβολὴ μεγάλη, ἰσχυρὰ λίαν (καὶ ὁ λαὸς ἐπίμικτος, ἄπειρος, ἔνοπλος). (2) Καὶ ὡς ἐπέτεινεν ἡ μάχη, θεασάμενος Ἐλεάζαρ, ὁ ἀδελφὸς Ἰούδα, πεπυρωμένους τοὺς ἐλέφαντας καὶ τοξότας ἐπ᾽ αὐτῶν φερομένους, ἕνα δὲ ἰδὼν ὑψηλότερον τῶν ἄλλων, βασιλικοῖς θώραξι καθωπλισμένον, καὶ νομίσας ἐπ᾽ αὐτὸν φέρεσθαι τὸν βασιλέα, ἐκπηδήσας τῆς παρατάξεως, ἐμπλέκεται τῷ τῶν πολεμίων ἀθροίσματι, καὶ πολλοὺς ἀποκτείνας τῶν περὶ τὸν ἐλέφαντα, ὑποκάτωθεν αὐτοῦ ὑπέδυ· καὶ πατάξας εἰς τὴν γαστέρα τὸν ἐλέφαντα, πέπτωκεν εὐθὺς τὸ θηρίον ἐπάνω αὐτοῦ καὶ τοῦτον συνέτριψεν, ὅπερ Ἰούδας θεασάμενος καὶ κραταιότερον τὸν πόλεμον αἰσθόμενος, εἰς Ἱερουσαλὴμ ἔφυγε.

---

2. τὸν — μεγαλαυχήσαντα — πράξαντα? — 6. Ced. 288,4—16, 1 Macc. VI, 17—41. — 7. Ἰούδα — τροπωσαμένου? — 8. ἐπελθεῖν καθ᾽ αὐτοῦ Ἀντίοχον παρεσκεύασε Ced. — 9. ἐλέφαντας νέ γεγυμνασμένους cod. λβ΄ εἰδότες π. 1 M. — 15. ἐπ᾽ cod. — 19. Ced. 288,16—25, 1 M. VI. 42—47.

161 (5037) (3) Καὶ ἐπιδιώξας Ἀντίοχος ἐπολιόρκει ταύτην· εἶτα λόγους εἰρηνικοὺς μεθ' ὅρκων ποιησάμενος, δέχεται αὐτὸν Ἰούδας ἔνδον τῆς πόλεως. Ὁ δὲ εἰσελθὼν καὶ τῶν ὅρκων παρασπονδήσας καὶ τὸ τεῖχος τέλειον καταστρέψας καὶ τοὺς οἰκήτορας σκυλεύσας, εἰς Ἀντιόχειαν ὑπέστρεψε.

CIII. ΠΕΡΙ ΙΟΥΔΑ ΤΟΥ ΜΑΚΚΑΒΑΙΟΥ.

Μετὰ δὲ ταῦτα Ἰούδας τρισὶν ἔτεσι τὴν θρησκείαν ὀλιγωρηθεῖσαν τὴν πάτριον ἀνεκτήσατο, καὶ πολλοὺς ἐπιδειξάμενος καὶ τοὺς τῆς χώρας ἅπαντας ἀπελάσας τοῦ Ἀντιόχου καὶ τὸν ναὸν ἐκκαθάρας, αὐτῷ πᾶς ὁ τῶν Ἰουδαίων λαὸς τὴν ἀρχιερωσύνην παρέδωκεν. (2) Ἐφ' οὗ Ἰησοῦς ὁ τοῦ Σιρὰχ, ὁ σοφὸς καὶ πολυμαθὴς καὶ τὴν πανάρετον σοφίαν συντάξας, παρ' Ἑβραίοις ἐγνωρίζετο.

CIV. ΠΕΡΙ ΡΩΜΑΙΩΝ. ΤΙ ΕΣΤΙ ΚΑΙΣΑΡ.

Τὰ δὲ Ῥωμαίων πράγματα ἐδιοικεῖτο πρώην ὑπὸ ὑπάτων ἀπὸ Ῥώμου καὶ Ῥήμου ἐπὶ ἔτη τξδ' ἕως Ἰουλίου Καίσαρος. Τῆς γὰρ μητρὸς αὐτοῦ Ἰανούσης ἐν τῷ θ' μηνὶ, ταύτην ἀνασχίσαντες ἐξέβαλον αὐτὸν, ὅθεν καὶ λέγεται Καῖσαρ, ἀφ' οὗ Καίσαρες οἱ Ῥωμαίων βασιλεῖς προσηγορεύθησαν, ὅ ἐστιν ἀνατομὴ κατὰ τὴν Ῥωμαίων γλῶσσαν.

(2) Τῆς θείας γραφῆς ἑρμηνευθείσης ἐν τοῖς χρόνοις Πτολεμαίου καὶ ἀναγνωσθείσης, ἐκπλαγῆναί τε τὸν βασιλέα ἐπὶ τῷ κάλλει τῶν θείων λογίων καὶ πάντας (56ᵃ) τοὺς ἐν τέλει· παρόντος οὖν Μενεδήμου φιλοσόφου καὶ Δημητρίου Φαληρέως καὶ θαυμαζόντων τὴν δύναμιν τῶν λόγων, ἠρώτα ὁ βασιλεὺς, «ὅτι τοιούτων ὄντων τῶν θείων λό-

---

1. Ced. 289,1—5, 1 M. VI. 48—62. — 6. Rubrica in codice deest. — 6. Ced. 289,5—10. — 10. γνώμῃ παντὸς τοῦ λαοῦ τὴν ἀ. παρέλαβε Ced. — 11. Ced. 290,13—14. — 13. Π. Ῥ. in tabula codd. Mon. et Aug. τί ἐ. K. in cod. Mosq. — 14. Ced. 289,10—16. — 20. Σχόλιον, rubrica in m. adscripta Ced. 289,17—290,11, deest in Serb. et Bulg. ut et 3 et 4.

γων, πῶς οὐδεὶς ἱστορικῶν ἢ ποιητῶν ἐμνήσθη αὐτῶν»; καὶ ἀπεκρίθη Δημήτριος, «ὅτι οὐδείς ποτε ἐτόλμησε τούτων ἅψασθαι, διὰ τὸ καὶ Θεόπεμπτον θελήσαντα ἱστορῆσαι περὶ αὐτῶν καραφροσύνῃ κρατηθῆναι καὶ ὄναρ ἰδεῖν, ὅτι τοῦτο αὐτῷ συμβέβηκε περιεργασμένῳ τὰ θεῖα. καὶ Θεόδεκτον τὸν τῶν τραγῳδιῶν ποιητὴν ἐν ἑνὶ δράματι μνησθέντα τῶν ἱερῶν τούτων βιβλίων τυφλωθῆναι· ἑκατέρους δὲ ἀποσχομένους τοῦ τολμήματος καὶ τὸ θεῖον ἐξευμενιζομένους ὑγιεῖς γενέσθαι.

(3) Τούτῳ τῷ Ἰουλίῳ ἐτέχθη ἵππος ἀντὶ ὁπλῆς χηλὰς ἔχων καὶ μηδένα ἕτερον ἀναβάτην δεχόμενος ἢ αὐτόν, ὡς ὁ Βουκέφαλος τὸν Ἀλέξανδρον.

(4) Τούτῳ μέλλοντί (ποτε) τὴν αὔλιον ἐξιέναι θύραν ἀπερχομένῳ ἐπὶ τὸ βουλευτήριον, εἰκὼν αὐτοῦ πρὸ τῶν θυρῶν ἑστῶσα, αὐτομάτως κατέπεσεν· καὶ πρὸς τούτῳ χάρτην αὐτῷ τις ἐπιδέδωκεν ἔχοντα πᾶσαν τὴν κατ' αὐτοῦ μελετωμένην ἐπιβουλήν. Καὶ νομίσας ἄλλο τι εἶναι, μὴ ἐντυχὼν, ἀλλὰ δεδωκὼς ἑτέρῳ φυλάττειν, ἐσφάγη ὑπὸ Βρούτου καὶ Κασσίου ἐν τῷ βουλευτηρίῳ.

(5) Αὐτὸς Ἰούλιος μεγίστους ἀγῶνας ἐνεδείξατο, Γερμανοὺς καὶ Γάλλους καὶ Βρεττανοὺς χειρωσάμενος, ὑποφόρους τοῖς Ῥωμαίοις φ' πόλεις οἰκουμένας κατεστήσατο.

Γ'.

ΑΡΧΗ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΡΩΜΑΙΩΝ.

CV. ΒΑΣΙΛΕΙΑ ΙΟΥΛΙΟΥ ΚΑΙΣΑΡΟΣ.

Μετὰ δὲ ταῦτα βασιλεύσας Ἰούλιος Καῖσαρ πρῶτος καὶ μόνος ἐκράτησε τῶν Ῥωμαϊκῶν σκήπτρων μετὰ πολλῆς ὑπερηφανίας καὶ (5153)

---

3. Θεόπομπον Ced. Leo, P. Th. — 8. ἑκάτεροι — ἀποσχόμενοι — ἐξευμενιζομένους cod. — 10. Ced. 300,2—4. — 13. Ced. 300,13—18. — 13. ἐξελθεῖν Ced. — 14. ἀπερχομένου cod. — 15. τοῦ Καίσαρος ἑφεστῶσα τῷ προθύρῳ Ced. — 15. τούτ. codex, τούτοις Ced. — 16. ἔχοντα post ἐπιβ. Ced. — 18. δέδωκεν cod. — 20. Ced. 300,6—9, ὥς φησι Πλούταρχος. — 26. Ced. 300,1,2.

ἀλαζονείας, ὅθεν καὶ δικτάτωρ ἐκαλεῖτο, ὅ ἐστι μονάρχης. δικτατωρία δέ ἐστιν ἀρχὴ ἀνυπέρθετος.

(2) Πάντων δὲ κρατήσας ἐν ἰταμότητι καὶ τυραννίδι ἐπὶ ἔτη ιή', ἀνῃρέθη ἐπὶ συγκλήτου. (3) Ὃς καὶ νόμους Ῥωμαίων ἔδωκεν καὶ τὰς ἰνδίκτους [καὶ] τὸν βίσεξτον ἐξευρὼν καὶ τὸν μῆνα Ἰούλιον ὀνομάσας, πρότερον Κυιντίλιον καλούμενον, ὡς ἐν τούτῳ αὐτοῦ μοναρχήσαντος. (4) Ἐφ' οὗ ἦν καὶ Ἰούδας ὁ Γαλιλαῖος, ὁ ἐν ταῖς πράξεσι τῶν ἀποστόλων μνημονευόμενος, καὶ Ἀντίπατρος, ὁ Ἡρώδου πατήρ, βασιλεὺς τῆς Ἰουδαίας κατέστη.

CVI. ΒΑΣΙΛΕΙΑ ΑΥΓΟΥΣΤΟΥ.

42 (5157) Μετὰ δὲ Ἰούλιον Καίσαρα ἐβασίλευσεν Αὔγουστος Καῖσαρ, ἀνεψιὸς αὐτοῦ, Ὀκταβίου υἱός, ὁ καὶ Σεβαστός, ἔτη νζ', ἀφ' οὗ Σεβαστοὶ καὶ Αὔγουστοι προσηγορεύθησαν οἱ Ῥωμαίων βασιλεῖς. (2) Καὶ ὁ μὴν Αὔγουστος ἐκλήθη, ὅ ἐστι Σεβαστός, πρότερον Σεξτίλιος ὀνομαζόμενος.

28 (5173) (3) Οὗτος οὖν ὁ Αὔγουστος Κλεοπάτραν τῷ [ι]δ' ἔτει τῆς βασιλείας αὐτοῦ χειρωσάμενος καὶ πᾶσαν τὴν Αἴγυπτον ὑποτάξας, καθελὼν τὴν βασιλείαν τῶν Πτολεμαίων διαρκέσασαν ἔτη σ' * καὶ πάσης τῆς γῆς κυριεύσας καὶ τὰς τοπαρχίας καταλύσας, ἀνεῖλε τοὺς φονεύσαντας αὐτοῦ τὸν θεῖον Ἰούλιον. (4) Κτίσας δὲ καὶ πολεις γ', μίαν ἐν τῷ Πόντῳ καὶ ἄλλην ἐν τῇ Ἀρραβίᾳ καὶ ἑτέραν

---

4. Ced. 303,21—23. — 5. δίσεκτον cod. — 6. Αὐγούστου cod., διὰ τὸ αὐτὸν ἐν αὐτῷ γεγενῆσθαι Chr. pasch. — 7. Ced. 303,23—304,3. — 11. Ced. 300,21. — 12. ἀν. Ἰουλίας Ced. — 12. νς' Ced. L. P. Th, sed annus, quo Augustus mortuus est, 57-us est a Caesare occiso. — 14. Ced. 300, 22. — * (Σχόλιον) Ced. 302,15—303,21. Ἠγαπᾶτο δὲ ὑπ' αὐτοῦ Ἀθηνόδωρος ὁ Ἀλεξανδρεὺς ὁ σοφώτατος, ὃς ἐν τοῖς αἰσχίστοις ἔργοις τοῦ Καίσαρος ἐλέγχων αὐτὸν ὑπὲρ ἁμαρτιῶν [ἐπηνώρθου]. Ὁ γοῦν Ἀθηνόδωρος καταγηράσας, ᾔτησεν εἰς τὴν ἰδίαν χώραν πεμφθῆναι· ἔλεγε γὰρ ὡς τέλειος εἴη ὁ Καῖσαρ κατὰ πᾶσαν φιλοσοφίαν καὶ γνῶσιν· ὡς δὲ μελλων ἀπαίρειν, ἠσπάζετο αὐτὸν καὶ ἐπικύψας πρὸς τὸ οὖς, παρεκάλει, εἰ ὁσάκις ὀργισθῇ μὴ πρότερον κελεύσῃ (κέλευον cod.), τί πρακτέον πρὶν ἂν καθ' ἑαυτὸν ἀριθμήσῃ τὰ κδ' στοιχεῖα. ᾔδει γὰρ αὐτὸν ὀξύθυμον καὶ ἀμετάβλητον (εὔμ. Leo) ὄντα. Ὁ δὲ Καῖσαρ αἰσθόμενος ἔφη· Εὖ γε ὑπέμνησάς με ὡς ἀτελὴς εἰμι. Διὰ τοῦτο οὐ συγχωρήσω σοι τῆς ἐνεγκαμένης ἐπιβῆναι (συνεχώρησάς μοι τῆς αὐτῆς ἐναλαίρως ἐπιβιῶσαι codex).

ἐν Κύπρῳ Συρίας, καταπεσούσης ὑπὸ θεομηνίας ὀνόματι (56[b]) Σαλαμίνην ἀνεγείρας ἐκάλεσε· καὶ τὴν μὲν Ἄγκυραν ὠνόμασε διὰ τὸ μέσην εἶναι αὐτὴν τῶν β' θαλασσῶν, τῆς τε Ποντικῆς καὶ τῆς Ἀσιανῆς, ἥτις ἐστὶ Ἄγκυρα Γαλατίας, τὴν δὲ Διόσπολιν.

CVII. ΠΕΡΙ ΤΗΣ Δ' ΒΑΣΙΛΕΙΑΣ, ΗΝ Ο ΔΑΝΙΗΛ ΕΘΕΑΣΑΤΟ.

Ἐντεῦθεν τοίνυν ἄρχεται ἡ τετάρτη βασιλεία, ἣν ὁ Δανιὴλ ἐν τῇ τῶν δ' θηρίων ὀπτασίᾳ τέταρτον θηρίον διαφέρον τῶν ἄλλων τροπικῶς ὀνομάζει· ἐφ' οὗ καὶ ὁ τῶν πρώτων δ' στοιχείων δημιουργὸς καὶ τὸν τετραπέρατον κόσμον συνδήσας, ἐν τούτοις Ἰησοῦς Χριστὸς ἐσαρκώθη διὰ τὴν ἡμετέραν σωτηρίαν· ὅθεν εἰκότως μέγας βασιλεὺς καὶ ἐπίσημος ἐπὶ πάντων ὁ Αὔγουστος καὶ δυνατὸς γενόμενος, ὑπέταξε τὰς μερικὰς βασιλείας πάσας διὰ τὸν ἐν ταῖς ἡμέραις αὐτοῦ βασιλέα τοῦ παντὸς καὶ κύριον τεχθέντα κατὰ τὴν Ἡσαΐου προφητείαν.

(2) Φησὶ γάρ· «καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἐμφανὲς τὸ ὄρος Κυρίου καὶ ὁ οἶκος τοῦ θεοῦ ἐπ' ἄκρων τῶν ὀρέων καὶ ὑψωθήσεται ἐπὶ νῶτον βουνῶν, καὶ ἥξουσιν ἐπ' αὐτὸν πάντα τὰ ἔθνη· καὶ πορεύσονται λαοὶ πολλοὶ καὶ ἐροῦσι· «Δεῦτε, ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ Κυρίου καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ Ἰακώβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ». Ἐκ γὰρ Σιὸν ἐξελεύσεται νόμος καὶ λόγος Κυρίου ἐξ Ἰερουσαλήμ. Καὶ κρινεῖ ἀναμέσον ἐθνῶν πολλῶν καὶ ἐλέγξει λαὸν πολύν. Καὶ συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα, καὶ οὐ λήψεται ἔθνος μάχαιραν καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν».

(3) Ἰουδαῖοι δὲ φασὶ, Θεοδωτίωνι πλανώμενοι, περὶ τῆς ἐκ Βαβυλῶνος ἐπανόδου ἐρρῆσθαι τοῦτο. Καὶ οὐ θαῦμα· ὡς γὰρ ἐν ταῖς λοιπαῖς διασφάλλονται προφητείαις, οὕτω κἀνταῦθα·

(4) Ποῖα γὰρ ἔθνη πελάζοντα καὶ πόρρωθεν ἀπωκισμένα νόμον καὶ τὸν ἐκεῖθεν ἐκπορευόμενον ἠγαπήσαντο λόγον καὶ οὐχὶ μᾶλλον

---

5. Haec rubrica in codice evanuit. — 6. Cod. 318,1—9. — 15. Cod. 318,9—19. — 15. Ies. II, 2—4. — 17. ὑπεράνω Ies. Cod. — 25. ὑπὸ Θεοδωτίωνος?

αὐτοὺς ἐναντιοῦντο; Μετὰ γὰρ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον συνέδραμον εἰς τὸν Ἰουδαῖον ναὸν * τῶν ἐκείνων ἀσπασάμενα πλεῖστα τῶν ἐθνῶν, ** ἐπεστράτευσαν Ἰουδαίοις· οἱ περίοικοι δὲ πάντες αὐτοὺς πολεμοῦντες διετέλεσαν· ἔνθεν μὲν Ἰδουμαῖοι καὶ Ἀμανῖται καὶ Μωαβῖται, ἐκεῖθεν δὲ ἀλλόφυλοι καὶ Σαμαρεῖται· καὶ ὀλίγου δὲ χρόνου διελθόντος, τὰ Μακεδονικὰ αὐτοὺς ἐπέστη κακά, ἃ τῶν Μακκαβαίων αἱ συγγραφαὶ περιέχουσιν· ἐνταῦθα δὲ ὁ προφητικὸς λόγος εἰρήνην ὑπέσχετο βαθεῖαν. (5) Ὅτι δὲ τὸν μετὰ τὴν τοῦ Κυρίου παρουσίαν προσημαίνει ταῦτα καιρὸν, πάλιν τὰ πράγματα σαφῶς μαρτυροῦσι· πρὸ μὲν γὰρ τῆς Ῥωμαίων βασιλείας συχναὶ τῶν ἐθνῶν κατ' ἀλλήλων ἐπαναστάσεις ἐγίνοντο, ἅτε δὴ καθ' ἕκαστον ἔθνος τῆς βασιλείας μεμερισμένης· πάσης δὲ ἡγεμονίας εἰς Ῥωμαίους μετατεθείσης (καὶ τῆς καθ' ἕκαστον ἐθνῶν βασιλείας ἐπὶ τῆς Χριστοῦ παρουσίας καταλυθείσης), εἰρήνη βαθεῖα κατέσχε τὴν οἰκουμένην, ὡς μηκέτι ἔθνος κατ' ἔθνους ἐπιστρατεύειν (καὶ μερικὰς βασιλείας καθαρπάζειν), ἀλλὰ τῇ γεωργίᾳ προσέχειν. Οὐκοῦν μάλα δείκνυται σαφῶς τὸ τῆς προρρήσεως τέλος· (6) Ἢ οὐχ ὁρᾶτε τῆς ἐκκλησίας τὸ ὕψος καὶ πάντας ὑποκύπτοντας καὶ ταύτῃ τὸ σέβας προσφέροντας (57ᵃ), καὶ τοὺς μὲν πλείστους ἑκόντως καὶ εὐγνωμόνως, τοὺς δὲ παραγνώμως δουλεύοντας καὶ μάτην ἀντιλέγοντας ἐξοστρακιζομένους κακῶς; οὐχ ὁρᾶτε τῶν ὀρέων τὰς κορυφὰς, ὦ Ἰουδαῖοι καὶ Ἕλληνες, τοῦ ὑμετέρου μύσους ἀπηλλαγμένας καὶ ταῖς τῶν ἀσκητῶν καταγωγαῖς κοσμουμένας, πάντας συῤῥέοντας καὶ τὸν ἐν τῇ σιγῇ ἐπιφανέντα λόγον θεολογοῦντας καὶ τὸν ἐκεῖθεν προελθόντα νόμον ἀσπαζομένους, τοὺς μὲν πολέμους πεπαυμένους ἀντὶ τῶν πολεμικῶν ὅπλων· Ἢ οὐκ ἴστε, ὡς ὁπηνίκα ταῦτα ὁ προφήτης ἐθέσπιζεν, ἄλλος μὲν τῆς Ἱερουσαλὴμ ἐβασίλευεν, ἄλλος δὲ τῆς Σαμαρείας καὶ ἄλλος Ἰδουμαίων καὶ ἕτερος Μωαβιτῶν, καὶ αὖ πάλιν ἄλλος Ἀμμανιτῶν καὶ ἄλλος Ἀράβων; καὶ Μαδιναῖοι μὲν καὶ Ἀμαληκῖται ὑπ' ἄλλοις ἡγεμόσιν ἐτέλουν, Γάζα δὲ καὶ Ἀσκαλὼν καὶ Ἄζωτος. Καὶ μέντοι καὶ Σιδὼν καὶ Τύρος καὶ Δαμασκὸς ὑπὸ διαφόρων ἀρχόντων ἐθύνοντο.

* τὰ? — 3. πλείστων ἐθνῶν cod. — ** καὶ? — Cod. 318.20—319,3. — 9. προσημαίνονται Cod. — 18. ταύτην cod. — 19. προσφέροντα cod. — 21. ἐξοστρακιζομη cod.

CVIII. ΠΕΡΙ ΤΗΣ ΕΝ ΣΑΡΚΙ ΟΙΚΟΝΟΜΙΑΣ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ.

Τοῦ δὲ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατὰ σάρκα γεννηθέντος, εὐθὺς Αὔγουστος Καῖσαρ ἐκράτησε πάντων καὶ τὰς τοπαρχίας πάσας καὶ μερικὰς βασιλείας καταλύσας (ὡς ἔφην) τοῖς Ῥωμαίοις οἷαξι πάντας ὑπέταξεν. (2) Ὥσπερ καὶ Δαυὶδ προθεωρῶν καὶ προαναφωνῶν ἔψαλλε· «Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ θεοῦ, ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς, ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς, τόξον συντρίψει καὶ συνθλάσει ὅπλον καὶ θυρεοὺς κατακαύσει ἐν πυρί». (3) Ναὶ μὴν αἱ τοπαρχίαι καὶ αἱ μερικαὶ βασιλεῖαι κατελύθησαν, δι' ἃς οὐδὲ βραχείας εἰρήνης ἀπέλαβον οἱ ἄνθρωποι, ἀλλὰ πᾶσα χώρα καὶ πόλις ἔνοπλος τὰς ἐξαπίνως γενομένας ἐφόδους δειμαίνουσα.

(4) Ἐπὶ δὲ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ Δαυὶδ πάλιν λέγει· «Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης».

(5) (Τοιγαροῦν ἡ Ῥωμαίων βασιλεία τὰς μερικὰς βασιλείας, ὡς καὶ πολλάκις ἔφην, καταλύσασα καὶ μάχας) εἰρήνη, βαθεῖα πανταχοῦ γέγονε, (καὶ τὰς τῶν ἀνθρώπων ἀκοὰς εὐτρεπίσας τοῖς κηρύττουσι τὸν τῆς εἰρήνης πρύτανιν, ἀδεῶς λοιπόν, ὡς ἐν μιᾷ βασιλείᾳ, διέδραμον καὶ τὴν σωτήριον διδασκαλίαν τοῖς ἀνθρώποις προσήνεγκαν).

(6) Κατὰ μὲν οὖν τὴν ἱστορίαν οὕτως ἐκβέβηκε τὸ «ἀνταναιρῶν πολέμους» καὶ τὰ ἑξῆς· τροπικώτερον δὲ, εἴ τις θέλῃ νοῆσαι, ὄψεται τοῦ κατὰ τῆς ἐκκλησίας πολέμου τὴν παῦλαν. Φησὶ γάρ· «Ἐταράχθησαν ἔθνη, ἐκλίναν βασιλεῖαι· ἔδωκεν φωνὴν αὐτοῦ ὁ ὕψιστος, ἐσαλεύθη ἡ γῆ».

(7) Τῆς θείας γὰρ βοηθείας ἐπιφανείσης, νῶτα δέδωκαν οἱ πολέμιοι, καὶ αἱ πάλαι τἀναντία φρονοῦσαι βασιλεῖαι ὑπέκλιναν τὸν

---

2. Et haec rubrica in codice evanuit. — Ced. 315,4—7. — 3. τεχθ. Ced. — 5. θπαρχίας Ced. — πάντων cod. — 6. Ῥωμαίων Ced. — 7. Ps. XLVI. 8,9. — 15. Ps. LXXII. 7. — 18. Ced. 315,7. — 26. Ps. XLVI. 6. — 28. Ced. 315,7—12 Τῆς γὰρ θ. — 28. ἐπιφανείας cod. — 28. δεδώκασιν Ced.

αὐχένα καὶ τὸν σωτήριον λόγον ὑπεδέξαντο. Τῇ γὰρ ἀληθείᾳ καὶ τῇ τῶν πραγμάτων μαρτυρίᾳ (καὶ ταῖς παντοδαπαῖς θαυματουργίαις) οἷον τινὶ φωνῇ χρησάμενος ὁ θεὸς, τὸ οἰκεῖον ὕψος ὑπέδειξε (καὶ δέους αὐτῶν τὰς ψυχὰς ἐπλήρωσεν).

(8) Προειδὼς τοίνυν ὁ προφητικὸς λόγος τὴν Ἰουδαῖαν περὶ τὰς θείας γραφὰς παρερμηνείαν, ἀπόνοιάν τε καὶ ἀθέτησιν, ἔφη ὡς ἐκ προσώπου τοῦ προφητευομένου, ὥσπερ προασφαλιζόμενος αὐτοὺς καὶ λέγων· «Σχολάσατε καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ θεός· ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ». Ἡμῖν δὲ παραδηλῶν τίς οὗτός ἐστιν, καὶ ὥσπερ συνευφραινόμενος, ἐπάγει· «Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ (57[b]) ἡμῶν ὁ θεὸς Ἰακώβ». Τοῦ δὲ Ἰακὼβ τὴν μνήμην οὐχ ἁπλῶς ἐποιήσατο, ἀλλ' ἐπειδὴ πρῶτος ἐκεῖνος τὴν τῶν ἐθνῶν προεθέσπισε κλῆσιν. «Οὐκ ἐκλείψει, γράφει, ἄρχων ἐξ Ἰούδα ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς προσδοκία ἐθνῶν», μεταβολὴν κἀνταῦθα τῶν ἐθνῶν προθεσπίζων, εἰκότως τὸν [τοῦ] Ἰακὼβ θεὸν, τοῦ ταῦτα προειρηκότος, ἔφη ταῦτα κατορθωκέναι. Ὡσαύτως δὲ καὶ ὁ Χρυσόστομος φησίν· Οὐδὲν οὖν τῆς ἀνθρωπίνης θηριωδείας χεῖρον ἦν πρὸ τῆς Χριστοῦ παρουσίας. Ὥσπερ γὰρ ἐχθροὶ καὶ πολέμιοι πάντες πρὸς ἀλλήλους διακείμενοι, τοὺς ἑαυτῶν παῖδας ἔσφαζον, πατέρες καὶ μητέρες παισὶν ἐπεμαίνοντο· οὐδὲν ἦν ἑστηκὼς, οὐ φυσικὸς, οὐ γραπτὸς νόμος, ἀλλ' ἀνατέτραπτο πάντα· μοιχεῖαι γὰρ διηνεκεῖς καὶ φόνοι καὶ κλοπαὶ καὶ πᾶν εἶδος κακίας διεπράττετο καὶ εἰς ἀρετὴν ἐλογίζετο, πόλεμοι δὲ συνεχεῖς ἐπάλληλοι κατὰ τόπους καὶ χώραν καὶ κώμην καὶ οἰκίαν ἐγίνοντο καὶ εἰς ἀνδρείαν καὶ κλέος ἀνεκηρύττοντο. Καὶ μέντοι καὶ τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις θύοντες καὶ μαντευόμενοι, φαρμακεύοντες καὶ εἰδωλολατρεύοντες θεοσεβεῖν ἐνόμιζον. Τοῦ δὲ Κυρίου ἡμῶν ἐληλυθότος, ἀπηλέγχθησαν ταῦτα πάντα, ὡς θεοστυγῆ σαφέστατα, καὶ εἰρήνη βαθεῖα καὶ ἀρετὴ πλατεῖα ἐν τῷ κόσμῳ ἐμπολιτεύεται».

---

1. ζυγὸν Ced. — 5. Ced. 315,12. — ὁ θ̅ς̅ τὴν Ced. — Ἰουδαίων ἀπ. ἔφη διὰ τοῦ πρ. Σχ. Ced. — 8. Ps. XLVI. 10. — 10. Ps. XLVI. 13. — 13. Gen. XLIX. 10. — 15. τὴν μ. τῶν ἐ. κ. πρ. Ced. — 17. Locus ineditus? — 17. Οὐδεὶς cod.? — χείρων codex. — 24. τόπον?

CX. ΠΕΡΙ ΤΗΣ ΚΑΤΑΠΑΥΣΕΩΣ ΤΩΝ ΕΝΘΕΣΜΩΣ ΙΕΡΑΤΕΥΣΑΝΤΩΝ ΤΟΥ ΙΟΥΔΑ ΦΥΛΗΣ.

Τοιγαροῦν ἐν τῷ μα' ἔτει τῆς Αὐγούστου βασιλείας, ἐν τῷ ,εφ' * ἔτει ἀπὸ κτίσεως κόσμου, ἤρχϑη ὁ κατὰ Ἀντιοχείαν τῶν ἐτῶν ἀριϑμός· καὶ Ἡρώδου μὲν ἐξ ἐϑνῶν ἤδη βασιλέως τῆς Ἰουδαίας ἀνηγορευμένου καὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατὰ σάρκα γεννηϑέντος καὶ τοῦ Ἡρώδου κακῶς τὸν βίον μεταλλάξαντος, πεπλήρωται τό· «Οὐκ ἐπλείψει ἄρχων ἐξ Ἰούδα ἕως ἂν ἔλϑῃ ᾧ ἀπόκειται (καὶ αὐτὸς προσδοκία ἐϑνῶν)», ὅς ἐστι** Χριστός. Ἐπειδὴ γὰρ αὐτὸς ὁ Ἡρώδης, ἀλλόφυλος ὢν (καὶ) περιτμηϑείς, ἦρξε τῶν Ἰουδαίων καὶ ἀρχιερέα κατέστησεν ἀλλογενῆ τὸν Ἀνάνιλον, εὐϑὺς ἐπαύϑη, κατὰ τὴν ϑείαν πρόῤῥησιν, ἡ ἐξ Ἰούδα ἀρχὴ μέχρι τότε κρατήσασα· οἱ γὰρ ἱερεῖς προεστήκασι τῶν πραγμάτων ἄχρις οὗ Πομπήϊος, ὁ Ῥωμαίων στρατηγός, ἐπιστὰς, τὴν μὲν Ἱερουσαλὴμ κατὰ κράτος πολιορκεῖ, μιαίνει δὲ τὰ ἅγια (ἄχρι τῶν ἀδύτων εἰσελϑὼν τοῦ ἱεροῦ). Τῶν δὲ ἐκ τῆς προγόνων διαδοχῆς μέχρις ἐκείνου τοῦ καιροῦ διαρκεσάντων, βασιλέα τε ὁμοῦ καὶ ἀρχιερέα Ἀριστόβουλον, δέσμιον εἰς Ῥώμην ἐκπέμψας, Ὑρκανὸν, τὸν Ἀριστοβούλου ἀδελφὸν, ἀνέδειξεν ἀρχιερέα. (2) Οὗτος δὲ φιλίαν εἶχε πρὸς Ἀντιπατρόν τινα Ἀσκαλωνίτην, τὸν πατέρα Ἡρώδου, ὃν κατέστησεν ἐπίτροπον τῆς χώρας. Ἦν δὲ Ἡρώδης, ὁ υἱὸς αὐτοῦ, ἱκανὸς πρὸς πράγματα παὶ πολλοὺς ληστάρχας κατέστειλε. (3) Τοῦ δὲ Ὑρκανοῦ ὑπὸ Πάρϑων αἰχμαλωτισϑέντος καὶ Ἀντιπάτρου δωλοφονηϑέντος καὶ μηδενὸς ὄντος τοῦ ἀντεχομένου τῶν πραγμάτων, ἐπεπήδησε τῇ ἀρχῇ ὁ Ἡρώδης παῖς, πολλὰ χρήματα δοὺς τοῖς Ῥωμαίοις ὑπὸ σπονδῶν αὐτῶν γενόμενος.

---

3. Ced. 315,22—316,17. — * ς' Ced. — 4. κατὰ χριστιανοὺς? — 6. Ἡρώδ. — βασιλ. — ἀνηγορευμ. cod. Ἡρώδης — βασιλεὺς — ἀνηγορευμένος Ced. — 7. διαλλ. Ced. — ** ὁ Ced. — 10. ἀπερίτμητος? — 13. προεστήκα cod. προειστήκειαν Ced. — 15. πολιορκή. cod. — 17. τὸν δὲ — διαρκέσαντα Ced. — 18. ἐπὶ Ced. — 18. ἐκπ. τὸ πᾶν ἔϑνος Ῥωμαίος ὑπόφορον κατέστησε ex CXI. 2, Ced. — 19. Versio Serb. haec habet usque ad CXI. 3, sed desunt in Bulg. — 22. Ced. 319,8—10? — 26. ὑπόσπονδος? αὐτῷ codex.

CX. ΑΥΓΟΥΣΤΟΣ Ο ΒΑΣΙΛΕΥΣ ΑΠΑΡΑΣ ΕΙΣ ΑΙΓΥΠΤΟΝ.

28 (5173) Αὐγούστου γὰρ Καίσαρος ἀπάραντος εἰς Αἴγυπτον μετὰ στρατιᾶς ὅτι μάλιστα πλείστης εἰς τὸν κατὰ Κλεο(58ᵃ)πάτρας πόλεμον, εἰς ἣν περιέστη τὰ τῆς ἀρχῆς Αἰγύπτου, γένους μὲν οὖσαν τῶν Πτολεμαίων, ὑπήντησεν αὐτῷ Ἡρώδης παρέχων αὐτῷ οὐ τὴν τυχοῦσαν λειτουργίαν ἐν τοῖς στρατεύμασι καὶ ἀναλώμασι. Χειρωσάμενος δὲ τὴν Κλεοπάτραν τῷ ιδʹ ἔτει τῆς βασιλείας αὐτοῦ, ἐπανερχόμενος ἐπὶ τὴν Ῥώμην ὡς εὐνοήσαντα τὸν Ἡρώδην μετὰ τῆς ὅλης συγκλήτου ἀναδείκνυσι βασιλέα τῆς Ἰουδαίας, περιθεὶς αὐτῷ τὸ διάδημα. Οὕτως ἐπιβὰς τοῖς Ἱεροσολύμοις, καὶ τῶν Ἰουδαίων μὴ βουλομένων δέξασθαι αὐτὸν ὡς ἀλλόφυλον ὄντα, πολλοὺς ἐξ αὐτῶν κατέσφαξε, λαφυραγωγήσας τὴν πόλιν καὶ τὸ ἱερόν, πονηρῶς δὲ χρησάμενος τῇ ἐξουσίᾳ, πάσας τῶν φυλῶν καὶ τῶν γενεῶν ἀναγραφὰς τὰς ἀπὸ τοῦ Ἔσδρα ἀποκειμένας, πυρὶ κατέκαυσε πρὸς τὸ μηκέτι γνωσθῆναι τοὺς Ἰουδαίους ἐκ ποίας πατρίδος εἰσὶν καὶ τίνες οἱ λεγόμενοι γηῶραι· καὶ τὴν ἱερατικὴν δὲ στολὴν ὑπὸ τὴν ἰδίαν σφραγίδα ἀπέθετο. Καὶ λοιπὸν ἀδεῶς ἀσήμοις τισὶν ἐπὶ χρήμασιν ἱκανοῖς τὴν ἀρχιερωσύνην ἐπίπρατο.

6. a. Ch. n. (5195) (2) Ἔτους δὲ μβʹ Καίσαρος Αὐγούστου ἐξῆλθε παρ' αὐτοῦ δόγμα ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην· (αὐτὴν δὲ τὴν φορολογίαν, ὡς εὐνούστατος, καὶ μεγίστῳ τῆς συγκλήτου ἐνεχείρισε Κυρήνῳ, ὃν καὶ κατέστησε ἡγούμενον Συρίας ἤτοι τῆς Ἰουδαίας, τὸ πᾶν Ἰουδαίων ἔθνος Ρωμαίοις ὑπόφορον κατέστησεν). (3) (Καὶ οὕτω πρῶτος ἀλλόφυλος Ἡρώδης, ὡς ἔφην, τὸ τῶν Ἰουδαίων ἔθνος ἐγχειρίζεται καθ' [ὃν καιρὸν] ἐναργῶς, τῆς Χριστοῦ παρουσίας ἐνστάσης, ἐξέλιπον (εἰκότως) οἱ τῶν Ἰουδαίων ἀρχιερεῖς (τε) καὶ ἡγούμενοι (κατὰ τὴν ἱερὰν χρησμολογίαν). (4) Καὶ γὰρ οἱ ἱερεῖς ἐξ Ἰουδαίων ἦσαν κατὰ μητέρα, ἐπείπερ ὁ μέγας Ἀαρὼν

---

1. Haec rubrica in codice evanuit. — 16. γέωρες cod. sed cf. Ies. XIV. 1 καὶ ὁ γηώρας (גֵּר) προστεθήσεται πρὸς αὐτούς. — 19. Cod. 321.1—2. — 21. εὐνούστατον codex, εὐνουστάτῳ vel ἐνουσιώτατον? — 24. Cod. 316,14—17. — 24. οὗτος codex. — 25. Ἰουδαῖον Cod. — 26 et 28. ἐκ τοῦ Ἰούδα?

τὴν τοῦ Ἀμιναδὰμ θυγατέρα ἠγάγετο γυναῖκα. καὶ κατὰ τοσοῦτον συγγενεῖς ὑπῆρχον οἱ ἐξ Ἰούδα καὶ Λευί, ὅθεν ἡ ἐκ τοῦ Ἀαρὼν Ἐλισάβετ συγγενὴς εἴρηται τῆς θεοτόκου Μαρίας).

(5) Ἐκλειπόντων οὖν τῶν παρὰ Ἰουδαίοις ἀρχιερέων, Ἡρώδης ἀλλόφυλος τυγχάνων, βασιλεύς, ὡς εἴρηται, τῶν Ἰουδαίων καθίσταται, καθὼς, τῆς Χριστοῦ γεννήσεως πλησιαζούσης, ἡ ἐκ προγόνων τῆς ἀρχιερωσύνης κατελύθη διαδοχὴ, καὶ ὁ προφητευόμενος παρὰ τῷ Δανιὴλ ἡγούμενος λαμβάνει τέλος. Χριστοὶ γὰρ ἡγούμενοι ἦτοι ἀρχιερεῖς ἦσαν μέχρις Ἡρώδου, ἀρξάμενοι μὲν ἀπὸ τῆς κατὰ Δαρεῖον ἀνανεώσεως τοῦ ἱεροῦ, λήξαντες δὲ ἐπὶ Ὑρκανὸν ἔτεσι υπγ'.

(6) Ὡς καὶ Δανιὴλ θεσπίζει λέγων· «Καὶ γνώσῃ καὶ συνήσεις ἀπὸ ἐξόδου λόγου τοῦ ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι τὴν Ἱερουσαλὴμ ἕως Χριστοῦ ἡγουμένου, ἑβδομάδες ζ' καὶ ἑβδομάδες ξβ'» (7) Τοσοῦτον γὰρ αἱ ὁ ἑβδομάδες ποιοῦσι χρόνον, ἡμέρας ἑκάστης εἰς ἐνιαυτὸν λαμβανομένης — «Καὶ ἐπιστρέψει καὶ οἰκοδομηθήσεται πλατεῖα καὶ περίτειχος, καὶ ἐκκενωθήσονται οἱ καιροί». (8) Αἱ (γὰρ ἑβδομάδες) συμπληροῦσιν ἔτη υπγ', ὅσα τὰ τῆς ἀρχῆς ὑπάρχει τῶν Χριστῶν ἡγουμένων, ὧν τελευταίου Ὑρκανοῦ ὑπὸ Πάρθων αἰχμαλωτισθέντος, Ἡρώδης ἀπ' Αὐγούστου παραλαμβάνει τὴν βασιλείαν, μεθ' ὃν οἱ τούτου παῖδες μέχρι τῆς ὑστάτης Ἱεροσολύμων πολιορκίας. «Οὐκέτι γὰρ ἐκ διαδοχῆς (58[b]) τοῦ ἀρχιερατικοῦ γενους τῶν Ἰουδαίων καὶ Ἀσαμωναίων ἤτοι Μακκαβαίων, ὥς φησιν Ἰώσηπος, ἱερῶνται τῷ θεῷ οὐδ' αὖ πάλιν οἱ διὰ * ἐνιαύσιοι, οἱ δὲ ἐπ' ὀλίγῳ παρὰ τῶν Ῥωμαίων τὴν ἱερωσύνην ὠνούμενοι. Διὸ καὶ Δανιὴλ προφητεύει λέγων· «Καὶ μετὰ τὰς ζ' καὶ τὰς ξβ' ἡμέρας ἐξολοθρευθήσεται χρίσμα, καὶ κρῖμα οὐκ ἔσται καὶ τὰ ἑξῆς.

(9) Διέλυσε δὲ τὰς ὁ ἑβδομάδας οὕτως· τὰς μὲν ζ' μετὰ τὴν ἐπάνοδον τῆς αἰχμαλωσίας ἕως τῆς οἰκοδομῆς τοῦ ναοῦ, τὰς δὲ

---

11. Ced. 319,3—7 Διὸ καὶ Δ. προφητεύει, Dan. IX. 25. — 12. λόγων Ced., sed דָּבָר — Dan. 12. ὁ. Ἰ. Dan. Ced. — 13. om. versio Balg. et Serb. — 15. Dan. IX. 25. — 16. τεῖχος Dan. — 16. Ced. 319,9—17. — 18. χριστιανῶν cod. — 21. Jos. A. XX. 10 οὐκέτι τοῖς ἐκγόνοις τῶν Ἀσαμωναίου παίδων τὴν ἀρχιερωσύνην ἐπίστευσεν cf. 11. — ἀλλ' ἄσημοί τινες οἱ μὲν ἐν Ced. — * παντὸς? — 23. θεῷ. — 24. ἐπὶ λόγῳ Ced. — 25. Dan. IX. 26 Καὶ μετὰ τὰς ἑβδομάδας τὰς ξβ'. — 28. Ced. 319,16 Διέλης δὲ τὰς ξ' — 22 (534—485 et 485—517)

ξβ' συναπτομένας ταῖς ζ' εἰς τὸν χρόνον, ὃν κατέσχον οἱ Χριστοὶ ἡγούμενοι (διὸ καὶ «ἐξολοθρευθήσεται χρίσμα»). Τὴν δὲ μίαν ἑβδομάδα, καθ' ἣν ὁ Κύριος ἐκήρυξε τὴν καινὴν διαθήκην, ἧς ἑβδομάδος ἐν τῷ ἡμίσει ἦλθεν ἐπὶ τὸ σωτήριον πάθος καὶ ἤρθη ἐκ μέσου ἡ διὰ Μωϋσέως παραδεδομένη διαθήκη. (10) Καὶ ταῦτα μὲν Εὐσέβιος. Ὁ δὲ Θεοδώρητος αὖθις ἔφη ἐν τῇ αὐτοῦ ἑρμηνείᾳ τῇ περὶ τοῦ Δανιήλ· Αὕτη «δυναμώσει διαθήκην πολλοῖς ἑβδομὰς μία. Καὶ ἐν τῷ ἡμίσει τῆς ἑβδομάδος ἀρθήσεται θυσία καὶ σπονδὴ καὶ ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῆς ἐρημώσεώς ἐστιν». (11) Ἐν γὰρ ταύτῃ ἡ καινὴ διαθήκη δέδοται τοῖς πιστεύουσιν, καὶ δυνάμεως πάσης αὐτοὺς ἐπλήρωσε, ἐπείπερ, μεσούσης τῆς ἑβδομάδος ταύτης, ἡ κατὰ νόμον ἤρθη θυσία τῆς ἀληθινῆς προσφερομένης. (καὶ οὐ μόνον ἡ θυσία ἐκείνη παυθήσεται.) σημεῖον τῆς ἐρημώσεως ὑπέφηνε (γενέσθαι, εἰκόνες τινὲς ἀπηγορευμέναι τῷ νόμῳ εἰς τοῦτο εἰσκομιζόμεναι καὶ γὰρ τοῦτο πεποίηκε Πιλάτος, νύκτωρ εἰς τὸν ναὸν τὰς βασιλικὰς εἰσκομίσας εἰκόνας παρὰ τὸν νόμον — ὅπερ δὴ καὶ) ὁ Κύριος εἶπεν· «Ὅταν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως τὸ ῥηθὲν διὰ τοῦ προφήτου Δανιήλ», γινώσκετε· «ὅτι ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς». (Ταῦτα δὲ λέγων ἐσήμαινε τὸ τέλος τῆς καταλειψομένης αὐτοὺς ἐρημώσεώς τε καὶ πανολεθρίας). Καὶ ἵνα μὴ νομίσωσιν οἱ Ἰουδαῖοι πάλιν ἀπολήψεσθαι τὸν ναὸν καὶ τὴν πόλιν (καὶ τὴν προτέραν εὐπρέπειάν τε καὶ δόξαν), ἐπήγαγε «καὶ ἕως συντελείας καιροῦ, συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν». ἕως γὰρ, φησί, τῆς τοῦ κόσμου συντελείας, ἡ τῆς ἐρημώσεως συντέλεια μένει, μεταβολὴν οὐ δεχομένη. Τοῦτο καὶ Δαυὶδ ἔφη· «Ἐν ὀργῇ συντελείας, καὶ οὐ μὴ ὑπάρξουσιν καὶ γνώσονται, ὅτι (ὁ θεὸς) δεσπόζει τοῦ Ἰακὼβ καὶ τῶν περάτων τῆς γῆς». Οἵ γε μᾶλλον γνώσονται, ὅταν ἴδωσι «τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ». (τότε γὰρ ὄψονται

---

5. Καὶ τ. μὲν Ἐ. om. Ced. — 7. Ced. 319,22—320,3. — Καὶ αὖθις καὶ δυν. cf. Theodoreti p. 588[a]. Dan. IX. 27. — 9. βδ. τῶν ἐρημώσεων Dan. βδ. ἐρημώσεως δοθήσεται καὶ ἐπὶ τὴν ἐρήμωσιν Ἱερουσαλὴμ Ced. — 9. Ced. 334,9—24. Ἐν γὰρ τ. τῇ ἑβδομάδι διαθ. δ. κ. — * τε Ced. — 13. σημεῖα δὲ Ced. — προϋπέφηνε λέγων ὁ κς. Ced. — 17. Mt. XXIV. 15. — 18. Luc. XXI. 20. — ἐγγὺς Ced. — 22. ἐπαγει Ced. Dan. IX. 27. — 25. Ps. LIX. 13. — 27. Καὶ τότε μ. Ced. — 27. Mt. XXIV. 30, Io. XX. 37, Zach. XII. 10.

κατὰ φυλὰς φυλάς, τότε «ὄψονται εἰς ὃν ἐκέντησαν»). (12) Ἰστέον δὲ ὡς Ἑβραῖοι κατὰ τὸν τῆς σελήνης δρόμον ἀριθμοῦντες τὸν ἐνιαυτὸν, ἡμέρας ια' περισσοτέρας ἀποφαίνουσιν, ἃς ἡμεῖς ἐμβολίμους καλοῦμεν· ὁ γὰρ τῆς σελήνης δρόμος ἐν ἡμέραις κθ' καὶ ὥραις ς' συμπληροῦται· οὕτω δὲ καὶ οἱ ἀριθμοῦντες ἡμερῶν τνδ' ποιοῦσι τὸν ἐνιαυτόν· (ἐπεὶ οὖν ὁ ἀρχάγγελος Γαβριὴλ πρὸς τῷ μακαρίῳ Δανιὴλ διαλεγόμενος ἀνδρὶ Ἑβραίῳ καὶ τὸν ἀριθμὸν τῶν ἐτῶν διδάσκων, τὸν συνήθη πάντως ἀριθμὸν ἔλεγεν, ἀναγκαίως οὖν δεῖ προστιθεῖναι τὰ ὑπὸ τῶν ἐμβολίμων ἔτη συναγόμενα. Τούτων γὰρ προστιθεμένων, υπγ' ἔτη εὑρεθήσονται κατα τὸν Ἰουδαϊκὸν ἀριθμόν). (13) Τοσαῦτα δὲ συνάγουσιν αἱ ζ' καὶ ξβ' ἑβδομάδες· διεῖλε δὲ αὐτὰς οὐχ ἁπλῶς, ἀλλὰ πραγμάτων τινῶν προσημαίνων μεταβολήν· οὐκοῦν ἀπὸ μὲν τῆς οἰκοδομῆς Ἱερουσαλὴμ, ἥτις ἐγένετο ἐπὶ Νεεμίου (59ª) καὶ Ἔσδρου μέχρις Ὑρκανοῦ τοῦ τελευταίου ἀρχιερέως ἐκ τῶν Ἀσαμωναίων ἦγουν Μακκαβαίων, ὃν Ἡρώδης ἀνεῖλεν, ὁ τῶν ξβ' ἑβδομάδων ἀριθμὸς συμπληροῦται; ἀπὸ δὲ τῆς Ἰούδα σφαγῆς μέχρι τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιφανείας καὶ τῆς πρὸς Ἡρώδην τῶν Μάγων ἀφίξεως αἱ λοπαι ζ' ἑβδομάδες τὸ τέλος λαμβάνουσιν, ἐν ᾧ χρόνῳ, μετὰ τὴν ἀναίρεσιν Ὑρκανοῦ φημι, μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας παρανόμως λοιπὸν οἱ ἀρχιερεῖς ἐγίνοντο· τοῦ γὰρ νόμου κελεύοντος διὰ βίου παντὸς τοὺς ἀρχιερεῖς ἱερατεύειν καὶ μετὰ τελευτὴν διαδόχων τοὺς διαδόχους, λαμβάνει Ἡρώδης καὶ οἱ μετ' ἐκεῖνον Ρωμαῖοι *, ὧν οἱ τὰς ἀρχιερωσύνας ποιησάμενοι συχνὰς αὐτῶν ἐποίουν τὰς διαδοχάς, ἐνίους δὲ οὐδὲ ἐκ τοῦ Ἑβραϊκοῦ γένους καταγομένους ἀρχιερεῖς προεχειρίζοντο. (14) Καὶ τοῦτο δηλῶν Ἰώσηπος ἔφη· «Τὴν δὲ βασιλείαν Ἡρώδης παρὰ Ῥωμαίων ἐγχειρισθεὶς, οὐκέτι τοὺς ἐκ τῶν Ἀσαμωναίου γένους — οὗτοι δὲ ἦσαν οἱ καλούμενοι Μακκαβαῖοι — καθίστησιν ἀρχιερεῖς ἀλλὰ τισὶν ἀσήμοις καὶ μόνον ἐξ ἱερέων οὖσι τὴν ἀρχιερωσύνην ἀπένειμε». (15) «Καὶ μετὰ τὰς ξβ' ἑβδομάδας, φησὶν, ἐξολοθρευθήσεται χρίσμα καὶ κρῖμα οὐκ ἐστὶν ἐν αὐτῷ», ὡς ἵνα δηλονότι τὰς ξβ' ἑβδομάδας πρό-

---

1. Ced. 343,18—24 e Theodoreto ed. Col. 1573, p. 387. — 11. Theodoretus l. c. — 16. Act. V. 37. — * ἀλλοτρίους? — 26. Ios. A. XX. 10, Theodoretus. — 29. ἑβραίοις cod.? πλὴν ἑνὸς Ἀριστοβούλου τὴν τιμὴν ἀπ. Ios. — 29. Dan. IX. 26, Theodoretus.

τερον τέταχε καὶ μετὰ ταῦτα τὰς ζ', ἐν αἷς ἔφησαν. «ἐξολοθρευτήσεται χρίσμα» τούτεστι τὴν ἐπανθοῦσαν χάριν τοῖς ἀρχιερεῦσι· καὶ ἐπειδὴ καὶ οἱ παρανόμως χριόμενοι ἀρχιερεῖς ὀνομάζονται, εἰκότως ἐπήγαγε· «καὶ κρῖμα οὐκ ἔστιν ἐν αὐτῷ». εἰ γὰρ καὶ ἐχρίοντο, φησίν, ἀλλὰ παρανόμως καὶ παρ' ἀξίαν· (καὶ ἀνωτέρως δὲ δῆλον πεποίηκε, ὡς τὰς ζ' ἑβδομάδας τελευταίας τέταχεν. «ἕως γὰρ, φησὶ, χριστοῦ ἡγουμένου ἑβδομάδες ζ' καὶ ἑβδομάδες ξβ'») τῷ γὰρ ἡγουμένῳ Χριστῷ καὶ σωτῆρι τὰς ζ' πολλαπλησιαζούσας ἑβδομάδας τέθεικε, ἵνα γνῶμεν ὡς ἀπὸ τοῦ Χριστοῦ καὶ ἐπὶ τὰ ἄνω ἀριθμεῖν βουλόμενοι, τὰς ζ' πρότερον ἑβδομάδας εὑρήσωμεν καὶ τότε τὰς ξβ'. Εἶτα λέγει καὶ τὴν μέλλουσαν ἐρήμωσιν τῆς πόλεως καὶ τὴν παράνομον ἀρχιερωσύνην φάσκων· «καὶ τὴν πόλιν καὶ τὸ ἅγιον διαφθερεῖ σὺν τῷ ἡγουμένῳ τῷ ἐρχομένῳ». ἡγούμενον γὰρ ἐρχόμενον τὴν ἀλλόφυλον ἔφη βασιλείαν καὶ τὴν παράνομον ἀρχιερωσύνην». (16) Οὕτω γε μὴν καὶ ὁ θεῖος Κύριλλος Ἱεροσολύμων ἔφη· «Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, φησὶν, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται». — Σημεῖον οὖν ἔδωκε τῆς Χριστοῦ παρουσίας τὸ παύσασθαι τὴν ἀρχὴν τῶν Ἰουδαίων· εἰ γὰρ μὴ νῦν ὑπὸ Ῥωμαίους εἰσὶν, οὔπω ἦλθεν ὁ Χριστός· εἰ ἔχουσι τὴν ἐκ γένους Ἰούδα καὶ Δαυὶδ εἰς ἄρχοντα, οὔπω ἦλθεν ὁ προσδοκώμενος — «ὁ δεσμεύων πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ» κατὰ τὸν θεῖον Ζαχαρίαν. Ἐκλειπόντων τοίνυν τῶν ἐξ Ἰούδα — ὁ ἀλλόφυλος Ἡρώδης βασιλεύει· λέγει γὰρ καὶ ὁ προσδιαλεγόμενος ἄγγελος τῷ Δανιήλ· «Καὶ γνώσῃ καὶ συνήσεις ἀπὸ ἐξόδου λόγου τοῦ ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι τὴν Ἱερουσαλὴμ ἕως Χριστοῦ ἡγουμένου ἑβδομάδες ζ' καὶ ἑβδομάδες ξβ'· ἑξηκόντα τοίνυν καὶ θ' ἑβδομάδες * ἐτῶν συνάγουσιν ἔτη υπγ'. Εἶπεν οὖν **, μετὰ τὸ οἰκοδομηθῆναι Ἱερουσαλὴμ υπγ' ἔτη διῆλθον, καὶ τῶν ἀρχόντων ἐκλιπόντων ***, ἄρχεταί τις ἀλλόφυλος βασιλεὺς, ἐφ' οὗ γεννᾶται Χριστός. Δαρεῖος γοῦν ὁ Μῆ-

---

5. καὶ — ξβ' om. Bulg. — 7. Dan. IX. 25. — 12. Dan. IX. 26. — 15. XII. 171 B. — 18. εἰ μὴ Cyr. — 19. ἐ. τινα ἐκ? — 20. καὶ τοῦ Δαυὶδ οὔπω Cyr. — 21. Gen. XLIX. 11. — 22. ἐκλείποντα — τὸν cod. — 24. λ. τοίνυν ὁ πρὸς τὸν Δ. ὁμιλῶν ἀγγ. Cyr. Dan. IX. 25. — 26. ἐξ. τ. καὶ θ'. ἑβδ. om. Slav. — * τῶν Cyr. — 27. Ἐπεὶ οὖν cod. — ** ὅτι Cyr. — 27. οἰκοδομῆσαι cod. — 28. ἐτῶν διελθόντων Cyr. — *** τότε Cyr.

δος (59[b]) ἐκέλευσε τὴν Ἱερουσαλὴμ οἰκοδομηθῆναι ἕκτῳ ἔτει τῆς ἑαυτοῦ βασιλείας καὶ α' ἔτει τῆς καθ' Ἕλληνας ξς' Ὀλυμπιάδος. Ὀλυμπιὰς δὲ παρ' Ἕλλησι καλεῖται ὁ κατὰ δ' ἔτη συντελούμενος ἀγὼν διὰ τὴν κατὰ τετραετίαν τῶν τοῦ ἡλίου δρόμων ἐκ τῶν κατ' ἔτος τριῶν ὡρῶν συμπληρουμένην ἡμέραν. Ἡρώδης δὲ βασιλεύει ἐν τῇ ρπγ' Ὀλυμπιάδι, τεταάρτῳ ἔτει ταύτης. Ἀπὸ οὖν τῆς ξς' εἰς τὴν ρπγ' γίνονται μεταξὺ ρκ' Ὀλυμπιάδες καὶ ὀλίγον τι. Συνάγονται τοίνυν τῶν ρκ' Ὀλυμπιάδων ἔτη υπ'· τὰ γὰρ * γ' ἔτη λοιπόν, ἴσως ἐν τοῖς μεταξὺ τοῦ πρώτου καὶ τοῦ δ' ἀναλαμβάνεται». Αἱ τοίνυν ο' ἑβδομάδες εἰς τὸν ἐπὶ Χριστοῦ συντελοῦνται χρόνον κατὰ τοὺς Ἰουδαίων ἀριθμούς. (17) Ἐκεῖνοι γὰρ κατὰ τὸν σεληνιακὸν δρόμον τοὺς ἐνιαυτοὺς ἀριθμοῦσιν, ὡς ἔτι πρόχειρον εἰπεῖν τὸν τελευταῖον μῆνα εἶναι παρ' αὐτοῖς ἡμερῶν κθ' καὶ τοῦ μὲν ἡλιακοῦ κύκλου ὑπάρχοντος τξε', τοῦ δὲ σεληνιακοῦ τνδ', ὡς τῷ ἡλιακῷ παραλλάσσειν ἐνιαυτῷ ἡμέρας ια', τὸν δὲ σεληνιακὸν ἐνιαυτόν, ὅθεν Ἕλληνες καὶ Ἰουδαῖοι μῆνας γ' ἐμβολιμαίους ἔτεσιν ὀκτὼ παραβάλλουσιν.

(18) Καὶ πάλιν ἔφη ὁ μακάριος Κύριλλος· «Εἰ τοίνυν ζητεῖς τὸ αἴτιον τῆς Χριστοῦ παρουσίας, ἀνάδραμε ἐπὶ τὸ πρῶτον τῶν γραφῶν βιβλίον· «Ἐν ἓξ ἡμέραις ἐποίησεν ὁ θεὸς τὸν κόσμον, ἀλλ' ὁ κόσμος διὰ τὸν ἄνθρωπον», — τῇ ς' ἡμέρᾳ τὸν ἄνθρωπον· εἶτα ἔθηκεν αὐτὸν ἐν παραδείσῳ· εἶτα τοῦτον ἐξέβαλε φθόνῳ διαβολικῷ· «μὴ τολμήσας αὐτῷ διὰ τὸ ἰσχυρὸν προσελθεῖν, προσῆλθε τῇ γυναικί, ὡς ἀσθενεστέρᾳ, ἔτι παρθένῳ οὔσῃ. Μετὰ γὰρ τὴν ἐκ παραδείσου ἀπόπτωσιν, ἔγνω Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ δεύτεροι γεγόνασι διάδοχοι τῆς ἀνθρώπων γενεᾶς Κάϊν καὶ Ἄβελ· καὶ Κάϊν ἀνθροποκτόνος πρῶτος. Καὶ κατακλυσμὸς ἐπεχύθη ὕστερον

---

2. Δ. τοίνυν ὁ M. ᾠκοδόμησεν ἐ. μὲν ἐ. τῆς ἐ. β. πρ. δὲ Cyr. — 2. et 6. κς' cod., sed sextus Darii annus (516?) Eusebio cadit in Ol. 65, 2. In margine: τί Ὀλυμπιάς; — 3. συντελουμένην Cyr. — 6. ἐν τῇ ρπς' Ὁ. Cyr. ἐν ἔτει ρπγ' τῇ cod.; Eusebii est 186,4 — Ἀπὸ τοίνυν τῆς Cyr. — 7 ρπς'? — * ἕτερα Cyr. — 11. Ced. 343, 18—24? — 16. ὡς τὸν σ. ἐν. π. ἡμ. ια' δ'? cf. Ced. τὴν κατὰ σελήνην δωδεκάμηνον π. ἡμ. ια' δ'. — 18. XII. p. 165 C. — 19. τῆς χῦ π. τὸ ἀ. Cyr. Sequentia usque ad οὔσῃ om. Slav. quamvis ad integritatem locutionis necessaria. — 20. Ex. XX. 11, Gen. II, 2. — 23. διὰ τὸ ἐ. πρ. τῷ ἀνδρὶ Cyr. — 24. ὡς ἀ. τῇ γ. Cyr. — 25. ἀπ. ἐκ π. τότε Cyr. — 26. ἀ. δ. Cyr. — πρ. κ. ὑ. ἐπ. Cyr.

διὰ τὴν πολλὴν τῶν ἀνθρώπων πονηρίαν, καὶ πῦρ οὐρανόθεν κατῆλθεν ἐπὶ Σοδομιτῶν αἰσχρουργίᾳ. Ἐξελέξατο μετὰ χρόνους ὁ θεὸς τὸν Ἰσραὴλ, ἀλλὰ καὶ οὗτος διεστράφη καὶ ἐτραυματίσθη»— «Ἀπεσταλήσαν προφῆται μετὰ Μωϋσέα θεραπεῦσαι τοῦτο, ἀλλ' ἰατρεύσαντες ἀπεθρήνουν, μὴ περιγενόμενοι τοῦ πάθους, ὥστε λέγειν αὐτῶν τινά· «Οἴμοι, ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς καὶ ὁ κατορθῶν ἐν ἀνθρώποις οὐκέτι». Καὶ πάλιν· «Πάντες ἐξέκλιναν, ἅμα ἠχρείωθησαν, οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός». Καὶ πάλιν· «Ἀρὰ καὶ κλοπὴ καὶ μοιχεία καὶ φόνος ἐκκέχυται ἐπὶ τῆς γῆς». «Τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας ἔθυσαν τοῖς δαιμονίοις». «Οἰωνίζοντο καὶ ἐφαρμακεύοντο»—«Καὶ ἁπλῶς μέγιστον ἦν τὸ θραῦμα τῆς ἀνθρωπότητος ἀπὸ ποδῶν ἕως κεφαλῆς — οὐκ ἦν μάλαγμα ἐπιθεῖναι οὔτε ἔλαιον οὔτε καταδέσμους. Εἶτα οἱ προφῆται δεινῶς ἀποκλαιόμενοι καὶ ἀποροῦντες ἔλεγον· «Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριαν τοῦ Ἰσραήλ»; — καὶ πάλιν· «Κύριε, κλῖνον οὐρανοὺς καὶ κατάβηθι»· ὑπερβαίνει γὰρ τὴν ἡμετέραν ἰατρείαν τὰ τῆς ἀνθρωπότητος τραύματα». — «Τοὺς προφήτάς σου ἀ(60ª)πέκτειναν καὶ τὰ θυσιαστήριά σου κατέσκαψαν»· ἀδιόρθωτον ἡμῖν τὸ κακόν. σοῦ λοιπὰν δεῖται τοῦ διορθωτοῦ καὶ σωτῆρος. Ἐπακούσας οὖν τῆς δεήσεως τῶν προφητῶν ὁ Κύριος κατῆλθε φάσκων· «Ἰδού, ἔρχομαι καὶ κατασκηνώσω ἐν μέσῳ ὑμῶν». (19) «Καὶ ἔσομαι πάντων θεὸς, καὶ αὐτοὶ ἔσονταί μοι λαός. Καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πλησίον αὐτοῦ καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ· «γνῶθι τὸν Κύριον», ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλου, ὅτι ἵλεως ἔσομαι ταῖς ἁμαρτίαις καὶ ἀδικίαις αὐτῶν».

(20) Ὁ δέ γε πρῶτος Ἡρῴδης, ὁ υἱὸς Ἀντιπάτρου, ἔσχεν υἱοὺς δ', Ἀρχέλαον καὶ Ἡρῴδην καὶ Φίλιππον καὶ Λυσανίαν, οἱ τετράρχαι, διὰ τὸ ἕκαστον αὐτῶν ἔχειν τὸ οἰκεῖον μέρος τῆς βασιλείας. (21) Ἦν δὲ Ἡρῴδης κατ' ἐκεῖνον τὸν καιρὸν ἐκβαλὼν τὴν ἰδίαν

1. διὰ τὴν τῶν ἀ. π. πον. πῦρ Cyr. — 2. Σ. διὰ τὴν παρανομίαν Cyr. — 4. 5. τὸν Ἰσραὴλ Cyr. — 5. ἀπεκλαίοντο Cyr. — 5. ὡς Cyr. — 6. Micha. VII. 2. — 7. Ps. LIII. 3. — 9. Os. IV. 2. — 10. Ps. CVI. 37. — 11. 2 Par. XXXIII. 6. — 13. κρ. ἀπ. καὶ κάμνοντες ἀλ. Cyr. Ps. XIII. 8.—14. Ps. CXLIV. 6.—1 Regg. XIX. 10.—19. σοῦ δ. δ. Ἐπήκουσε τῆς Cyr. — 20. ὁ κς εἶρηκε Ἰ. ἐγὼ ἐ. Cyr. Zach. II. 10.—σου Cyr.—Ier. XXXI. 33—36. Haec jam non a Cyrillo sunt, sed a Georgio laudata.—26. Slavonicus haec omisit inde ab ἔσχεν, verbis similibus c. 22 prosecutus.—29. Ἐπὶ τούτου ὁ πρόδρομος ἀπεκεφαλίσθη Glossa codicis. Ced. 323,3—21. Totum caput om. Slav.

γυναῖκα, θυγατέραν οὖσαν Ἀρέτα τοῦ βασιλέως Ἀραβίας, περὶ οὗ ὁ Παῦλος ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ μνήμην ἐποιήσατο, καὶ λαβὼν Ἡρωδιάδα, τὴν γυναῖκα Φιλίππου, τοῦ ἀδελφοῦ αὐτοῦ, δι' ἣν καὶ τὸν πρόδρομον ἀνεῖλεν, ἀλλ' οὐκ εἰς μακράν, τὴν δίκην εἰσεπράξατο τῶν τολμηθέντων. Ἡ γὰρ γυνὴ αὐτοῦ ἀτίμως διωχθεῖσα ἐπορεύθη πρὸς Ἀρέτα τὸν πατέρα αὐτῆς, καὶ τὴν βίαν ἀπεδύρατο. Ὁ δὲ ἑξαυτῆς, ὡς ὑβρισμένης τῆς θυγατρὸς αὐτοῦ, συναγαγὼν ἅπαντα τὸν λαὸν αὐτοῦ, ἐπῆλθε πρὸς αὐτὸν εἰς πόλεμον καὶ κατέκοψε πάντα τὰ στρατεύματα αὐτοῦ, καὶ τὴν χώραν αὐτοῦ πυρὶ παραδοὺς ᾐχμαλώτευσεν. Ἀλλ' οὐδὲ οὕτως ἐπαύσατο Ἡρῴδης τῆς πονηρίας αὐτοῦ, ἀλλ' ὕστερον δέσμιος εἰς Ῥώμην ἀχθεὶς μετὰ τῆς μοιχαλίδος αὐτοῦ ἐξόριστος ἐπέμφθη ὑπὸ Τιβερίου ἐν τοῖς μέρεσι τῆς Ἱσπανίας κἀκεῖσε τὸν βίον χαλεπῶς κατέστρεψε.

(22) Ὁ δέ γε μέγας Ἡρῴδης ὁ τὰ νήπια ἀνελών, ἔσχεν υἱοὺς ὁμωνύμους αὐτοῦ καὶ διωνύμους τρεῖς, Ἡρῴδην Ἀρχέλαον καὶ Ἡρῴδην Φίλιππον, τὸν καὶ τὸν πρόδρομον ἀνελόντα, ἐφ' οὗ καὶ ὁ Κύριος ἐσταυρώθη *, καὶ Ἡρῴδην Ἀγρίππαν, τὸν καὶ Ἰάκωβον ἀνελόντα τοῦ Ζεβεδαίου, (καὶ Λυσανίαν, πρὸς ὃν Ἡρῴδην τοῦ δήμου ἐπιφωνοῦντος τότε· «φωνὴ θεοῦ καὶ οὐκ ἀνθρώπου διέδωκεν αὐτίκα» — στολὴν γὰρ ἐξ ἀργύρου πεποιημένην περιβέμενος καὶ εἰς τὸ θέατρον ἐλθὼν καὶ ἐφ' ὑψηλοῦ βήματος καθίσας ἐδημηγόρει· τῆς δὲ ἡλιακῆς ἀκτῖνος προσπεσούσης τῷ ἐνδύματι καὶ λαμπηδὼν τῇ αὐγῇ τῆς ἐσθῆτος ἀναβρασθείς, τὰς ὄψεις τῶν περιεστώτων κατήστραπτε — Καὶ ἀωρηθέντων ἐπὶ τοῦτο καὶ ὡς θεὸν αὐτὸν εὐφημησάντων, ἐπαίρεται πλέον ὁ δείλαιος, ὃν εὐθὺς ἄγγελος Κυρίου ἐπάταξεν εὐθέως, καὶ ἀνεπήδησε τῆς καθέδρας ἐκ τοῦ σπαράττεσθαι δεινῶς τὴν γαστέρα αὐτοῦ.)

(23) Τὸν δὲ θεῖον Ἰάκωβον ἰδὼν ἀπαγόμενον τὴν ὁδὸν τὴν ἐπὶ θάνατον ὁ κατήγορος αὐτοῦ καὶ μεταμεληθεὶς προσέπεσε τοῖς ποσὶ τοῦ ἀποστόλου λέγων· Συγχώρησόν μοι, ἄνθρωπε τοῦ θεοῦ, ὅτι

---

2. C. XI. 32. — Ced. 321.10—22, 322. 5—14. — * ᾧ πρῶτον Ἡρωδιας συναφθεῖσ[α], θυγατέρα Σαλώμην ἔσχε τὴν καὶ ὀρχησαμένην. Glossa codicis. — 19. Act. XII. 22, Ios. A. 19. VIII. 35. — 23. καταυγασθεὶς Ios. — 24. ἀωριθέντες cod. ἀτενιζόντων? cf. Ios. — τούτῳ? — εὐφημήσαντες cod.

μεταμέλημαι ἐφ' οἷς ἐλάλησα κατὰ σοῦ». Ὁ δὲ μακάριος παραυτίκα τοῦτον καταφιλήσας εἶπεν αὐτῷ· «Εἰρήνη σοι, τέκνον, εἰρήνη σοι, εἰρήνη σοι καὶ συγχώρησις τοῦ πταίσματος». Ὁ δὲ μετὰ φωνῆς μεγάλης εὐθέως ἑαυτὸν Χριστιανὸν ἐπὶ πάντων ἀνηγόρευσεν, καὶ οὕτω συγκαταριθμηθεὶς τῷ ὑπ' αὐτοῦ κα(60ª)τηγορηθέντι, σὺν αὐτῷ καὶ τὸ βραβεῖον τοῦ μαρτυρίου ἀπηνέγκατο.)

(24) Ὁ δὲ ἄθλιος Ἡρώδης ἐπὶ ἡμέρας φθειρόμενος καὶ σκώληκας ἐκβράζων, ἐλεεινῶς τὸν βίον κατέλυσε, ὥσπερ καὶ ὁ δυσσεβέστατος αὐτοῦ πατήρ. Καὶ γὰρ κἀκεῖνος τὰ ἐπίχειρα τῆς κατὰ Χριστοῦ καὶ τῶν ὁμηλίκων αὐτοῦ τολμήσας, ἔτι περιὼν τῷ βίῳ κομισάμενος, αἰσχίστῳ μόρῳ τὸν βίον κατέστρεψε, ὅνπερ ἐνδίκως ὡς ἄδικον ἡ δίκη μετελθοῦσα, τὰ μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν διαδεξόμενα τὸν ταλαίπωρον κολαστήρια διεδείκνυ φανερῶς προοίμια· εὐθὺς γὰρ καταλαβοῦσα τοῦτον θεήλατος καὶ ὀλέθριος μάστιξ, εἰς θάνατον ἀργαλέως συνέλασεν. (25) Ἔνθεν γάρ, φησὶν Ἰώσηπος, αὐτοῦ τὸ σῶμα ἡ νόσος διαλαβοῦσα ποικίλῳ πάθει ἐμέριζεν· πυρετὸς μὲν γὰρ λάβρος ἦν, κνισμὸς δὲ ἀφόρητος τῆς ἐπιφανείας ὅλης, καὶ σκώληκες, συνεχεῖς ἀλγηδόνες καὶ περὶ τοὺς πόδας οἰδήματα δυσωδίας, τοῦ τε ἤτρου φλεγμονὴ καὶ αἰδοίου σῆψις σκώληκας γεννῶσα· καὶ πρὸς τοῦτο ὀρθόπνοια καὶ διάπνοια καὶ σπασμοὶ τῶν μελῶν ἁπάντων αὐτοῦ καθεστήκασι· ἀειδὴς δὲ ἀποφορὰ ἐκ τοῦ συνεχοῦς ἄσθματος ἐξεπορεύετο, ὡς τοὺς ἐπιθειάζοντας ποινὴν θεήλατον εἶναι λέγειν. Τούτοις δὴ οὖν καὶ τοῖς τοιούτοις πάθεσι ἐπὶ πλείονα χρόνον περιαντλούμενος τοσοῦτον εἶχε τὸν πόνον ἀνύποιστον ὡς καὶ αὐτόχειρα αὐτοῦ γενέσθαι κατατολμήσαντα. (26) Αἰτήσας γὰρ μῆλον ὁμοῦ καὶ μάχαιραν, ὡς δῆθεν ἐπιθυμῶν αὐτὸς δι' ἑαυτοῦ ἀπογεύσασθαι καὶ λαβών, ἀνέτεινε τὴν μάχαιραν κατὰ τοῦ λαιμοῦ πλῆξαι βουλόμενος· καὶ ἔπληξεν ἄν, εἰ μή τις τῶν θεραπόντων θεασάμενος, ταχέως τὴν μάχαιραν ἐκ τῶν χειρῶν αὐτοῦ μόλις ἀπέσπασεν. (27) Ἐπὶ πλεῖον δὲ ταῖς ὀδύναις βασανιζόμενος καὶ τὴν ἀδελφὴν Σαλώμην καὶ τὸν ἄνδρα αὐτῆς Ἀλέξανδρον καλεσάμενος, ὑπέ-

---

9 Erasa sunt 3 vel 4 verba in codice cf. Ced. 332,22 Ἡρ. ὕδρωπι δεινῷ πιεσθεὶς σκ. τε ἐκβράσας ἀπὸ τοῦ σώματος καταστρέφει τὸν β. — 15. A. 17. VI. 5. — 19. αἰδύου σιπαιδὶ codex. — 25. A. 17. VII. 15. — 30. A. 17. VI. 10.

ϑετο αὐτοῖς, ὥστε τοὺς τῶν Ἰουδαίων ἐξάρχους καϑεῖρξαι εἰς τὸν ἱππόδρομον· καὶ τελευτήσαντος αὐτοῦ, παραχρῆμα τούτους ὑπὸ τοῦ στρατοῦ κακῶς ἀναιρεῖσϑαι, ἵνα μὴ τοῦ ϑανάτου αὐτοῦ ἡ ἡμέρα χαρὰ τοῖς Ἰουδαίοις, ἀλλὰ πένϑους πρόξενος γένηται. (28) Καὶ ταῦτα διαταξάμενος καὶ λίαν ὑδριάσας καὶ μετὰ πολλῶν ἀλγηδόνων τὴν ψυχὴν ἀποῤῥήξας, εὐϑὺς ἡ Σαλώμη πάντα διαπραξαμένη τοὺς Ἰουδαίους εἰς μέγα πένϑος καὶ ϑρῆνον ἐνέβαλεν. (29) Ὅσαις μὲν οὖν, πρὸς ταῖς λοιπαῖς αὐτοῦ κακουργίαις, τὰς κατὰ τὴν βασιλείαν αὐτονομισϑείσας εὐπραγίας, ταῖς κατὰ τὸν οἶκον ἐπαλλήλοις ἡμαύρωσε συμφοραῖς γυναικῶν καὶ τέκνων καὶ τῶν λοιπῶν τῶν μάλιστα πρὸς γένους ἀναγκαιοτάτων τε καὶ φιλτάτων μιαιφονίαις, οὐδὲν οἷόν τε νῦν καταλέγειν, τραγικὴν ἅπασαν δραματουργίαν ἐπισκιαζούσης τῆς περὶ τοῦτον ὑποϑέσεως, ἣν πλάτος ἐν ταῖς κατ' αὐτὸν ἱστορίαις Ἰώσηπος διελήλυϑεν.

CXII. ΒΑΣΙΛΕΙΑ ΤΙΒΕΡΙΟΥ.

Μετὰ δὲ Αὔγουστον ἐβασίλευσε Τιβέριος Καῖσαρ, ὁ υἱὸς αὐτοῦ, ὁ κτίσας πόλιν ἐν τῇ Ἰουδαίων χώρᾳ (παρὰ τὴν λίμνην, ἐκάλεσε δὲ αὐτὴν εἰς ἑαυτοῦ ὄνομα) Τιβεριάδα. (2) Ἐφ' οὗ μέγας σεισμὸς γενόμενος, κατήνεγκε πόλεις ἕως ἐδάφους ιγ', Ἔφεσον, Μαγνησίαν, Σάρδην, Μοστίνην, Διγάην, Ἱεροκαισάρειαν, Φιλαδελφίαν, Τμόλον, Κύμην, Μύριναν, Ἀπολλωνίαν, Δίαν, Ὑρκανείαν. 16 p. Chr. (5213) 20 (5217)

(3) Καὶ ἐν μὲν τῷ ιε' ἔτει τῆς αὐτοῦ βασιλείας ὁ Κύριος ἡμῶν βαπτισϑείς, τοῦ εὐαγγελικοῦ κηρύγματος ἀπήρξατο. 31 (5228)

(4) Ἐν δὲ τῷ ιη' ἔτει τῆς βασιλείας αὐτοῦ σταυρωϑεὶς ὁ Κύριος (61[a]) ἀνίσταται (τῇ κϑ' τοῦ Φαμενὼϑ μηνὸς ἤτοι) Μαρτίου 34 (5231)

---

6. A. 17. IX. 2 contrarium. — 7. Ὅσας cod. — 9. εὐπραγίαις cod. — 18. Ced. 333, 23,24. Οὗτος ἔσχε Γάϊον ἀνεψιὸν, ἀστρολόγον καὶ τοῦ Θρασύλλου γενόμενον φοιτητὴν, ὃς τοσοῦτος ἦν τὴν τέχνην ὡς ἀγανακτήσαντά ποτε Τιβέριον κατ' αὐτοῦ καὶ βουληϑέντα διὰ τοῦ τείχους αἴφνης αὐτὸν ῥῖψαι, ἐσχυϑρώπασε. Ἐρωτήσαντος δὲ Τιβερίου τὴν αἰτίαν, ἀπεκρίϑη αἰσϑάνεσϑαι κλιμακτῆρα ἐγγὺς αὐτοῦ, καὶ τὸν Τιβέριον ϑαυμάσαντα ἐᾶσαι αὐτόν (Ced. 3441—8). — 21. ex Eus. Chr. II. 263 ad a. Tiberii quartum. — 22. Ced. 333,25—334,2. — 24. Ced. 334,2. — 24. ιϑ' Eus. Chr. II. 265, Ol. 203,4. — 25. κε' M. ἐπιφωσκούσῃ κυριακῇ ἥτις ἐστὶ μία καὶ πρώτη ἡ αὐτὴ καὶ πάσχα κυριακόν. ἐν ταύτῃ γὰρ ὁ ϑεὸς τὸ φῶς ἐδημιούργησε Ced.

(τοῦ πρωτοκτίστου μηνός, Νισὰν παρ' Ἑβραίοις λεγομένου) κε', ἐπιφωσκούσης Κυριακῆς μιᾶς σαββάτων, τῆς πρώτης καὶ ἀρχῆς καὶ τιμιωτάτης τῶν ἡμερῶν ἡμέρας, περὶ ἧς ἔφη Μωϋσῆς· «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν»· καὶ· «Αὕτη ἡ βίβλος γενέσεως οὐρανῶν τε καὶ γῆς, ᾗ ἡμέρᾳ ἐποίησεν ὁ Θεός». Διὸ φησὶν ὁ Δαυίδ· «Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ», ἥτις ἐστὶ τὸ κυριακὸν πάσχα Μαρτίου κέ, ὡς εἴρηται.

CXIII. ΔΙΑ ΤΙ Η ΤΟΥ ΧΡΙΣΤΟΥ ΑΝΑΣΤΑΣΙΣ ΟΓΔΟΗ ΩΝΟΜΑΣΤΑΙ.

Περὶ ἧς γέ τοι ὁ μέγας ἔφη Χρυσόστομος· «Εἰ οὖν ἐν τῇ γ' ἡμέρᾳ ἀνέστη ὁ Χριστός, ὡς αὐτὸς ἔλεγε, «δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν καὶ ἀποδοκιμασθῆναι καὶ ἀποκτανθῆναι καὶ τῇ γ' ἡμέρᾳ ἀναστῆναι», διὰ τί ἡ ὀγδόη ἀνάστασις λέγεται τοῦ Κυρίου; καὶ τρίτη μὲν εἴρηται ὡς ἀπὸ τοῦ πάθους καὶ τοῦ σταυροῦ, ὀγδόη δὲ ὡς ἀπὸ τῆς δημιουργίας καὶ τῆς ἀναστάσεως. Ἐπεὶ οὖν τῇ κυριακῇ ἀνέστη ὁ Χριστός, ἐν ᾗ ἡ ἀρχὴ τοῦ φαινομένου κόσμου γέγονε, ἥτις ὑπάρχει τὸ φῶς ἀπὸ τοῦ κόσμου λάμψαν ἐν αὐτῇ, καὶ τὸ νοητὸν φῶς καὶ ἀληθινὸν ὁ Χριστὸς ἐκ τάφου ἀνέτειλεν. διὸ καὶ ἀπὸ τοῦ τάφου καὶ θανάτου ὁ κόσμος ἐγήγερτο. Ἀπὸ κυριακῆς οὖν εἰς κυριακὴν ἡ ὀγδόη ἀπαντᾷ· καὶ δὲ τρίτη καὶ ἡ αὕτη, τρίτη ἀφ' οὗ ἔπαθε, ὀγδόη ἀφ' οὗ ὁ κόσμος ἐγένετο. (2) Ἔστι δὲ καὶ ἄλλη αἰτία τῆς η' καὶ τῆς γ', διὰ τί ἀνάστασις ἑκάστη ὠνόμασται· ἐν γὰρ τῇ ζ' ἡμέρᾳ κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ· καὶ ἔστιν ἡ κατάπαυσις τέλος, συντέλεια ἔργων ἀπηρτισμένων· τέλος δὲ καὶ κατάπαυσις λέγεται καὶ ἡ τοῦ λόγου συντέλεια, ὅτε μέλλει «παράγειν τὸ σχῆμα τοῦ κόσμου τούτου» ὁ Θεός. Ἐπειδὴ οὖν ἁμαρτιῶν ὁ κόσμος ἔγεμεν καὶ ἠπείλει τῷ κόσμῳ συντέλειαν, ὁ δὲ Χριστὸς ἐπὶ συντελείας τῶν αἰώνων εἰς ἀθέτησιν ἁμαρτίας ἦλθε καὶ ἔπαθε καὶ ἐτάφη καὶ

---

3. Gen. I. 1. — 4. Gen. II. 4. — 6. Ps. CXVII. 23. — 9. Haec rubrica in cod. evanuit. — 12. L. IX. 22. — 18. καὶ ἐν ταύτῃ τὸ ἀλ. φῶς ὁ $\overline{\text{χς}}$ ἐκ τ. ἀν. Cod. — 20. ἀπὸ κυριακὴν cod. — 23. καὶ τῆς α'? — 26. 1 Cor. VII. 31.

ἀνέστη καὶ τὸν κόσμον ἀνέστησε, καὶ ἡ πρώτη ἐνδημιούργησις ὀγδόη ἐν τῇ παλιγγενεσίᾳ γέγονεν. Τῇ ς' ἐπὶ ξύλου σταυροῦται διὰ τὸν ἐν τῇ ς' γενόμενον ἄνθρωπον· διὰ τοῦτο οὖν ἐν τῇ ς' ἐσταύρωται ἡμέρᾳ, ἵνα πάντες μάθωμεν, ὅτι ἐν τῇ ς' δημιουργάσας τὸν ἄνθρωπον, αὐτὸς ἐκεῖνος ἐν τῇ ς' ἐσταυρώθη διὰ τὸν ἄνθρωπον. (3) Καὶ οὐ μόνον ἐν ἡμέρᾳ ς', ἀλλὰ καὶ ἐν ὥρᾳ ς' ἐπὶ ξύλου ἐκρέμαται, ἐπειδὴ ἀρχὴ ἁμαρτίας ὥρᾳ ς' ἀπὸ τοῦ ξύλου γέγονεν, ὅτε Ἀδὰμ τὸν θάνατον ἠρίστησε, ὅθεν λοιπὸν τότε καὶ λογχευθεὶς ἐξέβλυσεν αἷμα καὶ ὕδωρ, οἱ δύο μάρτυρες τῶν κυριοκτόνων, τὸ μὲν αἷμα ἵνα Ἰουδαίους ἐλέγξῃ εἰπόντας· «Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν», τὸ δὲ ὕδωρ, ἵνα τοῦ Πιλάτου κατηγορήσῃ, ὅτι λαβὼν ὕδωρ καὶ νιψάμενος ὡς ἀθῷος, τὸν ἀθῷον καὶ δίκαιον φραγγελώσας ἐσταύρωσεν. (4) Ἐπεὶ οὖν, ὡς πολλάκις ἔφην, ἡ ὀγδόη καὶ ἡ τῶν νεκρῶν ἔγερσις βοᾷ τὴν τοῦ κόσμου συντέλειαν, ἰστέον, ὅτε πάντως ἡ τοῦ κόσμου γένηται συντέλεια, τότε οἱ ὅσιοι καὶ εὐσεβεῖς ἐκλείψουσιν ἀπὸ τῆς γῆς. Καὶ τούτου μάρτυς ὁ Χριστὸς εἰπών· «Ἆρα ἐλθὼν ὁ υἱὸς τοῦ ἀνθρώπου εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς»; Καὶ ὁ ἀπόστολος φησίν· «Ἐὰν μὴ ἔλθῃ πρῶτον ἡ ἀπόστασις», «ὅτε ἀποστήσονται τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνης καὶ διδασκαλίαις δαιμονίων», «καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀποσφέψουσιν, ἐπὶ δὲ τοὺς μύθους ἐκτραπήσονται»· καὶ ὥσπερ κυβερ(61[b])νητῶν ἀπώλεια τῶν πλοίων ἐστὶ ναυαγία, καὶ ποιμένων ἀπουσία προβάτων ὄλεθρος, καὶ γεωργῶν ἀμέλεια χωρίων ἀφανισμός, οὕτω καὶ τῶν ὁσίων ἡ ἔκλειψις τοῦ κόσμου κατάλυσις· ὁσιότης δέ ἐστιν ἡ πρὸς θεὸν καθοσίωσις. καὶ ἐκεῖνος ὅσιος ὁ ἑαυτὸν διὰ πίστεως καὶ ἔργων ἀγαθῶν καθοσιώσας καὶ τῷ θεῷ ἀφιερώσας, ὅθεν τοὺς θεὸν καταλιμπάνοντας καὶ ἀρνουμένους τὰς πρὸς αὐτὸν συνθήκας ἔλεγεν ὁ Μωϋσῆς· «Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου· ὅσιά μοι γέγηται ἐν τῷ ἀποστῆναι ἀπὸ Κυρίου». Καθάπερ ὁ τοῦ θεοῦ ἀποστάτης καὶ κακοῦργος ἀνόσιος λέγεται, οὕτως ὁ τῷ θεῷ διὰ πίστεως καὶ ἀγαθοεργίας οἰκειωθείς, ὅσιος καὶ δίκαιος εἰκότως ὀνομάζεται.

---

1. ἐνδημιούργ. cod. — 9. τοὺς δύο μάρτυρας? — 10. Mt. XXVII. 25. — 17. L. XVIII. 18. — 18. 2 Th. II. 3. — 19. 1 Tim. IV. 1. — 20. 2 Tim. IV. 4. — 28. Deut. XXIX. 19.

(5) Διὰ ξύλου τοίνυν θανάτου καὶ διὰ ξύλου ἡ ζωή· (τῇ ἑβδόμῃ κατέπαυσεν ἀπὸ τῶν ἔργων· τῇ ζ' ἐν τῷ τάφῳ τὸ σῶμα ἀνέπαυσεν.—τελείαν γὰρ ἡμέραν τὴν ἑβδόμην ἔμεινεν—τῇ η' ἀνέστη καὶ τὸν κόσμον ἤγειρεν. Καὶ ἔστιν ἡ Κυρίου καὶ τρίτη καὶ η', τρίτη μὲν διὰ τὴν τοῦ Κυρίου ἀνάστασιν, ὀγδόη δὲ, οὐ μόνον διὰ τὴν τοῦ Κυρίου, ἀλλὰ καὶ διὰ τὴν τοῦ κόσμου ἔγερσιν. Οὐκοῦν, ἀγαπητὲ, ἄκουσον θαυμαστὸν καὶ μέγα μυστήριον· Διὰ τί ἡ τοῦ Κυρίου ἀνάστασις ὀγδόη ὠνόμασται;) Ἐπειδὴ ἑπτάκις νεκρῶν ἀνάστασιν εὕρομεν ἐν τῇ θείᾳ γραφῇ, καὶ μετὰ τοὺς ζ' ὄγδοος ἐκ νεκρῶν ἀνέστη ὁ Κύριος ὁ ἐγείρας τοὺς ζ'. Πρὸ γὰρ τῆς Χριστοῦ ἀναστάσεως ἑπτὰ μόναι ἀναστάσεις νεκρῶν ἐγένοντο· (Καὶ) α' μὲν [ὃ] ἐν τῇ παλαιᾷ· ἡ τοῦ υἱοῦ τῆς χήρας, ὃν Ἠλίας ἐν Σαράφθοις ἀνέστησε, β' ἡ τοῦ υἱοῦ τῆς Σωμανίτιδος, ὃν Ἐλισσαῖος ἤγειρε, γ' (δὲ) ἡ τοῦ στρατιώτου, ὃν ἐγγὺς Ἐλισσαίου θάψαντες (καὶ τῶν ὀστέων τοῦ προφήτου ὁ νεκρὸς ἁψάμενος) ὡς ἀπὸ πυρὸς ἐξηπτήθησεν, δ' δὲ (ὃ) ἐν τῇ καινῇ, ἡ τοῦ ἀρχισυναγώγου τῆς θυγατρὸς, ε' (δὲ) ἡ τοῦ υἱοῦ τῆς χήρας, ς' (δὲ) ἡ τοῦ Λαζάρου, ζ' (δὲ) ὅτε πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἀνέστη. ἡ δὲ ἡ τοῦ Κυρίου ἀνάστασις μετὰ τὸ σωτήριον πάθος, καθ' ὃν καιρὸν τοῦ πάθους (καὶ τοῦ) γενομένου σεισμοῦ ἐν πολλοῖς (μὲν) εὑρέθη Ἑλληνικοῖς ὑπομνήμασιν, ὅτι σεισμὸς ἐγένετο μέγας καὶ σκότος, ὥστε καὶ ἀστέρας φανῆναι. (6) Κατὰ δὲ τοὺς χρόνους τούτους καὶ Ἰώσηπος ἱστορεῖ ἐν ἡμέρᾳ τῆς ν' κινήσεως καὶ κτύπου τοὺς ἱερεῖς ἀντιλαμβάνεσθαι πρότερον, ἔπειτα φωνῆς ἀθρόας, ἀγγελικῆς δηλονότι, ἔνδοθεν ἀπὸ τοῦ ἱεροῦ ἀκούειν· «Καταβαίνομεν ἐντεῦθεν». (7) Καὶ μέντοι καὶ ἕτερον παραδοξώτερον ἐξηγεῖται, χρησμόν τινα ἐν (τοῖς) ἱεροῖς γράμμασιν εὑρεθῆναι περιέχοντα (οὕτως)· ὡς κατὰ (τὸν) καιρὸν ἐκεῖνον ἀπὸ τῆς αὐτῆς χώρας ἄρξῃ τις ἄνθρωπος τῆς οἰκουμένης ἁπάσης, ὃν αὐτὸς μὲν ἐπὶ Οὐεσπασιανοῦ ἐξειληφὼς

---

1. Cod. 334,24—335,14. — 12. χ. τῆς Σαραφθίας ὃν ἤγειρεν Ἠ. Cod. — 19. καὶ η'. Cod.—22. καθ' ὃν κ. ἐν ἄλλοις μὲν Ἑ. ὑπ. εὕρομεν ἱστορούμενον ὡ. καὶ ἀ. ἐν ὀ. φ. ex Sync. Eus. Chr. II. 265.—22. K. τοὺς αὐτοὺς δὲ Eus.—23. b. I. 6. V. 3.—24. οἱ ἱερεῖς Eus. — 24. πρῶτον Eus. — 25. ἀγ. δ. om. Eus. — 25. ἀκοῦσαι ἀπὸ τοῦ ἐσωτάτου ἱεροῦ αὐτοῖς ῥήμασιν εἰπούσης μεταβ. ἐντ. Eus. — 25. Cod. 335,14—336,9. Ἱστορεῖ δὲ καὶ Ἰώσηπος χ. — 28. αὐτῶν οἱ ἄρξει Cod. — 29. b. I. 6. V. 4.

πεπληρῶσθαι, διήμαρτε δὲ τῆς ἑρμηνείας ἐκ διαμέτρου· οὐ γὰρ πάσης οὗτος ἦρξεν (ἢ μόνης τῆς Ῥώμης). Λείπεται δὴ οὖν ἐπὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τοῦτο πληροῦσθαι, πρὸς ὃν φησιν ὁ πατήρ· «Αἴτησαι παρ' ἐμοῦ καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου καὶ τὴν κατάσχεσιν σου τὰ πέρατα τῆς γῆς». Ὅθεν «εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν ἱερῶν ἀποστόλων καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν (διαῤῥήδην κηρύττων αὐτοῦ τὴν ἀΐδιον ἀρχήν τε καὶ βασιλείαν (62ᵃ) αἰώνιον). (8) Ἐπεὶ κατὰ τὸν καιρὸν τοῦτον ὁ θεὸς τὴν κτίσιν ἐδημιούργησεν, καὶ μαρτυρεῖ τῶν δένδρων ἡ βλάστησις (κατὰ τὴν θείαν ἀπόφασιν, μέχρι νῦν ἀρχομένου τοῦ ἔαρος· «ἡ γῆ βλαστάνει βοτάνην χόρτου», καὶ οἱ λειμῶνες ἀνθοῦσι, καὶ τὰ δένδρα φύει καρπόν)· διὰ τοῦτο καὶ τὸν Ἰσραὴλ κατὰ τὸν καιρὸν τοῦτον ἠλευθέρωσε τῆς Αἰγυπτιακῆς δουλείας καὶ τὴν παρθένον Γαβριὴλ ὁ ἀρχάγγελος εὐηγγελίσατο· εἰκότως οὖν κατὰ τὸν αὐτὸν καιρὸν καὶ ὁ Χριστὸς ὑπέμεινε τὸ σωτήριον πάθος **.

Ὁ τοίνυν Πιλάτος μετὰ τὴν [τοῦ] Χριστοῦ σταύρωσιν εἰκόνας τοῦ Καίσαρος (προτομὰς) εἰς τὸ ἱερὸν νύκτωρ ἀνέθηκεν. Ὄρθρου δὲ γενομένου, οἱ Ἰουδαῖοι θεασάμενοι τοσοῦτον ἐταράχθησαν, ὥστε Πιλάτος ἐκδειματωθείς, ἀλλαχοῦ ταῦτα (10) μετέθηκεν. Καὶ δὴ καὶ τὸν ἱερὸν θησαυρὸν τὸν καλούμενον Κορβανᾶν διαφθείρας, αἴτιος ἀναιρέσεως πολλῆς καὶ συγχύσεως καὶ τοῖς Ἰουδαίοις μιση-

---

1. b. I. 3. III. 9.—2. δὲ Ced.—4. Ps. II. 8. ἐμοὶ cod.—5. Ps. XIX. 4.—8. Ced. 336,2—7.—· οὖν Ced.—11. Gen. I. 11 — 14. τῇ παρθένῳ Ced.— ** Ἐπὶ Τιβερίου, μετὰ τὴν ἀνάληψιν τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν ἐκλέγεται ὑπὸ τῶν ἀποστόλων Ματθίας ἀντὶ Ἰούδα τοῦ προδότου, καὶ Ἰάκωβος ὁ ἀδελφὸς τοῦ Κυρίου πρῶτος Ἱεροσολύμων ἐπίσκοπος γέγονεν, καὶ διάκονοι ἀριθμὸν ζ', Στέφανος ὁ α' μάρτυρ καὶ οἱ σὺν αὐτῷ· Φίλιππος δὲ ὁ εἷς ἐξ αὐτῶν ποιεῖ εἰς Σαμάρειαν τεράστια. ἀρθεὶς ὑπὸ τοῦ πνεύματος ἐπέστη [εὐνούχῳ] Κανδάκη[ς]· οὗτος πρῶτος ἐβαπτίσθη διὰ Φιλίππου ἐξ ἐθνῶν, τῆς προφητείας πληρωθείσης ἔργῳ· «Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ» θεῷ (Ps. LXVIII 31) Ἀλλὰ καὶ μάγοι Χριστῷ προσκυνήσαντες πρότερον, τὴν τῶν ἐθνῶν κλῆσιν ἠνίξαντο· καὶ Κορνήλιος πρῶτος ἐξ ἐθνῶν Πέτρῳ διὰ τῆς πίστεως προσῆλθε, (Leo. 59,20—60,8). — 17. Ced. 336,8 — 11, Ios. 18. III. 1, b. I. 2. XIV. 2,3. — 20. ταύτας Ced. — Ced. 337,3—5, Ios. 13. III. 2, b. I. 2. XIV. 4. — 21. K. διέφθειρε καὶ πολλοὺς ἐξ αὐτῶν Ced. ceteris omissis.

τὸς γέγονε· τὴν γὰρ ἐπανάστασιν αὐτῶν ὑφορώμενος, πρὸ τοῦ βήματος αὐτοῦ στρατιώτας παρέστησεν, ἔνδοθεν μὲν ὅπλα φοροῦντας αὐτούς, ἔξωθεν δὲ ἰδιωτῶν ἐσθῆτας πρὸς τὸ ἀνυποπόητον. Ὡς οὖν ὥρμησαν πρὸς αὐτὸν οἱ Ἰουδαῖοι στασιάζοντες, ἐπαφῆκε τοὺς στρατιώτας ἐπ' αὐτῶν, οἵ γε ξύλοις καὶ λίθοις αὐτοὺς παίοντες, τραυματίσαντες ἀπέλυσαν, τινὰς δὲ αὐτῶν καὶ ἀπέκτειναν. Πολλοὶ δὲ τῶν Ἰουδαίων ὑπ' ἀλλήλων ὠθούμενοι, συμπατηθέντες ἀπώλοντο, οὓς καὶ ἀριθμήσαντες εὗρον λαὸν ἄπειρον.

CXIV. ΠΕΡΙ ΙΟΥΔΑ ΤΟΥ ΓΑΛΙΛΑΙΟΥ.

237 (5225) Ἔμιξε δὲ καί τινων· αὐτῶν μετὰ τῶν θυσιῶν τὸ αἷμα τρόπῳ τοιούτῳ· Οἱ Γαλιλαῖοι τοῖς δόγμασιν ἐξακολουθήσαντες Ἰούδα τοῦ Γαλιλαίου, οὗ καὶ Λοῦκας ἐν ταῖς πράξεσι τῶν ἀποστόλων μέμνηται, κενοφωνίαν καὶ πλάνην ἔμαθον ἐξ αὐτοῦ, καθώς φησιν Ἰώσηπος· προφάσει γὰρ εὐσεβείας δῆθεν κύριον μηδὲ μέχρι στόματος ἔφασκε δεῖν τινα λέγειν, μήτε κατὰ τιμὴν, μήτε (κατὰ) φιλοφροσύνην, καὶ τὴν θεῷ μόνῳ πρέπουσαν τιμὴν ""· καὶ δόξαν ἀνθρώποις ἀπονέμειν, ὅθεν καὶ πολλοὶ αὐτῶν περὶ τοῦ μὴ εἰπεῖν (τὸν) Καίσαρα κύριον καὶ δεσπότην, χαλεπὰς αἰκίας ὑπέστησαν, οἵτινες λοιπὸν ἐδίδασκον μηδὲν παρὰ τὰς διατεταγμένας ἐν τῷ Μωσέως νόμῳ θυσίας ἀναφέρεσθαι τῷ θεῷ, κἀντεῦθεν τοίνυν κωλύοντες τὰς ὑπὸ τῆς γερουσίας τοῦ λαοῦ παραδιδομένας γίνεσθαι περὶ τῆς σωτηρίας τοῦ βασιλέως καὶ τοῦ Ῥωμαίων ἔθνους θυσίας· εἰκότως ἐπὶ τούτοις ἀγανακτοῦντα πρὸς Γαλιλαίους Πιλάτον κελεῦσαι παρὰ ταῖς θυσίας, ἃς ἐδόκουν κατὰ τὸν νόμον προσφέρειν, ἀναιρεθῆναι, ὥστε ἀναμιχθῆναι ταῖς προσφερομέναις θυσίαις τὸ αἷμα τῶν προσφερόντων.

(2) Ὁ δέ γε Τιβέριος πρὸς τοῖς λοιποῖς αὐτοῦ πλεονεκτήμασι καὶ τοῦτο ἐκέκτητο· τοὺς εἰς ἀξίαν αὐτοῦ προσαγομένους θᾶττον οὐκ

---

10. Cod. 237,5—21, Ios. b. I. 2. VIII. 1, Act. V. 37. (a. 11. p. Chr.), Luc. XIII. 1.— ' καὶ?— " ἐξ Cod.—d. ἐν ταῖς ἡμέραις τοῦ Καίσαρος τὸ ά. τῶν ϛ. Cod.—13. φη cod. ἐφη Cod. — "" τε Cod.—22. τοῦ β. c. Cod.—23. ἀγανακτεῖ Cod. ἀγανακτοῦντες cod. — Γαλιλαίας cod. — 23. Πιλάτος καὶ κελεύει Cod. — αἷς cod. — 25. Cod. 244,9—15. epitomen exhibet, ut et Leo 59,3—8, πλεονεκτήματα haec quia justitiae in seqq. laudatae repugnant, alium in locum transferentes.

ἤμειβεν, ἀλλ' ἢ πολὺν χρόνον ἢ ἕως τέλους τοῦ βίου κατέχειν αὐτοὺς τὴν ἀρχὴν παρεσκεύαζεν. Ἐρωτηθεὶς οὖν ποτε τὴν αἰτίαν ὑπὸ τῶν φίλων αὐτοῦ ἔφη· «Ἀεὶ πᾶσα ἡγεμονία τοῦ πλεονεκτεῖν ἐφιέται φύσει, καὶ εἰ ἐπὶ πλέον κρατοῖεν, ἀμβλυτοτέρως τῇ πλεονεξίᾳ κέχρηνται· (62[b]) εἰ δὲ ἐπ' ὀλίγῳ, μειζόνως ἐπικλοπαὶ παροξύνονται, ἐν ἀδήλῳ τὴν διαδοχὴν ἔχοντες· λέξω δὲ ὑμῖν καὶ ἐναργὲς παράδειγμα τοῦτο· Τραυματίας τις ἔκειτο, καὶ πλῆθος μυιῶν ὄντων, τὰ ἕλκη αὐτοῦ ἀνείμοντο· παριὼν δέ τις, νομίσας αὐτὸν μὴ δύνασθαι τὰς μυίας ἀποσοβεῖν, προσελθὼν ἀπεδίωκεν· ὁ δὲ τραυματίας φησίν· «Δέομαι, παῦσον καὶ μὴ ἀποσόβει· μειζόνως γάρ με βλάπτεις· αἱ γὰρ κορεσθεῖσαι τοῦ αἵματος οὐ πάνυ μοι τὴν δῆξιν ὀδυνηρὰν παρέχουσιν, εἰ δὲ ἀποδιώκονται, ἕτεραι προσελθοῦσαι, λιμῷ τὰς ὀδύνας μοι παρέξωσι μειζοτέρας ὥστε καὶ τοῦ ζῆν ἀποστερῆσαι». Διὰ δὴ τοῦτο καὶ αὐτὸς ὑπὸ πολλῶν κλοπῶν τοὺς ἡγεμόνας διεφθαρμένους ἰδών, συνεχῶς οὐκ ἀμείβω». (3) Φροντίζων γέ τοι λίαν τοῦ δικαίου ἔγραψεν ἀεὶ ταῖς ὑπ' αὐτὸν πόλεσι λέγων· «Ἐάν τι γράψω παρὰ τοὺς νόμους προστάσσων γίνεσθαι, μὴ προσέχειν ὡς ἠγνοηκότι». (4) Διὸ καὶ Πιλάτος εἰδὼς 35 (5232)
αὐτοῦ τὸ φιλάληθες καὶ φιλοδίκαιον, τὰ τεραστεῖα Χριστοῦ πάντα καὶ τὰ τῆς εὐσεβείας (αὐτοῦ) δόγματα δι' ἐπιτομῆς διεκοινώσατο αὐτῷ, καθὼς ἱστορεῖ Τερτυλιανὸς (ὁ τῶν Ῥωμαϊκῶν νόμων ἐπιστήμων) ἐν τῇ ὑπὲρ Χριστιανῶν ἀπολογίᾳ (διεξιών) καὶ ὅτι μετὰ θάνατον ἀνεβίωσε καὶ ἤδη παρὰ πᾶσι θεὸς εἶναι πιστεύεται· καὶ ὅτι Τιβέριος καταπλαγεὶς ἀνήγγειλε πάντα ἐπὶ τῆς συγκλήτου· ἡ δὲ οὐ προσήκατο, πειθαρχεῖν νόμῳ παλαιῷ λέγουσα, μὴ πρότερον θεοποιεῖσθαι τινὰ εἰ μὴ ψήφῳ καὶ δόγματι παρ'

---

6. δείξω? λέγξω cod. — 7. ἐναργαῖς cod. — 8. ἀπενείμαντο? — 15. Ced. 336, 11—14. — 17. ἐγ. τοῖς ἄρχουσι τῶν πόλεων Ced. — γράφῃ Ced. — 18. Eus. Chr. II. 267: Tib. 22, Pilatus de Christianorum religione Tiberium certiorem facit. Ced. 336,14 — 337,2 cf. 345,10 — 13, Leo. 58,20 — 23. — 19. τεράστια Ced. — 21. ἀ. δὲ ἐπ. ἀνεκ. Ced. — 22. κατὰ cod. — 24. τῇ συγκλήτῳ Ced. — 25. λέγοντ. cod. — Ap. 5: Tiberius, ergo annuntiatum sibi ex Syria Palaestina quae illic veritatem ipsius divinitatis revelarat, detulit ad senatum cum praerogativa suffragii sui. Senatus quia non in se probaverat, respuit. Caesar in sententia mansit, comminatus periculum accusatoribus Christianorum. 21: Ea omnia super Christo Pilatus, et ipse jam pro sua conscientia Christianus, Caesari tunc Tiberio nuntiavit (Cod. Petrop.) — 26. θεοποιῆσαι Ced.

αὐτοῖς κριθείη. Ὁ δὲ τὸν νόμον τοῦτον ἐδέξατο· ἐκέλευσε δὲ μηδένα ἐμποδίζειν τοῦ Χριστοῦ τῷ κηρύγματι καὶ μέν γε θάνατον προσηπείλησε τοῖς κατηγορεῖν τολμῶσι τοῦ κηρύγματος.

CXV. ΠΕΡΙ ΑΥΓΑΡΟΥ.

Οὕτω γοῦν τῇ θείᾳ τοῦ Χριστοῦ δυνάμει ἀθρόως ἡ σύμπασα οἰκουμένη τῆς ἱερᾶς τοῦ κηρύγματος διὰ τῆς τῶν ἀποστόλων διδασκαλίας ἐπεπλήρωται, ἐξ ὧν, Θαδδαίου ἐν Ἐδέσσῃ τῇ πόλει κηρύξαντος λόγον, καὶ ὁ ἐκεῖσε τοπάρχης Αὔγαρος τὸ σῶμα δεινῷ πάθει κατεχόμενος καὶ φθειρόμενος, ἀκούσας τὸ ὄνομα Χριστοῦ καὶ τὰς δυνάμεις συμφώνως ὑπὸ πάντων μαρτυρουμένας, ἱκέτης Χριστοῦ διὰ γραμματηφόρου γίνεται, ἀξιῶν τῆς νόσου λύσιν εὕρασθαι, γράψας διά τινος Ἀνανίου ταχυδρόμου τάδε· «Αὔγαρος τοπάρχης * Ἰησοῦ σωτῆρι ἀγαθῷ ἀναφανέντι ἐν Ἱερουσαλὴμ χαίρειν. Ἤκουσταί μοι τὰ περί σου καὶ τῶν σῶν ἰαμάτων, ὡς ἄνευ φαρμάκων καὶ βοτανῶν ὑπό σου γενομένων, ὡς γὰρ λόγῳ τυφλοὺς ἀναβλέπειν ποιεῖς **, χωλοὺς περιπατεῖν, (καὶ) λεπροὺς καθαρίζεις καὶ ἀκάθαρτα πνεύματα ἐκβάλλεις καὶ τοὺς ἐν μακρονοσίᾳ βασανιζομένους θεραπεύεις καὶ νεκροὺς ἐγείρεις· ἅπερ ἀκούσας, κατὰ νοῦν ἐθέμην (τῶν δύο τὸ ἕτερον, ἢ) ὅτι σὺ εἶ ὁ θεὸς ὁ ἀπ' οὐρανοῦ καταβὰς ἢ υἱὸς ὑπάρχεις τοῦ θεοῦ, ποιῶν ταῦτα. Διὰ τοῦτο νῦν γράψας, ἀξιῶ ἐλθεῖν σε πρός με καὶ τὸ συνεχόμενον πάθος θεραπεῦσαι· καὶ γὰρ ἤκουσα, ὅτι καταγογγύζουσιν οἱ Ἰουδαῖοι καὶ βούλονταί σε κακῶσαι· πόλις δέ μοι σμικροτάτη ἐστίν, ἥτις ἐξαρ-

---

2. τῷ χῦ κ. Ced. — μέντοι Ced. — 5. Ced. 308,9 — 309,7. Eus. Chr. II. 297. — 12. Ἐπιστολὴ cod. in margine. — * πόλεως Ἐδέσσης Ced, Ἐδ. Eus. H. E. I. 13. — 13. πόλει Ἱεροσολύμων Ced. τόπῳ Ἱερ. Eus. — 15. γιν. Ced. Eus. — λόγος Ced. Eus. — ** καὶ cod. — 17. π. λόγῳ ἀπελαύνεις Ced. π. καὶ δαίμονας ἐκβάλλεις Eus. — 18. Ταῦτα πάντα ἀκ. περί σου Ced. Καὶ τ. π. ἀκ. π. σου Eus. (τὸ ἕ. τῶν δύο Eus.). — 20. Ὅτι θς εἶ καὶ κ. ἐξ. ὁ. ταῦτα ποιεῖς ἢ ὑς εἶ Ced. ὅτι σὺ εἶ ὁ θς καὶ κ. ἁ. τοῦ ὁ. π. τ. ἢ ὑς εἶ Eus. — 22. Δ. ταῦτα τοίνυν γρ. ἐδεήθην τῆς σῆς ἰσχύος καὶ ἀγαθότητος σκυλῆναι καὶ ἐ. π. με ἵνα τὸ π. ὃ ἔχω θεραπεύσῃς Ced. Δ. τοῦτο γ. ἐδ. σου σκ. πρός με καὶ τὸ π. ὃ ἐ. θεραπεῦσαι Eus. — 22. Ὅτι καὶ (οἱ) Ἰ. κ. σου καὶ β. κ. σε Ced. Eus. — ἐ. σμ. Ced. σμ. μοι ἐ. καὶ σεμνὴ Eus. ἐξαρκεῖ Eus.

κέσει ἀμφοτέροις»*. (2) Ὁ δὲ Κύριος ἀναγνοὺς ταῦτα ἀντιγράφει πρὸς αὐτὸν οὕτως· «Μακάριος εἶ** πιστεύσας ἐπ' ἐμέ, μὴ ἑωρακώς με. (63ª) Περὶ δὲ οὗ ἔγραψας***, ἐλθεῖν (με) πρός σε, δέον ἐστὶ πληρῶσαι πάντα δι' ἃ ἀπεστάλην (ἐνταῦθα), καὶ**** ἀναλη-
5 φθῆναι πρὸς τὸν ἀποστείλαντά με. Καὶ οὕτως ἀποστελῶ σοί τινα τῶν μαθητῶν μου, καὶ ἰάσεταί σου τὸ πάθος καὶ ζωήν σοι καὶ τοῖς ἔν σοι παρέξει». (3) Ταύταις οὖν ταῖς ἐπιστολαῖς ἔτι καὶ ταῦτα συνῆπτο τῇ τῶν Σύρων φωνῇ, Θαδδαίου πράξαντος μετὰ τὴν ἀνάληψιν τοῦ Κυρίου· «Ὁ τοίνυν Αὔγαρος ἀκούσας τὴν ἐπιστο-
10 λὴν τοῦ Κυρίου, μᾶλλον εἰς πόθον καὶ πίστιν ἐξήφθη μείζονα, κἂν ἐν εἰκόνι τὸν Χριστὸν μόνον θεάσασθαι· καὶ ἀποστέλλει ζωγράφον, ὥστε τὸ θεῖον εἶδος ἐκεῖνο διαχαράξαντα πρὸς αὐτὸν κομίζειν ὡς τάχιστα. Τοῦ δὲ διαμαρτῶντος τοῦ σκοποῦ διὰ τὴν ὑπερβάλλουσαν τοῦ προσώπου χάριν τε καὶ λαμπρότητα, αὐτὸς τῷ οἰκείῳ προσώ-
15 πῳ ὀθόνην ἐπιθεὶς ἐναπομάττει τὸ ἑαυτοῦ ὁμοίωμα καὶ πέμπει τῷ ἐρῶντι τὸ ποθούμενον». (4) Καὶ μέντοι καὶ πρὸ τούτου πάλιν, ὡς αὐτὸς ἱστορεῖται, ὅτι περ, Κυρίου τεχθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ὁ τῶν Περσῶν βασιλεὺς εὐφυῆ τινα ζωγράφον ἐξέπεμψεν, ὃς τὴν τοῦ τεχθέντος καὶ τῆς τεκούσης εἰκόνα διαγράψας πρὸς αὐτὸν
20 ἤγαγεν· εἰ δὲ οὐ πάντα κατὰ τὴν εὐαγγελικὴν ἱστορίαν ἀναγέγραπται, οὐ παρὰ τοῦτο καὶ ἄπιστα· οὐδὲ γὰρ τὰ «ἄλλα σημεῖα, ἃ ἐποίησεν ὁ Ἰησοῦς», ἀπετετέλεστο, πολλά γε ὄντα, «ὡς μηδὲ χωρεῖν τὸν κόσμον καθ' ἓν γραφόμενα», ἐπειδὴ «οὐκ ἀναγέγραπται», φησὶν ὁ μέγας εὐαγγελιστὴς Ἰωάννης. (5) Ὁ οὖν Τιβέριος τοιοῦτος
25 ὑπάρχων ἄριστος ἐν νεότητι καὶ λόγοις φιλοσόφοις καὶ ῥητορικοῖς

---

* ἡμῖν. ἔρρωσο Cod. — Cod. 309,22—310,6 prolixius cum Eusebio. — ** Αὔγαρε Cod. Eus. — 2. ἐν ἐμοὶ Cod. Eus. deest Io. XX. 29. — *** μοι Cod. Eus. — 4. π. πλ. με Cod. π. δι' ἃ ἀπ. ἐ. πλ. με Eus. — **** μετὰ τὸ πληρῶσαι Cod. μετὰ τὸ π. οὕτως Eus. — 4. ἀν. (με) π. (τὸν) ἀπ. με (πατέρα)· ἐπειδὰν δὲ ἀναληφθῶ, ἀποστείλω σοι ἕνα τῶν Cod. καὶ ἐπ. Eus. — 6. μου ὀνόματι Θαδδαῖον ὅστις καὶ τὸ π. σου θεραπεύσει καὶ ζ. αἰώνιον καὶ εἰρήνην σοι παρασχῇ κτλ. Cod. μου ἵνα ἰασ. Eus. — 7. σύν σοι παράσχηται Eus. — T. δὲ. Eus. — 9. τῇ Σφ. Μετὰ δὲ τὸ ἀναληφθῆναι τὸν Ἰησοῦν, ἀπέστειλεν αὐτῷ Ἰούδας, ὁ καὶ Θωμᾶς, Θαδδαῖον τὸν ἀπόστολον κτλ. — ἃ καὶ οὐχ εἰς ἄχρηστον πρὸς λέξιν ἐκ τῶν Σύρων μεταβληθέντα φωνῆς ἐνταῦθά μοι κατὰ καιρὸν κείσθω. Eus. — 21. Io. XX. 30; XXI. 25. — 22. ἀ. στητέλ. cod., om. Bulg.— 23. οὐκ ἔστι γεγραμμένα Io. — 24. Cod. 337,22—338,16. Ὅρα μεταβολὴν κατανυκτὴν Τιβερίου καὶ φρίξον, glossa in margine codicis. — 25. ὁ γοῦν — ἐν ν. ἀρ. Cod.

καὶ βελτίστοις * ἔργοις κομῶν ὁ γενναδας **, αἰφνίδιον εἰς τὴν χείρονα μετεβλήθη γνώμην, ὥστε καὶ παραφρονεῖν αὐτὸν νομισθῆναι καὶ *** ὑπὸ δαίμονος ἐλαύνεσθαι πρὸς πᾶσαν ἀνοσιουγίαν καὶ μιαιφονίαν τε καὶ οἰστρηλατσίαν· καὶ οὐ μόνον ἐν τοῖς κατὰ φύσιν καὶ παρὰ φύσιν ἑαυτὸν ἐβεβήλωσε καθ' ὑπερβολήν, ἀλλὰ καὶ ἐν πάσῃ ἀδικίᾳ καὶ τυραννίδι. Οὕτως οὖν τὴν ἀρχὴν διοικήσας καὶ ἐξ ἀγαθοεργίας εἰς κακουργίαν κατενεχθείς, φοβερᾷ μὲν ὠμότητι, μυσαρᾷ [δὲ] πλεονεξίᾳ καὶ αἰσχρουργίᾳ καταστρέφει τὸν βίον, ἀναιρεθεὶς ὑπὸ Γαΐου. Νοσοῦντος γὰς αὐτοῦ, ἱμάτια πολλὰ ἐπιθεὶς, αὐτὸν ἀπέπνιξεν, μηδὲ ἐκ τῆς προλαβούσης καλοκαγαθίας καὶ ἀριστείας ὠφεληθείς, ἀλλὰ καὶ μᾶλλον ὑπὸ πάντων μισηθεὶς ὡς ἐν **** τέλει τὸ πᾶν ἐξυβρίσας καὶ διαφθείρας καὶ εἰς ἀιώνιον κόλασιν μετὰ τῶν ***** ὁμοίων ἀσεβῶν κατενεχθείς· τοὺς γὰρ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν. Εἰκότως οὖν ὁ μὲν ἀπόστολος ἔλεγεν· «Ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν, καὶ ἐπιτελέσει». Ὁ δὲ Κύριός φησιν· «Ὁ ὑπομεῖνας εἰς τέλος, οὗτος σωθήσεται».

CXVI. ΒΑΣΙΛΕΙΑ ΓΑΙΟΥ.

37
(5237) Μετὰ δὲ Τιβέριον ἐβασίλευσε Γαῖος Καῖσαρ, ἀνεψιὸς αὐτοῦ, ὁ Καλλιγουλᾶς, ἔτη δ', ὃς τὸ μὲν πρῶτον μεγαλοφρόνως διέπων τῆς βασιλείας τὰ πράγματα, πᾶσι τοῖς ὑπηκόοις καθηκόντως ἐκέχρητο ******. (2) Ὕστερον δὲ μετὰ β' χρόνους ἐκστὰς τῆς ἀνθρωπίνης φρονήσεως, κατὰ μίμησιν τοῦ θείου ἑαυτὸν ἀπεθέωσεν καὶ ἀνδριάντα ἑαυτοῦ κατὰ πόλιν ἐν τοῖς ναοῖς, ναὸν θεσπίσας νέ(63[b])ου

---

* τρόπους καὶ Ced. — ** πρὸς γῆρας ἐλθὼν Ced. quod in codice ante λόγοις legitur. — *** ὡς Ced. — **** τῷ Ced. — ***** αὐτοῦ Ced. — 13. ἀπεν. Ced. — ἐγκρίνοντας Ced. — 15. Phil. I. 6. — 16. Mt. XXIV. 13. — 17. βίον μηδὲν ἐκσωθήσεται Ced. Τοῦτον Γάϊος ὁ ἀδελφιδοῦς ἐν τῇ νόσῳ ἀ. ἱ. π. περιθεὶς ἀπ. 346. 1, 2. — ****** Οὗτός ποτε προϊὼν κατὰ τὴν ἀγορὰν καὶ πηλὸν ἐν τῇ ἀγορᾷ ἰδὼν, ἤγαγε Φλάβιον Οὐεσπασιανὸν ἀγορανόμον ὄντα, καὶ, ὡς ἀμελήσαντα, εἰς τὴν ἑσθῆτα βληθῆναι ἐκέλευσε, ὅπερ ἐσήμανε τὰ κοινὰ τεταραγμένα αὐτὸν παραλήψεσθαι. Οὗτος ἐσφάγη ὑπὸ Κλαυδίου. — 20. διῆπ. cod.

Γαΐου ἱερὸν, προσέταξεν ὀνομάζεσθαι. (3) Καὶ οὐ μόνον Ἰουδαίους ἐτυράννησε *, ἀλλὰ καὶ πάντας τοὺς ἐν Ῥώμῃ ἐπισήμους ἀναιρῶν, ἐλάμβανεν αὐτῶν τὰς οὐσίας· πρὸς τούτου δουκρατίαν νομοθετήσας ἐπέτρεψε κατηγορεῖν τῶν δεσποτῶν, εἴτις συνίδῃ ἐν αὐτοῖς πλημμέλημα· καὶ τοσοῦτον δεινὴ συμφορὰ κατεῖληφε τὴν οἰκουμένην πᾶσαν, τῶν οἰκετῶν μεγάλαις τιμωρίαις ὑποβαλλόντων τοὺς δεσπότας· ἕκαστος γὰρ αὐτῶν ἀμύνασθαι τὸν ἴδιον δεσπότην ἐσπούδαζεν ὑπὲρ ὧν πρὸς αὐτοῦ βασάνων προέπασχεν. (4) Οὐ μὴν δὲ ἀλλὰ καὶ εἰς μανίαν ἐκτραπεὶς ἄθεσμον, στολὰς γυναικείας ἠμφιέννυτο καὶ τὴν κόμην πλοκάμοις καὶ πλοκίνοις περιστέλλων καὶ γυναικιζόμενος καὶ πᾶσαν αἰσχρουργίαν διαπραττόμενος, τελετὰς ἐπενόει καὶ ξένα μυστήρια ἐπετέλει. (5) Καὶ δή ποτε λαβὼν τὴν οἰκείαν θυγατέρα καὶ εἰς τοὺς κόλπους τοῦ ἀγάλματος αὐτὴν θέμενος οὕτως ἔφη· «Σὺ ταύτην γεγέννηκας καὶ πατὴρ αὐτῆς ἔννομος ὑπάρχεις. (6) Ταῦτα τοίνυν στρατιῶται θεωροῦντες αὐτὸν ποιοῦντα καὶ μὴ ὑποφέροντες, διεχειρίσαντο αὐτὸν ἐν τῷ βαλανείῳ λουόμενον **.

(7) Ἐφ' οὗ Θευδᾶς ὁ ἐν ταῖς πράξεσι τῶν ἀποστόλων μνημονευόμενος πλάνος, ἀναπείσας πολλοὺς, ἐπηγγείλατο τεμεῖν τὸν Ἰορδάνην καὶ δίοδον ποιῆσαι τῷ λαῷ. Καὶ διαμαρτήσας ἀνῃρέθη καὶ οἱ μετ' αὐτοῦ πάντες. (8) Καὶ ὁ πύργος ἔπεσε τοῦ Σιλωὰμ ἐπὶ τοὺς ιη' ἄνδρας. (9) Καὶ Στέφανος ὁ πρωτομάρτυρ ἐμαρτυρήθη.

---

* Ἐπὶ Γαΐου Ἀγρίππας βασιλεύει τῆς Ἰουδαίας καὶ Σίμων ὁ μάγος παρὰ Φιλίππου βαπτίζεται, (Ced. 346,4—10)—3. δουλοκρ.?—6. ἱκετῶν cod.—17. ** Σχόλιον. Ἐπὶ Γαΐου κατέπαυσαν οἱ τῶν Ἰουδαίων ἡγεμονεύοντες τετράρχαι. Τούτῳ διαβληθεὶς ὁ Πιλάτος παραστάσιμος ἀνηνέχθη εἰς Ῥώμην καὶ εἰς τοσαύτην περιπέπτωκε περίστασιν, ὥστε αὐτοφονητὴν αὐτοῦ γενέσθαι. Οἱ δὲ Ἰουδαῖοι εἰς μείζονας ἀταξίας ἐτράπησαν, ὥστ πολλοὺς αὐτῶν ὑπὸ Ῥωμαίων ἀναιρεθῆναι. Ὁ δὲ Καῖσαρ Γάϊος Ἡρῴδην ἄλλον Ἀριστόβουλον, ὃν καὶ Ἀγρίππαν ἔλεγον, βασιλέα τῆς Ἰουδαίας ἀνέδειξεν, παραδοὺς αὐτῷ πάσας τὰς τετραρχίας. Οὗτος δεινῶς ἐκάκοποίει τοὺς μαθητὰς τοῦ Χριστοῦ, ἀνεῖλε δὲ Ἰακώβον, τὸν ἀδελφὸν Ἰωάννου, μαχαίρᾳ· οὐκ ἐπαύσατο δὲ ὁ προειρημένος Ἡρῴδης ἕως οὗ τῆς θείας δίκης πεῖραν ἔλαβε καὶ γενόμενος σκωληκόβρωτος ἐξέψυξε. a. 38 (5238) — a. 45 — 47. Act. V. 36, Ios. A. 20. IV. I. — 21. Luc. XIII. 4, a. 32? — 24. Act. VII. 60, a. 40?

(10) Καὶ Παῦλος ἐπίστευσε. (11) Καὶ Φίλων καὶ Ἰώσηπος, οἱ ἐξ Ἑβραίων σοφοί, ἐγνωρίζοντο, ὅστις Ἰώσηπος, φιλαληθὴς ὑπάρχων, μέμνηται Ἰωάννην τὸν πρόδρομον καὶ τὸν Χριστόν. Καὶ περὶ μὲν Ἰωάννου λέγει τάδε· «Τισὶ δὲ τῶν Ἰουδαίων ἐδόκει διολωλέναι τὸν Ἡρώδου στρατὸν ὑπὸ * θεοῦ, καὶ μάλα δικαίως τιννυμένους δίκην διὰ ποινὴν Ἰωάννου τοῦ καλουμένου βαπτιστοῦ. Τοῦτον γὰρ Ἡρώδης κτείνει, ἀγαθὸν ἄνδρα, τοῖς Ἰουδαίοις κελεύοντα ἀρετὴν ἐπασκεῖν καὶ τὰ πρὸς ἀλλήλους δικαιοσύνην, καὶ πρὸς τὸν θεὸν εὐσεβείᾳ χρωμένους, βαπτισμῷ συνιέναι». — Περὶ δὲ τοῦ Χριστοῦ πάλιν ἔφη· «Γίνεται δὲ κατὰ τὸν χρόνον τοῦτον Ἰησοῦς, ἀνὴρ σοφὸς, εἴγε ἄνδρα λέγειν αὐτὸν χρή· ἦν γὰρ παραδόξων ἔργων ποιητὴς καὶ διδάσκαλος ἀνθρώπων τῶν ἐν ἡδονῇ τἀληθῆ δεχομένων, καὶ πολλοὺς μὲν τῶν Ἰουδαίων, πολλοὺς δὲ καὶ ἀπὸ τοῦ ἑλληνηνισμοῦ ἀπηγάγετο. Ὁ Χριστὸς οὗτος ἦν· Καὶ αὐτὸν, ἐνδείξει τῶν πρώτων ἀνδρῶν παρ' ἡμῖν, σταυρῷ ἐπιτετιμηκότος Πιλάτου, οὐκ ἐπαύσαντο οἱ πρὸ τοῦ κτείνειν ἀγαπήσαντες. Ἐφάνη γὰρ αὐτοῖς τρίτην ἔχων ἡμέραν πάλιν ζῶν, τῶν θείων προφητῶν ταῦτά τε καὶ ἄλλα μυρία περὶ αὐτοῦ θαυμάσια προειρηκότων. Εἰσέτι καὶ νῦν τῶν Χριστιανῶν ἀπὸ τοῦδε ὠνομασμένων οὐκ ἐπέλιπε τὸ φῦλον».

(12) Ταῦτα τοῦ ἐξ Ἑβραίων συγγραφέως διεξελθόντος, ποίαν ἀπολογίαν ἢ συγγνώμην ἔχουσιν ἀνοηταίνοντες οἱ ἐμβρόντητοι Ἰουδαῖοι; Τοιγαροῦν ὁ Χρυσόστομός φησι· «Πολλῷ μείζονα τοῦ Χριστοῦ τὸν Ἰωάννην ἐνόμιζον εἶναι, διὰ τὸ τὸν μὲν ἐν ἐρημίᾳ τραφῆναι τὸν ἅπαντα χρόνον καὶ υἱὸν ἀρχιερέως καὶ τοιαύτην στολὴν περικεῖσθαι καὶ πάντας ἐπὶ τὸ βάπτισμα καλεῖν καὶ ἀπὸ στείρας

---

25. Ios. A. 18. V. 2. ὀλωλέναι; Ced. 344,18. — 345,2. — * τοῦ Jos. — 5. δ. τιννυμένου Ios. δικαίαν τιννυμένου Ced. — 6. κατὰ π. Ios. — ἐπικαλ. Ios. — Κτ. γὰρ τ. Ἡ. Ios. — 7. καὶ τοὺς Ἰουδαίους Ios. — 10. III. 3. Ced. 345,2.—τοῦτον τὸν χ. Ios. — 11. ἀ. λ. Ios. — 12. π. δ. Ios. — τῶν ἡδ. Ios. — 13. μὲν Ἰουδαίους Ios.— καὶ τοῦ Ios. — ἑπηγ. Ios. — ἑλληνικοῦ Ios. — καὶ πολλοὺς γὰρ καὶ ἀπὸ Ἑλλήνων ἠγάγετο Χριστὸς, ὃν Πιλάτου σταυρώσαντος Ced. — 15. αὐτὸς cod. — 16. οἵγε πρῶτον αὐτὸν ἀγ. Ios. οἳ πρῶτον κτήνειν οἱ πρῶτον ἀγ. cod. οἱ τὸ πρῶτον αὐτὸν ἀγ. Leo, κηρύσσοντες περὶ αὐτοῦ οἱ τὸ πρ. ἀ. ἀγ. Ced. — 17. ἡμ. ἔχ. Ced. — 19. καὶ εἰρηκότων Ced. 3. π. ἀ. εἰρ. ἐ. τε νῦν Ios. — 23. VIII. 90 C—91. A.

τεχθῆναι, τὸν δὲ Χριστὸν καὶ διὰ τὸ ἐξ εὐτελοῦς κόρης εἶναι — ὁ γὰρ ἐκ παρθένου τόκος οὐδέπω καταδηλος ἦν πᾶσιν — καὶ διὰ τὸ ἐν οἰκίᾳ τραφῆναι καὶ μετὰ πάντων ἀναστρέφεσθαι καὶ τὴν κοινὴν ταύτην ἐσθῆτα περιβάλλεσθαι, ἔλαττον αὐτοῦ ὑπώπτευον εἶναι, οὐδὲν οὐδέπω τῶν ἀποῤῥήτων εἰδότες ἐκείνων. Συνέβη δὲ καὶ βαπτισθῆναι αὐτὸν παρὰ Ἰωάννου, ὅπερ μᾶλλον ἐβεβαίου τὴν ὑπόνοιαν ταύτην. Ἐννόησον οὖν ἡλίκον ἦν ἰδεῖν· ἄνθρωπον μετὰ ἔτη λ' φοβερὸν ἀπὸ τῆς ἐρήμου καταβαίνοντα, βαθείαν μὲν τὴν ὑπήνην ἔχοντα, μειζοτέραν δὲ τὴν κόμην καὶ τρίχας καμήλου ἡμφιεσμένον καὶ τῶν ἀνθρωπίνων μηδέποτε δεηθέντα». (13) «Καὶ γὰρ ἦν θαυμαστὸν ἄγαν καὶ παράδοξον, ἐν ἀνθρωπίνῳ σώματι καρτερίαν τοσαύτην ἰδεῖν, ὃ δὴ καὶ τοὺς Ἰουδαίους ἐφείλκετο μᾶλλον, τὸν μέγαν Ἠλίαν ἐν αὐτῷ βλέποντας καὶ πρὸς τὴν ἐκείνου μνήμην παραπεμπομένους ἐκ τῶν ὁρωμένων τότε, μᾶλλον δὲ καὶ πρὸς ἔκπληξιν μείζονα. Ἐκεῖνος μὲν γὰρ * ἐν πόλεσι καὶ ἐν οἰκίαις ἐτρέφετο πολλάκις τὴν κοινὴν τροφὴν ταύτην. Οὗτος δὲ ** τὴν ἔρημον ᾤκησεν ἐκ σπαργάνων αὐτῶν», δι' ὅλου τῶν ἀνθρωπίνων βρωμάτων τε καὶ πομάτων ἀπηλλαγγμένος, ὅθεν φησὶν ὁ Κύριος· «Ἦλθε Ἰωάννης ἐν ὁδῷ δικαιοσύνης, μήτε ἐσθίων μήτε πίνων».

CXVII. ΠΕΡΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑ ΚΛΑΥΔΙΟΥ.

Μετὰ δὲ Γάϊον ἐβασίλευσε Κλαύδιος ἔτη ιδ'· καὶ φονεύσας τοὺς φονεῖς Γαΐου, ἀνῃρέθη ὑπὸ τῆς ἰδίας γυναικὸς φαρμάκῳ. 41 (5240)

(2) Ἐφ' ᾧ χρόνῳ Ἰάκωβος ὁ Ζεβεδαίου ἐμαρτύρησε, καὶ Σίμων ὁ μάγος ἀντιτασσόμενος Πέτρῳ δεινότητι λόγου καὶ μαγείας ἀπάτῃ χρώμενος ἀντεφέρετο γενναῖος τοῖς ὑπὸ τοῦ ἀποστόλου λεγομένοις λόγοις. Ἀντετάσσετο δὲ τῷ ἀσεβεῖ Σίμωνι καὶ Κλήμης ὁ Ῥωμαῖος, Πέτρου μαθητής, λόγῳ πεπαιδευμένῳ ἄκρῳ ἑλληνικῷ τε καὶ ῥωμαϊκῷ.

---

10. VII. 143. E. — 12. τ. κ. Chr. — 13. μ. ἐφ. Chr. — 13. τοῦ μακαρίου μν. ἐκ. Chr. — 15 πλείονα ἐκπ. Chr. — * καὶ Chr. — ** δι' ὅλου Chr. — 18. Mt. XI. 18. — 21. Cod. 346,14? ιγ', μῆνας. θ'. — 23. Cod. 347,21,362,12—364,3. Ἐπὶ τούτου κτλ. 27. πεπαιδευμένος ἄκρως?

(3) Περιῆν δὲ ἐπὶ Κλαυδίου καὶ ὁ ἐν ταῖς πράξεσιν ἐμφερόμενος Αἰγύπτιος ληστής, ὁ ἐξαγαγὼν τοὺς σικαρίους εἰς τὴν ἔρημον, οὓς καὶ μετῆλθε Φῆλιξ· σικαρίους δὲ αὐτοὺς ἐκάλουν διὰ τῶν μαχαιρῶν ὧν ἔφερον· μακρὰς γὰρ μαχαίρας ἐπιφερόμενοι, σικάρια ταῦτα προσαγορεύσαντες, λαθραίως τοὺς παρατυγχάνοντας ἔ ἔπληττον.

42 (5245) 45 (5248) (4) Καθ' ὃν χρόνον μεταξὺ Θήρας καὶ Θηρασίας νῆσος ἀνεφυσήθη ἀπὸ σταδίων λ'. (5) Καὶ λιμὸς ἐνέσκηψε μέγας τε καὶ παγκόσμιος κατὰ τὴν προφητείαν Ἀγάβου *.

CXVIII. ΠΕΡΙ ΑΣΚΗΤΩΝ ΒΙΟΥ. 10

Καὶ Μάρκος ὁ εὐαγγελιστὴς ἐν Αἰγύπτῳ πρῶτος ἐκκλησίαν πηξάμενος, πολλὰ μοναστήρια συνεστήσατο, ἅπερ σεμνεῖα τότε προσηγορεύθησαν. (Τὰ γὰρ μέχρι δεῦρο ἐν ἐκείνῃ τῇ χώρᾳ μέγιστα μοναστήρια τυγχάνοντα, οὗτος καὶ πρῶτος ἐξ ἀρχῆς συνεστήσατο), 15 καθὼς καὶ Εὐσέβιος ὁ Παμφίλου δηλῶν οὕτω φάσκει· (2) «Μάρκον πρῶτον ἴσμεν ἐν Αἰγύπτῳ τὸ εὐαγγέλιον συγγεγραφέναι καὶ ἐκκλησίας πρῶτον ἐπ' αὐτῆς Ἀλεξανδρείας συνίστασθαι. Τοσαύτη δὲ (καὶ) τῶν αὐτόθι πεπιστευκότων πληθὺς ἀνδρῶν τε καὶ γυναικῶν ἐκ πρώτης ἐπιβολῆς συνέστη δι' ἀσκήσεως φιλοσοφωτάτης τε 20 καὶ σφοδροτάτης, ὡς καὶ συγγραφῆς (αὐτὸν) ἀξιῶσαι, τὰς διατριβάς τε καὶ συνελεύσεις ** καὶ πᾶσαν *** ἄλλην τοῦ ἀρίστου βίου

---

1. Περὶ σικαρίων Ced. 347,3 — 6, Act. XXI. 38, Ios. A. 20. VIII. 6, b. I. 2. XIII. 5, Eus. Chr. II. 271: a. Cl. 5. — 7. Ced. 347,6 — 8, Eus. Chr. II. 211. — 8. Act. XI. 28. Eus. Chr. II. 271. Cl. 8.— 9. κ. τὴν πρ. Ἀγ. om. versio Bulg.— * Οὗτος δειλὸς ὢν ὁ Κλαύδιος, πάντας τοὺς προσίοντας αὐτῷ ἐποίησεν ἐρευνᾶσθαι μήτι ξιφίδιον ἔχουσι καὶ [ἐν] τοῖς συμποσίοις ὡπλισμένοι εἰς φυλακὴν παρεστήκασιν αὐτῷ, ἐξ οὗ καὶ εἰς τοὺς λοιποὺς εἴθιστο γενέσθαι. Καὶ τοὺς κατηγορήσαντας τῶν ἰδίων δεσποτῶν δούλους καὶ ἀπελευθέρους μονομαχεῖν ἠνάγκαζε καὶ διαφθείρεσθαι· τινὰς δὲ καὶ τοῖς ἰδίοις παρέδωκε δεσπόταις. Μύκηται δὲ πεφαρμαγμένον φαγὼν ἐτελεύτησε. Ced. 346,14—18. et Leo.—11. Ced. 347,21—348,3.—12. πηξαμένου cod.— 16. κ. φησὶν Ε. ὁ Π. ὅτι Ced. — Ced. 348,3—15. — 18. Μ. πρ. φασὶ ἐπὶ τῆς Αἰγύπτου στειλάμενον τὸ ἑ. ὃ δὴ καὶ συνεγράψατο κηρύξαι, ἐκκλησίας τε πρ. ἐπ' ἀ. Ἀ. συστήσασθαι Eus. II. 16. — 19. Τ. δ' ἄρα τῶν Eus. — 21. γρ. αὐτῶν Eus. — 22. δ. καὶ τὰς συνηλύσεις Eus. — ** τότε συμπόσια Eus. — *** τὴν Eus.

διαγωγὴν, Φίλωνα», τὸν σοφώτατον καὶ αὐτόπτην Πέτρου τοῦ ἀποστόλου καὶ αὐτήκοον καὶ συνόμιλον ἐν Ῥώμῃ γενόμενον. — «Τῶν γὰρ (64ᵇ) παρ' ἡμῖν ἀσκητῶν — ἀποδεχόμενος τὸν βίον, ἐκθειάζει σφόδρα καὶ σεμνύνει τοὺς κατ' αὐτὸν ἀποστολικοὺς ἄνδρας, ἐξ Ἑβραίων, ὡς ἔοικε, γεγονότας» — καὶ τῶν Ἐσσαίων τὴν ἄσκησιν καὶ πολιτείαν εὖ μάλα προακουσθέντων, ἥτις γε τῶν Φαρισαίων καὶ γραμματέων τὴν δικαιοσύνην ἐξ ἐπιμέτρου διενέστηκε· ἀπόγονοι γὰρ ἦσαν Ἰωναδὰβ υἱοῦ Ῥηχὰβ καθὼς φησιν· «Ὁ πατὴρ ἡμῶν ἐνετείλατο ἡμῖν λέγων· Οὐ μὴ πιήτε οἶνον ὑμεῖς καὶ οἱ υἱοὶ ὑμῶν ἕως τοῦ αἰῶνος· καὶ οἰκίας οὐ μὴ οἰκοδομήσητε καὶ σπέρμα οὐ μὴ σπείρητε, καὶ ἀμπελὼν οὐκ ἔσται ὑμῖν, ἀλλ' ἐν σκηναῖς κατασκηνώσετε πάσας τὰς ἡμέρας ὑμῶν, ὅπως ἂν ζήσητε πολλὰς ἡμέρας ἐπὶ τῆς γῆς ἐφ ἧς διατρίβετε». Καὶ εἰσηκούσαμεν τῆς φωνῆς Ἰωναδὰβ, τοῦ πατρὸς ἡμῶν, τοῦ φυλάξαι ταῦτα πάντα διὸ φησὶν ὁ Θεός· «Ἐπειδὴ ἤκουσαν οἱ υἱοὶ Ἰωναδὰβ, υἱοῦ Ῥηχὰβ, τὴν ἐντολὴν τοῦ πατρὸς αὐτῶν, ποιεῖν ὅσα ἐνετείλατο αὐτοῖς, οὐ μὴ ἐκλείπῃ ἀνὴρ τῶν υἱῶν* Ῥηχὰβ παρεστηκὼς κατὰ πρόσωπόν μου πάσας τὰς ἡμέρας τῆς γῆς».)

(3) Ἐκ τῶν δικαίων οὖν τούτων καταχθέντες (οἱ Ἐσσαῖοι) οὗτοι (καὶ θαυμάσιοι μᾶλλον ἐπηύξησαν καὶ προσέθεσάν τε καὶ) ἐπέτειναν τήν (τε πανάγαστον καὶ) πανάρεστον ἀκτημοσύνην καὶ τὴν θεοφιλῆ καὶ θεοπρεπῆ σκληραγωγίαν καὶ ἀνυπέρβλητον ἁγιωσύνην, ὥς ἐστιν ἀκοῦσαι τὰ περὶ αὐτῶν ἐναργῶς ὧδε· (4) Ἐσσαῖοι (ὥς φησιν Ἰώσηπος) Ἰουδαῖοι μὲν εἰσι τὸ γένος, φιλάλληλοι δὲ καὶ τῶν ἄλλων εὐλαβεῖς πλέον, οἱ τὴν μὲν ἡδονὴν ὡς κακίαν ἀποστρέφονται, τὴν δὲ σωφροσύνην καὶ ἐγκράτειαν καὶ τὸ

---

1. τοῦ β. ἀγωγὴν τὸν Φ. Eus. — 4. Ἀλλὰ καὶ τὸν βίον τῶν παρ' ἡ. ἀ. — ἀπ. ἐκθειάζων τε καὶ σεμνύνων Eus. II. 17. — 6. προακουτισθ. Ced. — 7. γ. καὶ φ. Ced. — 8. προγ. codex. — 12. οἰκήσετε Ier. XXXV. 6 — 8, 18,19. — 19. ἡμ. π. Ier. — οἷς cod. — διατρίβεται cod. — 14. ἡμῶν πρὸς τὸ μὴ πιεῖν κτλ. Ier. — 15. Διὰ τοῦτο οὕτως εἶπε κς Ier. — * Ἰωναδὰβ υἱοῦ Ier. — 19. Ced. 348,15 — 18 ἀπὸ γὰρ Ἰωναδὰμ υἱοῦ Ῥηχὰβ καταγόμενοι οὗτοι. — 21. τὴν παν. ἀκτ. καὶ δικαιοσύνην καὶ σωφροσύνην καὶ σκληραγωγίαν ἐπ. καθὼς φησι καὶ Ἰώσηπος περὶ αὐτῶν ὅτι Ced. — 23. Ced. 348,17 — 350,31. — 24. Ios. b. I. 2. VIII. 2. Ἐσσηνοὶ μὲν γ. ὄντες om. εὐλ. — 25. Οὗτοι τὰς μὲν ἡδονὰς Ios. — 26. σ. καὶ om. Ios.

μὴ τοῖς πάθεσιν ὑποπίπτειν, ἀρετὴν ὑπολαμβάνουσιν. Καὶ γάμος, μὲν παρ' αὐτοῖς ὑπερορᾶται, τοὺς δὲ ἀλλοτρίους παῖδας νέους ἔτι προσλαμβανόμενοι καὶ διδάσκοντες ὡς * συγγενεῖς ἡγοῦνται καὶ τοῖς ἤθεσιν ἑαυτῶν ἐντυποῦσιν. Καὶ τὸν μὲν ἔννομον καὶ σώφρονα γάμον καὶ τὴν ἐξ αὐτοῦ διαδοχὴν ἀποδέχονται, τὰς δὲ παρανόμους καὶ θεοστυγεῖς μίξεις καὶ ἀσελγείας τέλειον ἀποστρέφονται καὶ ἀποβάλλονται. Καταφρονεῖται δὲ καὶ παρ' αὐτοῖς πλοῦτος καὶ πολυκτησία, καὶ τὴν ἀκτημοσύνην ὡς ἀπέριττον καὶ ἐνάρετον ἀσπάζονται. — Καὶ πρὶν μὲν ἀνίσχειν τὸν ἥλιον οὐδὲν ἀργὸν φθέγγονται, προσευχὰς δὲ καὶ ψαλμῳδίας πρὸς τὸν θεὸν ἐκ μέσης νυκτὸς μέχρις αὐγῆς ἀναφέρουσιν μετ' εὐλαβείας καὶ σεμνότητος· καὶ οὕτω πρὸς ἣν ἔχει ἕκαστος τέχνην ὑπὸ τοῦ προεστῶτος ἀποστέλλεται· καὶ μέχρι ς' ὥρας ἐργασάμενοι συντόνως, μετὰ νήψεως καὶ θεολογίας, οὕτως ἐπὶ τὸ δειπνήτηριον συναθροίζονται μετὰ εὐλαβείας καὶ ἡσυχίας πολλῆς. Καὶ ὁ μὲν σιτοποιὸς ἐν τάξει παρατίθησιν ἄρτους, ὁ δὲ μάγειρος ἓν ἀγγεῖον ἐξ ἑνὸς ἑδέσματος πάντοτε προσάγει· προκατεύχεται δὲ τῆς τροφῆς ἁγνῆς οὔσης καὶ καθαρᾶς ὁ ἱερεύς· ἀθέμιτον γὰρ πρὸ τῆς εὐχῆς ἡγοῦνται γεύσασθαί τι. Καὶ πάλιν ἀριστησάντων ὁ ἱερεὺς ἐπεύχεται καὶ ἁπλῶς ἀρχόμενοί τε καὶ παυόμενοι γεραίρουσι τὸν θεὸν ἀδιαλείπτως. Καὶ αὖθις ἐπ' ἔργα μέχρις ἑσπέρας διακαρτερήσαντες, μετὰ τῆς συνήθους σιωπῆς καὶ σεμνο(65ᵃ)πρεποῦς καταστάσεως, ἐπὶ τὰς εὐχὰς πάλιν ἐπὶ τὸ αὐτὸ εἰσέρχονται καὶ τοὺς βραχυτάτους ὕπνους καὶ κουφοτάτους, οὕπερ ἐστιν αἴτιον ἡ διηνεκὴς νῆψις καὶ τὸ μετρεῖσθαι

---

2. Καὶ γάμου μὲν ὑρεροψία παρ' ἀ. Ios. — 3. π. ἐκλαμβάνοντες ἀπαλοὺς ἔτι πρὸς τὰ μαθήματα σ. Ios,— 3. νέους ἐπεὶ cod.—ἀγενεῖς cod. — * τοῖς Ios.— 4. ἐπιτ. cod. — Τὸν μὲν γ. Ios. — 5. δ. οὐκ ἀναιροῦντες, τὰς δὲ τῶν γ. ἀσ. φυλασσόμενοι Ios. — 7. Καταφρονηταὶ δὲ πλούτου, καὶ θαυμάσιον παρ' αὐτοῖς τὸ κοινωνικὸν κτλ. Ios. 3. — 9. Πρὶν γὰρ ἀνασχεῖν τὸν ἡ ὁ. φ. τῶν βεβήλων, πατρίους δέ τινας εἰς αὐτὸν εὐχὰς ὥσπερ ἱκετεύοντας ἀνατεῖλαι Ios. 5. — 11. Μετὰ ταῦτα π. ἃς ἕκαστοι τέχνας ὑπὸ τῶν ἐπιμελητῶν διαφίενται Ios. — 13. ε' Ios.—14. σ. ἔπειτα πάλιν εἰς ἓν ἀθροίζονται χωρίον — καθαροὶ καθάπερ εἰς ἅγιόν τι τέμενος παραγίνονται τὸ δ. Ios. Καὶ οὕτω—πολλῆς om. Slav. — 17. ἑδ. ἑκάστῳ παρατίθησιν Ios. — 18. ὁ ἱ. τῆς τρ. καὶ γ. τινα πρὶν τῆς ἐ. ἀθ. Ἀριστοποιησάμενος δὲ ἐπ. π. ἀρχ. Ios. — 24. ἕπερ cod.— Ὃν ὡς χωρηγὸν τῆς τροφῆς. ἔπειτα—πάλιν ἐπ' ἐ. μ. δείλης τρέπονται—οὐδὲ κραυγή ποτε τὸν οἶκον οὐδὲ θόρυβος μολύνει — καὶ τοῖς ἔξωθεν ὡς μυστήριόν τι φρικτὸν ἡ τῶν ἔνδον σιωπὴ καταφαίνεται. τούτου δὲ ἀ. Ios.

παρ' αὐτοῖς τροφὴν καὶ πόσιν λιτὴν καὶ ἀπερίεργον καὶ σπανίζουσαν. — Οὐδεὶς γὰρ παρ' αὐτοῖς κόρος καὶ χορτασία καλίας, ἀλλ' ἔνδεια πολλὴ καὶ ὀλιγοδεΐα. — Τὸν δὲ προσερχόμενον ζηλῶσαι τὸν βίον οὐκ εὐθὺς ἀδρκιμάστως καὶ ἀγυμνάστως παραδεχόνται, ἀλλ' * ἑκαυτὸν ἔξω μένοντι, τὴν αὐτὴν ὑποτίθενται δίαιταν καὶ κατάστασιν, ἀξινάριόν τε καὶ ** περίζωμα δόντες καὶ πεκχρὸν ἱμάτιον, γυμνάζουσιν ἐπ' ἔργοις ἀρίστοις καὶ λόγοις. Εἶτα μετὰ τὴν τῆς καρτερίας ἐπίδειξιν, δυσὶν ἄλλοις ἔτεσι τὸ ἦθος καὶ τὸ ἐν πᾶσι ὑπήκοον δοκιμάζεται, καὶ φανεὶς ἄξιος καὶ δόκιμος, οὕτως εἰς τὸν ἱερὸν ὅμιλον ἐγκρίνεται, καὶ πρό γε πάντων ὅρκους φρικώδεις καὶ ἀπατοῦσιν, πρῶτος μὲν εὐσεβεῖν καὶ θεραπεύειν ἐξ ὅλης ψυχῆς καθαρᾶς καρδίας καὶ σώματος τὸ θεῖον, ἔπειτα δὲ καὶ πρὸς ἀνθρώπους δίκαια φυλάττειν ἅπαντα καὶ ἀπροσωπόληπτον, μήτε κατὰ γνώμην βλάψειν τινὰ μήτε μὴν συγκοινωνεῖν ἀδίκοις, ἀλλὰ κατὰ δύναμιν τοῦ δικαίου φροντίζειν — καὶ βιάζεσθαι πάντοτε — καὶ τὸν ἐνήδονον καὶ περιττὸν καὶ ὑγρὸν ἀποστρέφεσθαι βίον μέχρι θανάτου. Πρὸς δὲ τούτοις ὀμνύουσι πάλιν μηδενὶ μηδὲν τοπαράπαν μεταδοῦναι τῶν δογμάτων καὶ (τὰ) τῶν ἁγιοπρεπῶν τούτων ἐπιτηδευμάτων ἢ, ὡς αὐτὸς ἀκριβῶς παρέλαβεν, ἀπέχεσθαι δὲ πάσης ἐναντίας δόξης καὶ λατρείας καὶ ταύτῃ μόνῃ προσανέχειν τῇ θείᾳ μέχρις αἵματος θρησκείᾳ καὶ καταστάσει.

(5) Τοσαύτη δέ ἐστιν ἡ περὶ τὴν δίαιταν λιτότης καὶ ὀλιγότης τῶν θαυμαστῶν ἀνδρῶν ἐκείνων, ὡς ὅλῃ τῇ ἑβδομάδι μὴ δεῖσθαι κενώσεως, ἐξ ἧς ἀσκήσεως τοσαύτης πεποίηνται σφοδρὰν τὴν καρτερίαν, ὥστε καὶ πόη φαγεῖν ὀλίγα, καὶ μόνον ἀρκεῖσθαι

---

1. ποτὸν μέχρι κόρου Ios. — 3. Τῷ δὲ προσερχομένῳ cod. — 5. Τῷ δὲ ζηλοῦντι τὴν αἵρεσιν αὐτῶν οὐκ εὐθὺς ἡ παροδος, ἀλλ' Ios. 7. — * ἐπ' Ios. — 6. δ. ἀξ. Ios. — ** τὸ προειρημένον Ios. — 8. π. καὶ λευκὴν ἐσθῆτα δέντες—παραλαμβάνεται δὲ εἰς τὰς συμβιώσεις εὐδέπω μ. γὰρ τὴν Ios. — 9. ἡ. δοκ. Ios. — 9. ἀξ. οὕτως εἰς τὸν ὁμ. Ios.— 10. Πρὶν δὲ τῆς κοινῆς ἅψασθαι τροφῆς ὁ. αὐτοῖς ὄμνυσι φ. Ios.— 11. εὐσεβήσειν τὸ θεῖον, ἐπ. τὰ π. ἀ. δ. φυλάξειν καὶ μ. κ. γ. β. τ. μ. ἐξ ἐπιτάγματος, μισήσειν δὲ ἀεὶ τοὺς ἀδίκους καὶ συναγωνιεῖσθαι τοῖς δικαίοις Ios. — 15. Καὶ μήτε κρύψειν τι τοὺς αἱρετιστὰς μήτε ἑτέροις αὐτῶν τι μηνύσειν κἂν μέχρι θανάτου τις βιάζηται. πρ. τ. ὁμ. Ios.—17. μηδὲν μετ. τῶν δ. ἑτέρως ἢ ὡς ἀ. μετελ. ἀφέξεσθαι δὲ λῃστείας καὶ συντηρήσειν ὁμοίως Ios. 19. ὡς αὐτὰς?—22. Cod. 350,21—352,2.—24. σφοδροὶ?— 25. μόνοις?—ἀρκοῦνται cod. Εἰσὶ δὲ ἐν αὐτοῖς οἳ καὶ τὰ μ. πρ. ὑπισχνοῦνται βίβλοις ἱεραῖς καὶ διαφόροις ἁγνείαις καὶ πρ. ἐμπ. Ios. 12.

πολλάκις κἀντεῦθεν εἰκότως ἐν αὐτοῖς πολλοὺς τὰ μέλλοντα προγινώσκειν ἐκ θείας ἐπιπνοίας καὶ χάριτος καὶ ἀκαταπαύστου μελέτης προφητῶν καὶ [λοιπῶν] ἱερῶν λογίων καὶ προσευχῆς ἐμπαιδοτριβουμένους.

(6) Ταύτην οὖν* Ἰώσηπος ἄκρως ἀσκήσας τὴν φιλοσοφίαν ἐπὶ μεῖζόν τι προκόπτειν ἔσπευσεν. Ἀκούσας γάρ τινα διαφερόντως ἀσκοῦντα κατὰ τὴν ἔρημον Ἀββᾶν ὀνομαζόμενον, — ἐσθῆτι μὲν ἀπὸ δένδρων ἀποκαλυπτόμενον, τροφῇ δὲ αὐτομάτως φυομένῃ χρώμενον, καὶ τὴν ἄκραν ἄσκησιν αὐτοῦ ζηλώσας, πρὸς αὐτὸν ἀφίκετο καὶ τρεῖς παρ' αὐτῷ φιλοσοφήσας ἐναυτοὺς εἰς τὴν πόλιν ὑπέστρεψε καὶ τῇ τῶν Φαρισαίων ἐπολιτεύετο δικαιοσύνῃ.

(7) Ὁ δὲ γε Φίλων, ὡς εἴρηται, περὶ τῶν ἐξ Ἑβραίων ἡμετέρων ἀσκητῶν ἀναφανέντων μέμνηται σαφῶς» ἐν τῷ λόγῳ, ἐν ᾧ ἐπέγραψε περὶ θεωρητικοῦ βίου, οὓς θεραπευτάς, καὶ τὰς ὁμοιοσχήμους καὶ ὁμοτρόπους γυναῖκας καὶ θεραπεύτριδας» ὠνόμασε. Καὶ θεραπευταὶ μὲν, φησὶ, κέκληνται «ἢ παρὰ τὸ [τὰς ψυχὰς] τῶν προσιόντων αὐτοῖς ἀπὸ κακίας παθῶν, ἰατρῶν δίκην ἀπαλλάττοντας** θεραπεύειν ἢ*** τῆς περὶ τὸ θεῖον καθαρᾶς καὶ εἰλικρινοῦς θεραπείας ἕνεκα. (Ταύτην γοῦν τὴν προσηγορίαν εἴτε αὐτὸς (65[b]) ἐξευρὼν ἔγραψεν, εἴτε κατ' ἀρχὰς οἱ πρῶτοι τῶν οὕτω βιούντων ἐκαλοῦντο.)» Εἶτα, φησὶ,**** ἀρχόμενοι φιλοσοφεῖν ἐξίστανται τῶν προσηκόντων καὶ τῶν ὑπαρχόντων, ἔπειτα δὲ πάσαις ἀποταξάμενοι ταῖς τοῦ βίου φροντίσι καὶ ἔξω τειχῶν προελθόντες ἐν μοναγρίοις καὶ κήποις ἢ ἐν ὄρεσι τὰς διατριβὰς ποιοῦνται, τὰς ἐκ τῶν ἀνο-

---

1. πολλοὶ cod. Εἰσὶ δὲ οἱ — 2. ἐκ τῆς πολλῆς δὲ ἀσκήσεως καὶ καθαρότητος π. καὶ τὰ μ. προγινώσκουσιν ἐκ θ. ἐπ. καὶ χ. ἀκαταπαύστῳ μελέτῃ cod. — 3. προσευχῇ ἐμπαιδοτριβούμενοι Ced. — 5. Ced. 351,3 — 9. Ios. vita 2. — * ὁ Ced. — 6. ἐπὶ μεῖζονι πρ. Ced. εἰς μεγάλην παιδείας προύκοπτον ἐπίδοσιν Ios. — 7. Βανοῦν ὄνομα Ios. — 8. δ. χρώμενον, τροφὴν δὲ τὴν ἀ. φυομένην προσφερόμενον — ζηλωτὴς ἐγενόμην αὐτοῦ καὶ διατρίψας παρ' ἀ. ἐν. γ' — εἰς τὴν π. ὑπέστρεφον — ἠρξάμην δὲ πολιτεύεσθαι τῇ φ. αἱρέσει Ios. — 12. Ced. 351,10 — 353,6. — 18. ἐν ᾧ ἐπ. λ. π. β. θ. ἢ ἱκετῶν, θ. αὐτοὺς καὶ τὰς σὺν αὐτοῖς γ. θ. ἀποκαλεῖσθαι φησὶ Eus. II. 17. — 16. ἤτοι Eus. — ** ἀκεῖσθαι καὶ Eus. — *** παρὰ τὸ cod. — 19. Εἶτ' οὖν ἐξ ἑαυτοῦ τ. αὐτοῖς ἐπιτέθειται τὴν πρ. — εἴτε καὶ ὄντως τοῦτ' αὐτοὺς ἐκάλουν κατ' ἀ. οἱ πρ. Eus. — **** πρῶτα μὲν Ced. — 21. ἐξίστασθαι τοῖς προσήκουσι τῶν ὑπ. Eus. — 23. προσελ. cod. — μονάγροις Ced. — 24. κ. καὶ ὀ. Ced. κ. Eus.

μιῶν ἀναμιξίας ἀλυσιτελεῖς τε καὶ βλαβερὰς * εἰδότες, τὸν προφητικὸν ζηλοῦσι καὶ ἀσκοῦσι βίον. Οὕτω πολλαχοῦ μὲν τῆς οἰκουμένης ἐστὶ τὸ γένος — ἔδει γὰρ ἀγαθοῦ τελείου μετασχεῖν καὶ τὴν Ἑλλάδα καὶ τὴν βάρβαρον — ἐν Αἰγύπτῳ δὲ πλεοναζει, καὶ μαλιστα περὶ τὴν Ἀλεξάνδρειαν — καὶ ἐν ἑκάστῃ συμμορίᾳ οἰκημά ἐστιν ἱερὸν, ὃ καλοῦσι σεμνεῖον καὶ μοναστήριον, ἐν ᾧ μονούμενοι, τὰ τοῦ σεμνοῦ βίου μυστήρια τελοῦνται, μηδεὶς μηδὲν κομίζων, μὴ πότον, μὴ σίτον, μηδέ τι τῶν ἄλλων, ὅσα πρὸς τὰς τοῦ σώματος χρείας ἀναγκαῖα, ἀλλὰ λόγους καὶ νόμους θεσπισθέντας διὰ προφητῶν καὶ ὕμνους καὶ τἄλλα εἰς ἐπιστήμην καὶ εὐσέβειαν συναύξονται καὶ τελειοῦνται. — Τὸ δὲ ἐξ ἑωθινοῦ μέχρις ἑσπέρας διάστημα σύμπαν αὐτοῖς ἐστιν ἄσκησις· ἐντυγχάνοντες γὰρ τοῖς ἱεροῖς γράμμασι, φιλοσοφοῦσι τὴν πάτριον φιλοσοφίαν. — Ἐγκράτειαν δὲ ὥσπέρ τινα θεμέλιον προκαταβαλλόμενοι τῇ ψυχῇ, τὰς ἄλλας ἐποικοδομοῦσιν ἀρετάς· σιτίον γὰρ ἢ ποτὸν οὐδεὶς ἂν αὐτῶν προσενέγκοιτο πρὸ ἡλίου δύσεως, ἐπειδήπερ τὸ μὲν φιλοσοφεῖν ἄξιον φωτὸς εἶναι κρίνουσιν, σκότους δὲ τὰς τοῦ σώματος ἀνάγκας. — Ἔνιοι δὲ καὶ δι' ἡμερῶν τριῶν ** ὑπομιμνήσκονται τροφῆς, οἷς πλείων ὁ πόθος τῆς ἐπιστήμης ἐνίδρυται. Τινὲς δὲ οὕτως ἐνθουσιῶσι καὶ τρυφῶσιν ὑπὸ σοφίας ἑστιώμενοι, πλουσίως καὶ ἀφθόνως τῷ σώματι χορηγούσης, ὡς καὶ πρὸς διπλασίονα χρόνον ἀντέχειν, μόγις δι' ἡμερῶν ἐξ ἀπογεύεσθαι τροφῆς (ἀναγκαίας) ἐθισθέντας. — Αἱ δὲ ἐξηγήσεις τῶν ἱερῶν λογίων γίνονται αὐτοῖς δι' ὑπονοιῶν ἐν ἀλληγορίαις· πᾶσα γὰρ ἡ νομοθεσία δοκεῖ τοῖς ἀνθρώποις τούτοις ζώῳ ἐοικέναι καὶ σῶμα μὲν ἔχειν τὰς ῥητὰς διαλέξεις, ψυχὴν δὲ τὸν ἐναποκείμενον ταῖς λέξεσιν ἀόρατον νοῦν. — Ὡσαύτως δὲ τῆς αὐτῆς εἰσὶν ἱερᾶς πολιτείας καὶ καταστάσεως καὶ γυ-

---

1. ἀνομοίων cod. Eus. — ἐπιμ. Ced. — ἀλ. καὶ Eus. — * εὖ Eus. — 4. πλεοναίζειν cod. πλεοναίζει δ' ἐν Α. Eus. — 5. ἐν ἐκ. δὲ οἰκίᾳ Eus. — 6. καλεῖται Eus. — 8. τελ. μηδὲν εἰσκομίζοντες Eus. — σιτίον Eus. — 9. ν. καὶ λόγια θεσπισθέντα Eus. — 10. τ. οἷς ἐπιστήμη καὶ εὐσέβεια Ced. Eus. — 16. θυσμαῖς cod. — ἐπεὶ τὸ Eus. — 17. φ. ἀ. κρ. ἐ. Eus. — σκότος cod. — 18. διὰ γ' ἡ. Eus. — ** οὐχ Eus. — 19. πλέον Ced. — π. ἐπ. Eus. — 20. εὐφρονοῦντες καὶ cod. — ἑστιώμενα cod. — 21. ἀ. τῷ σώματι χ. ἂς cod. — 22. ἀνάρχειν cod. — καὶ μ. δι' ἐξ ἡ. Eus. — 23. ἐθισθέντες Ced. Eus, ἐθισθέντ. cod. — 26. ἀποκ. Ced.

ναῖκες, «ὧν αἱ πλεῖσται γηραλέαι τυγχάνουσι καὶ παρθένοι καὶ τὴν ἁγνείαν οὐκ ἀνάγκῃ, καθάπερ ἔνιαι τῶν παρ' Ἕλλησιν ἱερειῶν, φυλάξασαι διὰ πρόσκαιρον ἔπαινον, ἀλλ' ἑκουσίως καὶ ἐκ προαιρέσεως ἀγαθῆς ὀρεχθεῖσαι τὰ μέλλοντα ἀγαθὰ καὶ αἰώνια.

(8) Ὅτι δὲ τοὺς πρώτους κήρυκας * τῆς κατὰ τὸ εὐαγγέλιον διδασκαλίας, τά τε ἀρχῆθεν πρὸς τῶν ἀποστόλων ἔθη παραδεδομένα, καταλαβὼν ὁ Φίλων ἐγράψε ταῦτα, παντί που δῆλον. (Πολύς γε μὴν τῷ λόγῳ καὶ πλατὺς ταῖς διανοίαις, ὑψηλός τε ὢν καὶ μετέωρος ἐν ταῖς θεωρίαις τῆς θείας γραφῆς **, ποικίλος καὶ πολύτροπος τῶν ἱερῶν λογίων τὴν ὑφήγησιν πεποίηται»). Καὶ ταῦτα μὲν Εὐσέβιος ἐν τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ διεξῆλθε, ἐν δὲ τοῖς πρὸς Μαρῖνον τοιάδε πάλιν φησίν.

CXIX. ΠΕΡΙ ΜΟΝΑΔΙΚΗΣ ΠΟΛΙΤΕΙΑΣ.

Καὶ γὰρ ἡ τοῦ Χριστοῦ ἐκκλησία δύο βίους νομοθετεῖ καὶ τρόπους, τὸν μὲν ὑπερφυῆ καὶ τῆς κοι(66ª)νῆς καὶ ἀνθρωπίνης οὐσίας ἐπέκεινα, οὐ γάμους, οὐ παιδοποιΐας, οὐ περιουσίας ὕπαρξιν παραδεχόμενον, ἀλλ' ὅλον δι' ὅλου τῆς κοινῆς καὶ συνήθους τῶν βιωτικῶν ἀνθρώπων ἀγωγῆς παρηλλαγμένον καὶ μόνον τῇ τοῦ θεοῦ θεραπείᾳ προσοικειωμένον καθ' ὑπερβολὴν ἔρωτος οὐρανίου· οἱ γὰρ τόνδε μετριῶντες τὸν τρόπον, τεθνᾶναι δοκοῦντες τὸν θνητὸν βίον καὶ αὐτὸ μόνον τὸ σῶμα περιφέροντες ἐπὶ γῆς, φρονήματι δὲ τὴν ψυχὴν εἰς οὐρανοὺς μετενηνεγμένοι, οἷά τινες οὐράνιοι, τὸν τῶν ἀνθρώπων ὑφορῶσι βίον, ὑπὲρ τοῦ παντὸς γένους ἀφιερωμένοι τῷ ἐπὶ πάντων θεῷ, οὐ βοοθυσίαις καὶ αἵμασιν οὐδὲ σπονδαῖς καὶ κνίσσαις, ἀλλὰ δόγμασιν ὀρθοῖς ἀληθοῦς εὐσεβείας, καὶ ψυχῆς διαθέσιν κεκαθαρμένοι· καὶ προσέτι τοῖς κατ' ἀρετὴν ἔργοις τε καὶ λόγοις, οἷς τὸ θεῖον ἐξιλε-

---

1. τυγχανούσι π. τὴν Eus. — 2. ἱερισσῶν cod. — 3. φ. μᾶλλον ἢ καθ' ἑκούσιον γνώμην — οὐ θνητῶν ἐκγόνων ἀλλ' ἀθανάτων ὀρ. Eus. — 5. Cod. 353,7 — 11. — * καὶ cod. — 7. π. ἔθη Eus. H. E. II. 17. — τ. ἐγ. Eus. — π. τῷ δ. Eus. — 8. ὑψ. τε καὶ Eus. II. 18. — 9. εἰς τὰς θείας γραφὰς Eus. — ** γεγενημένος Eus. — 10. ποικίλην καὶ πολύτροπον τῶν ἱ. λόγων π. τὴν ὑφ. Eus. — 12. ὡς καὶ Ἐ. ἐν τῇ ἐ. ἱ. ταυτα λέγει· ὁ αὐτὸς δὲ καὶ ἐν τοῖς π. Μ. ταῦτα φ. Cod. — Hic Eusebii locus inedilus esse videtur.

οὑμενοι τὴν ὑπὲρ αὐτῶν καὶ τῶν ὁμογενῶν ἀποτελοῦσιν ἱερουργίαν. Καὶ ὁ μὲν ἀτελὴς καὶ πρῶτος τῆς κατὰ χριστιανισμὸν πολιτείας τρόπος τοιόσδε καθέστηκεν. Ὁ δὲ δεύτερος καὶ ὑποβεβηκὼς ἀνθρωπινώτερος καὶ τοῦ πρώτου λίαν ἀσύγκριτος, ὃς καὶ γάμοις συγκατιέναι σώφροσι καὶ παιδοποιΐαις, οἰκονομίᾳ τε τοῖς κατὰ τὸ δίκαιον ἐπιμελεῖσθαι, στρατεύομενοί τε καὶ τὰ πρακτέα ὑποτίθεσθαι, ἀγρῶν τε καὶ ἐμπορίας καὶ τῆς ἄλλης πολιτικοτέρας ἀγωγῆς μετὰ τοῦ θεοσεβοῦς φροντίζειν, οἷς καὶ ἀσκήσεων καιροί, μαθητείας τε καὶ τῶν θείων λογίων ἀκροάσεως ἡμέραι ἀφορίσθησαν· καὶ δεύτερος εὐσεβείας ἀπενεμήθη βαθμὸς καταλληλον τῷ τοιῴδε βίῳ παρέχων τὴν ὠφέλειαν.

(2) Ὡσαύτως καὶ ὁ θεῖος Ἀθανάσιος ἔφη· «Δύο γὰρ ὁδῶν καὶ πολιτειῶν οὐσῶν ἐν τῷ βίῳ, μιᾶς μὲν μετριωτέρας καὶ βιωτικῆς, τοῦ γάμου λέγω, ἑτέρας δὲ ἀγγελικῆς, ἀποστολικῆς τε καὶ ἀνωπερβλήτου, τῆς παρθενίας ἤτοι τῆς μοναδικῆς πολιτείας, εἰ μέν τις τὴν κοσμικὴν τούτεστι τὸν γάμον ἕλοιτο, μέμψιν μὲν οὐκ ἔχει, τοσαῦτα δὲ χαρίσματα οὐ λήψεται — λήψεται γὰρ — ἐπειδὴ φέρει καὶ αὐτὸς [καρπὸν] τὸν τριάκοντα· εἰ δὲ τὴν ἁγνὴν καὶ ὑπερκόσμιον ἀσπάσοιτό τις, εἰ καὶ τραχεῖα περὶ τὴν ἀρχὴν μάλιστα καὶ δυσκατόρθωτος φαίνεται, ἀλλ' ἔχει, μετὰ τὴν ἔννομον ἄθλησιν καὶ καρτερίαν, χαρίσματα θαυμασιώτερα καὶ ἔνδοξα· τὸν γὰρ τέλειον καὶ πληρέστατον καρπόν, τὴν ἑκατονταπλασίαν λέγω, φαιδρὸν καὶ ἁγιοπρεπῆ φανερῶς πάντως ἐβλάστησε. Οὐκοῦν ὥσπερ ὁ παλαιὸς νόμος εἰς δύο βίους ἦν διῃρημένος, εἴς τε τὸν Φαρισαϊκὸν καὶ ὑψηλὸν καὶ εἰς τὸν ἐπιδεέστερον κοσμικόν, οὕτω δὴ καὶ ὁ κατὰ χριστιανισμὸν νέος θεσμὸς εἰς μοναδικὸν ὑπερφερῆ καὶ βιωτικόν»;

(3) Φαρισαῖοι τοίνυν οἱ ἑρμηνευόμενοι ἀφωρισμένοι καὶ μεμερισμένοι, παρὰ τὸ μερίζειν καὶ ἀφορίζειν ἑαυτοὺς τῶν ἄλλων ἁπάντων, ἐλέγοντο εἴς τε τὸ καθαρώτατον τοῦ βίου καὶ ἀκριβέστατον

---

12. Cod. 353,11 — 354,19. — μέγας Ἀθ. Ced. — Locus, ut videtur, ineditus. — 15. ἀγ. καὶ ἀπ. καὶ Ced. — 18. τὴν τριακονταπλασίαν Conj. Bekkeri ad Ced. e seq. ἑκατονταπλασίαν. — 19. περὶ Sic jam conjecerat Bekker ad Ced. pro παρὰ ed. — 21. θ. καὶ ἀξιάγαστα Ced. — 28. ἁγ. π. ἐγκατέστησε Ced. — 25. ὑποθ. καὶ κ. Ced. — 27. Ced. 354,4 — 19. — τ. ἑρμ. Ced.

καὶ εἰς τὰ τοῦ νόμου ἐνταλματα. Τὸν δ' αὐτὸν βίον μετήρχοντο καὶ οἱ γραμματεῖς, παρ' οἷς καὶ πολιτεία ἡ αὐτὴ, ἐγκράτειά τε καὶ παρθενία, καὶ νηστεία δὶς τοῦ σαββάτου, ξεστῶν καὶ πινάκων καὶ ποτηρίων καθαρισμοὶ, ἀποδεκατώσεις τε καὶ ἀπαρχαὶ καὶ ἐνδελιχεῖς εὐχαὶ καὶ τὰ λοιπὰ πάντα, ὑπεξαιρουμένων (66[b]) δηλονότι τῶν θαυμασίων Ἐσσαίων ὡς ὑπερτέρων σφόδρα καὶ λίαν ὑπερκειμένων. Ἦν δὴ Φαρισαϊκὴν, ὡς ἄριστον πολιτείαν, ὁ Παῦλος ζηλώσας, εὖ μάλα σεμνύνεται φάσκων· «Ἰσραηλίτης εἰμι, φυλῆς Βενιαμὶν), Ἑβραῖοις ἐξ Ἑβραίων, κατὰ νόμον Φαρισαῖος». Ὅθεν εἰκότως καὶ ὁ Κύριος ἡμῶν τὸν τελειότερον καὶ εὐαγγελικὸν ὑποτιθέμενος ἐναργῶς βίον, ἔφασκε πρὸς τοὺς ἐραστὰς τῆς οὐρανίου κληρουχίας». «Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν Φαρισαίων καὶ γραμματέων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». (4) Ἔνθεν γέ τοι καὶ ὁ ἀποστολικὸς Διονύσιος, (ὡς ἔοικεν) ἀποσεμνύνων τὴν ἱερὰν τῶν μοναχῶν τάξιν, οὕτω φάσκει»· Ἡ δὲ τῶν τελουμένων ἁπασῶν ὑψηλοτέρα τάξις, ἡ τῶν μοναχῶν, ἐστὶν ἱερὰ διακόσμησις, πᾶσαν μὲν ἀποκεκαθαρμένη κάθαρσιν ὁλικῇ δυνάμει καὶ παντελεῖ τῶν οἰκείων ἐνεργειῶν ἀγνότητι, (πάσης δὲ ὅσης θεμιτὸν θεωρεῖν αὐτὴν ἱερουργίαν, ἐν νοερᾷ θεωρίᾳ καὶ κοινωνίᾳ γεγενημένη καὶ ταῖς τῶν ἱεραρχῶν τελειωτικαῖς δυνάμεσιν ἐγχειριζομένη καὶ ταῖς ἐνθέοις αὐτῶν ἐλλάμψεσι καὶ ἱερουγικαῖς παραδόσεσιν ἐκδιδασκομένη καὶ τὰς ἐποπτευθείσας τῶν κατ' αὐτὴν ἱερῶν τελετῶν ἱερουργίας, καὶ πρὸς τῆς ἱερᾶς αὐτῶν ἐπιστήμης, ἀναλόγως εἰς τελειοτήτην ἀναγομένη τελείωσιν). Ἔνθεν οἱ θεῖοι καθηγεμόνες ἡμῶν ἐπωνυμιῶν αὐτοὺς ἱερῶν ἠξίωσαν (καὶ) οἱ μὲν θεραπευτὰς, οἱ δὲ μοναχοὺς ὀνομάσαντες ἐκ τῆς τοῦ θεοῦ καθαρᾶς ὑπηρεσίας καὶ θεραπείας (καὶ τῆς ἀμερίστου καὶ ἑνιαίας ζωῆς ὡς ἑνοποιούσης αὐτοὺς ἐν ταῖς τῶν ἀρετῶν ἱεραῖς συμπτύξεσιν εἰς θεοειδῆ μονάδα καὶ φιλόθεον τελείωσιν· δι' ὃν καὶ τελεστι-

---

1. εἰς τὸν ν. cod. — μετέρχονται Ced. — 3. π. ν. Ced. — 8. Phil. III. 5. — 10. ἀγγελ. Ced. — 12. Mt. V. 20. — 13. γ. καὶ Φ. Ced. — 14. Ced. 354,19—355,2. — 15. οὕτω φησί Ced. Dionysius hier. VI. 3. ed. Paris. 1615 p. 133. C.—16. Μηδὲ cod.— 17. κεκαθαρμένην cod.—19. θεμ. αὐτῇ θ. ἱερουργίας. — 20. γεγενημένοις etc. cod.— 23. ἐπωνύμων ἑαυτοὺς Ced. ἐπ. ἀ. ἱ. ἠ. οἱ D. — 26. ὀνομάζοντες D. — 27. αἰωνίου cod. — 28. διαιρετῶν D. — 29. δὶ οὗ cod., δι' ὃ D.

κὴν αὐτὴν ἱερᾷ θεσμοθεσίᾳ χάριν ἐκάλεσε καί τινος αὐτοὺς ἠξίωσεν ἀφιερωτικῆς ἐπικλήσεως, οὐχὶ θεραπευτικῆς· ἐκείνη γὰρ ἐπὶ μόναις ἐκείναις γίνεται ταῖς ἱερατικαῖς τάξεσιν, ἀλλ' ἱερουργικῆς ὑπὸ τῶν ὁσίων ἀρχιερέων τῇ ἱεραρχικῇ τελειουργίᾳ δευτέρως ἱερουργουμένης». (5) Ταῦτα (δὲ) ἐκ πολλῶν ἐρευνησάμενος ὀλίγα, ἀναγκαίως οἶμαι, συντέθεικα διὰ τοὺς ἐπαποροῦντας πῶς καὶ ποῦ καὶ πόθεν ἡ τῶν μοναχῶν ἤρξατο διαγωγή τε καὶ ἄσκησις καὶ τάξις, ποῦ τοίνυν εἰσὶν οἱ τὴν μοναδικὴν πολιτείαν μετὰ τῶν ἄλλων τῆς ἀποστολικῆς ἐκκλησίας θείων παραδόσεών τε καὶ θεσμῶν, εἰκονομάχοι δυσσεβῶς καὶ ἀνοήτως ἀποβαλλόμενοι καὶ διαπτύοντες, ἀρτιφανεῖς Ἰουδαῖοι καὶ κατὰ τὸν ἀσεβῆ καὶ θεοστυγῆ μυσταγωγὸν αὐτῶν Κοπρώνυμον, νέον καὶ πρόσφατον * δογματίζοντες ἐξ ἄκρας ἀπονοίας τε καὶ ἀμελείας καὶ ἀβελτηρίας «μὴ νοοῦντες ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται»; Ἡμεῖς δὲ ταῖς διδασκαλίαις τῶν ἁγίων πατέρων ἑπόμενοι καὶ ἀρχαίαν ταύτην καὶ παλαιὰν πιστεύομεν ὑπάρχειν. (6) Καὶ οὐ θαυμαστὸν περὶ τῆς μοναδικῆς οὐσίας, ὅτι λέγουσιν πολλῷ μᾶλλον περὶ τῶν λοιπῶν ἁπάντων· δυσωπείτω οὖν αὐτούς, εἰ καὶ μὴ ὁ θεσπέσιος καὶ ἀποστολικὸς Διονύσιος, ἀλλά γε κἂν οὗτος ὁ μέγας καὶ ἀποστολικὸς Εὐσέβιος μάλα περὶ αὐτῆς δι' ἀκριβείας ἐξηγούμενος· καὶ παυσάσθωσαν οἱ ἀνοηταίνοντες, οἱ ἅμα καὶ ἀλόγιστοι. Ἰδοὺ γὰρ προφανῶς ἐκ περιουσίας διαβεβαιοῦται καὶ Φίλωνα προάγει μάρτυρα φιλαληθῆ τε καὶ ἀξιόχρεον, ὡς ἀποστολικὴ (67ᵃ) τάξις ὑπάρχει καὶ παράδοσις ἀρχαιοτάτη καὶ θεοφιλεστάτη· ἰσχυραὶ γὰρ αἱ παρὰ τῶν ἐχθρῶν μαρτυριαι πεφύκασι, βεβαιοῦσαι τὴν παρ' ἡμῶν ἀλήθειαν, μηδαμῶς τὸ ἀμφήριστον ὑποδέχεσθαι· ἀκουέτωσαν δέ γε, πρὸς τοῖς παλαιοῖς τούτοις ἐξηγηταῖς, οἱ πανάθλιοι καὶ παλαιοὶ τὴν κακίαν, καὶ ἄλλων μεταγενεστέρων θείων πατέρων περὶ τῶν αὐτῶν ἐν ἐπιτόμῳ διεξίοντων καὶ συμφωνούντων ἐκείνοις, ἵνα κἂν οὕτως δυνηθῶσι τάχα μικρὸν ἀνεθῆναι τῆς πολλῆς μανίας καὶ λύσεως.

---

1. αὐτοῖς ἐδωρήσατο χ. ἡ ἱερὰ θεσμοθεσία D. — 2. οὐχ ἱεραρχικῆς D. — 4. ἱερέων D. — 5. Cod. 358,3—14. — ἐρανισάμενος Cod. — 7. ἐπ. πότε καὶ πόθεν Cod. — 12. νέαν Cod. — * ταύτην Cod. — 13. ἀκ. μανίας τε καὶ ἀπ. καὶ ἀβ. Cod. — 14. 1 Tim. I. 7. — 26. ἀφίριστον cod. отрицаное Slav.

(7) Ὁ γάρ τοι μέγας Βασίλειος περὶ τῆς ἀποταγῆς καὶ μοναδικῆς πολιτείας διεξιὼν, οὕτως ἔφη· «Διὰ τοῦτο * ὁ φιλάνθρωπος Κύριος, κηδόμενος ἡμῶν τῆς σωτηρίας, εἰς δύο βίους διεῖλε τὰ τῶν ἀνθρώπων, συζυγίαν ** καὶ παρθενίαν, ἵνα ὁ μὴ δυνάμενος ὑπενεγκεῖν τὸν τῆς παρθενίας καὶ ἀσκήσεως ἄθλον, ἔλθῃ εἰς συνοίκησιν γυναικὸς, ἐκεῖνο εἰδὼς ὡς ἀπαιτηθήσεται λόγον σωφροσύνης καὶ ἁγιασμοῦ καὶ τῆς πρὸς [τοὺς] ἐν συζυγίαις καὶ τεκνοτροφίαις ἁγίους ὁμοιώσεως· (οἷος ἦν ἐν μὲν τῇ παλαιᾷ διαθήκῃ Ἀβραὰμ, ὃς τῇ τοῦ θεοῦ προτιμήσει τὸν μονογενῆ θυσιάζων ἀπαθῶς, ἐμεγαλαύχει καὶ τὰς τῆς σκηνῆς αὐτοῦ θύρας διαπεπετάσμένας εἶχε πρὸς ὑποδοχὴν τῶν ἐπιξενοῦσθαι μελλόντων ἑτοιμαζόμενος. Εἰ γὰρ ἤκουσεν· «Πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς τοῖς· πτωχοῖς», καὶ τὰ μείζονα τούτων ἐπεδείξατο Ἀβραὰμ καὶ Ἰὼβ καὶ Σαμουὴλ καὶ Δαυὶδ καὶ ἕτεροι πλεῖστοι, ἐν δὲ τῇ νέᾳ διαθήκῃ Πέτρος καὶ οἱ λοιποὶ τῶν ἀποστόλων. Ἀπαιτηθήσεται γὰρ πᾶς τυὸς καρποὺς τῆς πρὸς θεὸν ἀγάπης καὶ τὸν πλησίον καὶ τῆς παρατροπῆς τῶν ἐντολῶν τούτων — φησὶ γὰρ ὁ Κύριος· «Ὁ ἀγαπῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστί μου ἄξιος». Καὶ ὃς οὐ μισεῖ τὸν πατέρα καὶ τὴν μητέρα αὐτοῦ καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχὴν, οὐ δύναταί μου εἶναι μαθητής». Ἆρά σοι οὐ δοκεῖ καὶ *** ὑπογυναίοις τεθῆναι τὰ εὐαγγέλια; ἰδοὺ σεσαφήνισταί σοι ὡς) ἅπαντες ἄνθρωποι ἀπαιτηθησόμεθα τὴν πρὸς τὸ εὐαγγέλιον ὑπακοὴν, μοναχοί τε καὶ οἱ ἐν συζυγίᾳ· ἀρκέσει γὰρ τῷ ἐπὶ γάμον ἐλθόντι ἡ συγγνώμη τῆς ἀκρασίας καὶ τῆς πρὸς τὸ θῆλυ ἐπιθυμίας τε καὶ συνουσίας· τὰ δὲ λοιπὰ τῶν ἐντολῶν πᾶσιν ὁμοίως νενομοθετημένα οὐκ ἀκίνδυνα τοῖς παραβαίνουσιν. (Καὶ γὰρ εὐαγγελιζόμενος ὁ Χριστὸς τὰ τοῦ πατρὸς ἐνταλματα, τοῖς ἐν τῷ κόσμῳ διελέγετο·) εἰ δέ που συνέβη αὐτὸν

---

1. Βασιλείου τοῦ μεγάλου de abdicatione rerum II. 233. D, Cod. 355,15—356,4. Ἀλλὰ καὶ ὁ μ. Β. π. ὑποτ. — 2. ἐξιὼν Cod. — * καὶ Cod. — 3. φ. θς Β. — κ. τῆς ἡ· σ. Β.—δύο δ. β. Β. — ** λέγω Β.— 5. π. ἄθλον ἔλθοι ἐπὶ σ. Β. — 7. καὶ τὴν—ὁμοίωσιν Cod.—9. ἀσυμπ. Β. — 12. Οὐ γὰρ Β. — Mt. XIX. 21. — 14. ἐπ. Ἰὼβ καὶ ἑ. π. τε καὶ Σ. Β.—15. δ. οἷος Π. ἦν καὶ Β. — 17. Mt. X. 37. — Luc. XIV. 26. — *** τοῖς Β.—21. τεθεῖσθαι Β. — 22. πάντες γὰρ ἀνοῖ Cod. — 23. συζυγίαις Β. Cod. — 24. εἰς συγγνώμην τὸ τῆς Cod. — 27. παρ. καθὼς φησιν ὁ κς πρὸς τοὺς ἑ. μαθητὰς Cod.

αὐτὸν καὶ κατ' ἰδίαν ἐπερωτηθέντα τοῖς ἑαυτοῦ μαθηταῖς ἀποκρίνεσθαι, διεμαρτύρετο λέγων· «Ὃ δὲ ὑμῖν λέγω, πᾶσι λέγω». (Μὴ τοίνυν ἀποπέσῃς, ὦ οὗτος, ὁ πρὸς κοινωνίαν γυναικὸς προῃρημένος, ὡς ὑπ' ἐξουσίας ἔχων τὸν κόσμον περιβάλλεσθαι· πλειόνων γάρ σοι πόνων καὶ φυλακῆς χρεία πρὸς τὴν τῆς σωτηρίας ἐπιτυχίαν, ἅτε δὴ καὶ ἐν μέσῳ * παγίδων καὶ τοῦ κράτους τῶν ἀποστατικῶν δυνάμεων οἰκεῖν ἐκλεξαμένῳ καὶ τοὺς ἐρεθισμοὺς τῶν ἁμαρτιῶν ἐπ' ὄψιν ἔχοντι καὶ πρὸς τὴν αὐτῶν ἐπιθυμίαν νύκτωρ τε καὶ μεθ' ἡμέραν ἐκμεμοχλευμένῳ πάσας σου τὰς αἰσθήσεις. Γίνωσκε οὖν ὡς οὐκ ἀποδράσεις τὴν πρὸς τὸν ἀποστάτην παλαίστραν οὐδὲ τῆς τούτου νίκης καθάψῃ ἄνευ πόνων πολλῶν τῶν ἐπὶ φυλακῇ τῶν εὐαγγελικῶν διαγμάτων».)

(8) Καὶ ταῦτα μὲν ἐν παραδρόμῳ πρὸς τοὺς ἐν συζυγίᾳ ἀκινδύνως τὴν τῶν ἐστολῶν τοῦ Χριστοῦ φυλακὴν καταμελοῦντας εἰρήσθω. Σὺ δὲ (67[b]) ὁ τῶν οὐρανίων πολιτευμάτων ἐραστὴς καὶ τῆς ἀγγελικῆς διαγωγῆς πραγματευτὴς καὶ τῶν ἁγίων μαθητῶν τοῦ Χριστοῦ συστρατιώτης γενέσθαι ἐπιθυμῶν, τόνωσον σεαυτὸν πρὸς ὑπομονὴν θλίψεων, κἂν ἀνδρείως προσέλθῃς τῇ συγκλήτῳ τῶν μοναχῶν, ἰδοὺ τοίνυν, καὶ ὁ θεῖος διδάσκαλος, εἰς δύο βίους τὸν Χριστὸν διελέσθαι τὰ τῶν ἀνθρώπων φάσκει· καὶ τὸν μὲν κόσμον καὶ γεώδη, τὸν δὲ οὐράνιον, ἀγγελικόν τε καὶ ἀποστολικόν· ὡς καὶ ἑτερόθεν πάλιν φησί· Μάθε, διδάχθητι ἀποστολικὴν πολιτείαν τούτεστιν ὀφθαλμῶν ἀκρίβειαν, γλώσσης ἐγκράτειαν, σώματος δουλαγωγίαν, φρόνημα ταπεινόν, ἐννοίας καθαρότητα, ὀργῆς ἀφανισμόν· ἀγγαρευόμενος πρόσστηθι, ἀποστερούμενος μὴ δικάζου, μισούμενος ἀγάπησον, διωκόμενος ἀνέχου, βλασφημούμενος παρακάλει, νεκρώθητι τῇ ἁμαρτίᾳ, συσταυρώθητι τῷ Χριστῷ. Ὅλην τὴν ἀγάπην μέταθες ἐπὶ τὸν Κύριον. Ἀλλὰ χαλεπὰ ταῦτα· τί τῶν ἀγαθῶν εὐκολώτερον; τίς καθεύδων τρόπαιον ἔστηκεν; τίς τρυφῶν καὶ καταυλούμενος τοῖς τῆς καρτερίας κατεκοσμήθη στεφάνοις; Οὐδείς

---

1. σ. καὶ κατ' ἰ. ἐπ. ἀ. ἀπ. τ. ἀ. μ. B. — 2. M. XIII. 27. — 3. ἀναπ. B. — 4. ἐκ ἐξ. B. — περιβαλέσθαι B. — * τῶν B. — 8. ἐν ὄψεσιν B. — 10. Γ. τοίνυν ὡς B. — 12. δογμ. B.

μὴ δραμὼν ἀνεῖλε τὸ βραβεῖον· πόνοι γεννῶσι δόξαν· κάματοι προσξενοῦσι στέφανον· «διὰ πολλῶν θλίψεων δεῖ ὑμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Φημὶ κἀγώ, ἀλλὰ τὰς μὲν θλίψεις ταύτας ἡ βασιλεία τῶν οὐρανῶν καὶ μακαριότης ἐκδέχεται, τοὺς δὲ τῆς ἁμαρτίας καμάτους τὸ τῆς γεέννης ἐπίπονον καὶ σκυθρωπὸν πῦρ ἄσβεστον ἀναμένει.

Ταύτῃ τοι καὶ ὁ θεηγόρος Νεῖλος ἔφη· «Φιλοσοφεῖν ἐπετήδευσαν μὲν Ἑλλήνων καὶ Ἰουδαίων οὐκ ὀλίγοι, μόνοι δὲ τὴν ἀληθινὴν σοφίαν ἐζήλωσαν οἱ Χριστοῦ μαθηταί, ἐπεὶ καὶ μόνοι — τὴν ὄντως σοφιαν ἔσχον διδάσκαλον. Οἱ μὲν γὰρ πρότεροι καθάπερ ἐν σκηνῇ δρᾶμα ὑποκρινόμενοι, ἀλλοτρίῳ ἑαυτοὺς κατεκόσμησαν προσωπείῳ, ὄνομα κενὸν ὑποδύντες, ἀληθοῦς φιλοσοφίας ἐστηρημένοι· ἐν μὲν τῷ τρίβωνι καὶ τῇ ὑπήνῃ καὶ τῇ βακτηρίᾳ τὸ φιλόσοφον ἐνδεικνύμενοι, περιεπόντες καὶ τὸ σῶμα, καὶ ταῖς ἐπιθυμίαις ὡς δεσποίναις ὑπηρετούμενοι, γαστρὸς ὄντες δοῦλοι, καὶ τὰς ὑπογαστρίους ἡδονὰς ὡς φύσεως ἔργον ἀποδεχόμενοι, ταῖς λαμπραῖς τραπέζαις κυνιδίων δίκην λίχνων ἐφαλλόμενοι, οὐκ εἰδότες ὅτι πρὸ πάντων ἐλεύθερον δεῖ εἶναι τὸν φιλόσοφον καὶ μᾶλλον φεύγειν τὸ δοῦλον εἶναι παθῶν ἢ ἀργυρόνητον καὶ οἰκότριβα· τὸ γὰρ ἀνθρώπων εἶναι δοῦλον οὐδὲν ἴσως ἔβλαψε τὸν ὀρθῶς βεβιωκότα, τὸ δὲ πάθεσιν ὡς δεσπόταις χρώμενον ὑπηρετεῖν ταῖς ἡδοναῖς, αἰσχύνην ἤνεγκεν καὶ γέλωτα πολύν. Εἰσὶ μὲν οὖν παρ' αὐτοῖς καθόλου τῆς πράξεως ἠμεληκότες, λογικὴν δὲ φιλοσοφίαν, ὡς δοκοῦσιν, ἐπανῃρημένοι, μετεωρολέσχαι τινὲς ὄντες καὶ τῶν ἀναποδείκτων ἐξηγηταί, μέγεθος οὐρανοῦ καὶ ἡλίου μέτρα καὶ ἀστέρων ἐνέργειαν εἰδέναι κατεπαγγελλόμενοι, ἔστι δ' ὅτε καὶ θεολογεῖν μὲν ἐπιχειροῦντες, ὅπου καὶ ἡ ἀλήθεια ἀνέφικτος καὶ ὁ στοχασμὸς ἐπικίνδυνος, ζῶντες δὲ τῶν ἐν βορβόρῳ κυλινδουμένων χοίρων ἀτιμότεροι. Εἰ δὲ καί τινες ἐγένοντο πρακτικοί, τούτων ἐγένοντο χείρους, δόξαις τε καὶ ἐπαίνοις τοὺς (68ᵃ) πόνους πεπραχότες· οὐδενὸς γὰρ ἑτέρου χάριν ἢ ἐπιδείξεως καὶ φιλοδοξίας ἐπετήδευον οἱ δεῖλαιοι τὰ πολλά· μισθὸν εὐτελῆ καὶ

---

1. 2 Tim. II. 5? — 2. Act. XIV. 22. — 7. Νείλου, liber asceticus (Bibl Maxima VII. 1156. — 20. τῶν — βεβιωκότ. cod.

εὔσνον τῆς τοιαύτης καταλλαττόμενοι ταλαιπωρίας· τὸ γὰρ σιωπῆσαι διὰ παντὸς κατὰ τὴν Πυϑαγορικὴν νομοϑεσίαν καὶ χόρτῳ τρέφεσϑαι, τριχίνοις ῥακίοις σκεπάζεσϑαι καὶ ἐν πίϑῳ κατακεκλεῖσϑαι καὶ διαβιῶναι μηδεμίαν ἀμοιβὴν μετὰ ϑάνατον προσδοκᾷν, πάσης ἀνοίας ἐστὶν ἐπέκεινα, τῷ βίῳ τούτῳ συγκαταλύειν τῆς ἀρετῆς τὰ ἔπαϑλα. — (10) Ἰουδαῖοι δὲ ὅσοι τοῦτον ἐτίμησαν τὸν βίον, εἰσὶ μὲν τοῦ Ἰωναδὰβ ἀπόγονοι· πάντας δὲ τοὺς ὡσαύτως βιοῦν ἐϑέλοντας προίεμεν εἰς τὴν αὐτὴν ἐνάγουσαν πολιτείαν, οἵτινες ἐν σκηναῖς κατοικοῦσι διαπαντὸς, οἴνου τε καὶ τῶν πρὸς τὸ ἁβροδίαιτον πάντων ἀπεχόμενοι καὶ δίαιταν ἔχοντες εὐτελῆ καὶ τὴν χρείαν συμμεμητρημένην τοῦ σώματος· καὶ σφόδρα μὲν οὖν ἐπιμελοῦντες τῆς ἠϑικῆς ἕξεως, ϑεωρίᾳ δὲ τὰ πολλὰ προσμένουσιν· ἔνϑεν γὰρ καὶ Ἐσσαῖοι καλοῦνται, τοῦτο δηλοῦντος τοῦ ὀνόματος, καὶ ἁπλῶς ἐστιν αὐτοῖς πάντοϑεν κατορϑούμενος ὁ τῆς φιλοσοφίας σκοπὸς, οὐδαμοῦ τῶν πραγμάτων διαμαχομένων τῷ ἐπαγγέλματι. Ἀλλὰ τί τῶν ἀγώνων ὄφελος αὐτοῖς καὶ τῆς ἐπιπόνου ἀϑλήσεως τὸν ἀγωνοϑέτην Χριστὸν ἀνηρηκόσι; καὶ τούτων γὰρ ὁμοίως ὁ τῶν πόνων οἴχεται μισϑὸς, ἀρνησαμένων τὸν τῶν ἐπάϑλων διανομέα· καὶ τῆς ἀληϑοῦς ζωῆς καὶ φιλοσοφίας ἀπεσφάλησαν. (11) Φιλοσοφία γάρ ἐστιν ἠϑῶν κατόρϑωσις μετὰ δόξης τῆς περὶ τοῦ ὄντος γνώσεως ἀληϑοῦς· ταύτης δὲ ἀπεσφάλησαν ἄμφω καὶ Ἰουδαῖοι καὶ Ἕλληνες, τὴν ἀπ' οὐρανοῦ παραγενομένην σοφίαν παραιτησάμενοι καὶ χωρὶς Χριστοῦ φιλοσοφεῖν ἐπιχειρήσαντες, τοῦ μόνου παραδείξαντος ἔργῳ καὶ λόγῳ τὴν ἀληϑῆ φιλοσοφίαν. Οὗτος γὰρ πρῶτος καὶ μόνος * ἔτεμε τῷ βίῳ, τὴν ταύτης πολιτείαν ἐπιδειξάμενος καϑαρὰν, ἀνωτέραν ἀεὶ φέρων τὴν ψυχὴν τῶν παϑῶν τοῦ σώματος· ἔσχατον δὲ καὶ αὐτῆς καταφρονήσας,** ὅτε ἡ παρ' αὐτοῦ οἰκονομουμένη σωτηρία τῶν ἀνϑρώπων ἀπῄτει ϑάνατον, διδάσκων διὰ τούτου, ὅτι δεῖ τὸν φιλόσοφον ὀρϑῶς προαιρούμενον ἀρνήσασϑαι μὲν τὰ ἡδέα πάντα τοῦ βίου, πόνων δὲ καὶ παϑῶν εὖ μάλα ἐπικρατεῖν, καταφρονοῦντα τοῦ σώματος, ἔχειν δὲ μηδὲ τὴν ψυχὴν τιμίαν, ἀλλὰ καὶ ταύτην προϑύμως πρόεσϑαι, ὅταν δι' ἀρετῆς ἀπόδειξιν ἀποϑέσϑαι

9. τὴν πρὸς cod. — 17. ἀπηρνημένοις? — 19. ἀποσφαλίρειν cod. — * ὁδὸν? — ** τῆς ζωῆς vel. ψυχῆς?

δέοι. Καὶ ταύτην παραλαβόντες οἱ ἀπόστολοι αὐτοῦ καὶ μαϑηταὶ γνησίως τὴν διαγωγὴν ἐμιμήσαντο· ἅμα γὰρ τῷ κληϑῆναι ἀποταξάμενοι μὲν τῷ βίῳ καὶ ὑπεριδόντες πατρίδος καὶ γένους καὶ ὑπάρξεως, πρὸς τὸν σκληρὸν καὶ ἐπίπονον εὐϑὺς μετετάξαντο βίον, διὰ πάντων χωρήσαντες τῶν δυσχερῶν καὶ τεϑλιμμένων, διωκόμενοι, κακουχούμενοι, ὑστερούμενοι, ἐλαυνόμενοι, γυμνητεύοντες, ὑβριζόμενοι, ἐμπτυόμενοι, αὐτῶν τῶν ἀναγκαίων ἐνδεεῖς· ὕστερον δὲ καὶ ϑανάτου κατεφρόνησαν καλῶς διὰ πάντων μιμησάμενοι τὸν διδάσκαλον, τῷ βίῳ καταλιπόντες πολιτείας ἀρίστης εἰκόνα. Ἀλλὰ ἐπειδὴ γράφειν ἀπὸ (68^{b}) τῆς εἰκόνος ταύτης πάντες χριστιανοὶ τὸν ἑαυτῶν βίον ὀφείλονται, ἢ οὐκ ἠβουλήϑησαν, ἢ ἠτόνησαν πρὸς τὴν μίμησιν· ὀλίγοι δέ τινες ἠδυνήϑησαν τὰς κοσμικὰς ὑπερκύψαι ταραχὰς καὶ φυγεῖν τὴν ἐν ταῖς πόλεσι ζαλην καὶ τὴν τοῦ ματαίου βίου φροντίδα τε καὶ προσπάϑειαν· καὶ οὕτως ἔξω γενόμενοι τῶν κοσμικῶν ϑορύβων, τὸν νομαδικὸν ἀσπασάμενοι βίον, ἐκμαγεῖον τῆς ἀποστολικῆς ἀρετῆς ἐποιήσαντο, τοῦ μὲν κεκτῆσϑαι τὴν ἀκτημοσύνην προκρίναντες διὰ τὸ ἀπερίσπαστον, τροφῆς δὲ κεκαρυκευμένης τὴν ἐσχεδιασμένην προτιμήσαντες, διὰ τὰς τῶν παϑῶν ἐπαναστάσεις τῇ παρατυχούσῃ τροφῇ τὴν χρείαν τοῦ σώματος ἐκπληροῦντες, ἐνδυμάτων τε μαλακῶν καὶ τῆς χρείας ἔξω, ὡς ἀνϑρωπίνης χλιδῆς ἐπίνοιαν ἀλογήσαντες, λιτῇ καὶ ἀπεριέργῳ στολῇ διὰ τὴν τοῦ σώματος ἀνάγκην ἐχρήσαντο. (12) Καὶ γὰρ ὁ Κύριος τῷ πλουσίῳ τὴν τελειοτάτην τοῦ κατὰ ϑεὸν ἀκροτάτου βίου τούτου σαφέστατα ὑποτιϑέμενος* «πωλῆσαι τὰ ὑπάρχοντα καὶ διαδοῦναι πτωχοῖς», καὶ οὕτως ἀμερίμνως καὶ ἀπερισπάστως ἀκολουϑεῖν «τὸν σταυρὸν ἄραντα» προσέταξε καὶ τὸν τοῦτο μὴ ποιοῦντα ἀνάξιον ἑαυτοῦ ἔκρινεν. «Ὅστις γάρ, φησιν, οὐκ ἀφήσει πατέρα ἢ μητέρα ἢ ἀδελφοὺς ἢ γυναῖκα ἢ τέκνα ἢ ἀγροὺς ἕνεκεν τοῦ ὀνόματος μου καὶ ἀρεῖτὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουϑήσει μοι, οὐκ ἐστί μου ἄξιος». Τοιγαροῦν οὐκ ἔστιν ἄλλως τῆς ἀξίας ταύτης καὶ τῆς τελειότητος ἐπιτυχεῖν εἰ μὴ καϑ' ὃν τρόπον ὁ ὑπερτελὴς καὶ προτέλειος ἐδίδα-

3. πατρίδα cod. — 15. ἀσπάσασϑαι cod. — 21. ἀτροφῆς Scholion. — ἀναλογίσαντες cod. — * ἐντολήν? — 24. Mt. XIX. 21. — 26. Mt. X. 21. — 27. Mt. XIX. 29, X. 38.

ξε Κύριος. Θαυμαστέον τοιγαροῦν ἡμῖν καὶ σφόδρα τιμητέον, τοὺς ἀπαρνησαμένους πᾶσαν πρόσκαιρον ἡδονήν τε καὶ προσπάθειαν κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου καὶ πρὸς τὴν νομαδικὴν πολιτείαν μεταχωρήσαντας καὶ πᾶσαν τὴν γῆν πληρώσαντας — καὶ γὰρ μεμέστωται τούτων Αἴγυπτος καὶ Λιβύη καὶ Αἰθιόπεια καὶ Ἰνδία, Μαυριτανία τε καὶ αἱ Θηβαΐδες· τούτων Συρία πλήρης καὶ Κιλικία καὶ Γαλατία, Πόντος τε καὶ Ἀρμενία, Μεσοποταμία καὶ ἡ Περσὶς ἅπασα τούτων ἀνάπλεως, Παλαιστίνη καὶ Ἀραβία καὶ Κύπρος, Ἀσία τε καὶ αἱ Κυκλάδες νῆσον καὶ ἡ Ἑλλὰς πᾶσα, ναὶ μὴν καὶ Ῥώμη καὶ Ἱσπανία καὶ Γαλατία μέχρι τοῦ πέρατος τῆς γῆς πέπλησται μοναστηρίων καὶ ἀσκητῶν, καὶ πᾶσα ἡ γῆ κατευλόγηται καὶ ἁγιάζεται προδήλως ταῖς τούτων χοροστασίαις τε καὶ ψαλμῳδίαις.

(13) Καὶ δὴ Γρηγόριος ὁ πάνσοφος καὶ τῆς Θεολόγου ἐπωνυμίας ἀποσεμνύων αὐτὸς λέγει· «Οἱ ψάλλοντες, οἱ δοξάζοντες, οἱ μελετῶντες τὸν νόμον Κυρίου ἡμέρας καὶ νυκτός, οἱ τὰς ὑψώσεις τοῦ Θεοῦ ἐν ταῖς λάρυγξι φέροντες· καὶ ταῦτα δὴ τὰ καλὰ τοῦ κατὰ Θεὸν βίου προγράμματα καὶ μηνύματα, οἱ σιωπῶντες κήρυκες, αὐχμῶσα καὶ πιναρὰ κόμη, πόδες γυμνοὶ καὶ τοῖς ἀποστολικοῖς ἑπόμενοι, μηδὲν νεκρὸν φέροντες, κουρὰ σύμμετρος, περιβολὴ τύφον κολάζουσα, ζώνη τῷ ἀκόσμῳ κοσμία, μικρόν τι τοῦ χιτῶνος ἀναστέλλουσα καὶ ὅσον μὴ ἀναστέλλειν, βάδισμα εὐσταθές, ὀφθαλμὸς οὐ πλανώμενος, μειδίαμα προσηνές, μᾶλλον δὲ ὁρμὴ μειδιάματος, ἀκρασίαν γέλωτος σωφρονίζουσα, λόγος τῷ λόγῳ κινούμενος *, ὁδηγίαν τοῦ κρείττονος, ἐπίπληξις εὐφημίας ποθεινοτέρα μέτρα καὶ (69ᵃ) τηφείας καὶ ἀνέσεως καὶ ἡ δὶ ἀμφοτέρων μίξις καὶ κράσις» — «Καὶ ἃ μείζω τούτων ἔτι καὶ ὑψηλότερα, ὁ ἐν πενίᾳ πλοῦτος, ἡ ἐν παροικίᾳ κατάσχεσις, ἡ ἐν ἀτιμίᾳ δόξα, ἡ ἐν ἀσθενείᾳ δύναμις, ἡ ἐν ἀγαμίᾳ καλλιτεκνία, εἴπερ κρείττονα τῶν ἀπὸ σαρκὸς ἐρχομένων τὰ κατὰ Θεὸν γεννήματα, οἱ τρυφῶντες τὸ μὴ τρυφᾶν, οἱ ταπεινοὶ ὑπὲρ τὸν κόσμον, οἱ σαρκὸς ἔξω καὶ ἐν σαρκί,

---

14. Τοῦ Θεολόγου, orat. XII. I. 191. A—D. — * σιωπὴ λόγου τιμιωτέρα, ἔπαινος ἄλα τι ἠρτυμένος, οὐ πρὸς ὄψιν, ἀλλ' Gr. — 30. ἀρχ. Gr. — τῷ Gr.

ὧν μερὶς Κύριος, οἱ πτωχοὶ διὰ βασιλείαν καὶ διὰ πτωχείαν βασιλεύοντες· οὗτοί με καὶ παρόντες λαμπροὺς ποιοῦσιν, ἡ ἐμὴ περιουσία, τὸ ἐμὸν * ἐντρύφημα, καὶ ἀπόντες συστέλλουσι». Τίνες δὲ εἰσὶν οὗτοι; «Οἱ κόσμῳ χωρήσαντες ἑαυτοὺς καὶ τῷ θεῷ τὸν βίον καθιερώσαντες· καὶ τὴν ἔρημον ἀσπαζόμενοι ζῶσι θεῷ πάντων μᾶλλον τῶν στρεφομένων ἐν σώματι· λέγω δὴ τοὺς καθ' ἡμᾶς Ναζηραίους «οἱ μὲν τὸν πάντῃ μοναδικὸν ** καὶ ἄμικτον διαβλοῦντες βίον, ἑαυτοῖς μόνοις προσλαλοῦντες καὶ τῷ θεῷ — οἱ δὲ ἀγάπαις μόνον τῇ κοινωνίᾳ στέργοντες, ἐρημικοί τε ὁμοῦ καὶ μιγάδες· καὶ τοῦτον μόνον κόσμον εἰδότες ὡς τῇ ἐρήμῳ γνωρίζουσιν, τοῖς μὲν ἄλλοις τεθνηκότες ἀνθρώποις καὶ πράγμασιν, ὅσα ἐν μέσῳ περιφθείρεται, στροβοῦντά τε καὶ στροβούμενοι καὶ παίζοντα ἡμᾶς ταῖς ἀγχιστρόφοις μεταβολαῖς, ἀλλήλοις τε κόσμος ὄντες καὶ τῇ παραθέσει τὴν ἀρετὴν θηγοντες». Καὶ ταῦτα μὲν Γρηγόριος. Ὁ δὲ θεορρήμων Χρυσόστομος ἐν τῇ κατὰ μαθητῶν ἑρμηνείᾳ περὶ τῶν ἐν Αἰγύπτῳ μοναχῶν φησίν· «Οὐχ οὕτως ἐστὶ λαμπρὸς ὁ οὐρανὸς τῷ ποικίλῳ τῶν ἄστρων χορῷ, ὡς ἡ ἔρημος Αἰγύπτου τὰς σκηνὰς πάντοθεν ἡμῖν τῶν μοναχῶν δεικνύουσα, οἵτινες «τὸ πῦρ τοῦ Χριστοῦ δεξάμενοι, πρὸς *** οὐρανὸν ἀθρόοι μεθωρμήσαντο καὶ θερμότεροι τῶν ἄλλων ὄντες πρὸς εὐσέβειαν, τὰς ἀσωμάτους δυνάμεις τῇ — τῆς φιλοσοφίας ἀπαθείᾳ μιμοῦνται. Καὶ εἴτις ἐν τῇ χώρᾳ γέγονεν, οἶδεν ἃ λέγω· εἰ δέ τις οὐκ ἐπέβη τῶν ἁγίων σκηνῶν ἐκείνων, ἐννοείτω τὸν μέχρι νῦν ἐν τοῖς ἁπάντων στόμασιν ᾀδόμενον, ὃν μετὰ τοὺς ἀποστόλους ἡ Αἴγυπτος ἤνεγκεν, τὸν μέγαν καὶ μακάριον Ἀντώνιον, καὶ οἷων ὄψεων θείων ἠξιώθη καὶ βίον θεοπρεπῆ τε καὶ ἀγγελικὸν ἐπεδείξατο. Καὶ τοῦτο εἴσεταί τις ἀναγνοὺς

---

2. οὐ τιμαί καὶ παρόντας cod. παρόντων? — λαμπρὸν ἐποίουν Gr. — * ἀγαθὸν Gr. — 3. συνέστελλον Gr. — 4. Or. XXI. 384 B, C. κόσμου χωρίζοντες Gr. — 5. ἐ. καὶ τὴν Gr. — ** τε Gr. — 8. ἀγάπ. μόνον cod. — 9. ἐρημικοῖς codex. — 10. καὶ τοῦτο μ. κ. ἐ. ὅσον ἐν τῇ ἐ. γνωρ. Gr. post. θεῷ. — 11. περιφέρεται Gr. — 13. ἀλλ. δὲ Gr. — 15. Τοῦ Χρυσοστόμου VII. 127 A. — 17. πανταχόθεν Chr. — 18. δ. τῶν μ. Chr. — 19. ἀθρόον Chr. — 21. μιμοῦντ. cod. — *** τὸν Chr. — 20. ὄντες καὶ πρὸς ὀργὴν καὶ πρὸς ἡδονὴν σωμάτων προπετέστεροι, τὰς Chr.— 22. οὐδέποτε ἐπ. Chr.— τῶν σκ. Chr. — 23. στ. ὄντα ὃν Chr. — 24. μακ. καὶ μ. Chr. — 25. καὶ λογιζέσθω ὅτι — θείας ὄψεως κατεξ. καὶ τοιοῦτον ἐπ. β. οἷον οἱ τοῦ χῦ νόμοι ζητοῦσι Chr. — 26. τις μ. ἀ. ἐντυχὼν τῷ βιβλίῳ τῷ τὴν ἱστορίαν ἔχοντι τῆς ἐκείνου ζωῆς Chr.

αὐτοῦ τὸν βίον μετὰ ἀκριβείας, ἐν ᾧ καὶ πολλὴν ὄψεται τὴν προφητείαν. Καὶ γὰρ τῶν περὶ τὰ Ἀρείου νοσούντων, προανεφώνησέ τε καὶ εἶπεν τὴν ἐκείνοις μέλλουσαν γίνεσϑαι βλάβην, τοῦ ϑεοῦ δείξαντος αὐτῷ * καὶ πρὸ τῶν ὀφϑαλμῶν τὰ μέλλοντα». — Ἀληϑείας ἐστὶν ἀπόδειξις, τὸ μηδένα τῶν αἱρετικῶν ἄνδρα τοιοῦτον ἔχειν. (15) «Διὸ δὴ καὶ ϑαυμάζω σφόδρα καὶ τελείαν ἐπαινῶ τοὺς τὰς ἐρήμους κατειληφότας μοναχοὺς τῶν τε ἄλλων ἀρετῶν ἕνεκα καὶ τὴν μεταβολὴν τῆς ἐσϑῆτος· βούλει γάρ σοι δείξω τοὺς ὄντας ἐστολισμένους καὶ «τὸ ἔνδυμα τοῦ γάμου» ἔχοντας, τοῦ γάμου ἐκείνου, καὶ ὡς ἐν οὐρανῷ ἐν γῇ διατρίβοντας· οὐδὲν γὰρ αὐτῶν τὰ καταγώγια χεῖρον τῶν οὐρανῶν διάκεινται· καὶ γὰρ ἄγγελοι κατάγονται πρὸς αὐτοὺς καὶ ὁ τῶν ἀγγέλων δεσπότης· εἰ γὰρ πρὸς τὸν Ἀβραὰμ ἦλϑον, ἄνδρα γυναῖκα ἔχοντα καὶ παιδία διατρέφοντα, ἐπειδὴ φιλόξενον εἶδον, ὅταν πολλῷ πλείονα εὕρωσιν ἀρετὴν καὶ ἄνϑρωπον σώματος καταφρονοῦντα ** καὶ σαρκὶ σαρκὸς ὑπερορῶντα, πολλῷ μᾶλλον ἐνταῦϑα διατρίβουσι καὶ χορεύουσι τὴν αὐτὴν πρέπουσαν χορείαν· καὶ γὰρ τράπεζα (69ᵇ) παρ' ἐκείνοις πάσης πλεονεξίας καϑαρὰ καὶ φιλοσοφίας μεστή· οὐχ αἵματος χείμαῤῥοι παρ' αὐτοῖς οὐδὲ κρεῶν κατακοπαὶ οὐδὲ καρυκεῖαι καὶ κνίσεις ἀηδεῖς, οὐδὲ καπνὸς ἀτερπὴς καὶ δρόμοι καὶ ϑόρυβοι καὶ ταραχαὶ καὶ κραυγαὶ ἐπαχϑεῖς, ἀλλ' ἄρτος καὶ ὕδωρ, τὸ μὲν ἐκ πηγῆς καϑαρᾶς, τὸ δὲ ἀπὸ δικαίων πόνων. Εἰ δέ που καὶ φιλοτιμώτερον ἑστιᾶσϑαι βουληϑεῖεν ἀκρόδρυα ἡ φιλοτιμία γίνεται καὶ μείζων ἐνταῦϑα ἡ ἡδονὴ ἢ ταῖς βασιλικαῖς τραπέζαις. Ταύτην καὶ ἄγγελοι τὴν τράπεζαν ἐκ τοῦ οὐρανοῦ ϑεωροῦντες κατατρέπονται καὶ ἥδονται· εἰ γὰρ «ἐπὶ ἁμαρτωλῷ μετανοοῦντι» χαίρουσιν, ἐπὶ δικαίοις τοσούτοις μιμουμένοις αὐτοὺς τί οὐκ ἐργάσονται; Καὶ ἡμεῖς μὲν τῶν ϑηρίων χείρους ἐσμὲν καὶ τῶν ἀλόγων, ἐκεῖνοι δὲ τῶν ἀγγέλων ἴσοι, ξένοι καὶ παρεπίδημοι τῶν ἐνταῦϑα ὄντες· καὶ πάντα αὐτοῖς ἐνήλλακται τὰ πρὸς ἡμᾶς, καὶ ἔνδυμα καὶ τρόπος καὶ οἴκημα καὶ ὑπόδημα καὶ ὁμιλία· καὶ εἴτις ἐκείνων ἤκουσε διαλεγο-

---

2. π. τῶν Chr. — 3. τὴν ἐξ ἐκείνων Chr. — β. γ. Chr. — * τότε Chr. — 5. τῶν ἔξωϑεν αἱρέσεων Chr. — 6. Locus in edd. non inveniendus. — 9. Mt. XXII. 11. — ** ἐν? — 19. κνήσεις? — 20. ἀειδεῖς cod. — 25. κατατερ.? — 26. Luc. XXII. 7.

μένων καὶ ἡμῶν, τότε ἂν ἔγνω καλῶς πῶς οἱ μὲν οὐρανοπολῖται, ἡμεῖς δὲ οὐδὲ τῆς γῆς ἄξιοι. Ἴδωμεν δὲ καὶ τὰς ἐκ τῆς τρυφῆς ἡμῶν ἐπιθυμίας, τὰς ἐκ τῶν ὀψοποιῶν, τῶν μαγείρων, τῶν τραπεζοποιῶν, τῶν πλακουντοποιῶν καὶ τὴν περὶ τῶν τοιούτων ἄμιλλαν· καὶ ὑπὲρ ποιότητος καὶ ὑπὲρ τάξεως καὶ ὑπὲρ πλήθους, ὅπερ οὐδὲν τοιοῦτον παρὰ τοῖς ἀγγέλοις ἐκείνοις· οὐ γὰρ εἰς πλησμονὴν καὶ τρυφήν, ἀλλ' εἰς χρείαν αὐτοῖς ἡ τροφὴ καὶ μέτρῳ καὶ καιρῷ κανονισμένη· μονοσιτία γὰρ παρ' αὐτοῖς ἐστι πάντοτε, καὶ ἄριστον οὐδέποτε εἴ ἐστιν ἴσασιν, ἀλλὰ δεῖπνον γινώσκοντες, ὅτι πένθος ὁ παρὼν βίος καὶ νηστείας καὶ ἀγῶνος*, πληροῦντες ἐν τούτῳ καὶ τὸ πρὸς τὸν προφήτην Ἰεζεκιὴλ εἰρημένον ἀπὸ τοῦ θεοῦ· «υἱὲ ἀνθρώπου, τὸν ἄρτον σου μετ' ὀδύνης φάγει καὶ τὸ ὕδωρ σου μετὰ βασάνου καὶ θλίψεως πίει»· καὶ τὸ βρῶμά σου ἐν σταθμῷ φάγεσαι ἀπὸ καιροῦ ἕως καιροῦ· καὶ τὸ πόμα σου μετ' ἐντροπῆς** πίεσαι τῆς ἡμέρας». Ἀναῤῥηξον οὖν τῷ λόγῳ τὴν γαστέρα τῶν ἐκεῖνα τὰ πολλὰ σιτουμένων καὶ ὄψει τὸν πολὺν φόρτον καὶ τὸν ἀκάθαρτον ὀχετὸν καὶ τὸν κεκοπριαμένον καὶ σαπρὸν τάφον· τὰ δὲ μετὰ ταῦτα αἰσχύνομαι καὶ εἰπεῖν, τὰς ἀειδεῖς καὶ δυσώδεις ἐργάς, τοὺς ἐμέτους, τὴν ζάλην, τὴν σκότωσιν τῆς ψυχῆς καὶ τὸ βάρος τοῦ σώματος, τὰς κάτωθέν τε καὶ ἄνωθεν ἐκρήσεις καὶ τοὺς ἐπὶ τούτοις σφοδροτέρους τῶν ἀφροδισίων ἔρωτας. Κἀκείνη μὲν ἡ τράπεζα, εἰς οὐρανοὺς τοὺς ἀγγέλους παραπέμπει· αὕτη δὲ εἰς γέενναν πυρὸς ἕλκει τοὺς κοιλιοδούλους, ὥσπερ καὶ τὸν πλούσιον ἐκεῖνον· καὶ τὴν μὲν ὕπνος θανάτῳ προσεκυΐα διαδέχεται, τὴν δὲ νῆψις καὶ ἀγρυπνία, καὶ τὴν μὲν κόλασις, τὴν οὐρανῶν βασιλεία· μετὰ γὰρ τὴν ἅπαξ ἑστίασιν καὶ τὴν εὐχαριστίαν πολλῆς ἐμπλησθέντες κατανύξεως καὶ θερμῶν δακρύων, οὕτω πρὸς ὕπνον βαδίζουσιν, τοσοῦτον αὐτοῦ μεταλαγχάνοντες ὅσον μικρὸν ἀναπαύσασθαι· καὶ πάλιν τὰς νύκτας ἡμέρας ποιοῦσιν, ἐν εὐχαριστίᾳ καὶ ψαλμῳδίᾳ ἀεὶ διάγοντες. Ἄπελθε τοίνυν πρὸς τοὺς ἁγίους τούτους καὶ μάθε τι παρ' αὐτῶν χρήσιμον καὶ φωτίσθητι· λύχνοι γάρ εἰσιν ὄντως καὶ φωστῆρες, λόγον ζωῆς ἐπέχοντες, καὶ παντα-

---

2. ρυφῆς cod. — 11. περὶ δείπνων?— * ἀνάπλεως?—12. Ez. XII. 18. φάγεσαι—πίεσαι. — 13. φ. ἐν στ. κ' σίκλους τὴν ἡμέραν Ez. IV. 11. — ** ἀπὸ καιροῦ ἕως καιροῦ in margine. — 14. καὶ ὕδωρ ἐν μέτρῳ π. Ez. IV. 12. — 20. ἐκρεύσεις vel. ἐκρήξεις? — 26. ἐμπληροῦνται?

χοῦ τῆς οἰκουμένης ὄντες καὶ πᾶσαν τὴν γῆν καταλαμπρύνοντες. Οὐκοῦν βάδιζε συνεχῶς πρὸς αὐτούς, ἵνα τὰς ἐν σοὶ κηλίδας (70°) ἐκκαθάρας ταῖς ἐκείνων εὐχαῖς καὶ παραινέσεσιν, ἄριστον ἀναδείξῃ τοῦ λοιποῦ βίον καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχῃς».

(15) Οὐ μὴν δὲ ἀλλὰ καὶ Θεοδώρητος οὕτως ἔφη· «Τὴν γὰρ δὴ τῶν ἀγγέλων ἐκμιμοῦντες προδήλως πολιτείαν ὅσοι τῶν ἀνθρώπων τὴν τοῦ θεοῦ θεραπείαν ἠσπάσαντο, οἵτινες ἔφυγον μὲν τὴν τοῦ σώματος ἀνάπαυσιν καὶ τὴν ἔννομον κοινωνίαν ὡς τῶν θείων ἀφέλκυσαν καὶ τῶν ἐπουρανίων ἀοράτων τρυφημάτων, κατέλιπον δὲ καὶ πατρίδα καὶ γένος ἅμα καὶ πλοῦτον, ἵνα πᾶσαν εἰς τὰ θεῖα μεταθῶσιν τὴν μέριμναν, καὶ μηδεὶς τὸν νοῦν ἐπέχῃ δεσμὸς εἰς οὐρανὸν ἀναπτῆναι. Τούτων πλήρεις καὶ πόλεις καὶ κῶμαι καὶ αἱ τῶν ὀρέων ἄκρωριαὶ καὶ φάραγγες». (16) Ἀφ' οὗ γὰρ ὁ Χριστὸς τὴν παρθενίαν ἐτίμησεν, ὑπὸ παρθένου τεχθείς, τοὺς τῆς παρθενίας λειμῶνας ἡ φύσις ἐβλάστησε καὶ τὰ εὐώδη τῶν μοναχῶν ἄνθη καὶ ἀμάραντα προσφέρει τῷ ποιητῇ καὶ δεσπότῃ. Καὶ γὰρ πανταχοῦ μοναστήρια γεγόνασιν, οὐ παρ' ἡμῖν μόνον, ἀλλὰ καὶ ἐν Συρίᾳ πάσῃ καὶ Παλαιστίνῃ καὶ ἐν Κιλικίᾳ καὶ ἐν Μεσοποταμίᾳ· ἐν Αἰγύπτῳ δέ φασι καὶ ἀνὰ ε' χιλιάδας ἀνδρῶν ἔχειν ἕνια φροντιστήρια, μεταξὺ τὸν θεὸν ὑμνούντων ἐν προσευχαῖς καὶ ψαλμῳδίαις ἀγρυπνοῦντες καὶ μετὰ σκληραγωγίας πολλῆς ζώντων καὶ τὴν ὄντως Χριστοῦ φιλοσοφίαν εἰς ἄκρον ἀναδεικνυμένων. Καὶ οἱ μὲν κατὰ συμμορίαν, ὡς ἔφην, οἰκοῦντες, δημιουργοῦσιν ἐν ταῖς ψυχαῖς τὰ τῆς φιλοσοφίας ἀγάλματα, οἱ δὲ καὶ δύο καὶ τρεῖς διάγοντες, οἱ δὲ καὶ μόνοι καθειργμένοι καὶ ἡσυχάζοντες καὶ τὸν ὀφθαλμὸν τῷ κάλλει τῶν ὁρωμένων ἐπιτέρπεσθαι κωλύοντες, σχολὴν τῷ νῷ παρέχουσιν ἐπεντρυφᾶν τῇ θεωρίᾳ τῶν νοητῶν μετὰ φρονήσεως καὶ γνώσεως· μέγιστον μὲν γὰρ ἀληθῶς καὶ παμμέγεθες ἀγαθὸν τῶν θείων ἡ γνῶσις· οὐκ ἀπόχρη δὲ τέλειον ἀποφῆναι τὸν ταύτης ἠξιωμένον· δεῖ γάρ που τὴν ἀγαθὴν πρᾶξιν συναφθῆναι τῇ γνώσει·

---

4. ἀναδείξει cod. — 5. Θεοδωρήτου, sermo III. p. 53. — 6. μιμούμενοι Th. — 7. ἠσπ. ἐφ. Th. — 8. τὴν σωμάτων καὶ τὴν Th. — 9. ἐφ. κατ. Th. — 10. γένους ἵνα Th. — 13. ἀκρωνυχίαι Th. — 21. ἀγρυπνοῦντες cod. — ζῶντες cod. — 22. ἀναδεικνύμενοι cod. — 25. τῷ ὀφθαλμῷ cod. ε ι subscripto.

ὅπερ γάρ ἐστι δένδρων ῥίζα καὶ ὀφθαλμὸς σώματος, τοῦτο ταῖς ψυχαῖς τῆς ἀληθείας ἡ γνῶσις, ἐξ ἧς ἡ βεβαία καὶ ὀρθόδοξος γίνεται πίστις. Χρὴ τοίνυν οὐ μόνον εἰδέναι τί προσήκει περὶ θεοῦ δοξάζειν, ἀλλά γε καὶ κατὰ τοὺς ἐκείνου καλῶς καὶ ἁπλῶς πολιτεύεσθαι νόμους· δεῖ γὰρ τοὺς τῆς εὐσεβείας ἐραστὰς μὴ μόνον θεολογίαν καὶ φυσιολογίαν ἐκπαιδεύεσθαι, ἀλλὰ καὶ τοὺς τῆς πρακτικῆς ἀρετῆς ἐκμανθάνειν ἀκριβεῖς νόμους· ὥστε οὖν ἡ γνῶσις θεῖται τῆς πρακτικῆς, ὡς καὶ ἡ πρακτικὴ τῆς γνώσεως. Ὅθεν φησὶν ὁ Κύριος· «Ὃς ἂν ποιῇ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν»· οὐκ εἶπεν· «ὃς ἂν ποιῇ» μόνον, ἀλλὰ καὶ «διδάξῃ»· εἰ γὰρ ἤρκει πρὸς τελειότητα τὸ ποιῆσαι μόνον καὶ χωρὶς τοῦ διδάξαι ἢ τὸ διδάξαι μόνον ἄνευ τοῦ ποιῆσαι * μέγαν, οὐκ ἂν ἄμφω συνέζευξε λέγων· «ὃς ἂν ποιήσῃ καὶ διδάξῃ»· ἅπερ δὴ κατορθώσας αὐτὸς ἀραρότως κἂν τούτῳ προσφόρως ἡμῖν ὑπογραμμὸς καὶ τύπος ἄριστος γενόμενος, ἐμαρτύρησεν ὁ μαθητὴς αὐτοῦ λέγων ἐναργῶς· «ὧν ἤρξατο Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν». Ὁ γὰρ δὴ οὕτω ῥυθμίζων καὶ διαμορφῶν τὴν ψυχὴν οὐ μόνον τῶν θείων νόμων τοὺς χαρακτῆρας (70[b]) ἐκμάττει, ἀλλὰ καὶ τοῦ νομοθέτου ζῶσά τις εἰκὼν γίνεται. Κἀντεῦθεν φησὶν ὁ μὲν ἀπόστολος· «γίνεσθε μιμηταὶ τοῦ θεοῦ», ὁ δὲ Κύριος· «γίνεσθε μιμηταὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς» καί· «Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη πλεῖον τῶν Φαρισαίων καὶ γραμματέων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν».

(17) Εἰκότως οὖν ** Πλάτων ὑπεμφαίνων τῶν τελείων τὸ σπάνιον ἔφασκεν· «Οὔ μοι δοκεῖ δυνατὸν ἀνθρώποις μακαρίοις τε καὶ εὐδαίμοσι γένεσθαι πλὴν ὀλίγων· μέχρι περ ἂν ζῶμεν, τοῦτο διορίζομαι»· «ναρθηκοφόροι μὲν γὰρ πολλοί, φιλόσοφοι δὲ σπάνιοι καὶ ὀλίγοι». Καλλιον δὲ πίστις καὶ πρᾶξις τελευτήσαντος τυχεῖν

---

9. Mt. V. 19. — 11. τοῦ cod. — * πρὸς τὸ κληθῆναι? — 16. Act. I. 1. — 19. Eph. V. I. — 20. Mt. V. 48. — 21. V. 20. — 24. Cod. 356,9—358,10. — ** ὁ Cod. 25. Οὔ φημι εἶναι δ. Epinomis 973, C. — 26. μακαρίους τε καὶ εὐδαίμονας γίνεσθαι cod. — 27. διορίζαμεν Cod. — 28. ναρθ. μὲν π. βάκχοι δέ τε παῦροι Plato, Phaedon 69, C. — καλὴ δὲ πρ. καὶ π. Cod. — καλὴ δὲ ἐλπὶς Epinomis — τελευτήσαντι Pl. τελευτήσαντα Cod.

πάντων». ὅϑεν ἐπήγαγεν «ἄνδρα ἁπλοῦν καὶ γενναῖον κατ' Αἰσχυλον (οὐ δοκεῖν ἀλλ' εἶναι ἐϑέλοντα· ἀφαιρετέον δὲ τὸ δοκεῖν. εἰ γὰρ δόξει δικαίος εἶναι) ἔσονται τιμαὶ αὐτῷ καὶ δωρεαὶ δοκοῦντι τοιοῦτον εἶναι· ἄδηλον οὖν, εἴτε τοῦ δικαίου, εἴτε [τῶν] δωρεῶν καὶ τιμῶν εἵνεκα τοιοῦτος εἴη· γυμνωτέος δὴ πάντων πλὴν δικαιοσύνης καὶ ποιητέος ἐναντίως διακείμενος τῷ προτέρῳ· μηδὲν γὰρ ἔχων δόξαν ἐχέτω μεγίστης ἀδικίας, ἵνα βεβασανισμένος ᾖ εἰς δικαιοσύνην, τὸ μὴ τέγγεσϑαι ὑπὸ κακοδοξίας ἢ φιλοδοξίας καὶ ὑπ' αὐτῆς γιγνομένων, ἀλλ' ἔστω ἀμετάστατος μέχρι ϑανάτου δοκῶν ἄδικος εἶναι διὰ βίου. Καὶ δὴ καὶ Σωκράτης, ὁ διδάσκαλος αὐτοῦ, πρὸς αὐτὸν ἔφη· «πότερον τῇ τῶν πολλῶν δόξῃ δεῖ ἡμᾶς πείϑεσϑαι καὶ φοβεῖσϑαι ταύτην ἢ τὴν τοῦ ἑνός, εἴτις ἐστὶν ἐπαΐων ὃν δεῖ καὶ φοβεῖσϑαι καὶ αἰσχύνεσϑαι μᾶλλον ἢ ξύμπαντας τοὺς ἄλλους; ᾧ εἰ μὴ ἀκολουϑήσομεν, δεινῶς λωβησόμεϑα· οὐκ ἄραγε, ὦ βέλτιστε, φροντιστέον ἡμῖν τί ἐροῦσιν ἡμᾶς οἱ πολλοί, ἀλλὰ τί τὸ ἐπαΐον τῷ δικαίῳ καὶ ἀδίκῳ, ἥτις ἐστὶν ἡ ἀλήϑεια».

Ταῦτα δὲ φανερῶς ἐοίκασιν τοῖς ἡμετέροις μᾶλλον ἱεροῖς καὶ ἀποστολικοῖς λόγοις, ἐν οἷς φησὶν ὁ χριστοφόρος· «διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν, διὰ δόξης καὶ ἀτιμίας, διὰ δυσφημίας καὶ εὐφημίας, ὡς πλάνοι καὶ ἀληϑεῖς, ὡς ἀγνοούμενοι καὶ ἐπιγινωσκόμενοι, ὡς ἀποϑνήσκοντες καὶ ἰδοὺ ζῶμεν, ὡς παιδευόμενοι καὶ μὴ ϑανατούμενοι, ὡς λυπούμενοι, ἀεὶ δὲ χαίροντες, ὡς πτωχοί, πολλοὺς δὲ πλουτίζοντες, ὡς μηδὲν ἔχοντες καὶ πάντα κατέχοντες». — Τοιαύτην μὲν οὖν περὶ δικαιοσύνης καὶ ϑεαρέστου πολιτείας πάνυ Σωκράτης καὶ Πλάτων διδασκαλίαν ἐποιήσαντο, ϑαυμαστὴν ὄντως καὶ ἀξιέπαινον τῇ φύσει τῇ λογικῇ τῶν ἀνϑρώπων συμβαίνουσαν· τὰ γὰρ ἠϑικὰ μαϑήματα πάντας ἀνϑρώπους ἡ φύσις ἐπαίδευσεν· διαπλάσας γὰρ ** ἀνϑρώπων *** γένος

---

1. ὢν ἐπ. cod. — Resp. II. 361. B. — 2. Septem c. Th. 592. — ἀφ. δὴ Plato. — 3. ἀ. τ. Ced.—4. τοιούτῳ Plato, Ced.—5. τ. ἐστι Ced. τοιοῦτον εἶναι cod.—γυμνητέος cod. — 6. διακειμένου codex. — 7. γὰρ ἀδικῶν δ. Plato. — 8. τίτεσϑαι Ced, τίϑ. codex. — 9. ἵτω Plato. — μετ. Ced. — ' οὕτως Ced. — 11. τὴν — δόξαν Ced. Locus Platonis? — 12. φ. ᾗ Ced. — οὗ Ced. — 13. δὴ cod. — 15. ἡμᾶς cod. — 17. Ταῦτα φ. cod., qui δὲ post μᾶλλον habet. Locus Platonis? — 18. Cor. VI. 7—10. — ** τοι τῶν Ced. — *** τὸ Ced.

ὁ θεὸς ἐνέθηκε τῇ φύσει τῶν ἀγαθῶν καὶ τῶν ἐναντίων τὴν διάγνωσιν, ὁ καὶ παιδεύων ἔθνη καὶ διδάσκων ἄνθρωπον γνῶσιν. Διόπερ οὐ μόνον Σωκράτης καὶ Πλάτων καὶ ἄλλοι τινὲς τῶν Ἑλλήνων τὸν ἄδικον ἐβδελύξαντο βίον, ἀλλὰ καὶ (ἄλλοι) πολλοὶ τῶν βαρβάρων· καὶ γὰρ τοὺς Ὑπερβορέους οἰκεῖν μὲν ἐπὶ τὰ Ῥίπαια ὄρη φασὶν, ἀσκεῖν δὲ δικαιοσύνην μὴ κρεωφαγοῦντας, ἀλλὰ ἀκροδρύοις καὶ ὕδατι χρωμένους, καὶ τοὺς Βραχμᾶνας ἐν ταῖς ὕλαις διάγειν, φύλλοις τὸ σῶμα καλύπτοντας καὶ ὑπὲρ ἄνθρωπον ἀσκοῦντας. Καὶ Ἀνάχαρσιν δὲ τὸν Σκύθην, φιλόσο(71ᵃ)φον γεγενῆσθαι λέγουσιν, καὶ οὕτως αὐτὸν ὁ τῆς φιλοσοφίας ἐνεπύρωσεν ἔρως, ὡς ὀνομαστότερον διὰ πολλὴν ἄσκησιν καὶ σωφροσύνην γενέσθαι· οὐ γὰρ μόνον γρηγορῶν πρὸς τὰ τῆς ψυχῆς ἠγωνίζετο πάθη σωπῶν καὶ ἡσυχάζων, ἀλλὰ καὶ καθεύδων τὰ τῆς ἐγκρατείας καὶ σωφροσύνης ἐδήλου σημεῖα· εἰώθει γὰρ τῇ μὲν λαιᾷ χειρὶ τὰ αἰδοῖα κατέχειν, τῇ δεξιᾷ δὲ τὰ χείλη συνέχειν, ὑπεμφαίνων ὡς πολλῷ μείζων ἐστὶν ἡ ἀγωνία τῆς γλώττης καὶ πλείονος ἐπικουρίας εἰς ἀσφάλειαν δεῖται. (18) Καὶ τὸν Χείρωνα δὲ κένταυρον ἱστοροῦσιν Ἕλληνες δικαιοσύνης καὶ ἁγνείας γενέσθαι διδάσκαλον, ὡς καὶ Ὅμηρος μαρτυρεῖ τοῦτον δικαιότατον πεφηνέναι κενταύρων, διὰ πολλὴν δήπουθεν καρτερίαν καὶ ἐγκράτειαν καὶ σώματος δουλαγωγίαν καὶ σύμμετρον ἐπιμέλειαν· ὅθεν δὴ Πλάτων αὖθις ἐναργῶς διδάσκων φησίν· «ἐπιμελεῖσθαι σῶμα δεῖ ψυχῆς εἵνεκεν ἁρμονίας», δι' οὗ βιοῦν τε ἔστιν καὶ ὀρθῶς βιοῦν καὶ καταγγέλλειν τῆς ἀληθείας τὸ κήρυγμα. Τοῦτο δὲ ὁ θεῖος ἔφη Παῦλος· «Ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγαγῶ, τουτέστι πρὸς ἄσκησιν καὶ σύστασιν αὐτὸ μετ' ἐπιστήμης καὶ φρονήσεως γυμνάζω* πρὸς τὴν τῶν κρειττόνων συνεργίαν, οὐ πρὸς ἀσέλγειαν προνοοῦμαι. (Ταύτῃ τοίνυν καὶ παραινεῖ φάσκων· «Ἐνδύσασθε τὸν κύριον Ἰησοῦν καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖτε εἰς ἐπιθυμίαν»· οὐ τὴν σύμμετρον καὶ ἀναγκαίαν

---

1. ἐντέθεικε Cod. — 3. μὲν ὁ. ὑπὲρ τὰ Cod. — 7. ὕδασι Cod. — 10. ἐ. ἐπύρωσεν Cod. — 11. ὀνομαστότατον Cod. — 13. σ. καὶ ἐ. Cod. — 15. μεῖζον Cod. — 17. Περὶ τοῦ Χείρωνος κενταύρου Cod. 358,10 — 360,7. — 21. ἐν. ἀ. Cod. Resp. IX. 591. D. — 22. σῶμα δὴ cod., δὲ σώματος Cod.? — 23. δεῖ οὖν βιοῦντα cod. — 24. T. καὶ. Cod. — 1 Cor. IX. 17. — * καὶ Cod. — 27. προνοούμενος Cod.— 28 Rom. XIII. 14.

ἐπιμέλειαν τὴν πρὸς σύστασιν ἀπηγόρευσεν, ἀλλὰ τὴν ἀκολασίας μητέρα γαστριμαργίαν*, ἐπήγαγεν εἰς ἐπιϑυμίας δηλαδὴ βλαβερὰς καὶ ἀνοήτους· οὐ γὰρ τοσαύτην αὐτῷ προσφέρει ϑεραπείαν ὡς κατασκιρτᾷν τῆς ψυχῆς, ἀλλ' ἵνα συνεργῇ καὶ καϑυπουργῇ τοῖς ἐκείνοις ἀρίστοις ἐπιτηδεύμασιν).

Συμπεφώνηκε τοίνυν κἀν τούτοις ὁ Πλάτων εὖ μάλα τοῖς ἡμετέροις, τὴν ἀναγκαίαν καὶ δέουσαν ἐπιμέλειαν ποιεῖσϑαι παρεγγυήσας τοῦ σώματος· ὑπέδειξε** πάλιν καὶ διεσάφησεν (καὶ) ὅπως ἄρχεται καὶ αὔξεται τῆς φαύλης ἐπιϑυμίας καὶ κακίστης συνηϑείας τὸ πάϑος, φάσκων οὕτως· «Ἀρχὴ μὲν ἔρωτος ὅρασις, αὔξει δὲ τὸ πάϑος ἐλπίς, τρέφει δὲ μνήμη, τηρεῖ δὲ συνήϑεια»· διὸ καὶ Σωκράτης τὰ βλέμματα καὶ τὰ φιλήματα τῶν εὐμόρφων ὡς χαλεπώτερον σκορπίων [καὶ ὄφεων] ἰὸν ἐνιέναι*** ἀποφεύγειν ἐδίδασκεν. Ὅϑεν ἰδών τινα φιλήσαντα νέον εὔοπτον· «οὗτος», ἔφη, «ῥαδίως ἂν καὶ εἰς μαχαίρας κυβιστήσειεν καὶ εἰς πῦρ ἐμπέσειεν», ὁ τοσαύτην δηλονότι πυρὰν ἐν αὑτῷ κατατολμήσας ἀνάψαι. Διογένης δὲ ϑεασάμενος μειράκιον ἀσελγέστερον ἢ κατὰ ἄνδρα κεκοσμημένον, εἶπεν· «Εἰ μὲν πρὸς ἄνδρας, ἀτυχεῖς, εἰ δὲ πρὸς γυναῖκας, ἀδικεῖς». Θηρῶσι**** διὰ τοῦ καλλωπισμοῦ οἱ μὲν ἄνδρες τὰς γυναῖκας καὶ οἱ ἀνδρόγυνοι τοὺς ἄνδρας· καὶ μέντοι καὶ Ἀρκεσίλαος εὐμόρφου ἦρα παιδὸς καὶ βουλόμενος αὐτὸν φιλῆσαι, διεκώλυεν ἑαυτὸν φεύγων τὴν βλάβην. Ὁ δὲ Ἀλέξανδρος οὐδὲ ἰδεῖν τὰς Δαρείου ϑυγατέρας ἠνέσχετο εὐειδεῖς ἄγαν καὶ παρϑένους οὔσας, αἰσχρὸν εἰπὼν εἶναι καὶ λίαν ἄτοπον τὸν ἄνδρας ἑλόντα, ὑπὸ γυναικῶν ἡττηϑῆναι*****. Καὶ Κῦρος, ὁ Περσῶν βασιλεύς, οὐδὲ ϑεάσασϑαι κόρην τινὰ ϑαυμασίαν ἀφορισϑεῖσαν αὐτῷ καὶ ἀμήχανον κάλλος (71[b]) ἔχειν μαρτυρουμένην κατεδέξατο, ἀλλά γε καὶ τῷ ὁρῶντι συνεχῶς καὶ μηδὲν ἐκ τούτου πάσχειν δεινὸν λέγοντι παρήνει μήτε λέγειν τοῦτο μήτε πράττειν· «τὸ μὲν γὰρ πῦρ, φησίν, τοὺς πλησίον ὄντας καίειν, τὸ

---

* διότι? — 3. προσφέρει a secunda manu, διὰ a prima. — 6. καὶ τ. Ced. — ** τε Ced. — 13. καὶ ὁ. a sec. m. — *** πεφυκότα Ced. — 14. Οὕτως cod. sed. cf. Xen. Mem. 1. III. 9. οὕτος κἂν εἰς μ. κ. κἂν εἰς πῦρ ἅλλοιτο — 15. μαχαίραν cod. — κυβιστήσῃ—ἐμπέσῃ Ced. sed cf. Xen.— **** μὲν γὰρ?— 20. Ἀγησίλαος Ced.— 24. ϑ. ἐ. ἀ. καὶ π. ὁ. ἡν. παντελῶς ἀ. νομίσας τὸν Ced.— ***** Οὕτω δὲ Ced.—28. ϑ. π. Ced.— 29. πλ. πάντῃ ἑστῶτας καίει Ced. Cyrop. 8. I. 10. τὸ πῦρ πάντας ὁμοίως καίει.

δὲ καλλος καὶ τοὺς πόρρωϑεν ἑστῶτας. Ἐπεὶ οὖν ἐκ τοῦ ὁρᾷν τὸ ἐρᾷν τίκτεται καὶ ἐκ τοῦ ἐρᾷν ἡ συγκατάϑεσις γίνεται καὶ ἐκ τῆς συγκαταϑέσεως ἡ πρᾶξις τελεῖται, διὰ τοῦτο * ὁ Χριστὸς τὸν ἀκολάστως ἑστιῶντα τὰς ὄψεις, μοιχὸν ἔκρινεν, οὐ τὴν πρᾶξιν μόνον ἀλλὰ καὶ ** ἔννοιαν ἀναστέλλων· (ὅπερ οὖν Ἀμβακοὺμ αἰνιττόμενος ἔλεγε. «Καϑαρὸς ὁ ὀφϑαλμός σου τοῦ μὴ ὁρᾷν πονηρὰ καὶ ἐπιβλέπειν ἐπὶ πόνους ὀδύνης»). Ἔτι δὲ πάλιν Σωκράτης φυλάττεσϑαι σφόδρα καὶ παρατηρεῖσϑαι τὴν ἀκρασίαν διδάσκων ἔφη· μὴ πεινῶντας λίαν *** ἐσϑίειν καὶ μὴ διψῶντας πολλὰ *** πίνειν. Καὶ γὰρ ὁ Κύριος ἐμακάρισε τοὺς τοιούτους (φάσκων· «Μακάριοι οἱ πτωχοί, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, μακάριοι οἱ πεινῶντες νῦν καὶ διψῶντες, ὅτι χορτασϑήσεσϑε, καὶ μακάριοι οἱ κλαίοντες νῦν ὅτι γελάσετε»).

(19) Ποῦ τοίνυν εἰσὶν οἱ τὸν ἁβροδίαιτον καὶ τρυφηλόν τε καὶ ἀνειμένον μεταδιώκοντες βίον, καὶ ὥσπερ ἐπ' ἐξουσίας τὸν κόσμον ἔχοντες ἀδεῶς πάντα, λοιπὸν μεϑ' ἡδονῆς καὶ γέλωτος καὶ αἰσχρολογίας καὶ διαχύσεως καὶ ἀφοβίας ϑεοῦ χρῶνται πρὸς κόρον, καὶ τρυφῆς αὐτοῖς καιρὸς ἅπας, τῇ γὰρ ὀρέξει τὸν καιρὸν ὁρίζονται· κᾆν ἔωϑεν ἡ πεῖνα προσβάλλῃ, παραυτίκα τὴν τροφὴν προσφέρουσιν· οὐ γὰρ ὥρισται τοῦτο μὲν ἐσϑίειν, ἐκεῖνο δὲ παραιτεῖσϑαι, ἀλλὰ πάντων ἀκρατῶς καὶ ἀδιαφόρως καὶ ἀπερισκέπτως ἀπολάουσιν ὡς τραπεζολάτραι καὶ κοιλιόδουλοι, ἥτις γε τράπεζα εἰκότως ἂν κληϑείη κυρίως καϑέδρα λοιμῶν καὶ ἀλόγων φάτνη. Εἰ γὰρ μὴ ἐκ πολλῆς ἀλογίας καὶ ἀπροσευξίας ἀπεκτηνώϑησαν, ἐπιλαϑόμενοι τὸν συνιόντα εἰς πάντα τὰ ἔργα ἡμῶν καὶ μέχρι ψιλοῦ ῥήματος καὶ ἐνϑυμήματος δίκας εἰσπράττειν, οὐκ ἂν δήπουϑεν μετὰ φλυαριῶν καὶ κακονοίας καὶ γέλωτος καὶ βλασφημίας τὴν ϑεόσδοτον τροφὴν μιτελάμβανον, ἀμνημονήσαντες τοῦ λέγοντος, ὅτι καὶ «ὑπὲρ ἀργοῦ λόγου, λόγον δώσομεν ἐν ἡμέρᾳ κρίσεως καὶ ἀπολογίας καὶ ἐκ τῶν λόγων ἡμῶν τῶν φαύλων κατακριϑησόμεϑα»· καὶ «ἐκ τοῦ στόματός σου κρινῶ σε, πονηρὲ δοῦλε».

---

2. τὸ ἐρᾷν ἐκ τοῦ ὁ. Ced. — 3. ἐπιτ. Ced. — * καὶ Ced. — ** τὴν Ced. — 5. προαν. Ced. — 6. Hab. I. 13. — 7, Καὶ ὁ Σ. δὲ π. Ced. — *** μὴ Ced. bis. — 9. μηδὲ Ced. — 10. Luc. VI. 20. — 28. Mt. XII. 36,37. — 30. Luc. XIX. 22.

(20) Οὐκοῦν ἐματαιώθησαν ἐξ ἐπιμέτρου σφόδρα τινὲς τῶν ἀφελεστέρων κοσμικῶν, φάσκοντες ἐπὶ καταστροφῇ τῶν ἀκουόντων καὶ πειθομένων αὐτοῖς, ὅτι, φησί, μοναχοῖς μόνοις ὁ ἀπεχθέστερος καὶ βαρύτερος μὲν δέδοται ζυγὸς, κοσμικοῖς δὲ ὁ ἐλαφρότατος καὶ ἀνειμένος· ἔδει γὰρ τοὺς ἀσυνέτους συνιδεῖν ὅπερ καὶ ὁ παλαιὸς νόμος τοῖς πάλαι Ἰουδαίοις ἀδιαστόλως ἐνομοθέτησεν, μικροῖς τε καὶ μείζοσιν, καὶ ἡ παράβασις ἐπικίνδυνος ἄγαν καὶ ὀλέθριος, διὸ φησὶν ὁ Δαυίδ· «Ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου, Κύριε». Καὶ ὁ τῆς χάριτος ὁμοίως ἐξ ἴσου τεθέσπισται καὶ ἄρχουσι καὶ ἰδιώταις, πλουσίοις καὶ πένησι καὶ ἁπλῶς κοσμικοῖς τε πᾶσι καὶ μοναχοῖς, τοῦ οὖν Κυρίου καὶ θεοῦ ἡμῶν λέγοντος· «Μακάριοι οἱ πτωχοῦντες, ὅτι χορτασθήσεσθε» καί· «Μακάριοι οἱ κλαίοντες, ὅτι γελάσονται» καί· «Οὐαὶ ὑμῖν τοῖς πλουσίοις, ὅτι ἀπέχετε τὴν παράκλησιν (72ᵃ) ὑμῶν» καί. «Οὐαὶ οἱ ἐμπεπλησμένοι, ὅτι πεινάσετε» καί· «Εἴ τις ἔρχεται πρός με καὶ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα καὶ τοὺς ἀδελφοὺς, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχὴν, οὐκ ἐστί μου ἄξιος» καί· «Πᾶς ὃς * οὐκ ἀποτάσσεται πᾶσι ταῖς ὑπάρχουσιν αὐτοῦ, οὐ δύναταί μου εἶναι μαθητής»· καί· «Σπουδάσατε εἰσελθεῖν διὰ τῆς στενῆς πύλης, ὅτι πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ διερχόμενοι δι' αὐτῆς». καί· Τί στενὴ ἡ ** ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν». Ταῦτα δὴ ταῦτα καὶ τὰ τούτοις παραπλήσια πάντα οὐ πρὸς μοναχοὺς εἴρηται, ἀλλὰ καὶ πρὸς κοσμικοὺς καὶ βιωτικοὺς καὶ τὸν πρόσυλον καὶ γεώδη βίον ἐπανηρημένους· ἐπεὶ ἂν ἄρα πρὸς μοναχοὺς καὶ μόνον ἐῤῥέθη, ἐλεεινότεροι πάντων ἀνθρώπων εἰσὶν οἱ κοσμικοὶ, τοιούτων μακαρισμῶν καὶ θείων ἐντολῶν ἀπεστερημένοι· εἰ δέ γε κοινὸς ὁ νόμος καὶ ὁ ζυγὸς, κοινὸς καὶ ὁ μακαρισμὸς καὶ ὁ ταλανισμὸς καὶ ὁ βασανισμὸς, εὔδηλον ὅτι οἱ καὶ ἀναγινώσκοντες οὐκ ἐπιγινώσκουσιν τοπαράπαν, ἐπεὶ οὐκ ἂν τοὺς

---

3. φασὶ? — 8. Ps. CXVIII. 21. — 11. L. VI. 21. — 13. L. VI. 24. — 14. L. VI. 25. — 15. Luc. XIV. 33. — * ἂν cod. — 18. πάντα τὰ ὑπάρχοντα cod. — 19. Mt. VII. 13. Εἰσέλθατε cf. L. XIII. 24. Ἀγωνίζεσθε εἰσελθεῖν. — ** Mt. VII. 14. πύλη καὶ τεθλιμμένη ἡ.

ἀναιτίους καὶ θεοφιλεῖς μοναχοὺς κατεδίκαζον ἐπ' ὀλέθρῳ τῆς ἑαυτῶν ἀδιακρίτου ψυχῆς καὶ γλώσσης ἀκολάστου καὶ γνώμης ἀγνώμονος *.

43 (5243) (21) Ἐπὶ Κλαυδίου Ἀγρίππας ὁ καὶ «Ἡρώδης ἀνεῖλε Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ» καὶ Πέτρον «ἔθετο ἐν φυλακῇ» ὡς ἀναιρήσων αὐτόν.

(22) Σίμων δὲ ὁ μάγος τὸν χριστιανισμὸν ἀποβάλλομενος καὶ μάγος προσομιλήσας ἐν Ῥώμῃ κατελθὼν ὡς θεὸς ἐτιμᾶτο καὶ ἐσέβετο διὰ τὰς ὑπ' αὐτοῦ γοητείας. (23) Πέτρου δὲ διὰ ταῦτα ἐπιδημήσαντος τῇ Ῥώμῃ, ἡ μὲν τοῦ Σίμωνος κατελύθη καὶ ἀπέσβη καὶ παραχρῆμα σὺν αὐτῷ καταλέλυται δύναμις· παρακλήσει δὲ ἁπάντων Μάρκον προετρέψατο Πέτρος [ἐκ] τῆς διὰ λόγου διδαχῆς Ῥωμαίοις τὸ εὐαγγέλιον γράψαι, ὁ δὴ Μάρκος καὶ ἐν τῇ Αἰγύπτῳ στείλας, πρώτος ἐπίσκοπος καὶ κήρυξ Ἀλεξανδρείας καθίσταται.

46 (5246) (24) Ἀγρίππας δὲ λαμπρὰν καὶ χρυσοϋφῆ ἐσθῆτα περιβαλλόμενος καὶ δημηγορήσας Ἰουδαίοις, τῶν δὲ φησάντων· «Θεοῦ φωνὴ καὶ οὐκ ἀνθρώπου», ἡσθεὶς ἐπὶ τούτῳ, αὐτίκα παρ' ἀγγέλου βομφαίᾳ πληγεὶς τελειοῦται.

CXX. ΒΑΣΙΛΕΙΑ ΝΕΡΩΝΟΣ.

54 (5254) (1) Μετὰ δὲ Κλαύδιον ἐβασίλευσε Νέρων, υἱὸς αὐτοῦ, ἔτη ιδ', ὃς τὴν μητέρα καὶ τὴν μνηστὴν ἀνελών, εὐνοῦχον ἔγημεν.

CXXI. ΠΕΡΙ ΤΟΥ ΚΥΝΟΣ ΣΙΜΩΝΟΣ.

67 (5267) Οὗτος ἀνεῖλε τοὺς ἁγίους ἀποστόλους Πέτρον καὶ Παῦλον, πολλοὺς δὲ τῶν πρὸς γένους καὶ ἑτέρους πολλοὺς τῶν

---

* Τέλος τὰ περὶ τῶν μοναχῶν. — 5. Act. XII. 1,2. — 6. εἰς φυλακὴν Act. XII. 6. ἀναιρήσειν cod. — 7. Ced. 362,12 — 371,16? — 9. Ced. 347,22? — 13. γραφῆς cod. e seq. γράψαι. — 17. Act. XII. 21 — 23. — 22. Ced. 360,12 — 20. — 25. Ced. 360,20 — 22. Ὁ ἀν. τ. κορυφαίους ἀπ. Π. καὶ Π. καὶ π. ἑ. μάρτυρας, 18 καὶ ἄλλους μυρίους τῷ γένει προσήκοντας cf. Eus. Chr. II. 273.

πρώτων τῆς συγκλήτου ἀπῶλεσε. (2) Ἐφ' οὗ Σίμων ὁ μάγος ἐν Ῥώμῃ πολλὰ σημεῖα διὰ γοητείας (καὶ φαντασίας τινὸς) ἐκτελῶν καὶ ἑαυτὸν θεὸν ὀνομάζων, καὶ τοῦ μεγάλου ἀποστόλου Πέτρου * τὴν Ῥώμην καταλαβόντος **, εὗρε κύνα παμμεγέθη δεδέμενον ἀλύσεσιν ἐν τῷ πυλῶνι, ὃν ὁ Σίμων δεσμεύσας, ἐκώλυε πάντας οὓς οὐκ ἤθελε, πρὸς αὐτὸν εἰσιέναι. Καὶ τοῦτο ἦν πρῶτον θαῦμα Πέτρου ἐν τῷ μέλλειν πρὸς Σίμωνα εἰσέρχεσθαι. Ὁ γὰρ Πέτρος ἰδὼν τὸν κύνα οὕτω μέγαν καὶ ἀπηγριωμένον καὶ μαθὼν, ὅτι πολλοὺς ἀνεῖλεν ἐπιχειρήσαντας εἰσελθεῖν πρὸ τῆς ἐπιτροπῆς Σίμωνος, κρατήσας ἔλυσιν αὐτὸν λέγων· «Εἴσελθε πρὸς Σίμωνα καὶ εἰπὲ αὐτῷ ἀνθρωπίνῃ φωνῇ·» Πέτρος, ὁ δοῦλος Χριστοῦ, εἰσελθεῖν πρός σε θέλει». Καὶ τοῦ κυνὸς δρομαίως (72[b]) εἰσελθόντος καὶ οὕτως λαλήσαντος, κατεπλάγησαν οἱ μετὰ Σίμωνος λέγοντες· «Τίς ἐστι Πέτρος, καὶ τίς ἡ τοσαύτη δύναμις αὐτοῦ»; Πρὸς οὓς φησὶν ὁ Σίμων· «Τοῦτο ὑμᾶς μὴ ξενιζέτω, ὅπερ κἀγὼ ποιήσω». Καὶ προσκαλεσάμενος τὸν κύνα καὶ ὡσαύτως προστάξας εἰπεῖν ἀνθρωπίνῃ φωνῇ τῷ Πέτρῳ εἰσελθεῖν, καὶ τοῦτο ποιήσας πάλιν ὁ κύων, εἰσῆλθε Πέτρος πρὸς Σίμωνα. Καὶ συμβαλὼν μετ' αὐτοῦ Σίμων εἰς θαυματουργίαν, ἐνίκησε Πέτρος ἰάσεις ποιῶν· καὶ πολλοὶ πιστεύσαντες ἐβαπτίσθησαν. Καὶ ἦν ἐν τῇ Ῥώμῃ ταραχὴ πολλὴ καὶ σύγχυσις ἕνεκε Πέτρου καὶ Σίμωνος, ὅτι κατέναντι ἀλλήλων ἐποίουν θαῦμα. Ἅπερ (μαθὼν Ἀγρίππας) ὁ ὕπαρχος ἀνήγαγε τῷ βασιλεῖ Νέρωνι λέγων· «Δύο τινές εἰσιν ἄνδρες ἐν τῇ πόλει θαυματοποιοῦντες ἀπέναντι ἀλλήλων. Καὶ ὁ μὲν λέγει ἑαυτὸν εἶναι τὸν Χριστὸν, ὁ δὲ ἄλλον εἶναι, τὸν ἐσταυρωμένον Ἰησοῦν, οὗ καὶ μαθητὴν εἶναι ἑαυτὸν διισχυρίζεται».) Οὓς κελεύσας ὁ Νέρων ἀχθῆναι κατενώπιον αὐτοῦ, λέγει πρὸς Σίμωνα· «Σὺ εἶ ὃν λέγουσι Χριστόν»; Ὁ δὲ φησίν· «Ἐγώ εἰμι». Ὁμοίως δὲ καὶ τὸν Πέτρον ἐπερωτήσαντος, εἰ

Cod. 362,12 — 364,2. — 3. ἐπιτελῶν ἐ. ὃν ὠνόμαζε, τοῦ μ. δὲ Cod. — * τότε Cod. — ** καὶ πρὸς τὸν μάγον ἀπελθόντος Cod. — 5. ἀλύσει Cod. — δεσμήσας Cod. — 7. λ. τῷ μέλλοντι πρὸς Cod. — Ὁ δὲ Cod. — 12. κ. εὐθὺς δρόμῳ ἐ. Cod. — 13. Mt. I. 27, Luc. V. 21. — 16. Καὶ προσέταξε τῷ κυνὶ ἀ. φ. ἐ. τῷ Cod. — 17. ποιήσαντος π. τοῦ κυνὸς Cod. — 18. μετὰ τοῦ Σίμωνος Cod. — 21. ἐναντι Π. Cod. — 22. ἅπερ ἀνήνεγκεν ὁ ἔπαρχος τῷ N. — 26. ἐνώπιον Cod.

ἀληθῶς· ἐστιν ὁ Χριστός; «Οὐκ ἔστιν οὗτος· μὴ γένοιτο», ἀπεκρίθη Πέτρος· ἐγὼ γάρ εἰμι ἐκείνου μαθητὴς τοῦ σταυρωθέντος καὶ ἀναστάντος καὶ εἰς [*] οὐρανοὺς ἀναληφθέντος». Ὁ δὲ Νέρων ὡς τερατολόγους ἀμφοτέρους εὐθὺς ἀτίμως αὐτοὺς ἐκ προσώπου αὐτοῦ θαττον ἐξήλασεν, οἱ καὶ διάγοντες ἐν Ῥώμῃ ἐποίουν θαύματα κατέναντι ἀλλήλων. Μιᾷ γοῦν τῶν ἡμερῶν προστάξαντος τοῦ Σίμωνος ἀχθῆναι αὐτῷ ταῦρον παμμεγέθη, ἐλάλησεν εἰς τὸ οὖς αὐτοῦ, καὶ παρευθὺ τέθνηκεν ὁ ταῦρος. Ὁ δὲ Πέτρος εὐξάμενος ἀνέστησεν αὐτόν. Οἱ δὲ λαοὶ ἰδόντες ἐθαύμασαν λέγοντες· «Ἀληθῶς τὸ ζωογονῆσαι ὑπὲρ τὸ θανατῶσαι μεῖζόν ἐστι θαῦμα». Καὶ μέντοι καὶ ἄλλα σημεῖα πολλὰ ἐπρίησαν (καὶ λόγους δογματικοὺς ἐλάλησαν ἀπέναντι ἀλλήλων) οὐ μόνον ἐν Ῥώμῃ, ἀλλὰ καὶ ἐν Συρίᾳ πρότερον, ἅτινα Κλήμης ὁ Ῥωμαῖος καὶ πάνσοφος μαθητὴς Πέτρου καὶ συνέκδημος (ἐπεξεργαστικοτέρως) διηγήσατο οὕτως λέγων· (3) «Τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου διδάσκοντος τὸν λαὸν σέβεσθαι καὶ προσκυνεῖν τὸν ἐπὶ πάντων μόνον θεὸν ἀληθινόν», ὁ Σίμων ἔξω τοῦ ὄχλου ἑστὼς ἐξεβόησεν· «Τί ψευδόμενος ἀπατᾷν θέλεις (τοὺς ἀνθρώπους καὶ) τὸν παρεστῶτά σοι ἰδιώτην ὄχλον, πείθων αὐτόν, θεοὺς μήτε νομίζειν μήτε εἶναι, καίπερ τῶν παρ' Ἑβραίοις βίβλων λεγουσῶν πολλοὺς θεοὺς εἶναι. Πλὴν οὖν περὶ οὗ ἔφης θεοῦ δείξας ἐγὼ μὴ αὐτὸν εἶναι τὸν ἀνωτάτω καὶ παντοδύναμιν θεόν, καθὸ ἀπρόγνωστός ἐστι καὶ ἀτελὴν καὶ ἐνδεὴς καὶ οὐκ ἀγαθὸς καὶ πολλοῖς — ὑποκείμενος πάθεσι, κατὰ τὴν ὑμετέραν γραφήν, ἕτερος πάντως περιλείπεται προγνωστικὸς, τέλειος, ἀνενδεὴς, ἀγαθὸς καὶ παντὸς πάθους ἀπηλλαγμένος, ὃν δὲ σὺ φῂς

---

[*] οὗτος Ced. — 1. ἀπ. Π. οὐκ ἐ. ὁ. Ced. — 2. ἐκ. ἐ. Ced. — [**] τοὺς Ced. — 4. τ. καὶ ἀ. ἐκ Ced. — 6. Μιᾶς οὖν cod. — 9. ἤγειρεν Ced. — 10. δ. ε. Ced. — 11. ἐπ. π. Ced. — 14. δ. ἀφ. ὧν ὀλίγα συντάξομεν ἐνταῦθα Ced. — 15. Περὶ τῆς διαλέξεως Πέτρου καὶ Σίμωνος Hom. III. 38,39,42—45,55—57. Ced. 364,3—369,12. — 16. ἀ. δν Ced. — 17. ὁ. βοῇ μεγάλῃ ἔφη Hom. — 18. θ. τὸν παρ. Hom. — 19. αὐτοὺς Ced. — 20. λεγόντων Ced. — μ. λέγειν ἐξὸν εἶναι, τῶν π. Ἰουδαίοις δημοσίων β. π. θ. ἐ. λ. Hom. — 20. Πρότερον π. οὗ Hom. — 21. δ. μὴ Hom. εἰ δείξω ἐγὼ μὴ Ced. — πάντα δυναμένην Hom. — 22. ἀπ. ἀτ. ἐνδ. Hom. — 23. πάθεσι ὅθεν τούτου δειχθέντος ἀπὸ τῶν γραφῶν, ὡς ἐγὼ λέγω, ἐτ. ἀγραφως π. εἶναι πρ. Hom. — 26. πάντων χαλεπῶν ἀπ. Hom.

δημιουργὸν καὶ ὑπέρθεον, τοῖς ἐναντίοις ἀντικείμενος εὑρίσκεται. Αὐτίκα γοῦν ὁ καθ' ὁμοίωσιν αὐτοῦ γενόμενος Ἀδὰμ καὶ τυφλὸς κτίζεται, καὶ γνῶσιν ἀγαθοῦ ἢ κακοῦ μὴ ἔχων, παραβάτης εὑρίσκεται καὶ τοῦ παραδείσου ἐκβάλλεται καὶ θανάτῳ καταδικάζεται, ὁμοίως τε* ὁ πλάσας αὐτὸν ἐπεὶ μὴ πανταχοῦ παρῇ, ἐπὶ τῇ τῶν Σοδόμων καταστροφῇ λέγει· «Καταβὰς ὄψομαι εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρός με συντελοῦνται· εἰ δὲ μή, ἵνα γνῶ», καὶ ἑαυτὸν ἀγνοοῦντα δείκνυσιν. Καὶ τὸ εἰπεῖν περὶ τοῦ Ἀδάμ· «Ἐκβάλωμεν αὐτόν, μήπως ἐκτείνας (78ᵃ) τὴν χεῖρα αὐτοῦ ἅψηται τοῦ ξύλου τῆς ζωῆς καὶ φαγὼν ζήσεται εἰς τὸν αἰῶνα», ἀγνοοῦντος καὶ φθονοῦντός ἐστι σύμβολον, ὥσπερ καὶ τό· «ἐνεθυμήθη ὁ θεὸς, ὅτι ἐποίησεν** ἄνθρωπον», μεταμελείας ἐστὶ καὶ ἀγνοίας τεκμήριον τῶν μελλόντων. Καὶ τό· «ὠσφράνθη Κύριος ὀσμὴν εὐωδίας» ἐνδεοῦς ἐστι σημεῖον, ὡς καὶ τὸ πειράζειν τὸν Ἀβραὰμ καὶ ἄλλους, οὐκ ἀγαθοῦ ἐστὶν ἀπόδειξις καὶ τὸ τέλος τῆς ὑπομονῆς (μὴ) προειδότος». — Ὁ δὲ Πέτρος ἔφη πρὸς τὸν Σίμωνα· «Εἰ τυφλὸς ἐπλάσθη ὁ Ἀδὰμ, ὡς λέγεις, πῶς ἐντελλόμενος αὐτῷ ὁ θεὸς ἐδείκνυεν αὐτῷ λέγων· «Ἀπὸ δὲ τοῦ [ξύλου τοῦ] γνώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε». — Καὶ ὁ Σίμων φησί· «Τυφλὸς ἦν ὁ νοῦς αὐτοῦ». Καὶ ὁ Πέτρος***· «Πῶς τὸν νοῦν τυφλὸς ἦν ὁ, πρὸ τοῦ γεύσασθαι τοῦ φυτοῦ, προσφόρως πᾶσι τοῖς ζώοις ἐπιθεὶς ὀνόματα;» — ὅτι γὰρ καὶ τοὺς τῆς ψυχῆς καὶ τοῦ σώματος ὀφθαλμοὺς εἶχεν ἀνεωγμένους, καὶ βλέποντες ἦσαν ὅτε Ἀδὰμ καὶ ἡ Εὔα, δῆλον. «Ἰδοῦσα γὰρ, φησὶν, ἡ γυνὴ, ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν καὶ ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν καὶ ὡραῖόν (ἐστι) τοῦ κατανοῆσαι****, λαβοῦσα τοῦ καρποῦ αὐτοῦ ἔφαγε καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ αὐτῆς (μετ' αὐτῆς)». Εἰ οὖν καλὸν θεασάμενοι τὸ δένδρον καὶ τὸν

---

1. δ. τοῖς Hom. — ἀ. τυγχάνει Hom., ἀ. ὑπάρχει Ced. — 2. γεγονὼς Hom. Ced. — 4. κ. οὐκ ἐ. παραδέδοται καὶ π. Hom. — 5. τιμωρεῖται Hom. — * καὶ Hom. — 5. ἐπειδὴ μὴ π. βλέπει, ἐπὶ Ced. ἐπεὶ μὴ πανταχόθεν β' ἐπὶ Hom. — 6. Gen. XVIII. 21 τῇ Σ. Hom. — Δεῦτε καὶ καταβάντες ἴδωμεν Hom. — 8. καὶ ἀγ. ἀ. Hom. — Τὸ δέ ἐ. Hom. — 10. Gen. III. 22. φάγῃ καὶ ζ. Hom. — 11. Gen. VII. 6. — ** τὸν Hom. — 13. Gen. VIII. 21. — 18. ἔλεγε δεικνύων ἀπὸ Ced. Gen. II. 17. — *** εἶπε Ced. — 24. συμφόνως τῷ κτίσαντι αὐτὸν οἰκεῖα πᾶσι Hom. om. ὅτι — πλήττεται. — 24. δ. ἐντεῦθεν. Εἶδε γὰρ Ced. Gen. III. 6. — **** καὶ Ced. — 27. γοῦν Ced.

καρπὸν ἔφαγον, εὔδηλον, ὅτι καὶ πρὸ τῆς τοῦ καρποῦ βρώσεως, γνῶσιν μὲν εἶχον καλοῦ τε καὶ κακοῦ καὶ ὄψιν ὀξυδερκεστάτην ὁρᾶν ἕκαστα δυναμένην. Οὐκοῦν * ὡς μετὰ τὴν βρῶσιν καὶ τὴν παράβασιν ἀναβλεψάντων, εἴρηται τό· «διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοί»· δείκνυνται γὰρ καὶ πρὸ τῆς βρώσεως ὁρῶντες ὡς ἔφην· ἀλλ', ὡς τὸ ἀπειρόκακον ἀποθεμένων διὰ τῆς παραβάσεως, ὃ καὶ τὴν γνῶσιν ἀδιάφορον παρέσχεν, ἐρρέθη, ὅτι «διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοί· πέφυκε γὰρ ὁ ὀφθαλμὸς ὑπὸ τοῦ λογισμοῦ διεγείρεσθαι πρὸς ἃ βλέπει, διότι σύνεσιν αὐτὸς καθ' ἑαυτὸν οὐκ ἔχει· κἀντεῦθεν πολλάκις πρὸς ἕτερα, τῆς διανοίας ἀσχολουμένης, τυφλοῦ δίκην ἐσθ' ὅτε παρερχόμεθα καὶ τὰ πάνυ γνώριμα, καὶ ἐπειδὰν ἐγκληθῶμεν, τῇ ἀσχολίᾳ τοῦ λογισμοῦ τὸ αἴτιον ἀνατιθέντες ἀπολογούμεθα· οὕτω καὶ ὁ Ἀδὰμ καὶ ἡ Εὖα τῇ αἰσθήσει τοῦ νοῦ πρὸς τὴν ὄψιν διηγέρθησαν· τὸ γὰρ «διηνοίχθησαν (αὐτῶν) οἱ ὀφθαλμοὶ» καὶ ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν, ἀποκάλυψιν δηλοῖ τὴν ἐγγενομένην τῷ λογισμῷ, οὐκ ἀνάβλεψιν ὀφθαλμοῦ, ὥστε τὴν μετὰ τὴν ἁμαρτίαν αἴσθησιν οὕτω κέκληκεν ἡ γραφή· παρευθὺ γὰρ μετὰ τὴν ἁμαρτίαν τὸ συνειδὸς πλήττεται». — Καὶ ὁ Σίμων φησίν· «Εἰ πρόγνωσιν εἶχεν ὁ Ἀδάμ, διὰ τί οὐ προέγνω τὴν διὰ τοῦ ὄφεως καὶ τῆς γυναικὸς ἀπάτην;» — Καὶ ὁ Πέτρος· «Εἰ πρόγνωσιν οὐκ εἶχεν, πῶς τοῖς υἱοῖς αὐτοῦ πρὸς τὰς ἑπομένας πράξεις, ἅμα τῷ γεννηθῆναι, ἐπέθηκεν ὀνόματα; τὸν γὰρ πρωτότοκον ὠνόμασε Καΐν, ὅ ἐστι ζῆλος, ὃς [καὶ] ζηλώσας ἀνεῖλε τὸν ἀδελφὸν αὐτοῦ Ἄβελ, ὃ ἑρμηνεύεται πένθος· ἐπ' αὐτῷ γὰρ πρώτῳ φονευθέντι ἐπένθησαν οἱ γονεῖς. Εἰ δὲ Ἀδάμ, ἔργον θεοῦ καὶ ποίημα, πρόγνωσιν εἶχεν, πολλῷ μᾶλλον ὁ δημιουργήσας αὐτὸν θεός» — «ὅτι γὰρ ὄντως προγινώσκει ὁ θεός, φησὶ πρὸς τὸν Ἀβραάμ· «Γινώσκων γίνωσκε, ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ ἀλλοτρίᾳ, καὶ δουλώσουσιν αὐτὸ ἔτη υ', τὸ δὲ ἔθνος, ᾧ ἐὰν δου(73[b])λεύσωσι, κρινῶ ἐγώ. Μετὰ δὲ ταῦτα ἐξελεύσονται ὧδε μετὰ

---

2. κ. ὁ. τε ὀξ. Ced. — * οὐχ Ced. — 4. Gen. III. 7. — 11. τὸν π. γνώριμον Ced. — 19. πρ. τὸ τὴν γυναῖκα ἀ. ἀπατᾶν ὄφιν Hom. — 21. γ. τὰ ὀν. τὸν μὲν πρῶτον καλέσας Κ. ὃ ἑρμηνεύεται ζ. ὃς καὶ ζ. Hom. — 25. θῦ ὑπάρχων πρ. Hom. — 27. ὅτι δὲ ὁ. πρ. λέγει τῷ Ἀ. Hom. — Gen. XV. 13—16. — γνώσῃ Hom. — 28. γῇ οὐκ ἰδίᾳ Hom.

ἀποσκευῆς πολλῆς· σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου μετ' εἰρήνης, τραφεὶς ἐν γήρει καλῷ τετάρτῃ δὲ γενεᾷ ἀποστραφήσονται ὧδε· οὕπω γὰρ ἀναπεπλήρωντα αἱ ἁμαρτίαι τῶν Ἀμορῥαίων ἕως τοῦ νῦν». Τί δὲ; οὐχὶ Μωϋσῆς καὶ οἱ λοιποὶ προφῆται τὰ ἁμαρτήματα τοῦ Ἰσραὴλ καὶ τὴν ἀπείθειαν αὐτοῦ (τὴν) πρὸς τὸν Χριστὸν καὶ εἰς τὰ ἔθνη πάντα διασπορὰν αὐτοῦ προεδήλωσαν; Εἰ δὲ Μωϋσῆς καὶ οἱ ἄλλοι προφῆται ἐκ τῆς τοῦ θεοῦ χάριτος τὰ μέλλοντα προεγίνωσκον, πῶς αὐτὸς ὁ ἐν αὐτοῖς λαλήσας θεὸς οὐ προγινώσκει τὰ μέλλοντα; ὥστε οὖν οἰκονομικῶς εἴρηται τὸ «ἐνεθυμήθη» τουτέστιν μετεμελήθη, καὶ τὸ «καταβὰς ὄψομαι»· καὶ μέν γε καὶ τὸ «ἐπείραζε τὸν Ἀβραὰμ» καὶ «ὠσφάνθη»* καὶ ὅσα τοιαῦτα, συγκαταβατικῶς διὰ τὴν ἀσθένειαν ἡμῶν λέλεκται, ἐπεὶ ὅτι γε θυσιῶν οὐκ ὀρέγεται, διὰ τοῦ προφήτου Δαυὶδ ὑπεμφαίνει λέγων· «Μὴ φάγομαι κρεάτα ταύρων ἢ αἷμα τράγων πίομαι»; «Ὅθεν ὁ ἐξ αὐτοῦ πρὸ τῶν αἰώνων γεννηθεὶς καὶ ἐπ' ἐσχάτων ἐκ τῆς παρθένου διὰ τὴν ἡμετέραν σωτηρίαν τεχθεὶς ταῦτα καὶ τὰ τοιαῦτα ὥσπερ διερμηνεύων τοῖς ἀγνοοῦσιν, ὅτι ὁ θεὸς καὶ πατὴρ πάντων προγινώσκει, ἔλεγεν· «οἶδε γὰρ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος, ὅτι χρῄζετε τούτων ἁπάντων» πρὶν αὐτὸν αἰτήσασθαι. Καὶ τοῖς νομίζουσιν ὅτι μὴ πάντα βλέπει, ἔφασκε· «προσεύχεσθε ἐν τῷ κρυπτῷ, καὶ ὁ πατὴρ ὑμῶν ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει ἐν τῷ φανερῷ». Καὶ τοῖς οἰομένοις αὐτὸν μὴ ἀγαθὸν εἶναι, ἐπέπληττε λέγων· «Εἰ οὖν ὑμεῖς, πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν», — Καὶ τοῖς δοκοῦσιν αὐτὸν θυσιῶν ὀρέγεσθαι, διηγόρευσεν ὁ θεός· «ἔλεον θέλω καὶ οὐ θυσίαν». Καὶ τοῖς ὑπολαμβάνουσι κακὸν αὐτὸν εἶναι παραινῶν ἐβόα—

---

4. Τί δὲ ὁ. καὶ M. τὰ ἁμ. τοῦ λαοῦ προσημαίνει καὶ τὴν ὀ. τὴν εἰς τὰ ἔ. προδηλοῖ Hom. — 9. τὰ ἐσόμενα Ced. — 9. περισσόν ἐστι τὸ γεγραμμένον Ἐ. καὶ μετ. Hom. — * Κύριος Ced. — 12. ἡμετέραν σ. Ced. — 14. Ps. L. 30. φάγομαι — πίωμαι. — 15. Τοῖς δὲ ὑπολαμβάνουσιν ὅτι ὁ θς οὐ πρ. ἔφη Hom. 55. — 18. Mt. VI. 32.— ἡμῶν Ced. — σ. αἰτῆσαι ὑμᾶς Ced. — 20. Τοῖς δὲ πιστεύουσι ὡς καὶ αἱ γραφαὶ λέγουσιν, ὅτι μὴ π. Hom. καὶ τοῖς μὴ ν. ὅτι οὐ π. cod. Mt. VI. 6.— 22. Τοῖς δὲ Hom. 56. — 23. εἶναι ὡς αἱ γραφαὶ λέγουσιν, ἔφη L. XI. 13, Mt. VII. 11. — 26. Τοῖς δὲ προλαβοῦσιν ὅτι θ. ὀρέγεται Hom. — Mt. IX. 13. — 27. Τοῖς δὲ πειθομένοις κ. Hom. 57.

«Γίνεσθε οἰκτίρμονες, ὡς ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος» — Διὰ δὲ τοὺς ἀπατωμένους καὶ ὑπολαμβάνοντας πολλοὺς θεοὺς ὑπάρχειν ἔφη· «ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν»· καί· «Ἐξομολογοῦμαί σοι, πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς». Καὶ μέντοι πρὸς τὸν ἐρωτήσαντα γραμματέα· «ποία ἐστι πρώτη πάντων ἐντολῶν»; ἀπεκρίθη· «Ἄκουε, Ἰσραὴλ, κύριος ὁ θεός σου, κύριος εἷς ἐστιν». (4) «Ὁ δὲ Σίμων συνιδὼν, ὅτι Πέτρος αὐτὸν συνάγει (ἐν) ταῖς γραφαῖς — εἰς τὸν περὶ θεοῦ λόγον ἐξετασμὸν γενέσθαι μὴ θελήσας» ἀνεχώρησε μετὰ πολλῆς αἰσχύνης καὶ ἥττης· ἦν γὰρ ὁ ἐξάγιστος πολύπειρος μὲν ἐν ταῖς πνευματικαῖς διδασκαλίαις, καὶ γὰρ οὕτως ἦν ἐξησκημένος ἐν ταῖς μαγείαις καὶ μεθοδείας τοῦ Σατᾶν, ὡς οὐκ ἄλλος τις τῶν πρὸ αὐτοῦ, σχεδὸν ἐπὶ ταῖς διαβολικαῖς ἐπινοίαις καὶ κακουργίαις διαβεβοημένος· — «ἀνδριάντας γὰρ ἐποίει περιπατεῖν, (καὶ) εἰς πῦρ κυλιόμενος οὐκ ἐκαίετο, εἰς ἀέρα ἵπτατο, (καὶ) ἐκ λίθων ἄρτους ἐποίησε· δράκων ἐγίνετο — (καὶ) εἰς χρυσὸν μετεβάλετο *, θύρας κεκλεισμένας καὶ μεμοχλευμένας ἠνόιγε (καὶ) σιδηρᾶ δεσμὰ διέλυεν· ἐν δείπνοις εἴδωλα παντοδαπῶν εἰδεῶν παρίστα· τὰ ἐν οἰκίᾳ σκεύη αὐτομάτως φέρεσθαι πρὸς ὑπηρεσίαν **, τῶν φερόντων μὴ ὁρωμένων»· σκιὰς πολλὰς προηγεῖσθαι (74ª) αὐτοῦ παρεσκεύαζεν, ἅσπερ ψυχὰς τῶν τεθνεώτων ἔφασκεν εἶναι. Πολλοὺς δὲ γοήτα καὶ πλάνον αὐτὸν ἐλέγχειν πειρωμένους, διαλλάξας πρὸς ἑαυτὸν, ἔπειτα προφάσει εὐωχίας βοῦν θύσας καὶ ἑστιάσας αὐτούς, διαφόροις καὶ δυσιάτοις νόσοις καὶ δαίμοσιν ὑπέβαλεν»· καὶ ἄλλα πλεῖστα εἰργάσατο, καθυπουργούντων αὐτῷ τῶν δαιμόνων (κἀντεῦθεν οὐ μόνον ἑαυτὸν εἰς ἑτέρας μορφὰς ἀνθρώπων καὶ ἀλόγων, ὡς

---

1. τέλειοι Mt. V. 48?—Τοῖς δὲ ἠπατημένος π. θ. ὑπονοεῖν, ὡς αἱ γραφαὶ λέγουσιν, ἔφη Io. XVII. 3. Hom.—4. M. XI. 25.—6. Mt. XII. 28.—7. Ced. 368,12—369,19.—Ὅμως ὁ Σ. Hom. 58. — 8. αὐτῷ cod. — ἐν om. Ced. et Hom. — 9. ἐξέτασιν γ. οὐκ ἠθέλησεν Hom.—10. ἐξ. ἦν Ced.—13. σχ. περὶ Ced.—14. διαβεβοημένων Ced. Hom. II. 32. — ἐπὶ Hom. — 16. ἐποίει Ced. — * καὶ εἰς ὄφεις καὶ ἕτερα ζῶα μετεμορφοῦτο, διπρόσωπος ἐγίνετο Ced. — 17. θ. κ. ἀνοίγει Hom. — 18. ἰδεῶν Ced. — παρίστησιν Hom. — 19. ὡς αὐτόματα φερόμενα Hom. — ** ἐποίει Ced. — 20. φ. οὐ βλεπομένων Hom. φ. οὐχ ὁρ. Ced. — 21. ἐ. λέγει Hom. IV. 4. — 22. Πολλῶν — πειρωμένων Ced. — 23. ἐ. εὐθύστερον πρ. Hom. — 24. διαφ. ν. περιέβαλε καὶ δ. Hom. διαφόρως δ. καὶ δ. Ced. — ὑπ'βαλεν cod. — 25. κ. αὐτῶν δ. cod.

ἔφην, μετεσχημάτιζεν, ἀλλὰ καὶ οὓς ἤθελεν οὕτως ἐποίει). Καὶ γοῦν ποτὲ ζητούμενος ὑπὸ τοῦ Καίσαρος ὡς πλάνος, ἀπέδρα, τὴν μορφὴν αὐτοῦ περιθεὶς Φαύστῳ μαθητῇ Πέτρου *. Οὗτος ἐπανελθὼν πρὸς ** Πέτρον ἐδιώκετο ὑπὸ πάντων διὰ τὴν ἀνόσιον εἰδέαν, ἣν περιέκειτο. Ἐμβλέψας δὲ ὁ Πέτρος εἰς αὐτὸν καὶ ἰδὼν λυπούμενον καὶ δάκρυσι συνεχόμενον ἔφη· «Ὑπὸ Σίμωνος τοῦ μάγου, Φαῦστε, ἡ παραλλαγὴ τῆς μορφῆς σου γέγονεν· ὑπὸ γὰρ Καίσαρος ζητούμενος καὶ φοβηθεὶς ἔφυγε, τὴν ἑαυτοῦ μορφήν σοι περιθεὶς, ἵνα, σοῦ συσχεθέντος καὶ ἀναιρεθέντος, λύπην μεγάλην ἡμῖν προξενήσῃ καὶ θλῖψιν· ἀλλ' ὁ θεὸς τῆς τοῦ λαοπλάνου καὶ ἐχθροῦ τῆς ἀληθείας Σίμωνος ἀπαλλάξας σε μορφῆς τὴν προτέραν ἰδέαν παρέξει τάχιον», ὅπερ δὴ καὶ σὺν τῷ λόγῳ γέγονε, πάντων ἡμῶν θεωρούντων. (5) Ταῦτα μέντοι καὶ ἕτερα τοιαῦτα γεγράφηκεν, ὡς ἔφην, Κλήμης λεχθῆναι καὶ πραχθῆναι ἐν Συρίᾳ. Ἐν δὲ τῇ Ῥώμῃ μετὰ τὸ ἐκβληθῆναι *** ἀπὸ προσώπου Νέρωνος, ὡς εἴρηται, εἶπε Σίμων τῷ Πέτρῳ· «Ἔφης ὅτι (ὁ) Χριστὸς καὶ θεός σου ἀνελήφθη· ἰδού, κἀγὼ ἀναλαμβάνομαι». Καὶ ἰδὼν αὐτὸν (ὁ) Πέτρος κουφιζόμενον διὰ τῆς μαγείας εἰς τὸν ἀέρα ἐν μέσῳ τῆς πόλεως Ῥώμης, ηὔξατο· καὶ εὐθὺς πεσὼν ὁ Σίμων καὶ συντριβεὶς ἀπέθανεν. Ὁ δὲ τόπος ἔκτοτε ὁ δεξάμενος αὐτοῦ τὸ παμβέβηλον καὶ παμμίαρον σῶμα ἐκλήθη Σιμώντον· περὶ οὗ ἐν ταῖς ἀποστολικαῖς διατάξεσιν ὁ μέγας ἀπόστολος Πέτρος οὕτως φάσκει· «Ἡ δὲ καταρχὴ τῶν αἱρέσεων τῶν νέων γέγονεν ἀπὸ Σίμωνος τοῦ μάγου, ὃς καὶ ἐν Συρίᾳ πολλὰ διαπραξάμενος ἄτοπα καὶ «ἐν Ῥώμῃ γενόμενος, πολὺ τὴν ἐκκλησίαν ἐσάλευσε διὰ μαγείας καὶ διαβολικῆς ἐνεργείας καὶ ἐμπειρίας· ἐν μὲν γὰρ Καισαρείᾳ τῇ Στράτωνος ἐμοὶ Πέτρῳ συντυχὼν ἐπειρᾶτο διαστρέφειν τὸν λόγον τοῦ θεοῦ, συμπαρόντων μοι τῶν ἱερῶν τέκνων, Ζακχαίου τοῦ ποτὲ τελώνου,

---

* καὶ Ced. — ** τὸν Ced. — 5. ἰδέαν Ced. — 6. δακρύοντα ἔφη. ὑπὸ Σ. ὦ φ. τοῦ μ. Ced. — 8. ζ. γὰρ ὑ. Κ. φ. Ced. — 9. σοι μ. Ced. — 10. καὶ θ. ἡ πρ. Ced. — 11. μορφὴν cod. — 13. Ced. 369,20—371,12. — *** αὐτοὺς Ced. — 16. προειρ. Ced.— χς ὁ θς Ced. — 20. βεβ. Ced. — 22. ἐκ τοῦ ς' βιβλίου τῶν ἀποστολικῶν διατάξεων cod. in margine scl. c. 7. — 23. τῶν ν. ἀ. Const. Ced. — 25. γ. δὲ ἐν Ῥ. Const. VI. 9. — ἐσκυλε Const. Ced. — 26. Κ. τῆς cod. sed Const. VI. 8 Ὁ μέντοι Σ. ἐμοὶ Π. ἐν Κ. τῇ Στ.

καὶ Βαρνάβα (καὶ Νικήτου) καὶ Ἀκύλα, ἀδελφοῦ Κλήμεντος τοῦ Ῥωμαίων ἐπισκόπου τε καὶ πολίτου, μαθητευθέντος [δὲ] καὶ Παύλῳ τῷ συναποστόλῳ ἡμῶν καὶ συνέργῳ ἐν τῷ εὐαγγελίῳ· καὶ τρίτον ἐπ' αὐτῶν διαλεχθεὶς αὐτῷ ἐκ τῶν περὶ τῶν προφητῶν λόγων καὶ περὶ θεοῦ μοναρχίας, ἥττησα αὐτὸν δυνάμει τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ εἰς ἀφωνίαν καταβαλών, φυγάδα τε αὐτὸν εἰς τὴν Ἰταλίαν κατέστησα· Γενόμενος δὲ, ὡς ἔφην, ἐν Ῥώμῃ, πολὺ τὴν ἐκκλησίαν ἐτάραξε, πολλοὺς ἀνατρέπων καὶ ἑαυτῷ περιποιούμενος, τὰ δὲ ἔθνη ἐξιστάνων, μαγικῇ τέχνῃ καὶ δαιμόνων ἐνεργείᾳ, ὅς * ποτε, μεσούσης ἡμέρας, προσελθὼν εἰς τὸ θέατρον» «ἐπηγγείλατο δὶ ἀέρος ἀναπτῆναι. Πάντων δὲ θαυμαζόντων ἐπὶ τούτῳ, ἐγὼ Πέτρος καθ' ἑαυτὸν ηὐχόμην. Καὶ δὴ μετεωρισθεὶς ὑπὸ δαιμόνων ἵπτατο μετάρσιος (74[b]) εἰς τὸν ἀέρα λέγων, εἰς τοὺς οὐρανοὺς ἀνιέναι, κἀκεῖθέν τοῖς λαοῖς τὰ ἀγαθὰ ἐπιχωρηγεῖν· τῶν δὲ δήμων ἐπευφημούντων αὐτὸν ὡς θεὸν, ἐκτείνας ἐγὼ τὰς χεῖρας εἰς ὕψος, ἱκέτευσα τὸν θεὸν καταῤῥάξαι τὸν λυμεῶνα (καὶ τὴν ἰσχὺν τῶν δαιμόνων περικόψαι»). «Ἀτενίσας οὖν εἶπον τῷ Σίμωνι· «Εἰ ἀπόστολος Ἰησοῦ Χριστοῦ εἰμι ** καὶ οὐχὶ πλάνος ὥσπερ σὺ, Σίμων, προστάσσω ταῖς πονηραῖς δυνάμεσιν — ἀφεῖναι σε τῆς κρατήσεως». — «Καὶ ταῦτα εἰπόντος μου, (παραχρῆμα) κατηνέχθη μετὰ ἤχου πολλοῦ καὶ συνετρίβη ***, τοῦ ὄχλου βοήσαντος· «Εἷς θεὸς, ὃν (ὁ) Πέτρος καταγγέλλει». Οὕτως ἡ πρώτη κατελύθη τῶν Σιμωνιανῶν αἵρεσις ἐν Ῥώμῃ καὶ τέλειον ἀπεσβέσθη. Διὸ

---

1. ἀδελφῶν Const. — 2. Κλ. τοῦ Ῥωμαίου, μαθητεύσαντος Ced. μαθητεύσαντι cod. — 4. εἰς τῷ cod. — διὰ τῶν πρ. Ced. π. προφήτου Const. — 5. ἡττήσας Const. — δ. κῦ Const. — 6. κατέβαλον Ced. — 7. φ. κ. εἰς τὴν Ἰ. Const. — ὡς ἐ. om. Const. — 8. ἔσκυλε Const. — πολλὰ Ced. — 19. ἐξιστῶν Const. — * καὶ Ced. — μ. ἐμπειρίᾳ ὡς καὶ π. μέσης Const. — προελθὼν Ced. — 11. ἐπηγγέλλετο πτῆναι δὶ ἀέρος Const. — δὲ post Πέτρος Ced. — 12. Π. δὲ ἐπὶ τ. μετεώρων τυγχανόντων, ἐγὼ προσηυχόμην κ. ἐ. Const. — 13. εἰς ἀ. Const. — 14. εἰς ὁ. Const. — κ. αὐτοῖς τὰ Const. — ἐπιχωρηγήσειν Const. Ced. τῶν δὲ δαιμόνων Ced. — 15. ἐπ. ὡς Const. — εἰς οὐνὸν σὺν αὐτῇ τῇ Ced. — 16. διανοίᾳ Const. — ἱκέτευον Const. — τὸν θν διὰ ιῦ τοῦ κῦ βῆξαι Const. — 17. Ἀτ. ἐ. Const. — ** ἐγὼ Ced. — 19. Εἰ θῦ ἀνὸς ἐγὼ, ἀπ. δὲ ιῦ χῦ ἐληθὴς καὶ διδάσκαλος εὐσεβείας, ἀλλ' οὐ πλάνης οἷος σὺ Const. — 20. ἀφ. τῆς Const. — *** καὶ Ced. — 22. Καὶ εἰπ. μου τ. περικοπεὶς τῶν δυνάμεων ὁ Σ. κατ. μ. μεγάλου ἠ. καὶ βαγεὶς ἐξαίσιον συντρίβεται — καὶ φωνὴ τῶν ὀχλων λέγουσα Const. — 22. Εἷς ὁ θς ὃν Π. κ. Const. — 23. ἀπέβη Ced.

δὴ καὶ τὴν ἡμέραν ἐκείνου τοῦ σαββάτου, ἐπίσημον ἄγουσιν οἱ Ῥωμαῖοι. (6) Σάββατον γὰρ ἦν ἐν ᾧ ἐτελεῖτο προσευχὴ καὶ νηστεία τοῖς πιστοῖς· ἔθος γὰρ τὸ προσεύχεσθαι τὴν ἐκκλησίαν ὑπὲρ τῶν διδάσκαλων, ὡς καὶ ἐν ταῖς πράξεσι τῶν ἀποστόλων γέγραπται· ὅτι «προσευχὴ ἦν ἐκτενὴς γινομένη ὑπὸ τῆς ἐκκλησίας πρὸς τὸν θεὸν ὑπὲρ τοῦ Πέτρου», ὡς οὖν ἐν εἰκείνῃ τῇ ἡμέρᾳ τοῦ σαββάτου γενομένης τῆς Χριστοῦ νίκης καὶ τῆς πτώσεως τοῦ ἀντιχρίστου Σίμωνος ἐπὶ φανεροῖς, σάββασι τὸ μνημόσυνον ἐκτελοῦτες Ῥωμαῖοι νηστεύουσι καὶ συνάξεις φαιδρὰς ποιοῦσι, μέχρι νῦν τὴν παράδοσιν ἐκείνην φυλάττοντες· καὶ γὰρ καὶ ἄλλαι τινὲς ἐκκλησίαι διάφορα παραφυλάττουσιν ἔθη, καθὼς οἱ τὰς ἱστορίας ἀνεγράψαντο· παρὰ Σκύθαις μὲν γάρ, φησίν, αἱ πόλεις ἐπίσκοπον ἔχουσιν ἕνα καὶ μόνον· παρὰ δὲ Κυπρίοις καὶ Ἄραψι καὶ ἐν ταῖς κώμαις εἰσὶν ἐπίσκοποι, ὥσπερ οὖν καὶ παρὰ τοῖς ἐν Φρυγίαις Ναυατιανοῖς καὶ Μοντανισταῖς. Καὶ παρὰ μὲν τῇ ἐκκλησίᾳ Ῥώμης ἑπτὰ μόνοι διάκονοι γίνονται παρὰ δὲ πᾶσι τοῖς ἄλλοις ἀδιάφορος ὁ τούτων ἀριθμός ἐστιν. Καὶ ἐν Ῥώμῃ πάλιν ἅπαξ τοῦ ἐνιαυτοῦ λέγεται τὸ Ἀλληλούϊα ἐν τῇ α' ἡμέρᾳ τοῦ πάσχα μόνον· καὶ οὐδεὶς ἐκκλησίαν διδάσκει ποτὲ, οὐδ' αὐτὸς ὁ ἐπίσκοπος, ἐν δὲ Ἀλεξανδρείᾳ διδάσκει μὲν ὁ ἐπίσκοπος ἐπ' ἐκκλησίας»· «τῶν δὲ εὐαγγελίων ἀναγινωσκομένων, οὐκ ἀνίσταται» τοῦ θρόνου. «Καὶ τὴν μ' τῶν νηστειῶν οἱ μὲν ἑβδομάδας ς' νηστεύουσιν ὡς ἐν τῷ Ἰλλυρικῷ καὶ Λιβύῃ καὶ Αἰγύπτῳ καὶ πάσῃ τῇ δύσει καὶ Παλαιστίνῃ, ἐν δὲ Κ. Π. καὶ πέριξ ἄχρι Φοινίκης, ἑβδομάδας ζ' νηστεύουσι, ἄλλοι δὲ τρεῖς μόνας ἡμέρας ἐν ταῖς ἓξ ἢ ἑπτὰ σποράδην νηστεύουσι· ἕτεροι δὲ τρεῖς ἑβδομάδας ἐφεξῆς πρὸ τοῦ πάσχα συνάπτουσι, ἄλλοι δὲ δύο ὡς οἱ

---

5. Act. XIII. 5. — 8. ἐπιφανῶς? на явныхъ Slav. — 11. ἀναγράψαντες μαρτυροῦσι? Socom. VII. 19. — 13. καὶ μ. om. Soz. — 17. ἀρ. Π. οὖν ἑκάστου ἔτους ἁ. ἐν Ῥ. τὸ Ἀ. ψάλλεται κατὰ τὴν α' ἡμέραν τῆς πασχαλίου ἑορτῆς Soz. — 20. Οὔτε δὲ ὁ ἐπ. οὔτε ἄλλος τις ἐνθάδε ἐπ' ἐ. θ. παρὰ δὲ Ἀλεξανδρεῦσι μόνος ὁ τῆς πόλεως ἐπ. Soz. — 21. ἀν. γὰρ τῶν ἐ. οὐκ ἐπαν. ὁ ἐπισκόπος Soz. om. τοῦ θ. — 25. Καὶ τὴν — μ', ἐν ᾗ νηστεύει τὸ πλῆθος, οἱ μὲν εἰς ἓξ ἑ. ἡμερῶν λογίζονται ὡς Ἰλλυριοὶ καὶ οἱ πρὸς δύσιν, Δ. τε πᾶσα καὶ Ἀ. σὺν τοῖς Παλαιστινοῖς, οἱ δὲ ζ', ὡς ἐν Κ. Π. καὶ τοῖς π. ἔθνεσι μέχρι Φοινίκων, ἀλ. δὲ γ' σπ. ἐν ταῖς ς' ἢ ζ' Soz. — 26. οἱ δὲ ἅμα γ' πρὸ τῆς ἑορτῆς σ. Soz.

τὰ Μοντανοῦ φρονοῦντες». Ἔν τισι δὲ πόλεσι τῆς Αἰγύπτου, πρὸς ἑσπέραν ἡριστηκότες, τῶν μυστηρίων καταλαμβάνουσι». Ταῦτα μὲν Σωκράτης ἱστόρησεν ὡς εἰκὸς φυλαττόμενα πάντα· νῦν δὲ πλείστως καὶ κατὰ μέρος ἐναλλαγὴ γέγονεν ἐν τοῖς εἰρημένοις ἤθεσιν.

CXXII. ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΠΕΤΡΟΥ.

67 (5267) Ὁ μέντοι Νέρων ἀκούσας, ὅτι πεφόνευται ὑπὸ Πέτρου καὶ ἀγανακτήσας, ἐκέλευσεν αὐτὸν σταυρωθῆναι. Ὁ δὲ Πέτρος παρακαλέσας τὸν ὕπαρχον, ἵνα μὴ ὅρθιος σταυρωθῇ ὡς ὁ Κύριος (αὐτοῦ), κατὰ κεφαλῆς ἐσταυρώθη (καθὼς ἠξίωσεν ἐκ πολλῆς μετριοφροσύνης). Μετὰ δέ γε τὴν Πέτρου τελευτήν, ὥς φησιν Εὐσέβιος. Παῦλος ὁ ἀπόστολος κατὰ μὲν τὴν α' ἀπολογίαν ἐλθὼν ἀπὸ τῆς Ἰουδαίας δέσμιος (καὶ) ἀπολογησάμενος Νέρωνι, ἐπὶ τὴν διακονίαν τοῦ κηρύγματος ἐστάλη. (75ᵃ) «Καὶντεῦθεν, ὡς ἔοικε, τὰς τῶν ἀποστόλων πράξεις ἐπ' ἐκεῖνον τὸν χρόνον Λουκᾶς περιέγραψε μέγρις ὅτε συνῆν τῷ Παύλῳ»· καθ' ὃν δὲ καιρὸν ἐμαρτύρησεν, οὐ συμπαρῆν αὐτῷ, τοῦ ἀποστόλου σαφῶς τοῦτο λέγοντος, ὅτι «οὐδείς μοι ἐν τῇ πρώτῃ ἀπολογίᾳ συμπαρεγένετο, ἀλλὰ πάντες με ἐγκατέλιπον· μὴ αὐτοῖς λογισθείη»· ἣν δὴ πρὸς Τιμόθεον δευτέραν ἐπιστολὴν (δεσμοῖς) κατεχόμενος ἔγραψεν «ὁμοῦ σημαίνων τήν τε προτέραν αὐτῷ γενομένην ἀπολογίαν» πρὸς Νέρωνα, ὃν καὶ λεόντα διὰ τὸ ἀπάνθρωπον καὶ θηριῶδες τοῦ τρόπου καλῶς ὠνόμασε «καὶ τὴν παρὰ πόδας τελείωσιν» ἐπάγει φάσκων· «Ἐρρύσθην ἐκ στόματος λέοντος, ἀλλὰ καὶ (ἔτι) ῥύσεται * Κύριος ἀπὸ παντὸς ἔργου πονηροῦ καὶ σώσει εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον», ὑπεμφαίνων τὸ παραυτίκα μαρτύριον, ὃ καὶ σαφέστερον ἐν τῇ αὐτῇ προσαγορεύει γραφῇ λέγων· «Ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καὶ-

---

1. οἱ δὲ δ' ὅσοι τὰ cod.—2. Παρὰ δὲ Ἀγυπτίοις ἐν πολλαῖς π.—πρ. ἐ. τῷ σαββατῳ συνιοντες ἡ. ἤδη μ. μετέχουσι Soz. — 7. Ced. 371,13—373,8. — 14. ὅθεν εἰκότως τὰς Eus. II. 22. — 15. ἐκ ὁ Λ. π. τὸν χ. τὸν μ. Eus. — 16. τῷ Π. σ. Eus. — 17. 2 Tim. IV. 16. — 19. τὴν δὲ Ced. — 21. πρ. αὐτοῦ ἀπ. Ced. Eus. om. πρὸς — ὠνόμασε. — 23. 2 Tim. II. 17,18. — * με ὁ Ced. — 25. σημαίνων Eus. — 27. ἐπιστολῇ πρ. λ. Ced. προλέγει γρ. φάσκων Eus. 2 Tim. IV. 6.

ρὸς τῆς ἀναλύσεως μου ἐφέστηκεν». — «Ἀπολογησάμενος τοίνυν τὴν πρώτην ἀπολογίαν καὶ αὖθις ἐπὶ τὴν τοῦ κηρύγματος διακονίαν στειλάμενος, εἶτα πάλιν τὸ δεύτερον ἐπιβὰς τῇ Ῥώμῃ» δέσμιος καὶ ὡσαύτως Νέρωνι παραδοθεὶς τὸν διὰ ξίφους τοῦ μαρτυρίου στέφανον ἀνεδήσατο μηνὶ Ἰουνίῳ κδ', καθ' ἣν ἡμέραν καὶ Πέτρος ἐσταυρώθη *, καθάπερ καὶ Μάρκος καὶ Λουκᾶς οἱ εὐαγγελισταὶ καὶ Ἰάκωβος ὁ ἀδελφόθεος **. Ὁ οὖν *** Λουκᾶς ἐπὶ ἐλαίας καρποφόρου σταυρωθείς, μὴ εὑρισκομένου ξύλου ξηροῦ πρὸς τὸ γενέσθαι σταυρὸν ἐν τῷ τόπῳ λαβών τις τὸ σῶμα **** καὶ μεταξὺ πολλῶν μνημείων θάψας, ἄδηλον ἐποίησε τὸν τάφον. Τῶν δὲ μαθητῶν ἀναζητούντων μετέπειτα καὶ μὴ εὑρισκόντων αὐτοῦ τὸν τάφον διὰ τὸ πλῆθος τῶν μνημάτων, προσευξαμένων αὐτῶν τῇ νυκτὶ ἐκείνῃ, κολλούρια ἔβρεξεν ὁ θεὸς ἰατρικὰ ἐπάνω τοῦ τάφου *****, σύμβολα τῆς ἐπιστήμης αὐτοῦ· καὶ ἐκ τούτου τοῦ σημείου ἐγένετο γνώριμος ὁ τάφος, οὗ τὸ τίμιον καὶ ἅγιον λείψανον (ὕστερον) ἀνακομίσας Κωνστάντιος, ὁ υἱὸς τοῦ μεγάλου Κωνσταντίνου, κατέθηκεν ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων ******.

CXXIII. ΠΕΡΙ ΙΑΚΩΒΟΥ ΤΟΥ ΑΔΕΛΦΟΘΕΟΥ.

Ὁ δὲ μέγας Ἰάκωβος ὁ ἀδελφόθεος ἁγνὸς ὑπάρχων ἐκ κοιλίας μητρὸς αὐτοῦ οἶνον καὶ σίκερα οὐκ ἔπιεν οὐδὲ ἔμψυχον ἔφαγεν οὔτε βαλανείῳ ἐχρήσατο· τὰ δὲ γόνατα ἀπεσκληκότα δίκην καμήλων γεγόνασιν ἐκ τοῦ ἀεὶ κάμπτειν ἐπὶ γονάτων καὶ τῷ θεῷ προσκυ-

---

1. Τότε μὲν οὖν ἀπολογησάμενον αὖθις Eus. — 4. δέσμιος cod. a sec. m. — 2. δικ. λόγος ἔχει στείλασθαι τὸν ἀπόστολον, δεύτ. ἐπιβάντα τῇ αὐτῇ πόλει τῷ κατ' αὐτὸν τελειωθῆναι μαρτυρίῳ Eus. — * μετὰ περίοδον χρόνου ἑνὸς Ced. — ** ὡς ἔμπροσθεν εἴρηται Ced. — *** μακάριος Ced. — 8. ἐσταυρώθη Ced. — 9. στ. καὶ λ. Ced. — **** αὐτοῦ Ced. — ***** τοῦ ἀποστόλου Ced. — 16. ἀνακομισθὲν ἐπὶ Κωνσταντίου, τοῦ υἱοῦ τοῦ μ. Κ. διὰ τοῦ ἁγίου Ἀρτεμίου ἐτέθη Ced. — ****** ὑποκάτω τῆς τραπέζης, μετ' Ἀνδρέου καὶ Τιμοθέου τῶν ἁγίων ἀποστόλων Ced. (a. 550). — 19. Ced. 360,22—361, 7. Ἐπὶ Νέρωνος Ἀγρίππα τελευτήσαντος, Φῆστος καθίσταται διάδοχος αὐτοῦ ὑπὸ Νέρωνος καὶ Παῦλος κηρύσσων τὸ εὐαγγέλιον δικαιολογησάμενος ἐπὶ Φήστου, πέμπεται πρὸς τὸν Νέρωνα. Καὶ τότε μὲν ἀπολογεῖται, δεύτερον δὲ ἐν Ῥώμῃ ἐλθών, τὴν κεφαλὴν ἀποτέμνεται παρὰ Νέρωνος ὡσαύτως καὶ Πέτρος ὁ κορυφαῖος ἀνασκολοπίζεται.

νεῖν, ὅθεν διὰ τὴν ὑπερβολὴν τῆς δικαιοσύνης αὐτοῦ καὶ θαυμαστῆς πολιτείας ἐκαλεῖτο δίκαιος καὶ ὠβλίας ὅ ἐστι περιοχὴ τοῦ λαοῦ καὶ δικαιοσύνη (2) Ἐπεὶ οὖν αἰδέσιμος καὶ σεβάσμιος, ἦν καὶ /σφόδρα περιβόητος ὁ ἰσάγγελος Ἰάκωβος, ἑορτῆς γενομένης τοῦ πάσχα καὶ πολλῶν μυριάδων συνελθόντων (ἐν τῷ ναῷ) τῶν Ἰουδαίων, (καὶ) τοῦτον ἀνενέγκαντες οἱ γραμματεῖς * ἐπὶ τὸ πτέρυγιον τοῦ ἱεροῦ, διασκεδάσαι βουλόμενοι τὸ κήρυγμα τοῦ Χριστοῦ, εἶπον μεγάλῃ τῇ φωνῇ· «Ἀξιοῦμέν σε, δίκαιε, εἰπεῖν τῷ λαῷ, ἵνα μὴ πλανῶνται ὀπίσω τοῦ λεγομένου Χριστοῦ· σοὶ γὰρ πάντες πειθόμεθα γινώσκοντές σε (εἶναι) δίκαιον καὶ ἀπροσωπόληπτον» **. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· «Τί με ἐπερωτᾶτε περὶ τοῦ Χριστοῦ, καὶ αὐτὸς καθέζεται ἐν δεξιᾷ τοῦ θεοῦ ἐν τῷ οὐρανῷ» ***. Οἱ δὲ παράνομοι ἀρχιερεῖς καὶ φαρισαῖοι ἔκραξαν· «ὦ, ὦ, καὶ δίκαιος πεπλάνηται». Καὶ (εἶπον πρὸς ἀλλήλους· «Κακῶς ἐποιήσαμεν τοῖς αὐτοῦ μαρτυρίοις καθ' ἑαυτῶν ὑπὲρ τοῦ Χριστοῦ παρασχόντες, πολλοὺς ποιήσαντες πιστεῦσαι εἰς αὐτόν· καὶ δὴ) μανέντες οἱ ἐξάγιστοι (75[b]) καὶ τοῦτον κατακρημνίσαντες, κλίνας τὰ γόνατα ὑπὲρ αὐτῶν προσηύχετο· καὶ προσεγγίσας τίς τῶν υἱῶν Ῥηχὰβ καὶ ἀκούσας αὐτοῦ, λέγει αὐτοῖς· «Τί ποιεῖτε; ὁ δίκαιος μᾶλλον ὑπὲρ ἡμῶν εὔχεται»· καὶ δραμών τις κναφεὺς ἔδωκεν εἰς τὴν κεφαλὴν αὐτοῦ μετὰ τοῦ ξύλου ἐν ᾧ τὰ ἱμάτια ἐκπιέζειν εἰώθασιν· καὶ παραχρῆμα ἐτελεύτησεν ὁ δίκαιος· θάψαντες δὲ αὐτὸν ἐν τῷ ναῷ, ἀνήγειραν αὐτοῦ στήλην. (3) Μετὰ δὲ (τὸ) μαρτύριον αὐτοῦ παρὰ πόδας Ἱερουσαλὴμ πολιορκεῖται· φησὶ γὰρ Ἰώσηπος ταῦτα συμβεβηκέναι τοῖς Ἰουδαίοις κατ' ἐκδίκησιν Ἰακώβου τοῦ δικαίου «ὅς ἐστιν ἀδελφὸς (τοῦ) Ἰησοῦ, τοῦ λεγομένου Χριστοῦ», ἐπειδήπερ δικαιό-

---

3. Ced. 361,8 — 362,7, Eus. H. E. II. 23 ex Hegesippo. — 4. σεβ. καὶ σφ. π. ὑπῆρχεν Ced. — * καὶ ἱερεῖς Ced. — ** εἰπὲ ἡμῖν, τίς ἐστιν ἡ θύρα τοῦ Ἰησοῦ; Ced. — 11. ἔφη Ced. — *** καὶ αὐτὸς μέλλει ἔρχεσθαι κτλ. Ced. — 12. Ἀκούσαντες δὲ ταῦτα οἱ Ced. — παρανόμως cod. — 16. μ. ἔβριψαν αὐτὸν κάτω· πεσὼν δὲ οὐκ ἀπέθανε· καὶ ἤρξατο λιθάζειν αὐτον. ὁ δὲ θεὶς τὰ γόνατα πρ. παρακαλῶ σε, θεε πάτερ ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι· εἷς δὲ τῶν ὑ. Ced. — 19. Ῥ. ἔκραξε λέγων, παύσασθε τί Ced. — 22. μ. ξ. κναφικοῦ καὶ ἐθανάτωσεν αὐτὸν Ced. — περὶ τῷ Ced. — 23. τὴν στ. ἀ. Ced. — Ced. 362,7—11. — 24. π. Ἱερ. Ced. — 25. τ. δὲ συμβέβηκε Ἰ. Ced. — Arch. XX. 9. — ἦν Ced.

τατον (αὐτὸν) ὄντα Ἰουδαῖοι ἀπέκτειναν. (4) Οἱ τοίνυν Ἰουδαῖοι μετὰ τὴν τοῦ Κυρίου ἀνάληψιν ἀπολέμητοι ἔτη μ' διέμειναν (τοῦ Χριστοῦ μακροθυμοῦντος ἐπὶ τῇ παρανομίᾳ καὶ θεομαχίᾳ αὐτῶν) ὅπως γνωσιμαχήσαντες ἐπὶ τῇ τοιαύτῃ αὐτῶν πλημμελείᾳ ἰσχυρὰν ποιήσωνται τὴν μετάνοιαν ὅθεν, αὐτοῖς φοβερὰ σημεῖα * ἐπεδείκνυντο, τὴν μέλλουσαν καταλαμβάνειν αὐτοὺς ἄλωσιν προμηνύοντα· ἐν γὰρ τῇ τῶν ἀζύμων ἑορτῇ περὶ ὥραν θ' τῆς νυκτὸς τοσοῦτον φῶς τὸν ναὸν καὶ τὸν βωμὸν περιέλαμψεν ἐπὶ ὥραν μίαν, ὡς δοκεῖν ἡμέραν γενέσθαι. Μετὰ τοῦτο ἐφάνη ἄστρον ὑπὲρ τὴν πόλιν, βομφαίᾳ παραπλήσιον καὶ ἄλλοτε ἡ ἀνατολικὴ χαλκῆ πύλη τῆς πόλεως, σιδηροδέτοις κλειομένη μοχλοῖς καὶ μόλις ὑπὸ ἀνδρῶν λ' ἀνοιγομένη ὤφθη περὶ ὥραν η' τῆς νυκτὸς ἀνεῳγμένη· (καὶ) πάλιν (ἄλλοτε) ὡράθησαν πρὸ ἡλίου δύσεως ὡσεὶ ἅρματα μετέωρα καὶ στρατόπεδα ἔνοπλα διατρέχοντα περὶ τὸν ἀέρα καὶ τὰς πόλεις ** περιστοιχίζοντα. Μετὰ δὲ ταῦτα ἐν ταῖς ἡμέραις τῆς σκηνοπηγίας ἑορτῆς πρὸ ἐτῶν τοῦ πολέμου, εἰρηνευούσης καὶ εὐνομούσης τῆς πόλεως, ἄνθρωπός τις Ἰησοῦς τοὔνομα, ἐλθὼν ἐν τῇ ἑορτῇ ἐξαίφνης ἀνέκραξεν ἐν τῷ ἱερῷ λέγων· «Φωνὴ ἀπὸ δυσμῶν, φωνὴ ἀπὸ ἀνατολῶν, φωνὴ ἀπὸ τῶν δ' ἀνέμων, φωνὴ ἐπὶ Ἱεροσόλυμων καὶ πάντα τὸν λαόν». Καὶ ταῦτα ἐπὶ πολλαῖς ἡμέραις (καὶ νυξὶ) περιεχόμενος ἐν τῇ πόλει ἀνενδότως ἐβόα διό καί τινες τῶν δημοτῶν ἀγανακτήσαντες μάστιξιν αὐτὸν ἤκιζον, ἐπὶ πλεῖον κράζοντος μετὰ δακρύων καὶ λέγοντος πρὸς ἑκάστην πληγήν· «Οὐαί, οὐαί ***, Ἱεροσόλυμα». Κατὰ δὲ τὴν αὐτὴν ἑορτὴν βοῦς πρὸς θυσίαν ἀχθεῖσα, παραδόξως ἔτεκεν ἄρνα ἐν μέσῳ τοῦ ἱεροῦ, ἥτις οἶμαι (πα-

---

1. Cod. 373,8 — 374,12. — 2. δ. ἔτη μ' Cod. — 4. ἵνα γν. τὴν ἰδίαν ἀνακαλέσωνται πλημμέλειαν· οἱ δὲ μᾶλλον εἰς τὰ χεῖρον νεύσαντες τῷ φθόνῳ καὶ τοὺς ἁγίους ἀνήρουν, Στέφανον, Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, Ἰάκωβον τὸν ἀδελφόθεον καὶ λοιποὺς· διὸ καὶ ἀξίως ἐφ' ἑαυτοὺς τὴν θεήλατον ἐπεσπάσαντο πανωλεθρίαν, ὅθεν Cod. — * καὶ ἐναργῆ Cod. — 8. ν. π. καὶ τὸν β. περὶ Cod. — 9. Ἔπειτα ἀστὴρ ὑπερθεν τῆς πόλεως ρομφαίᾳ παρόμοιος ὠπτάνετο· ἀλ. ἡ. ἀν. π. χ. Cod.—14. π. τ. ἀ. δ. Cod. — ** τῆς Ἰουδαίας φοβερῶς Cod. — 15. Πρὸ ἐ. δὲ δ' τῆς ἁλώσεως, ἐν τῇ ἑορτῇ τῆς σκ. ἔτι τῆς π. ἐ. Cod. — 17. ὀνόματι ἐξ. ἐν μέσῳ τοῦ λαοῦ παρελθὼν ἔβοα φ. ἀπὸ ἑ. φ. ἀπὸ δ. Cod. — 20. νύκταις codex. — 21. π. ὅλην τὴν πόλιν ἀν. Cod. — 23. ἠκίζοντο ὁ δὲ πρ. ἐ. τῶν πλ. ἔκραξεν Cod. — *** οὐαὶ Cod. — 24. Κατ' ἀ. δὲ τὴν Cod. — 25. ἀ. π. θ. Cod.

ρὰ μὲν τοῦ παρὰ φύσιν τοκετοῦ, προεδήλωσε τήν τε ὑπερφυΐαν καὶ βοὴν τῆς πόλεως, διὰ δὲ τοῦ ἀρνοῦ τὴν πρὸς τὸν ἀμνὸν τοῦ θεοῦ τὸν Χριστὸν ἄρνησιν τῶν Ἰουδαίων) ἐναργῶς ὑπέφηνεν καὶ τὴν γενησομένην αὐτοῖς ἄρδην (καὶ ἀργαλεοτάτην ἀναίρεσίν τε καὶ) πανωλεθρίαν.

(5) Τῶν Ἰουδαίων τοίνυν τὴν πρὸς Ῥωμαίους ὑποταγήν τε καὶ φορολογίαν ἀθετησάντων (καὶ τοῦ Ἀγρίππα φυγόντος ἐν Ῥώμῃ, ἐν θυμῷ καὶ ὀργῇ) ἔγραψε Νέρων (τῷ τῆς ἑώας στρατηγῷ — Οὐεσπασιανὸς δὲ τῷ τηνικαῦτα ἦν κελεύων αὐτῷ — συνεγεῖραι πᾶσαν τὴν ὑπ' αὐτῷ στρατιὰν καὶ καταλαμβάνειν τὴν Ἰουδαίων γῆν καὶ ἄρδην) ἀπολέσαι αὐτήν. Ἐν δὲ ταῖς ἡμέραις τῆς ἑορτῆς τοῦ πάσχα πάντες ἀπὸ τῆς Ἰουδαίας εἰς Ἱεροσόλυμα παρεγένοντο καὶ ὑπὸ Ῥωμαίων ἐν τῇ μητροπόλει κατείρχθησαν μόνοι, προυπελθόντων (76ᵃ) διὰ θείας ἀποκαλύψεως τῶν εἰς Χριστὸν πιστευόντων, καὶ ἀπομεινάντων ὥσπερ ἐν εἱρκτῇ (τῶν δυσσεβῶν καὶ ἀλιτηρίων* κατὰ τοὺς πάλαι ὁμοτρόπους αὐτῶν τρισκαταράτους Σοδομίτας. Καὶ γὰρ περὶ τῶν πάλαι Σοδόμων πρεσβεύων ὁ θεῖος Ἀβραὰμ φησί· «Μὴ ἀπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς, καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής»· διὸ καὶ ὁ φιλάνθρωπος θεὸς ἐπηγγείλατο «εἰ εὑρεθῇ ἐν Σοδόμοις δέκα δίκαιοι»· οὐχ εὑρηνται, ὅθεν καὶ ἄρδην ἀπώλοντο. (6) Περὶ δὲ τῆς Ἱερουσαλὴμ ἐκλιπαρῶν ὁ θεσπέσιος Ἱερεμίας ἔφη πρὸς αὐτὸν πάλιν ὁ θεός. «Περιδράμετε ἐν ταῖς ὁδοῖς Ἱερουσαλὴμ, ἴδετε καὶ γνῶτε καὶ ζητήσατε ἐν ταῖς πλατείαις αὐτῆς· ἐὰν εὕρητε ἄνδρα καὶ ἔστι ποιῶν κρίμα, ζητῶν πίστιν, ἵλεως ἔσομαι αὐτῇ, λέγει Κύριος». Ἀλλ' ἄγε καὶ αὕτη τούτων σπανίζουσα, τῆς θεμηνίας ἀπήλαυσε, καὶ οὐκ ἐν ἄλλῳ χρόνῳ, ἀλλ' ἐν

---

3. σαφῶς ἐνέφαινε τὴν Ced. — 4. αὐτῷ cod. — 6. Ced. 374,12—22: Τῶν οὖν Ἰ. τὴν π. τοὺς Ῥ. ὑπ. ἠθετηκότων, ἀπέστειλε N. Οὐεσπασιανὸν, τὸν υἱὸν αὐτοῦ, καὶ Τίτον τὸν ἔκγονον αὐτοῦ, οἳ καὶ ἐπόρθησαν αὐτὴν, πάντων τῶν χριστιανῶν δι' ἃ. τῶν Ἱεροσολύμων ἐξ. μόνον δὲ τῶν Ἰουδαίων ἐκ πάσης τῆς χώρας ἐν τῇ τοῦ π. ἑορτῇ ὡσ. ἐν εἱ. τοῖς Ἱεροσούμοις συγκλεισθέντων, ὡς ἀμφὶ τὰς τ' μυριάδας τὸ πλῆθος ἀριθμεῖσθαι· καὶ πάντες τὸν ἐπηρτημένον αὐτοῖς ὄλεθρον πρὸς θεοῦ διὰ τὴν εἰς Χριστὸν τὸν θεὸν ἡμῶν τολμηθεῖσαν αὐτοῖς θεομαχίαν καὶ μιαιφονίαν ἐνδίκως κατεδέξαντο.— * ἐρήμου φίλων καὶ ἁγίων καὶ δούλων Χριστοῦ τοῦ θεοῦ cod., ponendum post πιστευόντων. — 18. Gen. XVIII. 23. — 22. Ier. V. 1.

ταῖς ἑορτῆς ἡμέραις· καὶ μάλα γε δικαίως· ἐχρῆν γὰρ αὐτοὺς ἐν αἷς ἡμέραις εἰς τὸν Κύριον ἐξήμαρτον, ἐν αὐταῖς καὶ τὰ ἐπίχειρα τῆς χριστοκτονίας ὑποστῆναι)·

(7) Ὁ δέ γε Νέρων κραταιουμένης αὐτῷ τῆς ἀρχῆς, εἰς ἀνοσίους πράξεις ἐξώκειλε καὶ ἀλλότρια τῆς βασιλείας ἐπετήδευσε πράγματα, κιθαρίζων καὶ τραγῳδῶν καὶ ὀρχούμενος ἐπὶ τῶν θεάτρων· καὶ πρὸς τούτοις καὶ πάσαις αὐτοῦ ταῖς ἀθεμιστουργίαις καὶ τὸ τῆς θεομαχίας μῖσος προσέθηκε διώκτης πρῶτος γενόμενος τοῦ θείου λόγου. (8) Μετὰ δέ ταῦτα ἐπιβουλῆς κατ' αὐτοῦ μηνυθείσης αὐτῷ καὶ εἰς ἄκρον μανίας ἐλθών, [ἀνεῖλε μὲν] τὴν ἰδίαν μητέρα καὶ τὴν ἀδελφὴν καὶ τὴν γυναῖκα αὐτοῦ καὶ ἄλλους μυρίους τῶν γένει αὐτῷ προσηκόντων καὶ μέντοι καὶ τοὺς ἐν Ῥώμῃ ἐπισήμους (τὴν ἐξ αὐτῶν ἐπανάστασιν ὑφορώμενος· καὶ οὕτως ἐκ τῆς ἄγαν μανίας ἀποκτηνωθείς, εἰς προαστεῖον ἐξελθών, ἑαυτὸν διεχειρίσατο· ἄλλοι δὲ φασιν, ὅτι) ἐπέθεντο αὐτῷ τινες* ἀναιρήσοντες· ὁ δὲ παρεκάλει τοὺς συνόντας αὐτῷ ἀνελεῖν αὐτόν· ὡς δὲ οὐδεὶς τοῦτο ἠνέσχετο πρᾶξαι· «ἐγὼ μόνος, ἔφη, οὔτε φίλον ἔχω τὸν σώζοντα οὔτε ἐχθρὸν τὸν ἀναιροῦντα με· ἀποθανεῖν θέλει ἡ ψυχὴ καὶ ἡ χεὶρ οὐχ ὑπηρετεῖ. Τελευταῖον δὲ εἰπών· ὦ Ζεῦ, οἷος τεχνίτης κιθαρῳδὸς ἀπόλλυται, ἑαυτὸν ἀνεῖλεν** (9) Ἄλλοι φασίν, ὅτι ἐν τῇ Ῥώμῃ ἀνῃρέθη ὑπὸ τοῦ λαοῦ. Ἱστοροῦσι δὲ ταῦτα Ἕλληνες οἱ τὰς Ὀλυμπιάδας ἅμα τοῖς κατὰ χρόνους πεπραγμένοις ἀναγράψαντες.

---

9. Ced. 377,19—278,6 Οὗτος. ὁ Νέρων μανίας ἀλόγου πλησθείς ἀν. μὲν τὴν αὐτοῦ μ. 10. ἀνείλατο a sec. manu cod. — 11. καὶ τοὺς ἐκ γένους ἀ. προσήκοντας πάντας καὶ τῶν ἐπισημοτάτων Ῥωμαίων πλείστους· τῷ καὶ διὰ τὸν αἰσχρὸν καὶ ἀσελγῆ βίον αὐτοῦ τῇ τραπέζῃ κεραυνὸς ἐπιπίπτει καὶ εὐθὺς ἐπιτίθενται αὐτῷ Ced. — * τῶν ἐν τέλει Ced. — 17. ἡν. τ. Ced. — 20. Καὶ τ. ἐπειπών Ced. — ** Ἀποθανόντος Νέρωνος τινὲς πάλλια ὡς ἐλευθερούμενοι ἐφόρεσαν, παρ' οὗ καὶ Εὐλάβιος περὶ τῆς κατ' αὐτοῦ ἐπιθέσεως, ὡς οἰκεῖος αὐτοῦ ὢν ἐρωτηθείς ἔφη· «Ἐφίλησά σε πάντων μᾶλλον καὶ ἐμίσησα· ἐφίλησα ἐλπίσας ἀγαθὸν αὐτοκράτορά σε ἔσεσθαι, μισῶ δὲ ὅτι ταῦτα ποιεῖς· οὔτε γὰρ ἁρματηλάτης, οὔτε κυνηγῷ, οὔτε κιθαρῳδῷ δουλεύειν δύναμαι. (Ced. 398,6—12 Βλάβιος, Leo Ἀβλάβιος).

CXXIV. ΒΑΣΙΛΕΙΑ ΓΑΛΒΑ.

69 (5268) Μετὰ δὲ Νέρωνα ἐβασίλευσε Γάλβας τῶν εὐπατριδῶν γεγονὼς μῆνας ϛ', εἶχε δὲ παραδυναστεύοντα τὸν Ὄθωνα, ὃς ἰδὼν τὸν Γάλβαν Λούκιον εἰς υἱοθεσίαν παραλαβόντα, φθονήσας καὶ τὸ στράτευμα κατ' αὐτοῦ κινήσας, ἀπέκτεινεν αὐτόν· ἀπαιτούμενος δὲ [*] Ὄθων χρήματα παρὰ τῶν στρατιωτῶν [**], ἔφη· «Οὐ δεῖ αὐτοκράτορα ἀναγκάζεσθαι».

CXXV. ΒΑΣΙΛΕΙΑ ΟΘΩΝΟΣ.

70 (5268) Ὄθων ἐβασίλευσε μῆνας γ', ἡμέρας η'· (εἶτα Λουκίου αὐτῷ ἐπαναστάντος, μανείς, ἑαυτὸν ἀπέκτεινεν). (2) Ἦν δὲ γένους ἀσήμου· θύων δέ ποτε ἐν τῷ ἱερῷ, τὰ τῆς Ἀφροδίτιδος ᾄσματα τοῖς ἱεροῖς παρέμιξε· καὶ διὰ τοῦτο Βιτελίου αὐτῷ ἐπαναστάντος, ξιφιδίῳ ἑαυτὸν διεχειρίσατο εἰπών· τί γάρ με ἔδει μακροῖς αὐλοῖς [***] αὐλεῖν;» (3) Γάλβας δὲ (76[b]) καὶ Ὄθων καὶ Βιτέλιος ἐν πολέμοις ὄντες, ὑπὸ στρατιωτῶν ἀνηρέθησαν, Οὐεσπασιανὸν δὲ τὰ Ἱεροσόλυμα ἐκπορθοῦντα ἡ τῶν Ῥωμαίων σύγκλητος ἀνηγόρευσε βασιλέα.

CXXVI ΒΑΣΙΛΕΙΑ ΒΙΤΕΛΙΟΥ.

Βιτέλιος ἐβασίλευσεν ἔτος α', γένους περιφανοῦς ὤν. Οὗτος ἀστρολόγους καὶ ἀστρονόμους καὶ γόητας (ἀθροίσας, προεῖπον αὐτοῦ τὴν σφαγήν· καὶ) πάντας ἀναχωρῆσαι τῆς Ἰταλίας προσέταξε, οἳ καὶ προγράμματα ἔρριψαν [****] ἐντὸς ἡμέρας ῥητῆς ἀπαλλαγήσεσθαι αὐτὸν τοῦ βίου, ὃ δὴ καὶ γέγονε, καὶ ἐσφάγη ὑπὸ στρατιωτῶν.

---

2. Ced. 379,10—15, om. Bulg. 183. b. — 3. Γ. ἐβ. μ. ϛ' ἡμέρας ιγ' ἦν δὲ τῶν ἐ. ὃς εἶχε παρ. Ced. — * καὶ Ced. — ** ὁ Ced. — *** ἃ ὑπέσχετο αὐτοῖς Ced. — 9. Ced. 379,16. om. Bulg.—μ. ιγ' cod.—10. Ced. 379,17—20.— **** ᾄδειν καὶ Ced.—19. Ced. 379,21—380,3 om. Bulg. — ἐπιφ. Ced. Leo. — 21. γ. ἐντὸς ῥητῆς ἡμέρας π. ἐκχ. Ced. Leo. — 22. ὃ καὶ Leo. — πρόγραμμα Ced. Leo. — ἔβριψεν cod. — ***** προαγγέλλοντες Ced. Leo. — 22. αὐτοῦ τὸν βίον cod. — 24. ἐσφ. γὰρ Ced. ἐ. δὲ Leo.

CXXVII. ΒΑΣΙΛΕΙΑ ΟΥΕΣΠΑΣΙΑΝΟΥ.

Μετὰ δὲ Βιτέλιον ἐβασίλευσεν Οὐεσπασιανὸς ἔτη ι', ἡμέρας η' (ἦν δὲ γονέων ἀσήμων), αὐτοκράτωρ δὲ γεγονὼς ἐν Παλαιστίνῃ, ἔτι (τε) τὰς πόλεις τῶν Ἰουδαίων πολιορκῶν, ὅστις καὶ Ἰώσηπον τὸν συγγραφέα ὑποχείριον ἐποιήσατο· ἀνήχθη δὲ ἐν Ῥώμῃ ἀναγορευθεὶς ὑπὸ τοῦ στρατοῦ βασιλεύς, καταλιπὼν Τίτον, τὸν υἱὸν αὐτοῦ, πολιορκεῖν τὴν Παλαιστίνην.

(2) Ἐπανελθὼν δὲ εἰς Ῥώμην τοὺς υἱοὺς αὐτοῦ Τίτον καὶ Δομετιανὸν Καίσαρας ἀναδείξας, τὸν μὲν Τίνον πολιορκεῖν τὰ Ἱεροσόλυμα κατέλιπεν, Δομετιανὸν δὲ ἀπέστειλεν εἰς ἐκστρατείαν ἐπὶ τοὺς βαρβάρους. Ἐγγίζοντος δὲ αὐτοῦ ἐν τῇ Ῥώμῃ, ὁ ἐκεῖσε στρατὸς μετὰ τῆς συγκλήτου ἀνελὼν τὸν ἀντάρσιον, σὺν εὐωχίᾳ πολλῇ καὶ κρότοις ὑπήντησεν αὐτῷ.

CXXVIII. ΠΕΡΙ ΤΗΣ ΑΛΩΣΕΩΣ ΙΕΡΟΥΣΑΛΗΜ.

Ὁ δὲ Τίτος πύργον κατασκευάσας ἀνὰ πηχῶν ν' τὸ ὕψος ἐν Ἱερουσαλὴμ καὶ πολλοὺς καὶ διαφόρους ἑλεπόλεις παραστήσας καὶ διχόθεν τύπτεσθαι τὸ τεῖχος παρασκευάσας, τοὺς Ἰουδαίους ἐκ τοῦ α' τείχους τοῖς λιθοβόλοις καὶ τοῖς λοιποῖς ἐξήλασε μηχανήμασιν. καὶ πρὸς τὸ δεύτερον τεῖχος καταφυγόντες κἀκεῖθεν πάλιν ὁμοίως ἐξελασθέντες μέχρι του γ' τείχους, ἐπολέμησαν ἰσχυρῶς ἐκεῖθεν. Καὶ γενομένης καρτερᾶς μεχης ἔπιπτεν ἐξ ἑκατέρας παρατάξεως πλῆθος ἄπειρον. (2) Οἱ δὲ πονηρότεροι τῶν Ἰουδαίων, οἱ καὶ στασιασταὶ κληθέντες, δεινῶς τὴν πόλιν ἅπασαν κατέτρεχον. εἴπου γὰρ κεκλεισμένας θύρας εὗρον, ταύτας συντρίψαντες εἰσεπήδων καὶ ἐκ τῶν φαρύγγων τὸν ψωμὸν ἀναθλίβοντες ἥρπαζον· καὶ γέροντας μὲν

---

2. Cod. 380,3—9. om. Bulg. — Ὁ. υἱὸς Νέρωνος ἐβ. Cod. — 3. ἀ. δὲ γέγονεν Cod. Leo. — 8. τὴν Π. π. Cod. Leo. — 16. Cod. 375,1 — 7. — 17. ἐλαιπόλεις codex. — 23. Cod. 375,7 — 18. Αἱμοῦ δὲ τότε τὴν πόλιν ἀφορήτου κατακρατοῦντος, ἣν ἰδεῖν πολλῷ χείρω τῶν πολεμίων τοὺς ἔνδον δρῶντας στασιαστάς Cod. — 25. θύραν εἶδον κεκλεισμένην, κατακλῶντες ἐ. Cod.

ἐβασάνιζον (ἀντεχομένους τροφῆς), γυναῖκας δὲ (ἀπὸ τῆς κόμης) ἐσπάραττον, τὰ νήπια ἐπὶ γῆς ἤρασσον, ὀρόβοις δὲ τοὺς πόρους τῶν αἰδοίων (αὐτῶν) ἐμφράττοντες *, ῥάβδοις ὀξείαις τὰς ἕδρας τῶν ἀνθρώπων διαπερῶντες, ἠνάγκαζον, (πρὸς τὸ) δράκα μίαν ἀλφίτου καταμηνῦσαι κεκρυμμένην. (οὕτω γὰρ δεινὸς πάντων κατεκράτησε λιμός, ὥστε οἱ μὲν ἀκατέργαστον ἥσθιον τὸν ἄρτον, οἱ δὲ ζύμην ἀναφλέγοντες ὀλίγην τῷ πυρὶ, θᾶττον ἀνήρπαζον.) Οἱ δὲ ἀπορώτεροι χόρτου σπαράγματα διεμασσῶντο, αἱ δὲ γυναῖκες ἐν χερσὶ μαραινόμενα αὐτῶν τὰ βρέφη παρελογίζοντο αὐτὰ διὰ τὴν ὑπερβάλλουσαν βιαν τε καὶ ἀνάγκην τοῦ λιμοῦ. (3) Γέροντες δὲ καὶ νέοι καὶ νήπιοι ὥσπερ εἴδωλα παρερχόμενοι καὶ λιμῷ τηκόμενοι καὶ καταπίπτοντες, τοὺς μὲν καταπατοῦντες οἱ στασιασταὶ ἐφόνευον, τοὺς δὲ ἔτι ἐμπνέοντας καὶ ἐῤῥιμμένους διὰ ξίφους ἀπέκτεινον. Ὁ δὲ Τίτος περὶ τὰς φάραγγας τοὺς Ἰουδαίους ἀγρίαν πόαν εἰς τροφὴν συλλέγοντας συλλαβόμενος, τοὺς μὲν πλησίον τοῦ τείχους ἐκρέμασεν, τοὺς δὲ χειροκοπήσας εἰς τὴν πόλιν ἀπέστειλε, καταπλῆξαι τοὺς στασιαστὰς βουλόμενος. (4) Πᾶσα δὲ οἰκία (ἐκ τῆς ἐνδείας) νεκρῶν ἐπληροῦτο ἀπόζουσα καὶ λοιμὸς τῇ πόλει χαλεπὸς ἐπεκράτησε (ὅθεν οἱ στασιασταὶ τὴν δυσωδίαν μὴ φέροντες, ἔῤῥιπτον, ἀπὸ τοῦ τείχους αὐτοὺς ἐπὶ τὰς φάραγγας, ἔτι πολλοὺς αὐτῶν ἐμπνέοντας) (77ᵃ). (5) Οἱ τοίνυν στασιασταὶ ὑπὸ λιμοῦ πιεζόμενοι λάθρα πρὸς τὸ ὄρος τῶν ἐλαιῶν ἐξώρμησαν, οὓς οἱ Ῥωμαῖοι καταδιώξαντες εἰς φυγὴν ἔτρεψαν. Ῥωμαῖος δέ τις τῶν ἱππέων ὁ δοκιμώτατος τοὺς Ἰουδαίους ὠθουμένους κατὰ τῆς φάραγγος θεασάμενος, ἐκ πλαγίου παρελαύνων τὸν ἵππον, ἁρπάζει τινὰ νεανίαν, τῶν στασιαστῶν φευγόντων, στιβαρὸν κατὰ τὸ σῶμα καὶ ὡπλισμένον, ἐκ τοῦ σφυροῦ δραξάμενος, ἑαυτὸν ἐπικλίνει, τοῦ ἵππου τρέχοντος καὶ τὸν Ἰουδαῖον ἔφιππον

---

1. φ. διηρπάζοντο τὸν ψ. τούτου δὲ ἕνεκα καὶ γ. ἐβ. καὶ γύναια ἐσπ. καὶ ν. ἡ· (ἔρασσον cod.) εἰς γῆν Ced. — ὀρόβους codex. — * καὶ Ced. — 4. διαπερονῶντες οὕτως Ced. — ἀλφήτοων cod. — 5. μηνῦσαι κεκρ. καὶ χ. μὲν σπ. διεμασῶντο· μητέρες δὲ τῶν νηπίων ταῖς ἑαυτῶν χ. τῷ λιμῷ μαραινομένων ὑπερεώρων καὶ τῶν πρὸ τῶν ὀφθαλμῶν αὐτῶν θνησκόντων καὶ τῇ ἐνδείᾳ καταφθειρομένων παρ. Ced. — 12. καταπατοῦντας codex. — 17. Ced. 375,18 — 20. — 18. λιμὸς cod. — πληρουμένη καὶ ἐπεζουσα ἀργαλέον ἐνέσκηψε λοιμόν. καὶ πλείους ὁ λιμὸς ἢ ὁ πόλεμος ἀνάλωσέ τί γὰρ παρελείφθη μὴ βρωθέν; Ced.

καταδιώκοντος· καὶ τοσοῦτον τῆς δεξιᾶς τόνον καὶ τοῦ λοιποῦ σώματος ἐπιδειξάμενος καὶ τῆς ἱππικῆς τέχνης τὴν ἀρετήν, ὥσπέρ τι κειμήλιον ἦκε τῷ Καίσαρι κομίζων τὸν αἰχμάλωτον. Ὁ δὲ Τίτος ὑπερθαυμάσας τούτου τὴν ἰσχὺν καὶ τῆς δυνάμεως τὸ ἀήττητον, δώροις αὐτὸν ἀμείβει, τὸν δὲ ληφθέντα προσέταξεν ἀναιρεθῆναι. (6) Τῆς δέ γε πόλεως ὑπὸ Ῥωμαίων σφοδρῶς περθουμένης, ὁ λιμὸς τοὺς κατὰ τὴν πόλιν πλείους τοῦ πολέμου διέφθειρεν, διὸ δὴ καὶ ἀδελφοὶ κατὰ ἀδελφῶν καὶ συγγενεῖς κατὰ συγγενῶν, ξιφήρεις εἰς τοὺς οἴκους ἐχώρουν, τὰς ἀλλήλων τροφὰς ἁρπάζοντες· καὶ μὲν γε γυναῖκες ἀνδρῶν καὶ παῖδες πατέρων. καὶ — τὸ ἐλεεινότερον — μητέρες νηπίων ἥρπαζον ἐξ αὐτῶν τῶν στομάτων τὰς τροφάς. καὶ παντελῶς τῶν φιλτάτων οὐκ ἐφείδοντο. Καὶ ἄλλοι μὲν ὑπ' ἐνδείας κεχηνότες ὥσπερ κύνες λυττῶντες ἐφάλλοντο καὶ περιεφέροντο μεθυόντων δίκην, ὡς διὰ σπλάγχνων καὶ μυελῶν τοῦ λιμοῦ χωροῦντος καὶ πρὸς θάνατον βίαιον τὴν ψυχὴν ἐλαύνοντος· ἄλλοι δὲ τῶν ἀθεμίτων ἐφήπτοντο, ὡς οὐδὲ τὰ ῥυπαρὰ τῶν ἀλόγων ἐφείδοντο· τελευταῖον δὲ ζωστῆρας διεμασσῶντο καὶ ὑποδήματα καὶ δέρματα τῶν θυρεῶν ἤσθιον ἀπεκδέροντες. (7) Γυνή δέ τις Μαρία τοὔνομα, γένει καὶ πλούτῳ περιφανὴς καὶ περίβλεπτος ἐκ τῆς χώρας πρὸς τὴν πόλιν καταφυγοῦσα, πᾶσαν αὐτῆς τὴν ὕπαρξιν καὶ τὰς διατροφὰς οἱ στασιασταὶ καθ' ἡμέραν εἰσπηδῶντες διήρπαζον καὶ λοιπὸν τροφῆς ἀποροῦσα καὶ παιδίον ὑπομάζιον ἔχουσα, τοῦτο καταθύει καὶ ὀπτήσασα τὸ μὲν ἥμισυ βέβρωκεν, τὸ δὲ λοιπὸν καλειψασα διετήρει. Οἱ δὲ (στασιασταὶ, καθὼς εἰώθασιν, εἰσελθόντες καὶ) τῆς κνίσσης αἰσθόμενοι* ἠπείλουν ἀναιρήσειν αὐτήν, εἰ μὴ ὅπερ ἔκρυψεν, ἐπιδείξειε· ἡ δὲ τὰ λείψανα τοῦ παιδαρίου προαγαγοῦσα· «Τοῦτο δή, φησίν, τὸ ἐμόν ποτε γνήσιον τέκνον καὶ νῦν πανάθλιον, φάγετε καὶ ὑμεῖς καὶ γὰρ κἀγὼ βέβρωκα** εἰ δὲ ἀποστρέφεσθε, (καὶ) τὸ λοιπὸν ἐμοὶ καταλείψατε.» Οἱ δὲ*** τὰς ὄψεις

16. ὧν cod.—18. Ced. 375,21—376,9. — Τότε καὶ γυνή τις εὐγενὴς καὶ πλουσία τοὔνομα Μαρία ἐκ τῆς χ. κ. πρ. τὴν π. ἐπειδὴ π. ἁ. ὑπὸ τῶν στασιαστῶν ἁφῃρέθη τὴν περιουσίαν, ὑπ. ἐ. τέκνον — 23. τὸ ἡ. μὲν ἔφαγε, τὸ ἥμισυ δὲ καταλείψασα ἐτήρει Ced. — * καὶ εἰσπηδήσαντες Ced. — 25. ἀνελεῖν ἠπ. εἰ μὴ ἐπ. τὸ μέρος Ced. — τοῦ π. τὰ λ. Ced. — 26. προσαγ. cod. — T. ἔφη Ced. — τ. νῦν δὲ Ced. — 27. ὅτι κ. Ced. — ** καὶ μὴ γένησθε ἐμοῦ τῆς αὐτὸ γεννησαμένης συμπαθέστεροι Ced. — *** οὕτως ἰδόντες καὶ ἀκούσαντες Ced.

ἑαυτῶν ἱκανῶς τύψαντες ὑπεξῆλθον τοῦ δοματίου καταπεπληγμένοι καὶ τρέμοντες. καὶ οὕτως τὸ καλῶς ἐκ κοιλίας ἐξελθὸν βρέφος εἰς τὴν αὐτὴν πάλιν κακῶς ὑπέστρεψε (ἀθλίαν) γαστέραν (ὅπερ ἀκούσαντες οἱ ἐν τῇ πόλει πάντες ἀποθανεῖν ἐν τάχει προσηύχοντο). (8) Μενοῦνγε καὶ ἄλλα τοιαῦτα καὶ χείρονα καὶ δυσδιήγητα γεγόνασιν ἐν τῇ πόλει τότε· ἐν δὲ τῇ περιχώρῳ καὶ τῷ πολέμῳ γίνεται τοῖς Ἰουδαίοις θύελλα ἐξαίφνης σφοδροτάτη, ἥτις τὰ μὲν εἰς αὐτοὺς παρὰ τῶν Ῥωμαίων πεμπόμενα βέλη εὐστόχως ἔφερεν, τὰ δὲ παρ' αὐτῶν εἰς ἐκείνους πλάγια παραχρῆμα συνέσυρεν. Οἱ δὲ Ῥωμαῖοι θεασάμενοι τὰς ὄψεις τῶν Ἰουδαίων ἐκ τῆς θυέλλης ἀμαυρωθείσας, λαθραίως αὐτοὺς ἐπαναβαίνοντες εὐτόνως αὐτοὺς κατέκτεινον· κἀντεῦθεν (77^{b}) ἤσθοντο πολλοί, ὅτι θηλατός ἐστιν ἡ πληγὴ καὶ κατὰ θεομηνίαν ταῦτα πάσχουσιν. (9) Καὶ οὕτως ἐν δυσὶν ἔτεσιν παραλαβὼν ὁ Τίτος τὴν Ἱερουσαλήμ, πᾶσαν κατέλυσε καὶ ἐνέπρησε μετὰ τοῦ αὐτῆς ναοῦ κατὰ τὴν τοῦ Κυρίου προαγόρευσιν (καὶ προφητείαν)*. Εἰπόντων γὰρ τῶν μαθητῶν «περὶ τοῦ ἱεροῦ, ὅτι «λίθοις καλοῖς καὶ ἀναθήμασιν κεκόσμηται», ἔφη·» Ταῦτα, ἃ θεωρεῖτε πάντα, ἐλεύσονται ἡμέραι, ἐν αἷς οὐκ ἀφεθήσεται λίθος ἐπὶ λίθῳ, ὃς οὐ καταλυθήσεται». «Ὅταν δὲ ἴδητε κυκλουμένην τὴν πόλιν ὑπὸ τῶν στρατοπέδων, τότε γνῶτε ὅτι ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς» — «Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις· ἔσται γὰρ ἀνάγκη μεγάλη καὶ ὀργὴ τῷ λαῷ τούτῳ καὶ πεσοῦνται ἐν στόματι ῥομφαίας καὶ αἰχμαλωτισθήσονται εἰς πάντα τὰ ἔθνη· καὶ ἔσται Ἱερουσαλὴμ

---

1. τὰς ἀ. ὀ. τ. τρ. ἐξῆλθον οὕτω Ced. — 5. Ced. 376,9 — 16. Καὶ τοῦτο δὲ τῆς θηλάτου ὀργῆς σημεῖον ἱστόρηται. καὶ γὰρ πολέμου ἐπὶ τῇ περιοχῇ σφοδρῶς συβρηγνυμένου ἐξάπινα θ. σφόδρα μεταξὺ τῶν δύο μερῶν παρεμπεσοῦσα, τὰ π. τῶν Ῥ. μὲν ἀφίομενα β. ἐ. ἴθυνεν ἐπ' αὐτούς, τὰ π. Ἰουδαίων δὲ πρὸς αὐτοὺς πεμπ. πλ. παρεσ. ὅθεν τὰς ὀ. αὐτῶν οἱ Ῥ. ἐκ τῆς θ. ἀμαυρουμένας θ. λ. τε ἐπαινέβαινον καὶ ἐκτ. ἀπ. ἀ. — 13. Ced. 376,16,17, 381,22 — 383,11. — 14. Ἐπὶ δ. δὲ ἐ. ὁ Τ. τὴν Ἱ. π. sed et Οὗτος ὁ Τ. ἐν δ. ἐ. π. τὴν Ἱ. Ced. — πᾶσαν αὐτὴν καὶ τὸν ἐν αὐτῇ ναὸν κατηθάλωσεν ἐν πυρὶ κτλ. vel π. ἐν. καὶ ἠφάνισε, καθὼς εἴρηται καὶ τὸν ναὸν ἐν. Ced. — * Χρὴ γινώσκειν ὅτι ὅτε ᾑχμαλώτευσε Τίτος τὴν Ἱερουσαλήμ, ἀπέκτεινε μυριάδας ρι' καὶ ᾖρεν αἰχμαλώτους μυριάδας οε'. — 16. L. XXI. 5, 6. — 18. πάντα? om. Lucas, ante ἃ Ced. — 19. λίθον Ced. Luc. 20. — 20. τὴν Ἱερουσαλὴμ ὑ. στρ. Ced. — 21. Luc. 23, 24. — 24. Ἱ. ἐ. Ced.

πατουμένη ὑπὸ ἐθνῶν ἄχρι πληρωθῶσι καιροὶ ἐθνῶν». καὶ «ἔσται θλῖψις τοιαύτη, οἷα οὐ γέγονε πώποτε οὐδὲ μὴ γενήσεται». Ταῦτα δὲ πάντα πεπόνθασιν οἱ ἐχθροὶ τῆς ζωῆς αὐτῶν Ἰουδαῖοι, κυριευθέντες ὑπὸ τῶν Ῥωμαίων ὡς ἀπωσάμενοι Χριστὸν, τὸν βασιλέα τοῦ παντὸς, καὶ τὸν τῶν Ῥωμαίων βασιλέα δυσσεβῶς ἐπισπασάμενοι κράζοντες· «Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα» καί· «Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν», διὸ * μέχρι τῆς συντελείας τὴν εἰς τὰ ἔθνη πάντα διασπορὰν καὶ ταλαιπωρίαν ἔξουσιν αὐτῶν τὰ τέκνα, καθάπερ τινὲς δραπέται (καὶ) μαστιγίαι (τε καὶ παράπληγες) μηδὲν τῶν νομίμων ἐπιτελεῖν δυνάμενοι· ὑποφόρους γὰρ ἔχοντες αὐτοὺς (οἱ Ῥωμαῖοι οὐκ ἐῶσι τοῖς ἰδίοις χρᾶσθαι δικαιώμασιν, ἐπειδήπερ ἑκουσίως ἐπεσπάσαντο τὴν δουλείαν εἰπόντες· «Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα»· καί· «ἐὰν μὴ ἀποκτείνωμεν τὸν Χριστὸν, πάντες εἰς αὐτὸν πιστεύσουσι, καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι καὶ ἀροῦσι τὸν τόπον ἡμῶν καὶ τὸ ἔθνος», οἵ γε καὶ ἄκοντες προεφήτευσαν καὶ γὰρ ἐπίστευσαν εἰς αὐτὸν τὰ ἔθνη, καὶ αὐτοὶ τὴν ἐξουσίαν ὑπὸ Ῥωμαίων ἀφῃρέθησαν, καὶ τῆς νομικῆς λατρείας κεκωλυμένοι εἰσὶ καὶ ἀναιρεῖν οὐ συγχωροῦνται καὶ θύειν ὅτε βούλονται· διὸ καὶ ἐπικατάρατοί εἰσι, μὴ δυνάμενοι ποιεῖν τὰ διατεταγμένα· «ἐπικατάρατος γὰρ, φησὶν, πᾶς ὃς οὐκ ἐμμένει πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τοῦ ποιῆσαι αὐτά». Ἀδύνατον δέ ἐστιν, ἐν διασπορᾷ μεταξὺ τῶν ἐθνῶν ὄντας, πάντα αὐτοὺς ἐπιτελεῖν τὰ τοῦ νόμου καὶ τὴν λατρείαν ἐν ἑνὶ τόπῳ περιγεγραμμένην, ὡς ἐν λόγῳ Κυρίου Μωϋσῆς διετάξατο. (10) Τί οὖν πρὸς ταῦτα φατὲ, ὦ Ἰουδαῖοι; καὶ τί τὸ αἴτιον τῶν τοσούτων καὶ τηλικούτων ὑμᾶς κατειληφότων κακῶν; Ἆρα γε συνήκατε, ὅτι οὐκ εἰς ὁμόδουλον, ἀλλ' εἰς θεὸν προσκεκρουκότες [εἰκότως ταῦτα πεπόνθατε καὶ ἀσύγνωστα πάσχετε; εἰς αὐτὸν γὰρ ὄντως ἐκεῖνον]

---

1. Mt. XXIV. 21. — 2. οὐδ οὐ μὴ Mt. Ced. — γένηται Mt. ἔσται Ced. — 5. τὴν τῶν Ῥ. βασιλείαν Ced. — 6. Io. XIX. 15. — Mt. XXVII. 25. — 7. Χριστοῦ Ced. (sic). — * καὶ Ced. — 12. κεχρῆσθαι Ced. — 14. Io. XI. 48. — 15. ἢ. τὸν τ. Ced. ἢ καὶ τὸν τ. Io. — 17. τῆς ἐξουσίας cod. — 18. καὶ τὴν λατρείαν, κ. δὲ ἐ. Ced. — ἀν. οὓς θέλουσι καὶ Ced. — 20. Deut. XXVII. 26. — 22. πάντ. cod. πάντως Ced. — 23. ἐπ. ἀ. Ced. — 24. Ἔλεγχος τῶν παρανόμων Ἰουδαίων, Ced. 383,12—386,20. — εἰκ. — ἐκεῖνον a prima manu omissa, a secunda in margine posita sunt.

τὸν ποιητὴν καὶ εὐεργέτην ἐξημάρτετε, ὦ ἐμβρόντητοι καὶ παράνομοι, καθὼς αὐτὸς διὰ Ἡσαΐου ἀναφωνῶν λέγει· «Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἀτέθησαν»· καί· «Τί ἔδει ποιῆσαι τῷ ἀμπελῶνί μου καὶ οὐκ ἐποίησα αὐτῷ; διότι ἔμεινα, ἵνα ποιήσῃ σταφυλήν, ἐποίησε δὲ ἀκάνθας»· καί· «Ἔμεινα τοῦ ποιῆσαι κρίσιν, ἐποίησε δὲ ἀνομίαν καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν». Ποίας δὲ ἀκάνθας λέγει καὶ ποίαν ἀνομίαν καὶ κραυγήν; ἢ δῆλον, ὅτι αἴσπερ ἐστεφανώσατε αὐτὸν ἐπὶ τοῦ πάθους ἀνόμως κράζοντες· (78ᵃ) «Ἆρον, ἆρον, σταύρωσον αὐτόν», ὡς καὶ διὰ Ἱερεμίου (περὶ τῆς θεομαχίας καὶ μιαρᾶς ὑμῶν συναγωγῆς πάλιν φησίν)· «Ἐγένετο ἡ κληρονομία μου ἐμοὶ ὡς λέων ἐν δρυμῷ· ἔδωκεν ἐπ' ἐμὲ τὴν φωνὴν αὐτῆς, καὶ διὰ τοῦτο ἐμίσησα αὐτήν». (Ἦν δὴ βέβηλον συναγωγὴν καὶ θεήλατον ὡς τοῦτο δράσασαν) καὶ Σολομὼν (θριαμβεύων) φάσκει· «Ἐξέλθετε, θυγατέρες Σιών, καὶ ἴδετε ἐν τῷ στεφάνῳ, ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ ἐν ἡμέρᾳ νυμφεύσεως αὐτοῦ». Μητέρα μὲν οὖν λέγει κατὰ σάρκα τὴν τῶν Ἰουδαίων συναγωγήν· «σάρξ μου — γάρ φησιν — ἐξ αὐτῶν»· ἡμέραν δὲ νυμφεύσεως αὐτοῦ (δηλοῖ) καθ' ἣν (ὁ μὲν) τὴν ἐξ ἐθνῶν ἐκκλησίαν ἐνυμφεύσατο»· ἡ δὲ (πεφενακισμένη καὶ) ματαιόφρων ἐκείνη συναγωγὴ στέφανον ἐξ ἀκανθῶν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ θεῖσα (καὶ ὡς ἐπευφραινομένη καὶ) ἐμπαίζουσα αὐτῷ ἔλεγεν· «Χαῖρε, ὁ βασιλεὺς τῶν Ἰουδαίων», πρὸς οὓς ἀποτεινόμενος Ἡσαΐας πληκτικώτερον ἔφη· «Ἐν τίνι ἐτρυφήσατε καὶ ἐπὶ τίνα ἐχαλάσατε τὴν γλῶσσαν ὑμῶν, τέκνα ἀπωλείας καὶ σπέρμα ἄνομον;» Ὅθεν αὐτὸς ὁ Κύριος δι' Ὡσηὲ τοῦ προφήτου σχετλιαστικῶς εἶπεν· «Οὐαὶ αὐτοῖς, ὅτι ἀπεπήδησαν ἀπ' ἐμοῦ, δειλαιοί εἰσιν, ὅτι ἠσέβησαν εἰς ἐμέ — καὶ πονηρὰ εἰς ἐμὲ ἐλογίσαντο»· «Διὰ τοῦτο κατεπόθη Ἰσραὴλ καὶ εἰς οὐδὲν ἐγένετο καί ἐστιν ὥσπερ σκεῦος ἄχρηστον ἐν

---

2. πάσχετε. Ἡσαΐας γὰρ περὶ ὑμῶν ἐκ προσώπου θεοῦ φησίν Ced. Ies. I. 2. — 3. V. 4: τί ποιήσω ἔτι; τί π. τῷ Ced. — 5. V. 7. — ἵνα ποιήσῃ Ced. — 8. ἀν. ἐπὶ τοῦ π. Ced. — 9. Io. XIX. 6. — 10. Ier. XII. 8. — 14. λέγει Ced. — Cant. III. 11. — 16. μὲν αὐτοῦ κ. σ. λ. Ced. — 17. Gen. XXXVII. 26? — ἡμέρ. cod. ἡμέραν Ced. — 19. ἐν. ἐκ. Ced. — 21. αὐτὸν cod. — Io. XIX. 3. — 23. ἐπιπλ. Ced. — Ies. LVII. 4. — 25. Os. VII. 13,15. — 27. Os. VIII. 8. — * καὶ Ced. Ἰλήμ Slav. sed יִשְׂרָאֵל — 28. καὶ ὅτι ὡ. Ced.

τοῖς ἔθνεσιν». (Ὁμοίως δὲ) καὶ διὰ Ἱερεμίου* φησίν. «Παιδεύσει σε ἡ ἀποστασία σου, καὶ ἡ κακία σου ἐλέγξει σε, καὶ γνῶσῃ, ὅτι πικρόν σοι (τὸ ἐγ)καταλιπεῖν σε ἐμὲ (καὶ οὐκ ἠὐδόκησα ἐν σοί.)» Ὁ δέ γε θεῖος Δαυὶδ, ὥσπερ διαπριόμενος καθ' ὑμῶν, ἐπαρᾶται πρὸς τὸν παροινηθέντα Κύριον λέγων· «Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς σύγκαμψον· ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου, καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς· (καὶ) πρόσθες ἀνομίαν ἐπὶ τὴν ἀνομίαν αὐτῶν, καὶ μὴ εἰσελθέτωσαν ἐν δικαιοσύνῃ σου· ἐξαλειφθήτωσαν ἐκ βίβλων ζώντων, καὶ μετὰ δικαίων μὴ γραφήτωσαν· καί· «διασκόρπισον αὐτοὺς ἐν τῇ δικαιοσύνῃ σου καὶ κατάβαλε αὐτούς, ὁ ὑπερασπιστής μου, Κύριε»· «καὶ συλληφθήτωσαν ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν—ἐν ὀργῇ συντελείας, καὶ οὐ μὴ ὑπάρξουσι, καὶ γνώσονται, ὅτι ὁ θεὸς δεσπόζει τοῦ Ἰακὼβ καὶ τῶν περάτων τῆς γῆς»· ἐφ' οἷς δήπουθεν (καὶ) διασπαρέντες ἐνδίκως ἐπιγνώσονται πάντως, ὅτι (ὁ) θεός ἐστιν, χριστὸς τοῦ πατρὸς αὐτῶν Ἰακὼβ (καὶ κυριεύει τὰ σύμπαντα καὶ ἀποδίδωσιν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ). Οὕτω γε μὴν καὶ ὁ θεοφάντωρ Μωϋσῆς (προκαθαπτόμενος καὶ) στηλιτεύων ὑμᾶς ὡς βδελυροὺς καὶ ἄφρονας καὶ ἀγνώμονας ἔφη· «Τέκνα μωμητὰ, γενεὰ σκολιὰ καὶ διεστραμμένη, ταῦτα Κυρίῳ ἀνταποδίδωσιν; οὗτος λαὸς μωρὸς καὶ οὐχὶ σοφός· οὐκ αὐτὸς οὗτός σου πατὴρ ἐκτήσατό σε καὶ ἐποίησε καὶ ἔπλασέ σε»; Κἀντεῦθεν εἰκότως φησὶν ὁ θεός· «Εἶπον, διασπερῶ αὐτούς, παύσω δὴ ἐξ ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν». Καὶ μέντοι καὶ ὁ κλεινὸς Ἱερεμίας μᾶλλον σαφηνίζων τίς οὗτός ἐστιν ὁ ταῦτα πεπονθὼς ἀφ' ὑμῶν, ἐκβοᾷ λέγων· «Πνεῦμα πρὸ προσώπου ὑμῶν, Χριστὸς, (ὁ) Κύριος, συνελήφθη ἐν ταῖς διαφθοραῖς ὑμῶν, οὗ εἴπαμεν ἐν τῇ σκιᾷ αὐτοῦ ζησόμεθα»· Τοιαῦτα γοῦν καὶ** Σολομὼν αὖθις ἐκ(78ᵇ)προσώπου ὑμῶν τῶν θεομάχων διαῤῥήδην προαγορεύει, φάσκων· «Ἐνεδρεύσωμεν

---

* πάλιν Ced. — 1. Ier. II. 19. — 5. Ps. LXIX. 23,24,27,28. — 8. καταλάβῃ Ced. — τῇ ἀνομίᾳ cod. — 10. Ps. LIX. 11—13. — 18. θεόπτης Ced. — 19. Deut. XXXII. 5,6. — 21. ἀνταποδέδοτε Deut. Ced. — 23. Deut. XXXII. 26. — 24. μᾶλα σαφ. Ced. — 26. ὑ. λέγει Ced. Thr. IV. 20 Πνα προσώπου ἡμῶν χς κς — αὐτῶν. — 27. οὐκ εἴπωμεν cod. — ** ὁ Ced. — 29. Sap. II. 12—20.

τὸν δίκαιον ὅτι δύσχηστος ἡμῖν ἐστι καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν καὶ ὀνειδίζει ἡμῖν ἁμαρτήματα νόμου καὶ ἐπαγγέλλεται γνῶσιν ἔχειν θεοῦ καὶ παιδίον Κυρίου ἑαυτὸν ὀνομάζει· ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν [ἡμῶν] καὶ βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος, ὅτι ἀνόμοιος τοῖς ἄλλοις ἐστὶν ὁ βίος αὐτοῦ καὶ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ· εἰς κίβδηλον ἐλογίσθημεν αὐτῷ, καὶ ἀπέχεται τῶν ὁδῶν ἡμῶν ὡς ἀπὸ ἀκαθαρσιῶν· μακαρίζει δὲ ἔσχατα δικαίων καὶ ἀλαζονεύεται πατέρα θεόν. Ἴδωμεν εἰ οἱ λόγοι αὐτοῦ εἰσιν ἀληθεῖς καὶ πειράσωμεν τὰ ἐκβάσια αὐτοῦ· εἰ γάρ ἐστι δίκαιος καὶ υἱὸς θεοῦ, ἀντιλήψεται αὐτοῦ καὶ ῥύσεται αὐτὸν ἐκ χειρὸς ἀνθεστηκότων. Ὕβρει καὶ βασάνῳ ἐτάσωμεν αὐτὸν, ἵνα γνῶμεν τὴν ἐπιείκειαν αὐτοῦ καὶ δοκιμάσωμεν τὴν ἀνεξικακίαν αὐτοῦ· θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτὸν καὶ ἴδωμεν εἰ ἔσται αὐτῷ ἐπισκοπὴ ἐκ λόγων αὐτοῦ». — Ὧν τὴν παράνοιαν καὶ δυσμένειαν εὖ μάλα κερτομῶν ἐπήγαγε· «Ταῦτα ἐλογίσαντο καὶ ἐπλανήθησαν, ἀπετύφλωσε γὰρ αὐτοὺς ἡ κακία αὐτῶν· καὶ οὐκ ἔγνωσαν μυστήρια θεοῦ». Οὓς δὴ καὶ ὁ θεσπέσιος Ἡσαΐας θρηνῶν συναδόντως λέγει· «Οὐαὶ τῇ ψυχῇ αὐτῶν, διότι ἐβουλεύσαντο βουλὴν πονηρὰν καθ' ἑαυτῶν, εἰπόντες· Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστός ἡμῖν ἐστιν». — Δέδεικται τοίνυν ἐναργέστατα, (ὡ θεομάχοι) ἡ αἰτία τῆς ὑμῶν ἀπὸ θεοῦ ἀλλοτριώσεως καὶ ἐγκαταλείψεως καὶ τῆς διηνεκοῦς καὶ ἀπεράντου ταλαιπωρίας, εἴπερ βούλεσθε ἀκούοντες ἐπιγνῶναι. (11) Καὶ περὶ μὲν τῆς ἐν Βαβυλῶνι αἰχμαλωσίας ὑμῶν ὡρισμένον χρόνον εἶπον οἱ προφῆται καὶ μέν γε τὴν ἐπάνοδον καὶ τὴν οἰκοδομὴν τῆς πόλεως κατήγγειλαν. Ἀκούσατε γὰρ Ἱερεμίου πρὸς ὑμᾶς λέγοντος· «Διὰ τὰς ἁμαρτίας, ἃς ἡμαρτήκατε ἐναντίον τοῦ θεοῦ, ἀχθήσεσθε εἰς Βαβυλῶνα αἰχμάλωτοι ὑπὸ Ναβουχοδονόσορ βασιλέως Βαβυλῶνος. Εἰσελθόντες οὖν εἰς Βαβυλῶνα, ἔσεσθε ἐκεῖ ἔτη ο'. Μετὰ δὲ τοῦτο ἐξάξω ὑμᾶς ἐκεῖθεν μετ' εἰρήνης, λέγει Κύριος». Καὶ πάλιν· «Δουλεύσουσιν ἐν τοῖς

2. ἡμᾶς Ced. — ἁμαρτί cod. ἁμαρτίας Ced. — νόμῳ Ced. — 5. ἐστὶν ante τοῖς ἀ. Ced. om. Sap. — 6. ὡς κιβδ. Ced. — 9. τὰ ἐν ἐκβάσει Ced. Sap. — 11. ἑτοιμάσωμεν cod. — τε Ced. — 15. Sap. II. 21,22. — 18. Ies. III. 8,9. — 23. βούλονται cod. — Ced. 386,20—388,6. — 25. μέντοι γε καὶ τὴν Ced. — 26. Ier. XXIX. 10,11, ad sensum, non verbotenus. — 27. κατεν. Ced. — 29. Ier. XXV. 11, 12 ἐκδικήσω τὸ ἔθνος ἐκεῖνο.

ἔτη ἐνέσιν ἔτη ο' καὶ ἐν τῷ πληρωθῆναι τὰ ο' ἔτη, ἀποκαταστήσω τὸν Ἰσραὴλ εἰς τὸν τόπον αὐτοῦ, λέγει Κύριος». Καὶ περὶ τῆς οἰκοδομῆς τῆς πόλεως Ἡσαΐας ἔφη· «Οὕτω λέγει Κύριος τῷ Χριστῷ μου Κύρῳ, οὗ ἐκράτησα τῆς δεξιᾶς ἐπακοῦσαι ἔμπροσθεν αὐτοῦ ἔθνη»· αὐτὸς οἰκοδομήσει τὴν πόλιν μου καὶ τὴν αἰχμαλωσίαν τοῦ λαοῦ ἐπιστρέψει»· περὶ ἧς οἰκοδομῆς καὶ Ἀγγαῖος φάσκει· «Τῷ δευτέρῳ ἔτει ἐπὶ Δαρείου—ἐλάλησε Κύριος—πρός με λέγων· Εἰπὸν δὴ πρὸς Ζοροβάβελ * καὶ πρὸς Ἰησοῦν τὸν ** ἱερέα *** καὶ πρὸς πάντας τοὺς καταλοίπους τοῦ λαοῦ λέγων· Τίς ἐξ ὑμῶν, ὃς εἶδε τὸν οἶκον τοῦτον ἐν τῇ δόξῃ αὐτοῦ τῇ ἔμπροσθεν; καὶ πῶς νῦν βλέπετε αὐτὸν ὡς οὐχ ὑπάρχοντα **** ἐνώπιον ὑμῶν; καὶ νῦν κατίσχυε, Ζοροβάβελ καὶ Ἰησοῦ καὶ πᾶς ὁ λαός, καὶ οἰκοδομήσατε τὸν οἶκον, καὶ εὐδοκήσω ἐν αὐτῷ» «καὶ ἔσται ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην, λέγει Κύριος». Ὥσπερ τοίνυν Σολομὼν τῆς πρώτης τοῦ ναοῦ οἰκοδομῆς γέγονε δομήτωρ, οὕτω καὶ «Ζοροβάβελ ἐθεμελίωσε τὸν οἶκον τοῦτον· καὶ αἱ χεῖρες αὐτοῦ ἐπιτελέσουσιν αὐτόν». Εἰ μὲν οὖν ἔμελλε πάλιν ἀναστήσεσθαι, εἶπεν ἂν ὁ προφήτης· «καὶ ἔσται ἡ δόξα τοῦ οἴκου τούτου (79ᵃ) ἡ ἐσχάτη ὑπὲρ τὴν ἔμπροσθεν». Τῷ δὲ εἰπεῖν «ὑπὲρ τὴν πρώτην» τὴν δευτέραν ἐσχάτην ὑπέφηνεν καὶ τελευταίαν. Ὡς γὰρ οὐκ ἔστι τῆς πρώτης προτέρα, οὕτως οὐδὲ τῆς ἐσχάτης ἐσχατωτέρα· ὥστε οὖν, εἰ μὲν εἶπεν· «ἡ δευτέρα ὑπὲρ τὴν πρώτην», εἰκὸς ἦν ***** τρίτην οἰκοδομὴν προσδοκᾶν· εἰ δὲ τὴν δευτέραν ἐσχάτην ἐκάλεσε, (τὴν) τελευταίαν ἐκείνην οἰκοδομὴν προφανῶς τῆς ****** πόλεως καὶ τοῦ λαοῦ παρεδήλωσε. (12) Καὶ μάτην ἀπατᾶσθε, ὦ Ἰουδαῖοι, τὴν παλιγγενεσίαν τούτων, μετὰ τὴν Οὐεσπασιανοῦ καὶ Τίτου καθαίρεσιν, ἀποκαραδοκοῦντες· ἀλλὰ μὴν καὶ ὁ ἱεροψάλτης Δαυὶδ πρὸ τούτων ἐκ προσώπου τῆς αἰχμαλώσεως φησιν· «Ἐπὶ τῶν ποταμῶν

---

3. Ier. XLV. 1. — 4. χρηστῷ cod. — 5. οὗτος Ies. XLV. 13. — 7. Hag. I. 15—II. 4. — * τὸν τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα Hag. — ** Ἰωσεδὲκ τὸν Hag. — *** μέγαν. 11. πῶς ὑμεῖς β. ἀ. νῦν καθὼς Hag. — **** αὐτὸν cod. — 13. Hag. II. 9. — 15. ὁ. τοῦ ν. Ced. — 16. ὁ Zor. τῆς β'. καὶ ἐσχάτης· φησὶ γὰρ Ζαχαρίας (IV. 9.) αἱ χεῖρες Ζ. ἐθεμελίωσαν Ced. — 19. ὑ. τὰ ἑ. Ced. — ***** καὶ Ced. — ****** τε Ced. — 25. Ced. 388,6 — 18. — 26. τούτ. cod. — 28. Ps. CXXXVII. 1,3.

Βαβυλῶνος, ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆναι ἡμᾶς τὴν Σιών»*, «ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτίσαντες ἡμᾶς (λόγους ᾠδῶν καὶ οἱ ἀπαγαγόντες ἡμᾶς) ὕμνους». Καὶ ἐπάγει ἑτέρωθεν περὶ τῆς πόλεως λέγων· «Οἰκοδομῶν Ἱερουσαλὴμ ὁ Κύριος, τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπισυνάξει. Καὶ πάλιν ἐκ προσώπου τοῦ λαοῦ φάσκει· «Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, ἀγαλλιάσεται Ἰακὼβ καὶ εὐφρανθήσεται Ἰσραήλ». — Οὐκοῦν ὑμεῖς πολὺ «πλανᾶσθε, μὴ εἰδότες τὰς γραφὰς» μηδὲ τὴν ἀποκειμένην μυστικὴν καὶ θεόπνευστον (διδασκαλίαν καὶ) πρόρρησιν ἐν αὐταῖς. (13) Περὶ δὲ τῆς ἐσχάτης αἰχμαλωσίας ταύτης οὔτε χρόνον ὥρισεν ὁ θεός, οὔτε ἀποκατάστασιν ἐδήλωσαν οἱ προφῆται, ἀλλὰ τὴν μὲν αἰχμαλωσίαν καὶ ** τῆς βασιλείας ὑμῶν καταπαυσιν καὶ ** τῆς πόλεως ἐρήμωσιν πάντες οἱ προφῆται προανήγγειλαν, τὴν δὲ ἐπάνοδον καὶ τὴν τῆς πόλεως ἀνόρθωσιν οὐδαμῶς, πλὴν μόνον τὸν παντελῆ ταύτης ἀφανισμὸν καὶ τὸν ὄλεθρον ὑμῶν καὶ τὴν διηνεκῆ τιμωρίαν καὶ διασπορὰν εἰς τὰ ἔθνη πάντα. Φησὶ γὰρ ὁ ἀρχάγγελος πρὸς τὸν Δανιήλ· «Ἐξολοθρευθήσεται χρίσμα, καὶ κρῖμα οὐκ ἔσται καὶ τὴν πόλιν καὶ τὸ ἅγιον διαφθερεῖ σὺν τῷ ἡγουμένῳ τῷ ἐρχομένῳ, καὶ ἐκκοπήσονται ὡς ἐν κατακλυσμῷ». «Καὶ ἀρθήσεται *** θυσία καὶ σπονδή, (καὶ) ἐπὶ τὸ ἱερὸν βδέλυγμα ἐρημώσεων καὶ ἕως **** συντελείας καιροῦ συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν». Διὰ μὲν γὰρ τοῦ χρίσματος [τὴν ἱερωσύνην ἐδήλωσε, διὰ δὲ τοῦ κρίματος] τὴν βασιλικὴν καὶ (τὴν) πολιτικὴν κατάστασιν καὶ τῶν ἄλλων ἁπάντων τὴν ἀναίρεσιν ὑπέφηνε, διὰ δὲ τοῦ κατακλυσμοῦ καὶ τῆς ἐκκοπῆς καὶ τῆς συντελείας τὴν ἄρδην ἔκπτωσιν καὶ πανωλεθρίαν ἐσήμανεν.

(14) Ὅταν οὖν ἀκούσῃς, ὦ Ἰουδαῖε τυφλέ, συντέλειαν, τί λοιπὸν ἕτερον προσδοκᾷς; Εἰ δὲ ἀναγινώσκων οὐκ ἐπιγινώσκεις, ὥσπερ οὖν οὐδὲ ἐπιγινώσκεις ὄντως, περὶ τῆς ἀπροσδοκήτου σου

---

* καὶ Ced. — 3. ὕμνον Ps. — 4. ἐπὶ τῆς Ced. — Ps. CXLVII. 2. — 6. Ps. XIV. 7. — 8. Mt. XXII. 20. — 9. μήτε τὴν ἐν αὐταῖς μ. Ced. — 10. Ced. 388,18—389,20. — 12. ἐδήλωσεν ὁ προφήτης Ced. — ** τὴν Ced. bis. — 16. π. τὰ ἔ. Ced. — 17. Dan. IX. 26. — 19. ἐπερχ. Ced. — Dan. IX. 27. — *** μου. — **** τῆς Dan. — 21. βδ. ἐρημώσεως σ. δ. Ced. — 27. ἀκούεις Ced. 389,10—390,12.

ἀνακλήσεως καὶ διὰ τοῦτο πρὸς τὴν ἀλήθειαν ἀπομαχόμενος, οὐ νοεῖς — ἄκουσον (οὖν) ἐν παρεκβάσει τὰς φωνὰς τῶν προφητῶν καὶ παῦσαι τοῦ λοιποῦ φιλονεικῶν καὶ ἀνοηταίνων. Ὁ προφήτης Ὡσηὲ οὕτως λέγει· «Καὶ καταπαύσω βασιλείαν οἴκου Ἰσραήλ»· καί· «οὐ μὴ προσθῶ ἔτι * ἐλεῆσαι τὸν οἶκον Ἰσραὴλ, ἀλλ' ἢ ἀντιτασσόμενος ἀντιτάξομαι αὐτοῖς», λέγει Κύριος· καί· «ἐμίσησα αὐτοὺς διὰ τὰς κακίας τῶν ἐπιτηδευμάτων αὐτῶν καὶ ἐκ τοῦ οἴκου μου ἐκβαλῶ αὐτοὺς καὶ οὐ προσθήσω τοῦ ἀγαπῆσαι αὐτούς, λέγει Κύριος· ἐπόνεσεν Ἐφραὶμ τὰς ῥίζας αὐτοῦ καὶ ἐξηράνθη καὶ καρπὸν οὐκέτι οὐ μὴ ἐνέγκῃ· καὶ ἀπώσεται αὐτοὺς ὁ θεός, ὅτι οὐκ εἰ-(79[b])σήκουσαν αὐτοῦ, καὶ ἔσονται πλανῆται ἐν τοῖς ἔθνεστν». Ἔφη γοῦν καὶ Μαλαχίας· «Οὐκ ἔστι μοι θέλημα ἐν ὑμῖν, λέγει Κύριος παντοκράτωρ, καὶ θυσίαν οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν, διότι ἀπὸ ἀνατολῶν ἡλίου ἕως δυσμῶν τὸ ὄνομά [μου] δεδόξασται ἐν τοῖς ἔθνεσιν· καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου καὶ θυσία καθαρά, διότι μέγα τὸ ὄνομά [μου] ἐν τοῖς ἔθνεσιν, λέγει Κύριος παντοκράτωρ· ὑμεῖς δὲ βεβηλοῦτε αὐτό»· «διὰ τοῦτο δώσω ὑμᾶς ἐξουθενημένους ** εἰς πάντα τὰ ἔθνη, ἀνθ' ὧν οὐκ ἐφυλάξατε τὰς ἐντολάς μου. Διό φησι (καὶ) Ἱερεμίας· «Τάδε λέγει Κύριος παντοκράτωρ· Ἰδοὺ ὤμοσα τῷ ὀνόματί μου τῷ μεγάλῳ· εἰ ἔσται τοῦ λοιποῦ ὀνομαζόμενον [τὸ ὄνομα μου] ἐν παντὶ στόματι Ἰούδα». Εἰ δὲ τὸ ὄνομα αὐτοῦ ἔφη περιαιρήσειν ἀπὸ Ἰουδαίων, εὔδηλον, ὅτι καὶ τὸν νόμον καὶ τὰς θυσίας. — (15) Οὐ τοίνυν προηγουμένως κατὰ (τὴν) θείαν γνώμην ἡ περὶ τῶν θυσιῶν ἐδόθη νομοθεσία· καὶντεῦθεν μετὰ ταῦτα διὰ τῶν προφητῶν ἔφη· «Τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν;» καί· «Μὴ εὐχαὶ καὶ κρέα ἀφαιροῦσι τὰς ἁμαρτίας σου;» καί· «Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἐν τῇ ἐρήμῳ ἔτη μ';» καί· «Ἵνα τί μοι λίβανον

---

4. Os. I. 4,6. — οἴκους βασίλ. cod. — * τοῦ Ced. — 6. ἀντιτάξεται cod. — αὐτῷ Ced. — Os. XI. 15 — 17. — 9. Ἐφ. τὰς ῥ. ἀ. ἐξ. Os. — 12. Mal. I. 10—12. — ἐν ἐμοὶ cod. — 18. Mal. II. 9. Κἀγὼ δέγωκα ὑ. — ** καὶ ἀπερῤῥιμένους Mal. καὶ παρειμένους Ced. 19. — Ier. XLIV. 26. — 22. μεγ. εἶπε κς ἐὰν γένηται ἔτι ὄνομά μου ἐν τῷ στ. παντὸς Ἰ. Ier. μὲγ. εἰ ἐ. τοίνυν τοῦ λ. ἀ. τὸ ὀ. μου ἐν π. στ. Ἰ. Ced. — 23. Ced. 390,12—391,8. — 25. μὲν τ. Ced. — Ier. I. 12. — 26. σου Ced. — Ier. XI. 15. — 27. κρέατα Ced. — Amos. V. 25. — σφάγιον Ced. — 28. Ier. VI. 20.

ἐκ Σαβὰ φέρετε καὶ κινάμωμον ἐκ γῆς μακρόθεν»; Διὸ φησίν· «Θυσίαν καὶ προσφορὰν οὐκ ἐθέλησας» καί· «Μὴ ὁλοκαυτώματα καὶ θυσίας θέλει ὁ θεὸς, ἢ τὸ ὑπακούειν αὐτοῦ; καὶ· «Ἀκοὴ ἀγαθὴ ὑπὲρ θυσίαν»· καί· «Εἰ ἐθέλησας θυσίαν, ἔδωκα ἄν». Καὶ δὴ καὶ τὰς ἑορτὰς ἐκβάλλων ἐπάγει λέγων· «Μεμίσηκα*, ἀπῶσμαι τὰς ἑορτὰς ὑμῶν»· καί· «Ἀπόστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ ψαλμὸν ὀργάνων (σου) οὐκ εἰσακούσομαι»· καί· «Ἡμέραν μεγάλην οὐκ ἀνέχομαι**, νηστείαν καὶ ἀργίαν — μισεῖ ἡ ψυχή μου»· καί· «Οὐ τοιαύτην νηστείαν (ἐγὼ) ἐξελεξάμην»· καί· «Δώσω ὑμῖν προστάγματα οὐ καλὰ, ἐν οἷς οὐ ζήσεσθε δι' αὐτῶν». Ὥστε οὖν κατὰ τὴν σκληροκαρδίαν ὑμῶν, καὶ οὐ κατὰ τὴν ἀγαθότητα (αὐτοῦ), ἔδωκεν ὑμῖν τὰ προστάγματα αὐτοῦ ἐκεῖνα πάντως, καὶ ἀλλοίωσις οὐκ ἔστιν. (16) Ἐπεὶ οὖν ἀγνώμων (σφόδρα) καὶ λίαν ἀχάριστος ὁ Ἰσραὴλ ἐκπαλαι γενόμενος καὶ καταλείψας τὸν ὄντως ὄντα καὶ προόντα θεὸν, τὸν ποιήσαντα καὶ εὐεργετήσαντα αὐτὸν «πολυμερῶς καὶ πολυτρόπως» καὶ τέλειον ἀποστὰς ἀπὸ θεοῦ σωτῆρος αὐτοῦ, «ἔθυσε τοὺς υἱοὺς αὐτοῦ καὶ τὰς θυγατέρας [αὐτοῦ] τοῖς δαιμονίοις»· καὶ ἐλάτρευσαν προσκυνήσαντες τῇ κτίσει παρὰ τὸν κτίσαντα «λέγων τῷ ξύλῳ καὶ τῷ λίθῳ· θεός μου εἶ καὶ σύ με ἐγέννησας»· οὐκ ἔφριξεν ὁ τάλας καὶ ἀπόπληκτος ἀρνήσασθαι τὸν γεννήσαντα αὐτὸν θεὸν ζῶντα καὶ ἀληθινὸν καὶ ἐπιλαθέσθαι τοῦ τρέφοντος αὐτὸν θεοῦ· διὸ δὴ λοιπὸν ὡς ἀχρήστῳ (καὶ ἀνηκέστῳ) προσώχθισεν αὐτῷ ὁ θεὸς καὶ ἀπεστράφη (αὐτὸν) παντελῶς, διὰ τοῦ μεγάλου Δαυὶδ φάσκων· «Καὶ οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου, καὶ Ἰσραὴλ οὐ προσέσχε μοι, [καὶ] ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν πορεύεσθαι». Ὡσαύτως καὶ Ζαχαρίας φησίν· «Εἶπον· οὐ ποιμανῶ αὐτούς, ἀλλὰ τὸ ἀπο-

---

1. φέρεις Ced. — Ps. XL. 6. — 2. l. Sam. XV. 22. — 3. ὁ. μετὰ θ. cod. — 4. Ps. LI. 16. — 5. ἐκβαλὼν Ced. — Amos V. 21. — * καὶ Ced. — 6. Amos V. 23. — 7. Ies. I. 13,14. — ** καὶ Ced. — 9. Ies. LVIII. 5. οὐ ταύτην τὴν ν. ἐξ. — 9. Ez. XX. 25. — 12. δεδ. ὑ. ἐκεῖ τὰ πρ. π. Ced. — 13. Ced. 391,8—392,11. — 15. Hebr. I. 1. — 16. τέλαιον cod. τέλεον Ced. — 17. ἔθυσαν — αὐτων Ps. CVI. 37. — 18. καὶ λατρεύσας καὶ προσκυνήσας Ced. — 19. Ier. II. 27. — 20. ἀπαρν. Ced. — 23. ἄχρηστον καὶ ἀνήκεστον πρ. αὐτὸν cod. ἄχρηστον πρ. αὐτοῦ Ced. — 24. τοῦ μὲν Δ. Ced. — Ps. LXXXI. 11,12. — 27. διὰ Ζαχαρίου φ. Καὶ εἶπον Ced. Zach. XI. 9. Καὶ εἶπα.

ϑνῆσκον ἀποϑνησκέτω καὶ τὸ ἀπολλύμενον ἀπολλυέσϑω, καὶ τὰ καταλοιπα κατεσϑιέσϑω ἕκαστος τὰς σάρκας τοῦ πλησίον αὐτοῦ». Καὶ οὕτω μισητὸν καὶ διαφϑαρμένον καὶ (80ᵃ) εἰς ἅπαν ἐβδελλυγμένον διὰ τῶν αἰσχίστων καὶ ϑεοστυγῶν ἐπιτηδευμάτων ἑαυτὸν ἀποφήνας, εἰκότως εὖ μάλα (καὶ πάνυ δικαίως) εἰς τέλος κατελείφϑη καὶ ἀπεβλήϑη, καϑὼς πάλιν ὁ ϑεῖος Μαλαχίας φησίν· «Ἔπεσεν Ἰσραὴλ καὶ (οὐκέτι) οὐ μὴ προσϑήσει τοῦ ἀναστῆναι». Οὕτω καὶ ᾽Ησαΐας φησίν· «Τίς φείσεται ἐπὶ σοί, Ἱερουσαλήμ, ἢ τίς ἀνακάμψει σε εἰς εἰρήνην σοι; λέγει Κύριος· ὀπίσω πορεύσῃ· [καὶ] ἐκτενῶ τὴν χεῖρα μου καὶ διαφϑερῶ σε καὶ διασπερῶ σε καὶ οὐκέτι ἀνήσω σε». «Ἰδοὺ, ἐγὼ λαμβάνω καὶ ῥάσσω ὑμᾶς καὶ τὴν πόλιν, ἣν ἔδωκα ὑμῖν, καὶ δώσω ὑμᾶς ὀνειδισμὸν αἰώνιον καὶ ἀτιμίαν αἰώνιον, ἥτις οὐκ ἐπιλησϑήσεται». (17) Τῆς τοίνυν ἐσχάτης ἁλώσεως ταύτης καὶ τελευταίας τὰ δεινὰ καὶ φοβερὰ διαγορεύοντες, ὅ τε μέγας ** ϑεορρήμων πάλιν Μωϋσῆς καὶ οἱ μετ' αὐτὸν ϑεηγόροι Ἰεζεκιὴλ, [καὶ] Ἱερεμίας, εὐκρινῆ λίαν καὶ σφόδρα δῆλα τοῖς πᾶσι καὶ τοῖς ἄγαν ἰδιώταις αὐτὰ πεποίηνται. Ὁ μὲν γὰρ Μωϋσῆς ἐν τῷ δευτερονομίῳ φησί· «Καὶ ἐπάξει Κύριος ἔϑνος ἐπί σε μακρόϑεν ἀπ' ἐσχάτου τῆς γῆς, ὡσεὶ ὅρμημα ἀετοῦ ***, ἔϑνος ἀναιδὲς προσώπῳ». «Καὶ **** ἐκϑλίψει σε ἐν πάσαις ταῖς πόλεσί σου ἕως ἂν καϑαιρεϑῶσι τὰ τείχη σου τὰ ὑψηλὰ καὶ ὀχυρὰ, ἐν οἷς σὺ πέποιϑας ἐν αὐτοῖς» — «καὶ φαγῇ τὰ ἔγγονα τῆς κοιλίας σου, κρέα υἱῶν καὶ ϑυγατέρων σου», «διὰ τὸ μὴ καταλελεῖφϑαι ὑμῖν μηδὲν ἐν τῇ στενοχωρίᾳ καὶ ϑλίψει, ᾗ ϑλίψει σε ὁ ἐχϑρός σου ἐν πάσαις ταῖς πόλεσί σου· καὶ ἡ ἁπαλὴ ἐν ὑμῖν καὶ [ἡ] τρυφερὰ» — «γυνὴ τὸ ἐξελϑὸν ἐκ τῶν μηρῶν αὐτῆς καὶ τὸ τέκνον, ὃ ἐὰν τέκῃ, καταφάγεται» — «κρυφῇ διὰ τὴν ἔνδειαν πάντων ἐν τῇ στενοχωρίᾳ ***** καὶ ϑλίψει». «Καὶ ἔσῃ ἐν αἰνίγματι καὶ ἐν

---

2. λοιπὰ Ced. — κατεσϑιέσϑωσαν Zach. — 6. κατεβλ. καὶ ἀπελ. Ced. — 7. Amos V. 2. ἐπ. ὁ. οὐ μὴ — * ὁ Ced. — 8. φάσκει Ced. Ier. XV. 5,6. — σε Ἰὴλ cod. σοι Ἰὴλ Ced. σοι Ἰλὴμ Ier. — ἀν. εἰς ἐ. σοι Ier. ἀν. σε εἰς ἐ. Ced. — 11. ἀν. αὐτούς Ier. — Ier. XXIII. 39,40. — 12. δεδ. cod.— δ. ὑμῖν Ced. δ. ἐφ' ὑμᾶς Ier.—14. Ced. 392,11—394,12. — ** καὶ Ced. — 17. πεποίηται Ced. — 18. Deut. XXVIII. 49,50, 52,53,56,57. — 19. ἔϑνη Ced. — *** καὶ Ced. — **** ὅρμημα ἀετοῦ cod. — 20. ἐκτρίψῃ LXX, ἐκτρίψει Ced. — 22. ἐγγ. Ced. — 23. καταλειφϑῆναι αὐτῷ μ. LXX. — ἂν ϑλίψῃ Ced. ϑλίψῃ Ced. — ***** ἐκείνῃ Ced. — 23. Deut. XXVIII. 37.

παραβολῇ καὶ ἐν διηγήματι πᾶσι τοῖς ἔθνεσιν εἰς οὓς ἂν ἀπαγάγῃ σε Κυριος ἐκεῖ», «ἕως ἂν ἐξολοθρεύσῃ σε», «καὶ καταλειφθήσεσθε ἐν ἀριθμῷ βραχεῖ ἀνθ' ὧν, ὅτι ἦτε ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει καὶ οὐκ εἰσηκούσατε τῆς φωνῆς Κυρίου τοῦ θεοῦ ὑμῶν. Καὶ ἔσται ὃν τρόπον εὐφράνθη Κύριος ἐφ' ὑμῖν εὖ ποιῆσαι καὶ πληθῦναι ὑμᾶς, οὕτως εὐφρανθήσεται Κύριος ἐφ' ὑμῖν ἐξολοθρεῦσαι ὑμᾶς. Καὶ ἐξαρθήσεσθε ἐκ τῆς ἀγαθῆς γῆς ἐκείνης, καὶ διασπερεῖ σε Κύριος ὁ θεός σου εἰς πάντα τὰ ἔθνη ἀπ' ἄκρου τῆς γῆς ἕως ἄκρων αὐτῆς» — «ἀλλὰ καὶ ἐν τοῖς ἔθνεσιν ἐκείνοις οὐκ ἀναπαύσεται, οὐδὲ μὴ γένηται στάσις τῷ ἴχνει τῶν ποδῶν ὑμῶν· καὶ δώσει σοι Κύριος * ἐκεῖ καρδίαν ἀθυμοῦσαν καὶ ἐκλείποντας ὀφθαλμοὺς καὶ τηκομένην ψυχήν, «καὶ φοβηθήσῃ ἡμέρας καὶ νυκτός» — «Καὶ ἐρεῖς τὸ πρωΐ ἀπὸ τοῦ φόβου τῆς καρδίας σου· πῶς ἂν γένοιτο ἑσπέρα; καὶ τὸ ἑσπέρας ἐρεῖς· πῶς ἂν γένοιτο ** πρωΐ;» Ὁ δέ γε Ἐζεκιὴλ ἔφη· «Τάδε λέγει Ἀδωναὶ κύριος· Ἰδοὺ ἐγὼ ἐπί σε, Ἱερουσαλήμ, [καὶ] ποιήσω ἐν μέσῳ σου κρῖμα ἐνώπιον τῶν ἐθνῶν, καὶ ποιήσω ἐν σοὶ ἃ οὐ πεποίηκα καὶ οὐ μὴ ποιήσω αὐτοῖς ὅμοια ἔτι διὰ τὰ βδελλύγματά [σου] πάντα. Διὰ τοῦτο πατέρες φάγονται τέκνα αὐτῶν ἐν μέσῳ σου, καὶ τέκνα φάγονται πατέρας αὐτῶν· καὶ ποιήσω ἐν σοὶ κρίματα καὶ διασπερῶ πάντας τοὺς καταλοίπους (σου) εἰς πάντα ἄνεμον», «ἀνθ' ὧν τὰ ἁγιά μου ἐμίανας ἐν πᾶσι τοῖς προσοχθίσμασί σου· κἀγὼ ἀπώσομαί σε καὶ οὐ (80[b]) μὴ ἐλεήσω ἔτι· τὸ τέταρτόν σου ἐν θανάτῳ ἀναλωθήσεται, καὶ τὸ τέταρτόν σου ἐν λιμῷ συντελεσθήσεται *** ἐν μέσῳ σου, καὶ τὸ τέταρτόν σου ἐν ῥομφαίᾳ πεσοῦνται κύκλῳ σου καὶ τὸ τέταρτόν σου εἰς πάντα ἄνεμον διασκορπιῶ». «Καὶ ὁ μὲν πόλεμος καὶ ἡ ῥομφαία ἔξωθεν, ὁ δὲ λιμὸς καὶ ὁ θάνατος ἔσωθεν ὀλοθρεύσει· (καὶ ὁ μὲν ἐν τῷ πεδίῳ **** ῥομφαίᾳ τελευτήσει, τοὺς δὲ ἐν τῇ πόλει λιμὸς καὶ

---

1. ἐπαγ. cod. — 2 Deut. XXVIII. 45. — Deut. XXVIII. 62 — 67. — 10. ἀναπαύσει σε LXX. Ced. ἀναπαύσεσθε? — * ὁ θεὸς Ced. — 11. θυμοῦσαι codex, ἀπειθοῦσαν LXX, sed alii legunt ἀθυμοῦσαν ut Ced. — 13. γένηται cod. — ** τὸ Ced. — 15. Ez. V. 8—12. — 17. ὁ. ἀ. Ez. ὁ. αὐτῶν Ced. — 18. κατὰ π. τ. β. σου Ez. — 19. τ. ἐν Ez. — καὶ π. φ. τ. Ced. — 20. διασκορπιῶ Ez. — *** ἐνώπιόν σου Ced. — 25. πεσεῖται Ced. — 26. Ez. VII. 15,16. — 27. ὁ ἐν Ez. καὶ τοὺς μὲν ἐν cod. — **** ἐν Ez.

θάνατος συντελέσει)· οἱ δὲ ἐξ αὐτῶν ἀνασωζόμενοι ἀναλωθήσονται». «Καὶ ὑπολείψομαι ἐξ αὐτῶν ἐκ ῥομφαίας καὶ λιμοῦ καὶ θανάτου, ὅπως ἂν ἐκδιηγῶνται τὰς ἀνομίας αὐτῶν πάσας ἐν τοῖς ἔθνεσι· καὶ γνώσονται, ὅτι ἐγὼ Κύριος ὁ τύπτων». — Διὰ δὴ τοῦτό φησιν* ὁ ἱερὸς Χρυσόστομος· «Οὐκ ἀναιρεῖ πάντας ἄρδην, ἀλλὰ σκορπίζει· τοῦτο γὰρ προϋπεκφαίνων ὁ θεῖος Δαυὶδ ἔφη πρὸς αὐτόν· μήπως ἀποκτείνῃς αὐτοὺς ἤτοι πάντας, ἀλλὰ διασκόρπισον ἐξ αὐτῶν δή-πουθεν ἐν τῇ δυνάμει σου».

(8) Περὶ δὲ** τῆς βελεύσεως αὐτοῦ καὶ φανερώσεως καὶ πολλῆς καὶ ἀπαραμυθήτου θλίψεως αὐτῶν εἶπε Ζαχαρίας· «Τότε ἥξει Κύριος ὁ θεὸς ἡμῶν, καὶ ἔσται κοπετὸς μέγας ἐν Ἱερουσαλήμ.» «ὄψονται γὰρ εἰς ὃν ἐξεκέντησαν» (τούτεστιν ἐν οἷς ἥλωσαν προσήλωσαν· οὐκ εἶπεν· ὃν ἐξεκέντησαν, ἀλλ' «εἰς ὃν ἐξεκέντησαν».) Τί δέ ἐστιν τὸ «εἰς ὃν»; σταυρὸς ἦν εἰς ὃν ἐξεκέντησαν· πρὸ γὰρ τῆς φοβερᾶς παρουσίας τοῦ Κυρίου καθάπερ βασιλικὸν σημεῖον τὸ λεγόμενον σίγνον κατὰ κοινὴν συνήθειαν προτρέχει τῆς Χριστοῦ παρουσίας ὑπὸ τῶν ἀγγέλων δοξαζόμενον καὶ προευαγγελιζόμενον· καὶ φανήσεται ὁ σταυρὸς ἐπὶ τῆς γῆς ἀποκρύπτων τὸν ἥλιον καὶ ἀμβλύνων [τὴν] σελήνην, ὡς φησιν ὁ Κύριος· «Τότε φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ»· καὶ ἵνα πληρωθῇ τὸ ῥῆμα Ζαχαρίου, τὴν λέξιν αὐτὴν λαβὼν ὁ Χριστὸς μετήγαγεν εἰς ἀληθῆ λέγων· «ὄψονται εἰς ὃν ἐξεκέντησαν.» (19) Ὁ δέ γε Ἱερεμίας ὁμοίως φάσκει. «Τάδε λέγει Κύριος, ὁ θεὸς Ἰσραήλ· Ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὸν τόπον τοῦτον κακά, ὥστε παντὸς ἀκούοντος αὐτὰ ἠχήσει ἀμφότερα τὰ ὦτα αὐτοῦ, ἀνθ' ὧν ἐγκατέλειπόν με καὶ ἀπηλλοτρίωσαν τὸν τόπον τοῦτον· καὶ σφάξω τὴν φυλὴν Ἱερουσαλὴμ ἐν

---

* καὶ Ced. — 6. Ps. LIX. 11. cf. Chr. VIII. 172. A? secundum indices, quibus textus non respondet. — 9. Τί τὸ εἰς ὃν ἐξεκέντησαν; Ced. 394,12—395,1. — ** γε Ced. — 10. Zach. XXII. 11. — 12. Zach. XII. 10 γὰρ ἀνθ' ὧν κατωρχήσαντο, metonymia verbi דָּקַר in plerisque codd; sed 10 habent cum Jo. XIX. 37, Justino Ap. I. 52, c. Tryph. 14,32 et Hieronymo (de optimo genere interpretandi) interpretationem propriam a Judaeis rejectam. — 18. ἀπὸ τῆς Ced. — 19. Mt. XXIV. 30. — 20. οὐ τοῦ θῦ Ced. — 21. μ. χ̄ς λ. Ced. — 22. ἀληθειαν Ced. — Ἱερεμίου, Jer. XIX. 3—8. Ced. 395,1—23. — ἐπ. ἐγὼ Ced. — 26. βουλὴν bis Jer. Ced. — Ἰηλ. cod. Ced. pro Ἰλημ Jer.

τῷ τόπῳ τούτῳ καὶ καταβαλῶ αὐτοὺς ἐν * μαχαίρᾳ ἐναντίον τῶν ἐχθρῶν αὐτῶν καὶ δώσω τοὺς νεκροὺς αὐτῶν εἰς βρῶσιν τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς· καὶ τάξω τὴν πόλιν ταύτην εἰς ἀφανισμὸν καὶ εἰς συρισμὸν αἰώνιον, ἵνα πάντες οἱ διαπορευόμενοι δι' αὐτῆς ἐκστήσωνται καὶ σκυθρωπάσωσι καὶ κινήσωσι τὰς κεφαλὰς αὐτῶν ἐπὶ πάσης τῆς πληγῆς αὐτῆς»· καί· «Ὡς ἄνεμον καὶ καύσωνα διασπερῶ αὐτοὺς κατὰ πρόσωπον τῶν ἐχθρῶν καὶ δείξω αὐτοῖς ἡμέραν ἀπωλείας». «Καὶ ἔδονται τὰς σάρκας τῶν υἱῶν [αὐτῶν] καὶ ** τῶν θυγατέρων (αὐτῶν), [καὶ] ἕκαστος τὰς σάρκας τοῦ πλησίον αὐτοῦ ἔδεται ἐν τῇ περιοχῇ καὶ ἐν τῇ πολιορκίᾳ, ᾗ πολιορκήσουσιν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν» καί «συντρίψω τὸν λαὸν τοῦτον καὶ τὴν πόλιν ταύτην καθὼς συντρίβεται ἄγγος ὀστράκινον, ὃ οὐ δύναται ἰαθῆναι ἔτι· οὕτω ποιήσω, λέγει Κύριος, τῷ τόπῳ τούτῳ καὶ τοῖς κατοικοῦσιν ἐν αὐτῷ, τοῦ δοθῆναι τὴν πόλιν ταύτην ὡς τὴν διαπίπτουσαν». «Καὶ δώσω αὐτοὺς εἰς διασκορπισμὸν πάσαις ταῖς βασιλείαις τῆς γῆς, καὶ ἔσονται εἰς ὀνειδισμὸν καὶ εἰς παραβολὴν καὶ εἰς μῖσος (81ᵃ) καὶ εἰς κατάραν ἐν παντὶ τόπῳ οὗ ἂν ἐξώσω αὐτοὺς ἐκεῖ.»

(20) Τί οὖν λοιπὸν τῶν θείων τούτων ῥημάτων ἐμφαντικώτερον ἢ ἀληθέστερον γένοιτ' ἄν; Ὅρα γάρ, ὦ ἀνόητε καὶ ἀλόγιστε Ἰουδαῖε, εἰ οὐ πεπλήρωται ταῦτα ἀπαραλείπτως κατὰ τὰς ἱερὰς προῤῥήσεις εἰς ὑμᾶς· καὶ μέντοι καὶ τὰ ὑπὸ Χριστοῦ προκατηγγελμένα καὶ προηπειλημένα· φησὶ γὰρ περὶ τῆς Ἱερουσαλὴμ καὶ τοῦ ἐν αὐτῇ ναοῦ, ὅτι «οὐ μὴ μείνῃ λίθος ἐπὶ λίθον». Ἆρα μεμένηκεν; οὐδαμῶς. — Καί· «ἰδοὺ, ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος». Ἆρα οὐκ ἐρήμωται; καὶ σφόδρα γε. — Καί· «ἔσται θλῖψις οἵα οὐ γέγονεν.» Ἆρα οὐκ ἐγένετο; ἀναγνῶθι τὴν ἱστορίαν Ἰωσήπου ἀνδρὸς (ὑμετέρου) Ἰουδαίου καὶ φιλαλήθους· καὶ οὐδὲ ἀναπνεῦσαι λοιπὸν δυνή-

---

* τῇ Ced. — 3. τάξω codd. nonnulli LXX, ceteri: παράξω. — 4. συριγμὸν Ced. — 5. σκ. καὶ συριεῖ ὑπὲρ π. LXX. — 6. αὐτ. cod. αὐτῆς Jer. αὐτῶν Ced. — Jer. XVIII. 17. — 8. Jer. XIX. 9. — ** τὰς σάρκας Jer. — 10. ἀ. ἔδονται LXX. — 11. Jer. XIX. 11, 12. — 13. δυνήσεται Jer. Ced. — 14. αὐτῇ Ced. — 15. Jer. XXIV. 9. — αὐτὴν Ced. — 19. Ced. 395,23 — 396,22. — ῥ. τ. Ced. — 20. Ὅ. οὖν ἀν. Ced. — 21. εἰ μὴ Ced. — 24. Mt. XXIV. 2, λίθου Ced. — 25. Mt. XXIII. 38. — 26. Mt. XXIV. 20.

σῃ, μόνον ἀκούων οἷα ἔπαθον οἱ ἅθλιοι τὸ τότε Ἰουδαῖοι διὰ τὴν [κατὰ] τοῦ Κυρίου μανίαν καὶ λύσσαν. Ἵνα γὰρ μηδεὶς τῶν Ἰουδαίων ἀπιστήσῃ, οὐκ ἀλλόφυλόν τινα, ἀλλ' ὁμόφυλον καὶ ὁμόπιστον καὶ ζηλωτὴν παρεσκεύασεν ἡ ἀλήθεια τὰ ἐλεεινὰ ἐκεῖνα καὶ δυσεξήγητα ἐκτραγῳδῆσαι πάθη· τοιαύτην γὰρ θεήλατον ὑπέστησαν ἅλωσιν, οἵαν οὐδὲ ὁ σύμπας οἵδε χρόνος, ἀφ' οὗ γέγονεν ἐπὶ τῆς γῆς ἄνθρωπος, καὶ εἰκότως· ἕως μὲν γὰρ εἰς τοὺς ὁμοδούλους ἡμάρτανον, συγγνώμης ἐτύγχανον· ἡνίκα δὲ εἰς τὸν κοινὸν δεσπότην ἐξήμαρτον, ἀσυγγνώστως ἐκολάσθησαν. Ὅτι δὲ ὁ Χριστὸς πεποίηκεν αὐτοῖς ταῦτα, ἄκουσον αὐτοῦ πάλιν καὶ διὰ παραβολῆς φάσκοντος. «Τοὺς δὲ μὴ βουληθέντας με βασιλεῦσαι ἐπ' αὐτούς, ἀγάγετε ὧδε καὶ κατασφάξατε». Διὸ καὶ πρὸς αὐτοὺς ἔλεγεν· «Ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς». Καὶ πρὸς μὲν τὴν Ἱερουσαλὴμ φησιν· «Ἥξουσιν ἐπί σε ἡμέραι, καὶ περιβαλοῦσί σοι οἱ ἐχθροί σου χάρακα καὶ κυκλώσουσί σε καὶ συνέξουσί [σε] πάντοθεν καὶ ἐδαφιοῦσι τα τέκνα σου ἐν σοι». Πρὸς δὲ τοὺς ἀπειθεῖς Ἰουδαίους ἐπάγει λέγων· «Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος», ὅπερ οὖν καὶ ὁ θεῖος Δανιὴλ προδηλῶν ἔφη· «Τὴν πόλιν καὶ τὸ ἅγον διαφθερεῖ σὺν τῷ ἡγουμένῳ τῷ ἐρχομένῳ», τουτέστιν ὁ θεὸς καὶ πατὴρ πάντων Ἰουδαίων τὰ σεμνὰ καὶ περίβλεπτα ἀνατρέψει, ἀλλὰ καὶ ὁ υἱὸς καὶ Χριστός, ὁ παρ' αὐτῶν ὡς λυτρωτὴς προσδοκώμενος καὶ σωτήρ. Οὐ γὰρ εἶπε· «Διαφθαρήσεται ἡ πόλις καὶ ὁ ναὸς σὺν τῷ ἡγουμένῳ», καθὼς ἀλόγως οἴονταί τινες, ἀλλὰ «διαφθερεῖ ὁ πατὴρ τὸν ναὸν καὶ τὴν πόλιν, συμπράττοντος δηλονότι καὶ τοῦ παροινηθέντος ὑπ' αὐτῶν ἡγουμένου, περὶ οὗ φησὶν Ἰακὼβ πρὸς τὴν Βηθλεέμ· «Ἐκ σοῦ ἐξελεύσεται ἡγούμενος» καὶ τὰ ἑξῆς. Καὶ μέντοι καὶ πρὸς τοὺς ἀποστόλους (ὁ Κύριος) οὕτως διηγόρευσεν. «Ὅταν ἴδητε τὸ βδέλλυγμα τῆς ἐρημώσεως (τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου) ἑστὼς ἐν τόπῳ ἁγίῳ —ὁ ἀναγινώσκων νοείτω», — ὃ δὴ καὶ πεπλήρωτο, πρῶτον μὲν κατὰ (τὸν) καιρὸν τῆς ἁλώσεως καὶ ἐρημώσεως, εἴς τε τὸ Ῥωμαϊκὸν

---

1. ἀ. μ. ἅπερ Ced. — ἀ. τηνικαῦτα Ἰ. Ced. — 2. κατὰ χῦ Ced. — 9. ἀ. π. Ced. — 10. L. XIX. 27. — 12. Mt. XXI. 43. — 14 L. XIX. 43, 44. — 17. L. XIII. 35. — 19. λέγει καὶ Ced. Dan. IX. 26. — 21. ὑς ὁ χ̃ς Ced. — * ὁ Ced. — 26. Gen. XLIX. 10. — 28. διηγόρευεν Ced. — Mt. XXIV. 15.

στρατόπεδον ἐπεισελθὸν ἐν τῷ ναῷ καὶ τὴν πόλιν ἑλὸν κατὰ τὴν ἐρήμωσιν, ὥς τινες τὸ ῥηθὲν βδέλυγμα οὕτως ἐξειλήφασιν· ἀποτρόπαιοι γὰρ καὶ βδελυκτοὶ κατὰ τὸν νόμον ὑπάρχοντες, εἰκότως προείρηνται βδέλυγμα ἐρημώσεως· ἔπειτα δὲ καὶ εἰς ὅπερ (ὕστερον) ἔστησεν Ἀδριανὸς ὁ βασιλεὺς εἴδωλον ἑαυτοῦ καὶ τὴν πόλιν τέλειον ἠρήμωσεν. (21) Περὶ ἧς οὖν αἰχμαλωσίας ἐσχάτης τῶν ταλαιπώρων Ἰουδαίων καὶ ἡ θεολόγος ἔφη γλῶττα (στηλιτεύουσα τὴν ἀνήκεστον ἐρήμωσον αὐτῶν διὰ τὴν κατὰ τοῦ (81[b]) Χριστοῦ τόλμαν) φησὶ γάρ· «Τοῦ σταυροῦ πρὸς τὴν ἐσχάτην αὐτοὺς συνελαύνοντος ἀπόνοιαν, ἣν κατὰ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν ὑπενοήθησαν, τὸν ἐν ἀνθρώπῳ θεὸν ἀγνοήσαντες καὶ τὴν ῥάβδον τὴν σιδηρᾶν πόρρωθεν ἀπειλουμένην αὐτοῖς, ἐφ' ἑαυτοὺς εἵλκυσαν, τὴν νῦν ἐπικρατοῦσαν ἀρχὴν λέγω καὶ βασιλείαν» — «καὶ τὴν τελευταίαν αὐτῶν ἀπαγωγὴν* καὶ μετανάστασιν καὶ τὸν νῦν ἐπικείμενον αὐτοῖς τῆς δουλείας ζυγὸν καὶ τὴν περιβητὸν ὑπὸ Ῥωμαίοις ταπείνωσιν» καὶ διασποράν, ἣν τε νῦν ἔχουσι καὶ ἣν ἐπὶ πλεῖστον ἔξουσι· πείθομαι γὰρ ταῖς περὶ αὐτοῦ προῤῥήσεσιν· «Τίς θρηνήσει πρὸς ἀξίαν τῶν θρήνων γράφειν εἰδότων καὶ λόγον ἐξισοῦν πάθεσι; ποῖαι βίβλοι ταῦτα χωροῦσι; μία στήλη τούτοις τῆς συμφορᾶς ἡ οἰκουμένη πᾶσα, καθ' ἣν διεσπάρησαν, καὶ ἡ λατρεία πεπαυμένη καὶ αὐτῆς τῆς Ἱερουσαλὴμ τὸ ἔδαφος μόλις γινωσκόμενον (ἧς τοσοῦτον αὐτοῖς ἐπίβατόν ἐστι μόνον, καὶ τοσοῦτον ἀπολαύουσι τῆς ποτε δόξης αὐτῶν, ὅσον ἐν ἡμέρᾳ φανέντες θρηνῆσαι τὴν ἐρημίαν»)· (22) Ὁ οὖν Ἰώσηπος ἐν Ἱερουσαλὴμ παρὼν τῷ πολέμῳ συνέγραψε μυριάδας τ' ἀνδρῶν ἀπολέσθαι τότε, (τοὺς μὲν λιμῷ διαφθαρέντας, τοὺς δὲ ὑπ' ἀλλήλων ἐν τῷ συγκλεισμῷ ἀποσφαγέντας καὶ τοὺς μὲν ὑπὸ Ῥωμαίων ἀναιρεθέντας, τοὺς δὲ ὑπὸ πυρὸς τεφρωθέντας, τοὺς δὲ ἐν ἀκμῇ τῆς ἡλικίας

---

1. εἰσ. ἐν τῷ ἱερῷ. — καὶ εἰς τὸν τὴν π. ἑλόντα cod. — 6. Γρηγορίου. — Π. ταύτης γὰρ τῆς ἑ. ἀ. Ced. 398,10 — 24. — 9. 201 C. ed. Colon. 1690. — ἑλ. Ced. — συν. καὶ τῆς ἀπονοίας Gr. — 10. σ. καὶ θῦ ὑμῶν Ced. — ἐπεν. Ced. ἀπεν. Gr. — * πληγήν τε Gr. 202 B. — 15. ταπ. ἧς οὐδὲν οὕτως ὡς ἡ στάσις αἴτιον Gr. — 18. λόγων codex. λόγους Ced. — πάθει Gr. — 19. χωρήσουσι Gr. — 20. ἧς ἐσπ. Gr. ἣν? ἐσπ. Ced. — 21. μόγις Gr. — ἐπ. ἀ. Gr. — 22. ἀ. δ. Gr. — 23. Ced. 390,1 — 3, 6. I. 6. IX. 3 μυριάδας βι'. — 25. τ. ἀπολεσθῆναι Ἰουδαίων, περὶ δὲ τούτων ἐν τῇ τοῦ Νέρωνος βασιλείᾳ ἐξηγησάμεθα Ced.

ὑψηλοτάτους καὶ κάλλει σώματος διαφέροντας τῷ θριάμβῳ ἐν Ῥώμῃ πεμφθῆναι πρὸς θηριομαχίαν· τοῦ δὲ λοιποῦ πλήθους τοὺς ὑπὲρ ιζ' ἔτη, τοὺς μὲν δεσμίους εἰς τὰ κατ' Αἴγυπτον ἔργα παραπεμφθῆναι διαφθαρησομένους ἐν τοῖς θεάτροις σιδήροις καὶ θηρίοις, τοὺς δὲ ἐν-
5 τὸς τῶν ιζ' ἐτῶν, αἰχμαλώτους ἀχθέντας διαπιπράσκεσθαι· τούτων δὲ μόνον τὸν ἀριθμὸν εἰς μυριάδας ἀνδρῶν ϛ' συναχθῆναι. Καὶ δὴ καὶ περὶ τῆς καταστροφῆς Ἱερουσαλὴμ ἔφη. Τὴν δὲ ἐρήμωσιν τῆς τε πόλεως καὶ τοῦ ναοῦ σύνεβη γενέσθαι κατὰ τὴν Δανιὴλ προφητείαν πρὸ ϋη γενομένην ἐτῶν. Καὶ οὕτω λοιπὸν ἡ γ' ἅλωσις γέγονε τῆς
10 Ἱερουσαλὴμ καὶ παντελὴς ἐρήμωσις ἐπὶ Οὐεσπασιανοῦ καὶ Τίτου μετὰ μ' ἔτη τῆς τοῦ Κυρίου ἡμῶν ἀναλήψεως.) (23) Ἅπερ δὴ καὶ ὁ θεῖος Χρυσόστομος ἐπεξεργαστικώτερον ἀναπτύσσων, διελέγχων τοῦτο εὖ μάλα φάσκει· «Εἰ δὲ φιλονεικεῖς, ὦ Ἰουδαῖε, περὶ τοῦ τέλους, ἀπὸ τῶν φθασάντων μάνθανε καὶ τὰ παρόντα. Σκόπει γάρ·
15 Κατέβης εἰς Αἴγυπτον, ἀλλ' ἐγένοντο ἔτη υ', καὶ ταχέως ὁ θεὸς τῆς δουλείας ἐκείνης· ἀπήλλαξε, καίπερ ἀσεβοῦντα καὶ πορνεύοντα πορνείαν τὴν χαλεπωτάτην. Ἀπελλάγης Αἰγύπτου καὶ προσεκύνησας μόσχῳ, ἔθυσας τοὺς υἱούς σου καὶ τὰς θυγατέρας σου* τοῖς δαιμονίοις, τὸν ναὸν ἐμόλυνας, τὴν φύσιν ἠγνόησας, τὰ ὄρη,
20 τὰς νάπας, τοὺς βουνούς, τὰς πηγάς, τοὺς ποταμούς, τοὺς κήπους τῶν μυσαρῶν θυσιῶν ἐπλήρωσας, προφήτας ἔσφαξας, θυσιαστήρια κατέστρεψας, πᾶν εἶδος κακίας ἐπῆλθες καὶ πᾶσαν ὑπερβολὴν ἐπεδείξω πονηρίας καὶ ἀσεβείας· ἀλλ' ὅμως, ὁ' ἔτη σε παραδοὺς (τοῖς) Βαβυλωνίοις, πάλιν ἐπὶ τὴν προτέραν ἐπανήγαγεν ἐλευθερίαν
25 καὶ τὴν πατρίδα καὶ τὸν ναὸν (82ᵃ) ἀπέδωκε καὶ τὸ παλαιὸν τῆς προφητείας χάρισμα, καὶ πάλιν προφῆται καὶ (τοῦ) πνεύματος ἁγίου χάρις· μᾶλλον δὲ ἐν τῷ καιρῷ τῆς αἰχμαλωσίας οὐκ ἐγκατελείφθης, ἀλλὰ καὶ Δανιὴλ ἐκεῖ καὶ Ἰεζεκιὴλ καὶ ἐν Αἰγύπτῳ Ἱερεμίας καὶ μέντοι καὶ πρὸ τούτων Μωϋσῆς καὶ Ἀαρὼν ἐν τῇ ἐρήμῳ. Καὶ μετ' ἐκεῖνα πάλιν ἐπὶ τὴν προτέραν ἐπανῆλθες κακίαν

---

11. Τοῦ Χρυσοστόμου. — * Ced. 399,4—400,9. Ὁ δέ γε θ. Χρ. τὴν τούτων ἄνοιαν δ. πρὸς πλείοσιν ἄλλοις καὶ τοῦτο φ. (I. 325?) — 13. τούτ. cod. — 16. σε δ. ἐ. ὁ θς Ced. — * τῷ Βεεφεγὼρ καὶ Ced. — 22. κατέσκαψας Ced. — 25. πάλαι Ced. — 27. μ. δὲ οὐδ' ἐν τῷ κ. τῆς ἀ. ἐγκ. Ced. — 28. ἐ. Δ. Ced.

καὶ ἐξεβακχεύθης καὶ πρὸς τὴν Ἑλληνικὴν μετετάξω πολιτείαν ἐπὶ τοῦ ἀσεβοῦς Ἀντιόχου· ἀλλά γε* τότε παραδοθέντες Ἀντιόχῳ ἔτη γ', τὰ λαμπρὰ διὰ τῶν Μακκαβαίων αὖθις ἐστήσατε τρόπαια. Ἀλλὰ καὶ τοιοῦτον οὐδὲν ἀλλὰ τοὐναντίον ἅπαν γέγονεν, ὃ καὶ μάλιστα ἔστι θαυμάσαι, ὅτι τὰ μὲν τῆς κακίας ἔληξε, τὰ δὲ τῆς τιμωρίας ἐπιτέταται καὶ οὐδὲ ἐλπίδα τινὰ μεταβολῆς ἔχει· οὐ γὰρ ὀ ἔτη μόνον παρῆλθε, ἀλλὰ καὶ πολλῷ πλείονα· καὶ οὐδὲ σκιὰν ἐλπίδος ἔστιν εὑρεῖν, καὶ ταῦτα οὐδὲ εἰδωλολατρεύντων ὑμῶν (νῦν ὡς τότε) οὔτε ἄλλο τι ποιούντων, ἅπερ ἔμπροσθεν ἐτολμᾶτε».

(14) Ἵνα δὲ σαφέστερον καὶ δειξοδικώτερον [τὰ] περὶ τούτων εἴπωμεν, ἄνωθεν πάλιν ἀρξώμεθα. Τρεῖς δουλείας ὑπέστησαν οἱ Ἰουδαῖοι χαλεπωτάτας καὶ οὐδεμίαν χωρὶς προῤῥήσεως αὐτοῖς ἐπήγαγεν ἡ θεία δίκη, ἀλλὰ προλεχθῆναι πορεσκεύασεν αὐτοῖς καὶ τόπον καὶ χρόνον καὶ κάκωσιν καὶ τὴν ἐπάνοδον καὶ τἄλλα πάντα μετὰ πολλῆς (τῆς) ἀκριβείας. Καὶ περὶ μὲν τῆς ἐν Αἰγύπτῳ ἁ διαλεγόμενος ὁ θεὸς οὕτως ἔφη πρὸς τὸν Ἀβραάμ· «Γινώσκων γνῶθι, ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ ἀλλοτρίᾳ, καὶ δουλώσουσιν αὐτοὺς καὶ κακώσουσιν ἔτη υ'· (τὸ δὲ ἔθνος, ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγὼ» εἶπεν ὁ θεός)· τετάρτῃ δὲ γενεᾷ «ἐλεύσονται ὧδε (μετὰ ἀποσκευῆς πολλῆς)». (25) Περὶ δὲ τῆς β' εἶπεν Ἱερεμίας. «Οὕτως εἶπε Κύριος· ὅταν μέλλῃ πληροῦσθαι τῇ Βαβυλῶνι ὁ' ἔτη, ἐπισκέψομαι ὑμᾶς καὶ ἐπιστήσω ἐφ' ὑμᾶς τοὺς ἀγαθοὺς λόγους μου τοῦ ἀποστρέψαι εἰς τὸν τόπον τοῦτον»· «καὶ ἐπιστρέψω τὴν αἰχμαλωσίαν ὑμῶν· [καὶ] ἀθροίσω ὑμᾶς ἐκ τῶν ἐθνῶν πάντων καὶ ἐκ τῶν τόπων πάντων ὧν διέσπειρα ὑμᾶς ἐκεῖ, φησὶ Κύριος· καὶ ἐπιστρέψω ὑμᾶς εἰς τὸν τόπον ὅθεν ἀπῴκισα ὑμᾶς ἐκεῖθεν».

(26) Δύο μὲν τοιαύτας δουλείας ὁ λόγος ἀπείδειξεν συντόμως μετὰ προφητείας ἐπελθούσας αὐτοῖς, καὶ οὐχ ἁπλῶς οὐδὲ ἀπροσ-

---

* καὶ Ced. — 3. ἔτη υ' cod. — 4. ἀλλὰ νῦν Ced. — 7. π. μ. Ced. — 9. ἐ. σκιὰν Ced. — 9. οὐδὲ cod. — 11. Ced. 400,10—401,1. — 17. Ἀβραάμ Ced. Gen. XV. 13, 14. — 19. αὐτὸ Ced. — 21. Ced. 400,19 — 401,7. — 22. Ier. XXIX. 10. — 24. τ. ὑμῶν Ced. — Ier. XXIX. 14; in LXX deest. — 26. τῶν ὑμῶν π. cod. τῶν τ. ὑ. π. Ced. — οὗ Ced. אֲשֶׁר. — 28. Ced. 401,1—8. — διὰ συντόμου ἀπ. Ced.

δοκήτως· λείπεται οὖν * τὴν γ' ἐπαγαγεῖν· εἶτα καὶ περὶ τῆς νῦν τετάρτης κατεχούσης αὐτοὺς εἰπεῖν ** καὶ δεῖξαι σαφῶς, ὅπως οὐδὲ εἷς προφήτης ἐπηγγείλατο λύσιν ἔσεσθαι *** τῶν κατεχόντων αὐτοὺς κακῶν οὔτε μὴν ἀπαλλαγὴν τὸ σύνολον.

(27) Τίς οὖν ἐστὶν ἡ τρίτη; Ἡ ἐπὶ Ἀντιόχου τοῦ Ἐπιφανοῦς. Ἐπειδὴ γὰρ Ἀλέξανδρος, ὁ **** Μακεδόνων βασιλεύς, Δαρεῖον, τὸν βασιλέα Περσῶν, καθεῖλεν, εἰς ἑαυτὸν περιέστησε τὴν ἀρχήν, τελευτήσαντος τούτου, δ' μετ' ἐκεῖνον ἐγένοντο βασιλεῖς, εἶτα ἐξ ἑνὸς τῶν δ' τούτων γενόμενος ὁ Ἀντίοχος μετὰ πολὺν ὕστερον χρόνον τό τε ἱερὸν ἐνέπρησε, τά τε ἅγια τῶν ἁγίων ἠρήμωσε, τάς τε θυσίας καθεῖλε, τούς τε Ἰουδαίους ὑπέταξε καὶ τὴν πολιτείαν αὐτῶν κατέλυσε πᾶσαν. Καὶ ταῦτα πάντα μετὰ ἀκριβείας ἁπάσης καὶ μέχρι μιᾶς ἡμέρας προηγορεύετο παρὰ τοῦ Δανιήλ, καὶ πότε ἔσται καὶ πῶς καὶ παρὰ τίνι καὶ τίνι τρόπῳ καὶ ποῦ τελευτήσει καὶ τίνα λήψεται μεταβολήν. Εἴσεσθε σαφέστερον (82[b]) ἀκούσαντες αὐτῆς τῆς ὁράσεως, ἣν διὰ παραβολῆς ἡμῖν ὁ προφήτης ἀνήγγειλε, κριὸν μὲν καλῶν τὸν τῶν Περσῶν βασιλέα Δαρεῖον, τράγον τε [τὸν] τῶν Ἑλλήνων Ἀλέξανδρον βασιλέα, τὸν Μακεδόνα· τέσσαρα δὲ κέρατα λέγει τοὺς μετ' ἐκεῖνον ἀναστάντας, ἀφ' ὧν ὕστερον κέρας αὐτὸς ***** ἔφυ· φησὶ γάρ· «Εἶδον ἐν ὁράματι, καὶ ἰδοὺ κριὸς (εἷς) ἑστηκὼς καὶ αὐτῷ κέρατα ****** ὑψηλὰ ******* καὶ τὸ ἓν ὑψηλότερον τοῦ ἑτέρου· καὶ τὸ ὑψηλότερον ἀνέβαινεν ἐπ' ἐσχάτων· καὶ εἶδον τὸν κριὸν κερατίζοντα κατὰ θάλασσαν καὶ βορρᾶν καὶ νότον, καὶ τὰ θηρία πάντα οὐ στήσεται ἐνώπιον αὐτοῦ· καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος ἐκ χειρὸς αὐτοῦ· καὶ ἐποίησε κατὰ τὸ θέλημα αὐτοῦ καὶ ἐμεγαλύνθη»· τὴν δύναμιν λέγει τὴν Περσικήν, ἣ πᾶσαν ἐπέδραμε τὴν γῆν. Εἶτα περὶ τοῦ Μακεδόνος Ἀλεξάνδρου διαλεγόμενος φησίν. «[Καὶ] Ἰδού, τράγος αἰγῶν ἤρχετο ἀπὸ λιβὸς ******** ἐπὶ

---

* δὴ λοιπὸν Ced. — ** δεῖ Ced. — *** τινα Ced. — 5. Ced. 401,8 — 404,8. — **** τῶν Ced. — 8. τούτου πολλοὶ μετ' ἐκ. ἐγ. β. ἀφ' ὧν εἷς καὶ οὗτος ὁ Α. Ced. — 15. Ἴσεσθε cod. — 16. ἀ. ἀκ. τῆς ὁ. ᾗ διὰ Ced. — ὑμῖν Ced. — 17. καλεῖ Ced. — 18. τῶν Μακεδόνων Ced. — 19. δὴ Ced. — **** ὁ Ἀντίοχος Ced. — 20. Dan. VIII. 3,4, om. ἐν ὁρ. — ***** καὶ τὰ κέρατα codex. — ****** πρὸ τοῦ οὐβάλ, Dan. κατὰ ἀνατολὰς Eudoxius. — 22. ὑψηλὸν Dan. Ced. — 27. Μακεδόνων cod. — 28. Dan. VIII. 5. — ******* καὶ Ced.

πρόσωπον πάσης τῆς γῆς καὶ οὐκ ἦν ἁπτόμενος τῆς γῆς, καὶ τῷ τράγῳ ἐκείνῳ κέρατα ἐθεωρεῖτο ἀναμέσον τῶν ὀφθαλμῶν αὐτοῦ». Εἶτα λέγων τὴν πρὸς Δαρεῖον* συμβολὴν αὐτοῦ γεγενημένην καὶ τὴν κατὰ κράτος νίκην· «ἦλθε, φησίν, ὁ τράγος ἕως τοῦ κριοῦ τοῦ τὰ κέρατα ἔχοντος». «Καὶ ἠγρίανθη καὶ ἔπαισε τὸν κριὸν καὶ συνέτριψεν ἀμφότερα τὰ κέρατα αὐτοῦ· καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος ἐκ χειρὸς αὐτοῦ». Ἔπειτα διηγούμενος τὴν Ἀλεξάνδρου τελευτὴν καὶ τὴν τῶν δ' βασιλέων διαδοχὴν ἐπάγει λέγων· «Καὶ ἐν τῷ ἰσχῦσαι αὐτὸν, συνετρίβη τὸ κέρας τὸ μέγα· καὶ ἀνέβη κέρατα δ' ὑποκάτωθεν αὐτοῦ εἰς τοὺς δ' ἀνέμους τοῦ οὐρανοῦ». Ἐντεῦθεν λοιπὸν ἐπὶ τὴν Ἀντιόχου βασιλείαν ἐλθὼν καὶ δεικνὺς, ὅτι ἐξ ἑνὸς ἐκείνων τῶν δ' ἐστὶν, πάλιν φησί· «Καὶ ἐξῆλθεν ἐκ τοῦ ἑνὸς ἰσχυρὸν καὶ ἐμεγαλύνθη περισσῶς πρὸς νῶτον καὶ [πρὸς] ἀνατολήν. Καὶ σημαίνων, ὅτι τὴν Ἰουδαϊκὴν πολιτείαν καθελεῖ, φάσκει· «Καὶ δι' αὐτὸν θυσία ἐταράχθη παραπτώματι καὶ ἐγενήθη καὶ κατευωδώθη αὐτῷ, καὶ τὸ ἅγιον ἐρημωθήσεται. Καὶ δοθήσεται ἐπὶ τὴν θυσίαν ἁμαρτία. Τοῦ γὰρ βωμοῦ καταιρεθέντος καὶ τῶν ἁγίων καταπατηθέντων, εἴδωλον ἔστησεν ἔνδον καὶ θυσίας ἐπετέλει τοῖς δαίμοσι παρανόμως· ὅθεν φησίν. «(Καὶ) ἐρρίφη χαμαὶ ἡ δικαιοσύνη, καὶ ἐποίησε καὶ εὐωδώθη». Εἶτα πάλιν ἐκ δευτέρου τὴν αὐτὴν βασιλείαν Ἀντιόχου (τοῦ) Ἐπιφανοῦς λέγων καὶ τὴν αἰχμαλωσίαν καὶ τὴν ἅλωσιν καὶ τὴν ἐρήμωσιν τοῦ ἱεροῦ, προστίθησι καὶ τὸν χρόνον. Ἀρξάμενος γὰρ ἀπὸ τῆς Ἀλεξάνδρου τελευτῆς, αὖθις πρὸς τῷ τέλει τοῦ βιβλίου καὶ [τὰ] μεταξὺ πάντα διηγησάμενος ὅσα οἱ Πτολεμαῖοι καὶ οἱ Σέλευκοι συρραγέντες ἀλλήλοις ἐποίησαν καὶ οἱ στρατηγοὶ τούτων εἰργάσαντο, τοὺς δόλους, τὰς

---

2. τρ. κέρας μ. LXX, sed: וְהַצָּפִיר קֶרֶן חָזוּת בֵּין τρ. ἐκ. κέρας ἐθ. ἀνὰ μέσον Ced. — * παραβολὴν καὶ Ced. — 3. γενομένην Ced. — 4. Dan. VIII. 6,7. — 5. ἐξεγριάνθη Dan. — 8. Dan. VIII. 8. — 12. Dan VIII. 9. — 13. καὶ πρὸς τὴν δύναμιν LXX. ed. contra orientem et contra fortitudinem Hebret Vulg. — 14. Dan. VIII. 11. הִתְמִיד pro הָעֲלָה — הָרִים vel הָרִים et וְהִשְׁלִיךְ (Hitzig). — 15. π. καὶ ἐγ. καὶ κ. ἐ. om. Dan. π. καὶ ἐγ. om. LXX. — αὐτὸ Ced. — Καὶ ἐδόθη LXX. וּצְבָא תִּנָּתֵן. Καὶ θλῖψις ἐδ.? Καὶ γενήσεται Ced. — περὶ Ced. עַל — 18. θυσίαν Ced. — 19. Dan. VIII. 12. — 23. Ἀ. βασιλείας Ced.

νίκας, τὰς στρατείας *, τὰς ναυμαχίας, τὰς πεζομαχίας προϊών, εἰς Ἀντίοχον τελευτᾷ πάλιν καὶ φησίν· «Βραχίονες ἐξ αὐτοῦ στήσονται καὶ βεβηλώσουσι τὸ ἁγίασμα καὶ μεταστήσουσι τὸν ἐνδελεχισμὸν ** καὶ δώσουσιν εἰς αὐτὸν βδέλυγμα (ἠφανισμένον)· καὶ τοὺς ἀνομοῦντας διαθήκην», τουτέστι τοὺς παραβαίνοντας τῶν Ἰουδαίων, «ἀπάξουσιν ἐν ὀλισθήμασι» μεθ' ἑαυτῶν καὶ μεταστήσουσι· «καὶ λαὸς γινώσκων τὸν θεὸν αὐτοῦ κατισχύσουσι», τὰ ἐπὶ τῶν Μακκαβαίων λέγων καὶ τὰ ἐπὶ Ἰούδα καὶ Σίμωνος καὶ Ἰωάννου. «Καὶ οἱ συνετοὶ (τοῦ) λαοῦ συνήσουσιν εἰς πολλά· καὶ ἀσθενήσουσιν ἐν ῥομφαίᾳ καὶ ἐν φλογὶ», (83ª) τὸν ἐμπρησμὸν τῆς πόλεως ἐξηγούμενος πάλιν. «Καὶ ἐν αἰχμαλωσίᾳ καὶ ἐν ἁρπαγῇ ἡμερῶν, καὶ ἐν τῷ ἀσθενῆσαι αὐτούς, βοηθήσονται βοήθειαν μικράν», ἐμφαίνων, ὅτι μεταξὺ τῶν κακῶν ἐκείνων δυνήσονται ἀναπνεῦσαι καὶ ἀνενεγκεῖν ἐκ τῶν κατειληφότων αὐτοὺς κακῶν. «Καὶ προστεθήσονται πρὸς αὐτοὺς πολλοὶ ἐν ὀλισθήμασι. Καὶ ἀπὸ τῶν συνιέντων ἀσθενήσουσι», δεικνὺς ὅτι πολλοὶ καὶ τῶν ἑστώτων πεσοῦνται. Εἶτα καὶ τὴν αἰτίαν, δι' ἣν συνεχώρησεν αὐτοὺς ὁ θεὸς ἐν τοσούτοις κακοῖς γενέσθαι. Τίς δὲ αὕτη; «τοῦ πυρῶσαι, φησίν, ἐν αὐτοῖς καὶ τοῦ ἐκλέξασθαι καὶ τοῦ λευκᾶναι ἕως καιροῦ πέρας». Ταῦτα γὰρ, φησὶν ***, συνεχώρησεν ὥστε αὐτοὺς ἐκκαθᾶραι καὶ δεῖξαι τοὺς ἐν αὐτοῖς δοκίμους. (28) Εἶτα διηγούμενος αὐτοῦ ἐκείνου τὴν δύναμιν ἔφη· «Καὶ ποιήσει κατὰ τὸ θέλημα αὐτοῦ, καὶ ὑψωθήσεται καὶ μεγαλυνθήσεται». Καὶ μέντοι καὶ τὴν βλάσφημον αὐτοῦ γνώμην **** προσέθηκεν, ὅτι «ἐπὶ τὸν θεὸν τῶν θεῶν λαλήσει ὑπέρογκα καὶ κατευθυνεῖ μέχρι συντελεσθῆναι τὴν ὀργήν», δεικνὺς, ὅτι οὐκ ἀπὸ τῆς οἰκείας γνώμης, ἀλλὰ διὰ τὴν ὀργὴν τοῦ θεοῦ τὴν κατὰ τῶν Ἰουδαίων οὕτως ἐκεῖνος ἐκράτει καὶ ἴσχυεν. Εἰπὼν οὖν δι' ἑτέ-

---

* τὰς μάχας Ced. — 2. Καὶ σπέρματα ἐξ Dan. ed. XI. 31, sed. in alüs codd. Καὶ β. זרעים. — ** τὰς συνηθείας λέγων θυσίας καὶ καθημερινάς Ced. — 4. εἰς ἀ. om. Dan. — 5. καὶ οἱ ἀνομοῦντες Dan. — 6. τ. τ. π. τ. Ἰ. om. Dan. — 7. γινώσκοντες Dan. — 8. Dan. XI. 33—35. — 11. διαρπαγῇ Dan. Ced. — 14. δεινῶν Ced. — 15. συνιόντων Ced. — 18. γίνεσθαι Ced. — 19. ἐκλευκᾶναι Ced. et codd. LXX. ἀποκαλυφθῆναι ceteri. ולבן — *** ὁ θεὸς Ced. — 21. Ἔνθεν μεταβαίνει ἀπὸ τοῦ Ἀντιόχου εἰς τὸν Ἀντίχριστον Ced. 404,8—405,1. — 22. Dan. XI. 36. — **** λέγων Ced.

ρων πλειόνων, ὅσα κακὰ ἐργάσεται τὴν Αἴγυπτον [καὶ] τὴν Παλαιστίνην καὶ πῶς ἐπανήξει καὶ τίνος καλοῦντος καὶ ποίας αἰτίας καταναγκαζούσης, λέγει λοιπὸν καὶ τὴν μεταβολὴν τῶν πραγμάτων τούτων καὶ ὅτι δίκην δόντες οἱ Ἰουδαῖοι διὰ τούτων ἁπάντων, τεύξονταί τινος ἀντιλήψεως, ἀγγέλου πεμφθέντος εἰς τὴν ἐκείνων βοήθειαν· «Ἐν τῷ καιρῷ, γάρ φησιν, ἐκείνῳ ἀναστήσεται Μιχαὴλ, ὁ μέγας ἄρχων, ὁ ἐφεστηκὼς ἐπὶ τοὺς υἱοὺς τοῦ λαοῦ σου· καὶ ἔσται καιρὸς θλίψεως οἷος οὐ γέγονεν ἀφ' οὗ γεγένηται ἔθνος ἐπὶ τῆς γῆς· ἕως τοῦ καιροῦ ἐκείνου· καὶ ἐν τῷ καιρῷ ἐκείνῳ σωθήσεται πᾶς ὁ γεγραμμένος ἐν τῇ βίβλῳ», τουτέστιν οἱ (τῆς) σωτηρίας ὄντες ἄξιοι. (29) Ἀλλὰ τὸ ζητούμενον οὔπω καὶ νῦν ἀποδέδεικται· τί δὲ τοῦτό ἐστιν; Ὅτι καὶ χρόνους ὥρισεν ἐν τοῖς κακοῖς τούτοις ὥσπερ ἐκεῖ** υ' καὶ μετὰ ταῦτα ο'. Ἴδωμεν τοίνυν καὶ ἐνταῦθα, εἰτινα χρόνον ὁρίζει. (Καὶ) ποῦ δὴ τοῦτο ἔστιν εὑρεῖν; Ἐν τοῖς μετὰ ταῦτα λεχθησομένοις· ἐπειδὴ γὰρ τὰ πολλὰ καὶ μεγάλα ἤκουσε κακὰ, τὸν ἐμπρησμὸν τῆς πόλεως, τὴν ἀνατροπὴν τοῦ νόμου, τὴν αἰχμαλωσίαν, ἐπιθυμεῖ γὰρ καὶ τὸ τέλος αὐτῶν μαθεῖν καὶ εἴτις ἔσται τῶν συμφορῶν τούτων μεταβολή· καὶ διερωτῶν ἔλεγεν οὕτως· «Κύριε, τί τὰ ἔσχατα τούτων; καὶ εἶπε· Δεῦρο, Δανιὴλ, ὅτι ἐμπεφραγμένοι (καὶ ἐσφραγισμένοι) εἰσὶν οἱ λόγοι ἕως καιροῦ πέρας», τὸ ἀσαφὲς τῶν εἰρημένων αἰνιττόμενος, εἶτα καὶ τὴν αἰτίαν τῆς συγχωρήσεως τῶν κακῶν, ἕως ἂν «ἐκλεγῶσι καὶ ἐκλευκανθῶσι καὶ ἀνομήσουσιν ἄνομοι καὶ [οὐ] συνήσουσι πάντες (οἱ) ἀσεβεῖς καὶ (οἱ) νοήμονες συνήσουσιν». Εἶτα τὸν καιρὸν προλέγων, ὅσον μέλλει κατέχειν αὐτοὺς τὰ δεινὰ, φησίν· «ἀπὸ καιροῦ παραλλάξεως ἐνδελεχές***· τὸ δὲ ἐνδελεχὲς τὸ πυκνὸν καὶ συνεχές ἐστιν. Τοῖς γὰρ Ἰουδαίοις ἔθος ἐστὶν καὶ ἐν πρωῒ καὶ ἐν ἑσπέρᾳ καὶ καθ' ἑκάστην.

---

6. Dan. XII. 1. Καὶ τοῦτό τινες τῶν ἑρμηνευτῶν εἰς τὸν Ἀντιχρίστου καιρὸν ἐξειλήφασι τοῦ ἀγγέλου τὴν παράστασιν. — * καὶ Ced. —9. ἐν τῇ γῇ Dan. non est in Hebr. — 10. ὁ λαός σου πᾶς Dan. λ. πολὺς Ced. — 11. Ced. 405,1—406,11. — 12. τί δὴ Ced. — ** ἔτη Ced. Bulg. — 17. ἐπ. λοιπὸν τὸ Ced. — 19. Dan. XII. 8,9.— 22. Dan. XII. 10. — 24. νοήσωσι Ced. — 26. ἐνδελεχισμοῦ Dan. XII. 11. Ced. et cod. a prima manu תָּמִיד. — *** ἐνδελεχισμὸς δὲ ἐκαλεῖτο ἡ καθημερινὴ θυσία. — το γὰρ ἐνδ. Ced. — 27. Ἔ. γὰρ ἦν τ. Ἰ. Ced.

ἡμέραν τῷ θεῷ θύειν· καὶ διὰ τοῦτο ἡ θυσία ἐκείνη ἐνδελεχισμὸς ἐλέγετο. (Ἐπεὶ οὖν ἐλθὼν ὁ Ἀντίοχος κατέλυσε τὸ ἔθνος τοῦτο) καὶ ἤλλαξε, διὰ τοῦτό φησιν ὁ ἄγγελος, ὅτι «ἀπὸ καιροῦ * ἀλλάξεως τοῦ ἐνδελεχισμοῦ», (83ᵇ) τουτέστιν ἀπὸ τῆς καταλύσεως τῆς θυσίας, εἰσὶ δὲ ἡμέραι α καὶ σϛ', ὅπερ ἐστὶν ἔτη γ' ἥμισυ (τοῦτο ἐπὶ τοῦ Ἀντιχρίστου). Εἶτα δηλῶν ὅτι * λύσις τῶν κακῶν τούτων ἔσται καὶ ἀπαλλαγή, ἐπήγαγεν (ὁμοίως καὶ τοῦτο ἐπὶ Ἀντιχρίστου καταληπτέτον· τὰς γὰρ ασϛ' ἡμέρας οὐχ ἁρμόττει τάττειν ἐπὶ τοῦ Ἀντιόχου, ἀλλ' ἢ τὰς διςχιλίους τ', ἃς εἴρηκεν ὁ αὐτὸς προφήτης Δανιὴλ ἐν τῇ θ' ὁράσει, αἵτινες ψηφιζόμεναι ποιοῦσιν ἓξ ἐτῶν ἀριθμὸν καὶ ἓξ μηνῶν κατὰ τὴν τῶν Ἑβραίων ψῆφον)· «Μακάριος *** ὁ ὑπομείνας καὶ φθάσας εἰς ἡμέρας ατλε' ταῖς χιλίαις σϛ' μέ προσθεὶς, ἐπειδὴ **** ἐν μηνὶ καὶ ἥμισυ μηνὸς τὴν συμβολὴν συνέβη γενέσθαι, ἐν ᾗ γέγονε καθαρὰ ἡ νίκη καὶ ***** παντελὴς τῶν ἐπικειμένων κακῶν ἀπαλλαγή· — εἰπὼν γάρ· «Μακάριος ὁ ὑπομείνας καὶ φθάσας εἰς ἡμέρας ατλε'», ἀπαλλαγὴν ἐδήλωσε·—καὶ οὐχ ἁπλῶς εἶπεν «ὁ φθάσας»· ἐπεὶ ****** γὰρ πολλοὶ ******* ἀσεβησάντων εἶδον τὴν μεταβολήν· (ἀλλ') οὐκ ἐκείνους μακαρίζει, ἀλλὰ τοὺς ἐν ******** καιροῖς τῶν κακῶν ὑπομείναντας καὶ μὴ προδόντας τὴν εὐσέβειαν καὶ τῆς ἀνέσεως τυχόντας· ἆρα τί τούτων σαφέστερον γένοιτ' ἄν;

(30) Ὥρα δὴ λοιπὸν ἐπὶ τὸ ζητούμενον ἐλθεῖν καὶ τὴν παροῦσαν αἰχμαλωσίαν καὶ δουλείαν, δι' ἣν καὶ πάντα κεκινήκαμεν, ἀπαντᾷν. Ὅτι μὲν οὖν αἱ τρεῖς προανηγορεύθησαν αἰχμαλωσίαι ἡ μὲν ἔτη ἔχουσα υ', ἡ δὲ ο', ἡ δὲ ἓξ ἥμισυ, ἱκανῶς ἐντεῦθεν ἡμῖν ὡς οἷόν τε ἀποδέδεκται· φέρε δὴ λοιπὸν καὶ περὶ ταύτης εἴπωμεν· ὅτι δὲ καὶ περὶ τῆς δ' αἰχμαλωσίας τῆς ἐσχάτης καὶ τελευταίας προανεφώνησεν ὁ προφήτης οὗτος, αὐτὸν παρέξομεν μάρτυρα Ἰώσηπον, τὸν τὰ ἐκείνων φρονοῦντα· ἐπειδὴ γὰρ εἶπε τὰ περὶ τῆς Ἀντιόχου αἰχμαλωσίας καὶ μάρτυρα τὸν προφήτην παρήγαγεν,

---

* τῆς Ced.—3. παραλλ. Dan.—5. τ. ἐ. τοῦ ἀ. et ὁμοίως—ψῆφον deest in Bulg. ut in Cedreno.—** καὶ Ced.—11. Dan. XII. 12.—*** οὖν cod.—ὁ ὑπομένων Dan.—12. ασλ' Ced.? — **** γὰρ cod. — ***** ἡ Ced. — ****** δὴ Ced. — ******* τῶν Ced. — ******** τοῖς Ced. — 21. Ced. 406,11—408,8. — 23. κεκ. ταῦτα ὅτι Ced. — 24. τρία ἥμισυ Ced.— 26. ὅτι γὰρ Ced. — π. τῆς ἐ. δ' καὶ τ. Ced. — 28. τὸν Ἰ. μ. Ced.

ἐπάγει καὶ περὶ ταύτης καὶ φησί· «Τὸν αὐτόν γε τρόπον, Δανιὴλ καὶ περὶ τῆς Ῥωμαίων ἡγεμονίας ἀνέγραψε καὶ ὅτι ὑπ' αὐτῶν ἐρημωθήσεται» τὰ Ἱεροσόλυμα καὶ ὁ ναὸς καταλυθήσεται. Σὺ δέ μοι σκόπει τὸ φιλάληθες τοῦ ἀνδρός, ὃς, εἰ καὶ Ἰουδαῖός ἐστι, ἀλλ' οὐκ ἠνέσχετο ζηλῶσαι τὴν Ἰουδαϊκὴν φιλονεικίαν τε καὶ ψευδηγορίαν· εἰπὼν γὰρ, ὅτι ἐρημωθήσεται τὰ Ἱεροσόλυμα καὶ ὁ ναὸς *, ἔγραψεν· ὅτι δὲ στήσεταί που τὰ τῆς ἐρημώσεως, οὐκέτι προσέθηκεν, ἐπειδὴ οὐδὲ τὸν προφήτην εὗρε τοιοῦτόν τι προστεθέντα· Ποῦ τοίνυν εἶπεν (ὁ) Δανιὴλ, ὅτι ὁ ναὸς ἐρημωθήσεται, ἄκουσον· ἐπειδὴ γὰρ ** τὴν προσευχὴν ἐκείνην τὴν ἐν σάκκῳ καὶ σποδῷ ἐποιήσατο, ἦλθε Γαβριὴλ πρὸς αὐτὸν καὶ φησίν· «Ο' ἑβδομάδες συνετμήθησαν ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν». Ἰδοὺ καὶ ἐνταῦθα χρόνος εἴρηται, οὐ τῆς αἰχμαλωσίας, ἀλλὰ μεθ' ὅσον χρόνον ἤμελλεν ἡ αἰχμαλωσία ἀπαντήσεσθαι. Εἶτα πάλιν φησὶν ἀκριβέστερον· «Καὶ γνώσῃ καὶ συνήσεις ἀπὸ ἐξόδου λόγων τοῦ ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλὴμ ἕως Χριστοῦ ἡγουμένου ἑβδομάδες ζ' καὶ ἑβδομάδες ξβ' ***, υκγ' ἔτη εἰσίν· ἑβδομάδας γὰρ οὐχ ἡμερῶν ἐνταῦθα λέγει οὐδὲ μηνῶν, ἀλλ' ἑβδομάδας ἐνιαυτῶν· ἀπὸ δὲ (84ª) Κύρου ἐπὶ Ἀντίοχον τὸν Ἐπιφανῆ καὶ τὴν αἰχμαλωσίαν ἐκείνου ἔτη εἰσὶν τϙδ'. Εἶτα διδάσκει ἡμᾶς πόθεν ἀριθμεῖν δεῖ, ὅτι οὐκ ἀπὸ τῆς ἡμέρας τῆς ἐπανόδου, ἀλλ' «ἀπὸ ἐξόδου λόγων τοῦ ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλήμ»· οὐκ ἐπὶ Κύρου δὲ ᾠκοδομήθη ἀλλ' ἐπὶ τοῦ Ἀρταξέρξου τοῦ μακρόχειρος. Μετὰ γὰρ τὴν κάθοδον ἐπανῆλθε Καμβύσης, εἶτα οἱ Μάγοι καὶ μετ' ἐκείνους Δαρεῖος Ὑστάσπου, μεθ' ὃν Ξέρξης ὁ Δαρείου καὶ Ἀρταβάνης· εἶτα Ἀρταξέρξης ὁ μακρόχειρ ἐβασίλευσε τῆς Περσίδος. Ἐν (δὲ) τῷ κ' ἔτει τῆς βασιλείας αὐτοῦ Νεεμίας ἀνελθὼν, τὴν πόλιν ἀνέστησεν, ἅπερ ὁ Ἔσδρας ἀκριβῶς ἡμῖν διηγήσατο. Ἂν τοίνυν ἐντεῦθεν υπ[γ'] ἔτη

---

1. γέτοι Ced. δὲ Ios. A. 10. XI. 7. — 4. Ἰ. ἦν. Ced. — * καταλυθύσεται Ced. — 8. μηδὲ Ced. — προσθέντα Ced. — ** ἡνίκα codex., glossema. — 10. ἐκ ἦν codex. — 11. Dan. IX. 24. — 15. Dan. IX. 25. — *** ἐνταῦθα μοι νουνεχῶς πρόσεχε· τὸ γὰρ πᾶν ἐνταῦθά ἐστι τὸ ζητούμενον· ἑβδομάδες οὖν ζ' καὶ ἑβδομάδες ξβ' Ced. a Georgii codice ex homoioteleuto omissum. — 19. ἐκείνην Ced. — 20. διδάσκ. cod. διδόσκων Ced. — 22. Κύρῳ Ced.

θῶμεν, ἤξομεν πάντως ἐπὶ τὴν κατασκαφὴν ταύτην, ὡς καὶ Ἰώσηπος αὐθις μαρτυρεῖ λέγων· «Τὴν δὲ τῆς πολέως ἐρήμωσιν καὶ τοῦ ναοῦ συνέβη γενέσθαι κατὰ τὴν Δανιὴλ προφητείαν πρὸ υ' [καὶ] ὀκτὼ γενομένην ἐτῶν». Διὰ τοῦτό φησιν· «Οἰκοδομηθήσεται πλατεῖα καὶ περίτειχος». (31) Ἐπειδὰν οὖν ἀναστῇ καὶ τὸ οἰκεῖον ἀπολάβῃ σχῆμα, ἀπ' ἐκείνου τὰς ο' ἑβδομάδας ἀριθμει, (καὶ ὄψῃ τὴν αἰχμαλωσίαν τὴν οὐκέτι τέλος ἔχουσαν, ὅπερ δηλῶν σαφέστερον, ὅτι οὐχ ἕξει τινὰ λύσιν τὰ κατέχοντα αὐτοὺς κακά, οὕτω φησίν)· «Μετὰ δὲ τὰς ο' ἑβδομάδας ἐξολοθρευθήσεται χρίσμα, καὶ κρίμα οὐκ ἔσται ἐν αὐτῷ *· (καὶ τὴν πόλιν καὶ τὸ ἅγιον διαφθερεῖ σὺν τῷ ἡγουμένῳ τῷ ἐρχομένῳ, καὶ συγκοπήσονται ὡς ἐν κατακλυσμῷ καὶ ἕως τέλους πολέμου συντετμημένου τάξει ἀφανισμοῖς». Καὶ πάλιν τὴν αἰχμαλωσίαν ταύτην λέγων φησί· «Ἀρθήσεται ** θυσία καὶ σπονδὴ, καὶ ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῆς ἐρημώμεως, συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν». Βδέλυγμα δὲ λέγει ἐρημώσεως τὸν ἀνδριάντα, ὃν ἔστησεν Ἀδριανὸς ὁ βασιλεὺς ἐν τῷ ναῷ, ὃς καὶ τὴν πόλιν καθεῖλεν ἄρδην.) Μετὰ γὰρ τὴν Οὐεσπασιανοῦ καὶ Τίτου γενομένην ἐρήμωσιν ἐπὶ Ἀδριανοῦ συστήσαντες οἱ Ἰουδαῖοι, ἐσπούδαζον ἐπὶ τὴν προτέραν πολιτείαν ἐπανελθεῖν οἱ μάταιοι θεομαχοῦντες (καὶ μὴ ἀκούοντες τοῦ προφήτου λέγοντος· «ἃ ὁ θεὸς ὁ ἅγιος βεβούλευται, τίς διασκεδάσει καὶ τὴν χεῖρα αὐτοῦ τὴν ὑψηλὰν τίς ἀποστρέψει;» Στασιάσαντες οὖν πάλιν ἑαυτοὺς εἰς τέλος ἐρημώσεως κατέστησαν)· χειρωσάμενος γὰρ αὐτοὺς ὁ βασιλεὺς καὶ τὴν πόλιν πᾶσαν καταστρέψας καὶ τὰ λείψανα ἀφανίσας πάντα (ἵνα μηδὲ ἀναισχυντῶς ἔχωσι λοιπὸν, ἔστησε τὸν ἑαυτοῦ ἀνδριάντα. Εἶτα συνιδὼν, ὅτι συμβαίνει χρόνον ποτὲ καταπεσεῖν τοῦτον, ὥστε αὐτοῖς ἐνθῆναι καυτῆρα καὶ πληγὴν ἀνίατον τῆς ἀναισχυντίας ἐκείνης καὶ ἥττης ἔλεγχον) τὸ ἑαυτοῦ ὄνομα τῇ πόλει ἐπέθηκεν· ἐπειδὴ γὰρ Αἴλιος Ἀδριανὸς ἐχρημάτιζε, οὕτω καὶ τὴν

---

1. θῶμεν ἔτη Ced. — — ταύτης Ced. ταύτ. cod. — 3. καὶ τοῦ ν. ἐ. Ced. Apud Iosephum haec verba non invenimus. — 5. τεῖχος Dan. IX. 25. — Ced. 408,8 — 409,2. — 9. ξβ' Dan. IX. 26, om. Ced. — * καθὼς προείρηται Ced. seqq. omissis. — 13. Dan. IX. 27. — ** μου Dan. graecus. — 18. συστάντες Ced. — 20. Ies. XIV. 27. — 23. χ. δὲ Ced.

πόλιν ἐνομοθέτησε καλεῖσθαι· διὸ καὶ μέχρι νῦν Αἰλία προσαγορεύεται κατὰ τὴν ἐπωνυμίαν (τοῦ κρατήσαντος αὐτὴν καὶ καθελόντος)· ὅθεν ὁ Χριστὸς μετὰ Ἀντίοχον τὸν Ἐπιφανῆ παραγενόμενος καὶ προαναφωνῶν τὴν μέλλουσαν ἔσεσθαι αἰχμαλωσίαν καὶ δεικνὺς, ὅτι περὶ αὐτῆς ὁ Δανιὴλ προεῖπεν, φησίν· «Ὅταν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως * ἑστὼς ἐν τώπῳ ἁγίῳ — ὁ ἀναγινώσκων νοείτω» — Ἐπεὶ ** γὰρ ἅπαν εἶδωλον καὶ πᾶν ἐκτύπωμα ἀνθρώπου βδέλυγμα παρὰ τοῖς Ἰουδαίοις ἐκαλεῖτο, αἰνιγματωδῶς ἐμφαίνων τὸν ἀνδριάντα ἐκεῖνον, ὁμοῦ [καὶ] (84[b]) πότε καὶ ὑπὸ τίνος ἡ αἰχμαλωσία ἔσται, προανήγγειλεν. Ὅτι δὲ περὶ τῶν Ῥωμαίων εἴρηται ταῦτα, καὶ Ἰώσηπος μαρτυρεῖ, καθὼς προέφημεν.

(32) Τίς οὖν αὐτοῖς ὑπολείπεται λοιπὸν λόγος; ὅταν τὰς μὲν (ἄλλας) αἰχμαλωσίας οἱ προφῆται φαίνωνται μετὰ διωρισμένων χρόνων εἰπόντες ***, ὅτι «μέχρι συντελείας ἔσται ἡ ἐρήμωσις».

Ὅτι μὲν (οὖν), εἰ τέλος ἔμελλεν ἡ παροῦσα δουλεία λήψεσθαι, καὶ ταύτην ἂν προεῖπον οἱ προφῆται καὶ οὐκ ἐσίγησαν, ἱκανῶς ἀπεδείξαμεν, τὰς αἰχμαλωσίας πάσας μετὰ προρρήσεως δείξαντες αὐτοῖς ἐπενεχθείσας, (τὴν ἐν Αἰγύπτῳ, τὴν ἐν Βαβυλῶνι, τὴν ἐπ' Ἀντιόχου)· ἑκάστης γὰρ τούτων καὶ τόπους καὶ χρόνους προανακηρυχθέντας διὰ τῶν θείων γραφῶν ἀπεδείξαμεν· τῇ παρούσῃ δὲ οὐδεὶς προφήτης ὥρισε χρόρον, ἀλλ' ὅτι μὲν ἥξει καὶ ἐρημώσει πάντα καὶ μεταστήσει τὴν πολιτείαν καὶ μετὰ πόσον χρόνον, τῆς ἐκ Βαβυλῶνος ἐπανόδου συμβήσεται, προεῖπεν ὁ Δανιήλ· ὅτι δὲ τέλος ἕξει καὶ στήσεταί που τὰ κακὰ ταῦτα, οὔτε ἐκεῖνος ἐδήλωσε οὔτε ἄλλος τις προφήτης, ἀλλὰ καὶ τοὐναντίον, ὡς εἴρηται, προεῖπεν «ἕως συντελείας» καθέξει αὐτοὺς ἡ ταλαιπωρία αὕτη. Καὶ μάλα εἰκότως. Καὶ γὰρ μαρτυρεῖ τοῖς εἰρημένοις ὁ τοσοῦτος γενόμενος χρόνος· καὶ οὔτε ἴχνος, οὔτε προοίμιον χρηστῆς ἐπαγγελίας ἐνδειξάμενος, καὶ ταῦτα πολλάκις ἐπιχειρησάντων αὐτῶν ἀναστῆναι

---

2. πρ. καὶ μετὰ ταῦτα αὐτὴν ἀνεγείρας, Ἀιλίαν αὐτὴν προσηγόρευσε κ. τὴν αὐτοῦ ἐπ. Ced. — * τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου Ced. ut Mt. XXIV. 15. — ** δὴ Ced. — 10. ἔσται ἡ ἀ. Ced. — 12. Ced. 409,2 — 410,7. — *** ταύτῃ δὲ μηδένα χρόνον ὁρίσαντες, ἀλλὰ τοὐναντίον εἰπόντες Ced. a Ge. propter homoioteuleuton omissa. — 14. Dan. IX. 27. — 18. ἐπ. ἀ. Ced. — 25. προεῖπον ὅτι ἕως Ced. — 26. καθέξειν cod. — 27. διαγ. Ced. — 29. χ. μεταβολῆς ἐνδ. Ced.

τὸν ναὸν ἐπὶ Ἀδριανοῦ καὶ Κωνσταντίου καὶ Ἰουλιανοῦ * καὶ κωλυθέντων, πρῶτον μὲν ὑπὸ στρατιωτῶν, ὕστερον δὲ ἐπὶ τοῦ παραβάτου, πυρὸς τῶν θεμελίων ἐκπηδήσαντος καὶ κατασχόντος αὐτοὺς τῆς ἀκαίρου φιλονεικίας ** καὶ παραβάσεως. Ὅθεν τοίνυν λεγέτωσαν ἡμῖν· τίνος ἕνεκα ἐν Αἰγύπτῳ μὲν τοσοῦτον διατρίψαντες χρόνον ἐν κακουχίᾳ, ἐλέους ἐτύχετε, καὶ εἰς Βαβυλώνα πάλιν ἀπενεχθέντες ***, αὖθις πρὸς τὸ πρότερον ἐπανήλθετε (σχῆμά τε καὶ) ἀξίωμα, νῦν δὲ οὐδὲν τοιοῦτον γεγένηται, ἀλλὰ φ' ἑτῶν **** ἐξ ἐκείνου διελθόντων, οὐδὲ αἴνιγμα τοιαύτης μεταβολῆς ὁρῶμεν οἷον τὸ πρότερον; (33) Εἰ δὲ τὰς ἁμαρτίας αὐτῶν προβάλλοιντο καὶ λέγοιεν, ὅτι ἐπεὶ ἡμάρτομεν τῷ θεῷ (καὶ) διὰ τοῦτο οὐκ ἀπολαμβάνομεν τὴν ἰδίαν χώραν, πάλιν δ' ἂν εἰκότως αὐτοὺς εἰρήσόμαι· Διὰ τὰς ἁμαρτίας ὑμῶν, ὦ Ἰουδαῖοι, τῆς Ἱερουσαλὴμ ἔξω διατρίβετε χρόνον τοσοῦτον; καὶ τί τὸ καινὸν καὶ παράδοξον; Μὴ γὰρ νῦν ἐν ἁμαρτίαις ζῆτε μόνον, παρὰ δὲ τὴν ἀρχὴν ἐν δικαιοσύνῃ καὶ κατορθώμασιν; οὐκ ἄνωθεν καὶ ἐξ ἀρχῆς (μυρίαις) συνετράφητε παρανομίαις; Οὐχί, τῆς θαλάσσης σχιζομένης καὶ τῶν πετρῶν ῥηγνυμένων καὶ τοσούτων θαυμάτων γενομένων, ἐπὶ τῆς ἐρήμου προσεκυνήσατε μόσχῳ; Οὐ τὸν Μωϋσέα λίθοις βάλλοντες καὶ ἑτέροις μυρίοις τρόποις ἀνελεῖν ἐπεχειρήσατε πολλάκις καὶ τὸν θεὸν παρωργίζετε βλασφημοῦντες; Οὐ τῷ Βεελφεγὼρ ἐτελέσθητε; Οὐ τοὺς υἱοὺς ὑμῶν καὶ τὰς θυγατέρας ἐθύσατε δαιμονίοις καὶ τοὺς ἀλλοτρίους θεοὺς ἐθεραπεύσατε; Οὐ πᾶν εἶδος ἁμαρτίας καὶ κακίας ἐπεδείξασθε; Πῶς οὖν ὑμᾶς οὐκ ἀπεστράφη τότε ὁ θεὸς, ἀλλὰ μετὰ τὰς παιδοκτονίας, μετὰ τὰς εἰδωλολατρίας, μετὰ τὴν πολλὴν ἀγνωμοσύνην ***** προφήτας ἀφῆκεν ἐν ὑμῖν εἶναι διαφόρους *****, σημεῖα εἰργάσατο καὶ θαύματα παράδοξα; Τίνος εὖν ἕνεκέ τότε μὲν ἀσεβοῦντες

---

* ἐπὶ Ἀδριανοῦ τοῦ καὶ κατασκάψαντος τὴν πόλιν αὐτῶν, ἐπὶ Ἰουλιανοῦ ἤτοι ἐπὶ Κωνσταντίου? a secunda manu. Κωνσταντίνου Ced. — διακωλ. Ced. — ** τε Ced. — 6. ἔτυχον Ced. — *** ἐπανῆλθον εἰς τὰ ἴδια καὶ ὑπὸ Ἀντιόχου τοσαῦτα κατὰ παθόντες Ced. — 7. ἐπανῆλον ἀξίωμα Ced. — **** νῦν δὲ χιλίων Ced. — 19. Ced. 410,7 — 413,4. — 19. προβάλοιντο καὶ εἴποιεν. — 12. οἰκείαν χ. Ced. — ἐρήσωμ. cod. — 13. ἔξω τῆς Ἱ. δ. Ced. — 16. συνανετράφητε Ced. — 18. γιν. περὶ τῆς Ced. Slav.? — 25. π. καὶ τὰς Ced. Slav.? — ***** καὶ Ced. bis. — 26. παρ' ὑμῖν Ced. Slav. — εἰργάζοντο Ced. — 27. πάλαι μὲν Ced. Slav.

καὶ δει (85) νὰ μυρία διαπραττόμενοι τοσαύτης εὐνοίας ἀπηλαύετε παρὰ (τοῦ) θεοῦ καὶ προστασίας καὶ προμηθείας, νῦν δὲ οὔτε εἰδωλατροῦντες οὔτε παιδοκτονοῦντες, ἐν αἰχμαλωσίᾳ (διηνεκεῖ) καὶ ταλαιπωρίᾳ τυγχάνετε; Μὴ γὰρ ἕτερος ὁ θεὸς ἦν τότε καὶ ἕτερος νῦν; Οὐκ αὐτός ἐστιν ὁ καὶ ἐκεῖνα οἰκονομῶν καὶ τὰ νῦν ἐργαζόμενος; διατί, ὅτε μείζονα μὲν ἦν τὰ ἁμαρτήματα, πολλὴ δόξα ὑμῖν ἦν παρὰ θεοῦ, ὅτε δὲ ἐλάττονα πλημμελεῖτε νῦν, παντελῶς ὑμᾶς ἀπεστράφη καὶ ἀτιμίᾳ παρέδωκεν ἀπεράντῳ; Ἀλλὰ «κἂν ὑμεῖς σιγήσητε, οἱ λίθοι κεκράξονται». Ἐπειδὴ γὰρ κατὰ τοῦ δεσπότου τὰς χεῖρας ἐξετείνατε, διὰ τοῦτο οὐκ ἐστιν ὑμῖν διόρθωσις οὐδὲ συγγνώμη λοιπὸν οὐδὲ ἀπολογία· τότε μὲν γὰρ εἰς δούλους ἦν τὸ τολμώμενον, νῦν δὲ πάντα ἐκεῖνα τὰ παλαιὰ σαφῶς ἀπεκρύψατε διὰ τῆς εἰς τὸν κοινὸν δεσπότην μανίας, ὅθεν καὶ μειζόνως κολάζεσθε. Καὶ οὐδὲ οὕτως ἀπέχεσθε τῆς πατρικῆς ἐμβροντησίας τε καὶ λύσσης, πλάνον αὐτὸν καὶ παράνομον ἀποκαλοῦντες. Εἰ οὖν πλάνος ἦν ὁ Χριστὸς, ὡς φατε, καὶ παράνομος, ἐχρῆν μᾶλλον ὑμᾶς εὐδοκιμῆσαι, ὅτι αὐτὸν ἀπεκτείνατε· εἰ γὰρ (ὁ) Φινεὲς ἕνα τινὰ παρανομοῦντα ἀνελὼν, ὁλόκληρον τὴν κατὰ τοῦ ἔθνους ὀργὴν ἔπαυσεν — «ἔστη γὰρ (φησὶν) Φινεὲς καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην» — πολλῷ μᾶλλον ἐφ' ὑμῶν ἔδει τοῦτο γενέσθαι, εἴγε παράνομος ἦν ὁ ὑφ' ὑμῶν σταυρωθείς. Καὶ πόθεν δῆλον, φησὶν, ὅτι τέλειον ἀπεστράφη ὑμᾶς ὁ θεὸς; (Ἀπὸ) τῶν πραγμάτων ὑμῶν βοώντων καὶ σάλπιγγος λαμπροτέραν ἀφιέντων φωνὴν, διὰ τῆς καταστροφῆς τῆς πόλεως, διὰ τῆς ἐρημώσεως τοῦ ναοῦ, διὰ τῶν ἄλλων ἁπάντων. Ἀλλ' ἄνθρωποι, φησὶν, ἐπήγαγον (ἡμῖν ταῦτα καὶ) οὐχ ὁ θεός. Εἰ οὖν ἀνθρώπων (ἦν ἔργα ταῦτα καὶ οὐ τῆς ὀργῆς τοῦ θεοῦ, ἔδει μέχρι τῆς ἁλώσεως τὰ ὑμέτερα στῆναι καὶ μὴ πορρωτέρω προελθεῖν ὑμῖν τὴν ἀτιμίαν καὶ (τὴν) κάκωσιν· πλὴν, ἔστω κατὰ τὸν ὑμέτερον λόγον,

---

4. τ. διάγετε Ced. Slav.? — ἦν ϛ Ced. Slav.? — 5. καὶ ὁ Ced. Slav.? — καὶ ταῦτα νῦν Ced. — 6. διότι cod. Slav.? — μείζω Ced. Slav.? — 9. Luc. XIX. 40. — 10. ἔσται Ced. Slav.? — 12. τὰ τολμώμενα Ced. Slav.? — ᾽ χν Ced. — 16. γοῦν Ced. Slav.? — 19. κατέπαυσεν Ced. — Num. XVI. 48,50. — 22. φα. cod. — τέλεον Ced. — 23. πρ. αὐτῶν β. Ced. — 26. γοῦν Ced. — 27. Οὐχὶ Ced. — 28. περαιτέρω Ced. Slav.?

ὅτι τὰ τείχη κατέστρεψαν (οἱ) ἄνθρωποι καὶ τὴν πόλιν καθεῖλον καὶ τὸν βωμὸν ἀνέστρεψαν, μὴ καὶ τοὺς προφήτας ἄνθρωποι κατέπαυσαν; μὴ τὴν τοῦ πνεύματος χάριν καὶ τἆλλα τὰ σεμνὰ αὐτοὶ κατέλυσαν, τὸ φωνὴν ἐν τοῦ ἱλαστηρίου φέρεσθαι, τὴν ἐπὶ τῷ χρίσματι γενομένην ἐνέργειαν, τὴν ἐπὶ τῶν λίθων τοῦ ἱερέως δήλωσιν; καὶ γὰρ ἡ Ἰουδαϊκὴ πολιτεία οὐχὶ κάτωθεν εἶχε τὰς ἀρχὰς ἁπάσας, ἀλλὰ τὰς πλείους καὶ σεμνοτέρας οὐράνωθεν· οἷον τί λέγω; θυσίας γενέσθαι συγχωρήσας, ὁ μὲν βωμὸς ἦν κάτω καὶ τὰ ξύλα καὶ ἡ μάχαιρα καὶ ὁ ἱερεύς, τὸ δὲ πῦρ τὸ μέλλον ἐν τοῖς ἀδύτοις ἐκείνοις εἶναι καὶ διαπανᾶν τὰς θυσίας, ἄνωθεν τὴν ἀρχὴν εἶχεν. Οὐ γὰρ ἄνθρωπος εἰς τὸν ναὸν εἰσήγαγε πῦρ ἀλλὰ φλὸξ ἄνωθεν κατενεχθεῖσα τὴν ἐπὶ τῆς διακονίας ἐπλήρου θυσίαν. Πάλιν εἴποτε ἔδει τι μαθεῖν, ἀναμέσον τῶν Χερουβὶμ ἐκ τοῦ ἱλαστηρίου φωνή τις ἐφέρετο καὶ τὰ μέλλοντα προὔλεγε. Ὡσαύτως ἐπὶ τῶν λίθων τῶν ἐπὶ τοῦ στήθους τοῦ ἀρχιερέως, ὅπερ ἐκάλουν δήλωσιν, ἐγίνετό τις ἔλλαμψις, καὶ τὰ μέλλοντα ποοεσήμαινεν. Ὁμοίως (καὶ) ἡνίκα χρίεσθαι ἔδει τινά, πνεύματος ἐφίπτατο χάρις καὶ τὸ ἔλαιον ἀνεπήδα, καὶ προφῆται διηκόνουν τοῖς πράγμασι τούτοις, καὶ νεφέλη πολλάκις καὶ καπνὸς τὰ ἄδυτα κατελάμβανεν.

(85[b]) (34) Ἵνα τοίνυν μὴ ἀναισχυντῆτε μηδὲ ἀνθρώποις λογίζησθε τὴν ἐρήμωσιν αὐτῶν, οὐχὶ τὴν πόλιν μόνον ἀφῆκε πεσεῖν καὶ τὸν ναὸν ἐρημωθῆναι, ἀλλὰ καὶ τὰ πράγματα ἐκεῖνα (ἅπαντα), ἅπερ ἐκ τῶν οὐρανῶν εἶχον τὰς ἀρχάς, ἐκποδὼν γενέσθαι πεποίηκε. Τίνος οὖν ἕνεκεν οὐκ ἔχετε νῦν προφήτας οὐδέ τι τῶν λοιπῶν ἐκείνων (καὶ) θείων; οὐκ εὔδηλον, ὅτι τοῦ θεοῦ τὰ καθ' ὑμᾶς ἀποστραφέντος; Καὶ πόθεν * τοῦτο δῆλον; Ἀφ' ὧν πρὸ τούτου μὲν ἀσεβοῦντες ἐπετυγχάνετε πάντως, νῦν δὲ δοκοῦντες ἐπιεικέστερον ζῆν μετὰ τὸν σταυρὸν, μείζονα τιμωρίαν ὑπομένετε καὶ οὐδενὸς ἀπολαύετε τῶν προτέρων, οὔτε μὴν ἀπολήψεσθε, καθὼς αἱ θεῖαι προ-

---

9. τ. ανους Cod. sed. cf. 30. Slav.? — 4. σ. τὰ παρ' ὑμῖν αὐτὰ κατ. οἷον Cod. Slav.? — 5. τὸν λίθον Cod. Slav.? — 7. ἄνωθεν ἐκ τῶν οὐνων οἷον Cod. Stav.? — 10. ἀδ. τοῖς ἐκ. εἶναι Cod. — 11. εἰσῆγε Cod. Slav.? — 13. Χ. καὶ τοῦ Cod. Slav.— 15. τὸν λίθον τὸν Cod. Slav.? — 20. Cod. 413,4 — 415,5. — 21. τούτων cod. Slav.? — μόνην Cod. — 23. τὰς ἀ. εἶχε Cod. — * φησὶ Cod. — 27. ἐτ. Cod. Slav.? — πάντων cod.

ῥήσεις ἐναργῶς δηλοῦσιν. Εἰ δὲ βούλεσθε, καὶ ἑτέρους προφήτας ἐφοπλίσομεν λέγοντας φανερῶς, ὅτι τὰ μὲν ὑμέτερα τέλος (μὴ) λήψεται, τὰ δὲ ἡμέτερα ἀνθήσει, καὶ πανταχοῦ τῆς οἰκουμένης ἐκταθήσεται τὸ κήρυγμα, καὶ θυσίας ἑτέρας εἰσενεχθήσεται τρόπος, ἐκείνων, τῶν παρ' ὑμῖν, καταλυθεισῶν· οὐδὲ γὰρ Ἡσαΐαν παράγω τέως μάρτυρα οὔτε Ἱερεμίαν οὔτε τοὺς ἄλλους (τοὺς) πρὸ τῆς αἰχμαλωσίας, ἵνα μὴ λέγητε, ὅτι τὰ δεινὰ ἐκεῖνα, ἃ ἔλεγον, περὶ τῆς αἰχμαλωσίας ἐξέβη, ἀλλὰ Μαλαχίαν, τὸν μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον καὶ τὴν τῆς πόλεως ἀποκατάστασιν σαφῶς περὶ τῶν πραγμάτων ὑμῶν προφητεύσαντα. Ἐπειδὴ γὰρ ἐπανῆλθον καὶ τὴν πόλιν ἀπέλαβον καὶ τὸν ναὸν ᾠκοδόμουν καὶ τὰς θυσίας ἐπετέλουν, τὴν μέλλουσαν παντελῆ ταύτην καὶ τελευταίαν ἐρήμωσιν καὶ τὴν ἀναίρεσιν τῶν θυσιῶν προλέγων φησίν· «Εἰ λήψομαι ἐκ τῶν θυσιῶν ὑμῶν, λέγει Κύριος παντοκράτωρ»· «ὅτι ἀπὸ ἀνατολῶν ** μέχρι δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου καὶ θυσία καθαρά, ὑμεῖς δὲ βεβηλοῦτε αὐτό». Πότε οὖν ταῦτα πεπλήρωται, ὦ Ἰουδαῖε, καὶ πότε ἐν παντὶ τόπῳ θυμίαμα προσηνέχθη τῷ θεῷ καὶ θυσία καθαρά; οὐκ ἂν ἔχεις εἰπεῖν ἕτερον καιρὸν ἀλλ' ἢ τοῦτον (δὴ) τὸν μετὰ τὴν ** Χριστοῦ παρουσίαν· ὡς εἰ μὴ τοῦτον προλέγει τὸν καιρόν, μηδὲ τὴν ἡμετέραν θυσίαν, ἀλλὰ τὴν Ἰουδαϊκήν, παράνομος *** ἡ προφητεία. Εἰ γὰρ, τοῦ Μωϋσέως κελεύοντος εἰς μηδένα τόπον ἀνάγεσθαι θυσίαν ἀλλ' ἢ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται Κύριος ὁ θεὸς, καὶ εἰς ἓν χωρίον ἐν Ἱερουσαλὴμ συγκλείοντος τὰς θυσίας ἐκείνας, ὁ προφήτης λέγων· «ἐν παντὶ τόπῳ θυμίαμα μέλλει προσάγεσθαι καὶ θυσία καθαρά», ἐναντιοῦται καὶ μάχεται τῷ Μωϋσεῖ. Ἀλλὰ μὴ γένοιτο· περὶ γὰρ ἑτέρας ἐκεῖνος εἶπε θυσίας καὶ περὶ ἑτέρας οὗτος. Ἀκούσατε δὴ (καὶ) Σοφωνίου (συμ)φωνοῦντος τὰ αὐτὰ καὶ λέγοντος· «Ἐπιφανήσεται Κύριος ἐπὶ πάντα τὰ ἔθνη

---

4. προσεν. Cod. Slav.? — 5. ὑμῶν cod. — 7. πρὸ cod. — 14. ἐκ τῶν χειρῶν ὑ. θυσίαν Cod. 9. ἐκ τῶν χ. ὑ. Mal. I. 9,10. Slav.? — * ἡλίου καὶ Mal. I. 11. Cod. — 16. θυσία cod. Slav.? — 17. αὐτὴν Cod. sed. cf. Mal. I. 12. Slav.? — Ἰουδαῖοι Cod. Slav.? — 19. ἔχοις? ἔχοιτε Cod. Slav.? — ** τοῦ Cod. — *** ἐστιν Cod. — 23. ἀνάγεσθε Cod. Slav.? — ὃν ἐξελέξατο Cod. Slav.? — 25. λέγει cod. Slav.? — 26. μέλλειν πρ. καὶ θυσίαν καθαρὰν Cod. Slav.?

καὶ ἐξολοθρεύσει πάντας τοὺς θεοὺς τῶν ἐθνῶν, καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτῶν». Καίτοι γε τοῦτο οὐκ ἐφεῖτο, ἀλλ' εἰς ἕνα τόπον ἐθέσπισε Μωϋσῆς λατρεύειν. Ὅταν οὖν ἀκούσητε τῶν προφητῶν προλεγόντων καὶ προαναφωνούντων, ὅτι οὐκέτι εἰς μίαν πόλιν οὐδὲ εἰς ἕνα τόπον ἀναγκασθήσονται (οἱ) ἄνθρωποι πάντοθεν συνάγεσθαι, ἀλλ' οἶκοι καθήμενοι ἕκαστος θεραπεύσει τὸ θεῖον, τίνα ἂν ἔχοιτε εἰπεῖν ἕτερον καιρὸν ἀλλ' ἢ τὸν παρόντα τοῦτον, καθ' ὃν τὰ μὲν ἡμέτερα διαλάμπουσιν εἰς πᾶσαν τὴν οἰκουμένην, τὰ δὲ ὑμέτερα κατεσβέσθησαν, καὶ ἐν σκότει διαπορεύεσθε; (35) Ὅτι δὲ πάλιν οὐδὲ παρὰ τὴν ἀρχὴν ὑμῖν (86ᵃ) δοῦναι τὰς τοιαύτας ἠβούλετο θυσίας, ἀκούσατε τί φησιν Ἡσαΐας· «Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει Κύριος»· καί· «Τίς ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν»; Εἰ γὰρ ταῦτα παρὰ τὴν ἀρχὴν ἐζήτει, καὶ τοὺς παλαιοὺς πάντας, τοὺς παρ' ὑμῖν λάμψαντας, πρώτους ἂν εἰς τὴν πολιτείαν εἰσήγαγε ταύτην. Πῶς οὖν ταῦτα ἐπέτρεψε; φησίν. Τῇ ὑμετέρᾳ συγκαταβαίνων ἀσθενείᾳ· καὶ καθάπερ ἰατρὸς πυρέττοντα ὁρῶν ἄνθρωπον, δυσάρρωστον καὶ ἀκαρτέρητον, ἐπιθυμοῦντα ψυχροποσίας καὶ ἀπειλοῦντα, εἰ μὴ λάβοι, ἑαυτὸν ἀναιρήσειν, βουλόμενος * μεῖζον κωλῦσαι κακὸν, τὸ ἔλαττον δίδωσι πρὸς ἀπαλλαγὴν τελευταίας βίας, οὕτω δὴ καὶ ὁ θεὸς ἐποίησε. Ἐπειδὴ γὰρ εἶδε μαινομένους, ἀγχομένους, ἐπιθυμοῦντας θυσιῶν καὶ παρεσκευασμένους, εἰ μὴ λάβοιεν, αὐτομολήσειν πρὸς τὰ εἴδωλα, μᾶλλον δὲ οὐ παρεσκευασμένους, ἀλλὰ καὶ αὐτομολήσαντας ἤδη, ἐπέτρεψε τὰς θυσίας. Καὶ ὅτι αὕτη ἐστὶν ἡ αἰτία, δῆλον ἐντεῦθεν· μετὰ γὰρ τὴν μυσαρὰν ἑορτὴν, ἣν ἐπετέλεσαν τοῖς δαιμονίοις μοσχοποιήσαντες, τότε τὰς θυσίας ἐπέτρεψε, μόνον οὐχὶ λέγων· «Μαίνεσθε **, βούλεσθε θύειν; οὐκοῦν ἐμοὶ θύετε». Ἀλλ' ὅμως καὶ τοῦτο ἐπιτρέψας, οὐ μέχρι τέλους ἀφῆκεν, ἀλλὰ διὰ σοφωτάτης

---

2. αὐτοῦ Soph. II. 11, Ced. — 6. πάντοτε Ced. — καθήμενος Ced. Slav.? — 8. κατὰ Ced. Slav.? — 9. κατεσβέσθη Ced. Slav.? — 10. Ced. 415,5 — 417,3. — οὐ Ced. — 12. Ies. I. 11.—Ies. I. 12. — 13. Εἰ δὲ Ced. — 14. αὐτῷ cod. — 15. θρησκείαν? — Ὅπως cod. Slav.? — 16. φησὶν, ἐπέτρεψε; Ced. — 17. ἰδὼν Ced. Slav.?— δυσάρεστόν τε Ced. e sequenti ὁ δυσάρεστος δῆμος. — * τὸ Ced. — 20. ἀλλ. τελευτῆς βιαίας Ced. Slav.? — ** καὶ Ced. — 27. κἂν ἐ. θύεται cod. Slav.?

μεθόδου πάλιν ἐπήγαγεν· καὶ, ὥσπερ ὁ ἰατρὸς ἐκεῖνος, συγχωρήσας τῇ ἐπιθυμίᾳ τοῦ καάμνοντος, εἶτα φιάλην οἰκοθεν κομίσας κελεύσειεν (ἐν) ταύτῃ μόνῃ τῆς ψυχροποσίας μεταλαμβάνειν· καὶ τοῦ κάμνοντος πεισθέντος, λάθρᾳ τοῖς ἐπιτηδείοις ἐπιτάξειε συντρῖψαι τὴν φιάλην αὐτὴν, ἵνα λανθανόντως καὶ ἀνυπόπτως αὐτὸν ἀπαγάγῃ τῆς ἐπιθυμίας ἐκείνης, οὕτω καὶ ὁ θεὸς ἐποίησε· θύειν ἐπιτρέψας, ἐν οὐδενὶ τόπῳ τῆς οἰκουμένης εἶασε τοῦτο γενέσθαι, ἀλλ' ἢ ἐν τοῖς Ἱεροσολύμοις* μόνον. Ὅθεν φησὶν ὁ Δαυίδ· «Σοὶ πρέπει, ὁ θεὸς, ὕμνος ἐν Σιὼν, καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ». Εἶτα ἐπειδὴ χρόνους τινὰς ἔθυσαν, καθεῖλε τὴν πόλιν, καὶ ὥσπερ διὰ τῆς τοῦ σκεύους συντριβῆς, οὕτω καὶ ὁ θεὸς διὰ τῆς κατὰ τὴν πόλιν καταστροφῆς καὶ ἄκοντας αὐτοὺς ἀπήγαγε τοῦ πράγματος· ἐπειδὴ γὰρ, εἰ φανερῶς εἶπεν· ἀπόστητε, οὐκ ἂν ἠνέσχοντο ῥαδίως, διὰ τῆς κατὰ τὸν τόπον ἀνάγκης λανθανόντως αὐτοὺς ἀπήγαγεν τῆς περὶ τὸ πρᾶγμα μανίας. Ἔστω τοίνυν ὁ μὲν ἰατρὸς ὁ θεὸς, ἡ δὲ φιάλη ἡ πόλις, ὁ δὲ νοσῶν ὁ δυσάρεστος δῆμος τῶν Ἰουδαίων, ἡ δὲ ψυχροποσία, ἡ τῶν θυσιῶν ἐπιτροπὴ καὶ ἐξουσία· εἰ γὰρ μὴ τοῦτο ἠβούλετο κατασκευάσαι, τίνος ἕνεκεν εἰς τόπον ἕνα συνέκλεισε τὴν τοιαύτην θυσίαν ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν; τίνος χάριν τὴν μὲν λατρείαν εἰς θυσίας, τὰς δὲ θυσίας εἰς τόπον, τὸν δὲ τόπον εἰς καιρὸν, τὸν δὲ καιρὸν εἰς μίαν πόλιν συναγαγὼν, αὐτὴν πάλιν κατέστρεψε τὴν πόλιν; Καὶ τὸ δὴ θαυμαστὸν καὶ παράδοξον, ὅτι πᾶσα μὲν ἡ οἰκουμένη τοῖς Ἰουδαίοις ἀνεῖται, ἔνθα οὐκ ἐστι θύειν, μόνη δὲ** Ἱερουσαλὴμ, ἐν ᾗ καὶ μόνῃ (θύειν) ἐξῆν, ἄβατος καὶ ἔρημος (αὐτοῖς μόνοις) γέγονεν. (36) Περὶ ὧν μέντοι γε ἐν ταῖς ἀποστολικαῖς διατάξεσί φησιν ὁ θεῖος λόγος· «Ἤδη δὲ καὶ πρὸ τῆς ἐνσάρκου οἰκονομίας ἐναργῶς ὁ θεὸς εὖ μάλα παρητεῖτο τὰς τῶν Ἰουδαίων θυσίας ἐξαμαρτούντων εἰς

---

1. ἀνήγαγε Ced. ἀπήγαγε? cf. infra ἀπαγάγῃ. — 3. κελεύσει Ced. — μεταλαβεῖν Ced. Slav.? — 6. ἐπ. αὐτῆς Ced. — * καὶ Ced. — 9. ὑ. ὁ ϑς Ps. LXV. 1, Ced. Slav.? — 11. π. ὡ. ὁ ἰατρὸς διὰ Ced. Slav.? — 12. τῆς κ. τῆς πόλεως Ced. Slav.? — 13. ἐκεῖ Ced. Slav.? — 24. ἔξεστι Ced. Slav.? — ** ἡ Ced. — 25. μόνον Ced. Slav.? — 26. Ced. 417,3 — 418,17. — 26. μ. κἂν ταῖς Ced. — 28. Const. VI. 21,2 τῆς παρουσίας αὐτοῦ κ. τ. τοῦ λαοῦ ϑ. Slav.?

αὐτὴν πολλάκις καὶ οἰομένων διὰ θυσίας καὶ οὐ διὰ με(86[b])τανοίας αὐτὸν ἐξευμενίζεσθαι· φησὶ γὰρ διὰ τῶν προφητῶν· «Ἵνα τί μοι φέρετε λίβανον ἐκ Σαβὰ καὶ κινναμωμον ἐκ γῆς μακρόθεν; τὰ ὁλοκαυτώματα ὑμῶν οὐκ εἰσὶ δεκτὰ, καὶ αἱ θυσίαι ὑμῶν οὐχ ἥδυνάν μοι». «Συναγάγετε τὰ ὁλοκαυτώματα ὑμῶν μετὰ τῶν θυσιῶν ὑμῶν καὶ φάγετε * κρέα, ὅτι οὐκ ἐνετειλάμην ὑμῖν, ἡνίκα ἐξήγαγον ὑμᾶς ἐκ γῆς Αἰγύπτου, περὶ θυσιῶν καὶ ὁλοκαυτομάτων»· καὶ ** «τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν ***; πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι· οὐδ' ἂν ἔρχησθε ὀφθῆναί μοι· τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; πατεῖν τὴν αὐλήν μου οὐ προσθήσεσθε ἔτι· ἐὰν φέρητε **** σεμίδαλιν, μάταιον· θυμίαμα βδέλυγμά μοί ἐστι· τὰς νεομηνίας ὑμῶν καὶ τὰ σάββατα ***** καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι· νηστείαν καὶ ἀργίαν καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου· ἐγενήθητέ μοι εἰς πλησμονήν»· καὶ (ἀλλαχοῦ)· «Ἀπόστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου καὶ ψαλμὸν ὀργάνων σου οὐκ εἰσακούσομαι.» — καὶ (πάλιν)· Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους»· — «ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς· μὴ φάγομαι κρέα ταύρων ἢ αἷμα τράγων πίομαι; θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως (καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου)». Καί· «θυσία τῷ θεῷ πνεῦμα συντετριμμένον». Καὶ ἁπλῶς ἐν πάσαις ταῖς γραφαῖς ὁμοίως ****** τὰς θυσίας ἀπαναίνεται διὰ τὸ ἐξαμαρτάνειν αὐτοὺς εἰς αὐτὸν ἐξ ἄκρας κακίας, ἀπειθείας τε καὶ σκληροκαρδίας· «θυσίαι γὰρ ἀσεβῶν βδέλυγμα τῷ

---

1. ἐξαμαρτῶντας cod. ἐξαμαρτανόντων Ced. Slav.? πολλάκις εἰς ἀ. ἐξαμαρτόντος καὶ οἰομένου Const. — θυσιῶν Const. — ἀλλ' οὐ Const. Ced. — 2. λέγει γὰρ οὕτως Const. Ier. VI. 20. — 3. λ. ἐκ Σ. φέρεις Const. Ced. — 4. ἔστι Const. Ced. — 5. Ier. VII. 21,22. καὶ ἑξῆς. Τὰ ὁ. ὑ. σ. Const. καὶ Σ. τὰ ὁ. ὑ. Ced. Slav.? — * τὰ Ced. — ὁλ. καὶ θ. Const. — ** διὰ Ἡσαΐου λέγει Const. Ies. I. 11 — 14. — *** λέγει κ῏ς Const. — 10. ἔρχεσθε Ced. Slav.? — 11. πρ. ἐὰν Ies. προσθήσετε ἔτι. ἐὰν Ced. Slav.? — **** μοι Const. Ced. — ***** ὑμῶν Const. — 15. Καὶ δι' ἑτέρου λέγει Const. Καὶ Ced. Slav.? — 16. ψαλμὸν Ced. Slav.? — ἀκ. Amos. V. 23, Ced. Slav.? — 17. Καὶ διὰ τοῦ Δαυὶδ λέγει Const. post 1 Regg. XV. 12. Slav.? Ps. L. 9. — 18. Ps. L. 12—14. — 19. φάγωμαι κρέατα Ced. Slav.? — 20. πίωμαι Ced. Slav.? — 21. Ps. LI. 17, om. Const. — 22. Καὶ ἐν π. δὲ ταῖς Const. Slav.? — ****** αὐτῶν Const. — 23. ἐξαμαρτεῖν Const, om. ἐξ — σκλ. Slav.? — 24. κ. τε καὶ ἀπ. καὶ Ced. Slav.?

θεῷ· καὶ γὰρ παρανόμως προσφέρουσιν αὐτάς»· καί*· «Θυσίαι αὐτῶν ὡς ἄρτος πένθους αὐτοῖς»· καί· «Πάντες οἱ ἐσθίοντες αὐτὰς μολυνθήσονται». Διὸ δὴ καὶ τῷ Σαοὺλ ὁ θεῖος Σαμουὴλ ἔλεγεν· «Ἀγαθὸν ἀκοὴ ὑπὲρ θυσίας, καὶ ἀκρόαμα ὑπὲρ στέαρ κριῶν». «Ἰδοὺ γὰρ οὐ θέλει Κύριος θυσίας ὡς τὸ ἀκούειν αὐτοῦ» — Εἰ τοίνυν καὶ πρὸ τῆς παρουσίας αὐτοῦ ὑπὲρ θυσίας καρδίαν καθαρὰν ἐπεζήτει καὶ πνεῦμα συντετριμμένον, πολλῷ μᾶλλον ἐλθὼν ἔπαυσε τὰς δι' αἱμάτων θυσίας· οὐδὲ πάλιν δεόμενος αὐτῶν, ὡς εἴρηται, ἀλλ' εἰ βουληθῶσι συγχωρῶν καὶ εἰ ἀπὸ γνώμης ὀρθῆς προσοίσουσιν, (ὅθεν φησί)· «Εἰ θύειν ἐπιθυμεῖς, οὐ δεομένῳ μοι θύε».

(37) Ὁπότε δὲ τούτου ἀμνήμονες ἐγένοντο καὶ μόσχον ἀντὶ θεοῦ θεὸν ἐπεκαλέσαντο καὶ τούτῳ τὴν αἰτίαν τῆς ἐξ Αἰγύπτου πορείας ἐπεγράψαντο λέγοντες· «Οὗτοι οἱ θεοί σου, Ἰσραήλ, οἱ ἐξαγαγόντες σε ἐκ γῆς Αἰγύπτου», καὶ ἀπαρνησάμενοι θεὸν, τὸν διὰ Μωϋσέως ἐπισκεψάμενον αὐτοὺς ἐν τῇ θλίψει αὐτῶν, τὸν τὰ σημεῖα ἐπὶ χειρὸς καὶ ῥάβδου ποιησάμενον, τὸν Αἰγυπτίους δεκαπλήγῳ πατάξαντα, τὸν ** ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις διελόντα καὶ διαγαγόντα αὐτοὺς ἐν μέσῳ τοῦ ὕδατος ὡς διὰ ξηρᾶς, τὸν τοὺς ἐχθροὺς αὐτῶν βυθίσαντα, τὸν (εἰς) Μερρὰν τὴν πικρὰν πληγὴν γλυκάναντα, τὸν ἐκ πέτρας ἀκροτόμου ὕδωρ εἰς πλησμονὴν ἀναβλύσαντα, τὸν στύλῳ νεφέλης καὶ στύλῳ πυρὸς σκιάζοντα αὐτοὺς διὰ θάλπος ἄμετρον καὶ φωτίζοντα καὶ ὁδηγοῦντα τοὺς οὐκ εἰδότας ὅθεν πορευθῶσι, τὸν ἐξ οὐρανοῦ μαννοδοτήσαντα αὐτοὺς καὶ ἐκ θαλάσσης κρεωδοτήσαντα ὀρτυγομήτραν, τὸν ἐν τῷ ὄρει νομοθετήσαντα αὐτοῖς, οὗ τῆς θείας καὶ βροντοφόρου φωνῆς ἠξιώθησαν ἀκοῦσαι· τοῦτον ἀπηρνήσαντο εἰπόντες τῷ Ἀαρών· «Ποίησον ἡμῖν θεούς, οἳ

---

1. β. παρὰ κῷ Const. β. κῷ Ced. Prov. XXI. 27. — * πάλιν Aï Const. Hos. IX. 4. — 2. αὐτ. cod. Slav.? — καὶ om. Const. — 3. αὐτὰ μιανθ. Hos. — om. Const. quae hunc locum inter Amos V. 23 et Psalm. I. 9. ponunt. Slav.?—ὁ θ. Σ. λέγει Const. Slav.?—4. Ἀκ. ἀγαθὴ Ced. Ἀκ. ὑ. θ. ἀγαθήν 1. Sam. XV. 22. — θυσίαν Const. Slav.? et Ced. bis. — καὶ ἡ ἐπακρόασις 1 Sam. — 5. εἰσακ. Const. Ced. — Εἰ θελητὸν τῷ κῷ — θ. ὡς τὸ ἀκοῦσαι φωνῆς κῦ. 1 Sam. — 6. Εἰ οὖν Const. Slav.? — θυσίαν Ced. Slav.? θυσί cod. — 7. ἐπιζητεῖ cod. — 8. ἐπ. ταύτας φαμὲν τὰς Const. Slav.? — πάλαι Ced. — 11. Ced. 418,17 — 419,16. — 14. Ex. XXXII. 9. — 17. περὶ χ. Ced. — ** τὴν Ced. — 19. π. τὴν πικρὰν Ced. — 22. ὅπου Ced. Slav.? — 23. αὐτοῖς Ced. Slav.? — 25. βροντοφώνου Ced. — 26. Ex. XXXII. 1.

προπορεύσονται ἡμῶν», καὶ ἐμοσχοποίησαν χωνευτὸν καὶ ἔθυσαν τῷ εἰδώλῳ· κἀντεῦθεν οὖν (87ª) ὀργισθεὶς ὁ μακρόθυμος Κύριος, ἅτε δὴ ἀχαριστηθεὶς ὑπ' αὐτῶν, ἔδησεν αὐτοὺς δεσμοῖς ἀλύτοις, στιβάσι φορτισμοῦ καὶ σκληρότητι κλοιοῦ· καὶ οὐκέτι εἶπεν· «Ἐὰν (δὲ) ποιήσῃς», ὡς πρὸ τῆς μοσχοποιΐας *, ἀλλά· «ποίησον θυσιαστήριον καὶ θῦε διηνεκῶς· ἐπιλήσμων γὰρ ὑπάρχεις καὶ ἀχάριστος, ἵνα συνεχῶς ὑπομιμνήσκῃ μου».

(38) Ἐπεὶ οὖν τῇ ἐξουσίᾳ κακῶς ὑπεχρήσαντο οἱ τάλανες καὶ ἀγνώμονες, ἀνάγκην ἐπέθηκε λοιπὸν θύειν καὶ βρωμάτων ἀπέχεσθαι τινῶν, καὶ ζῴων διαφορὰς, καθαρῶν καὶ ἀκαθάρτων, διέστειλε, καίτοι παντὸς ζῴου καθαροῦ τυγχάνοντες· πάντα γὰρ ὅσα ἐποίησεν ὁ θεὸς καθαρὰ λίαν. Καὶ δὴ ** ἀφορισμοὺς προσέταξε καὶ καθαρμοὺς καὶ ῥαντισμοὺς καὶ ἁγνείας καὶ ἀργίας διαφόρους, ὧν παρακούοντι τιμωρίαν ὡρίσατο, ἵνα πιεζόμενοι ὑπὸ τοῦ κλοιοῦ καὶ ἀγχόμενοι, τῆς πολυθέου πλάνης ἐκστήσωνται. Οὐκοῦν διὰ τὴν σκληροκαρδίαν αὐτῶν ἐπέδησεν αὐτοὺς, ὅπως διὰ τοῦ θύειν καὶ ἀργεῖν καὶ ἁγνίζεσθαι [καὶ] τὰ τοιάδε παρατηρεῖσθαι, εἰς ἔννοιαν ἔρχωνται θεοῦ τοῦ ταῦτα διαταξαμένου αὐτοῖς καὶ νομοθετήσαντος, οἵγε μοχθηρίᾳ τρόπου καὶ γνώμης ἀγνώμονος οὐ διελίμπανον ἄνωθεν καὶ ἐξ ἀρχῆς μέχρι τέλους ἐπιλαθόμενοι τοῦ θεοῦ, καὶ παρατρεπόμενοι προσεκύνουν ἀντὶ τοῦ κτίστου τὴν κτίσιν, καὶ ποτὲ μὲν, ὡς εἴρηται, μοσχοποιήσαντες, ποτὲ δὲ τῷ Βεελφεγὼρ προσκυνήσαντες, ἄλλοτε δὲ τὸν Βαὰλ καὶ τὸν Θαμοὺζ καὶ τὴν Σιδωνίαν Ἀστάρτην καὶ τὸν Μολὸχ καὶ τὸν Χαμὼς, ποτὲ μὲν τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας, ἃ ὁ θεὸς εἰς φαῦσιν ἀνθρώπων πεποίηκεν καὶ οὐκ εἰς προσκύνησιν, ποτὲ δὲ καὶ τὰ ἄλογα ζῷα *** ὡς παρ' Αἰγυπτίοις τὸν Ἆπιν βοῦν καὶ τὸν Μενδήσιον τράγον καὶ

---

1. ἐμοσχοποίη. cod., καὶ ἐποίησεν αὐτὰ μόσχον Ex. — 2. μ. θς Ced. Slav.? — 4. στυβῶσι cod. Slav.? — * εἴρηκεν Ced. — 8. Ced. 419,16—420,21. — ἐχρ. Ced. — 12. καλὰ Ced. Slav. — ** καὶ Ced. — 13. καθαρμ. cod. καθαρισμοὺς καὶ βαπτισμοὺς καὶ δεκατισμοὺς καὶ ἁγ. Ced. Slav.? — 14. παρακούοντες cod. — 15. π. καὶ ὑπὸ τοῦ κ. ἁ. Ced. Slav.? — 20. ἐπιλανθανόμενοι Ced. — 23. τῷ etc. Ced. sed. cf. τὰ ἄλογα ζῷα propter ἐτίμων quod in codice deest. — 25. τῷ Χαμὼς καὶ τῇ Σιδωνίᾳ Ἀστάρτῃ καὶ τῷ Μολχὼμ καὶ ποτὲ τῷ ἡλίῳ καὶ τῇ σελήνῃ καὶ τοῖς ἄστροις Ced. — ἀνοΐς ἐποίησε Ced. Slav.? — *** ἐτίμων Ced.

θεοὺς ἀργυροῦς καὶ χρυσοῦς * ἐν τῇ Ἰουδαίᾳ. Ταύτῃ τοι προδήλως ἀπειλῶν αὐτοῖς ὁ θεὸς ἔλεγε διὰ τοῦ προφήτου· «Μὴ μικρὸν τοῦτο τῷ οἴκῳ Ἰούδα, ποιεῖν τὰ βδελλύγματα ταῦτα, ἃ ἐποίησαν»; «ὅτι ἐνέπλησαν τὴν γῆν ἀνομίας τοῦ παροργίσαι με». Διὸ τοίνυν εἰκότως ἐξωλοθρεύθησαν ὡς τὸν θεὸν παροργίσαντες καὶ τὴν ἁγίαν γῆν ἐκείνην καταμιάναντες ἀπ' ἀρχῆς ἕως τῆς ἐσχάτης καὶ τελευταίας ἁλώσεως ταύτης τῆς ἐπὶ Οὐεσπασιανοῦ καὶ Τίτου.

(39) Καὶ γὰρ διαφόρων ταύτην ἑλόντων **, φησὶν Θεοδώρητος, πάλιν εἰς τὸ ἀρχαῖον ὁ θεὸς ἀπεκατέστησε ἀξιώμα *** καὶ σχῆμα· ἀλλὰ νῦν οὐκέτι. Πρῶτος μὲν γὰρ Θειγλαφαλάσαρ δωρυάλωτον ἔλαβε τῶν ι' φυλῶν τὸ πλεῖστον. Δεύτερος δὲ Σαλμανασὰρ (καὶ) τὴν Σαμαρείαν καὶ τὰς περὶ αὐτὴν ἑξηνδραπόδισε πόλεις. Τρίτος δὲ ὁ Σεναχηρεὶμ τὰς μὲν ἄλλας τῆς Ἰουδαίας ἐπολιόρκησε πόλεις καὶ πολλοὺς μετῴκισιν αἰχμαλώτους, ἐπιστρατεύσας δὲ τοῖς Ἱεροσολύμοις ἀλαζονικῶς τε καὶ δυσσεβῶς, ἐκομίσατο δικαίως τῆς βλασφημίας τὰ ἐπίχειρα, θεηλάτου πληγῆς τὴν στρατιὰν ἀπολεσάσης· καὶ μετ' αἰσχύνης ἀναξεύξας ὑπὸ τῶν ἰδίων τέκνων ἀναιρεῖται. Μετὰ δὲ τοῦτον Ναβουχοδονόσορ ἐν τῷ γ' ἔτει τῆς βασιλείας Ἰωακεὶμ **** υἱοῦ Ἰωσίου μετὰ δυνάμεως εἰς τὴν Ἰουδαίαν ἀφικόμενος καὶ πολλὰ τάλαντα χρυσίου καὶ ἀργυρίου λαβὼν καὶ ἐκ τοῦ βασιλικοῦ γένους αἰχμαλώτους πολλοὺς καὶ μέρος ἐκ τῶν ἱερῶν σκευῶν, ὑπέστρεψε δασμὸν ***** ἐπιθεὶς (τῷ λαῷ)· καὶ μετ' ὀλίγον χρόνον ὁ μὲν Ἰωακεὶμ τὸν φόρον ἠθέτησεν (87[b]), ὁ δὲ Ναβουχοδονόσορ τῷ ι' ἔτει τῆς αὐτοῦ βασιλείας, ὀγδόῳ δὲ τῆς οἰκείας ἡγεμονίας, πάλιν ἐπιστρατεύει τοῖς Ἱεροσολύμοις καὶ τὸν μὲν Ἰωακεὶμ ἀνελὼν καὶ ἀπὸ τοῦ τείχους ῥιφῆναι κελεύσας, ἄταφον ἐπὶ πολὺν κατέλιπε χρόνον περὶ οὗ φησὶν Ἱερεμίας· «Τάδε λέγει Κύριος ἐπὶ Ἰωα-

---

* ὡς Ced. — 2. Ios. XXII. 17? — 4. Ies. II. 8? — ἐπλ. Ced. — 5. παροργίζοντες Ced. — 6. καταμιαίνοντες Ced. — 7. ταύτης ἁλ. ἐπὶ Ced. — 8. Ced. 420, 21—422,22. — διάφοροι — ἕλοντες codex. — ** καὶ καθελόντων Ced. — 9. ἀ. ἀποκατέστησαν Ced. — *** τε Ced. — 10. Θελαφαλάσαρ Ced. — 16. θεηλάτῳ πληγῇ — ἀπολέσας Ced. — **** τοῦ Ced. — 20. ἀργύρου Ced. — ***** φόρους, τέλος Scholion, ceteris ejusdem Scholii verbis erasis. — 24. ια' Ced. — τούτου Ced. — 25. ἐκστρ. Ced. — 27. ἐπί τινα χ. κ. Ced. — οὗ καὶ Ἱ. φ. Ced. Ier. XXII. 18,19.

κειμ., υἱὸν Ἰωσίου βασιλέως Ἰούδα *· οὐ μὴ κόψονται αὐτὸν, ὦ ἀδελφὲ, οὐδὲ μὴ κλαύσονται αὐτόν· οἴμοι Κύριε **, οἴμοι ἀδελφέ· ἀλλὰ ταφον οὐ ταφήσεται καὶ συμψηφισθεὶς ριφήσεται ἐπέκεινα τῆς πύλης Ἱερουσαλήμ». Τοὺς δὲ ἐν τέλει πάντας αἰχμαλώτους λαβὼν καὶ τοῖς ὑπολειφθεῖσι χειροτονήσας βασιλέα Ἰεχωνίαν, υἱὸν Ἐλιακειμ., ἀπῆρεν εἰς Βαβυλῶνα. Εἶτα καὶ τοῦτον μαθὼν στασιάσαντα, μετὰ μῆνας γ' πάλιν ἐπέρχεται, καὶ τοῦτον πεδήσας μετὰ πολλῶν νεωτέρων δωρυάλωτον ἀπάγει, καταστήσας ἀντ' αὐτοῦ βασιλεύειν τῶν ὑπολοίπων Σεδεκίαν πατράδελφον αὐτοῦ, ὅρκοις κατὰ *** θεοῦ περὶ τοῦ μὴ ἀναστῆναι καταδεσμήσας. Ἀλλὰ καὶ τούτου παραβάντος τοὺς ὅρκους καὶ μήτε τὸν δασμὸν ἀποδοῦναι θελήσαντος μήτε μὴν εὐνοιαν φυλάξαντος, ἀλλ' Αἰγυπτίοις προφυγόντος, αὖθις παρεγένετο· καὶ τὸν **** Σεδεκίαν χειρωσάμενος ἐκτυφλοῖ καὶ τὴν πόλιν αὐτανδρον εἰληφὼς, τά τε θεμέλια καὶ τὸν θεῖον ναὸν καὶ πᾶσαν ἐμπρήσας οἰκίαν, αἰχμαλώτους ἀπήγαγε τοὺς διασωθέντας ἔκ (τε) τοῦ λιμοῦ καὶ τοῦ πολέμου καὶ τὰ διαφέροντα σκεύη τοῦ ναοῦ Κυρίου. Τὸ πλῆθος τοίνυν τῶν συμφορῶν αὐτῶν καὶ Ἰωὴλ διηγούμενος πρώτην μὲν ἐπελεύσεσθαι κάμπην λέγει, τὰ δὲ ὑπ' αὐτῆς μὴ διαφθαρέντα ὑπὸ ἀκρίδος ἀναλωθήσεσθαι, ὅσα δὲ ταύτην διαφεύξεται, δαπανήσειν τὸν βροῦχον, ἐσχάτην δὲ τὴν ἐρυσίβην ἐπαχθεῖσαν μηδὲν παντελῶς καταλείψειν ἀλώβητον. «Φησὶ γάρ· Τὰ κατάλοιπα τῆς ἀκρίδος καταφάγεται ὁ βροῦχος, καὶ τὰ κατάλοιπα τοῦ βρούχου καταφάγεται ἡ ἐρυσίβη». Ταῦτα γὰρ τροπικῶς εἰς (τε) τὸν Ἀσσύριον καὶ Βαβυλώνιον ἐκληπτέον· κάμπην μὲν τὸν Θειγλαφαλάσαρ ὀνομάζων, ἀκρίδα δὲ τὸν Σαλμανασὰρ, βροῦχον δὲ τὸν Σεναχηρὶμ, ἐρυσίβην δὲ τὸν Ναβουχοδονόσορ τελευταῖον ἐπιστρατεύσαντα καὶ τὴν Ἰουδαίαν ἄρδην δηώσαντα καὶ τοὺς τὸν θάνατον διαφυγόντας αἰχμαλωτεύσαντα, καθὼς εἴρηται».

---

* οὐαὶ ἐπὶ τὸν ἄνδρα τοῦτον Ced. καὶ ἐπὶ τὸν ἀ. τ. Ier. — 2. οὐδ' οὐ μὴ Ced. — ** καὶ Ced. — ἀδ. om. Ier. — 3. ταφὴν ὄνου Ier. Ced. — 7. ἐρχ. Ced. Slav.? — 8. πολλοὺς νεωτέρους codex. Slav.? — ἄγει Ced. — *** τοῦ Ced. — 10. ἀποστ. Ced. Slav.? — **** μὲν Ced. — 13. χ. καὶ ἐκτυφλώσας καὶ Ced. — 14. βασίλεια Ced. — 18. Ioel. I. 4. — πρῶτον Ced. — 19. ἀναλωθέντα Ced. — 20. ἔσχατον Ced. — 22. Theodoretus, quaest. in Ioel. — 23. β. καὶ ἑξῆς. T. Ced. — 25. ὀνομάζοντας Ced.

(40) Πλειστάκις μὲν οὖν * συμβέβηκεν ἁλῶναι τὴν Ἰουδαίαν, ὡς φησι πάλιν ὁ μέγας Κύριλλος, ὑπό τε Ἀσσυρίων καὶ Αἰγυπτίων, Σύρων τε καὶ Μωαβιτῶν, Ἰδουμαίων (δὲ) καὶ τῶν λεγομένων Φυλιστείμ», τούτεστι Παλαιστινῶν· ἀλλ' ὀλίγα παθοῦσαν καὶ συμμέτροις ἔσθ' ὅτε περιπεσοῦσαν συμφοραῖς, πάλιν ἀνῆκεν, ἐπαμύναντος θεοῦ τοῦ καὶ παιδεύσαντος. Ἀπόλωλε δὲ νῦν ὁλοσχερῶς μετὰ τὴν τοῦ Κυρίου σταύρωσιν. (41) Ὥσπερ τοίνυν ἡ μὲν τῶν Ἀσσυρίων βασιλεία κατελύθη ὑπὸ Περσῶν, ἡ δὲ τῶν Περσῶν ὑπὸ Μακεδόνων, ἡ δὲ Μακεδόνων ὑπὸ Ῥωμαίων, οὕτως ἡ ** Ῥωμαίων ὑπὸ *** Ἀντιχρίστου καταλυθήσεται καὶ ἡ τοῦ Ἀντιχρίστου ὑπὸ Χριστοῦ διαφθαρήσεται· διὰ μὲν οὖν τῶν δ' ἀνέμων τὰς μεγάλας δ' βασιλείας ὁ μέγας διδάσκει Ζαχαρίας, τῶν Χαλδαίων καὶ τὴν Περσῶν καὶ τὴν Μακεδόνων καὶ τὴν Ῥωμαίων, τὰ δὲ δύο ὄρη τὰ β' κλίματα τῆς οἰκουμένης (88ª) φησίν· εἰς δύο γὰρ τέμνεται, εἰς Ἀσίαν τε καὶ Εὐρώπην· καὶ οἱ μὲν πυρροὶ ἵπποι τὸ μιαιφόνον τῶν Χαλδαίων δηλοῦσι, οἱ δὲ μέλανες τὸν ἐπενεχθέντα παρὰ Περσῶν καὶ Μήδων τοῖς Βαβυλωνίοις θάνατον, οἱ δὲ λευκοὶ τὸ σαφὲς τῆς δόξης τῶν Μακεδόνων. Οὐ γὰρ ὥσπερ αἱ ἄλλαι βασιλεῖαι, καὶ αὕτη· οἱ δὲ ψαροὶ καὶ ποικίλοι τὸ ἰσχυρὸν καὶ εὔτονον τῆς Ῥωμαίων βασιλείας δηλοῦσιν. Ἐπειδὴ δὲ κατεστρατεύοντο Πέρσαι καὶ Μῆδοι κατὰ Βαβυλωνίων, τούτου χάριν πορευόμενοι καὶ διαναπαῦσαι λέγονται τὸν θυμὸν Κυρίου· ἐπεὶ **** γὰρ σκληροὶ γεγόνασι κατὰ τοῦ λαοῦ τοῦ θεοῦ, διὰ τοῦτο παρεδόθησαν εἰς χεῖρας Κύρου τοῦ Πέρσου. Τὸ δὲ καὶ τοὺς λευκοὺς ἵππους, τουτέστι τοὺς Μακεδόνας «κατόπισθεν τῶν μελάνων πορεύεσθαι» σημαίνει, ὡς καὶ οἱ Μακεδόνες τὴν Περσῶν βασιλείαν χειρώσονται· τὸ δὲ τοὺς ψαροὺς ἐπὶ νότον ἔρχεσθαι, δῆλοι ὡς ἔμελλον οἱ Ῥωμαῖοι στρατεύειν κατὰ τῆς Ἱερουσαλήμ· ἐν γὰρ τῷ νότῳ ἡ πόλις κεῖται, τὸ δὲ προσταχθέν-

---

1. Ced. 422,22 — 428,5. — * πάλιν Ced. — 2. Cyrill. Al. in Ies. II. 2. C. 13. — 3. Ἰουδαίων codex. — 5. συμμετρίοις cod. — 7. Ced. 423,6—424,6. — ** τῶν Ced. — *** τοῦ Ced. — 12. Zach. VI. 5. — τὴν X. Ced. — 13. Zach. I. 10, VI. 1. — 15. εἴς τε Ἀ. Ced. — Zach. I. 8. — 16. σημαίνουσι Ced. — 18. αὗται Ced. — 20. M. καὶ Π. Ced. — 21. καὶ δὴ καὶ ἀναπ. Ced. — 22. λέγοντες cod. — **** δὴ Ced. — 25. Zach. VI. 6. — 28. κ. ἡ π. Ced.

τας αὐτοὺς «περιοδεῦσαι τὴν γῆν»· διδάσκει πάλιν ὡς διὰ τοῦ θεοῦ πᾶσα βασιλεία συνίσταται.

CXXIX. ΠΕΡΙ ΑΡΙΘΜΩΝ ΧΡΟΝΩΝ ΑΠΟ ΑΔΑΜ ΜΕΧΡΙ ΑΛΕΞΑΝΔΡΟΥ ΚΑΙ ΤΩΝ ΚΑΘΕΞΗΣ ΒΑΣΙΛΕΥΣΑΝΤΩΝ.

Γίνονται οὖν ἀπὸ (μὲν) τοῦ Ἀδὰμ ἕως τῆς ἐσχάτης ἁλώσεως Ἱερουσαλὴμ ἔτη ϛφοε', ἀπὸ δὲ τῆς α' οἰκοδομῆς τοῦ σολομοντίου ναοῦ καὶ τῆς πόλεως ἔτη αφη', ἀπὸ δὲ τῆς β' οἰκοδομῆς ἔτη φϙβ', ἀπὸ δὲ τῆς κατὰ Ἀντιόχου πολιορκίας σμη', ἀπὸ δὲ τῆς ἀναλήψεως τοῦ Χριστοῦ μβ'.

(2) Ὁ τοίνυν πολυμαθὴς * Εὐσέβιος ἐν τοῖς χρονικοῖς κανόσι περὶ τῶν Ἀντιόχων καὶ Σελεύκων καὶ Πτολεμαίων καὶ τῶν μετὰ τὴν ἐκ ** Βαβυλῶνος ἐπάνοδον καθηγησαμένων ἀρχιερέων διεξιὼν ἐν ἐπιτομῇ τοιάδε φησίν· «Ὁ οὖν Ἀλέξανδρος ὁ τῶν Μακεδόνων βασιλεὺς, ἕκτον ἄγων ἔτος τῆς βασιλείας, Δαρεῖον τὸν Ἀρσάμου χειρωσάμενος, καθεῖλε τὴν Περσῶν βασιλείαν διαρκέσασαν ἀπὸ Κύρου μέχρι Δαρείου ἔτη σνβ'. Τῆς δὲ τῶν Μακεδόνων βασιλείας κατασχούσης ἀπὸ Κρανοῦ ἕως Ἀλεξάνδρου ἔτη φιη' καὶ τούτου τελευτήσαντος ἐν Βαβυλῶνι, διαδέχεται τὴν ἀρχὴν τῆς *** Μακεδονίας Φίλιππος, τῆς δὲ Ἀσίας Ἀντίγονος, τῆς δὲ Αἰγύπτου Πτολεμαῖος ὁ Λάγου, τῆς δὲ Συρίας Σέλευκος» ****. (3) Καὶ οἱ μὲν τῆς Συρίας βασιλεύσαντες μετὰ Ἀλέξανδρόν εἰσιν οὗτοι· Σέλευκος ὁ Νικάνωρ, Ἀντίοχος ὁ ἐπικληθεὶς σωτὴρ, Ἀντίοχος ὁ νόθος, Σέλευκος ὁ καλλίνικος, Σέλευκος ὁ κεραυνὸς, Ἀντίοχος ὁ μέγας, Σέλευκος ὁ φιλοπάτωρ, Ἀντίοχος, ὃς Ὀνίαν τὸν ἀρχιερέα τῶν Ἰου-

---

1. Zach. VI. 7. — 3. Rubrica in cod. evanuit. Ced. 424,7 — 12. — 5. εσξβ' Ced. εσο' Eus. Slav.? — 8. αργ' Eus. Slav.? — φϙ' Eus. Slav.? — 9. σλη' Eus. Slav.? — 10. Ced. 338,17 — 339,5. — * καὶ πολυΐστωρ Ced. — ** τῆς Ced. — 13. γοῦν Ced. Slav.? — 14. ϛ' ἐ. ἀ. Ced. ζ'. ἀ. ἐ. Eus. II. 33. Slav.? — 15. δυναστείαν Ced. Slav.? — 16. σιη' Eus. I. 103, σλε' II. 33, σλ' Ced. Slav.? — 17. Καράνου Eus. I. 324. — υνγ' Eus. Slav.? — *** μὲν Ced. — **** ὁ Νικάνωρ κτλ. Ced. — 20. Περὶ τῶν βασιλέων Συρίας. Eus. I. 344,357, Ced. 339,9 — 24. — 22. Ἀ. ὁ ϑς Eus. — 23. Ἀλέξανδρος cod. Slav.? — Ἀντίοχος ὁ ἐπιφανὴς cod. Slav.? — 24. Σ. ὁ καὶ Ἀλέξανδρος? Slav.? — καλλ. Ἀλέξανδρος Ἀντ. Σελ. ὁ φιλοπ. Ἀντ. ὁ ἐπιφανὴς ὃς Ced. Slav.?

δαίων παύσας τῆς ἱερωσύνης ὡρμήϑη μεταστῆσαι τὸ πᾶν ἔϑνος τῆς πατρῴας ϑρησκείας, καὶ τὸ μὲν ἱερὸν μιάνας, Ὀλυμπίου * ναὸν προσηγόρευσε, τῷ δὲ ἔϑνει κολάσεις ἀνηκέστους ἐπαγαγών, ἑλληνίζειν ἠνάγκαζεν, ἐφ' οὗ καὶ οἱ Μακκαβαῖοι ἐμαρτύρησαν· τὸ δὲ ἱερὸν ἔτεσι τρισὶ μολυνϑὲν Ἰοῦδας ὁ ἐπικληϑεὶς Μακκαβαῖος, καϑάρας τῶν ἀσεβειῶν τὴν χώραν, ἀνενεώσατο. Εἶτα ἐβασίλευσεν Ἀντίοχος ὁ εὐπάτωρ, Δημήτριος Σέλευκος, Ἀλέξανδρος ὁ τοῦ Βαλᾶ, Δημήτριος ὁ Νικάνωρ, Ἀντίοχος ** Τρύφων, Πτολεμαῖος, Ἀντίοχος ὁ Σιδήτης ***, Ἀντίοχος ὁ γρυπὸς, Ἀντίοχος ὁ Κυζικηνός, Σέλευκος ὁ τοῦ γρυποῦ, ἐφ' οὗ Ἀντίοχεια ὑπὸ Ῥωμαίων ἥλω καὶ ἡ Συρίας ἀρχὴ κατελύϑη διαρκέσασα ἔτη σν'. (4) Οἱ δὲ τῆς Αἰγύπτου βασιλεύσαντες μετὰ Ἀλέξανδρόν εἰσιν οἵδε· Πτολεμαῖος ὁ Λάγου, ἐφ' οὗ Μένανδρος ὁ κωμῳδοποιὸς ἐγνωρίζετο καὶ Θεόφραστος ὁ φιλόσοφος (88[b]), Πτολεμαῖος ὁ φιλάδελφος, ἐφ' οὗ οἱ Ἑβραίων σοφοὶ τὸν νόμον ἡρμήνευσαν, Πτολεμαῖος ὁ εὐεργέτης ἐφ' οὗ ὁ τὴν πανάρετον Σοφίαν συντάξας Ἑβραίοις Ἰησοῦς ὁ τοῦ Σιρὰχ ἐγνωρίζετο Πτολεμαῖος ὁ φιλοπάτωρ (ὁ υἱὸς αὐτοῦ), ἐφ' οὗ ὁ τῶν Ἑβραίων λαὸς αἰχμάλωτος ἀχϑεὶς ἐν Αἰγύπτῳ τοιοῦτόν τι πέπονϑε· Προστάξας γὰρ οὗτος τοῖς ἑαυτοῦ ὑπασπισταῖς ἐλέφαντας φ' εὐτρεπίσαι καὶ τούτους ποτίσαι οἶνον λιβανωτὸν, ἵνα μεϑυσϑέντες τοὺς Ἰουδαίους ἀποκτείνωσιν, τῶν δὲ προσευξαμένων, οἱ ἐλέφαντες εἰς τοὺς ἑαυτοῦ στρατιώτας **** καὶ δήμους ἐξορμήσαντες, πολὺν ***** ὄχλον ἐν τῇ περιεχούσῃ μανίᾳ διέφϑειραν· καὶ οὕτω παραδόξως οἱ Ἰουδαῖοι περισωϑέντες, ἀβλαβεῖς ἀπελύϑησαν εἰς τὰ ἴδια, τῷ εὐεργέτῃ ϑεῷ εὐχαριστοῦντες. Εἶτα βασιλεύει Πτολεμαῖος (ὁ ἐπιφανὴς υἱὸς αὐτοῦ, Πτολεμαῖος ὁ φιλομήτωρ, υἱὸς αὐτοῦ, Πτολεμαῖος ὁ β' εὐεργέτης, ἀδελφὸς αὐτοῦ ******, Πτολεμαῖος ὁ Φύσκων, Πτολεμαῖος ὁ (καὶ) Ἀλέξανδρος, Πτολεμαῖος ὁ ἀδελφὸς αὐτοῦ, Πτολε-

* Διὸς Ced. — 3. ἐπάγων Ced. — 7. Δ. Σελεύκου? σωτὴρ Eus. Slav.? — Βαλῆ Ced. — Δ. ὁ Δημητρίου Eus. I. 353, οὗλος Eus. II. 35 Slav.? — ** ὁ Ced. — Ἀ. Ἀντιόχου Eus. I. 358, Slav.? — *** Δημήτριος Ced. Δ. αὖϑις Eus. I. 358, οὗλος II. 35.— 10. Φίλιππος Eus. I. 358, II. 35. — 11. Περὶ τῶν βασιλέων Αἰγύπτου. Ced. 340,1— 19. Rubrica in codice evanuit. — 16. ἡρ. καὶ ὁ cod. Slav.? — 19. προσέταξε Ced.— 21. μεϑύσαι οἴνῳ λιβανωτῷ ἵνα ἀπ. τ. Ἰ. τῶν Ἰ. δὲ εὐξ. Ced. Slav.?— **** τε Ced.— ***** αὐτῶν Ced. — ****** Π. ὁ. β. ἐ. in codice repetitum sicut ὁ σωτὴρ quod sequitur. — 27. ὁ ἐπικληϑεὶς σωτὴρ Πτ. Πτ. Ced. sed. cf. Eus. I. 251.

μαῖος ὁ Διονύσιος, Κλεοπάτρα, ἡ ϑυγάτηρ αὐτοῦ, ἣν Αὔγουστος ἀνελὼν ἐν ἔτει ιδ΄ ἑαυτοῦ βασιλείας, ἐκράτησε τῆς Αἰγύπτου, καϑελὼν τὴν βασιλείαν τῶν Πτολεμαίων, διαρκέσασαν ἔτη σϛ΄.

(5) Οἱ δὲ μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον καϑηγησάμενοι ἀρχιερεῖς εἰσὶν οὗτοι· Ἰησοῦς (ὁ υἱὸς) Ἰωσεδὲκ ἅμα Ζοροβάβελ, Ἰάκιμος υἱὸς Ἰησοῦ, Ἐλιάσιμος Ἰακίμου, Ἰωδαὲ Ἰασίμου, Ἰωάννης ὁ τοῦ Ἰωδαὲ, Ἰαδδοῦς ἐφ᾽ οὗ Ἀλέξανδρος εἰς Ἱερουσαλὴμ τῷ ϑεῷ προσεκύνησε * (καὶ τὴν Ἀλεξάνδρειαν ἔκτισε), Ἰωνίας Ἰαδδοῦ, Ἐλεάζαρος, Ἰωνίας, Σίμων, Ἰωναὰς Σίμων, Ἰαννῆς ὁ καὶ Ὑρκανὸς, Ἀριστόβουλος, ὅς ** πρῶτος ἐπέϑετο διάδημα βασιλικὸν πρὸς τῇ ἀρχιερωσύνῃ, Ἰανναῖος ὁ καὶ Ἀλέξανδρος, βασιλεὺς ἅμα καὶ ἀρχιερεὺς· μέχρι τούτου οἱ ἀπὸ Κύρου χριστοὶ ἡγούμενοι, διαρκέσαντες ἔτη υπγ΄, ἃ εἰσιν ἑβδομάδες ἐτῶν ξϑ΄, καϑὼς ἔφη Δανιήλ· «Καὶ γνώσῃ καὶ συνήσεις ἀπὸ ἐξόδου λόγων τοῦ ἀποκριϑῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλὴμ ἕως Χριστοῦ ἡγουμένου ἑβδομάδες ζ΄ καὶ ἑβδομάδες ξβ΄».

CXXX. ΑΡΧΗ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΤΙΤΟΥ.

Μετὰ (δὲ) Οὐεσπασιανὸν ἐβασίλευσε Τῖτος, υἱὸς αὐτοῦ, ἔτη γ΄. 79
(2) Καὶ ὥρᾳ ϑερινῇ πανήμερον ὁδοιπορήσας καὶ αἱμορραγήσας (5278)
διὰ τῶν μυκτήρων, ὑπὸ (τοῦ) ἡλίου συμφλεχϑεὶς καὶ πάνυ λειποϑυμήσας, ἔτι ἐμπνέοντα αὐτὸν ἐνέβαλεν εἰς τὸν τάφον Δομετιανὸς, ὁ ἀδελφὸς αὐτοῦ, (κατ᾽ ἐπιτροπὴν τῆς γυναικὸς αὐτοῦ). (3) Ὁ οὖν ϑαυμάσιος (οὗτος) Τῖτος φιλοσοφώτατος καὶ εὐγλωττότατός (τε) καὶ πολεμικώτατος (ἅμα) καὶ μέτριος ἄγαν ὑπάρχων καὶ ἀγαϑουργίᾳ πολλῇ καὶ σωφροσύνῃ καὶ δικαιοσύνῃ καὶ φρονήσει κοσ-

---

1. ἡ τούτου ϑ. Ced. — ἐν τῷ ιδ΄ ἔτει Ced. — 3. ἐν ἔτεσι Ced. — 4. Περὶ τῶν ἀρχιέρεων Ἱερουσαλὴν. Ced. 340,20—341,1;342,3—11. — 6. Ἰάκωβος Ced. — Ἰλιασ. Ced. Slav.? — Ἰωσήβου Ced. — 7. ἐν Ced. — * καταπλαγεὶς γὰρ κτλ. I. XVIII. 6. 8. Ἰαδοῦν Ced. — ** καὶ Ced. — 11. Ἰανέας Ced. — 13. ἔφη καὶ Δ. τό· Καὶ Ced. Dan. IX. 25. — 18. Ced. 380,22. — Τ. ὁ υς ἀ. ἐβ. Ced. — 19. Ced. 380,22—361,2. — ϑέρους Ced. — 20. ἡ. τε φλ. Ced. — 21. ἐμπέοντος αὐτοῦ Ced. — 22. ἐν. ὁ ἀϑ. ἀ. Δ. εἰς λάρνακα ξυλίνην χίονος γέμουσαν ὡς ϑῆϑεν ϑεραπεύσων καὶ ἀπέκτεινε Ced. — Ced. 381,2—14. — 23. γοῦν Ced.

μούμενος, ἐκδηλωτέραν ἅπασι πεποίηκε τὴν ἑαυτοῦ συμπάθειαν ἐν τῇ ἁλώσει τῆς Ἱερουσαλήμ· σφόδρα γὰρ ἐπένθησε τοὺς θεηλάτους Ἰουδαίους τότε, καὶ μᾶλλον τὸν θεῖον ναὸν ὁρῶν πυρπολούμενον ἐδάκρυσε καὶ τὸν θεὸν ἐδυσώπησε τυχεῖν ἐλέους καὶ συγγνώμης, ὡς οὐ κατὰ τὴν ἑαυτοῦ προαίρεσιν ταῦτα γεγόνασιν, ἀλλὰ διὰ τὴν ἐκείνων θεοστυγῆ δυστροπίαν, ὅθεν δὴ μετὰ τὴν ἅλωσιν πρὸς τοὺς ἀνακηρύττοντας αὐτὸν νικητὴν καὶ τροπαιοῦχον διωθεῖτο τὰς ἀναῤῥήσεις, ὡς οὐκ αὐτὸς εἰργασθαι τοῦτο σαφήσας, ἀλλὰ θεηλάτῳ καὶ θείᾳ ὀργῇ καθυπουργῆσαι καὶ τὰς χεῖρας ἐπιδεδωκέναι. (4) Κἀντεῦθεν τοίνυν διὰ τὴν ἀρετὴν αὐτοῦ καὶ ταπεινοφροσύνην παγγέραστος καὶ πανεπέραστος γενόμενος, οὕτως ἐτελεύτησε. (89[b]) Τοσοῦτον δὲ θρῆνος ἐν τῇ τελευτῇ αὐτοῦ κατέσχε τὴν Ῥώμην, ὡς ἐν χρόνῳ πολλῷ τοῦτον ἀπομνημονεύοντες καὶ τὰς ἀρετὰς αὐτοῦ διαλογιζόμενοι δημοσίᾳ καὶ κατ' οἴκους κατέκλαιον ὥσπερ οἰκείῳ πάθει κατεχόμενος ἕκαστος *.

(5) Ἐφ' οὗ τὸ Βέσβιον ὄρος ἐν τῇ δύσει, κατὰ κορυφῆς ῥαγέν, πῦρ ἀνέβλυσεν τοσοῦτον, ὡς καταφλέξαι τὴν παρακειμένην χώραν σὺν ταῖς πόλεσι· ὅπερ θεασάμενοι οἱ Ἕλληνες καὶ σφόδρα καταπλαγέντες ἠρώτησάν τινας [τῶν] ἐλλογίμων χριστιανῶν πῶς καὶ πόθεν ἐξῆλθε τὸ πῦρ ἐκ τῶν μυχαιτάτων τῆς γῆς. Οἱ δέ φασιν ἐκ ἑτοιμασμένης τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ καὶ πᾶσι τοῖς ἁμαρτωλοῖς καὶ ἀσεβέσιν ἀνθρώποις (ἐκ) τῆς γεέννης ἀνεδόθη πρὸς σωφρονισμὸν καὶ ἐπίγνωσιν τῶν ἁμαρτανόντων· καὶ δῆλον ἐξ ὧν ** ὁ περιβόητος ὑμῶν διδάσκαλος Πλάτων ἔφη, διεξερχόμενος ἐν τῷ Φαίδωνι περὶ τῶν λήξεων καὶ ἀποπληρώσεων τῶν ψυχῶν, ὅτι οἱ

---

3. π. ὁ. Ced. — 5. σ. δὲ οὗ οὐ Ced. — 8. εἴργασται cod. — ταῦτα φήσας Ced. — 9. καθυπούργησεν cod. — 10. Ced. 381,14 — 20. — 12. Τοσοῦτος δὲ θ. ἐπὶ Ced. — 14. ἀναλ. Ced. — κλαίειν Ced. — * Τῖτος ἀπειλαῖς ἐφόβει μόνον τοὺς ὑπευθύνους καὶ οὐ τιμωρίαις. Βασιλεύοντος οὖν αὐτοῦ οὐ παρῆλθεν ἡμέρα ἐν ᾗ δῶρόν (τι τῶν ὑπηκόων Ced.) τινὶ ἢ εὐεργεσίαν οὐ παρέσχε· βασιλεύειν γάρ ἐστιν (ἔλεγε γὰρ βασιλέως εἶναι γνώμην Ced.) τὸ εὐεργετεῖν καὶ ἀληθεύειν (καὶ ἐν ταῖς αἰτήσεσιν εὐεπίκοον εἶναι Ced. 380,14—22 omissis reliqui) ἔλεγε δὲ ὅτι τὸν βλέποντα βασιλέα οὐ δεῖ ἐξέρχεσθαι λυπούμενον. — 16. Ced. 424,13—425,2. — τῷ γ' ἔτει τῆς βασιλείας Τίτου Ced. τῷ α' Eus. II. 277. — 17. ἐξεφύσησε πῦρ τ. Ced. — 18. χ. καὶ τὰς πόλεις Ced. — 20. μυχάτων Ced. — ** καὶ Ced. — 25. 111 C—120 C.

κακῶς βεβιωκότες κολάζονται ἐν τῷ Κωκυτῷ καὶ ἐν Πυριφλεγέθοντι καὶ ἐν τῷ Ταρτάρῳ, ἅτινά εἰσιν ἐν τῷ τῆς γῆς βάθει· καὶ ταῦτα μὲν ἐκεῖνοι πρὸς τοὺς κατ' ἐκεῖνο καιροῦ διαπορουῦντας Ἕλληνας.

(6) Ὁ δὲ (γε) θεῖος Πατρίκιος, ὁ Προύσης τῆς πόλεως ἐπίσκοπος καὶ μάρτυς, πρὸς τὸν δικαστὴν ἀνθύπατον ἐρωτηθεὶς ἐπὶ δήμου καὶ λαοῦ περὶ τῶν αὐτοφυῶν (θερμῶν ὑδάτων) πόθεν ἀνάγονται, οὕτως ἀπεκρίθη· «Ὁ κτίσας θεὸς πῦρ καὶ ὕδωρ ἐξ οὐκ ὄντων οὐσιῶν*, ἐκ μὲν τοῦ πυρὸς φῶς, ἥλιον καὶ λοιποὺς φωστῆρας ἐποίησε καὶ κατεσκεύασε λόγῳ (μόνῳ καὶ) προσέταξεν αὐτοὺς ἡμέρας καὶ νύκτας διαδουχεῖν· τοσαύτη γὰρ αὐτοῦ ἡ δυναμις ὅσον καὶ τὸ θέλημα. Ἐκ δὲ τοῦ ὕδατος τὸ στερέωμα τοῦ οὐρανοῦ συμπήξας καὶ (τὴν) γῆν ἐπάνω τῶν ὑδάτων ἑδράσας ἐποίησε τὰ ἐν αὐτοῖς πάντα προγνωστικῇ ἐνεργείᾳ, ἵνα ὁ μέλλων δι' αὐτοῦ ἀναπλάττεσθαι ἄνθρωπος μηδενὸς τῶν ἀναγκαίων καὶ συμφερόντων εἰς χρῆσιν ἐπιδέηται· ἐν οἷς δύο τόπους εὐτρεπίσας πάλιν ἀϊδίους, τὸν μὲν φωτὶ καταλάμπεσθαι καὶ ἀπεράντων ἀγαθῶν ἔμπλεον κατεσκεύασε, τὸ δὲ σκότους καὶ κολαστικοῦ πυρὸς αἰωνίου πεποίηκεν, ὅπως οἱ μὲν εὐαρετήσαντες αὐτῷ καὶ πρὸς τὴν τοῦ διαβόλου μὴ κατολισθήσαντες ἀπάτην τὸν τῶν φωσφόρων ἀγαθῶν μετὰ τὴν ἀνάστασιν ἀπολαύοντες τόπον, αἰωνίως** συμβασιλεύσωσιν, οἱ δὲ παροργίσαντες αὐτὸν καὶ τῷ κοινῷ ἐχθρῷ ἐξακολουθήσαντες, σὺν αὐτῷ τὸν σκοτεινοφόρον κολαστηρίων χῶρον ἀπειληφότες (αἰωνίως καὶ) ἀτελευτήτως ἀποκλαύσωσι. Διαχωρίσας δέ (γε) τὸ πῦρ καὶ τὸ ὕδωρ ὥσπερ τὸ φῶς καὶ τὸ σκότος, κατεκερμάτισε ταῦτα κατὰ πάσης αὐτοῦ τῆς κτίσεως· καὶ ἔστιν ὕδωρ (καὶ πῦρ) ὑπεράνω τοῦ στερεώματος, ὅ ἐστιν αἰθήρ· καὶ ἔστιν ὕδωρ καὶ πῦρ ὑποκάτω τῆς γῆς· καὶ τὸ μὲν ἐπάνω τῆς γῆς ὕδωρ συναχθεὶν εἰς συναγωγὴν μίαν

---

2. β. τῆς γῆς Ced. — 8. ἐκείνῳ καιρῷ cod. — 5. Περὶ τῶν θερμῶν ὑδάτων Ced. 423,3—429,12. — 6. Π. καὶ τῆς Πρ. ἐπ. Ced. — 7. λ. καὶ δ. Ced. — 8. ἐξέρχεται Ced. — * καὶ Ced. — 10. φῶς καὶ ἡ. καὶ τοὺς λ. ἀστέρας κατασκεύασας λόγῳ πρ. Ced. — 11. αὐτοῖς ἡμέραν καὶ νύκτα Ced. — 15. παρ' ἀ. πλασθήσεσθαι Ced. — 16. ἐνδεῖται Ced. — πάλ. cod. πάλαι? — 17. ἔμπλεων Ced. — 18. κολαστηρίου Ced. — 21. ἀπολαβ. Ced. — ** αὐτῷ Ced. — 23. ἀ. καὶ τὸν τῶν σκοτεινοφόρων κτλ. ἀπ. χ. Ced. — 24. ἀπολαύσουσιν cod.

θάλασσα προσηγορεύθη· τὸ δὲ ὑποκάτω τῆς γῆς ἀπομεῖναν ἄβυσσος ἐκλήθη, ἐξ οὗ καθάπερ σίφωνές τινες ἀναπέμπονται πρὸς ζωὴν ἡμῶν αἱ πηγαὶ καὶ παντὸς ζῴου, ἀφ' οὗ καὶ τὰ θερμὰ (ὕδατα) ἀνάγονται· καὶ τὰ μὲν ποῤῥωτέρω τοῦ κάτω πυρὸς ἀπέχοντα, προνοίᾳ θεοῦ ἀναδίδονται ψυχρότερα, τὰ δὲ πλησίον τοῦ πυρὸς, ἐκεῖθεν ἐκπυρούμενα, ζέ(89ᵇ)οντα λίαν ἀναφέρονται· ὅσα δὲ οὐ * πλησιάζουσι (τῷ πυρὶ ὕδατα,) χλιαρὰ ἔν τισι τόποις ἐξάλλονται. Καὶ τὸ μὲν ὑποκάτω τῆς γῆς πῦρ κολαστήριόν ἐστι δαιμόνων καὶ ἁμαρτωλῶν ἀνθρώπων· τὸ δὲ κατώτατον ὕδωρ, ψυχρότατον ὂν καὶ εἰς βώλους κρυστάλλου πεπηγὸς, ὃ καὶ Τάρταρος λέγεται, βασανιστήριόν ἐστιν ὡσαύτως καὶ τοῦτο τῶν μὴ φυλαξάντων τὰς ἐντολὰς Κυρίου. Ὅτι δὲ πῦρ ἔστιν ὑποκάτω τῆς γῆς, πειθέτω σε τὸ ἐν Σικελίᾳ πῦρ, καὶ ἐν Λυκίᾳ προφανῶς ἀναδιδόμενον, καὶ μέντοι καὶ ἄλλοι τόποι διάφοροι ὁμοίως παραδεικνύμενοι πῦρ, εἰς τὴν φοβερὰν γέενναν προδήλως πάντας κατακαῖον ὅσοι τὰ τοῦ πυρὸς ἔργα πεπράχασιν, περὶ οὗ καὶ ὁ μέγας Μωϋσῆς ἐκ προσώπου τοῦ θεοῦ φησίν «ὅτι πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου καὶ καυθήσεται ἕως ᾅδου κατωτάτου· καταφάγεται γῆν καὶ τὰ γεννήματα αὐτῆς· φλέξει θεμέλια ὀρέων». Οὕτω δὲ καὶ Ἡσαΐας προφαίνων διαῤῥήδην τοῖς ἁμαρτωλοῖς τὴν ἑσομένην καὶ ἡτοιμασμένην αὐτοῖς διὰ τοῦ ** πυρὸς κόλασιν ἐκβοᾷ· «Τίς ἀναγγελεῖ ὑμῖν, ὅτι πῦρ καίεται καὶ τίς ἀναγγελεῖ ὑμῖν τόπον αἰώνιον»; «Πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσατε». «Καὶ ἐξελεύσονται καὶ ὄψονται τὰ κῶλα τῶν ἀνθρώπων τῶν παραβεβηκότων ἐν ἐμοί, λέγει Κύριος· ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ *** οὐ σβεσθήσεται, καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί». Καὶ δὴ καὶ ὁ θεηγόρος Χρυσόστομός φησιν· «Ὅρα παράδοξον ἕτερον αὖθις, ἐναντίας φύσεις συνιούσας, οὔτε γὰρ ἀστραπῆς τι πυρωδέστερων οὔτε ὕδατος ψυχρότερον, ἀλλ' ὅμως ἀναμίγνυται, καὶ οὐ συγχεῖται οὐδὲ κεράννυ-

---

3. καὶ π. ζ. αἱ π. Ced. — * πολὺ Ced. — 7. χ. ἀναδίδονται Ced. — 9. κατωτάτω Ced. — ψυχρότερον Ced. — 14. ἐν ἄλλοις διαφόροις τόποις ὁμ. παραδεικνύμενον πῦρ Ced. — 17. μου. καυθ. Deut. XXXII. 22, Ier. XV. 14, Ced. — 19. δ. πρ. Ced. — ** ἀσβέστου Ced. — 22. τὸν τ. τὸν Ced. Ies. XXXIII. 14. — Ies. L. 11. — 23. Ies. LXVI. 24. — *** αὐτῶν Ced. Ies. — 27. ἀ. ἑτ. Ced. — V. 386 — 387 E. ἑτ. πάλιν καὶ ἐν. — ἀ. ἑτ. Ced. — 28. ὑδάτων Chr.

ται, ἀλλὰ τοὺς οἰκείους ἕκαστον διατηρεῖ ὅρους *, τὸ πῦρ ἐν τῷ ὕδατι καὶ τὸ ὕδωρ ἐν τῷ πυρί· καὶ οὔτε τοῦτο ἐκεῖνο ἀνεξήρανεν, οὔτε ἐκεῖνο τοῦτο κατέσβεσεν, καίτοι (ἡ ἀστραπὴ τοῦ ἡλιακοῦ πυρὸς ὀξύτερον καὶ φανότερον (καὶ τομώτερον). Καὶ μαρτυροῦσιν αἱ ὄψεις αἱ ταῖς ἀκτῖσι διηνεκῶς καταλαμπόμεναι, ἐκείνης δὲ τὴν φορὰν οὐδὲ πρὸς βραχὺ δυνάμεναι ὑπομεῖναι ἢ ὑπενεγκεῖν. Καὶ ὁ μὲν ἥλιος διὰ πάσης ἡμέρας διατρέχει τὸν οὐρανόν, αὕτη δὲ ** μιᾷ καιροῦ ῥοπῇ τὴν οἰκουμένην ἅπασαν, ὡς καὶ (ὁ) Χριστὸς μαρτυρεῖ λέγων· «Ὥσπερ ἡ ἀστραπὴ ἐξ ἀνατολῶν πορεύεται καὶ φαίνεται ἕως δυσμῶν»· εἶτα φησίν· «Ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ». Αὕτη πάλιν ἑτέρα φύσις, οὐ μικρὰν ἡμῖν παρέχουσα χρείαν, ἀλλὰ τοσαύτην ὥστε εἰς τὸ πολὺ τῆς ζωῆς ἡμῶν συντελεῖν ***, κεκμηκότα ἀνακτᾶσθαι τὰ σώματα ****· τοῦτο γὰρ ἔργον ἀνέμων, ἀναῤῥιπίζειν τὸν ἀέρα, ὥστε μὴ ἀκίνητον ὄντα φθείρεσθαι, πεπαίνειν τε τοὺς καρποὺς καὶ τρέφειν τὰ σώματα. Τί ἄν τις εἴποι τὰς ἐν ναυτιλίᾳ χρείας αὐτῶν καὶ τοὺς καιρούς, καθὼς τεταγμένως ἐφίστανται καὶ παραχωροῦσιν ἀλλήλοις, χορεύοντες ἐν τῷ πελάγει καὶ τοὺς πλωτῆρας διαβιβάζοντες; [καὶ] ὁ μὲν παρέπεμψεν, ὁ δὲ διεδέξατο, καὶ ἐναντίας ὁδεύουσιν ὁδοὺς καὶ διακονοῦνται, καὶ ἡ μάχη αὐτῶν πάλιν τῷ βίῳ γίνεται χρήσιμος. Καὶ μυρία (ἕτερα) ἂν τις εἴποι τῶν (90ª) ἀνέμων ἔργα. Ἀλλ' ὅμως ταῦτα πάντα παραδραμὼν ὁ προφήτης καὶ κασαλιπὼν (τὸν ἀκροατὴν) ἀναλέγεσθαι, αὐτὸς μόνον τὴν εὐκολίαν τῆς δημιουργίας παρέστησεν· τὸ γὰρ εἰπεῖν «ἐκ θυσαυρῶν αὐτοῦ», οὐ τοῦτο δηλοῦντός ἐστιν, ὅτι θησαυροί τινές εἰσιν ἀνέμων, ἀλλὰ τὸ εὔκολον τοῦ ἐπιτάττοντος καὶ

---

1. ἀναμίγνυνται αὗται καὶ συγχέονται ὁ. κεράννυνται Chr. — ἑκάστη Chr. — * μένον γὰρ Chr. — 2. π. οὔτε Chr. — τ. ἐξ. ἐκ. Ced. — 3. κατ. τ. Ced. — 4. ὀξ. φ. τ. Chr. — 5. αὐταῖς ἀ. Chr. — 6. δ. ἐνεγκεῖν Chr. Ced. — 17. αὐτὴ Ced. — ** ἐν Ced. Chr. — 9. ἐξέρχεται ἀπὸ ἀν. Mt. XXIV. 27. ἐξ. ἐξ ἀν. Ced. π. ἐξ ἀν. Chr. — 10. δ. ὁ ἐξ. Chr. Ps. CXXXV. 7. — 11. αὐτῶν Ced. at cf. יֹצֵא רוּחַ מֵאוֹצְרוֹתָיו· — χ. οὐ μ. ἡ. π. Chr. — 12. ἡμῖν Chr. — *** καὶ Chr. — **** καὶ καταψύχειν καὶ τὸν ἀέρα κουφότερον ποιεῖν Chr. — 14. διαφθ. Ced. — 15. π. δὲ τοὺς Ced. — κ. τρ. Chr. — 16. ἀ. τοὺς Chr. — κ. οἷς Ced. καθ' οὓς Chr. — 19. ὁδεύοντες ὁ. καὶ διακονοῦντες καὶ ἡ cod. ὁδευόντων ὁ. καὶ διακονούντων, ἡ Ced. — 20. τῷ β. π. Chr. — 21. π. τ. Ced. Slav.? — 22. τῷ ἀκροατῇ Chr. — 23. αὐτὸ Ced. — 24. αὐτῶν Ced. — 25. τὴν εὐκολίαν Ced.

καὶ ἕτοιμον τῆς βουλῆς καὶ παρεσκουασμένον. Ὥσπερ γὰρ ὁ ἔχων θησαυρὸν μετὰ ἀδείας ἐξάγει πάντα καὶ, ὅτε βούλεται, πάλιν εἰσάγει, οὕτω (καὶ) ὁ τοῦ παντὸς δημιουργὸς πάντα εὐκόλως ἐποίησε καὶ [τῇ] φύσει παρέδωκε. Εἶδες πόση καὶ ἐν ἀέρι διαφορὰ, καθάπερ καὶ ἐν ὕδατι, καὶ ἐν πυρὶ πολλαὶ (αἱ) ἐναλλαγαί. Καὶ γὰρ τοῦ ὕδατος τὸ μέν ἐστι πηγαῖον, τὸ δὲ θαλάττιον, τὸ δὲ ἀέριον, τὸ δὲ ἐν νεφέλαις, τὸ δὲ ὑπερουράντιον, τὸ δὲ ὑπόγειον, ἀφ' οὗ καὶ τὰ θερμὰ ὕδατα [ἐν] διαφόροις τόποις ἀνάγονται, διὰ τοῦ ὑπογείου πυρὸς θερμανθέντα παραδόξως. Καὶ τοῦ πυρὸς τὸ μέν ἐστιν ἐν ἡλίῳ, τὸ δὲ * ἐν σελήνῃ, τὸ δὲ ἐν ἀστραπαῖς, τὸ δὲ ἐν ἀέρι, τὸ δὲ ἀπὸ ξύλων, τὸ περὶ ἡμᾶς ** τὸ λυχναῖον, τὸ δὲ ἀπὸ γῆς — καὶ γὰρ ἔστι πολλαχοῦ *** τοιοῦτο ἀπὸ γῆς ἀναδιδόμενον ὥσπερ αἱ πηγαὶ τῶν ὑδάτων — καὶ τὸ μὲν ἐν λίθοις παρατριβομένοις, τὸ δὲ ἐν κόμαις δένδρων καὶ αὐτῶν παρατριβομένων, τὸ δὲ ἐν κεραυνοῖς, (τὸ δὲ) ἐκ τοῦ ἀέρος, τὸ δὲ ἐξ ὑδάτων καὶ ὑέλων διαυγεστάτων καὶ καθαρωτάτων ἐξάλλεσθαι πέφυκεν. Καὶ ἐν ἀέρι πάλιν· ὁ μέν ἐστι παχύτερος ὁ περὶ ἡμᾶς καὶ φθοροποιὸς καὶ νοσημάτων ποικίλων γενητικὸς, [ὁ δὲ λεπτότερος] καὶ σωμάτων εὐκρασίας καὶ εὐρωστίας πρόξενος, ὁ δὲ ἀνώτερος, πυρωδέστερος· ὥσπερ καὶ τῶν ἀνέμων πολλαὶ **** διαφοραί. Ὁ μὲν γάρ ἐστι λεπτότερος, ὁ δὲ παχύτερος, (καὶ) ὁ μὲν ψυχρότερος, ὁ δὲ θερμότερος, ὁ μὲν ὑγρότερος ὁ δὲ ξηρότερος». —Ὅθεν οὖν ὁ προφήτης ἐμπεσὼν εἰς τὴν ἄβυσσον τῶν τοιούτων εὐεργετημάτων, ἐν οἷς ἡ τοῦ θεοῦ δύναμις καὶ σοφία δείκνυται, καὶ ἰδὼν τὸ ἀχανὲς πέλαγος, ἀπεπήδησε μέγα βοήσας· «Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε»· πάντα ἐν σοφίᾳ ἐποίησας καὶ ἐνέπλησας σοφίας τὰ ἄψυχα καὶ τὰ ἔμψυχα.

---

1. ἐπιστατοῦντος τὸ ἐτ. τῆς κτίσεως, τὸ π. Chr. Slav.? — 2. ἐ. ἐν θησαυρῷ Ced. ἐν θ. ἐ. Chr. — 3. β. οὕτω καὶ Chr. — 4. Ἐ. καὶ πόση Ced. — 5. π. καὶ ἐν ὑ. Ced. — π. ἐν. Ced. Chr. — 7. ὑπερ. τὸ δὲ ὑπεράνω τῶν ἀνθρώπων ἀφ' Ced. e compendio male lecto, οὐρ. τὸ δὲ ὑ. τῶν ουνων, τὸ δὲ ὑπόγειον. Καὶ ἐν τῷ πυρὶ τὸ μὲν Chr. Slav.? — * ἐστιν Chr. — 10. ἐναέριον Ced. — ** καὶ Ced. Chr. — 11. λυχναῖον Ced. — *** τὸ Ced. — **** ἰδεῖν Ced. — 13. ὑ. τὸ δὲ ἐν Ced. Chr. — 15. ἐκ τοῦ αἰθέρος Ced. κ. οὕτω δὴ καὶ ἐν ἀέρι Chr. — ὑελῶν codex, ab ὑέλη? — 16. π. Οὕτω δὲ καὶ Ced. — 16. ἡμ. ὁ δὲ λ. ὁ δὲ ἀν. Chr. ἡμ. καὶ φθ. καὶ ν. π. ἐπικινδύνων αἴτιος, ὁ δὲ λ. καὶ σωμ. ἐ. καὶ ἐ. πρ. ὁ δὲ αὐότερος καὶ Ced. — 19. π. καὶ Chr. — ***** αἰChr. — 20. γὰρ λ. Chr. — 21. π. ὁ μὲν ψ. Chr. — 22. ὁ δὲ ξ. ὁ μὲν ὑ. ο δὲ θ. Ced. Chr. — 23. τῶν ἐ. τούτων Ced. — 24. τὸ π. ἀχ. Ced. — 25. Ps. XCII. 5.

CXXXI. ΠΕΡΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΔΟΜΕΤΙΑΝΟΥ.

Μετὰ δὲ Τῖτον ἐβασίλευσε Δομετιανὸς * ἔτη ιε ** καὶ ἐσφάγη 81 (5279)
ἐν τῷ ναῷ Ῥώμης κατ' ἐπιβουλὴν τῆς ἑαυτοῦ γυναικός. Οὗτος γὰρ διάδοχος τοῦ ἰδίου ἀδελφοῦ γενόμενος, οὐ τὴν πατρικὴν *** καὶ ἀδελφικὴν ἐζήλωσεν ἀρίστην πολιτείαν, ἀλλὰ τὴν τοῦ Τιβερίου καὶ Νέρωνος ἀνοσιουργίαν ἐκ διαμέτρου. Καὶ δὴ πᾶν εἶδος κακίας ἐπελθών, μιαιφονίας τε καὶ γυναικομανίας ἅμα καὶ ἀνδρομανίας ἀναπλεως γενόμενος, ἑαυτὸν ὁ ἄθλιος τελευταῖον ἀπεθέωσεν κἀντεῦθεν (οὖν) ἔχθιστον ἅπασι καὶ ἀπόβλητον, διὰ τὸ φονικόν τε καὶ θηριῶδες τῆς μιαρᾶς γνώμης, ἑαυτὸν ὁ τάλας ἀποφήνας, εἰκότως μᾶλα τὰ ἐπίχειρα τῆς οἰκείας δυσμενείας κομισάμενος, αἰσχίστῳ μόρῳ τὸν μυσαρὸν καὶ βέβηλον κατέστρεφε βίον, ὡς εἴρηται ****.

(2) Ἐφ' οὗ Τιμόθεος ὁ ἀπόστολος καὶ Ὀνήσιμος ἐμαρτύρησαν καὶ ***** Ἰωάννης ὁ (θεολόγος καὶ) εὐαγγελιστὴς ἐν Πάτμῳ τῇ νήσῳ ****** ἐξορίζεται.

CXXXII. ΠΕΡΙ ΑΠΟΛΛΩΝΙΟΥ ΤΟΥ ΤΥΑΝΕΩΣ.

Καὶ Ἀπολλώνιος ὁ Τυανεὺς (ἐγνωρίζετο περιπολῶν καὶ πανταχοῦ ποιῶν εἰς τὰς πόλεις καὶ χώρας δαιμονικὰ ἀποτελέσματα)· ἀπὸ Ῥώμης (δὲ) ἐλθὼν πρὸς τὸ Βυζάντιον καὶ παρακληθεὶς ὑπὸ τῶν ἐντοπίων, ἐποίησε ταῦτα, φυγαδεύσας τὸ πλῆθος τῶν

---

2. Ced. 429,13—430,1. — * ὁ ἀδελφὸς αὐτοῦ Ced. — ** μῆνας τα Ced.—3. Διαδ. γὰρ γ. τοῦ ἀδ. οὐ Ced. — *** τε Ced. — 5. ἀριστοπολιτείαν Ced. — 8. ἄθεος Ced. — 12. καταστρέφει Ced. — **** Οὗτος ὁ Δομετιανὸς Νερούαν ἐκέλευσε ζῶντα βληθῆναι εἰς πῦρ, τῶν ἀστρονόμων εἰπόντων ὑπὸ κυνῶν τοῦτον ἀναλωθήσεσθαι· ὑετὸς δὲ κατενεχθεὶς πολὺς τὴν πυρὰν κατέσβεσε καὶ δεδεμένου ἔτι τὼ χεῖρε ἀφεν[θέ]τες κύνες κατέφαγον. Λάργιος δὲ ἀστρόνομος εἶπεν εἰς ὄψιν τῷ Δομετιανῷ τεθνήξεσθαι ἡμέρᾳ τῇ νῦ (τῇδε Ced.) Ὁ δὲ κελεύσας αὐτὸν φυλάττεσθαι ἐν δεσμοῖς, ὡς ἂν, τῆς ἡμέρας διελθούσης τῇ ἐπαύριον ἀναρήσειν αὐτόν· ἀλλὰ θανόντος Δομετιανοῦ ἀπελύθη ἀβλαβής (Ced. 430,16 — 431,2.) — 13. Ced. 431,10 — 13. — ***** Κλήμης ὑπὲρ χῦ ἀναιρεῖται καὶ Ced. — ****** ὡς ὑπεύθυνος Ced. — 17. Ced. 431,2 Οὗτος Ἀπολλώνιον τὸν Τυανέα ἀπέκειρε καὶ εἰς δικαστήριον ἤγαγε. 14 Ὁ δὲ Ἀπ. ἀπὸ Ῥ. Ced. — 19. εἰς τὸ B. Ced. ἐν τῷ B. Leo.

ὄφεων καὶ σκορπίων ἐκ τῆς πόλεως, ὥστε μὴ ἀδικεῖσθαι ὑπ' αὐτῶν τοὺς ἀνθρώπους, καὶ τῶν ἵππων τὴν ἀταξίαν χαλινώσας ἐν ταῖς συνελεύσεσι τῶν ἀρχόντων. (2) Ὡσαύτως (δὲ) καὶ εἰς Ἀντιόχειαν παραγενόμενος * ἐποίησε — τυραννούμενοι γὰρ οἱ Ἀντιοχεῖς ὑπὸ τῶν σκορπέων καὶ (τῶν) κωνώπων — ποιήσας χαλκοῦν σκορπίον καὶ χώσας αὐτὸν ἐν τῇ γῇ καὶ μικρὸν ἐπιστήσας ἐπάνω κίονος, προσέταξε καλάμους βαστάζειν τὸν λαὸν καὶ περιερχομένους ** κράζειν τοὺς καλάμους ἐπισείοντας· «ἀκώνωπα τῇ πόλει»· καὶ οὕτως ἐξηφανίσθησαν ἐκ τῆς πόλεως οἵτε σκορπίοι καὶ οἱ κώνωπες. Αἰτηθεὶς δὲ καὶ περὶ τῶν σεισμῶν τῶν ἐπικειμένων τῇ πόλει καὶ στενάξας ἔγραψεν ἐν διπτύχῳ ταῦτα. «Οὐαί σοι, τάλαινα πόλις, ὅτι σεισμοῖσι πολλοῖς καὶ πυρσοῖς κατενεχθείης· κλαύσεταί δέ σε καὶ ὁ παρ' αἰγιαλοῖς Ὀρόντης». (3) Περὶ οὗ μέντοι καὶ ὁ μέγας Ἀναστάσιος θεουπόλεώς φησιν· «Ἀπολλωνίου *** μέχρι νῦν ἔν τισι τόποις ἐνεργοῦσι τὰ ἀποτελέσματα ἱστάμενα, τὰ μὲν εἰς ἀποτροπὴν ζῴων τετραπόδων καὶ πετεινῶν βλάπτειν δυναμένων ἀνθρώπους, τὰ δὲ εἰς ἐποχὴν ῥευμάτων ποταμῶν ἀτάκτως φερομένων, καὶ ἄλλα εἰς ἕτερα (τινὰ) ἐπὶ φθορᾷ καὶ βλάβῃ ἀνθρώπων ὑπάρχοντα ἀποτρόπαια ἵστανται Καὶ (γοῦν) οὐ μόνον ἐν τῇ ζωῇ αὐτοῦ ταῦτα καὶ τὰ ὅμοια εἰργάσαντο οἱ δαίμονες δι' αὐτοῦ, ἀλλά γε καὶ μετὰ τὴν τελευτὴν αὐτοῦ παραμένοντες τῷ μνήματι αὐτοῦ, σημεῖά τινα ἐπετέλεσαν ἐξ ὀνόματος αὐτοῦ πρὸς ἀπάτην τῶν ἐλεεινῶν ἀνθρώπων τῶν εὐκόλως ὑποκλεπτομένων εἰς τὰ τοιαῦτα ὑπὸ τοῦ διαβόλου.

CXXXIII. ΠΕΡΙ ΤΟΥ ΜΑΝΕΘΩΝΟΣ ΜΑΓΟΥ ΚΑΙ ΤΩΝ ΜΑΓΙΚΩΝ ΑΥΤΟΥ ΕΡΓΩΝ.

Τί ἄν τις εἴποι περὶ τῶν κατὰ Νέρωνος μαγικῶν ἔργων; ὃς τοιοῦτος ἄκρος γέγονε τῇ μαγικῇ ἀπάτῃ, ὅτι ἀεὶ ἔσκωπτε προδή-

---

2. γαληνώσας cod. — 3. Ced. 431,18 — 432,5. — * δυσωπηθεὶς cod. — 4. τυραννουμένων γὰρ τῶν Ἀντιοχέων Ced. — 7. κίονα β. πρ. κ. τῷ λαῷ Ced. — ** ἐν τῇ πόλει Ced. — 10. ἐπ. αὐτῇ σεισμῶν, στ. Ced. — 12. κατενεχθήσῃ Ced.; apud Philostratum 275 de his nihil neque apud Anastasium editum. — 13. Ced. 432,5 — 16. — *** δὲ Ced. — 17. ποταμοῦ ἀ. φερομένου Ced. — 20. τ. καὶ τὰ τοιαῦτα εἰ. οἱ Ced. δ. ἑαυτοῦ cod. — 22. ἐξ ὀ. ἀ. ἐπ. Ced. — 23. τῶν ῥαδίως ὑ. Ced. — 26. Ced. 432,16 — 21. — κατὰ Μανέθωνα Ced. et Ms. synodale Slavonicum; ceteri codices Slavonici nomen omittunt, ut et Nestoris cod. Laur. — 27. ὥστε ἀεὶ.

λως τὸν Ἀπολλώντον ὡς μὴ ἀκριβῆ τὴν κατ' αὐτοὺς φιλοσοφικὴν ἐμπειρίαν ἐσχηκότα ἔδει γὰρ αὐτόν, φησὶν, ὥσπερ ἐγὼ, λόγῳ μόνῳ ποιεῖν ἅπερ ἐβούλετο, καὶ μὴ ἀποτελέσμασιν ἐπιτρέπειν τὰ παρ' αὐτοῦ πραττόμενα. (2) Ταῦτα δὲ πάντα συγχωρήσει τοῦ θεοῦ καὶ ἐνεργείᾳ (τῶν) δαιμόνων γίνονται πρὸς τὸ διὰ τῶν τοιούτων πραγμάτων δοκιμάζεσθαι τὴν ἡμετέραν ὀρθόδοξον πίστιν, εἰ ἑδραία ἐστὶ καὶ παγία προσμένουσα τῷ Κυρίῳ *, μὴ ὑποσυρομένη διὰ τοῦ ἐχθροῦ ὑπὸ τῶν φαντασιωδῶν τεράτων καὶ σατανικῶν ἔργων τῶν πραττομένων ὑπὸ τῶν δούλων καὶ ὑπηρετῶν τῆς κακίας. Οὐ μὴν δὲ ἀλλὰ καὶ τὸ ὄνομα Κυρίου προεφήτευσάν τινες, ὡς Βαλαὰμ, Σαοὺλ καὶ Καιάφας, καὶ δαιμόνια πάλιν ἐξέβαλον, ὡς Ἰούδας καὶ οἱ υἱοὶ Σκευᾶ. (3) Οὐκοῦν καὶ εἰς ἀναξίους ἡ χάρις ἐνεργεῖ πολλάκις, ἵνα ἑτέρους εὐεργετήσῃ· καὶ γὰρ Βαλαὰμ ἀμφοτέρων ἀλλότριος ἦν, βίου ἀρίστου καὶ πίστεως· ἀλλ' ὅμως ἐνήργησεν εἰς αὐτὸν ἡ χάρις διὰ τὴν ἑτέρων οἰκονομίαν. Καὶ Φαραὼ τοιοῦτος ἦν· ἀλλὰ κἀκείνῳ τὰ μέλλοντα προέδειξε. Καὶ ὁ Ναβουχοδονόσορ παρανομώτερος· ἀλλά γε καὶ τούτῳ (πάλιν) τὰ (μέλλοντα πολλῷ) ὕστερον μετὰ πολλὰς γενεὰς γενήσεσθαι, ἀπεκάλυψεν· ὅθεν δῆλον, ὅτι πολλοὶ ** τῶν ἐναντίον ἐχόντων φρόνημα, ἐπὶ τῷ προσχήματι τοῦ Χριστοῦ τεράστια (91ª) ποιοῦσιν ἑτέρᾳ τέχνῃ τινὶ πρὸς ἀπάτην ἀνθρώπων ἀπειροκάλων· οἷος ἐγένετο Σίμων ὁ μάγος καὶ Μένανδρος μετ' ἐκεῖνον καὶ ἄλλοι τοιοῦτοι, δι' οὓς εἰκότως ἔφη μὴ θαύμασιν ἀπατᾶσθαι προσήκειν, μήτε μὴν ἐπαγγελίᾳ ψιλῇ, δοκιμάζειν δὲ τῶν λεγομένων τὴν ἀλήθειαν ***.

CXXXIV. ΒΑΣΙΛΕΙΑ ΝΕΡΒΑ.

Μετὰ δὲ Δομετιανὸν ἐβασίλευσε Νερβᾶς ἔτος ἕν. Σώφρων 96
(δὲ) ὢν καὶ ἐπιεικὴς ἀνακαλεσάμενος Ἰωάννην τὸν θεολόγον (5297)

2. ὡ. ἔργῳ cod. — 4. Ced. 432,21 — 433,4. — * καὶ Ced. — 8. ὑπὸ τοῦ ἐ. διὰ Ced. — 10. τῷ ὀνόματι Ced. — 11. Β. Σαυλὸς Ced. — ἐξέβαλλον cod. — 12. Ced. 433,4—18. — 17. παρανομώτατος Ced. — 18. τούτῳ τὰ μ. π. ὑ. ἐσόμενα γενεὰς ἀπ. Ced. — ** καὶ Ced. — 23. προσήκει cod. — *** ἐκ τῶν καρπῶν γὰρ, φησὶν ὁ κς, αὐτῶν ἐπιγνώσεσθε αὐτοὺς Ced. — 26. Ced. 433,19,20. N. ἐβ. ἐ. ἓν. μῆνας δ΄, ἡμέρας 9΄ κτλ. — 434,3 οὗτος ὁ N. ἀνεκαλέσατο τὸν θ. Ἰω. ἐκ τῆς ἐξορίας καὶ ἀπ. οἰκεῖν ἐν Ἐ. μόνον τότε περιόντα τῷ β. ἐκ τῶν ιβ΄ μ. ὃς σ. κτλ.

ἐκ τῆς νήσου ἧς ἦν ἐξόριστος, ἀπέλυσεν αὐτὸν ἐν Ἐφέσῳ· μόνος περιὼν ἐν τῷ βίῳ ἐκ τῶν ιβ' μαθητῶν καὶ συγγραψάμενος τὸ κατ' αὐτὸν εὐάγγελιον, ἐν εἰρήνῃ ἀνεπαύσατο. (2) Περὶ οὗ * ὁ πολυΐστωρ Εὐσέβιος ἐν τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ φησί· «Θωμᾶς μὲν ** τὴν Παρθίαν εἰληχεν ***, Ἰωάννης δὲ τὴν Ἀσίαν, πρὸς ἣν καὶ διατρίψας ἐτελεύτησεν ἐν Ἐφέσῳ. (3) **** Πάλιν· «Ἐπὶ τούτοις ὧν καὶ Ἰωάννης ὁ εὐαγγελιστὴς ἐν Ἐφέσῳ τῆς Ἀσίας τελευτᾷ καὶ θάπτεται πρὸς τῶν αὐτόθι πιστῶν. Ὁμοίως δὲ καὶ Φίλιππος, ὁ ἐκ τῶν ζ' διακόνων, ἐν Ἱεροπόλει τελειοῦται καὶ θάπτεται μετὰ τῶν θυγατέρων αὐτοῦ. Περὶ ὧν καὶ Πολύκαρπος, ὁ τῆς ἐν Σμύρνῃ ἐκκλησίας ἐπίσκοπος, Οὐίκτορι, τῷ ἐπισκόπῳ Ῥώμης, γράφων οὕτως φάσκει· «Καὶ γὰρ ***** κατὰ τὴν Ἀσίαν μεγάλα στοιχεῖα κεκοίμηνται, ἅτινα ἀναστήσεται τῇ ἐσχάτῃ ἡμέρᾳ τῆς παρουσίας ****** Κυρίου»· — «Ἰωάννης ὁ ἐπιστήθιος Χριστοῦ, ὃς καὶ τὸ πέταλον πεφορηκὼς καὶ διδάσκαλος ἐν Ἐφέσῳ γενόμενος κεκοίμηται» — «καὶ Φίλιππος, ὁ ἐκ τῶν ζ' διακόνων, ἐν Ἱεραπόλει τελειοῦται»· οὗτός ἐστιν ὁ καὶ τὸν εὐνοῦχον βαπτίσας καὶ τὸν Σίμωνα κατηχήσας. (4) Οὐ μὴν δὲ ἀλλὰ καὶ ὁ θεῖος Ἱππόλυτος Ῥώμης περὶ τοῦ ******* κηρύγματος καὶ τῆς τελειώσεως τῶν ἀποστόλων διεξιὼν ἔφη· «Ἰωάννης (δὲ), ἀδελφὸς Ἰακώβου, κηρύσσων ἐν τῇ Ἀσίᾳ τὸν λόγον (τοῦ εὐαγγελίου) ἐξωρίσθη ἐν Πάτμῳ τῇ νήσῳ ὑπὸ Δομετιανοῦ βασιλέως Ῥώμης, κἀκεῖθεν πάλιν εἰς Ἔφεσον ἐκ τῆς ἐξορίας ἀνακληθεὶς ὑπὸ Νερβᾶ καὶ τὸ κατ' αὐτὸν εὐαγγέλιον συγγραψάμενος, ἔνθα καὶ τὴν ἀποκάλυψιν θεασάμενος, ἐτελεύτησε ********, οὗ τὸ λείψανον ζητηθὲν οὐχ εὑρέθη». (5) Ὁ δὲ τοῦ μεγάλου Γρηγορίου ἀδελ-

3. Ced. 434,6—9. — * καὶ Ced. — 4. Eus. III. 1. — Θ. δὲ Ced. — ** ὡς ἡ παράδοσις περιέχει. — *** Ἀνδρέας δὲ τὴν Σκυθίαν Eus. — 6. Ἰω. τὴν Ἀ. πρ. οὗς καὶ δ. ἐν Ἐ. τελευτᾷ — Ced. 434,9—20. — **** καὶ Ced. — τ. οὖν Ced. — 10. Πολυκράτης Eus. III. 24, Ced. — Ἐφέσῳ Ced. — 11. Ἰουκτορίνῳ cod.—12. φησί Ced.— ***** καὶ Pol.—13. τῇ ἡμ. Pol.— ****** τοῦ Pol. Ced.—14. ὁ ἐπὶ τὸ στῆθος τοῦ κῦ ἀναπεσών, ὃς ἐγεννήθη ἱερεὺς τὸ Pol.—15. π. καὶ μάρτυς καὶ δ. οὗτος ἐν Ἐ. κ. Pol. τελευτᾷ Ced. — Φίλιππον τὸν τῶν ιβ' ἀποστόλων ὃς κεκοίμηται ἐν Ἱ. Pol. — 18. Ced. 434,21—435,4. — ******* θείου Ced. — 19. Ἰω. δὲ ἐν Ἀ. ὑπὸ Δ. τοῦ β. ἐξορισθεὶς ἐν Π. τῇ ν. ἐν ᾗ καὶ τὸ εὐαγγέλιον συνεγράψατο καὶ τὴν ἀποκάλυψιν ἐθεάσατο ἐπὶ Τραϊανοῦ ἐκοιμήθη ἐν Ἐφέσῳ οὗ κτλ. Hipp. apud Combefisium, Auct. p. 831. — 21. Δ. τοῦ β. Ῥωμαίων Ced. — ******** ἐτῶν ρς' Ced. — 25. Ced. 435,4 — 435,16, ubi jam Goar conjecit ἐπὶ σεκρέτου pro ἐπὶ σενάτου.

φὸς Καισάριος ἐπὶ σεκρέτου ἐν Κωνσταντινουπόλει ἐρωτηθεὶς περὶ τούτου * ἀπεκρίνατο λέγων· «Αὐτὸς Ἰωάννης ἐν τῷ κατ' αὐτὸν εὐαγγελίῳ πρὸς τῷ τέλει διεσάφησε τοῦτο φάσκων· «Καὶ τοῦτο εἰπὼν ὁ Ἰησοῦς λέγει αὐτῷ», τουτέστι τῷ Πέτρῳ· «ἀκολούθει μοι· Ἐπιστραφεὶς δὲ ὁ Πέτρος βλέπει τὸν μαθητὴν, ὃν ἠγάπα ὁ Ἰησοῦς, ἀκολουθοῦντα — καὶ φησί· «Κύριε, οὗτος δὲ τί **»; Λέγει αὐτῷ ὁ Ἰησοῦς· «Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχωμαι, τί πρός σε;» — (ἐξῆλθεν οὖν ὁ λόγος οὗτος εἰς τοὺς ἀδελφοὺς, ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει — ἀλλ' ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχωμαι, τί πρός σε»;) Ἐπεὶ οὖν ἁλιεύοντας αὐτοὺς κατείληφε, τῷ Πέτρῳ μόνῳ προσέταξεν ἕπεσθαι αὐτῷ· ὁ δὲ καὶ τὸν Ἰωάννην συμπορεύεσθαι βουλόμενος ἔφη· «Κύριε, οὗτος δὲ τί»; ὃν θεσπίσας ὁ Ἰησοῦς προσμένειν ἐπὶ τῆς ἁλείας φησίν· «Ἐὰν θέλω αὐτὸν μένειν» ἐνταῦθα καὶ ἁλιεύειν «ἕως» ἂν ὑποστρέψας «ἔρχωμαι» πάλιν ὧδε, «τί πρός σε»; (6) Ὥστε οὖν ἄριστα διορθούμενος τὴν ἐσφαλμένην αὐτῶν ὑπόνοιαν, εἰκότως ἔφη· «Καὶ οὐκ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, ὅτι οὐκ ἀποθνήσκει». Καὶ γὰρ ἐν πολλοῖς πολλάκις διεσφάλλοντο πρὸς τὰς πεύσεις Χριστοῦ καὶ *** ἀποκρίσεις, ὡς καὶ (91[b]) ἀκούειν «ἀσυνέτους καὶ βραδεῖς τῇ καρδίᾳ», ἕως ἔλθὸν τὸν πνεῦμα τὸ ἅγιον ἐδίδαξεν αὐτοὺς καὶ «ὡδήγησεν εἰς πᾶσαν τὴν ἀλήθειαν» κατὰ τὸν λόγον τοῦ Κυρίου. Εἰ δέ τινες ἐριστικῶς (τε) καὶ προπετῶς ἀποκρουόμενοι τὰς ἱερὰς ταύτας φωνὰς καὶ μαρτυρίας ἀκαίρως δῆθεν συλλογιζόμενοι εἴπωσι πρὸς τὸ καταγγεῖλαι τὴν δευτέραν Χριστοῦ παρουσίαν· «κατελείφθη ζῶν ἐν σαρκὶ μετὰ Ἐνὼχ καὶ Ἠλίᾳ», ἀκουέτω, ὅτι περ μόνους (τοὺς δύο) διὰ τῆς ἀποκαλύψεως αὐτὸς οὕτως φησὶν, ἐκ προσώπου Κυρίου λέγων, τοὺς δύο μάρτυρας γενήσεσθαι Ἐνὼχ καὶ Ἠλίαν, τοιάδε φάσκων· «Καὶ δώσω τοῖς δυσὶ μάρτυσί μου, καὶ προφητεύσουσιν ἡμέρας ασξ', περιβεβλημένους

---

* οὕτως Ced. — 2. in fine dialogi III. — 4. Io. XXI. 19—23. — ** καὶ Ced. — 7. — 10. Haec propter homoeoteleuton omisit Ced. — 13. ἀ. θ. Ced. At piscatio jam finita erat quum CLIII pisces maximos cepissent. — 15. Ced. 435,16 — 436,16 — περὶ Ἐνὼχ καὶ Ἠλία. — 17. ἐσφ. Ced. — *** τὰς Ced. — 19. ἀπ. καὶ ἤκουον ἀσύνετοι καὶ Ced. L. XXIV. 25. — 20. ἁγ. ὡ. ἀ. εἰς Ced. — Io. XVI. 13. — 21. τοῦ κῦ λ. Ced. — τις — ἀποκρινόμενος — εἴπῃ. — 26. οὗτος ἐκείνους ἐκ πρ. λέγει κῦ. — 27. Ap. XI. 3 — 5. — 28. περιβεβλημένοι Ced.

σάκκους· Οὗτοί εἰσιν αἱ δύο ἐλαῖαι καὶ αἱ δύο λυχνίαι (αἱ ἐνώπιον Κυρίου πάσης τῆς γῆς ἑστῶτες. Καὶ εἴτις θέλει αὐτοὺς ἀδικῆσαι), πῦρ ἐκπορεύεται ἐκ τοῦ στόματος αὐτῶν καὶ κατεσθίει τοὺς ἐχθροὺς αὐτῶν. — Καὶ ὅταν τελέσωσι τὴν μαρτυρίαν αὐτῶν, ποιήσει τὸ ἀναβαῖνον θηρίον ἐκ τῆς ἀβύσσου πόλεμον μετ' αὐτῶν καὶ νικήσει * 5 καὶ ἀποκτείνει αὐτούς. Καὶ τὰ πτώματα αὐτῶν ἐπὶ τῆς πλατείας τῆς μεγάλης πόλεως ἔσονται ἄταφα γ' ἡμέρας ὅπου ** ὁ Κύριος αὐτῶν ἐσταυρώθη». Μάτην οὖν παραληροῦσί τινες φάσκοντες αὐτὸν ἔτι ζῆν ἐν σαρκὶ *** «μὴ νοοῦντες μήτε ἃ λέγουσι τῷ ὄντι μήτι περὶ τίνων διαβεβαιοῦνται», οἴκοθεν τοῦτο καὶ οὐκ ἔκ τινων 10 ἱερῶν ἐξηγητῶν ῥιψοκινδύνως τε καὶ τολμηρῶς ὄντως τερατευόμενοι.

(7) Οὗτος ὁ Νερβᾶς ἐκ Παιονίας ἀγγελίας ἐπινικίων ἀκούσας παρὰ Τραϊανοῦ, ἀνελθὼν ἐν τῷ Καπετωλίῳ καὶ λιβανωτὸν θύσας, στὰς ἐπὶ βήματος, μεγάλα βοῶν, τῆς τε 15 βουλῆς καὶ τοῦ δήμου **** Ῥωμαίων παρόντων· ἔφη «ἀγαθῇ τύχῃ· (Μάρκος) Νερβᾶς Τραϊανὸν υἱοποιοῦμαι».

(8) Οὗτος ἀπηγόρευσε τοῦ ἐκτέμνειν [τινῶν] τὰ αἰδοῖα ἐν Ῥώμῃ, καὶ νόσῳ τελευτᾷ.

CXXXV. ΒΑΣΙΛΕΙΑ ΤΡΑΙΑΝΟΥ. 20

98 (5298) Μετὰ δὲ Νερβᾶν ἐβασίλευσε Τραϊανὸς ἔτη κ̄. (Οὗτος διωγμὸν ἐπὶ πολὺ κατὰ Χριστιανῶν κινήσας μάρτυρας πολλοὺς ἐφόνευσε, ἀλλ' ὕστερον ἔπαυσε τὸν διωγμόν). (2) Ὅστις ἀγαθὸς καὶ μισοπόνηρος καὶ φιλοδίκαιος τοσοῦτος ὑπῆρχε, ὥστε γυμνώσας ποτὲ ῥομφαίαν ἐνώπιον τῶν μεγιστάνων ἐπέδωκε τῷ ἐπάρχῳ 25

---

5. τὸ θ. τὸ ἀν. ἐκ τῆς ἀβ. ποιήσει π. Ap. 7. — * αὐτοὺς Ap. — 7. ἀποκτενεῖ Ap. — 7. ἡ γ' ἡμισυ ἀτ. Ced. ex Ap. 9. — π. τῆς ἡ. ἥτις καλεῖται πνευματικῶς Σόδομα καὶ Αἴγυπτος ὅπου καὶ Ap. 8. — ** καὶ Ced. Ap. 8. — 9. ζῆν ἔτι Ced. — *** καὶ Ced. — 1 Tim. I, 7. — 13. Ced. 433,20—434,2. — 14. ἐκ Π. δὲ ἀγγελία ἐπ. ἐλθοῦσα π. T. Ced. Leo. — 15. ἐπιθ. Ced. Leo. — **** τῶν Ced. Leo. — 18. Ced. 434,2,3. — 19. Ἡ νόσῳ δὲ τ. Ced. τελευτᾶν cod. — 21. ιθ', μῆνας ς', ἡμέρας ιε' Ced., 436,17. ιθ', μ. ς' Leo. — 23. Ced. 436,18 — 21. Οὗτος ἦν μ. καὶ φ. γ. γάρ ποτε; ὃς ἦν μ. καὶ φ. γ. γάρ π. Leo. — 25. ἐνώπιον τῶν ἐν τέλει πάντων ἐθ. Ced. τῶν ἐν τ. π. ἐπεδ. Leo.

λέγων· Δέξαι τὸ ξίφος τοῦτο καὶ εἰ μὲν καλῶς πράττω, ὑπὲρ ἐμοῦ, εἰ δὲ μὴ καλῶς, κατ' ἐμοῦ αὐτῷ χρῆσαι.

(3) Προσεχειρίσθη δὲ ὑπὸ Νερβᾶ διὰ τὴν ἀρετὴν αὐτοῦ ὡς πολεμικώτατος, καὶ πολλὰ κατωρθώματα ἔν τε Ῥώμῃ καὶ πανταχοῦ* πεποιηκώς.

(4) Φίλου δέ τινος αὐτῷ ποτὲ διαβληθέντος ὡς ἐπιβούλου καὶ τούς τε ὀφθαλμοὺς (αὐτοῦ) ἐκκεντηθέντος** καὶ τὸ γένειον ἀποκειραμένου, ἐπεὶ τυφλὸς πρὸς Τραϊανὸν εἰσήχθη, πολλὰ λυπηθεὶς ἐπὶ τούτῳ Τραϊανός, πόλιν κτίσας ἐπὶ τῷ ὀνόματι αὐτοῦ τὴν νῦν Τραϊνούπολιν (ὀνομαζομένην καὶ) τοῦτον κατοικίσας ἐν αὐτῇ ὡς δεσπότην ταύτης, ἐκεῖσε ἀπέστειλεν*** ἕως τῆς τελευτῆς αὐτοῦ.

(5) Θνήσκει δὲ**** Ἀδριανὸν***** προχειρισάμενος****** βασιλέα.

(6) Ἐπὶ αὐτοῦ Συμεὼν ὁ τοῦ Κλεόπα ὁ ὢν Ἱεροσολύμοις ἐπίσκοπος καὶ Ἰγνάτιος ὁ θεοφόρος ἐμαρτύρησεν. (7) Καὶ Βασιλείδης καὶ Μένανδρος καὶ Κήρινθος καὶ (92ª) Νικόλαος, εἷς τῶν ζ' διακόνων, οἱ αἱρεσιάρχαι, ἐχθροὶ τῆς ἀληθείας ἐγνωρίζοντο. (Ὁ ῥηθεὶς Νικόλαος ὁ εἷς τῶν ζ διακόνων καὶ Ἐβιωναῖος).

CXXXVI. ΒΑΣΙΛΕΙΑ ΑΔΡΙΑΝΟΥ.

Μετὰ δὲ Τραϊανὸν ἐβασίλευσεν Ἀδριανὸς (γαμβρὸς αὐτοῦ) 116
ἔτη κ'· ἦν δὲ [Ἄφρος τῷ γένει] φιλολόγος, ἐπιτήδειος ἔν [τε] (5316)

---

1. εἰπών. δ. τοῦτο Ced. Leo. — ἄρχω Ced. Leo. — 2. καλῶς om. Ced. Leo. — 3. Ced. 436,21 — 23. — * γῆς Ced. — 6. Ced. 436,23 — 437,6. — αὐτοῦ Ced. — ** ὑπὸ τῶν ἰδίων χειρῶν Ced. — 9. ἐπὶ τῷ αὐτοῦ φίλῳ, π. Ced. ἐπὶ τ. π. τε Leo. — ἣν ἔκτισεν Ced. — 11. τ. κατοικτείρας ὡς Ced. Leo. — τῆς πόλεως Ced. Leo. — *** εἶναι Ced. — 12. ἀ. τ. Leo, ἀ. τ. θεραπείαν αὐτοῦ πᾶσαν ποιησάμενος Ced. — 16. Ced. 437,12,13. — **** Τραϊανὸς. — ***** τὸν γαμβρὸν αὐτοῦ Ced. — ****** ὡς Leo. — 15. Ced. 437,11,12. — 16. ἐμάρτυρη cod. Ἐπὶ τούτου ἁ. ὁ ἅγιος Ἰ. θ. καὶ Σ. ὁ τοῦ Κλ. Leo, Ced. — Ced. 437,7—11. — 17. Ἐπὶ ἀ. Σίμωνα τὸν μάγον Μ. διεδέξατο, γόης καὶ ἀπατεών, Σαμαρεὺς τὸ γένος ἑαυτὸν χ᾽ν ὀνομάζων· ἦν δὲ καὶ Κ. αἱρεσιάρχης τότε καὶ Ν. Ced. Leo. — 18. καὶ αἱρ. cod. — ἁ. καὶ ἑ. Ced. — 21. Ced. 437,14—16. Ἀδ. Αἴλιος ἐβ. ἐ. κδ'; κ', μῆνας ια' Leo.

τῷ πεζῷ λόγῳ καὶ τῷ συμμέτρῳ, συγγενὴς καὶ ὑισπεποιημένος * Τραϊανῷ· (καὶ ὑδεριάσας ἀπέθανεν) **.

(2) Οὗτος ἐν Μυσίᾳ, ἔνθα ἐθήρασεν, ὠκοδόμησε πόλιν καὶ ἐκάλεσεν αὐτὴν Ἀδριανούπολιν *** καὶ ἑτέραν ἐν (τῇ) Θράκῃ καὶ ἐπώνομασε καὶ αὐτὴν Ἀδριανούπολιν ****.

(3) Ἐφ' οὗ στασιάσαντες Ἰουδαῖοι καὶ τὸν ἐν Ἱεροσολύμοις ναὸν οἰκοδομῆσαι βουληθέντες, ὀργίζεται κατ' αὐτῶν σφόδρα (σημεῖον δὲ γέγονε πρὸ τῆς ἁλώσεως αὐτῶν ὡς τὸ τοῦ Σολομῶντος μνημεῖον αὐτόματον διανοιχθῆναι)· πολέμου δὲ γενομένου μεταξύ, ἀνεῖλεν ἐξ αὐτῶν ἐν ἡμέρᾳ μιᾷ μυριάδας ιη΄ (καὶ παραλαβὼν αὐτοὺς μετὰ θυμοῦ τοὺς ὑπολειφθέντας πάντας καὶ καταγαγών, αὐτοὺς ἐν τῇ πανηγύρει τῇ ἐν Χεβρὼν γενομένῃ, ἐπώλησεν αὐτοὺς ἀνὰ δ΄ εἰς μόδιον κριθῆς.) Καὶ τὰ μὲν παλαιὰ λείψανα τῆς πόλεως καὶ τὸν ναὸν κατερειπώσας, κτίζει τὸ δεύτερον τὴν ἁγίαν πόλιν, ἣν δὴ καὶ μετωνόμασεν Αἰλίαν (εἰς τὸ ἴδιον ὄνομα διὰ τὸ εἶναι αὐτὸν καὶ λωβόν, ὅπως εὕρῃ ἔλεον)· καὶ στήσας τὸ ἑαυτοῦ εἴδωλον ἐν τῷ ναῷ, οἰκεῖν Ἕλληνας ἐν τῇ πόλει προσέταξε.

(4) Κτίσας δὲ ναὸν ἐν Κυζίκῳ καὶ πόλιν ἐν τῇ Θράκῃ προσηγόρευσεν αὐτὴν Ἀδριανούπολιν.

(5) Ἐφ' οὗ (Κέρδων καὶ Οὐαλεντῖνος καὶ Μαρκίων καὶ Μοντανὸς καὶ) Σατορνῖλος καὶ Καρποκράτης, οἱ αἱρεσιάρχαι (καὶ Ἀκύλας) ἐγνωρίζοντο.

---

1. ἀμέτρῳ cod. ἐμμ. Ced. — * τῷ Ced. — ** Ἐπὶ Ἀδριανοῦ ἐμαρτύρησεν ὁ ἅγιος Ἐλευθέριος καὶ Ἀντίοχος καὶ Παυσολύπων καὶ ὁ ἅγιος Εὐστάθιος μετὰ τῆς συμβίου καὶ τῶν τέκνων αὐτοῦ. — 3. Ced. 437,17 Ὁ. ἐν Μ. θηράσας ὡ. π. καὶ μετώνομασεν ἀ. Ἀδριανοῦ θήρας ἐν τοῖς μιτάτοις Leo, Ced. — *** ὡσαύτως Ced. — 8. Θ. προσαγορεύσας ἀ. Ἀ. Ced. Θ. ἐπ' ὀνόματι αὐτοῦ Leo. — **** καὶ ναὸν ἐν Κυζύκῳ Ced. — 6. Ced. 437,19—438,3. — στασιασάντων τῶν Ἰουδαίων — βουληθέντων Ced. — 9. αὐτομάτη cod. — διαλυθῆναι Leo. — 10. σφ. καὶ π. γ. Ced. — νή Leo, Ced. Glycas; de captivis divenditis cf. eadem apud Glycam 448,13—15. — 14. καὶ τοῦ ναοῦ Ced. — καταρυπώσας cod. — κτ. νέαν Ιλημ, ἣν δὴ καὶ Ἀ. προσηγόρευσε Ced. — 16. κέλεφον cod., λωβὸν Leo. — 19. Ced. 437,18,19 Adrianopolim ante templum nominat. — 21 Ced. 438,13 — 15. — 22. Σατορνῖνος Leo, Ced. Valentinus, Cerdo et Marcio sub Antonino secundum Scholion Leonis et Cedrenum 438,1,2 et ipsum Georgium. — 23. De Aquila confer Glycam 448,16.

(6) Ἐπὶ τούτου Πλούταρχος ὁ Χωρονεὺς καὶ Φλέγων ὁ χρονογράφος ἐγνωρίζοντο.

(7) Θνήσκει δὲ Ἀδριανὸς Ἀντωνῖνον προχειρισάμενος.

(8) Οὗτος Ἀδριανὸς εἶχεν ἄνδρα τινὰ ὀνόματι Σίμιλον, ἔν τε φρονήσει καὶ (ἀνδρείᾳ καὶ) ἐπιεικείᾳ καὶ ἀρεταῖς πολλαῖς κεκοσμημένον καὶ πάνυ αὐτὸν ἐτίμα καὶ ἐν μεγάλῃ ἀρχῇ κατέστησεν*· ἀλλ' ἐπ' ὀλίγον τῆς ἀρχῆς κρατήσας, δεηθεὶς ἐξέστη αὐτῆς καὶ ἐν ἀγρῷ ἑπτὰ ἔτη διατρίψας, ἐτελεύτησεν, ἐπιγραφὴν προστάξας ἐν τῷ μνήματι αὐτοῦ περιέχουσαν οὕτως· «Σίμιλος ἐνταῦθα κατάκειται, βιώσας μὲν ἔτη πολλά, ζήσας δὲ ἔτη ἑπτά.

(9) Ὁ δὲ Ἀδριανὸς βίᾳ ἀπέθανεν (ὑπὸ) τῆς νόσου κράζων· «Ὦ Ζεῦ, πόσον κακόν ἐστιν ἐπιθυμοῦντα τινὰ ἀποθανεῖν καὶ μὴ τυγχάνοντα».

CXXXVII. ΒΑΣΙΛΕΙΑ ΑΝΤΩΝΙΝΟΥ.

Μετὰ Ἀδριανὸν ἐβασίλευσεν Ἀντωνῖνος ὁ εὐσεβὴς ἔτη κβ', υἱοποιηθεὶς τῷ Ἀδριανῷ, καὶ πρῶτος τῶν αὐτοκρατόρων εὐσεβὴς ἐπεκλήθη**. 138 (5338)

(2) Θνήσκει δὲ*** προβαλὼν εἰς βασιλέα Μάρκον Ἀντωνῖνον, τὸν ἴδιον γαμβρόν.

(3) Ἐφ' οὗ Πολύκαρπος, ὁ μαθητὴς Ἰωάννου τοῦ θεολόγου καὶ Ἰουστῖνος ὁ φιλόσοφος καὶ Διονύσιος [ὁ] ἐπίσκοπος Κορίνθου ἐμαρτύρησαν.

---

1. Adr. a. 3° Pl. Chaeronaeus Eus. II. 283.—2. De XIV libris Phlegontis libertini Caesaris (Adriani) quibus in compendium redaxit Olympiadas CCXXIX (usque ad a. 140 p. Chr.) cf. Eus. I. 359.—3. Ced. 438,17: Τελευτῶν δὲ προχειρίζεται Ἀντωνῖνον.—4. Ced. 438,4 — 9. — Σίμηλον δέ τινα ἔν τε — κτκ. π. ἐτ. Ced. — * αὐτὸν Ced. — 7. κρ. ἀπέστη Ced. — 9. ἐπιγραφήναι Ced. Leo. — μνημείῳ Ced. — 10. ἀ. Σ. Leo, ἀ. περιέχουσαν Σ. Ced.—11. ἔτη τόσα Leo, e Xiphilino, deest in Cedreno, sed jam Xylander conjecit πολλὰ. — 12. Ced. 438,15—17. — Θνήσκει δὲ Ἀ. βίᾳ τῆς ν. Ced. — 14. τυγχάνειν Leo, Ced. — 16. Ced. 438,21,22. — 17. κδ' Leo, Ced. — 18. αὐτοκράτωρ Ced. — ** πᾶσαν γὰρ ἀρετὴν ἐπεκτήσατο Leo, Ced. — 19. Ced. 439,10,11. — *** Ἀντωνῖνος Ced. — προβαλ. cod. προβαλόμενος Ced, Leo. — 21. Ced. 439,11 — 13 — τοῦ εὐαγγελιστοῦ Ced. M. Aurelii a. 7°. (168) Eus. II. 289. — 22. Iustinus † Antonini a. 14 (152) II. 287,389.

(4) Καὶ Τατιανὸς καὶ Βαρδεσάνης (οἱ αἱρετικοὶ) καὶ Πρισκίλλα καὶ Μαξιμῖνα αἱ ψευδοπροφήτιδες τῶν κατὰ Φρύγας ἐγνωρίζοντο.

(5) Ἐπὶ τούτου Γαληνὸς ὁ ἰατρὸς ἐθαυμάζετο καὶ Βαρδισάνης τις Σύρος διαλεκτικώτατος καὶ σοφὸς ἦν*.

(6)** Ἐπὶ αὐτοῦ Οὐαλεντῖνος καὶ Κέρδων καὶ Μαρκίων ἐπὶ τῆς Ῥώμης αἱρεσιάρχαι ἐγνωρίζοντο.

(7) Πολύκαρπος δὲ (ὁ) ἐπίσκοπος Σμύρνης εἰς ὄψιν ἐλθὼν Μαρκίωνι, πρὸς αὐτὸν φησὶν ὁ (92b) Μαρκίων· «Ἐπιγινώσκεις ἡμᾶς, ὦ καλὲ Πολύκαρπε;» Ὁ δὲ· «Ἐπιγινώσκω σε, ἔφη, τὸν πρωτότοκον υἱὸν τοῦ σατανᾶ».

CXXXVIII. ΒΑΣΙΛΕΙΑ ΜΑΡΚΟΥ.

161 (5360) Μετὰ δὲ Ἀντωνῖνον ἐβασίλευσε Μάρκος ὁ υἱὸς αὐτοῦ ἔτη ιθ'.

(2) Διωγμοῦ δὲ κινηθέντος πολλοὶ γεγόνασι μάρτυρες.

(3) Αὐρηλιανὸς ὁ Βῆρος ὁ καὶ Ἀντωνῖνος, ὁ υἱὸς αὐτοῦ, σὺν καὶ Λουκίῳ ἀδελφῷ αὐτοῦ.

(4) Ἐφ' ὧν πῦρ ἀπ' οὐρανοῦ ἀπὸ δυσμῶν ἐπὶ ἀνατολὰς φερόμενον ὤφθη.

(5) Ἐπὶ τούτου*** Ὀπιανὸς ὁ τὴν ἁλιευτικὴν συγγεγραφὼς (καὶ Σέκστος ἤκμαζον).

---

1. Cod. 439,3—4. — Βαρδησιάνης cod. cf. Eus. V. 16. — 2. Μαξιμίλλα Cod. — 4. Cod. 439,4—6. Καὶ Γ. ὁ ι. τότε ἐθ. καὶ Β. δέ τις — * ὥστε θαυμάζεσθαι αὐτοῦ πρὸς τοῦ Ἀντωνίνου τὸν κατὰ εἱμαρμένης λόγον Leo, Cod. — ** ὡς φησὶ δὲ Κλήμης ὅτι Cod. 439,1,2. — 7. ἐν Ῥώμῃ Cod. — 8. Cod. 349,7 — 10. — 9. M. ἤκουσεν Cod. Antonini a. 15 Anicetus Romanae ecclesiae episcopatum suscepit, annis 11 (158—163), sub quo Polycarpus Romam veniens, multos ex haereticis convertit Eus. II. 289. — 13. Cod. 439,14. M. Ἀντωνῖνος ἐβ. ἔτη ιθ', μ. μὲν Σεβήρου (Οὐήρου Leo) τοῦ γαμβροῦ αὐτοῦ ἔτη ι' καὶ μῆνας θ'. — 16. 3 ad c. 1 pertinet, 2 videtur transponendum inter 4 et 5; nam c. 4 apud Glycam quoque mentionem Marci Antonini cum genere Severo imperantis sequitur. Ἀ. ὁ ἥρως cod. — 16. M. Aurelianus qui et Verus. Lucius Aurelius Commodus ann. XIX. a. 1 Lucio Caesare Athenis templum aedificante ignis de caelo ab Occidente in Orientem ferri visus Eus. II. 289. — 20. Cod. 440,19,20. — *** καὶ Cod. — Ὀ. τὴν α. συνεγράψατο Cod. M. Aurelii a. 10 Eus. II. 291.

(6) Τοῦτον φασὶ πεφονευκέναι λέοντας ιβ' ἐν μιᾷ ἡμέρᾳ.

(7) Οὗτος ὁ Μάρκος σοφὸς ἦν καὶ ἐνάρετος καὶ τὴν Ῥώμην ἐκ πολλῶν πολέμων διασωσάμενος καὶ ἀγαπηθεὶς ὑπὸ τῶν πολιτῶν σφόδρα, ἀπέθανε· φαρμακευθεὶς ὑπὸ Κομόδου τοῦ ἰδίου υἱοῦ. Τὴν δὲ μνήμην τῆς ἀρετῆς αὐτοῦ ἡ βουλὴ ἔχουσα μετὰ τὴν αὐτοῦ τελευτὴν χρυσῷ ἀνδριάντι αὐτὸν ἐτίμησεν.

(8) Πολεμοῦντος (αὐτοῦ ποτὲ) Γερμανοὺς καὶ Σαυρομάσας, δίψει τῆς στρατιᾶς πιεζομένης καὶ διὰ τοῦτο κινδυνευούσης, τοὺς ἐπὶ [τῆς] Μελιτινῆς οὕτω καλουμένης λεγεῶνος χριστιανοὺς ὄντας, δι' εὐχῆς ἐκτενοῦς πρὸς·* θεὸν γενομένης **, τοὺς μὲν πολεμίους κεραυνῷ βαλεῖν, ὄμβρῳ δὲ τοὺς Ῥωμαίους παραμυθήσασθαι, ὅπερ (ὡς φασι) σφοδρῶς κατακλῆξαν τὸν Μάρκον, γράφει τιμᾶσθαι χριστιανούς, τὴν δὲ λεγιῶνα κεραυνοβόλον προσαγορεῦσαι.

CXXXIX. ΒΑΣΙΛΕΙΑ ΒΗΡΟΥ.

Μετὰ δὲ Μάρκον ἐβασίλευσε Βῆρος, ὁ υἱὸς αὐτοῦ, ἔτη η' καὶ ἐσφάγη ἐν προκένσῳ.

CXL. ΒΑΣΙΛΕΙΑ ΚΟΜΟΔΟΥ.

Μετὰ Βῆρον ἐβασίλευσε Κόμοδος (ὁ ἀδελφὸς αὐτοῦ) ἔτη [ι]β' ***. 180 (5380)

(2) Γέγονε δὲ ***** ποδαλγὸς καὶ καταβαρὴς (καὶ ὑπὸ ἀναγωγῆς αἵματος καὶ χολῆς ἄθρόως ἀπέθνησκε).

---

1. de Comodo Ced. 441,5, Leo et ipse Georgius CXL. 7. — 2. Ced. 440,20—441, 2—πανσ Ced. — 4. δ. ἠγαπήθη σφ. ὑπὸ τῶν π. Ced. — * δὲ Ced. — 5. M. Aur. 18°. Antoninus cum filiis — triumphum peregit, dona distribuerunt — pecuniam indulserunt — Antoninus febri laborand decesit Eus. II. 291. — 8. Ced. 439,15 — 22. II. δὲ Γ. καὶ Σαρμάτας. M Aur. 8°. Bellum contra Germanos, Dacos, Sarmatad et Quados Eus. II. 291. — ** τὸν Ced. — *** ἱστορεῖται Leo — 12. βληθῆναι Ced. — 14. καταπλῆξαι cod. — τιμᾶν Leo. Ced. — 15. Quum vero Pertinax—apud Quados siti laborarent—literae exstant Marci — exercitum christianorum precibus servatum esse Eus. II. 291. 17. Leo et Ced. cum M. Aurelio. — 9'. M. Aur. 10°. Eus. — **** μῆνας ε' Leo, μῆνας 9' Ced. 441,3. — ***** καὶ Ced. 441,6. — 21. κατωβ. Ced. — 22. ἀθρόας?

(3) Νάρκισσος δέ τις τῶν οἰκείων αὐτοῦ ἀπέπνιξεν αὐτὸν ἐν τῷ λουτρῷ.

(4) Ἐφ' οὗ Θεόδωτος, ὁ καὶ πρῶτος τῆς κατὰ Παῦλον τὸν Σαμοσατέα καὶ Νεστώριον πλάνης ἀρξάμενος, καὶ Θεοδωτίων, οἱ αἱρεσιάρχαι, ἐγνωρίζοντο.

(5) Καὶ Κλήμης ὁ στρωματεὺς ἐν Ἀλεξανδρείᾳ ἦν.

(6) Κλήμεντος δὲ φοιτητὴς Ὠριγένης ἐγένετο.

(7) Ἀλλὰ καὶ Μοντανὸς αἱρεσιάρχης τότε ἦν, ὃς ἑαυτὸν παράκλητον ἔλεγεν εἶναι.

(8) Ἦν δὲ (Κόμοδος) φιλοκίνηγος* τοῦτον φασὶν ἐν μιᾷ ἡμέρᾳ (τοὺς) ιβ' λέοντας πεφονευκέναι (καὶ οὐχὶ Μάρκον, ὡς προεγράφη).

CXLI. ΒΑΣΙΛΕΙΑ ΠΕΡΤΙΝΑΚΟΣ.

193 (5393) Μετὰ Κόμοδον ἐβασίλευσε Περτίναξ (Ἐλωΐος) μῆνας ς', μήτε τὴν γυναῖκα μήτε τὰ τέκνα εἰσαγαγὼν εἰς τὸν παλάτιον, ἀλλ' ἐάσας παρὰ τῷ πάππῳ διαιτᾶσθαι. (2) Καὶ ἐσφάγη ὑπὸ τῶν στρατιωτῶν.

(3) Ἐπὶ αὐτοῦ Σύμμαχος, εἷς τῶν ἑρμηνευτῶν**, ἦν Ἑβραῖος, καὶ Πορφύριος*** φιλόσοφος ὁ κατὰ χριστιανῶν γράψας.

CXLII. ΒΑΣΙΛΕΙΑ ΔΙΔΙΟΥ.

Μετὰ δὲ Περτίνακα ἐβασίλευσε**** Δίδιος μῆνας δ'. (2) Καὶ ἐσφάγη ὑπὸ κουβικουλαρίων εἰς τὴν πηγὴν τοῦ παλατίου,

---

2. Ced. 441,13. Τοῦτον N. τις τῶν ὁ. ἀ. ἀπ. ἐν λ. Strangulatus in aedibus Vestiliani. Eus. — 6. Ced. 441,8—10. Ἀφρικανὸς δέ φησιν ὁ χρονογράφος ὅτι ἐπὶ τούτου Κλ. Ced. ἐπὶ Κομόδου Leo. — ἐγνωρίζετο Leo, Ced.; Severi 1° et 11° Eus. — 7. Ced. 441,10; a. Severi 12° Origenes mirabilis Alexandriae puerili aetate agnoscebatur Eus. — 9. Ced. 441,11,12. — Severi 11° Musianus (?) noster scriptor gnoscebatur Eus. — 10. Ced. 441,4,5. — * καὶ μαχικώτατος πάνυ Ced, μ. π. καὶ φ. Leo. — ὃν καὶ φ. Ced. ὃν φ. Leo. — 11. φονεῦσαι Leo, Ced. cf. Eus. Comodi a. 12°. — 14. μ. β' Glyc. Chr. Pasc. ἡμέρας πζ' (Jan. I—Mart. 28) Leo, Ced. 431,15—17. Capitolinus 15: m. II. d. XXV; Hier. et Cassiodorus: menses VI. — 15. εἰς τὸ π. ἐ. Ced. εἰς τὸ π. ἀγαγών Leo. — 16. Ced. 441,21. οὗτος Περτίναξ Ced. ὁ. Leo. — 18. Ced. 441,17 — 20. Ἐπὶ τούτου ὡς φησὶν Εὐσέβιος, ἦν ὁ Σ. Ced., ἐπὶ Περτίνακος Leo. — ** τῆς τῶν Ἑβραίων γραφῆς Ced. — Ἐβιωναῖος τὴν αἵρεσιν (ἦν) ἀλλὰ καὶ Leo. Ced. — *** ὁ Ced. — **** Ἰουλιανὸς Leo, Ced. 442,1. ἡμέρας ξς' Leo, Ced. (Mart. 28 — Iunii 1).

θεωρῶν τοὺς ἰχθύας, ψήφῳ τῆς βουλῆς, μεγάλα ἐπιβοώμενος· «τί γὰρ δεινὸν ἐποιήσα;» (3) Οὗτος ἦν φαυλότατος τοῖς ἔργοις καὶ τρόποις καὶ ἀνοσιουργὸς καὶ χρημάτων ἐραστής.

(4) Ἐπὶ τούτου ἐμαρτύρησαν Εὐγένιος καὶ Μακάριος. (5) Καὶ Σαβέλλιος ὁ Λιβυκὸς καὶ ἀθεώτατος αἱρετικὸς ἦν.

CXLIII. ΒΑΣΙΛΕΙΑ ΣΕΒΗΡΟΥ.

Μετὰ τοῦτον ἐβασίλευσε Σευῆρος (ὁ Σεπτίμιος) ἔτη ιζ'. * (2) Ὃς τὸν ἐν Βρεττανίᾳ νικήσας πόλεμον, ἀπὸ θαλάσσης ἕως θαλάσσης περιετείχισε τὴν νῆσον σταδίοις ᾳ· καὶ τὸ Βυζάντιον παραλαβών, τὰ τείχη αὐτοῦ καθεῖλεν· εἶχε δὲ ** πύργους ζ', ἐκ τῶν Θρᾳκικῶν πυλῶν ἀχομένους καὶ ἐπὶ τὴν ἀρκτῴαν θάλασσαν καθήκοντας, ὧν (93ª) εἴτις ἐν ἑνὶ τῶν πύργων προσῆλθεν, οὐδεμία αἴσθησις τοῖς ἄλλοις ἐγίνετο· εἰ δὲ ἐν τῷ πρώτῳ πύργῳ ἐνεβόησεν ἢ λίθον ἐσάλευσεν, αὐτός τε ἤχει καὶ τοῖς λοιποῖς ἅπασι μετεδίδου τῆς ἠχῆς.

193 (5393)

(3) Οὗτος καὶ τὸ Ζεύξιππον λουτρὸν ἔκτισε Βυζαντίοις καὶ τὸ πρῶτον κτίσμα τῷ ἱπποδρόμῳ παρέδωκε καὶ κυνήγιον καὶ θέατρον αὐτοῖς κατεσκεύασεν.

(4) Ἐπὶ τούτου Λεωνίδης ὁ πατὴρ Ὠριγένους ἐμαρτύρησεν (ἐπίσκοπος ὤν). (5) Καὶ Ὠριγένης ἐγνωρίζετο, ὅστις

---

1. Ced. 442,4,5· ὃς διὰ τὸ αἰσχρῶς βιοῦν καὶ ἀπανθρώπως ὑπὸ, τῆς βουλῆς θανάτῳ καταψηφισθεὶς ἐ. Ced. Οὗτος διὰ ταῦτα ἐ. ψ. τῆς β. κτλ. Leo. — 2. φ. δὲ ἦν τ. τρόποις καὶ τ. ἐ. ἀν. κτλ. Ced. 442,2 — 4. φ. τ. τρ. καὶ τ. ἐ. ἀν. κτλ. Leo. — 4. Ὁμοίως δὲ καὶ δύο πρεσβύτεροι Ἐ. καὶ Μ. Ced. 537,7 sub Iuliano passi. — 5. λοιμικὸς? sub Gordiano apud Ced. 451,14 ἐφ' οὗ Σ. ὁ αἱρεστιάρχης ἐγνωρίζετο.— * μῆνας η'. Σέβ. δὲ ὁ αἱρετικὸς λέγεται Ced. 442,6,7; μ. η' Leo. — 8. Ced. 442,7 — 15. — Οὗτος Ced. Leo. — 9. εἰς θάλασσαν Leo, Ced.—οὗτος τὸ B. Leo, Ced. — ** τὸ Βυζάντιον Ced. — 12. καὶ τούτων Leo, Ced. — 13. ἐν ἑτέρῳ πύργῳ Leo, Ced. — 15. ἡ. καὶ σιωπήσας τῷ δευτέρῳ μ. τῆς ἡ. καὶ οὗτος τῷ τρίτῳ καὶ ἑξῆς ὁμοίως Ced. ἡ. καὶ τῷ δ. καὶ τ. λ. πᾶσιν ἐφεξῆς μ. τῆς ἡ. Leo. — 17. Ced. 442,15—17. — 20. Περὶ Ὠριγένους, c. CXLIII tabulae codicis Monacensis 2, quae Pertinacem praetermiserat. Sev. a. 7 (200) Eus. II. 295, Ced. 441,20,21 ὁ τοῦ κακόφρονος Ὠ. π. ἐμ. sub Pertinace; ἐμ. δὲ κ. καὶ Λ. ὁ π. Ὠ. Leo. — 21. Ced. 442,21—445,7.

('Ωριγένης) εἰς Ἀλεξάνδρειαν ἀκμάζων μεγίστην εἰς τὸν θεῖον λόγον σπουδὴν καταβαλλόμενος, οὐ μόνον * τοῖς πιστοῖς πρόξενος ὠφελείας ἐγίνετο μεγάλης, ἀλλὰ καὶ τῶν αἱρετικῶν οὐκ ὀλίγους — ὑπ' αὐτοῦ γὰρ τὰ ὑγιῆ τῆς πίστεως παραλαβόντες δόγματα, ζηλωταὶ τῆς ἀληθείας ἐγίνοντο· ἐξ ὧν ὑπῆρχε διαφερόντως Ἀμβρώσιος, ἀνὴρ ἐπισήμων καὶ φιλολόγος, ὃς εἰς γνῶσιν τοῦ ἀνδὸς ἀφικέσθαι σπουδάσας, ἀπέστη τῆς Οὐαλεντίνου καὶ Μαρκίωνος αἱρέσεως, πεῖραν τῆς ἐνθέου παιδείας αὐτοῦ ἀρκοῦσαν κτησάμενος. Πλεῖστοι δὲ ** τῶν ἔξωθεν φιλοσόφων πρὸς αὐτὸν φοιτῶντες, μεγίστην καὶ αὐτοὶ πρὸς τὰ οἰκεῖα μαθήματα τὴν ὠφελειαν ἐκαρπώσαντο, — μέγας γὰρ παρ' αὐτοῖς ἐγνωρίζετο — παραδιδοὺς γεωμετρίαν καὶ ἀριθμητικὴν καὶ τἆλλα προπαιδεύματα· διόπερ οὐκ ὀλίγοι τῶν παρ' Ἕλλησι σοφῶν μαρτυροῦσιν αὐτῷ, μνήμην ἐν τοῖς ἰδίοις ποιούμενοι συγγράμμασιν ὡς διδασκάλου· καὶ γὰρ εὐφυὴς παιδόθεν ὑπῆρχε σφόδρα καὶ ζητητικὸς ἄγαν, οὐ ἐν τῇ παιδικῇ ἡλικίᾳ τὸ τῆς θείας γραφῆς βούλημα πυνθανομένου, ὡς βαθύτερα διανοουμένου, ἐπέπληττεν ὁ πατὴρ (αὐτοῦ), μηδὲν ὑπὲρ *** ἡλικίαν παρ' ἑτέρων ζητεῖν· (νύκτωρ δὲ ἐπιστὰς, εὗδοντος τὰ στέρνα ὡς θείου πνεύματος ἔνδον ἐν αὐτοῖς ἱερωμένου, κατεφίλει) **** καὶ τῆς εὐτεκνίας ἑαυτὸν ἐμακάριζεν. Ἁγνείαν δὲ καὶ ἐγκράτειαν τοσαύτην ἤσκησεν ἐκ νέου τοῦ σώματος, ὡς ὀβολοῖς δ' μόνον πρὸς διατροφὴν καθ' ἑκάστην ἡμέραν ἀρκούμενος· καὶ μέντοι καὶ ἐν πολλοῖς ἔτεσι τοῦτο ποιῶν διετέλει· καὶ ἐπὶ ἐδάφους καὶ ψιαθίου ἐκάθευδεν καὶ ὀλίγον καιρὸν τῆς νυκτὸς ἀναπαυόμενος, τὸ πλεῖον ἀεὶ μελέτην τῶν ἱερῶν λογίων διήνυεν· (καὶ) ἐν τούτοις ἐπεκτεινόμενος, ἐπί τε ἀσιτίᾳ καὶ ἀγρυπνίᾳ καὶ γυμνότητι ἑαυτὸν ὑπωπιάζων, το-

---

1. Ἐπὶ τούτου ἤκμαζεν Ὠ. ὅς τις εἰς Ἀ. ὢν Cod. ἐπὶ τ. ἡ. καὶ Ὠ. ὃς ἐνέσπειρεν ἐπὶ τῆς γῆς πονηρὰ ζιζάνια καὶ πᾶσαν ἀκαθαρσίαν ἐπεδείξατο Leo. — 2. κατεβάλλετο Cod. — * γὰρ Cod. — τοὶς πίστεως cod. e seqq. — 3. μ. ἐγεν. Cod. — 4. παραλαμβάνοντες Cod. — 8. ἀ. π. Cod. — ** καὶ Cod. — 11. ἐκαρποῦντο Cod. — καὶ γὰρ παρ' ἀ. μ. ἐνομίζετο Cod. — 13. φιλοσόφων Cod. — αὐτὸν Cod. — 16. ὡς cod., ὃν — πυνθανόμενον Cod. — 17. βαθύτερον ἢ δ. Cod. — *** τὴν Cod. — 18. ἡ. περαιτέρω ζ. Cod. — καθεύδοντος Glycas 451.3 — 8. — **** ὃς Cod. — 21. ἐκ ν. τοῦ σ. ἡ. Cod. — δ' καὶ μόνοις Cod. sol. ne sexta quidem pars thaleri vel rubli argentei. — 22. δ. ἑκάστης ἡμέρας ἀρκεῖσθαι Cod. — 23. ψιάθῳ καθεύδων καὶ Cod. — 25. τὸν πλείονα εἰς τὴν μ. Cod. — 26. πιέζων Cod.

σοῦτον κατεδάμασε τὴν ἀκμὴν τοῦ σώματος ὡς ὁρᾶσθαι παντελῶς αὐτὸν ἀπεσκληκότα. Οἴνου γὰρ καὶ ἐλαίου καὶ τῶν λοιπῶν ἀπεχόμενος, ἀνατροπὴν τοῦ θώρακος μεγίστην ὑπέμεινεν· ἔνθεν τοί γε διαβόητος γενόμενος ὡς διαπρέπων ἔργῳ καὶ λόγῳ (καὶ) πολλοὺς Ἕλληνας τὴν εἰδωλομανίαν βδελύττεσθαι παρασκευάσας. Πολλῆς οὖν φήμης περὶ αὐτοῦ τρεχούσης καὶ πολλῶν μακρόθεν πρὸς αὐτὸν συῤῥεόντων, οὐ μόνον Ἕλληνας φιλοσόφους καὶ αἱρετικοὺς ἐλλογίμους πρὸς (τὴν) εὐσέβειαν εἵλκυσεν, ἀλλὰ καὶ τοὺς ὄντας χριστιανοὺς μᾶλλον στοιχειώσας ἐπεβεβαίωσεν. Ὃν ὁ προλεχθεὶς Ἀμβρώσιος ἱκετεύσας πολλὰ καὶ παραβιασάμενος ἐν Καισαρείᾳ, καὶ ταχυγράφους μὲν παραστήσας αὐτῷ ζ', πλείους δὲ καλλιγράφους, ἑρμηνεῦσαι τὰς θείας γραφὰς αὐτὸν πεποίηκε· καὶ ὁ μὲν τὴν δέουσαν χρείαν* παρεῖχεν· ὁ δὲ ἐπὶ σχολῆς γενόμενος, ὑπηγόρευε τοῖς ταχυγράφοις· καὶ οἱ καλλιγράφοι σὺν γυναιξὶν ἔγραφον, (οἱ ἐπὶ τῷ) καλλιγραφεῖν ἐξησκημένοι, πᾶσάν τε θείαν (93[b]) γραφὴν ἑρμήνευσεν ἐπὶ ἔτη ιη'. Λέγεται δὲ ὅτι ἑξάκις χιλίας βίβλους συνέταξεν. Τοσοῦτον γὰρ ζῆλον εἰς τὴν ἐξήγησιν τῶν θείων βιβλίων ὁ Ἀμβρώσιος ἐπεδείκνυτο, ὥστε τὴν πολλὴν αὐτοῦ σπουδὴν Ὠριγένης μαρτυρῶν γράφει πρός τινα λέγων· «Ὁ ἱερὸς Ἀμβρώσιος ὁ τῷ θεῷ γνησίως ἀνακείμενος πολλά σε προσαγορεύει, ὅστις νομίζων με φιλόπονον εἶναι καὶ πάνυ διψᾷν τοῦ θείου λόγου, ἤλεγξε τῇ ἰδίᾳ φιλοπονίᾳ τῷ πρὸς τὰ ἅγια μαθήματα ἔρωτι, ὅθεν ἐπὶ τοσοῦτόν με παρελήλυθεν, ὥστε κινδυνεύειν ἀπαυδᾷν πρὸς τὰς αὐτοῦ προτάσεις· οὔτε γὰρ δειπνῆσαι ἔστιν εἰ μὴ ἀντιβαάλλοντας, οὔτε δειπνήσαντι ἔξεστι περιπατῆσαι καὶ διαναπαῦσαι τὸ σωμάτιον· ἀλλὰ καὶ ἐν τοῖς καιροῖς ἐκείνοις φιλολογεῖν καὶ ἀκριβοῦν τὰ ἀντίγραφα ἀναγκαζόμεθα· οὔτε μὴν ὅλην ἐπὶ θεραπείᾳ τοῦ σώματος τὴν νύκτα ἔξεστιν ἡμῖν κοιμᾶσθαι, ἐπὶ πολὺ τῆς ἑσπέρας φιλολογίαις παρατείνοντες. Ἐῶ δὲ λέγειν καὶ τὰ ἔωθεν μέχρι τῆς θ', ἐσθ' ὅτε

---

2. ἀπεσκληκέναι Ced. — 3. γέ τοι Ced. — 5. βδ. παραπείσας καὶ μαρτυρίου στέφανον ἀνέδειξε, nota marginalis a secunda manu β. πείσας μ. στ. ἀναθήσασθαι παρεσκεύασεν Ced. — 7. συβρυέντων Ced. — 8. ἑλκύσας cod. — 11. ἱ. π. Ced. — * αὐτῷ Ced. — 13. ὑπηγόρευσε Ced. — 14. βιβλιογράφοι Ced. — 17. λόγων Ced. — 20. ἱ. καὶ θεῷ γν. ἀν. Ἀ. Ced. — νομίζοντα cod. — 23. κινδ. ἅπαν cod. — 24. ἐ. ἡμῖν ἀντιβάλλουσιν Ced. — 25. δειπνησασι Ced. — τὰ σώματα Ced — 28. φιλολόγοις π. cod. φιλολογίας παρατεινούσης Ced.

καὶ δεκάτης ὥρας· πάντες γὰρ οἱ θέλοντες φιλοπονεῖν τοὺς καιροὺς ἐκείνους τῇ ἐξετάσει τῶν θείων λογίων καὶ ταῖς ἀναγνώσεσιν ἀνατιθέασιν». Πᾶσαν τοίνυν ἑρμηνεύσας τὴν θείαν γραφὴν, ἐτελεύτησεν ἐτῶν ξθ'.

(6) Περὶ οὗ καὶ ὁ μέγας Ἐπιφάνιος ἐν τοῖς Παναρίοις λέγει· «Τοῦ μὲν Ἀμβρωσίου τὰ πρὸς τροφὰς αὐτῷ τε καὶ τοῖς ὀξυγράφοις καὶ τοῖς ὑπηρετοῦσιν ἐπαρκοῦντος, χάρτας τε καὶ τἄλλα ἀναλώματα, τοῦ δὲ Ὠριγένους ἔν τε ἀγρυπνίαις καὶ πολιτείᾳ ὑπερβαλλούσῃ καὶ σχολῇ μεγίστῃ τὸν περὶ τῆς γραφῆς διανύοντος κάματον», καὶ «πᾶσαν τὴν καλουμένην τῶν ἑξαπλῶν πραγματείαν καὶ τῶν λοιπῶν ὁ ἀνὴρ μετὰ καμάτου πεφιλοτίμητο»· οὐ μόνον γὰρ τὰς ἐπισήμους (δ') ἐκδόσεις κατ' αὐτὸν συνήγαγεν, ἀλλὰ ε' καὶ ἓξ, κατὰ τοὺς χρόνους τούτους ἐν Ἱεριχὼ περιτυχὼν ἔν τινι πίθῳ, ταῦτα συνέταξεν. Ἐπὶ ταὐτὸ οὖν πᾶσαν συναγαγὼν, διελὼν δὲ καὶ ἀντιπαραθεὶς ἀλλήλαις μετὰ (καὶ) αὐτῆς τῆς Ἑβραίων σημειώσεως, τὰ τῶν λεγομένων ἑξαπλῶν ἀντίγραφα, εὐφυῶς μάλα καὶ ἐπιστημόνως ἐκ πολυπειρίας κατεσκεύασεν.

«Ἀλλ' οὐκ εἰς τέλος ἄσβεστον αὐτοῦ τὸ κλέος διέμεινεν· συμβέβηκε γὰρ αὐτῷ τὸ τῆς πολυπειρίας δραστήριον· καὶ μέντοι σκάνδαλον πολλοῖς καὶ ἀπωλείας πρόξενος γέγονεν· βουλόμενος γάρ μηδὲν τῆς θείας γραφῆς ἐᾶσαι ἀνερμήνευτον, εἰς ἐπαγωγὴν ἑαυτὸν περιέβαλεν ἁμαρτίας, καὶ ξανάσιμα ῥήματα ἐξηγήσατο». — Ἐξ αὐτοῦ γὰρ Ἄρειος τὰς ἀφορμὰς εἴληχεν καὶ οἱ καθ' ἑξῆς ἀνόμοιοί τε καὶ ἀνόσιοι καὶ οἱ λοιποὶ πάντες. «Φάσκει γὰρ οὗτος λοιμήσας * κατὰ τὴν ἀρχήν **, ὅτι ὁ μονογενὴς υἱὸς ὁρᾷν τὸν πατέρα οὐ δύνα-

---

5. Ced. 445,7 — 447,16, Haer. II. 1,64. — 6. τροφὴν cod. — 6. ἐξαρκ. Ced. — χάρτην Ep. — 8. τῶν ἀναλωμάτων καὶ τοῦ Ὠ. Ep. Ced. — 9. καὶ πολειτείαις ὑπερβαλλούσαις Ced. om., Ep. — 10. τὸν κ. τὸν π. τῆς γ. δ. Ep. — 11. Ταύτην ὁμοῦ π. τὴν πρ. ὁ ἁ. μ. κ. π. Ep. πεφιλοτίμητ. cod. πεφιλοτίμηται Ced. — 12. κατὰ ταὐτὸν Ced. — ἁ. καὶ πέμπτην καὶ ἕκτην Ced. — 13. παρατυχὼν Ced. — 14. ταύτας Ced. — ταὐτὸν Ced. — πάσας Ced. — 15. ἀλλήλων Ced. — 16. ἀντίγρα cod. ἀντιγράφων Ced. — 18. τ. τὸ κλ. ἀσ. διήνυσε Ep. — 19. π. δρ. πτῶμα ἐξαίσιον καὶ μέντοι κτλ. Ced. π. εἰς μέγα πτῶμα ἐξ αὐτοῦ γὰρ τοῦ σκοποῦ β. μ. Ep. — 20. μ. ἐ. Ced. τῶν θείων γραφῶν Ep. Ced. — 21. ἀνεξήγητον Ced. — 22. ἐξ. β. Ep. Ced. — 23. εἴληφεν Ced. — Glyc. 451,18; ἀνομοούσιοι Xylander. — * δῆθεν Ep. — ** λέγειν πρῶτον μὲν Ep. — 25. ὁ ὢν ὁ μ. Ep.

ται *, οὔτε τὸ πνεῦμα τὸ ἅγιον (τὸν υἱὸν) **, οὔτε οἱ ἄγγελοι τὸ πνεῦμα, οὔτε οἱ ἄνθρωποι τοὺς ἀγγέλους». «Καὶ ἐκ τῆς οὐσίας τοῦ πατρὸς οὐ θέλει εἶναι τὸν υἱόν, ἀλλὰ κτίσμα, καὶ κατὰ χάριν λέγεσθαι υἱόν, τὴν δὲ ἀνθρωπίνην ψυχὴν προϋπάρχειν» *** καὶ τὰ ἑξῆς τῶν βλασφημιῶν αὐτοῦ.

Πολλὴν γοῦν πεποίηκε σύνταξιν εἰς ἑκάστην γραφὴν καὶ ὅσα μὲν ἐν προσομιλίαις καὶ διὰ προοιμίων εἰς ἤθη τε **** καὶ φύσεις ζῴων τε καὶ ἀλόγων εἴρηκε μέσος φερόμενος, πολλάκις χαρίεντα τὰ δι(94ª)γήματα· ὅσα δὲ περὶ πίστεως ἐδογμάτισε, τῶν πάντων ἀτοπώτερος εὑρίσκεται.

«Ἔδοξε δὲ (αὐτῷ) ἀσκητικὸν βίον ἐπανηρῆσθαι (τοιοῦτον, διὸ) τὸν θώρακα αὐτοῦ δί ὑπερβολῆς ἀσιτίας τε καὶ σκληραγωγίας ἀνατραπῆναι)», «ἐπινενοηκέναι δὲ καὶ κατὰ τὸ σωμάτιον, οἱ μὲν ***** ὅτι νεῦρον ἀποτετμηκέναι διὰ τὸ μὴ τῇ ἡδονῇ παρενοχλεῖσθαι, οἱ δὲ φάρμακον ἐπιτεθῆναι τοῖς μορίοις εἶπον ****** καὶ ἀποξηρᾶναι· ἄλλοι δὲ ἄλλα εἰς αὐτὸν ἀναφέρουσιν, ὡς ὅτι [καὶ] βοτάνην ἰατρικὴν εὗρε μνήμης ἕνεκα». Οὗτος «πολλὰ λέγεται πεπονθέναι ὑπὲρ (τοῦ) Χριστοῦ», λόγιος ὢν σφόδρα καὶ ἐν τῇ ἐκκλησίᾳ ἀνατεθραμμένος. «Φθόνῳ δὲ διαβληθεὶς (ὑπὸ τοῦ διωγμοῦ) πρὸς τοὺς τῆς ἐξουσίας ἄρχοντας, κακομηχανίᾳ διαβολικῆς ἐπινοίας εἰς αἰσχρότατον ἄνδρα, φησὶν, ἐπινοηθῆναι παρὰ τῶν τῆς κακίας ἐργατῶν ******. Αἰθίοπα γὰρ αὐτῷ παρασκεύασαν εἰς παράχρησιν τοῦ σώματος αὐτοῦ. Ὁ

---

* ἀλλ' Ep. — 1. πμα τὸν ῦν Ep. ὁ. τὸν ῦν τὸ πν. τὸ ἁγ. Ced. — ** δύναται θεάσασθαι Ep. — 2. ὃ μὴν ἀ. Ep. — 4. πρς τοῦτον εἰσηγεῖται, κτιστὸν δὲ ἅμα βούλεται δὲ ὡς κ. χ. τὸν ῦν αὐτὸν καλεῖσθαι λέγειν Ep. ῦν λ. Ced. — *** καὶ τῶν δαιμόνων τὴν εἰς τὸ ἀρχαῖον ἀποκατάστασιν καὶ τέλος τῆς κολάσεως Ced. Glyc, ἀγγέλους δὲ ταύτας εἶναι κτλ. Ep.— **** εἰς Ced. — 8. μέσης codex.— 9. χαριέντως διηγήσατο Ced. — 11. Ἐδ. δὲ καὶ ἀ. Ced. Ἐδ. γὰρ καὶ ἀσκητῶν Ep. — διὸ a prima manu codicis pro ὥστε cf. ἐπ. διὸ καὶ τὸν Ep. — 12. ἀ. φασί τινες ἀπὸ ὑπ. πολιτείας, ἀσ. τε καὶ ἀποχῆς ἐμψύχων πεπτωκέναι Ep.—13. ἐπ. ἑαυτῷ κατὰ Ep. καὶ κ. τὸ σ. ἐπ. τι Ced. ***** λέγουσι Ep.—14. μὴ ἡ. ὀχλ. Ep.—15. ἐπιθεῖναι Ep. ****** παρ' αὐτοῦ Ced.— 16. ἕτεροι δὲ καὶ ἀ. Ep. ἀναφέρειν τολμῶσιν Ep. — καὶ Ep. Ced. — β. τινὰ εὕρηκεν ἰ. Ep. — 19. Ἐπὶ πλεῖστον φθόνον διεβέβλητο, καὶ μᾶλλον τοῦτο παρώξυνε τοὺς κατὰ καιρὸν τότε τὴν ἐξουσιαστικὴν ἀρχὴν διέποντας κ. δὲ διαβολικῇ Ep.—20. ἐπενόησαν οἱ τῆς κακίας ἐργάται αἰσχρότητα τῷ ἀνδρὶ ἐπινοῆσαι εἰς π. δὴ τοῦ ἁ. σ. Ἀ. ἀ. παρασκευάσαι Ep. — αἰσχρότερον ἄνδρα φασὶν Ced. — ******* τοῦτον ὑπολαβεῖν Ced.

δὲ μὴ φέρων τὴν τοιαύτην βδελυρὰν ἐπίνοιαν, ἐρρήξε φωνήν *, ἀμφοτέρων προτεθέντων αὐτῷ πραγμάτων»· «ἐπεὶ δὲ τοῦτο καθωμολόγησε θῦσαι, βαλόντες ἐπὶ χεῖρας αὐτοῦ λιβανωτὸν, εἰς τὴν τοῦ βωμοῦ πυρὰν καθῆκε· καὶ οὕτω τοῦ μαρτυρίου ἀποκριθεὶς ἀπελύθη καὶ ** τῆς ἐκκλησίας ἐξεώσθη». — Τὴν δὲ Ἀλεξάνδρειαν καταλιπὼν διὰ τὸ ὄνειδος, τὴν Ἰουδαίαν κατέλαβεν. «Ἀνελθὼν δὲ εἰς *** Ἱεροσόλυμα, ὡς ἐξηγητὴς καὶ λόγιος προετρέπετο ἀπὸ τῆς ἱερατείας» «ἐπὶ τῆς ἐκκλησίας εἰπεῖν—πρεσβύτερος γὰρ ἦν—καὶ πολλὰ καταναγκασθεὶς ὑπὸ τῶν ἱερέων, ἀναστὰς (καὶ ἀναπτύξας τὸ βιβλίον) καὶ μόνον τοῦτο εὑρών· «Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ θεός· ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματος σου» ****· πτύξας τὸ βιβλίον ***** ἐκάθησε μετὰ κλαυθμοῦ καὶ δακρύων, πάντων ὁμοῦ συγκλαιόντων αὐτῷ.

(7) Εἰσὶ δὲ πολλὰ καὶ ἕτερα περὶ αὐτοῦ λεγόμενά τε καὶ ᾄδόμενα διὰ τὸ πλῆθος τῆς γνώσεως αὐτοῦ καὶ συνταξεως τῶν βιβλίων ******, μὴ ἀκούων, ὡς ἔοικε τοῦ σοφωτάτου Σολομῶντος φάσκοντος· «Υἱὲ φύλαξον τοῦ ποιῆσαι βιβλία πολλά», καὶ «Μὴ σπεῦδε ἐπὶ στόματί σου, καὶ (ἡ) καρδία σου μὴ ταχυνάτω τοῦ ******* ἐξενέγκαι λόγον ἀπὸ προσώπου τοῦ θεοῦ, ὅτι ὁ θεὸς ἐν (τῷ) οὐρανῷ ἄνω καὶ σὺ ἐπὶ [τῆς] γῆς κάτω· διὰ τοῦτο ἔστωσαν σοὶ λόγοι σου ὀλίγοι»· «εἰσὶ γὰρ λόγοι πολλοὶ πληθύνοντες ματαιότητα»· καί· «Μὴ γίνου δίκαιος πολύ»· «ἐστὶ ******** δίκαιος ἀπολλύμενος ἐν δικαίῳ αὐτοῦ»· καί· «Μὴ σοφίζου περισσά, μήποτε ἀσεβήσῃς». Ταύ-

---

1. τοσ. Ced. — τῆς διαβολικῆς ἐνεργείας ἐπ. Ep. — * τῶν Ep. — 2. ἀ. πρ. Ced. — ἀλλ' ἐπειθὴ ὅλως. — 3. κ. τοῦτο πρᾶξαι Ep. — βαλών τε cod. — χεῖρα Ced. Ep. — λίβανον Ced. Ep. — 4. καθῆκαν Ep. — 5. μ. ἀπὸ τῶν κρατούντων ἀπεβλήθη Ced. μ. ἀπὸ τ. κρ. ὁμολογητῶν τε καὶ μαρτύρων ἀπεβλήθη τότε Ep. — ** ἀπὸ Ep. — ἐξώθ. ced. — τοιοῦτος ἐξ. Ep. — 6. Ἀ. δὲ λιπὼν Ced. — Ἀν. γοῦν Ep. — *** τὰ Ep. — 7. καὶ ὡς 8. τοῦ ἱερατίου Ced. Ep. — προϋπῆρχε Ced; φασὶ γὰρ αὐτὸν καὶ πρεσβυτερίου καταξιωθῆναι Ep. sed. cf. Eus. H. E. VI. 19. — 10. ἀναστὰς ἐπὶ πόδας τὸ β. μ. Ep. ἀν. καὶ τ. μ. τὸ βήτὸν εἰπὼν Ced. Ps. L. 16. — **** καὶ cod. — ***** ἐπέδωκε καὶ Ep. — 13. σὺν ἅ. κλ. Ep. — 14. Ced. 447,16 — 19. — Ἐ. δὲ καὶ ἑ. τὰ π. Ced. — ****** ὅθεν καὶ συντακτικὸς ὠνομάσθη διὰ τὰ πολλὰ πεπσιηκέναι βιβλία Ced. — 17. λέγοντος Ced. Ecclesiastes XII. 12. — φύλασσε τοῦ μὴ ποιεῖν Ced. — V. 2 ἡ om. ut Ced. — ******* μὴ cod. — 19. ἐξενεγκεῖν Ced. — πρὸ πρ. LXX. — 21. Eccl. VI. 11. — 22. ματαίστητ. ced. ματαιότητος Ced. — 22. Eccl. VII. 15 — 17. — ******** γὰρ Ced. — 23. δικαιοσύνῃ Ced.

τας τοίνυν παραγραψάμενος τὰς ἱερὰς παραινέσεις καὶ παραγκωνισάμενος οὐδὲ τοῦ χριστοφόρου προσέσχε τῇ ἐννοίᾳ τε καὶ συνέσει ἐν τοῖς συντάγμασιν ὁ γὰρ θεσπέσιος Παῦλος ἐν παρασκευῇ λόγων παντοίων (δυνατώτατος ὢν, νοήμασί τε ἱκανώτατος γεγονὼς, ὅς) οὐ πλεῖον τῶν βραχυτάτων ἐπιστολῶν γραφῇ παραδέδωκεν, καίτοι μυρία ἀπόῤῥητα λέγειν ἔχων, ἄχρις τῶν μέχρις οὐρανοῦ τρίτου φθάσας θεωρημάτων, ἐπ' αὐτὸν δὲ τὸν θεοπρεπῆ παράδεισον ἁρπασθεὶς καὶ τῶν ἐκεῖσε ῥημάτων ἀνεκφράστων ἀξιωθεὶς ἀκοῦσαι. Καὶ μέντοι οὐδ' οἱ λοιποὶ τοῦ Χριστοῦ φοιτηταί, ιβ' μὲν ἀπόστολοι, ο' δὲ μαθηταί, καὶ ἄλλοι πρὸ τούτων μυρίοι, οὐκ ἄπειροι (94[b]) λόγων ἐτύγχανον· καὶ ὅμως οὖν ἐξ ἁπάντων τούτων τοῦ Κυρίου διατριβῶν * ὑπομνήματα Ματθαῖος ἡμῖν καὶ Ἰωάννης μόνοι καταλελοίπασιν, οὓς καὶ ἐπάναγκες ἐπὶ τὸ γράφειν ἐλθεῖν ἔχει λόγος, ὥσπερ (δὴ) καὶ Μάρκον καὶ Λουκᾶν ὕστερον. Διό ** φησιν ὁ μέγας Μάξιμος· «Ὁ λόγους συγγραφόμενος ἢ πρὸς τὴν ἑαυτοῦ ὑπόμνησιν συγγράφεται ἢ πρὸς ὠφέλειαν ἑτέρων ἢ καὶ ἄμφω ἢ (καὶ) πρὸς βλάβην τινῶν ἢ *** ἐπίδειξιν ἢ ἐξ ἀνάγκης».

(8) Νοσηλευθεὶς δὲ Σευῆρος ἐτελεύτησεν ****.

(9) Ἐπὶ Σευήρου Παῦλος ὁ Σαμοσατεὺς τὴν Ἀρτέμωνος αἵρεσιν ἀνεκαίνισατο.

CXLIV. ΒΑΣΙΛΕΙΑ ΚΑΡΑΚΑΛΛΑ.

Μετὰ ***** Σευῆρον (τὸν Σεπτίμιον) ἐβασίλευσεν Ἀντωνῖνος, ὁ υἱὸς αὐτοῦ ὁ Καρακαλλᾶς, καὶ Γέτας ὁ ἀδελφὸς αὐτοῦ ******. 210 (5412)

(2) Καὶ σφάξας (τὸν ἀδελφὸν αὐτοῦ καὶ τὴν μητρυιὰν λαβὼν εἰς γυναῖκα καὶ κρατήσας ἔτη ζ', ἀνταναιρεῖται ὑπὸ τῶν ἰδίων,

---

2. Θεσπεσίου πρ. Παύλου τῇ Ced. — τὴν ἔννοιάν τε καὶ σύνεσιν cod. — 9. τρισμακάριος Π. Ced. — 4. παντοδαπῶν βραχυτάτας ἐπιστολὰς τῇ γ. Ced. — 6. ἐ. ἅτε τὰ μ. ὁ. τ. θεωρήματα ἐπιφθ. Ced. — ἀναρπ. Ced. — 8. ἀν. β. Ced. — ἀπ. ἀξ. Ced. — 10. οἱ δὲ Ced. — πρὸς ταύτοις Ced. — 11. ἀπ. τῶν τοῦ Ced. — * τὰ Ced. — 14. κατέχει Ced. — ** δὴ Ced. — *** πρὸς Ced. — 18. Ced. 442,18—20. — **** ἐν πολέμῳ Leo, Οὗτος ὁ Σ. ἐν πολέμοις σχολάζων νόσῳ τελευτᾷ καταλιπὼν παῖδας τρεῖς.Ced. — 19. Ced. 442,17. — 22. Ced. 448,20. — ***** δὲ Ced.— Ἀ. τῆς Σεβήρου καὶ Ced. — ****** μῆνας β' Ced. ἔτη ς', μ. β'. Leo. cf Spart. 9: imperavit a. VI.—24. Ced. 448,21,22.

αὐτός) τὸν ἴδιον ἀδελφὸν ἐν τῷ κόλπῳ τῆς μητρὸς κατέσφαξεν.

(3) Σαραπίων δέ τις μαθηματικὸς ἔλεγεν, ὡς τεθνήξαντα Ἀντωνῖνον καὶ Μακρῖνον αὐτὸν διαδέχεσθαι, καὶ ἔδειξεν αὐτὸν* δακτύλῳ παρεστῶτα μετὰ τῆς συγκλήτου. Ὁ δὲ ὑπὸ θυμοῦ, μᾶλλον δὲ ὑπὸ τῆς τύχης, οὐ συνῆκε τῷ προσώπῳ Μακρίνου, ἀλλ' ἕτερον τὸν πλησίον ἐκέλευσεν ἀποκτανθῆναι. Ὁ δὲ Μακρῖνος ἐσπούδαζε τὸν Ἀντωνῖνον προκαταλαβεῖν, καὶ τοῦ Ἀντωνίνου ἀπὸ τοῦ ἵππου κατελθόντος ἐν κυνηγίῳ εἰς ἀπόπατον, ἑκατόνταρχον ἀποστείλας, τοῦτον τῷ ξίφει ἀνεῖλεν, εἰπὼν πρὸς αὐτόν· «Ὡς σὺ τὸν ἀδελφὸν ἀπέσφαξας, οὕτως κἀγώ σε».

(4) Ἐπὶ αὐτοῦ Ὠριγένης διάφορα συγγράματα καταλέλοιπε μετὰ καὶ τῆς τῶν Ἑβραίων σημειώσεως, τὰ λεγόμενα ἑξαπλᾶ.

CXLV. ΒΑΣΙΛΕΙΑ ΜΑΚΡΙΝΟΥ.

217 (5419) Μετὰ Ἀντωνῖνον ἐβασίλευσε Μακρῖνος** ἔτος α', μῆνας β'.

(2) Εὐτυχιανὸς δὲ τις προλαβὼν τὸν Ἀβῖτον ὡς Ἀντωνίνου υἱὸν*** μοίχειον, περιέθηκε διάδημα καὶ αὐτοκράτορα ἀνηγόρευσεν· καὶ δοὺς χρυσίον τοῖς στρατιώταις συνέβαλε πόλεμον μετὰ Μακρίνου· καὶ ἡττηθεὶς Μακρῖνος ἔφυγε καὶ ἀπεσφάγη μετὰ τοῦ υἱοῦ αὐτοῦ.

---

1. μρς ἐμονάρχησεν ἔτη ς' Ced. Οὗτος τὸν ἴδιον ἀδ. ἐν τῳ κ. τῆς μ. ἀπεσφ. Leo. — 3. Ced. 448,22—449,8 Σερ. — τεθνήξεται οὐκ εἰς μακρὰν Ἀντωνῖνος καὶ Μακρῖνος ἀ. διαδέξεται Leo, Ced. — 5. αὐτῷ Leo. — * τῷ Ced. — 7. τὸ πρόσωπον Ced. — 8. ἐσπούδασε Ced. — 9. ὃν ἀπὸ τοῦ ἱ. κατελθόντα Ced. — 17. Ced. 449, 11.— ** ὃς ἦν τὸ γένος Μαῦρος Καππαδόκης ἔτη ή Ced. sed cf. Victorem, Eutropium Lampridium: XIV menses (217 Ap. 11—218 Iunii 8). — 18. Ced. 449,12. — παραλ. Leo, Ced. — *** ὄντα Ced. — 21. ἡττηθ. (ἡττήθη) M. καί γε καὶ ἀπ. cod. — υἱῶν Leo.

CXLVI. ΒΑΣΙΛΕΙΑ ΑΒΙΤΟΥ.

Μετὰ Μακρῖνον ἐβασίλευσεν Ἀβῖτος ὁ Ἡλιογάβαλος ἔτη γ', μῆνας θ'. (218 (5420))

(2) Οὗτος γυναικώδης ἦν, ὥστε Ἱεροκλέα ἔννομον αὐτοῦ ἄνδρα ποιῆσαι.

(3) Ἐσφάγη δὲ διὰ τὰς ἀκαθαρσίας αὐτοῦ, καὶ ἐβασίλευσεν Ἀλέξανδρος ἐξάδελφος αὐτοῦ.

(4) Ἀβῖτος τὸν ἰατρὸν παρεκάλεσε διφυῆ αὐτὸν δι' ἀνατομῆς ποιεῖν ἐμπροσθίου.

CXLVII. ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΑΝΔΡΟΥ.

Μετὰ δὲ Ἀντωνῖνον τὸν καὶ Ἀβῖτον ἐβασίλευσεν Ἀλέξανδρος ὁ Μαμαίας** ἔτη [ι]γ', μῆνας η' καὶ ἐσφάγη σὺν τῇ μητρὶ αὐτοῦ (Μαμαίᾳ ἐξ ἐπιβουλῆς Μαξίμου στρατηγοῦ). (222 (5424))

(2) Ἐπὶ αὐτοῦ γέγονε λιμὸς ἐν Ῥώμῃ, ὥστε*** κρεῶν ἀνθρωπίνων αὐτοὺς ἅψασθαι.

(3) Οὗτος στρατεύσας κατὰ Περσῶν ἡττήθη κατὰ κράτος καὶ καταφρονηθεὶς ἐσφάγη, (καὶ προεβάλοντο οἱ στρατιῶται Μαξιμῖνον).

(4) Μαμαία ἡ Ἀλεξάνδρου μήτηρ θεοσεβὴς ἐτύγχανε καὶ τὸν Ὠριγένην ἐν Ἀντιοχείᾳ διατρίβουσα μετεπέμψατο πρὸς ἑαυτήν, τοῦ διδαχθῆναι τὸ κατὰ Χριστὸν μυστήριον· (διὸ καὶ εἰρήνη πολλὴ ὑπῆρχε ταῖς ἁγίαις ἐκκλησίαις δι' αὐτῆς).

---

2. Ced. 449,17—19.—Γαλβαλᾶς cod. — ' ἡμέρας δ' sed potius subtrahendi sunt dies IV ab 8°. Iunii 218 ad quartum Martii 222.—4. Ced. 449,20—22 γ. δὲ ὢν τοσοῦτος ἦν πρὸς τὸ της ἀσελγείας πάθος διακείμενος ὥστε καὶ τὸν Ἱερ. — 6. Ced. 450,1. — 8. Ced. 449,22 e Dione 79. XXIV. 16. — ἠντιβόλει Leo, Ced. — ἐντομῆς Ced. τομῆς Leo, sed. Dio: ἀνατομῆς. — 9. ἐμπροσθίας Ced. om. Dio. — Ced. 450,3, 6,7? — ** υς Ced. — 14. Ced. 450,4,5. — *** καὶ Ced. — ἀ. ἀν. Ced. Leo. — 16. Ced. 450, 5—7. — ἐκστρ. Ced. Leo. — 17. κατ. σφάττεται μετὰ τῆς μητρὸς αὐτοῦ Ced. — 19. Ced. 450,7—9 ἥτις καὶ χριστιανὴ ἐτ. Ced. — 20. διατρίβοντα Ced. Leo, — 21. ἐ. δ. τὸ κ. χν μ. θ'λουσα Ced.

(5) Ἐφ' οὗ Νάρκισσος, ἐπίσκοπος Ἱεροσολύμων, ἐν τῷ βαπτίζειν, ἐλαίου τοῦ χρίσματος λείψαντος, ἐκέλευσε ὕδωρ ἐν τῷ κρατῆρι βληϑῆναι, καὶ εὐξάμενος ἔλαιον πεποίηκεν.

CXLVIII. ΒΑΣΙΛΕΙΑ ΜΑΞΙΜΙΝΟΥ.

237 (5437) Μετὰ Ἀλέξανδρον ἐβασίλευσε Μαξιμῖνος ἔτη ς'. Οὗτος ποιμὴν ὢν καὶ μετὰ ταῦτα στρατίωτης γεγονὼς*, ὑπὸ τοῦ δήμου καὶ τῆς βουλῆς (95ª) προεβλήϑη βασιλεύς.

(2) Μετὰ δὲ ταῦτα ἐσφάγη δολίως παρὰ (Πουπίνου) Μαξίμου καὶ Βαλβίνου.

(3) Οὗτος κακῶς τῷ Ἀλεξάνδρου οἴκῳ χρησάμενος, διὰ τὸ τοὺς χριστιανοὺς τιμᾶν ὁ Ἀλέξανδρος, διωγμὸν μέγαν κατὰ τῶν χριστιανῶν ἤγειρεν.

(4) Ἐφ' οὗ Λαυρέντιος καὶ Κυπριανός, Βαλβῖνος, Εὐλάμπιος καὶ Εὐλαμπία καὶ ὁ ἅγιος Σώζων ἐμαρτύρησαν.

CXLIX. ΒΑΣΙΛΕΙΑ ΠΟΥΠΙΝΟΥ.

238 Mart. Iun. Μετὰ Μαξιμῖνον ἐβασίλευσε Πουπῖνος Πουπλιανὸς μῆνας γ'.

(2) Τῷ αὐτῷ δὲ τρόπῳ ἀπεσφάγησαν καὶ οὗτοι ὑπὸ τῶν στρατιωτῶν.

(3) Ὁμοίως καὶ Γορδιανὸς ὁ γεγονὼς Καῖσαρ παρὰ Μαξιμίνου καὶ αὐτὸς βασιλεύσας ἀνῃρέϑη, ὡς κωλύσαντος Φιλίππου τοῦ ἐπάρχου τὸν σῖτον διακομισϑῆναι τῷ στρα-

---

1. Ced. 450,9 — 12. — 3. καὶ οὕτως προσευξάμενος εἰς ἐ. μετέβαλε Ced. — 5. Ced. 450,13 — 16. M. ἐβ. ἔτη ς' ut Leo. — 6. ὢν πρότερον εἶϑ' οὕτως στ. Ced. — * καὶ μετὰ ταῦτα στρατηγὸς Ἀλεξάνδρου δι' ἀνδρίαν σώματος καὶ σύνεσιν καὶ φρόνησιν Ced. Leo. — 7. προεχειρίσϑη Ced. — 8. Ced. 450,18—20 ἐπάξιον δὲ τῆς αὐτοῦ ἀνοσιούργου γνώμης τὸ τέλος εὔρατο σφαγεὶς δ. π. M. καὶ B. — 10. ὃς ἔχϑει τῷ πρὸς Ἀλέξανδρον πολλοὺς χριστιανοὺς ἔχοντα καὶ τιμῶντα δ. ἡ. μ. κ. χ. Ced. 450, 16—18. — 13. Ced. 451,2,3. sub Gordiano: Βαβύλας, Λ. K. καὶ Εὐγένιος γέγονεν ἐπίσκοπος Βυζαντίου ἔτη κε'. — 16. M. Βαλβῖνον ἐβ. Πουπλιανὸς μ. β' καὶ ἐσφάγη ἐν πολέμῳ Ced. 451,5,6. — 17. De Balbino et Gordiano Leo, Ced. — 19. Ced. 450, 22 — 451,2. ὁ δὲ Γ. προεγέγονει K. π. M. Φίλιπκος δὲ ὁ ἔπαρχος τὸν σ. δ. τῷ στ. ἐκώλυσεν.

τῷ. Οὗτος δὲ (ὁ Φλιππος) ἦν (ὁ) πατὴρ τῆς ἁγίας* Εὐγενίας.

(4) Ἐπὶ Μαξίμου καὶ Γορδιανοῦ Ἀφρικανὸς ὁ συγγραφεὺς ἐγνωρίζετο.

[CL]. ΒΑΣΙΛΕΙΑ ΒΑΛΒΙΝΟΥ.

Μετὰ δὲ Πούπλιον ἐβασίλευσε Βαλβῖνος Ἰουνίωρ μῆνας γ', ὃς πρῶτος ἐποίησε κανδιδάτους καὶ προτήκτορας· καὶ τὸ τάγμα τῶν σχολαρίων συστησάμενος ἐκάλεσεν αὐτὸ Ἰουνιώρων εἰς τὸ ἴδιον ὄνομα. 238 Mart.

CLI. ΒΑΣΙΛΕΙΑ ΓΟΡΔΙΑΝΟΥ.

Μετὰ δὲ Βαλβῖνον ἐβασίλευσε Γορδιανὸς **, υἱὸς αὐτοῦ, ἔτη ς'. καὶ ἐν (τῷ) πολέμῳ συμπεσὼν τῷ Ἵππῳ καὶ μηροκλασθεὶς ἀπέθανεν. 238 Mart. (3140)

(2) Μετὰ Γορδιανὸν ἐβασίλευσε Ἰουνίωρ, ὁ υἱὸς αὐτοῦ, ἔτη β' καὶ ὑδεριάσας ἀπέθανε.

(3) Ἐφ' οὗ Ἑβραῖός τις χριστιανοῖς συνοιδοπορῶν ἐν ἐρήμῳ τόπῳ (ἐν Συρίᾳ) καὶ ἀῤῥωστήσας, ὥστε μὴ δύνασθαι αὐτὸν κινεῖσθαι παντελῶς, συνεβουλεύσαντο οἱ σὺν αὐτῷ χριστιανοὶ μετὰ πολλῶν δακρύων καταλεῖψαι αὐτὸν, ὑφορώμενοι μὴ καὶ αὐτοὶ συνδιαφθαρῶσιν ἐκ τῆς ἀνυδρίας τοῦ τόπου καὶ ἐρημίας. Οὓς ἰδὼν ἀπιέναι μέλλοντας ὁ Ἰουδαῖος ἤρξατο μετὰ κλαυθμοῦ πρὸς αὐτοὺς λέγειν· «Ὁρκίζω ὑμᾶς τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ κατελθόντα ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων καὶ μέλλοντα κρῖναι ζῶντας καὶ νεκρούς, μὴ ἐάσατέ με ἀποθανεῖν Ἑβραῖον, ἀλλὰ βαπτίσατέ με,

---

* μάρτυρος Cod. Leo. — 4. Μάξιμος B. καὶ Γορδιανὸς μῆνας β' καὶ ἀπεσφάγη ὑπὸ στρατιωτῶν Cod. 450,21—22.—Ποπλίου?—M. δὲ τοῦτον (Βαλβῖνον) ἐβ. Cod. 451, 7—10. ΚΗ' Slav.—11. Cod. 451,11,12.—** ὁ Cod.—δ' Cod. sed A. Victor. XXVIII. 1. Gordianus nepos Gordiani anos sex. — 12. θλασθεὶς τὸν μηρὸν Cod. — 13. βασιλεία Ἰουνίωρος Cod. 451,13,14. — Βαλβῖνον cod. — Ἰουνωρ cod. Οὐνίωρος Cod.—15. Περὶ τοῦ βαπτισθέντος Ἰουδαίου μετὰ τῆς ψάμμου, rubrica cod. Cod. 439,21 — 440,19 de Veri tempore, in quod propter distinctionem inter laicos et ordinibus sacris insignitos haec minus quadrant; accedit, quod ep. Alexandriae Dionysius nonnisi in annos 249 — 265 cadit; Glyc. sub Philippo refert. — σ. χρ. Cod.— κατὰ τὴν ἔρημον καὶ ἀῤῥωστίᾳ συσχεθοὶς Cod. cetera breviora exhibens.

καὶ οὕτως ἀπέλθατε». Οἱ δὲ φασίν· «Οὐκ ἔξεστιν ἡμῖν τοῦτο ποιῆσαι κοσμικοῖς οὖσι καὶ χειροτονίαν μὴ ἔχουσιν, ἀλλ' οὐδὲ πάλιν ὕδωρ ἔστιν ἐνταῦθα, καθὼς ὁρᾷς». Ὁ δὲ μᾶλλον ἐπέμενε τοῖς αὐτοῖς ὅρκοις ἐκβιαζόμενος αὐτοὺς καὶ κατακρίνων. Ἐν πολλῇ οὖν ἀπορίᾳ γενόμενοι, εἶπεν εἷς ἐξ αὐτῶν πρὸς τοὺς λοιπούς· «Ἐγείρατε αὐτὸν καὶ ἐκδύσατε». Καὶ μετὰ πολλοῦ κόπου τοῦτον ὀρθώσαντες καὶ ἀποδύσαντες, ἐκεῖνος τὰς χεῖρας αὐτοῦ ψάμμου πλήσας, κατέχεεν ἐπὶ τῆς κεφαλῆς τοῦ Ἰουδαίου λέγων ἐκ τρίτου· «Βαπτίζεται Θεόδωρος εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος» (ἀποκρινομένων τῶν ἄλλων καθ' ἕκαστον ὄνομα τὸ ἀμήν). Καὶ παραχρῆμα τοσοῦτον ἐνίσχυσεν ὥστε σὺν πολλῇ προθυμίᾳ καὶ εὐρρωστίᾳ βαδίζειν μετ' αὐτῶν. Ἐλθόντων δὲ αὐτῶν ἐν Ἀλεξανδρείᾳ καὶ ταῦτα διηγησάντων τῷ ἀρχιεπισκόπῳ Διονυσίῳ καὶ τοῦτον ἐκθαμβήσαντων, εὐθὺς πάντα τὸν κλῆρον συναθροίζει καὶ ἀνατίθεται αὐτοῖς τὸ πρᾶγμα, εἴτε ἄρα ἐλογίσθη τῷ Ἰουδαίῳ εἰς βάπτισμα ἡ τῆς ψάμμου ἐπίχυσις εἴτε οὔ; Καὶ οἱ μὲν ἔλεγον· «Ἐλογίσθη, μαρτυρούσης τῆς ἀθρόας αὐτοῦ ὑγιείας»· οἱ δὲ οὐ παρεδέχοντο διὰ τὸ μὴ τοιαύτην ἔχειν τὴν ἐκκλησίαν παράδοσιν καὶ μάλιστά γε τοῦ Κυρίου πρὸς τὸν Νικόδημον εἰρηκότος· «Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, (95[b]) οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Τούτων τοίνυν καὶ ἑτέρων λαληθέντων, ἔδοξε τῷ ἁγίῳ Διονυσίῳ βαπτισθῆναι αὐτόν, καὶ ἀποστείλας αὐτὸν εἰς τὸν Ἰορδάνην ποταμὸν ἐβάπτισεν· τὸν δὲ προβαπτίσαντα αὐτὸν διὰ τῆς ψάμμου, ἄξιον αὐτὸν ὑπάρχοντα, διάκονον ἐχειροτόνησεν. Εἰκότως οὖν καὶ ὁ μέγας Γρηγόριος ἀπαριθμήσας τὰ βαπτίσματα πάντα φησίν· «Ἐβάπτισε Μωϋσῆς (ἀλλ') ἐν ὕδατι καὶ πρὸ τούτου ἐν νεφέλῃ καὶ (ἐν) θαλάσσῃ». — «Ἐβάπτισε καὶ Ἰωάννης, οὐκέτι μὲν ἰουδαϊκῶς· οὐ γὰρ ἐν ὕδατι μόνον, ἀλλὰ καὶ εἰς μετάνοιαν» — «Βαπτίζει καὶ Ἰησοῦς, ἀλλ' ἐν πνεύματι· τοῦτο ἡ τελειότης». Οἶδα δὲ καὶ τέταρτον βάπτισμα, τὸ διὰ μαρτυρίου καὶ αἵματος»· — «οἶδα ... καὶ ε' ἔτι, τὸ διὰ δακρύων». — Οὐκοῦν

---

3. ἔχοντας cod. — 6. γενομένων? — 9. ἐπέχεεν ἐπὶ τὴν κεφαλὴν τρίτον λέγων Ced. — θ' αὖ? — 14. συζητήσεως παρὰ τοῦ πάπα Διονυσίου γενομένης περὶ τούτου Ced. — διηγησάμενοι—ἐκθαμβήσαντες cod. — 20. Io. III. 5. — 27. Or. 39, 634 C. — θῇ cod. — 31. Ὁ. καὶ Gr. — δὲ cod. ε'. ἔτι τῶν δ. Gr. ε' τὸ τῶν δ. Ced.

δικαίως οὐ παρεδέξαντο καὶ λίαν ἁρμοδίως ἐκεῖνο τὸ βάπτισμα. (Ποῖον γὰρ ἐνταῦθα ἐβαπτίσατο, ἵνα ὡς βέβαιον καὶ θεῖον κυρωθῇ; Ποῦ νῦν εἰσὶν οἱ κοσμικούς τινας καὶ γυναῖκας λέγοντες βαπτίσαι ποτὲ κατὰ περίστασιν, μὴ παρόντος ἱερέως καὶ εἰς βάπτισμα θεῖον καὶ τέλειον αὐτοῖς φιλονεικοῦντες, μᾶλλον δὲ τερατολογοῦντες καὶ βλασφημοῦντες ἐκ πολλῆς ἀγνωσίας καὶ αὐθαδείας, μηδὲ τῆς ἱερᾶς τῶν ἀποστόλων διδασκαλίας καὶ παραγγελίας ἀκούοντες τῆς λέγουσης· «Οὐκ ἐπιτρέπομεν λαϊκὸν ποιεῖν τι τῶν ἱερατικῶν, οἷον θυσίας ἢ βάπτισμα ἢ χειροθεσίαν ἢ εὐλογίαν μικρὰν ἢ μεγάλην»· καί· «Οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμήν, ἀλλὰ καλούμενος ὑπὸ θεοῦ· διὰ γὰρ τῆς ἐπιθέσεως τῶν χειρῶν τοῦ ἐπισκόπου δίδοται ἡ τοιαύτη ἀξία. Ὁ δὲ μὴ ἐγχειρισθεὶς ταύτην, ἀλλ' ἁρπάσας καὶ τυραννήσας αὐτὴν ἑαυτῷ, τὴν ἁμαρτίαν καὶ τὴν τιμωρίαν τοῦ Σαοὺλ καὶ Ὀζίου ὑποστήσεται». Οὐ μὴν δὲ, «ἀλλ' οὐδὲ τοῖς λοιποῖς κληρικοῖς ἐπιτρέπομεν βαπτίζειν, οἷον διακόνοις ἢ ἀναγνώσταις ἢ ψάλταις ἢ ὑπηρέταις, ἀλλ' ἢ μόνοις ἐπισκόποις καὶ πρεσβυτέροις, ἐξυπερητουμένων αὐτοῖς τῶν διακόνων — οἱ δὲ τολμῶντες τοῦτο, τῶν Κορητῶν ὑποίσουσι τὴν δίκην — καὶ μέντοι οὐδὲ πρεσβυτέροις χειροτονεῖν διάκονον ἢ διακόνισσαν ἢ ἀναγνώστας ἢ ὑπηρέτας ἢ πυλωρούς ἀλλ' ἢ μόνοις τοῖς ἐπισκόποις. Αὕτη γάρ ἐστιν ἡ τάξις ἡ ἔννομος ἐκκλησιαστικὴ καὶ θεάρετος ἁρμονία καὶ κατάστασις». Μάτην οὖν ἐρεσχελοῦσιν ἢ, τόγε ἀληθέστερον εἰπεῖν, θεομαχοῦσιν οἱ τὰ τῆς ἱερωσύνης χαρίσματα καὶ ἐνεργήματα κοσμικοῖς ἀνδράσι καὶ γυναιξὶν ἀπονέμοντες ἐπὶ καταστροφῇ τῶν ἀκουόντων καὶ πειθόμενοι τῇ ματαιολογίᾳ καὶ φλυαρίᾳ τῶν μηδὲ ὅτι ποτέ ἐστιν ἱερωσύνη καὶ διαφορὰ κοσμικοῦ τε καὶ ἱερέως πάμπαν εἰδότες.)

CLII. ΒΑΣΙΛΕΙΑ ΙΟΥΣΤΙΛΛΙΑΝΟΥ.

Μετὰ Ἰούνωρον ἐβασίλευσε Ἰουστιλλιανὸς ἔτη β' καὶ φλεβοτομηθεὶς ἐξεχύθη τὸ αἷμα αὐτοῦ ἐν τῷ καθεύδειν καὶ λειποθυμήσας ἀπέθανε.

---

8. Τοῦτο εἴρηται ἐν τῷ γ' βιβλίῳ τῶν ἀποστολικῶν διατάξεων. C. 10. et 11.—14. 2 Chr. XXVI.—15. ὁ. ἀν. ἢ ψ. ἢ πυλωροῖς ἢ ὑπ. C.—17. ἐξυπερητουμ. ἀ. τοὶς διακόνοις cod. — ' ἢ ᾠδοὺς C. — 20. ἀλλὰ μ. C. — 23. αἱρεσιολογοῦσι? — 29. Cod. 451,17 — 19. Marci (Philippi) annos III huic Hostiliano praemittens. -30. ἐν τῷ κ. ἐξ. τὸ ἀ. Cod.

CLIII. ΒΑΣΙΛΕΙΑ ΦΙΛΙΠΠΟΥ.

244
(5445) Μετὰ Ἰουστιλλιανὸν ἐβασίλευσε Φίλιππος (σὺν υἱῷ αὐτοῦ) ἔτη ε'. Οὗτος γνησίως ἐπίστευσεν εἰς τὸν Χριστὸν, συνέσει καὶ ἐπιεικείᾳ κεκοσμημένος· ὡρμᾶτο δὲ ἀπὸ Βόστρων.

(2) Κτίσας δὲ πόλιν ἐν τῇ Εὐρώπῃ ἐκάλεσεν αὐτὴν ἐπὶ τῷ ἰδίῳ ὀνόματι Φιλιππούπολιν.

(3) Οὗτος σπονδὰς εἰρηνικὰς (96ª) ἐποίησε μετὰ Σαπώρου, τοῦ Περσῶν βασιλέως, [ὃς ἐθαυμάζετο ἐπὶ] μεγέθει σώματος· μέχρι γὰρ ἐκείνου* οὐκ ἦν ἄνθρωπος τοιοῦτος
251 φ[ανερωθείς.
(5452) (4) Ἀνηρέθη δὲ ἅμα] τῷ υἱῷ (ὁ Φίλιππος) ἀγωνιζόμενος ὑπὲρ χριστιανῶν ὑπὸ Δε[κίου], (ὃς καὶ κατέσχε τὴν βασιλείαν ἔτη β'.

(5) Ἐπὶ τούτου διωγμοῦ μεγάλου [γεγονότος], πολλοὶ ἐμαρτύρησαν.
253
(5454) (6) Τοῦτον διαδέχεται Γάλλος καὶ Βολοσιανὸς ἔτη β'.

CLIV. ΒΑΣΙΛΕΙΑ ΟΥΑΛΕΡΙΑΝΟΥ.

255
(5456) Τούτους Οὐαλλεριανὸς καὶ Γαλλιανὸς διαδέχονται ἔτη ιε'.

(2) Μετὰ δὲ Φίλιππον ἐβασίλευσε** Οὐαλλεριανὸς ἔτος α' καὶ ἐσφάγη ὑπὸ τοῦ λαοῦ***.

CLV. ΠΕΡΙ ΤΗΣ ΛΟΙΜΙΚΗΣ ΝΟΣΟΥ.

Ἐφ' οὗ ἐπὶ πᾶσαν τὴν οἰκουμένην τοῦ θεοῦ ὀργὴν μεγάλην ἐκπέμψαντος, λοιμώδης νόσος τὸ ἀνθρώπινον γένος διέφθειρεν (εἰς

---

2. Ced. 451,20—22. — 3. ζ' Eus. Ced. — ὃς ὑπῆρχε τῆς τῶν Χριστιανῶν πίστεως σπουδαστής συν. Ced. — 4. Βοστρας Leo, Ced. cum seqq. conjungentes, sed Βόστρων Zon. — 5. Ced. 451,22,23· τῆς Εὐρώπης ἔνθα καὶ π. ὡ. ὀνομάσας ἀ. Φ. — 7. Ced. 451,23—452,2.—ἐποίει Ced.—Σ. β. Π. Ced.—* τοῦ χρόνου Ced. Leo.—9. τηλικοῦτος ἀν. οὐκ ὤφθη Ced. Leo, Glyc. — 10. φ. codex mutilus in angulo hujus foliī superiori.— 11. Ced. 452,2,3.—υἱῷ ὑ. χ. κατὰ Δ. ἀγ. Ced. — 19. Ced. 452,4. — ** Δέκιος cod. — *** αὐτοῦ Ced. — 22. Ced. 452,4 — 12 quum pestis fuerit sub Gallo et Volusiano a. 253 (Ced. 452,19—23), sub Decio (Eus. II. 209).

ἐξάλειψιν)· ἀπὸ γὰρ τῆς γῆς καὶ τῆς θαλάσσης ἀτμοί τινες ἀνῆσαν· καὶ πρὸς τούτοις ἄνεμοι καὶ αὖραι τῶν ποταμῶν καὶ λιμνῶν ἀνιμήσεις ἀνέπνεον, ὡς νομίζειν νεκρῶν ἰχῶρας εἶναι τὰς δρόσους. Συνεχῶς οὖν ἐκ τοῦ τοιούτου λοιμοῦ τὴν γῆν συνεῖχε βαρέα καὶ ἀνίατα νοσήματα, ὡς ἄπειρον καὶ ἀναρίθμητον γενέσθαι τῶν ἀνθρώπων τὸν ὄλεθρον· θρῆνοί τε καὶ οἰμωγαὶ διὰ τὸ πλῆθος τῶν ὀλλυμένων ἐγίνετο πανταχοῦ καὶ οὐδὲν τῶν ἐπὶ θανάτου τῶν πρωτοτόκων Αἰγύπτου ἀπολειπόμενον· οὐ γὰρ ἦν οἰκία, ἐν ᾗ οὐκ ἦν τεθνηκὼς ἀπώζων· καὶ οἱ μὲν τῶν ἐθνῶν ἀπηνεῖς ἄνθρωποι τὴν τοῦ νοσήματος ἐκτρεπόμενοι βλάβην καὶ τὴν τοῦ θανάτου μετάδοσιν, ἀτάφους καὶ ἡμιθανεῖς ἔρριπτον τοὺς ἀνθρώπους, οὐ συγγενῶν, οὐ φίλων, οὐκ ἄλλων τινῶν ἐγγυτέρων φειδόμενοι, εἰ καὶ τὴν ὀργὴν καὶ τὸν ὄλεθρον οὐκ ἐξέφυγον. Οἱ δὲ πλεῖστοι τῶν φοβουμένων τὸν Κύριον, ἀπαραφυλάκτως τοὺς νοσοῦντας θεραπεύοντες (καὶ τοῦ πάθους μεταλαμβάνοντες, τοῦ βίου ἀπηλλάττοντο· ἄλλοι δὲ ἑτέρους νοσοκομίσαντες καὶ ἀνεθῆναι τῆς νόσου ποιήσαντες, ἀπεγένοντο) εἰς αὐτοὺς τὸν ἐκείνων θάνατον ἐπισπασάμενοι.

CLVI. ΒΑΣΙΛΕΙΑ ΓΑΛΛΟΥ.

Μετὰ δὲ Οὐαλλεριανὸν ἐβασίλευσε Γάλλος, υἱὸς αὐτοῦ, μῆνα ἕνα· (2) καὶ ἐσφάγη καθεύδων ὑπὸ τῆς ἰδίας γυναικός. 253 (5454)

CLVII. ΒΑΣΙΛΕΙΑ ΔΕΚΙΟΥ.

Μετὰ δὲ Γάλλον ἐβασίλευσε Δέκιος ἔτη β΄ καὶ ἐσφάγη (ἐν τῷ πολέμῳ σὺν τοῖς αὐτοῦ παισὶν) ὑπὸ Σκυθῶν ὑποθήκαις 251 (5452)

---

3. ἀπέπνεον Cod. — 4. συνεχεῖς Cod. — ἐκ τούτου λοιμοὶ Cod. — συνεῖχον καὶ Cod. — 5. ν. καὶ ἀπ. Cod. — 6. ὀλ. ὥστε τοὺς πλείονας τῶν τεθνεώτων ἀτάφους ὑπολιμπάνεσθαι — μετεδίδοτο δὲ ἡ νόσος αὕτη ἀπό τε εἱμάτων καὶ ψιλῆς θέας· οὐ γὰρ Cod. — 8. τ. οὐκ ἦν Cod. — 9. καὶ οἱ μὲν φόβῳ τοῦ μὴ μεταλαβεῖν τῆς νόσου, ἀτάφους εἴων τοὺς τεθνηκότας, οἱ εὐσεβέστεροι δὲ ἀπ. Cod. — 17. τὴν νόσον ἐπεσπῶντο καὶ σὺν ἐκείνοις ἢ μετ' ἐκείνοις τὸν βίον μετήλλαττον Cod. — 19. Cod. 432, 13. — Γ. καὶ Βουλουσιανὸς ἔτη β΄, μ. η΄. Cod. Kas. -- 20. Cod. 453,3. — 22. Cod. 453,6,20—24, Λ΄ Slav. — ἀνηρέθη δὲ Δ. ὑπὸ Ceδ.

Γάλλου (καὶ Βολοσιανοῦ) ἐν τέλματι ἀποπνιγέντες, ἀξίαν τιμωρίαν τῆς ἑαυτῶν ϑηριωδίας εὑρόντες, ὡς μηδὲ μέρος τι τῶν σωμάτων αὐτῶν εὑρεϑῆναι.

(2) Ἐπὶ τούτου ἦν Κλήμης ὁ στρωματεύς, Ἀφρικανὸς καὶ Γρηγόριος ὁ ϑαυματουργὸς) καὶ Ναυάτος πρεσβύτερος, ὃς τοὺς ἐπιϑύσαντας καὶ μετανοοῦντας οὐκ ἐδέχετο.

(3) Ἐπὶ Δεκίου ὁ ἅγιος Κυπριανὸς ἐμαρτύρησε καὶ οἱ ζ' παῖδες οἱ ἐν Ἐφέσῳ καὶ (οἱ δ' ἐν Κρήτῃ), Βαβύλας Ἀντιοχείας καὶ Φλαυιανὸς Ῥώμης καὶ Ἀλέξανδρος Ἱεροσολύμων καὶ Διονύσιος Ἀλεξανδρείας ἐμαρτύρησαν (καὶ ἄλλοι ἀναρίϑμητοι)· καὶ Ἐλκεσαῖος ὁ αἱρεσιάρχης ἐγνωρίζετο.

(4) Οὗτος (ὁ Δέκιος) ἐϑέσπισεν ἐν Ῥώμῃ τὰς χριστιανὰς γυναῖκας μὴ ἐξεῖναι κατακαλύπτεσϑαι τὴν κεφαλήν, οἰόμενος διὰ τῆς νομιζομένης αἰσχύνης ταύτης εἰς εἰδωλολατρείαν (αὐτὰς) ἑλκύσαι· αἱ δὲ μᾶλλον (προϑύμως) ἀκατακάλυπτοι προῆσαν· (96ᵇ) ὅϑεν ἄχρι τοῦ νῦν αἱ [μὲν ἀκριβεῖς χριστιανῶν γυναῖκες ἀκατάλυπτοι προέρχονται, αἱ δὲ] Ἰουδαῖαι καὶ ἄπιστοι κατακαλύπτονται.

CLVIII. ΒΑΣΙΛΕΙΑ ΑΙΜΙΛΙΑΝΟΥ.

253 (5476) Μετὰ δὲ Δέκιον ἐβασίλευσεν [Αἰμιλιανὸς ἔτος α'] καὶ ἐσφάγη ἐν τῷ πολέμῳ.

CLIX. ΒΑΣΙΛΕΙΑ ΓΑΛΛΙΗΝΟΥ ΚΑΙ ΟΥΑΛΕΡΙΑΝΟΥ.

253 (5476) Μετὰ Αἰμιλιανὸν ἐβασίλευσε [Γαλλιηνὸς ἔτη ιε'] καὶ ἐσφάγη ἐν τῷ πολέμῳ.

---

1. ἐν πάλματι cod. — ἀποπνιγεὶς μετὰ τοῦ ἰδίου υἱοῦ ὡς μ. τὰ σώματα ἀ. ἐ. ἄξιον τῆς ϑ. ἀ. τὸν ϑάνατον εὑράμενοι Ced. — 5. Ced. 453,17 — 19. — 6. ἐπ. ἐν διωγμῷ μ. οὐκ ἐδ. Ced. — 7. Ced. 453,7,15—20. — K. καὶ ἡ ἁγία Ἰουστῖνα ἐμαρτύρησαν καὶ οἱ ἐν Ἐ. ζ' π. καὶ πλῆϑος ἁγίων πολύ. — 12. Ced. 453,9—15. — * δόξαν ἡγούμεναι τὴν ὑπὲρ Χριστοῦ δοκοῦσαν ἀτιμίαν παρὰ τοῖς ἀνϑρώποις, quum verbis ὅϑεν ἄχρι τοῦ νῦν αἱ Ἰ. καὶ ἄ. solis locus sit in angulo folii decerpto. — 19. [ΛΒ' Slav.] Ἀ. ἐβ. Ced. 454,1. — μηνᾶς δ' Leo cum Victore. — ἐν τῷ παλατίῳ ὑπὸ τῶν στρατιωτῶν Ced. — 22. Ced. 454,9. Οὐαλεριανὸς καὶ Γαλλιῆνος Leo, Ced. — 23. ὑπὸ στρατιωτῶν πλησίον Μεδιολάνων Ced.

(2) Ἐφ' οὗ Ἀρτέμων καὶ Συνέπων οἱ αἱρεσι[άρχαι ἐγνωρίζ]οντο καὶ Γρηγόριος ὁ ϑαυματουργὸς (καὶ μαϑητὴς Ὠριγένους) διέπρεπεν.

CLX. ΒΑΣΙΛΕΙΑ ΚΛΑΥΔΙΟΥ.

[Μετὰ Οὐαλερια]νὸν ἐβασίλευσε Κλαύδιος ἔτη β'. Οὗτος πάππος γέγονε Κωνσταντίου, [τοῦ] πατρὸς Κωνσταντίνου τοῦ* μεγάλου. 269 (5471)

(2) Ἐπὶ αὐτοῦ οἱ Σκύϑαι περάσαντες καὶ τὰς πόλεις πορϑήσαντες, [ἀ]πελϑόντες εἰς Ἀϑήνας παρέλαβον αὐτὰς καὶ συναγαγόντες πάντα τὰ βιβλία ἐβούλοντο καῦσαι· ὡς φρονῶν δέ τις ἐξ αὐτῶν ἐκώλυσεν αὐτούς, εἰπών, ὅτι περὶ ταῦτα οἱ Ῥωμαῖοι σχολάζοντες τῶν πολέμων ἀμελοῦσιν.

(3) Οὗτος Αὐρηλιανὸν εἰς τὴν βασιλείαν προαγαγὼν (νόσῳ) τελευτᾷ.

(4) Ἐπὶ Κλαυδίου ἐμαρτύρησαν οἱ ἅγιοι Μάμας, Ἀεϑαλεὺς καὶ Ἰουλλία καὶ Φίλιππος.

CLXI. ΒΑΣΙΛΕΙΑ ΚΥΝΤΙΛΙΑΝΟΥ.

Μετὰ Κλαύδιον ἐβασίλευσε Κυντιλιανὸς** ἡμέρας ζ'. 271 (5472)

CLXII. ΒΑΣΙΛΕΙΑ ΑΥΡΗΛΙΑΝΟΥ.

(Μετὰ τοῦτον) ἐβασίλευσεν Αὐρηλιανὸς ἔτη ς', ἀνηρέϑη δὲ ὑπὸ στρατιωτῶν μεταξὺ Ἡρακλείας καὶ Βυζαντίου ἐν τῷ καλουμένῳ καινῷ φρουρίῳ καὶ ἐκεῖ ἐτάφη***. Αὐρηλιανὸς

---

7. Cod. 454.9,10. — 3. ἤκμαζε Cod. — 5. Cod. 454,11,12. — * ἁγίου Leo, ἁγ. καὶ μ. Cod. — 8. Cod. 454,12—17 Ἐ. τούτου. — π. παραλαβόντες καὶ τὰς Ἀ. συνήγαγον π. τὰ β. καὶ ἠβ. κ. εἰ μή τις ἐξ ἀ. κρεῖττον τῶν ἄλλων κατὰ πολὺ φ. ἐκ Cod.— 13. Cod. 454,17,18. — 18. Cod. 454,19. — ** ἀδελφὸς Κλαυδίου Cod. ΛΕ Slav. — 20. Cod. 455,1 — 8. Λ' Slav. — 22. φρ. ὅπερ ἐγχωρίως κενοφϑώριον λέγεται· εἶχε γὰρ ὡ. Ἀ. τινα, ὃς ἀνέφερεν ἀ. Cod. — *** Ἐπὶ Αὐρηλιανοῦ ψεκάδας φασὶ κατενεχϑῆναι ἀργυρᾶς (Scholion).

γὰρ ὠτακουστὴν ἔσχεν ἀναφέροντα αὐτῷ πάντα τὰ γενόμενα καὶ λεγόμενα, ὃς ἀπειληθεὶς ποτε παρ' αὐτοῦ διά τινα αἰτίαν καὶ φοβηθεὶς, ἐμιμήσατο τὴν χεῖρα τοῦ βασιλέως καὶ ἐγγράφως ποιησάμενος ὀνομασίας δυναστῶν ὡς ἐπὶ θάνατον αχθησομένων, οἳ φοβηθέντες ἀνεῖλον αὐτόν.

(2) Ἐπὶ τούτου ὁ ἅγιος Χαρίτων ὡμολόγησε, καὶ Μάνης ὁ μιαρὸς καὶ τρισκατάρατος ἀνεφύη, Χριστὸν ἑαυτὸν καὶ πνεῦμα ἅγιον (ὁ δαιμωνιώδης) μορφαζόμενος· (διὸ καὶ μαθητὰς ιβ' ὡς ὁ Χριστὸς ἐπαγόμενος) καὶ ἐκ πάσης αἱρέσεως εἴ τι κακὸν ἐρανισάμενος, ἐκ Περσίδος εἰς τὴν Ῥωμαίων γῆν κατὰ θεοῦ συγχώρησιν εἰσέφρησεν.

Οὗτος οὖν ὁ μεμηνὼς Μάνης, ὁ καὶ Σκυθιανὸς λεγόμενος, Βραχμάνης ὢν τὸ γένος, διδάσκαλον δὲ ἔσχε Βουδᾶν τὸν πρώην καλούμενον Τερέβινθον, ὃς (καὶ) παιδευθεὶς ὑπὸ Σκυθιανοῦ τὰ Ἑλλήνων δοξάζοντος, τὴν Ἐμπεδοκλέους ἠγάπησεν αἵρεσιν, δύο ἀρχὰς λέγοντος ἀντικειμένας ἀλλήλοις. Εἰσελθὼν δὲ ἐν Περσίδι ἐκ παρθένου ἑαυτὸν ἔφασκε γεγεννῆσθαι καὶ ἐν τοῖς ὄρεσιν ἀνατραφῆναι· καὶ συγγραψάμενος βιβλία δ', τὸ μὲν ἐπωνόμασε μυστήριον, τὸ δὲ ' εὐαγγέλιον, τὸ δὲ θησαυρὸν, τὸ δὲ κεφαλήν.

Καὶ ὁ μὲν Βουδᾶν οὗτος ὁ καὶ Τερέβινθος ὑπὸ πνεύματος ἀκαθάρτου συντριβεὶς ἀπώλετο, γυνὴ δέ τις, παρ' ᾗ (καὶ) κατέλυσε καὶ κατελύθη, τὰ χρήματα καὶ τὰς βεβήλους βίβλους (αὐτοῦ ἐξαγίστους) κληρονομήσασα, ὠνεῖται παιδάριον ἐτῶν ζ', τοὔνομα Κούρβικον, ὃν καὶ διδάξασα γράμματα καὶ ἐλευθερώσασα κληρονόμον τῶν ἑαυτῆς πάντων καθίστησιν. Ὁ δὲ λαβὼν τὰ βιβλία τοῦ Βουδᾶ καὶ τὰ χρήματα, διήρχετο τὴν Περσίδα Μάνην ἑαυτὸν ὀνομάζων (κατὰ τὴν τῶν Περσῶν γλῶσσαν, οἱονεί τινα διαλεκτικόν)· καὶ τῆς πλάνης τοῦ Βουδᾶ συνίστωρ γενόμενος, καὶ τὰ βιβλία πονήματα ἴδια ἔλεγεν εἶναι.

---

1. γιν. Cod. — 2. λ. ἀπ. οὖν π. Cod. — 4. ποιησαμένου Cod. — 5. οὗτοι φ. Cod.—6. Περὶ τοῦ Μανέντος. Taciti a°. 6°. Eus. Cod. 455,8—457,1.—καὶ Παῦλος ὁ Σαμοσατεὺς τοῦ θρόνου Ἀντιοχείας καθαιρεῖται, ἐφ' οὗ Cod, ἐπὶ Αὐρηλιανοῦ Leo. — 9. ἐρανιζόμενος Cod. — 18. τῶν μυστηρίων Cod. — ' τὸ Cod. — 19. τῶν θησαυρῶν Cod. — τῶν κεφαλῶν Cod. — 20. Βούδας ὁ Cod. — 21. καὶ κατετέθη Cod. — 23. Κούβρικον Cod. — 28. γενόμενον cod.

Ὃν ὁ βασιλεὺς Περσῶν ἐξέδειρε ζῶντα ὡς θανάτου γενόμενον αἴτιον τοῦ υἱοῦ αὐτοῦ. Τοῦ γὰρ βασιλικοῦ παιδὸς νοσοῦντος καὶ πολλῆς ἰατρικῆς ἐπιμελείας ἀπολαύοντος, ἐπηγγείλατο Μάνης χωρὶς ἰα(97°)τρείας ἀναστῆσαι τοῦτον· καὶ οὕτω τοὺς ἰατροὺς ἀποστήσως ἐθανάτωσε τὸ παιδίον (τῇ) ἀμελείᾳ καὶ τερατολογίᾳ· ὑπὲρ δὲ τούτου μισθὸν ἐπάξιον εἰκότως κομίζεται τὴν ἐκδορὰν τοῦ παναθλίου αὐτοῦ σώματος.

(Τούτου δὲ μαθηταὶ γεγόνασι τρεῖς· Θωμᾶς καὶ Βουδδᾶς καὶ Ἑρμᾶς, ἐξ ὧν οὗτος ὁ Θωμᾶς βίβλον ἐξέδωκε λεγομένην εὐαγγέλιον κατὰ Θωμᾶν· μηδεὶς τοίνυν ἀναγινωσκέτω τὸ κατὰ Θωμᾶν εὐαγγέλιον. Οὐ γάρ ἐστιν ἑνὸς τῶν ιβ', ἀλλ' ἑνὸς τῶν τριῶν κακῶν τοῦ Μάνη μαθητῶν).

Ὁ τοίνυν ἐμβρόντητος οὗτος Μάνης ἀποβαλλόμενος τὴν παλαιὰν διαθήκην καὶ τὴν κτίσιν πᾶσαν καὶ τὴν τοῦ ἀνθρώπου κατασκευήν, οὐκ ἀγαθοῦ τινὸς γεγονέ[ναι θεοῦ] βλασφημῶν, ὑπὸ φθορὰν καὶ ἀλλοίωσιν οὖσαν, τὴν νέαν ὡς ἀγαθοῦ δῆθεν προσίεται, θεοῦ καὶ κατὰ φαντασίαν καὶ δόκησιν τὸν Χριστὸν πεφηνέναι τερατεύεται· καὶ πρὸς τούτοις καταδύσεις τινὰς ἐναγεῖς καὶ νυκτερινὰς τελετὰς καὶ παρανόμους ἐπιτηδεύσας μίξεις καὶ ἀῤῥητοποιΐας καὶ εἱμαρμένην καὶ μετενσωματώσεις καὶ ἄλλα πλεῖστα φλυαρήσας (καὶ δράσας) καὶ διδάξας, τὰ τῶν Ἑλλήνων πονηρὰ καὶ ἄθεα δόγματα κρατύνειν ἐσπούδαζεν ὁ θεομισὴς καὶ θεήλατος.

(3) Περὶ οὗ φησὶ καὶ Θεόδωρος πρεσβύτερος ὁ τῆς Ῥαιθοῦ· « Μάνης ὁ τοῦ ἀντιθέτου σκότους ἐφευρετής, μᾶλλον δὲ τῆς ἐξουσίας τοῦ σκότους ἀνάπλασμα, φαντασίᾳ ψιλῇ καὶ σχήματι διακένῳ σώματος ἀνθρωπείου πεφανερῶσθαι τὸν Κύριον ἐφαντάσθη καὶ ὠνείρωξεν· ὥστε φησὶ πάσχειν μὲν δοκεῖν αὐτὸν καὶ πράττειν ἅπερ ἔδρα καὶ πέπονθε καθ' ἡμᾶς, μηδὲν δὲ τούτων ἀληθείᾳ καὶ πράγ-

---

1. γ. τῷ υἱῷ ἀ. προξενον Ced.—4. ἀν. τοῦτο cod.—5. τὸν παῖδα Ced.—καὶ ὑ. τ. Ced.—13. ἐμβρόντιστος cod.—15. γ. θῦ Ced.—16. προσιέναι cod.—17. πεφυκέναι Ced.—20. εἱμαρμένας Ced. — πλείονα Ced. — 21. π. καὶ μάταια δ. Ced. — 22. ἐσπούδακεν Ced. 457,1—10 cf. Bibliothecam Maximam VIII. 335 D, E. — 26. φαντασίαν ψιλὴν cod. ι adscriptum pro ν legens. — ' καὶ Ced. — 29. μηδὲν τὸν ἀληθείᾳ π. cod.

ματι ὑπάρξαι, ἀλλὰ δοκήσει μόνον καὶ ἀπάτῃ ἀποβουκολεῖν τοὺς ἀνθρώπους οἷς καὶ συνανετράφθαι νενόμισται. Διὰ τοῦτο καὶ φύσεις δύο παραιτεῖται λέγειν περὶ τοῦ Κυρίου, ἀλλὰ μίαν * τῆς θεότητος».

261 (5462) (4) «Παῦλος δέ τις τῷ Μανέντι τούτῳ σύγχρονος γεγονὼς, τὸ γένος μὲν Σαμοσατεύς, Ἀντιοχείας δὲ τῆς μεγάλης πρόεδρος, ψιλὸν εἶναι ἄνθρωπον τὸν Κύριον ἐδυσφήμησεν· ὥσπερ δὲ εἰς ἕκαστον τῶν προφητῶν, οὕτω καὶ ἐν αὐτῷ γεγενῆσθαι τοῦ θεοῦ λόγου τὴν οἴκησιν· ἔνθεν ** καὶ δύο φύσεις διῃρημένως ἐχούσας καὶ ἀκοινωνήτους πρὸς ἑαυτὰς εἶναι παντάπασιν ἐν Χριστῷ, ὡς ἄλλου ὄντος αὐτοῦ τοῦ Χριστοῦ καὶ ἄλλου τοῦ ἐν αὐτῷ κατοικοῦντος θεοῦ λόγου. Αὗται μὲν οὖν αἱ πρῶται φωναὶ τοῦ μίαν φύσιν καὶ τὰς δύο κακῶς καὶ δυσφήμως ἐπὶ Χριστοῦ λέγεσθαι, τὸ μὲν ἐπ' ἀναιρέσει τῆς θεότητος, τὸ δὲ *** ἀνθρωπότητος».

CLXIII. ΠΕΡΙ ΑΠΟΛΛΙΝΑΡΙΟΥ.

370 «Ἐν δὲ τοῖς ἑξῆς χρόνοις Ἀπολλιναρίός τις ἀνεφύη, προέδρος Λαοδικείας τῆς Συρίας, ματαιοφροσύνης ἑτέρας ἡγησάμενος· τῶν γὰρ Ἀρειανῶν ἄψυχον πάντῃ λεγόντων τὴν τοῦ Κυρίου σάρκα, αὐτὸς ἔφη, ὅτι σάρκα μὲν ἐμψυχωμένην ψυχῇ ζωτικῇ ἀνέλαβεν ὁ Κύριος, νοῦν δὲ τὸν ἡμέτερον οὐ προσήκατο, μηδὲ γὰρ δεῆσθαι **** φησὶν ἐκείνην ἀνθρωπείου νοὸς, ἡγεμονευομένην ὑπὸ τοῦ αὐτὴν ἐνδεδυκότος θεοῦ λόγου, ἀλλὰ μηδὲ χωρεῖν αὐτὴν ἄλλην νοερὰν δύναμιν παρὰ τὴν θείαν. Ταῦτα ὑποθέμενος διατείνεται μίαν φύσιν εἶναι τοῦ λόγου [καὶ] τῆς σαρκὸς, ὡς ἅτε τῆς σαρκὸς ἀτελοῦς οὔσης εἰς τὸν ἄνθρωπον, καὶ διὰ τοῦτο μὴ ἀξίαν φύσιν ὀνομάζεσθαι».

---

1. δ. μᾶλλον καὶ Ced.—2. συνεστράφθαι Ced.—λέγων ἐπὶ τοῦ Ced.—* τὴν Ced.—5. Περὶ Παύλου τοῦ Σαμοσατέως Ced. 457,11 — 20 e Theodoro 3.13 F, Valeriani et Gallieni a. 7°.—7. ἀνσν ἑ. τὸν χν Ced.— ** δὲ Ced.—10. αὐτοῦ ὁ. Ced.—11. κ. ἐν ἀ. Ced.—12. φυαὶ Ced. cf. infra ἀνεφύη l. 16 et p. 362,7.—13. χῳ Ced.— *** τῆς Ced.—16. Ced. 457,21 — 458,8 e Theodoro 335, F,G. — ἐφόη Ced. — 17. εἰσηγ. Ced. — 19. ἐψυχ. Ced. — **** τὴν σάρκα Ced. — 21. φα. cod. — 23. ἑ. τὴν φ. Ced. — 24. σαρκῶσεως Ced. — 25. εἰς τὸ εἶναι ἀνὸν Ced. — ἄξιον φύ. cod. ἄξιον φησὶν Ced.

CLXIV. ΠΕΡΙ ΘΕΟΔΩΡΟΥ ΜΟΨΟΥ ΕΣΤΙΑΣ.

«Μεθ' ὃν ἀναφαίνεταί τις Θεόδωρος, τῆς Μόμψου ἑστίας, πό- 393
λεως ἐν τῇ Κιλικίᾳ, τὴν ἡγεμονίαν λαχών· (97[b]) καὶ ἐκ διαμέτρου τῷ Ἀπολιναρίῳ φερόμενος ὕβρεις οὐ τὰς τυχούσας τολμηρᾷ ψυχῇ καὶ ἀφόβῳ καρδίᾳ καταχέει τοῦ δεσπότου Χριστοῦ, ἄνθρωπον ἕνα τῶν καθ' ἡμᾶς καὶ κοινὸν ἀποκαλῶν *, ἐκ προκοπῆς λαβόντα τὴν χάριν τοῦ θεοῦ, θεὸν ὀνομάζεσθαι, καὶ ἐκ τοῦ ἐν Ἰορδάνῃ βαπτίσματος ἀξιωθῆναι τῆς τοῦ ἁγίου πνεύματος δωρεᾶς, ἐν πρώτοις εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος βαπτισθέντα, τὸν δὲ θεὸν λόγον διὰ τὴν ὑπερβάλλουσαν ἀρετὴν αὐτοῦ κατ' εὐδοκίαν [ἑαυτοῦ κατοικήσαντα μεταδοῦναι τῆς θεϊκῆς ἀξίας] αὐτῷ καὶ προσκυνήσεως εἰς ὕστερον μετὰ τὴν τελείωσιν. Ταῦτα καὶ ἕτερα ** πολλὰ τοιαῦτα δυσφημήσας, δύο φύσεις ἰδιοπεριορίστως ἐδογμάτισεν ἐπὶ Χριστοῦ, σχέσει τινὶ καὶ μόνον *** ἀλλήλαις οἰκειωμένας· δευτέρα καὶ αὕτη βλάστησις τοῦ μίαν φύσιν καὶ δύο φύσεις ἐν Χριστῷ μὴ κατὰ τὸν ὀρθὸν λόγον ὁμολογεῖσθαι».

(2) Μετὰ δὲ τούτους γέγονέ τις Νεστόριος ὀνόματι, ἀπὸ Γερ- 428
μαν[ικ]είας τῆς Συρίας, τοῦ θρόνου Κωνσταντινουπόλεως δραξάμενος· ὁμοίως τῇ φωνῇ τῶν ἐν Χριστῷ δύο φύσεων κακοφρόνως ἀπεχρήσατο, Παύλῳ καὶ Θεοδώρῳ, τοῖς ἑαυτοῦ προγόνοις, ἑπόμενος· υἱὸς μὲν γὰρ ἦν τοῦ Κίλικος, ἀπόγονος δὲ τοῦ Σαμοσατέως· καὶ διὰ τοῦτο πρὸς τὴν ἁγίαν παρθένον ἄσπονδον ἤρατο πόλεμον, ἐξαρνούμενος τὸν ἑαυτοῦ Κύριον καὶ ἀτιμάζων τὴν ἑαυτοῦ δέσποιναν, ὁ δειλαιος δοῦλος καὶ ἀναίσχυντος. Οὗτος οὖν ὁ δεινὸς Νεστόριος, (τρίτος) πρωτοστάτης γέγονε τῆς Ἰουδαϊκῆς ταύτης αἱρέσεως, ἄλλον εἶναι παρ' ἑαυτῷ τὸν Χριστὸν καὶ ἄλλον τὸν θεὸν λόγον κατὰ τὴν πατρικὴν αὐτοῦ πλάνην ἐδογμάτισε».

---

2. e Theodoro 335 H. Μεθ' ὧν Ced 458,9—23. — Μόψου Ced. — * καὶ Ced. — ** ἄττα Ced. — 13. ἰδιοπεριωριστ. cod. — *** καὶ cod. — 14. φκειωμ. Ced. — 17. Περὶ Νεστορίου e Theodoro 335 H — 336 B, Ced. 459,1 — 11. — ὀνόματι N. Ced. — 18. τὸν θρόνον cod. — 24. Νεστόριος προστάτης γεγονὼς Ced. — 26. θεοῦ Ced.

CLXV. ΠΕΡΙ ΕΥΤΥΧΟΥΣ.

447 «Τῆς δὲ κατὰ Μάνην καὶ Ἀπολιναρίου ἀντιθέτου μοίρας τρίτος πάλιν ὑπασπιστὴς Εὐτυχὴς, ἡγούμενος μοναστηρίου Κωνσταντινουπόλεως, ἀνεδείχθη, ὃς μὴ ἀνεχόμενος ὁμοούσιον ἡμῖν καὶ ὁμοφυῆ τὴν σάρκα τοῦ Κυρίου διομολογεῖν, ἀπηρνεῖτο, σώζεσθαι λέγων ἐν τῷ Χριστῷ δύο φύσεις μετὰ τῆς τούτων ἑνώσεως· καὶ συμφυΐας· οὐ μὴν δὲ, ἀλλὰ καὶ τερατώδη τινὰ καὶ ἀλλόκοτα παρέπλαττεν, ἐξ οὐρανοῦ λέγων κατιέναι τὸ σῶμα τοῦ Κυρίου, καὶ, ὡς διὰ σωλῆνος τῆς παρθένου, παραδραμεῖν τὸν θεὸν λόγον, οὐρανόθεν τοῦτον ἐνδεδυμένον, ἵνα δόξῃ γεγενῆσθαι ἐκ γυναικὸς, καίπερ μὴ γεγενημένος. Μανιχαῖος οὗτος ὁ λόγος καὶ πεφαντασμένος πολλῷ μᾶλλον ἐκείνου μίαν φύσιν καὶ οὗτος διεστραμμένῃ καρδίᾳ τὸν Χριστὸν ἐπρέσβευσεν».

510—512 (2) Εἶτα Σευῆρός τις λεγόμενος, ἁρπάσας τὸν θρόνον Ἀντιοχείας, τὴν κατὰ Μάνην αὖθις, Ἀπολιναρίόν τε καὶ Εὐτυχέα διεκδικεῖν αἵρεσιν ἐπειρᾶτο, κυκῶν, ὅση δύναμις αὐτῷ, τὴν τῆς ἐκκλη-
519 σίας εἰρήνην. Ἐξελαθεὶς δὲ τῆς Ἀντιοχέων ὡς στασιώδης καὶ ταράξας, τὴν Ἀλεξανδρέων κουφοτάτην, λαίλαπος καὶ θυέλλης δίκην, ἐνέσκηψεν· ἔνθα καὶ ἑτέρας καταιγὶδος ἀντιπνευσάσης αὐτῷ τε καὶ τῷ λαῷ, συνέχεε πάντας καὶ ἐθορύβησε.

(3) Διεσκέδασε γὰρ αὐτοὺς Ἰουλιανός τις καλούμενος, Ἁλικαρνασσοῦ μὲν τῆς Ἀσίας ἐπίσκοπος, τῆς δὲ Εὐτυχιανῆς κακοδοξίας προστάτης εὐθυμότατος. Σευήρου γὰρ μίαν φύσιν λέγοντος τὸν Χριστὸν καὶ τὴν ἐν Χριστῷ διαφορὰν δεχομένου, Ἰουλιανοῦ δὲ μίαν μὲν κατὰ** Σευῆρον φάσκοντος φύσιν, ἀναιροῦντος δὲ τὴν διαφορὰν, αἴτιοι πάσης ταραχῆς (98ª) καὶ ζάλης γεγόνασιν οἱ ἀνόσιοι, «μὴ νοοῦντες — κατὰ τὸ δὴ λεγόμενον, — μήτε ἃ λέγουσι μήτε περὶ τίνων διαβεβαιοῦνται» [οἵτινες πρὸς ἡμᾶς διαμάχονται] λαμ-

---

2. e Theodoro 336 BC, Ced. 459,12 — 24. — Μάνεντα Ced. — 5. λέγειν codex. — * τε Ced. — 8. κατενεχθῆναι Ced. — 14. Περὶ Σευήρου, e Theodoro 338 C? Ced. 360,1—7. — 15. Μάνεντα Ced. — 17. Ἀντιοχείας ὁ στ. Ced — ταραξίας τῇ Ἀλεξανδρέων κουφότητι Ced. — 21. Περὶ Ἰουλιανοῦ, e Theodoro 338 A? Ced. 460,7. — ** τὸν Ced. — 26. 1 Tim. I. 7. — 28. λαμβάνοντες cod.

βάνοντας εἰς παράδειγμα τῆς θείας ἑνώσεως τὸν ἐκ ψυχῆς καὶ σώματος ἄνθρωπον, καὶ φασίν· «οὐκοῦν τρεῖς ὁμολογεῖτε φύσεις;» (4) Ἀλλ' ἴστωσαν οἱ ἀμαθεῖς καὶ ἀπαίδευτοι, ὅτι δύο φύσεις ἡμεῖς λέγομεν, οὐ θεοῦ καὶ σαρκός, οὔτε μὴν θεοῦ καὶ ψυχῆς, ἀλλὰ θεοῦ καὶ ἀνθρώπου· οὐδὲ γάρ ἐστι κυρίως ἀνθρώπου φύσις ἡ τοῦ μέρους φύσις· μέρη μὲν γὰρ ἀνθρώπου, ψυχὴ καὶ σῶμα, μέρη δὲ τῶν μερῶν αἱ περὶ αὐτῶν διαιρέσεις τε καὶ ὑποδιαιρέσεις· καὶ μέρη μὲν Χριστοῦ ἀσύγχυτα θεότης καὶ ἀνθρωπότης, ψυχὴ δὲ καὶ σῶμα (οὐ μέρη Χριστοῦ), ἀλλὰ μέρη τοῦ μέρους· μέρη μὲν τῶν μερῶν τοῦ ἀνθρώπου ἐπὶ μὲν ψυχῆς, οὐσία λογικὴ καὶ ποιότης ἀσώματος, ὧν τὸ μὲν ἡγεμονικόν, τὸ δὲ θυμικόν, τὸ δὲ ἐπιθυμητικόν· (καὶ) τούτων τὸ μὲν ἐννοηματικὸν (καὶ) διανοητικόν, μνημονευτικόν τε καὶ βουλευτικόν, τὸ δὲ ὀρεκτικὸν καὶ ἑλκτικόν, τὸ δὲ ἀμυντικόν· καὶ πολλὰ ἕτερα τούτοις ὑποδιαιροῦνται. Ἀφείσθω (δὲ) τὰ νῦν ζητεῖν πότερον ὡς μέρη ταῦτα εἰσὶν ἐν τῇ ψυχῇ ἢ ὡσ(εἰ) δυνάμεις· ἐπὶ δὲ τοῦ σώματος πάλιν διαιρέσεις γίνονται ἰσομοιρῇ, καὶ τούτων ἔτι εἰς κεφαλὴν καὶ χεῖρας καὶ πόδας καὶ ταῦτα εἰς ὀστέα καὶ σάρκα καὶ νεῦρα, καὶ ταῦτα εἰς δ' στοιχεῖα, καὶ ταῦτα εἰς ὕλην καὶ εἶδος. Πολλὰ δὲ [καὶ] ἕτερα φιλοσοφοῦσιν ἰατρῶν παῖδες περὶ δυνάμεων φυσικῶν, ὧν τὴν μὲν ἑλκτικήν, (τὴν δὲ καθεκτικήν), τὴν δὲ ἀλλοιωτικήν, τὴν δὲ ἀποκριτικὴν ὀνομάζουσιν, πολλὰ δὲ * περὶ αἰσθήσεως καὶ φαντασίας καὶ τοῦ συνέχοντος τὸ ζῷον ζωτικοῦ καὶ ὀργανικοῦ πνεύματος ἑτέρου παρὰ τὸ λογικόν, ὥς φασι, ὑπάρχοντος· ὥσπερ τοίνυν ἀπόχρη πρὸς τὸ παραστῆσαι ταῦτα πάντα διὰ τὸ σάρκα εἰπεῖν ἢ σῶμα ἀνθρώπου· καὶ ἀπόχρη πάλιν διὰ τῆς λογικῆς ψυχῆς τὸ, εἰς ἃ διαιρεῖται μέρη, δηλῶσαι· (οὕτως ἀπόχρη ἄνθρωπον ἢ φύσιν ἀνθρώπου εἰρηκότα, πάντα δηλῶσαί) τε καὶ παραστῆσαι τὰ ἐξ ὧν συνέστηκε (καὶ) ἐν οἷς γνωρίζεται. Οἱ δὲ οὐχ ἵνα τὸν ἄνθρωπον τέλειον ἀποφήνωσιν, ἀλλ' ἵνα τὸν Κύριον συκοφαντήσωσι καὶ τῆς ἡμετέρας αὐτὸν ἀλλοτριώσωσι φύσεως, καὶ ἢ

---

3. Ced. 460,17—462,3. — ὅταν δύο φ. λ. ἡ. Ced. — 7. π. αὐτὰ Ced. — 8. θεότητος καὶ ἀνθρωπότητος cod. — 15. ἡ δὲ Ced. — 16. διαίρεσις γίνεται εἰς ὁμοιομερῆ Ced. ισομοιμερῆ cod. — 17. καὶ ν. καὶ σ. Ced. — 19. φ. δ. Ced. — * καὶ Ced. — 24. ὥστε Ced. — 25. τοῦ σάρκα cod.

μὴ εἰληφότα τὴν ἀρχὴν τὸ ἡμέτερον ἢ μὴ σῶον φυλάξαντα ὅπερ ἔσχε παρ' ἡμῶν. Ταῦτα καὶ τὰ τοιαῦτα σοφιζόμενοι καὶ παρὰ τὸ παράδειγμα κακουργοῦντες, εἰς ἀφύκτους καὶ ἀδιεξοδεύτους κατα-πεπτώκασι λαβυρίνθους.

(5) Ἀμέλει γέ τοι καὶ Θεοδώρητος ἔφη περὶ τούτων καὶ τῶν τοιούτων ἀνοσίων οὕτως· «Εἰσὶ μέντοι γέ τινες οἱ καὶ χριστιανῶν μὲν προσηγορίαν ἔχοντες, ἄντικρυς δὲ τοῖς τῆς ἀληθείας δόγμασι πολεμοῦσιν· (α') οἱ μὲν γὰρ τὸ ἀγέννητον εἰς τρία τέμνουσι καὶ τὸ μὲν καλοῦσιν ἀγαθόν, τὸ δὲ κακόν, τὸ δὲ δίκαιον· (β') οἱ δὲ δύο ἀρχὰς ἀγεννήτους ζωγραφοῦσι τῷ λόγῳ ἀλλήλαις ἐναντίας ἐκ διαμέτρου· (γ') ἄλλοι τοῖς * ἀσεβέσι τούτοις πολεμεῖν ἐπαγγέλλονται δόγμασιν, ἑτέραν (98[b]) δὲ δυσσεβείας ἐπινοοῦσιν ὁδόν· τὸν γὰρ τοῦ θεοῦ μονογενῆ, λόγον ὁμολογοῦντες υἱόν, ὡς ποίημα τῇ κτίσει συναριθμοῦσι καὶ (δ') τὸν κτίστην ἰστῶσι μετὰ τῆς κτίσεως καὶ (ε') τὸ ἅγιον πνεῦμα τῷ δυσσεβεῖ λόγῳ τῆς θείας ἐξορίζουσι φύσεως. — Ἄλλοι δὲ ἄλλως τὴν θεῖαν ὁδὸν ἀπολέσαντες **, πόρρω που τῆς ἀληθείας ἐγένοντο· (ς') καὶ οἱ μὲν τὴν ὑπὲρ ἡμῶν γεγενημένην οἰκονομίαν παντελῶς ἀπηρνήσαντο· (ζ') οἱ δὲ ὁμολογοῦσι μὲν ἐνανθρωπῆσαι τὸν θεὸν λόγον, σῶμα δὲ μόνον ἀνειληφέναι. (η') Οἱ δὲ ἔμψυχον μὲν καλοῦσι τὴν ληφθεῖσαν σάρκα, οὐ τὴν λογικήν τε καὶ νοεράν ἐν ταύτῃ γεγενῆσθαι ψυχήν, ἴσως τὴν οἰκείαν ἄνοιαν τούτου τεκμήριον ἔχοντες· ἡμετέραν δὲ ἀνθρώπου ψυχὴν οὐδεμίαν ἴσμεν ἑτέραν ἢ τὴν λογικὴν καὶ ἀθάνατον. (θ') Καὶ ἄλλοι δὲ πάλιν εἰς δύο τὸν ἕνα Χριστὸν διατέμνουσιν *** ἕτερον **** εἶναι διατεινόμενοι τὸν ἐκ παρθένου τεχθέντα τέλειον ἄνθρωπον, ἕτερον δὲ τὸν ἐκ θεοῦ πατρὸς λόγον· καὶ τὸν μὲν ὡς ἄνθρωπον, ἰδίᾳ τιθέντες καὶ ἀνὰ μέρος, τὸν δὲ ὡς θεὸν φύσει τε καὶ ἀληθείᾳ υἱὸν ὀνομάζουσιν. (ι')

---

1. προσειλ. Ced.—φ. σῶον Ced.—2. περὶ Ced.—5. Ced. 462,3—463,6. Nec in tribus libris Eranistae nec in quinque Epitomes inveniuntur haec apud Theodoretum.— 7. ἔχουσιν Ced. — * μὲν Ced. — 12. ἕτεροι cod. — 16. εὐθεῖαν Ced. — ** καὶ τοῖς τῶν προωδευκότων ἴχνεσιν παρακολουθήσαντες in margine a secunda manu, παρακολουθῆσαι μὴ βουληθέντες Ced. — 17. ὑμῶν Ced. — 20. οὐ μὴν λ. δὲ καὶ Ced. — 22. ἡμεῖς δὲ Ced. — 23. Καὶ ἀ. μὲν π. Ced. — *** καὶ Ced. — **** μὲν Ced. — 27. θ'ν pro ὖν Ced.

Ἄλλοι δὲ παρατετράφθαι φασὶν τὸν ἐκ θεοῦ πατρὸς λόγον εἰς ὀστέων καὶ νεύρων καὶ σαρκὸς φύσιν *».

CLXVI. ΒΑΣΙΛΕΙΑ ΤΑΚΙΤΟΥ.

Μετὰ Αὐρηλιανὸν ἐβασίλευσε Τάκιτος ἔτη β′. 277 (5478)

Οὗτος Μαξιμῖνον συγγενῆ αὐτοῦ (ὄντα) ἐπέστησε τῇ Ἀσσυρίων· (3) ὃν διὰ τὰς ὑπ᾽ αὐτοῦ γενομένας ἀδικίας ἀνελόντες οἱ στρατιῶται **, φοβηθέντες μὴ ἐκδικήσῃ αὐτὸν ὁ Τάκιτος, ἀπέκτειναν *** αὐτόν· καὶ γεγόνασι δύο βασιλεῖς Πρόβος καὶ Φλωριανός.

CLXVII. ΒΑΣΙΛΕΙΑ ΦΛΩΡΙΑΝΟΥ.

Μετὰ Τάκιτον ἐβασίλευσαν Πρόβος καὶ Φλωριανὸς ἔτη β′, μῆνας β′. 277 (5478)

(2) Οὗτος (οὖν) ὁ Πρόβος παράφρονα ἑαυτὸν ποιήσας ἀνεῖλε τὸν Φλωριανόν.

CLXVIII. ΒΑΣΙΛΕΙΑ ΠΡΟΒΟΥ.

Ἐπὶ αὐτοῦ βροχῆς γεγονυίας, σῖτος **** κατηνέχθη πολύς, ὃν (καὶ) συναγαγόντες σωροὺς μεγάλους ἐποίησαν· ὡσαύτως καὶ (ἐπὶ Αὐρηλιανοῦ, ὡς εἴρηται, ἄνωθεν) ψεκάδας ἀργυρᾶς κατενεχθῆναί φασι.

(2) Βικτωρῖνος δὲ φίλος τοῦ Πρόβου ᾔτησε φίλον αὐτοῦ γενέσθαι ἄρχοντα εἰς Βρεττανίαν· ὁ δὲ ἀπελθὼν ἀντῆρεν.

---

* ταῦτα πάντα δυσσεβῶς δογματίζοντες Ced. — 4. Ced. 463,7—10 (ΑΖ Slav.)— μῆνας ς′ Eus. Eutrop. — 5. Ἀσσυρίᾳ Leo, Ced. — 6. τῆς ὑπ᾽ αὐτοῦ γενομένης Ced.— ** εἶτα Ced. Leo. — *** καὶ Ced. Leo.—11. ἀ. ὑποθήκῃ Φλωριανοῦ Ced. — 11. Ced 463,11,12. (ΔΗ Slav.) — ἐ. β′, μ. δ′ Leo, Ced, sed dies LX Eus. Vict., LXXX Eutr., Florianus Probus annos sex., menses IV regnavit secundum Eus. Eutr. Hist. misc.; a. VI. Victor. — 16. Ced. 463,13 — 15. — **** μεμιγμένος τῷ ὕδατι Leo, Ced. — π. κ. Ced. — 18. ἀργύρου Ced. — 20. Ced. 463,15—464,3.—21. ἄρχ. γ. Ced. γ. Leo.

Ὀνειδιζόμενος οὖν ὁ Βικτωρῖνος* ἀπεστάλη παῦσαι τὴν ἀνταρσίαν. Προσποιησάμενος οὖν (ὡς) ἀπὸ προσώπου φεύγειν τοῦ βασιλέως (ὁ Βικτωρῖνος), φίλος ὢν τοῦ ἀντάρτου, ἀπεδέχϑη (ὑπ' αὐτοῦ, ὃς) καὶ ἀνεῖλειν αὐτόν. Ὑποστρέψας δὲ, ὡς ἐξῆσι τοῦ πλοίου, λύσας τὴν** ζώνην ἔῤῥιψεν εἰς τὴν ϑάλασσαν καὶ εἰσῆλϑε λυσίζωνος πρὸς τὸν βασιλέα. Ὁ δὲ ὠργίσϑη, νομίζων ὑφ' ἑτέρου αὐτὸν τοῦτο πεπονϑέναι. Βικτωρῖνος δὲ ἔφη, ὑφ' ἑαυτοῦ τοῦτο γενέσϑαι, δεηϑεὶς μηκέτι ἄρξαι πράγματος· ἀρχὴ γὰρ*** πᾶσα μετὰ κινδύνων καὶ κλιμακτήρων. Ὁ δὲ καὶ ἡσυχίαν αὐτῷ ἐχαρίσατο καὶ δωρεὰς πολλὰς παρέσχεν.

(3) Ἀπέκτεινε δὲ πάντας τοὺς ἀποκτείναντας Τάκιτον καὶ Αὐρηλιανόν, ἐν τῇ Πειρίνϑῳ**** ἐπὶ ἄριστον αὐτοὺς καλέσας.

(4) Ἀνῃρέϑη δὲ καὶ αὐτὸς (ὑπὸ τῶν περὶ αὐτὸν, καὶ βασιλεύει Κάρος, Καρῖνος καὶ Νουμεριανός).

CLXIX. ΒΑΣΙΛΕΙΑ ΚΑΡΟΥ.

284 (5485) Μετὰ δὲ τούτους ἐβασίλευσαν Κάρος καὶ Καρῖνος καὶ Νουμεριανὸς ἔτη β'.

Οὗτος ὁ Κάρος τὴν Περσίδος Κτησιφῶντα παρέλαβε, τούτων ἤδη τέταρτον ἁλωϑέντων ὑπὸ Τραϊανοῦ (καὶ) ὑπὸ [Οὐήρου]*****, Σευήρου καὶ Κάρου.

(3) Τελευτήσαντος δὲ Κάρου ὑπὸ λοιμικῆς καὶ Νουμεριανοῦ τυφλωϑέντος, ἀνεῖλεν αὐτὸν Ἄπρος******· καὶ ἐβασίλευσε Καρῖνος.

---

* Ὀν. δὲ Ced. δὲ αὐτὸν Ced. Leo.—παύσων Leo, Ced.—2. πρ. δὲ Ced. πρ. Leo.—3. ὡς φ. τοῦ Leo, Ced. — ἀνταράντος Ced. — ** ἑαυτοῦ Ced. — 6. εἰς Leo, Ced. — ὀργισϑεὶς codex. — 7. δοκῶν Leo, Ced. — 8. γ. αἰτησάμενος μ. Leo, Ced. — *** ἔφη Ced. — 12. Ced. 464,3 — 5. — **** καὶ Leo. — 13. ἑστίασιν Leo, Ced. — αὐτὸν Ced. — 15. Ced. 464,5. — 18. Ced. 464,6. K. καὶ K. καὶ N. ἐβ. ΑΘ Slav. — 20. Ced. 464,7—9. Περσίδ. cod.—Περσίδα καὶ Leo, Ced.—21. τοῦτο cod. Leo, Ced.—τ. τ. πεπονϑυίας cod. Ced. Leo. ἀναλωϑέντων cod.— ***** καὶ Ced. — 23. Ced. 464,9—11. — ****** ὁ αὐτοῦ πενϑερὸς Ced.—26. ἐβ. Νουμεριανὸς cod. Leo, ἐβ. N. δοὺξ τυγχάνων Μυσίας κτλ. Ced. sed verba καὶ Νουμ. —Ἄπρος glossema esse videntur capitis CLXXI.

CLXX. ΒΑΣΙΛΕΙΑ ΚΑΡΙΝΟΥ.

Ἐπὶ Καρίνου (99[a]) ἐμαρτύρησαν Χρύσανθος καὶ Δαρεῖα, Θαλ- 285 (5486)
λέλαιος, Ἰουλιανὸς καὶ οἱ ἐν Ῥώμῃ ἅγιοι ἀνάργυροι.

CLXXI. ΒΑΣΙΛΕΙΑ ΝΟΥΜΕΡΙΑΝΟΥ.

Μετὰ τοῦτον ἐβασίλευσε Νουμεριανός, ἀδελφὸς Καρίνου, ἔτος α' καὶ πολεμήσας Πέρσας καὶ ἡττηθείς, τοῦτον χειρωσάμενοι ἐξέδειραν ζῶντα.

CLXXII. ΒΑΣΙΛΕΙΑ ΔΙΟΚΛΗΤΙΑΝΟΥ.

Μετὰ δὲ Νουμεριανὸν ἐβασίλευσεν (ὁ υἱὸς τοῦ σατανᾶ) Διοκλητιανὸς ἔτη κ'*.

(2) (Μὴ) περιγένομενος δὲ τῶν πραγμάτων προβάλλεται (βασιλέα) Μαξιμιανὸν Ἐρκούλιον, γαμβρὸν καὶ φίλον αὐτοῦ ὄντα.

(3) Ὑφ' ὧν μέγας διωγμὸς κατὰ χριστιανῶν ἐκινήθη (καὶ φρικωδέστατος) **· προσέταξαν γὰρ κατὰ πόλιν καὶ *** χώραν τὰς μὲν ἐκκλησίας τῶν χριστιανῶν καταστρέφεσθαι καὶ τὰς θείας αὐτῶν γραφὰς κατακαίεσθαι, τοὺς δὲ χριστιανοὺς **** ἀναγκάζεσθαι θύειν ***** δαίμοσιν.

(4) Τὸ τοιοῦτον συνιδότες διάταγμα Διοκλητιανὸς μὲν ἀπὸ τῆς Ἰταλίας τὴν ἐπ' Αἴγυπτον πορείαν ἐποιεῖτο· ἐκάλει γὰρ αὐτὸν ἡ τότε συμβᾶσα ἐν Ἀλεξανδρείᾳ τῇ πρὸς Αἴγυπτον στάσις, Μαξιμιανὸν δὲ εἰς τὰ ἐπέκεινα τῶν Ἄλπεων ἔθνη ἐκπέμπει παύσοντα τοὺς ἐκεῖσε θορύβους.

---

9. Ced. 464,14. M. Slav. — 10. κβ' Ced. — * τῷ γένει Δαλμάτης Leo, Ced. — 11. Ced. 454,15. — 14. Ced. 464,16—20. — ** Ἐπὶ Μαξιμιανοῦ ἐμαρτύρησαν ὁ ἅγιος Δημήτριος, Παντελεήμων, Πρόκλος, Ἑρμογένης, Ἄνθιμος, Πηλεὺς (?), Ῥωμανός, Φιλόρωμος, Θεόδωρος ὁ Τύρων, ἡ ἁγία Βαρβάρα, Εὐτροπία, Κλεόνικος, Βασιλίσκος, Ἀγάπιος, Εἰρήναρχος, Χιωνία, Σολόχων, Πρίσκος, Μάρκος καὶ Μωκιανός. — *** κατὰ χ. Ced. — 15. τὰς μὲν χῦ ἐ. Ced. — **** εὑρισκομένους Ced. — ***** τοῖς Ced.

291 (5494) (5) Δεῖσθαι ἐπὶ μείζονος προνοίας τὰ πράγματα κρίνας, Καίσαρας ἀναδείκνυσι β', Μαξιμιανὸν τὸν ἐπίκλην Γαλλέριον καὶ Κωνστάντιον, τὸν τοῦ μεγάλου Κωνσταντίνου πατέρα, ὃς ἀπὸ τῆς Κλαυδίου θυγατρὸς ἐτύγχανεν.

(6) Κατεγγυᾶται Κωνσταντίῳ μὲν Θεοδώραν τῆς τοῦ Ἐρκουλίου Μαξιμιανοῦ γαμετῆς θυγατέραν, Μαξιμιανῷ δὲ, τῷ καὶ Γαλλερίῳ καλουμένῳ, Βαλλερίαν τὴν αὐτοῦ θυγατέρα, ἀπωσαμένους τὰς προτέρας αὐτῶν γαμετάς.

294 (5496–5498) (7) Καὶ ταῦτα διαθεὶς κατὰ Περσῶν μὲν ἐκπέμπει Μαξιμιανὸν τὸν Γαλλέριον, αὐτὸς δὲ τὰς δυνάμεις αὐτοῦ ἀναλαβὼν πρὸς Αἴγυπτον παραγίνεται καὶ Ἀχιλλέα τροπωσάμενος τὸν ἀντάρτην καὶ τοὺς αὐτοῦ πάντας ἀπέκτεινε καὶ τὴν τυραννίδα διέλυσεν.

(8) Διὸ καὶ πολλοὶ τὸν τῆς ἀθλήσεως ἀνεδήσαντο στέφανον, ἐξ ὧν εἰσὶ Πέτρος Ἀλεξανδρείας καὶ Ἄνθιμος Νικομηδείας *, Προκόπιος καὶ Γεώργιος οἱ ἀοίδιμοι μάρτυρες.

(9) Καὶ οἱ τρεῖς χίλιοι ἐν Νικομηδείᾳ, Σαβιανὸς καὶ Ἀλέξανδρος, Διονύσιος καὶ Ἀρτέμιος, Ἀθηνόδωρος καὶ Διόδωρος, Ῥωδιανός, Ἀκυλῖνος, Φεβρωνία, Ὀνήσιμος, Ἀθηνόγνωτος, Μαρῖνος ὁ γέρων, Φώτιος, Ἀνίκητος, Διομήδης, Φιλονίδης, Κλήμης καὶ Ἀγαθάγγελος, Μηνᾶς, Καλλίστρατος, Γρηγόριος Ἀρμενίας, Ῥιψιμία, Γαιάνης ὑπὸ τοῦ βασιλέως Τιριδάτου τοῦ Ἀρμηνίας) **.

(10) Καὶ γυνή τις γένει καὶ πλούτῳ καὶ κάλλει σώματος σὺν δυσὶ θυγατράσι παρθένοις μετὰ πολλὰς καταφυγὰς κατασχεθεῖσαι, φόβῳ τοῦ μὴ διαφθαρῆναι τὴν παρθενίαν αὐτῶν, εἰς ῥεῖ-

---

1. Δ. ἔτι?—2. Γάλλον cod.—3. Ced. 469,20—470,2, τῷ δὲ θ' καὶ ι' ἔτει τῆς βασιλείας αὐτοῦ Κωνστάντιον τὸν λεγόμενον χλωρὸν—καὶ Μαξιμιανὸν Γαλλέριον Καίσαρας ἐποίησε κτλ.—10. Ced. 470,3—5 τῷ ι' αὐτοῦ ἔτει τῆς Ἀλεξανδρείας—ὑπὸ Ἀχιλλέως ἀποστατησάσης, τῇ προσβολῇ τῶν Ῥωμαίων πλεῖστοι ἀνῃρέθησαν.—13. Ced. 464,20—23.—* καὶ Ced. — 15. μ. καὶ Σαββάτιος ὁ τὴν αἵρεσιν τῶν τεσσαρεσκαιδεκατῶν κρατύνας ἐγνωρίζετο Ced.—** Ἐπὶ Διοκλητιανοῦ ἦν ὁ ἅγιος Βαβύλας ἐν Ἀντιοχείᾳ· τοῦτον ἀνεῖλε Διοκλητιανὸς (δοὺξ τυγχάνων Μυσίας. Ἐπὶ τούτου καὶ ὁ ἅγιος Εὐστράτιος καὶ οἱ σὺν αὐτῷ ἐμαρτύρησαν καὶ Κήρυκος καὶ Ἰουλίττα (?), Αὐτονόμος, Ἐπίχαρις, Ἀλέξανδρος, Ζώσιμος, Ἀλφίων, Νίκων, Ἡλιόδωρος, Μάρκος, Πελαγία ἡ μάρτυρ, Ταράχος καὶ οἱ σὺν αὐτῷ, Στέφανος, Ἀγαπητὸς, Μάρκος, Εἰρήναρχος, Ἀκάκιος σὺν ζ' γυναιξί), Scholion cf. Ced. 464,11–13.

ϑρον τοῦ ποταμοῦ ἑαυτὰς ἔῤῥιψαν, περὶ ὧν ζητητέον εἰ ἀριϑμοῦνται εἰς μάρτυρας.

CLXXIII. ΠΕΡΙ ΤΗΣ ΣΟΦΡΟΝΟΣ ΓΥΝΑΙΚΟΣ.

Καὶ ἑτέρα δὲ πάλιν ἱερά τις γυνὴ καὶ ϑαυμασία τὸν βίον ἀεὶ παρϑένος καὶ ὡραία πάνυ, κατασχεϑεῖσα, καὶ πολλαῖς μηχαναῖς ϑῦσαι τῶν τυράννων ἀναγκαζόντων, μὴ ἡττηϑεῖσα, προσέταξαν δοϑῆναι στρατιώτῃ πρὸς αἰσχρὰν μῖξιν, καὶ μηδ' οὕτως πειϑομένην ὑποβαλέσϑαι κεφαλικῇ τιμωρίᾳ, (ἣ) καὶ περιστατηϑεῖσα λίαν, ἐδεῖτο τοῦ (ἁγίου) Ἀνϑέμου Νικομηδείας μήπω τελειωϑέντος διὰ μαρτυρίου, συμβουλεῦσαι αὐτῇ τί ἂν αἱρήσοιτο. Ὁ δὲ χρηστὸς ὄντως ἀνὴρ καὶ οἰκονόμος πιστὸς ἐν κρίσει τὰ λόγια Κυρίου ταμιευόμενός φησι· «Καλὸν μέν, ὦ τέκνον, καὶ ϑεοπρεπὲς τὸ κατόρϑωμα τῆς ἁγνείας, μεῖζων δὲ ἡ τῆς πίστεως ἐντολή, κρηπὶς ὑπάρχουσα τῶν καλῶν τῆς εὐσεβείας· μὴ οὖν προ(99ᵇ)κρίνῃς τῶν κρειττόνων τὰ δεύτερα· ὥσπερ γὰρ ἐν περιστάσει τινὰ γενόμενον αἱρετώτερόν ἐστιν ὑπὲρ τοῦ σώματος διαρπαγῆναι τὸ ἱμάτιον, οὕτως ἐστὶ μᾶλλον ἐν τοῖς πειρασμοῖς ἄσπιλον τηρήσαντα τὴν ψυχὴν, προδοῦναι τὴν σάρκα τοῖς παντοίως ἐνυβρίσαι ἐϑέλουσιν ἢ ἀπολέσαι τῆς ψυχῆς τὴν εὐγένειαν». Ἡ δὲ τοῦτο ἀκούσασα ἀπῆει ταλαντευομένη τὸν νοῦν, ὡς δύο καλῶν ἀντιπειουμένη· ἀλλ' ἡ ϑεῖα χάρις (ἡ ἐν τοῖς ἀμηχάνοις πρόφασιν ἐπικουρίας παρέχουσα ἐφεῦρεν αὐτῇ σωτηρίαν καὶ πῶς, ἄκουε διὰ ποίας ἐπινοίας σοφώτατον ἄσυλον) τὴν σωφροσύνην ἐφύλαξε. Ὡς γὰρ ὑφ' ἑνὸς οἴκου συνεκλείσϑη, κατασοφίζεται τὸν στρατιώτην λέγουσα· «Μηδὲν ἄτοπον εἰς ἐμὲ πράξῃς, ἄνϑρωπε, καὶ παρέξω σοι μισϑὸν (τῆς εὐεργεσίας ταύτης) ἐπάξιον· δώσω γάρ σοι φάρμακον, οὖσα φαρμακὶς, ἀϑανασίας

---

4. Ced. 465,1—466,6. Καὶ γ. τις ἱ. καὶ ϑ. — 5. συσχ. Ced. — ' αὐτὴν Ced. — 7. ἐκϑ. Ced. — 11. ὀ. καὶ πιστῶς Ced. — 12. τὸ κ. τῆς ἁ. καὶ ϑ. Ced. — 13. οὖσα Ced. — 16. μ. ἐ. ἐν Ced. — 18. ἐνυβρίζειν Ced. — 20. χ. ταύτης διεφυλάξατο τὴν παρϑενίαν τρόπῳ τοιῷδε Ced. — 23. συν. λέγει τῷ στρατιώτῃ M. Ced. — 24. πρ. εἰς ἐ. Ced. — 26. πρ. ᾧπερ χρ. ἀτρ. μενεῖς ἐν τ. πολ. καὶ εἰ βούλει τούτου λ. π. ἐπ. με σκευάσαι αὐτό Ced.

πρόξενον, ὅπερ ὅλον τὸ σῶμα χριόμενος ἐν τοῖς πολεμίοις ὑπάρξεις ἄτρωτος· εἰ δὲ θέλεις ἄρτι πεῖραν λαβεῖν, ἐπίτρεψόν με τοῦτο κατασκευάσαι· τοῦ δὲ μετὰ πολλῆς χαρᾶς ἐπιτρέψαντος, λαβοῦσα ἡ γυνὴ κηρὸν καὶ ἐναίῳ συμμιξάσασα καὶ (ἐπὶ πολὺ ταῖς χερσὶ διαμαλάξασα καὶ τὸν ἑαυτῆς αὐχένα περιχρίσασα·· «πάταξον, ὡς δύνῃ (καὶ ὄψει τὴν δύναμιν τῆς ἀλειφῆς» φησὶ τῷ στρατιώτῃ, «καὶ ὅτι οὔτε πλήξεις οὔτε θανατώσεις με»). Ὁ δὲ εἰς ὕψος ἐπάρας τὸ ξίφος καὶ κατ' αὐτῆς ἐπενεγκὼν ἀπέτεμεν εὐθέως τὴν τιμίαν αὐτῆς κεφαλήν· καὶ οὕτω νικήσασα τῶν δυσμενῶν τὴν κακουργίαν διπλοῦν τὸν στέφανον τοῦ (τε) μαρτυρίου καὶ τῆς ἁγνείας ἀνεδήσατο.

CLXXIV. ΠΕΡΙ ΕΤΕΡΑΣ ΠΑΡΘΕΝΟΥ.

Ὡσαύτως δὲ καὶ ἄλλη τις εὐπρεπεστάτη κόρη·· παρθενίαν ἀσκοῦσα, διεβλήθη ὡς βλασφημοῦσα τοὺς βασιλεῖς καὶ εἴδωλα, ἣν (καὶ) συλλαβόμενοι καὶ (πολλὰ) μαστιγώσαντες, μὴ ὑπακούσασαν τῇ τούτων δυσσεβείᾳ, παρέδωκαν εἰς πορνεῖον, ἐντειλάμενοι τῷ ταύτην νέμοντι (δέξασθαι αὐτὴν καὶ) κομίζειν ὑπὲρ αὐτῆς καθ' ἡμέραν νομίσματα γ′. Ὁ δὲ (ὡς μέλλων εἰσπράττεσθαι τὸ χρυσίον) ἔκδοτον αὐτὴν ἔστησε τοῖς βουλομένοις· (ὅπερ γνόντες οἱ γυναικομανεῖς παρήδρευον τῷ ἐργαστηρίῳ τῆς ἀνομίας) πρὸς αὐτὴν εἰσπηδῶντες (καὶ τὸ ἀργύριον ἀποδιδόντες)· οὓς παρακαλοῦσα ἔλεγεν· «Ἕλκος ἔχω (δυσῶδες) εἰς τὸν κεκρυμμένον τόπον καὶ δέδοικα μὴ καὶ ὑμᾶς τῆς νόσου μεταδώσω· ἀλλὰ ἀναμείνατε ὀλίγας ἡμέρας ἕως ὑγιάνω καὶ ἐξουσίαν μου ἔχετε πάντοτε».— Οὕτως οὖν τούτους ἀποβουκολήσασα, δεήσει τὸν θεὸν ἱκέτευεν (ἀπαλλαγῆναι τοῦ τοιούτου μύσους καὶ) ἀσπιλον τὴν παρθενίαν αὐτῆς φυλάξαι. Καὶ

---

3. λ. κ. ἡ μακαρία καὶ Ced. — · λέγει αὐτῷ Ced. — 7. Ὁ δὲ μετὰ δυνάμεως κατενέγκας τὸ ξ. ἀπ. Ced. — 10. στ. τὸν τοῦ μ. Ced. — 13. Ced. 466,7—24. Ὡ. δὲ τις καὶ ἀ. γυνὴ ἐ. — ·· οὖσα καὶ Ced. — 14. ὡς τοὺς θεοὺς ἐνυβρίζουσα Ced. — 15. ὑπείκουσαν Ced. — 17. ἀ. ἡμερήσιον ν. γ′, ὃς ἐκδ. Ced. — 19. βουλ. καὶ πολλῶν πρὸς αὐτὴν εἰσπηδώντων, πάντας ἀπεκρούετο προφαζομένη ἕλκος ἔχειν ἐπὶ κρυπτοῦ τόπου καὶ τούτου τὴ ἀπαλλαγὴν ἐκδέξασθαι οὕτως Ced. — 24. ἀποβουκολοῦσα Ced. — 26. διαφ. Ced.

δὴ ὑπακούσας ὁ θεὸς τῆς δεήσεως αὐτῆς, ἔρχεται νεανίσκος τις περιφανὴς καὶ λίαν εὐσεβὴς πρὸς τὸν πορνοβοσκὸν ἑσπέρας βαθείας καὶ δίδωσιν αὐτῷ νομίσματα ε' λέγων· «Ἔασόν μοι ταύτην τὴν κόρην (ἕως πρωΐ». Καὶ εἰσελθὼν εἰς τὸν ἀπόκρυφον τόπον λέγει πρὸς αὐτήν· «Ἀνάστα καὶ πορεύου εἰς εἰρήνην»· καὶ ἐνδύσας αὐτὴν) τὰ ἱμάτια αὐτοῦ καὶ περικαλύψας τὴν κεφαλὴν αὐτῆς, ἐξῆλθεν ἄφθορος καὶ ἀνέπαφος ἡ γυνὴ καὶ διεσώθη ἐκ τοῦ αἰσχροῦ μύσους. Ἡμέρας δὲ γενομένης (100ª) καὶ τοῦ δράματος γνωσθέντος, ἐκρίθη ὁ νεανίας ἀναιρεθῆναι· καὶ τούτου γενομένου ἐπλήρωσε τὸ κυριακὸν λόγιον τὸ φάσκον· «Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ».

CLXXV. ΠΕΡΙ ΤΟΥ ΜΟΝΑΖΟΝΤΟΣ.

Ὁμοίως καὶ ἄλλος τις μονάζων κατασχεθεὶς ὑπὸ τῶν (ἀνοσίων ἐκείνων καὶ) ἀσεβῶν, μετὰ πολλῶν ποινῶν καὶ μαστίγων, τελευταῖον ἐπενόησαν πονηρὰν ἐπίνοιαν εἰς φθορὰν τῆς σωφροσύνης τοῦ δικαίου (τοιάνδε)· Κλίνην γὰρ ἔν τινι κήπῳ στρώσαντες καὶ τὸν ἅγιον ἐν αὐτῇ δεσμήσαντες ἐπαφῆκον αὐτῷ γύναιον ἄσεμνον, ὡς ἂν (ἐκ τῆς τοῦ τόπου ἡδύτητος καὶ μονότητος) ἐκ τοῦ μὴ δύνασθαι τὴν ἐπιχείρησιν (τοῦ ἀκολάστου γυναίου) διαφυγεῖν (πανταχόθεν) καὶ ἄκων πρὸς τὴν παράνομον καθελκυσθείη πρᾶξιν. (Ἀλλ' ὅγε θεῖος ἀνὴρ) τοῦ γυναίου διὰ φιλημάτων (ἤδη καὶ ῥημάτων αἰσχρῶν καὶ ἐπιτηδευμάτων) περιπλεκομένου (καὶ τῆς αἰδοῦς τοῦ ἁγίου μιαραῖς χερσὶν ἁπτομένου καὶ τὰς ἡδονὰς ἀναφλέγον, μὴ ἔχων ὁ ἅγιος πῶς ἀμύνηται τὸ κατάρατον καὶ ἀναιδὲς ἐκεῖνο γύναιον), τὴν ἑαυτοῦ γλῶσσαν ταῖς ὀδοῦσιν ἀποτεμών, προσέπτυσεν εἰς τὸ πρόσωπον

---

1. ὑπήκουσεν ἀ. ὁ θς καὶ ἐ. τις ν. Ced. — 2. ἐ. β. πρὸς τὸν π. Ced. — 6. ἐξέπεμψεν αὐτὴν ἄφθορον καὶ ἀνέπαφον Ced. — 10. Io. XV. 13. — 13. Τοῦτο ἐκ τοῦ βίου τοῦ ἁγίου Παύλου τοῦ Θηβαίου. Ced. 467,1—14, Ὁμ. καὶ ἑτέρου μονάζοντος κατασχεθέντος. — 14. πολλὰς ποινὰς καὶ μάστιγας Ced. — 15. π. ἐπ. ἐπίνοιαν Ced. — 16. ἔν τινι γὰρ κ. κλ. στρ. Ced. — 17. ἂν μὴ δυνάμενος τὰς ἐκ ταύτης μηχανὰς δ. καὶ ἀ. εἰς τὴν πονηρὰν καθελκυσθῆναι πρ. Τῆς δὲ τούτῳ περιπλεκομένης καὶ καταφιλούσης αὐτὸν, τὴν Ced. — 25. ἀ. τοῖς ὀ. Ced.

αὐτῆς, καὶ * ἑαυτῷ μὲν πόνους καὶ ἀλγηδόνας ἀντὶ ἡδονῶν ἐπεισήγαγεν, ἐκείνην δὲ σφόδρα κατέπληξεν καὶ ἀηδίας ἐνέπλησε τῷ ῥεύματι τοῦ αἵματος. Οἱ δὲ Ἕλληνες ταῦτα μεμαθηκότες ἐθαύμασαν τῶν μοναζόντων τὴν σωφροσύνην.

CLXXVI. ΒΑΣΙΛΕΙΑ ΚΩΝΣΤΑΝΤΙΟΥ.

Ἡττηθέντες οὖν οἱ δυσσεβεῖς τύραννοι Διοκλητιανὸς καὶ Μαξιμιανός τῷ πλήθει τῶν ἀναιρουμένων (χριστιανῶν), ἐξέθεντο δόγμα, ὥστε τοὺς εὑρισκομένους χριστιανοὺς ἐξορύττεσθαι τὸν δεξιὸν ὀφθαλμὸν, οὐ μόνον διὰ τὸ ὀδυνηρὸν, ἀλλὰ καὶ διὰ τὸ ἄτιμόν (τε) καὶ πρόδηλον καὶ τῆς τῶν Ῥωμαίων πολιτείας ἀλλότριον.

304 (5507) (2) Οὓς ἡ θεία δίκη ἐνδίκως μετελθοῦσα δικαίως ἐξέκοψε Καὶ ὁ μὲν ὑπὸ νόσῳ δεινῇ περιπεσὼν καὶ ὀγκωθεὶς ἀπέθανεν· ὁ δὲ ἀπήγξατο. Τὸν γὰρ Διοκλητιανὸν, φασὶν, ἐν Δαλματίᾳ διάγοντα κατέλαβε θεήλατος ὀργὴ, καὶ ὀγκωθεὶς τὸ σῶμα εἰς πολλὰ διαῤῥήγνυτο· τῆς δὲ βλασφήμου αὐτοῦ γλώσσης σαπείσης ἐν τῷ λάρυγγι αὐτοῦ καὶ πλῆθος σκωλήκων ἀναβρασάσης, (οὕτως) ἀπέῤῥηξε τὸ πνεῦμα. Ὁ δὲ Ἐρκούλιος Μαξιμιανὸς ἐν Ταρσῷ τῆς Κιλικίας κατέστρεψε τὸν βίον.

(3) Ὁ δὲ Κωνσταντῖνος, ὁ υἱὸς Κωνσταντίου, ἔτι παῖς ὑπάρχων παρὰ τῷ τῆς ἑῴας τυράννῳ ἐτρέφετο τῷ Διοκλητιανῷ (ἀποστείλαντι παρὰ τοῦ πατρὸς αὐτοῦ διάγειν αὐτόθι, διὰ τὸ μὴ δολοφονηθῆναι παρὰ τῆς μητρυιᾶς, παιδευομένῳ τὴν ἑλληνικὴν σοφίαν· ὅθεν αὐτῷ ἐν Παλαιστίνῃ ὄντι καὶ ὁρῶντι ὅσα πάσχουσιν οἱ τοῦ Χριστοῦ δοῦλοι, ἐδάκνετο τὴν ψυχήν· ἦν γὰρ μισοπόνηρος ἐκ παι-

---

* ἐκ τούτου Ced. — 3. ἅπερ ἀκούσαντες οἱ Ἕ. ἐθαύμαζον τὴν τῶν μ. σ. καὶ ἀκρίβειαν Ced. — 6. Ced. 467,14—18. — 7. δ. ἐξ. Ced. — 9. τῶν ὀφθαλμῶν Ced.— 12. Ced. 472,1—9. Τῷ κ' ἔτει τῆς αὐτοῦ βασιλείας Δ. καὶ Μ. τὴν βασιλείαν ἀπέθεντο — καὶ ὁ μὲν Δ. ἰδιωτεύσας ἔτη ιβ' τῆς γλ. ἀ. σ. μετὰ τοῦ φάρυγγος καὶ πλ. σκ. ἀν. τὸ πμα ἀπ. Ὁ δὲ Ἕ. Μ. τὴν βασιλείαν ἀναλαβέσθαι βουληθεὶς καὶ μὴ ἐπιτυχὼν ἀπήγξατο· ὅ γε Γαλλέριος σκωληκόβρωτος ἐξέψυξεν cf. §. 5. — 20. Ced. 471, 5—12. — μετὰ τοῦ Γαλλερίου Ced. — 21. ἀποσταλέντι? ἀποσταλέντος — παιδευομένου? — 24. ὁρῶν codex.

δόθεν). Βλέπων δὲ τὸν παῖδα Κωνσταντῖνον ὁ Διοκλητιανὸς εἰς μεγεθος ἡλικίας καὶ συνέσει κεκοσμημένον καὶ ὑποπτεύσας, μᾶλλον δὲ μαντευσάμενος καταλύτην (μέλλειν) ἔσεσθαι τῆς τυραννίδος* αὐτοῦ, δόλῳ αὐτὸν θανατῶσαι διενοεῖτο· ἀλλὰ θείᾳ προμηθείᾳ (μαθὼν ὁ νέος τὸν δόλον, ὡς ὁ Δαυὶδ) φυγῇ τὴν σωτηρίαν ἐπορίσατο, διασωθεὶς πρὸς τὸν ἑαυτοῦ πατέρα.

(4) Ὁ γὰρ πατὴρ αὐτοῦ ἐστάλη πρὸς Πέρσας πολεμήσων αὐτούς, οὓς καὶ νικήσας πρὸς Διοκλητιανὸν εἰσῆλθε, βαλάντια (100b) πεπληρωμένα φέρων λίθων τιμίων καὶ μαργαριτῶν, ἀφ' ὧν πρῶτος Διοκλητιανὸς ἐσθῆτι καὶ ὑποδήμασι λίθοις τιμίοις καὶ χρυσῷ κεκοσμημένοις ἐχρήσατο, προσκυνεῖσθαί τε αὐτὸν παρὰ τὸ ** ἔθος ἐκέλευσε καὶ θρίαμβον ἀπετέλεσεν· ὠνομάσθη δὲ θρίαμβος διὰ τὴν (παρὰ) τῶν ποιητῶν λεγομένην θρίασιν ἤγουν μανίαν ἢ ἀπὸ τοῦ θρία τὰ φύλλα τῆς συκῆς ὀνομάζεσθαι.

(5) Τῷ δὲ κ' ἔτει τῆς αὐτοῦ βασιλείας Διοκλητιανὸς καὶ Μαξιμιανὸς*** ἐν μιᾷ ἡμέρᾳ τὴν βασιλείαν ἀπέθεντο, προφάσει θεοποιΐας· ὡς δὲ ἱστορεῖ ὁ Εὐσέβιος, Διοκλητιανὸς παράφρων γενόμενος καὶ σὺν αὐτῷ Ἡρκούλιος τὴν βασιλείαν ἀποθέμενοι, ἰδιωτικὸν ἀνέλαβον βίον· καὶ ὁ μὲν ἀγχόνῃ τὸν βίον κατέστρεψε, Διοκλητιανὸς δὲ θεηλάτου ὀργῆς πειραθεὶς καὶ αὐτὸς τὸν βίον κατέλυσε).

---

1. ὡς αὐτὸν ὁ Γαλλέριος ἑώρα τὰ λριστιανῶν φρονοῦτα, σ. τε ψυχῆς καὶ βώμη σώματος καὶ τῇ περὶ τὴν παίδευσιν εὐφυΐᾳ προκόπτοντα, μ. τε τοῦτον κ. ἑ. τῆς τ. Ced. — * καὶ τῶν δογμάτων Ced. — 4. θ. τοῦτον ἐσκέψατο θ. δὲ πρ. φ. τὴν σ. πορίζεται καὶ πρὸς τὸν ἴδιον π. διασώζεται, πολλὰ σὺν αὐτῷ τῷ σώσαντι εὐχαριστῶν τῷ Ced. — 7. de Galerio Leo et Ced. 470,18—471: τῷ ιζ' (ἔτει) ὁ Γαλλέριος Μαξιμιανὸς κατὰ Ναρσέως, τοῦ τῶν Περσῶν βασιλέως, ἐκθραμὼν τοῦτον μὲν ἐδίωξε — ὑπέστρεψε π. Δ. καὶ β. π. ἔχων Ced. — ** ἐξ ἀρχῆς Ced. — 13. ἐπετέλεσε Leo, Ced. — διὰ τὸ — μαρίαν cod. — 14. θρ. ἀπὸ τῶν ἐπῶν τῶν εἰς τὸν Διόνυσον, θρ. γὰρ τὴν τῶν π. μ. λέγουσιν Ced. — 15. τρία? — συκῆς ἀνακειμένης τῷ Διονύσῳ Ced. — 16. Ced. 472,1,2. — *** ὁ Ἡρκούλιος ἐξ ἀπονοίας Ced. — 17. ἀπ. καταστήσαντες ἀντ' αὐτῶν βασιλεῖς τῆς μὲν ἑῴας Γαλλέριον Μαξιμιανὸν τὸν Διοκλητιανοῦ γαμβρὸν τῶν ἑσπερίων δὲ Κωνστάντιον τὸν Ἡρκουλίου γαμβρὸν Ced. — Reliqua vide § 2. — 18. Eus. H. E. VIII. 13.

(6) Γελάσιος δὲ ὁ Καισαρείας φησὶ, ὅτι μεταμεληθέντες καὶ πάλιν λαβεῖν τὴν βασιλείαν βουληθέντες ψήφῳ τῆς συγκλήτου ἀναιροῦνται.

(7) Θεότεκνος δέ τις ὑποδήκῃ Μαξιμιανοῦ τὰ ἐπὶ Χριστοῦ δῆθεν παρὰ Πιλάτου πραχθέντα πλασάμενος ὑπομνήματα πάσης βλασφημίας ἀνάπλεα, κατὰ πόλιν καὶ κώμην ἔσταλκεν, Μαξιμιανοῦ προστάξαντος τοῖς γραμματοδιδασκάλοις ταῦτα τοὺς παῖδας ἐκδιδάσκειν, ὡς ἂν διαγελῶσι τὸ καθ' ἡμᾶς μυστήριον.

(8) Μετὰ δὲ Διοκλητιανὸν καὶ Μαξιμιανὸν τὸν Ἑρκούλιον ἐβασίλευσε κατὰ τοὺς αὐτοὺς χρόνους Ῥωμαίων καὶ Ἑλλήνων Κωνστάντιος ὁ χλωρὸς ὁ τοῦ μεγάλου Κωνσταντίνου πατὴρ, ὃς ἐξ Ἑλένης αὐτῷ ἐγενήθη περὶ τὴν τῆς Δακίας πόλιν.

(9) Συνεβασίλευον δὲ αὐτῷ Σευῆρος καὶ Μαξιμιανὸς ὁ λεγόμενος Γαλλέριος σὺν τῷ υἱῷ Μαξιμίνῳ καὶ Μαξέντιος, ὁ υἱὸς Ἑρκουλίου, ἀδελφὸς δὲ Θεοδώρας γαμετῆς Κωνσταντίου τοῦ πατρὸς Κωνσταντίνου τοῦ μεγάλου, τούτου δὲ θεῖος.

(10) Καὶ ὁ μὲν Κωνστάντινος καὶ Σευῆρος τὴν Γαλλίαν καὶ Βρεττανίαν ἐκράτησαν, ὁ δὲ Μαξέντιος καὶ Μαξιμῖνος τὴν Ῥώμην, ὁ δὲ Μαξιμιανὸς ὁ Γαλλέριος τὴν ἑῴαν, ὃς πολλὰ μιαρά τε καὶ ἄτοπα καθ' ὑπερβολὴν διαπραξάμενος, γυναικομανοῦς γενομένου αὐτοῦ, ἀγῶνα ἔσχον οἱ ὑπ' αὐτὸν τελοῦντες ποῦ κρύψωσι τὰς ἰδίας γαμετὰς καὶ τὰς θυγατέρας αὐτῶν ἀπὸ προσώπου τοῦ τυράννου οὐ μόνον διὰ τὴν ἀσέβειαν αὐτοῦ ἀλλὰ καὶ διὰ τὸ ἁρπάζειν τὰ ὑπάρχοντα αὐτῶν, καὶ πρὸς τούτοις διωγμὸν ἀπηνῆ καὶ ἀπάνθρωπον

1. Gelasius 381—394, cujus fragmenta consulas in Theodoreti opp. ed. Schulz. T. IV. p. 46,251, Hal. 1772, 8°.—4. Περὶ τῶν λεγομένων ὑπομνημάτων τοῦ Χριστοῦ. Ced. 471,14 — 19. Τῷ ιηʹ ἔτει Διοκλητιανοῦ Θεοτέκνῳ γόητι πειθόμενος ὁ Γαλλέριος διωγμὸν κατὰ τῶν Χριστιανῶν ἤγειρεν οὗτος ὁ Θ. ὑπ. Ced. — διαγελῷτο Leo, Ced. — 10. βασιλεία Κωνσταντίου καὶ Σευήρου. Ced. 472,14· Ὁ δὲ Κωνστάντιος — τελευτᾷ ἐν Βρεττανίαις βασιλεύσας ἔτη βʹ, Καῖσαρ δὲ ἦν ἔτη ιγʹ. ὃς ἐγέννησεν ἐξ Ἑλ. τῆς πρώτης αὐτοῦ γυναικὸς Κωνσταντῖνον τὸν μέγαν καὶ ἅγιον περὶ τὴν τῆς Δ. π. Ced. — 14. Ced. 473,15 — 21? — 17. θείου codex. — 18. Ced. 473,15,16 cf. de Maxentio 474,6—9. — 21. γυν — αὐτῶν om. Slav. Μαξέντιος — τὰς οὐσίας αὐτῶν καὶ γυναῖκας καὶ θ. ἥρπαζε καὶ αὐτοὺς πολυτρόπως ἀνῄρει καὶ ἄμετρα τοῖς δαίμοσιν ἐξακολουθῶν ἐπετέλει Ced. Μαξιμίνου ἐν τῇ ἀνατολῇ πολλὰ δεινὰ ἐργασαμένου κατὰ τῶν χριστιανῶν. ὡσαύτως καὶ Μαξεντίου ἐν Ῥώμῃ Sym. Ms. 29b.

κατὰ πᾶσαν τὴν ἀνατολὴν εἰς τοὺς χριστιανοὺς ἐνδειξάμενος, καθ' ὃν καὶ πλεῖστοι τῶν εὐδοκίμων ἐμαρτύρησαν.

(11) Ἄξια δὲ τῆς δυσσεβείας αὐτοῦ καὶ προοίμια τῆς μελλούσης αὐτὸν διαδέχεσθαι κολάσεως εἰκότως πέπονθε· νόσῳ γὰρ δεινοτάτῃ * περιπεσών, (καὶ ἕλκος αὐτῷ χαλεπὸν κατὰ τῶν τῆς ἀκολασίας αὐτοῦ κρυπτῶν μορίων ἀναφυὲν, κρείττονα πάσης τέχνης σῆψιν ἐπήγαγε· σκωλήκων γὰρ πλῆθος ἀναδιδόμενον — ἦν γὰρ καὶ πολύσαρκος ὁ δαίλαιος) — ἀλγηδόνας ἰσχυρὰς τὴν σάρκα πᾶσαν ἐλοιμαίνοντο. Καὶ τὰ μὲν ἔγκατα διεφθείροντο ὑπὸ τῆς (ἐνδομυχούσης) σφοδροτάτης φλογός· ἡ δὲ σὰρξ πᾶσα κηροῦ δίκην ἐξετήκετο· λαβροτέρως δὲ φλογιζόμενος καὶ τηγανιζόμενος, καὶ αὐτὰ συνεφρύγη τὰ ὀστᾶ, ὥστε ἐξαλειφῆναι τὸν χαρακτῆρα τῆς ἀνθρωπίνης μορφῆς· κἀντεῦθεν ἐλεεινῶς διαφθειρόμενος καὶ δεινῶς κατασηπόμενος ** τοσαύτην *** δυσωδίαν ἐξέπεμπεν ὡς οὐδὲν τῶν ἐν (τοῖς) τάφοις διαλυθέντων νεκρῶν διαφέρειν. (101ª) Ὁ δὲ **** ἐν τούτοις ἐμπνέων, βαθὺ στενάζων θάνατον ἐπεκαλεῖτο· καὶ πρὸς τῷ τέλει ἐγγίζοντα αὐτὸν ὁ ἀλιτήριος γνοὺς τοιάδε φησί· «Οἴμοι τῷ ἐλεεινῷ καὶ θρήνων ἀξίῳ, ὁποίαν εἰς τοὺς χριστιανούς μοι τετολμημένων ἀσεβειῶν ἀξίαν ὑπέχω τὴν τιμωρίαν».

(12) Καὶ ταῦτα μετὰ πολλῆς ὀδύνης εἰπών, εὐθέως κατέπεμψε προστάγματα κατὰ πᾶσαν πόλιν ἀπολύεσθαι τοὺς χριστιανούς, παρακαλεῖν τε αὐτοὺς εὔχεσθαι ὑπὲρ τοῦ αὐτοκράτορος. Καὶ εὐθέως ἡ θεία φιλανθρωπία ἐδείκνυτο, καὶ ὁ ἐν ἐσχάταις ἀναπνοαῖς γεγονὼς αὖθις ὑγιὴς καὶ ῥωμαλέος ὑπῆρχε, τοῦ χαλεπωτάτου ἐκείνου ἕλκους τῇ εὐχῇ τῶν χριστιανῶν παραδόξως ὑγιασθέντος. Ἀλλὰ μήπω τοῦ τραύματος καλῶς συνουλώσαντος, εἰς μειζοτέραν μανίαν

---

1. καθὼς καὶ cod. — 3. Ced. 469,5 — 19 de Diocletiano cf. Ἀ. τῆς δ. αὐτῶν τὰ ἐπίχειρα ἐκομίσαντο οἱονεὶ ἀῤῥαβῶνα τῶν μελλόντων αὐτοὺς μετὰ θάνατον διαδέξασθαι τιμωριῶν ἐντεῦθεν κομιζόμενοι. — * ὁ Διοκλητιανὸς μετὰ τὴν ἀπόθεσιν τῆς βασιλείας Ced. — 5. περιπ. — ἰσχυρὰς om. Bulg. — 8. ἀλγηδόσιν ἰσχυραῖς Ced. — διελυμαίνετο Ced, λυμαιν.? — 10. φλογώσεως Ced. — διετ. καὶ σὺν τούτοις ἐκτυφλοῦται καὶ πυρὸς ὁ δείλαιος ἀποκαθίσταται κἀντ. Ced. — ** σκωλήκων πλῆθος ἐκ τοῦ φάριγγος ἀνέφερε σὺν τῇ γλώσσῃ Ced. — *** οὖν Ced. — **** τύραννος Ced. — 16. ἐ. στενάξας θ. Ced. — καὶ τὰ τελευταῖα πνέων ἔφη Ced. — 18. ὁπ. τῶν εἰς χ. Ced. — 20. Καὶ τ. μὲν ὕστερον συμβέβηκε τῷ ἀλιτηρίῳ Ced. 469,19.

κινηθείς, προστάγματα ἔγραψεν ἀπάνθρωπα, ἐν οἷς ἐκέλευσε μὴ ζῆν χριστιανοὺς μήτε οἰκεῖν ἐν πάσῃ τῇ οἰκουμένῃ. Ἀλλ' ὁ ἀγαθὸς θεὸς οὐδέπω ἐπελάθετο τῶν δούλων αὐτοῦ· ἦν γὰρ ἰδεῖν ἀγεληδὸν συρομένους χριστιανοὺς πάντας πανδημεῖ σὺν γυναιξὶ καὶ τέκνοις ἐπὶ τὸν θάνατον· ἀλλ' ἡ θεία δίκη ἐπελθοῦσα τὰς βουλὰς τῶν ἀνόμων διεσκέδασεν.

(13) Διὰ γὰρ τὴν ἄπειρον κακουργίαν αὐτοῦ, λιμὸς αὐτοῦ τῇ χώρᾳ δεινὸς ἐνέσκηπτε καὶ λοιμὸς, καί τινος ἑτέρου [νο]σήματος μοῖρα· ἕλκος δὲ ἦν φερωνύμως τοῦ πυρώδους ἄνθρακος λεγόμενον, καθ' ὅλον μὲν ἕρπον τὸ σῶμα, σφαλεροὺς δὲ τοῖς πεπονθόσι ἐπόνει κινδύνους· οὐ μὴν δὲ, ἀλλὰ καὶ κατὰ τῶν ὀφθαλμῶν ἐξαιρέτως ἐπὶ πλεῖστον γενόμενον μυρίους ὅσους ἄνδρας ἅμα γυναιξὶ καὶ παισὶ πηροὺς ἀπειργάσατο. Καὶ σὺν τούτοις ἐπανίσταται τῷ τυράννῳ ὁ πρὸς Ἀρμενίους πόλεμος * ἀθρόως ὑφ' ἕνα καὶ τὸν αὐτὸν συῤῥεύσαντα καιρὸν, τῆς τοῦ δυσσεβοῦς θρασύτητος τὴν κατὰ τοῦ θεοῦ μεγαλαυχίαν (διηλεγξεν), ὅτι δὴ τῆς περὶ τὰ εἴδωλα σπουδῆς αὐτοῦ καὶ τῆς καθ' ἡμῶν ἕνεκα πολιορκίας, μὴ λιμὸν μηδὲ λοιμὸν, μήτε μὴν πόλεμον ἐπὶ τῶν αὐτοῦ συμβῆναι καιρῶν ἐναμβρύνετο. Ταῦτα δ' οὖν ἅμα κατ' αὐτὸν ἐπῆλθε καὶ τῆς κατ' αὐτὸν καταστροφῆς περιειλήφει τὰ προοίμια **· τοὺς δὲ λοιποὺς τῶν τὰς ὑπ' αὐτὸν πόλεις καὶ χώρας οἰκούντων δεινῶς ὁ λιμός (τε) ἅμα καὶ ὁ λοιμὸς κατέτρυχε· καὶ μυρίοι μὲν ὑπῆρχον οἱ κατὰ πόλεις θνήσκοντες, πλεῖστοι δὲ οἱ κατὰ ἀγροὺς καὶ κώμας, ἁπάντων σχεδὸν τροφῆς ἐνδείᾳ καὶ λοιμώδει νόσῳ διεφθαρμένων. Καὶ γὰρ οἱ μὲν χόρτον διαμασσώμενοι καὶ τὴν ἕξιν λυμαινόμενοι διώλλυντο· οἱ δὲ ἀπεσκληκότες ὥσπερ εἴδωλα νεκρὰ, ὧδε κἀκεῖσε ψυχορραγοῦντες, ἐνσειόμενοί τε καὶ περιολισθαίνοντες κατέπιπτον ἐν ταῖς πλατείαις, ὅθεν νεκρὰ καὶ γυμνὰ σώματα ἐφ' ἡμέρας πλείονας ἄταφα διερ-

---

7. Cod. 468,1 — 469,4. Διὸ καὶ λ. καὶ λ. καὶ αὐχμὸς καὶ πᾶν ὁτιοῦν οὖν ἔστι κακὸν εἰπεῖν τοὺς ἀνοῦς μετῆλθε καί τινος — 13. προσεπ. Cod. — * ἆ? — 14. ὑφ' ἓν κατὰ τὸν cod. — κ. σ. Cod. — 15. τῆς δὲ δ. cod. — 18. τὸν α. σ. καιρὸν ἐνηβρύνετο Cod. — T. δὴ Cod. — 19. ἅμα καὶ κατὰ ταὐτὸν Cod. — ἐπῆλθον Cod. — ** αὐτὸς μὲν οὖν τὸν πρὸς Ἀρμενίους πόλεμον ἅμα τοῖς αὐτοῦ στρατοπέδοις κατεπονεῖτο Cod. — 22. ἐτύγχανον Cod. — 23. πλείους Cod. — 28. ν. σ. καὶ γ. Cod. — ἐφ' ἡμέραις πλείοσι Cod.

βριμένα, δέαν οἰκτράν (τε) καὶ ἐλεεινὴν τοῖς ὁρῶσι παρεῖχεν· ἤδη δέ τοι καὶ κυνῶν τινὲς ἐγένοντο βρῶμα. Οὐχ ἥκιστα δὲ * ὁ λοιμὸς πάντας οἴκους ἐπενέμετο.

(14) Τοιαῦτα τοίνυν τῆς Μαξιμιανοῦ μεγαλαυχίας τὰ ἐπίχειρα, καὶ τοιοῦτον αὐτοῦ τὸ δύσμορον τέλος· ἐν στήλῃ γὰρ καθ' ἡμῶν ἀνέγραψεν, ὡς χριστιανῶν πάντων ἀναιρεθέντων (ὡς ᾤετο), πάσης εὐθηνίας (τε) καὶ εὐκρασίας ἡ Ῥωμαίων πολιτεία πλησθήσεται **.

(15) Διὸ καὶ (ταῦτα συνέβη, ὅ τε) λιμὸς καὶ λοιμὸς καὶ αὐχμοί· καὶ τὰ λοιπὰ κακὰ κατείληφε τοὺς ἀνθρώπους, (κεραυνοί τε καὶ φόβητρα ἐπέμποντο, ὥστε ἕκαστον τὰ ἑαυτοῦ μόνον μεριμνᾶν· (101[b]) καὶ οὕτως ἄπρακτα ἔμειναν τὰ προστάγματα τοῦ τυράννου).

(16) Κωνστάντιος δὲ ὁ ἐπικληθεὶς χλωρὸς διὰ τὴν ὠχρότητα τοῦ προσώπου — ἦν γὰρ εὐσεβὴς καὶ τὸν υἱὸν Κωνσταντῖνον ὁμοίως ἐπαίδευσε καὶ τῷ καθ' ἡμῶν διωγμῷ οὐδαμῶς ἐκοινώνει, ἀλλὰ καὶ τοὺς ὑπ' αὐτὸν χριστιανίζειν (βουλομένους) ἀδεῶς καὶ ἀκωλύτως ἐπέτρεπεν, — (Κωνσταντῖνον τὸν υἱὸν αὐτοῦ Σεβαστὸν καὶ βασιλέα ζῶν ἀνέδειξεν, ὃν ἐκ πορνείας γεγενῆσθαι τινὲς τοῦτον εἶπον, οἱ καὶ ἐλέγχονται σαφῶς ὑπὸ διαφόρων ἐξηγητῶν ὡς ψευδολόγοι καὶ ματαιόφρονες).

(17) Ὡσαύτως οὖν καὶ Σευήρου τεθνηκότος Λικίννιος ὁ γαμβρὸς Κωνσταντίνου ἀντεισάγεται, μήπω λαβὼν αὐτήν, καὶ στέφεται Καῖσαρ ὑπὸ τῆς σηγκλήτου, οἷα δὴ μέλλοντος γενέσθαι γαμβροῦ, τῷ μεγάλῳ Κωνσταντίνῳ, ὑποκρινόμενος δόλῳ τὴν καθ' ἡμᾶς εὐσέβειαν.

---

1. παρεῖχον τοῖς ὁ. Ced. — ἤδη γέ τοι Ced. — 2. ἐγίν. cod. — βορὰ Ced. — * καὶ Ced. — 4. Ced. 467,21—468,1 de Diocletiano et Herculio· Τῷ ϛ' ἔτει ὡς ἐν στ. ἐνέγραψαν οἱ δυσσεβεῖς καθ' ἡ. ὡς π. ἀν. χρ. π. — ** καθὼς ὑπελάμβανον οἱ ἀλάστορες Ced. — 8. Διὸ καὶ λιμὸς καὶ λοιμὸς καὶ αὐχμὸς Ced. 468,1 cf. §. 13. — 13. Ced. 469.21,22;472,10—13. Κωνσταντίου δὲ τοῦ ἐπικληθέντος χλωροῦ cod. — 15. ἐκοινώνησε Ced. — 21. Ced. 474,3 — 6. Τοῦ δὲ Σ. τελευτήσαντος Λικίνιον οἱ Ρωμαῖοι Καίσαρα ἀνηγόρευσαν, Κωνσταντίνῳ χαριζόμενοι Ced. — 23. γαμβρῷ cod. propter τῷ μεγάλῳ Κωνσταντίνῳ μέλλων — γαμβρός? γαμβρῷ αὐτοῦ ὄντι εἰς ἀδελφὴν Κωνσταντίαν καὶ ὑποκρίνομενον ψευδῶς τὴν Ced. Λικίννιον δὲ γαμβρὸν ἐπ' ἀδελφῇ ποιησάμενος, βασιλέα κατέστησεν Sym. Ms. 29a.

CLXXVII. ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥ.

312 (5514) Τὸν δὲ Κωνσταντῖνον μετὰ τὴν τοῦ πατρὸς τελευτὴν καὶ κατάλυσιν Μαξεντίου καὶ εἰσέλευσιν τῆς πόλεως Ῥώμης συνέβη νοσῆσαι, ὥστε μήτε μάγων πρόγνωσις καὶ μυθολογία μήτε ἰατρῶν ἐπιστῆμαι ἢ σκευασίαι βοηθημάτων δύνασθαι τὸ πάθος αὐτοῦ θεραπεῦσαι· πρὸς ὃν οἱ τῶν εἰδώλων ἱερεῖς ἐλθόντες, ὑπέθεντο κολυμβήθραν τινὰ πλησθεῖσαν αἵματος παιδίων ἀφθόρων καὶ θερμῷ τῷ αἵματι καὶ ἀφρίζοντι βαπτισθέντα αὐτὸν ὑγιᾶναι. Συναχθέντων οὖν τῶν παιδίων ἐκ πάσης ἐπαρχίας διὰ βασιλικῶν προσταγμάτων καὶ τοῦ βασιλέως ἔξω παραπορευομένου, προσυπήντησαν αὐτῷ πᾶσαι τῶν πόλεων ἐκείνων τῶν παιδῶν αἱ μητέρες διαλελυμένων τῶν πλοκάμων καὶ τῶν μαζῶν γεγυμνασμένων μετὰ πολλῶν ὀδυρμῶν καὶ δακρύων, περὶ ὧν ὁ βασιλεὺς διερωτήσας καὶ μαθών, ὅτι αἱ μητέρες εἰσὶ τῶν μελλόντων ἀναιρεῖσθαι παιδίων, δακρύσας εἶπε· «Καλόν μοι μᾶλλόν ἐστιν ὑπὲρ τῆς σωτηρίας τῶν ἀναιτίων ἀποθανεῖν παιδίων ἢ ἐκ τῆς ἐκείνως ὠμοτάτης σφαγῆς ὠμοτάτην καὶ ἀπάνθρωπον ζωὴν ἐπιλέξασθαι». Καὶ μάλιστα τῆς ἐκ τούτων ὑγιείας ἀμφιβαλλόμενος καὶ ταῦτα πρὸς τὴν σύγκλητον εἰρηκὼς εἰσῆλθεν εἰς τὸ παλάτιον, καὶ οὐ μόνον τοὺς παῖδας ταῖς οἰκείαις μητράσι ἐκέλευσεν ἀποδοῦναι, ἀλλὰ καὶ ὀχήματα καὶ ἀναλώματα προσέταξε δοθῆναι αὐταῖς ἐν τῷ ὑποστρέφειν.

(2) Τούτου δὲ γενομένου, ἐν αὐτῇ τῇ νυκτὶ ὄναρ ἐθεάσατο ὁ βασιλεύς, ἐν ᾧ ὤφθησαν αὐτῷ οἱ τοῦ Χριστοῦ ἀπόστολοι λέγοντες· «Ἡμεῖς ἐσμὲν Πέτρος καὶ Παῦλος ἀποσταλέντες παρὰ θεοῦ πα-

---

2. ἐκ τοῦ βίου τοῦ ἁγίου Σιλβέστρου cod. Ced. 473,3—17: Εἰς Ῥώμην εἰσελθὼν μετὰ τὴν κατὰ Μ. νίκην ζητεῖ ἰατροὺς θεραπευθῆναι τῆς νόσου, καὶ δὴ Ἰουδαῖοί τινες ἔρχονται λέγοντες, ὅτι κ. χρὴ ποιῆσαι ἀφ' ἁ. ὑπομαζίων βρεφῶν καὶ ἐν αὐτῇ λουσάμενον καθαριθῆναι. Συνάγονται οὖν τὰ βρέφη μετὰ τῶν μητέρων· καὶ τί δεῖ λέγειν τοὺς τῶν μητέρων ὀδυρμοὺς καὶ τὰς τῶν τριχῶν ἐκκοπὰς κτλ. Ced. — καὶ κατ. — Ῥώμης om. Bulg. — 13. Ταῦτα ἰδὼν ἐκεῖνος καὶ σύνδακρυς γενόμενος εἶπε. Κ. ἐ. μ. ἐμὲ μόνον κακῷ μόρῳ ἀπ. ἢ ταῦτα τὰ βρέφη, ἀλλὰ καὶ τίς οἶδε τὸ τέλος ὁποῖον; ταῦτα εἰπὼν καὶ τὰς μητέρας δώροις φιλοφρονησάμενος ἀπέλυσεν ἐν εἰρήνῃ Ced. — 18. τούτ. cod. — 22. Ced. 475,17 — 476,2. Ταύτῃ τοι καὶ κατ' ὀ. ὁρᾷ τοὺς δύο μεγάλους ἀποστόλους Πέτρον καὶ Παῦλον προτρεπομένους αὐτὸν Σίλβεστρον ζητῆσαι τὸν ἐπίσκοπον τῆς πόλεως· καὶ αὐτὸς ὑπ.

ρασχεῖν σοι ὑγείαν καὶ σωτηρίαν διὰ τὴν πρὸς τοὺς παῖδας ἐλεημοσύνην τε καὶ συμπάθειαν· πέμψον οὖν, μετακάλεσαι Σίλβεστρον ἐκ τοῦ Σεραπείου ὄρους, καὶ ὑποδείξει σοι τὴν ὄντως θείαν καὶ σωτήριον πηγήν, ἐν ᾗ λουσάμενος οὐ μόνον σωματικὴν ἕξεις ὑγείαν ἀλλὰ ψυχικὴν ὅτι μάλιστα». Ἡμέρας δέ γενομένης ἀποστείλας πρὸς τὸν θεῖον Σίλβεστρον, μετὰ πολλῆς τιμῆς ἤγαγεν αὐτὸν ἐν τῷ παλατίῳ· καὶ ἀναστὰς ὁ βασιλεὺς προσεκύνησεν αὐτὸν λέγων· «Καλῶς ἦλθες, Σίλβεστρε». Καὶ ὁ ἐπίσκοπος εἶπε· «Εἰρήνη σοι καὶ σωτηρία παρασχεθείη ὑπὸ θεοῦ». Καὶ φησὶν ὁ βασιλεύς· «Παρακαλῶ σε εἰπεῖν μοι εἰ ἔχετέ τινας θεοὺς Πέτρον καὶ Παῦλον καλουμένους». Καὶ ὁ ἐπίσκοπος ἔφη· «Ἡμεῖς ἕνα θεὸν ἔχομεν ποιητὴν οὐρανοῦ καὶ γῆς, οὗ Πέτρος καὶ Παῦλος δοῦλοι γνήσιοι τυγχάνουσιν». Ὁ δὲ βασιλεὺς ἔφη· «Δύνασαι, ὦ ἐπίσκοπε, φανερῶσαί μοι τὰς ὄψεις αὐτῶν διά τινος ζωγραφίας (102ᵃ), ὅπως ἐπιγνῷ σαφέστερον εἰ αὐτοί εἰσιν οἱ ἀποσταλέντες ἀπὸ θεοῦ πρός με»; Καὶ παραχρῆμα κελεύσας ὁ ἐπίσκοπος τῷ ἰδίῳ διακόνῳ ἐπενεγκεῖν τὰ στηθάρια τῶν ὁμοιωμάτων ἐν σανίσιν, ἠνέχθη· καὶ θεασάμενος ὁ βασιλεὺς ἀνέκραξε φωνῇ μεγάλῃ λέγων· «Οὗτοί εἰσιν ἀληθῶς οἱ κατ' ὄναρ ὀφθέντες μοι καὶ παρακελευσάμενοί με ἀνακαλέσασθαί σε, ὦ Σίλβεστρε. Καὶ νῦν δεῖξόν μοι τὴν πηγήν, ἣν ἔφησαν, δι' ἧς ψυχῇ καὶ σώματι σωθήσωμαι». Καὶ ὁ ἐπίσκοπος αὐτίκα προστάξας κολυμβήθραν ὕδατος γενέσθαι, ἐβάπτισε τὸν βασιλέα. Καὶ αὐτίκα ἐξῆλθεν ἐκ τῆς κολυμβήθρας ὅλος ὑγιής, καταλιπὼν τὰ τοῦ σώματος ἕλκη ἐν τῷ ὕδατι καθάπερ λεπίδας ἰχθύων.

(3) Ὃν ἡ σύγκλητος ἰδοῦσα καὶ πᾶς ὁ δῆμος (ἀπολαβόντα τὴν ὑγείαν) ἐξεβοήσαν (λέγοντες· «Εἷς θεός, ὁ τῶν χριστιανῶν, μέγας καὶ φοβερός· καὶ πάντες ἀπὸ τοῦ νῦν πιστεύομεν καὶ βαπτιζόμεθα,

---

3. Σωρακτείου? — σοι κολυμβήθραν δι' ἧς τῆς τε ψυχῆς τὰς νόσους καὶ τοῦ σώματος θεραπευθήσῃ. Ἔρχεται οὖν ὁ Σίλβεστρος διὰ τοὺς ἐπικειμένους διωγμοὺς ἐν φυγαδείᾳ τελῶν καὶ βαπτίζει κατηχήσας αὐτὸν Ced. — 23. Εὐθὺς οὖν ἀπὸ τῆς θείας κ. ἀνερχομένου τοῦ Κ. ἐξέπεσον ἀπὸ τοῦ σώματος αὐτοῦ ὡσεὶ λεπίδες καὶ ἐκαθαρίσθη καὶ γέγονεν ὅλον ὑγιὲς ὡς παιδαρίου μικροῦ Ced. — 25. Ced. 476,3,4? Georgii verba magis biblica quam Romana omisit, sed et historiam de Crispo Hippolyteam; de donatione apud Graecos altum silentium. Τοῦτο ἰδόντες οἱ λαοὶ ἐβαπτίσθησαν ἄπειροι καὶ Κρίσπος ὁ υἱὸς Κωνσταντίνου Ced.

ὅτι εἴδομεν σήμερον μεγάλα θαυμάσια». Πρὸς οὓς φησὶν ὁ βασιλεύς· «Τὰ μὲν ἀνθρώπινα ἀναγκαστά, τὰ δὲ θεῖα προαιρετικὰ τυγχάνει. Ὁ μέντοι θεὸς ἀγαθῇ προαιρέσει καὶ διαθέσει θρησκεύεται· ὅθεν οὐκ ἐξ ἀνάγκης ἀλλὰ κρίσει ἐλευθερίας βουλόμεθα γίνεσθαι χριστιανοὺς τοὺς θέλοντας καὶ μὴ φόβῳ ἀνθρωπίνῳ προσάγεσθαι τῇ τοῦ θεοῦ λατρείᾳ». Καὶ ταῦτα πάντες ἀκούσαντες πρὸς τὴν πίστιν πόθῳ ἐξήφθησαν, μᾶλλον ἀποδεξάμενοι τὴν τοῦ βασιλέως ἐπιείκειαν καὶ τὴν τοῦ δόγματος καθαρότητα.) Αὐτίκα γοῦν σὺν αὐτῷ ἐβαπτίσθη καὶ Κρίσπος ὁ (πρῶτος) αὐτοῦ υἱὸς (ὃν καὶ φασὶ ὕστερον κατηγορηθέντα ψευδῶς ὑπὸ τῆς μητρυιᾶς, ἀποκτανθῆναι παρὰ τοῦ πατρὸς ὡς βουλευσάμενον κοιμηθῆναι μετ' αὐτῆς· ὕστερον δὲ μαθὼν ὁ βασιλεὺς ψεῦδος εἶναι τοῦτο, καὶ αὐτὴν ἀπέκτεινεν ὡς συκοφαντήσασαν τὸν ἀναίτιον. Ἐβαπτίσθη δὲ καὶ ἡ μήτηρ αὐτοῦ Ἑλένη καὶ τοῦ βασιλέως συγγενεῖς τε καὶ φίλοι).

(4) Ἐν τῷ Καπετωλίῳ Ῥώμης * ἐφάνη δράκων παμμεγέθης· εἶτα Σίλβεστρος τοῦτον ἀπέκτεινεν.

(5) Συνηθρόϊσε δὲ ὁ βασιλεὺς ἱερεῖς καὶ γραμματεῖς τῶν Ἰουδαίων διαλεχθῆναι τῷ ἁγίῳ Σιλβέστρῳ περὶ τοῦ Χριστοῦ, οὓς καὶ εἰς τέλος ἐνίκησεν ὁ ἅγιος δυνάμει Χριστοῦ ἀπελέγξας αὐτούς, ἔτι τε τῶν προφητῶν καὶ λοιπῶν ἀποδείξεων τῆς ἑαυτῶν γραφῆς.

(6) Ὁ δὲ Μαξέντιος πονηρότατος πάντων τῶν πρὸ αὐτοῦ γεγονὼς τοὺς τὴν Ῥώμην οἰκοῦντας ἐπέτριβε καὶ μάλιστα τοὺς χριστιανούς· πολλοὺς γοῦν τῶν πρώτων ἐφόνευσε καὶ ἄλλους ἐξορίσας τὰς οὐσίας αὐτῶν διήρπαζεν· τῇ δὲ τοῦ Γαλλερίου χρώμενος ἀκολασίᾳ πολλὰς τῶν ἐλευθέρων γυναικῶν ἐμίανεν, ἑτέρας τε μυρίας ἀνοσιουργίσας καὶ ἀῤῥητοποιΐας ἐπιτηδεύων, ἀφόρητος τοῖς πᾶσιν ὑπῆρχε γοητικαῖς κακομαγγανίαις χρώμενος.

(7) Τοῦ δὲ μεγάλου Κωνσταντίνου τὰ βόρεια καὶ δυτικὰ μέρη ἕως τοῦ Ὠκεανοῦ ὑποτάξαντος ἐν εἰρήνῃ πολλῇ καὶ εὐμηνίᾳ καὶ καταστάσει ἐν ὅλῃ τῇ κατ' αὐτὸν οἰκουμένῃ,) οἱ δὲ Ῥωμαῖοι οἰ-

15. Ced. 476,18 — 477,2. — * βαθμοὺς ἔχοντι τξε' κτλ. Ced. — 17. Ced. 478, 15—495,11. Τῷ δ' ἔτει τῆς βασιλείας — διαλεξις γέγονεν ἐν Ῥώμῃ χριστιανῶν καὶ Ι. κτλ. Ced.—21. Ced. 474,6—9? — 28. Ced. 474,9—475,2. — 29. καὶ Θυμίδ' cod.— 30. Ὅθεν καὶ πρεσβείαν οἱ Ῥ. π. Κωνσταντῖνον ποιησάμενοι κατὰ τοῦ δυσσεβοῦς Μαξεντίου, τοῦτον διήγειραν Ced. 474,9—11.

κήτορες δέησιν πρὸς αὐτὸν ἐστείλαντο μὴ παριδεῖν τὴν μητέρα των βασιλειῶν ὑπὸ ἀπεινοῦς τυράννου, μᾶλλον δὲ σαρκοβόρου θηρίου ἀπολλυμένην. Ταῦτα ἀκούσας ὁ μέγιστος Κωνσταντῖνος ἐφρόντιζε τοῦ ἐλευθερῶσαι αὐτοὺς ἐκ τῆς τούτου δουλείας· ἐδεδίει δὲ τοῦτο διὰ τὰς γοητικὰς αὐτοῦ κακογνωμίας· ἤδη γὰρ πολλοὺς ἀνέτεμε παῖδας προφάσει τῆς ἀθεμίτου γοητείας. Ἐν πολλῇ οὖν σκέψει καὶ φροντίδι ὑπάρχοντι ὤφθη αὐτῷ (102[b]) ἐν Κάμπῳ διάγοντι μετὰ τῶν στρατιωτῶν περὶ μεσημβρίαν στυλοειδὴς σταυρὸς ἐκ φωτὸς κατεσκευασμένος, ἐν ᾧ ἐπεγέγραπτο· «Ἐν τούτῳ νίκα». (Ἔμφοβος δὲ γενόμενος ὁ βασιλεὺς ἠρώτα τοὺς σὺν αὐτῷ, εἰ καὶ αὐτοί τι ἐθεάσαντο. Οἱ δὲ ὡμολόγησαν τὴν αὐτὴν αὐτῷ ἑωρακέναι ὀπτασίαν. Τότε ὁ βασιλεὺς ἀναῤῥωσθεὶς τῷ φρονήματι καὶ θάρσους καὶ προθυμίας ἀνάπλεως ἦν.) Τῇ δὲ ἐπιούσῃ νυκτὶ ἐπιστὰς ὁ Κύριος εἶπεν αὐτῷ· «Χρῆσαι τῷ δειχθέντι σοι σημείῳ εἰς βοήθειαν καὶ ἔσῃ νικῶν πάντας τοὺς ἐχθρούς σου». Ἡμέρας δὲ γενομένης, (ἀμελητί) σχεδιάσας σταυρὸν, ὅστις μέχρι τῆς σήμερον ἐν τοῖς βασιλείοις φυλάττεται, ἐκέλευσε προάγεσθαι αὐτὸν εἰς τὸν πόλεμον. Ὁ δὲ δυσσεβὴς τύραννος θαῤῥήσας τοῖς δαίμοσιν· αὐτοῦ καὶ γεφυρώσας τὸν παραῤῥέοντα ποταμὸν (πολλαῖς) ναυσὶν ἐξῆλθεν εἰς παράταξιν τοῦ πολέμου. Συμβολῆς δὲ γενομένης, συνετρίβησαν ὑπὸ τῆς τοῦ σταυροῦ δυνάμεως οἱ ὑπεναντίοι καὶ κατακοπέντες οἱ πλεῖστοι, οἱ λοιποὶ σὺν τῷ τυράννῳ ἐπὶ τὴν πόλιν ἔφευγον. Τῆς δὲ γεφυρᾶς κρείττονι δυνάμει διαῤῥαγείσης, κατεποντίσθη ἐν τῷ ποταμῷ (κατὰ τὸν Φαραὼ πανστρατεὶ ὁ τύραννος. Καὶ ἦν ἰδεῖν τὸν ποταμὸν ὅλον πεπληρωμένον ἵππων σὺν ἀναβάταις.) Οἱ δὲ πολῖται τῆς πό-

3. Ὁ δὲ δεδιὼς τὰς τοῦ Μαξεντίου γοητείας ἐν π. ἀγωνίᾳ ἦν· φαίνεται οὖν αὐτῷ ἐν ἕκτῃ ὥρᾳ τῆς ἡμέρας ὁ τίμιος στ. Ced. 474,13,14. — 9. κατ. ἔχων ἐπιγραφὴν δι' ἀστέρων ἐν Ced. — 13. Ἐν ὁράματι δὲ τῆς νυκτὸς ἐφίσταται ἀ. ὁ κς λέγων· Χρ. Ced. 474,16. — 14. σημ. καὶ νίκα Τότε στ. χρυσοῦν σχ. ὃς ἔστι μ. καὶ νῦν, ἐκ. προάγειν ἐν Ced. 474,17. — 17. Ὁ δὲ Μαξέντιος τὸν παρ. τῇ πόλει π. ν. γ. κατὰ τοῦ μεγάλου Κωνσταντίνου ἀντιπαρεταξάτο Ced. 474,11,12. — 20. Καὶ σ. γ. ἠττήθησαν οἱ περὶ Μαξέντιον καὶ τοῦ πλήθους ἀναιρουμένου, Μαξέντιος σὺν τοῖς λοιποῖς τῇ γεφυρᾷ ἐπέβη φεύγων, ἥτις θεία δυνάμει διαῤῥαγεῖσα ἐν τῷ π. πάντας κατεπόντισεν Ced. 474,19 — 22. — 23. Ex. XV. I. ἵππον καὶ ἀναβάτην ἔῤῥιψεν εἰς θάλασσαν, 4 κατεπόντισ ν. — 25. Οἱ δὲ Ῥωμαῖοι λυτρωθέντες τῆς τοῦ πονηροῦ Μαξεντίου τυραννίδος, τὴν πόλιν στ. ἐ. μ. χ. τὸν νικητὴν Κωνσταντῖνον σὺν τῷ νικοποιῷ σταυρῷ σ. αὐτὸν ἀνευφημοῦντες Ced. τὸν Μαξέντιον πολέμῳ τροπωσάμενος ἀναιρεῖ Sym. 30[a].

λεως στεφανώσαντες τὴν πόλιν εἰσεδέξαντο αὐτὸν μετὰ χαρᾶς μεγάλης καὶ εὐφημιῶν, τόν τε νικοποιὸν σταυρὸν καὶ τὸν νικηφόρον βασιλέα σωτῆρα ἐπεκαλοῦντο.

312 (S 514) (8) Τότε ὁ βασιλεὺς ἐκέλευσε συναχθῆναι τὰ λείψανα τῶν ἁγίων μαρτύρων καὶ ὁσίᾳ ταφῇ παραδοθῆναι, καὶ τὰς οὐσίας τοῖς ἀδικηθεῖσι ἀποδοθῆναι. (Καὶ ἦσαν ἄγοντες ἐπινίκιον ἑορτὴν ζ' ἡμέρας γεραίροντες τὸν σταυρὸν τοῦ Χριστοῦ). Τοῦτο ἦν ἕβδομος ἐνιαυτὸς τῆς βασιλείας Κωνσταντίνου· τότε δὲ καὶ λεπρωθεὶς ἐβαπτίσθη ὑπὸ Σιλβέστρου ἐν Ῥώμῃ.

314 (5516) (9) Ταῦτα ἀκούσας ὁ Γαλλέριος Μαξιμιανὸς ἐξελήλυθει—ἐξεδέχετο γὰρ καὶ αὐτὸς τὸν αὐτὸν μόρον — καὶ μικρὸν ἀπέστη τῆς κατὰ χριστιανῶν ἀπειλῆς.

315 (5517) (10) Ὁ δὲ μέγιστος Κωνσταντῖνος θαῤῥῶν τῷ ἀνικήτῳ ὅπλῳ τοῦ σταυροῦ ὥρμησεν ἐπ' αὐτὸν, εἶχε δὲ καὶ Λικίνιον Καίσαρα τηνικαῦτα συμπολεμοῦντα αὐτῷ (κατὰ τῶν τυράννων, προσποιούμενον χαίρεσθαι τοῖς χριστιανῶν δόγμασιν. Ὁ δὲ τύραννος ταῖς γοητείαις καὶ μαντείαις καὶ ἀπάταις ἐπερειδόμενος παρατάξασθαι τὴν εὐσεβῆ βασιλείαν ἐξελήλυθεν, τῷ ἀναριθμήτῳ πλήθει τῶν στρατοπέδων φανταζόμενος. Γενομένης, δὲ συμβολῆς καὶ τοῦ τιμίου σταυροῦ φανέντος, οἱ τοῦ τυράννου ὑπασπισταὶ τὴν προσβολὴν μὴ ὑπενεγκόντες) ἐτράπησαν (εἰς φυγήν· καὶ οἱ μὲν ἔφυγον κατὰ τάχος, οἱ δὲ ἀκρατῶς ἐδίωκον)· πολλῶν δὲ χιλιάδων καταπεσόντων (οἱ λοιπτοὶ καταλιπόντες τὸν τύραννον προσέχωρησαν τῷ αὐτοκράτορι). Ὁ δὲ (δυσσεβὴς) ῥίψας τὸ βασίλειον (ὡς ἂν μὴ ἐπιγνωσθῇ, εἷς ἦν τοῦ στρατοῦ), περιερχόμενος δὲ ἀπὸ κώμης εἰς χώραν (καὶ κρυπτάζόμενος) μετὰ ὀλίγων τῶν εὐνουστάτων διεσώθη (γυμνός)· (Συνα-

---

4. Ced. 475,2 — 7· Τῷ ζ' ἔτει τῆς βασιλείας αὐτοῦ ὁ μέγας Κωνσταντῖνος τῆς Ῥώμης κρατήσας πρὸ πάντων τὰ λ. τῶν ἁγ. μ. τῇ ἑ. τ. παρέδωκε καὶ τοὺς ἐν ἐξορίαις ἀνεκαλέσατο· καὶ ὑπὸ Σ. τοῦ ὁσιωτάτου πάπα Ῥώμης βαπτίζεται καὶ τῆς λώβης ἐξελευθεροῦται τρόπῳ τοιῷδε. — 10. Ced. 477,3· Τῷ θ' ἔτει τῆς βασιλείας Κωνσταντίνου — τ. τοίνυν ἑ τῆς ἑῴας Μ. ὁ Γ. ἀκ. τὸν κ. Χρ. ἀνῆκε πόλεμον. — 13. Ced. 477,6 — 11 Ἐν τῷ ι' ἔτει τῆς βασιλείας αὐτοῦ ὁ μέγας Κωνσταντῖνος σὺν Λικινίῳ Καίσαρι κατὰ τοῦ Γαλλερίου ἀϑροίζει πολεμον. — 21. καὶ τοῦτον τρεψάμενος πάντας κατασφάττει. Αὐτὸς δὲ ὁ Γαλλέριος τὸ διάδημα ῥίψας καὶ μετ' ὀλ. ἑ. διαῤῥὰς ἀπὸ κ. εἰς κωμην ὤχετο καὶ τοὺς Ced. Μαξιμῖνος — ἐν τῇ ἀνατολῇ ἡττηθεὶς φευγει Sym. 30ª.

γαγὼν δὲ) τοὺς ἱερεῖς τῶν λεγομένων θεῶν καὶ τοὺς προφήτας καὶ τοὺς μάντεις (καὶ τοὺς ἐπὶ μαντείᾳ βεβοημένους, οὓς πρώην ἀγαπῶν ἐτίμα), ὡς ἀπατεῶνας (καὶ πλάνους καὶ ἐπιβούλους τῆς αὐτοῦ βασιλείας) κατέσφαξε.

(11) Μέλλων δὲ εἰς τὰς χεῖρας ζῶν τοῦ αὐτοκράτορος ἐμπεσεῖν 316 (5318)
(-ἐπέκειτο γὰρ αὐτῷ ἔτι ὁ πόλεμος-) προλαβοῦσα θεήλατος ὀργή, (οὕτως) αὐτὸν διέθηκεν (ὡς κεῖσθαι αὐτὸν πρηνῆ ἐπὶ τοῦ ἐδάφους δεόμενον ἐπικουρίας καὶ μὴ τυγχάνοντα)· φλὸξ δὲ ἐκ βάθους σπλάγχνων καὶ μυελῶν αὐτοῦ ἀναφθεῖσα (ἀνυποίστους αὐτῷ τὰς ὀδύνας ἀσθμαίνοντι καὶ ὧδε κἀκεῖσε περιστρεφομένῳ, ὥστε καὶ) ἀμφότερα τὰ ὄμματα αὐτοῦ ἐκπηδῆσαι (ἐπὶ τὴν γῆν καὶ καταλιπεῖν αὐτὸν τυφλόν· τῇ δὲ ἔνδον φλογὶ εἰς ἄπειρον ἐξαπτόμεναι) αἱ σάρκες αὐτοῦ συνεσάπησαν καὶ τῶν ὀστέων διεχωρίζοντο (ὥστε αὐτὸν ἐφ' ἑαυτὸν ἐπικαλεῖσθαι τὸν θάνατον)· οὕτως δὲ κατασαπήσης δι' ὅλου, ἐπέρρηξε τὴν ψυχήν.

(12) Ταῦτα ἀκούσας καὶ τὰ περὶ Μαξεντίου γενόμενα ἐν Ῥώμῃ χαλεπά τε καὶ ἄτοπα, περὶ οὗ καὶ πρεσβείαν δεξάμενος ἐστράτευσε κατ' αὐτοῦ καὶ τὸ σημεῖον τοῦ σταυροῦ ἐν οὐρανῷ φωτοειδὲς θεασάμενος ἐπιγράφοντος· «Ἐν τούτῳ νίκα», παρευθὺ χρυσοκολλήτοις ἐκτυπώσας λίθοις καὶ ἐπὶ δόρατος ἀναρτήσας καθηγεῖσθαι τῇ ἑαυτοῦ στρατιᾷ προσέταξεν, δι' οὗ καὶ τροπωσάμενος Μαξέντιον ἐν τῷ ποταμῷ, οὕτως εἰσῆλθε καὶ τῆς Ῥώμης ἐκράτησεν, ἀποπνιγέντος Μαξεντίου ἐν τῷ ποταμῷ, περὶ οὗ καὶ ὁ πολυΐστωρ Εὐσέβιος ἔφη· «εὐθὺς αὖθις καὶ πεπλήρωται σαφῶς τὸ ῥητόν· Ἅρματα Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ ἔρριψεν εἰς θάλασσαν· ἐπιλέκτους ἀναβάτας, τριστάτας κατεπόντισεν ἐν ἐρυθρᾷ θαλάσσῃ, πόντῳ ἐκάλυψεν αὐτούς». Οὕτως γὰρ Μαξέντιος καὶ οἱ περὶ αὐτὸν ὁπλῖται

---

1. τῶν εἰδώλων καὶ μύστας καὶ πρ. καὶ μ. Ced. — 5. Ced. 477,11 — 17· Ἐν δὲ τῷ ια' ἔτει μέλλοντος κρατηθῆναι τοῦ Μαξιμιανοῦ ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου πρ. θεία ὁ. κατέλαβεν ἀ. — 7. πρηνὴς — δεόμενος — τυγχάνων cod.? — 8. φλ. γὰρ ἀπὸ τῶν σπλ. ἀ. καὶ μελῶν Ced. — 9. ἀν. ἀμφοτέρους τοὺς ὀφθαλμοὺς ἀ. ἐ. πεποίηκεν, αἱ δὲ σ. Ced. — 12. τῆς — φλογὸς cod. — εἰς ἀ. σαπεῖσαι των ὀ. ἐξέπεσον καὶ ὁ. διατεθεὶς τὴν θεομάχον αὐτοῦ ἀπ. ψ. Ced. — 14. κ. τῆς σαρκὸς vel κατασαπείς? νόσῳ τελευτᾷ Sym. 30ª.—16. Varians §. 7—24. Eus. H. E. IX. 9 ὥσπερ οὖν ἐπ' αὐτοῦ Μωϋσέως καὶ τοῦ πάλαι θεοσεβοῦς Ἑβραίων γένους ἅρμ. Ex. XV. 4. — 27. Κατὰ τὰ αὐτὰ δὴ M. οἵ τε ἀμφ' ἀ. Eus.

καὶ δορυφόροι κατέδυσαν εἰς βυθὸν ὡσεὶ λίθος, ὀπηνίκα, δοὺς νῶτα τῇ ἐκ θεοῦ μετὰ Κωνσταντίνου δυνάμει καὶ πρὸς τὸν ποταμὸν, ὃν αὐτὸς μηχανικῶς ζεύξας καὶ * γεφυρώσας, μηχανὴν ὀλέθριον ἑαυτοῦ συνεστήσατο, καὶ εἰς λάκκον, ὃν ὤρυξεν εἰσεπέπτωκεν, καὶ «ἐπέστρεψεν ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ κατῆλθε». — «Καὶ οὕτως μὲν ὁ δυσσεβὴς καὶ οἱ ὅμοιοι αὐτοῦ ἔδυσαν ὡσεὶ μόλυβδος ἐν ὕδατι σφοδρῶς». — Ὁ δὲ θεῖος Κωνσταντῖνος θεὸν τοῖς ἔργοις ἀνυμνήσας ἐπὶ Ῥώμης μετ' ἐπινικίων εἰσελαύνει, πάντων ἀθρόως αὐτὸν ἅμα γυναιξὶ καὶ κομιδῇ νηπίων καὶ σὺν παντὶ δήμῳ Ῥωμαίων φαιδροῖς ὄμμασιν ** εἶα λυτρωτὴν καὶ σωτῆρά τε καὶ εὐεργέτην μετ' εὐφημιῶν καὶ ἀπλήστου χαρᾶς ὑποδεχομένων. Ὁ δὲ ὥσπερ ἔμφυτον τὴν εἰς θεὸν εὐσέβειαν κεκτημένος μηδ' ὅλως ἐπὶ ταῖς βοαῖς ὑποσαλευόμενος μηδὲ τοῖς ἐπαίνοις ἐπαιρόμενος, εὖ μάλα τῆς ἐκ θεοῦ συναισθόμενος βοηθείας, αὐτίκα τοῦ σωτηρίου πάθους τὸ τρόπαιον ὑπὸ χειρὸς ἰδίας ἐπὶ κίονος ἀνατεθῆναι προστάττει» καὶ τὴν παρασκευὴν καὶ τὴν κυριακὴν τιμᾶσθαι προσέταξεν, τὴν μὲν διὰ τὸν σταυρὸν, τὴν δὲ διὰ τὴν ἀνάστασιν καὶ σταυρῷ μηκέτι καταδικάζεσθαι ἄνθρωπον).

---

1. ἐδ. Eus. — λίθ. cod. — ν. δ. Eus. — 2. συν. τὸν πρὸ τῆς πορείας διῆει π. Eus. — 3. ὃν ἀ. σκάφεσι ζ. Eus. — * εὖ μάλα Eus. — ὀλέθρου καθ' ἑαυτοῦ Eus. — 4. συν. ἐφ' ᾧ ἦν ἂν εἰπεῖν λ. ὦ. καὶ ἀνέσκαψεν ἀ. καὶ ἐμπεσεῖται Eus. e Ps. VII. 15.— λάκκον εἰς cod. cf. Eccl. X. 8, Prov. XXVI. 27· Ὁ ὀρύσσων βόθρον εἰς αὐτὸν ἐμπεσεῖται. — ἐμπ. εἰς βόθρον ὃν εἰργάσατο ἐπιστρέψει Eus. ut Ps. VII, 15,16. — 7. καταβήσεται Ps. Eus. — Ταύτῃ δὴ — αὐτός γε πρῶτος ὁ δυσσεβέστατος, εἶτα δὲ καὶ οἱ ἀμφ' αὐτὸν ὑπασπισταὶ — ἐδ. ὦ. μ. ἐν. ὑ. σφοδρῷ Eus. — 7. Ταῦτά γε καὶ ὅσα τούτοις ἀδελφά τε καὶ ἐμφερῆ Κ. τοῦ καθηγεμόνι καὶ τῆς νίκης θεῷ αὐτοῖς ἐ. ἀν. Eus. — 10. εἰσήλαυνε Eus. — ἀ. ἅμα κ. ν. καὶ γ. τῆς δὲ ἀπὸ τῆς συγκλήτου βουλῆς καὶ τῶν ἄλλων διασημοτάτων σὺν Eus. — ** αὐταῖς ψυχαῖς Eus. — 13. ὑποδεχόμενοι cod.—14. μηδ' ἐπ. τοῖς ἐπ. Eus.—16. σωτηρίου τρόπαιον π. ὑ. χεῖρα ἰδίας εἰκόνος. Eus. Ὁ δὲ θεῖος οὗτος Κωνσταντῖνος εἰς τὴν τῶν τυράννων τούτων διανέστη κατάλυσιν καὶ τὸν Μαξ. — ἀναιρεῖ, ὥστε καὶ τὸ τοῦ σταυροῦ σημεῖον θεὸς εἰς συμμαχίαν αὐτῷ παρέσχετο. Sym. 30ª.

Δ΄

ΑΡΧΗ ΣΥΝ ΘΕΩ ΤΗΣ ΤΩΝ ΧΡΙΣΤΙΑΝΩΝ ΒΑΣΙΛΕΙΑΣ ΚΑΙ ΠΕΡΙ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ *.

CLXXVIII. ΒΑΣΙΛΕΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ.

Μετὰ Μαξέντιον ἐβασίλευσε Κωνσταντῖνος ὁ μέγας ἔτη λα΄ **, ὃς εὐθέως διατάγματα εἰς πᾶσαν τὴν οἰκουμένην ἐξέπεμψε τοὺς ἐν ἐξορίᾳ χριστιανοὺς μετὰ τιμῆς ἐπανέρχεσθαι εἰς τὰ ἴδια καὶ) τοὺς μὲν ναοὺς τῶν εἰδώλων καταστρέφεσθαι, τὰς δὲ τοῦ Χριστοῦ ἐκκλησίας οἰκοδομεῖσθαι καὶ τοὺς ἔτι εἰδωλολατροῦντας, κεφαλικαῖς ὑποκεῖσθαι ***. 319 (5321)

(2) (Καὶ πρὸς τούτοις ἐξέθετο [καὶ] νόμους καθολικοὺς, ὥστε) ἀποδίδοσθαι τοὺς τῶν εἰδώλων ναοὺς καὶ τὰς τούτων προσόδους τοῖς τῷ Χριστῷ ἱερωμένοις, καὶ χριστιανοὺς μόνους ἄρχειν καὶ στρατεύεσθαι (καὶ τετράδα καὶ παρασκευὴν πάντας νηστεύειν καὶ τὴν κυριακὴν **** ἀργεῖν καὶ τιμᾷν, τὰς μὲν διὰ τὸ πάθος, τὴν δὲ διὰ τὴν ἀνάστασιν τοῦ Κυρίου) καὶ ἀπράκτους εἶναι τὰς δύο (τῆς) πασχαλίας ἑβδομάδας, μίαν πρὸ τῆς ἑορτῆς καὶ ἄλλην μετὰ τὴν ἑορτὴν, (103[b]) τὴν μὲν διὰ τοῦ Κυρίου τὸ πάθος καὶ τὸν σταυρὸν, τὴν δὲ διὰ τὴν ἀνάστα-

---

1. σημηναμένου M. 1,2. — * καὶ V. 1. — 3. αὐτοῖς V. 1. — 6. ἐνταῦθα M. 1,2. — ** φησὶν V. 1. — 8. συνεσκέπασα M. 1,2. — *** ταύτῃ Ced, V. 1, ταῦτα M. 1,2. — 9. βλάψαιεν cod. V. 1, M. 1,2. — 10. μὲν λ. M. 1,2. — **** δὲ V. 1, M. 1,2. — 11. ὁμογ. καὶ ὁμ. τ. ἁ. ἁ. κατέστησε Ced. ὁμογ. καὶ ὁμ. ἐπὶ τ. ἀ. ἁ. κ. V. 1, M. 1,2. — 13. πᾶσι V. 1. — ***** τοὺς ἱερεῖς V. 1, M. 1,2. — ****** Ἐπισκόπους καὶ πρεσβυτέρους, διακόνους τε καὶ ὑποδιακόνους ἔδοξεν ὁρίσαι τῇ συνόδῳ (τὴν σύνοδον cod.) μὴ συγκαθεύδειν ταῖς ἰδίαις γαμεταῖς, ἃς πρὶν ἱερᾶσθαι ἠγάγοντο. Στὰς δὲ ἐν μέσῳ αὐτῶν ὁ ἅγιος Παφνούτιος φησί· «Τίμιον τὸν γάμον» ἀποκαλῶν, (ἀποκαλεῖ ἡ γραφὴ Heb. XIII. 4?) σωφροσύνην δὲ τὴν πρὸς τὰς ἰδίας γαμετὰς συνουσίαν· κατὰ δὲ τὴν ἀρχαίαν παράδοσιν τοὺς μὲν ἀγάμους τοῦ ἱεροῦ τάγματος κοινωνήσαντας μηκέτι γαμεῖν, τοὺς δὲ μετὰ γάμον ὧν ἔχουσι γαμετῶν μὴ χωρίζεσθαι. (δεῖ vel βουλεύομαι) Καὶ ταῦτα μὲν ὁ ἅγιος Παφνούτιος· ἐπῄνεσε δὲ (1084) ἡ σύνοδος τὴν βουλὴν καὶ περὶ τούτου οὐδὲν ἐνομοθέτησε, ἀλλὰ τῇ ἑκάστου γνώμῃ τὸ πρᾶγμα ἔθεντο· τοὺς δὲ ἐπισκόπους ὥρισαν μόνους τοῦτο παραφυλάττεσθαι (Haec varians capitis CLXXXX. 7 deest in Cod. V. 1, M. 1,2). — 16. Et haec rubrica M. 2, in codice cum margine est abscisa. Totum c. deest in V. 1.—17. οὖν M. 1,2. — 18. συνδ. M. 1,2.

ἐπραάχθη, παρεκελεύσατο ὁ βασιλεὺς τῷ τῆς Αἰλίας ἐπισκόπῳ Μακαρίῳ παρόντι ἐν τῇ συνόδῳ καὶ τῶν ἀποστολικῶν δογμάτων ὑπερμαχοῦντι ἀναζητῆσαι καὶ τὸν ζωοποιὸν σταυρὸν καὶ τὸ θεοδόχον μνῆμα καὶ πάντας τοὺς ἁγίους τόπους· ἦν δὲ ἔνατος καὶ δέκατος ἐναυτὸς τῆς βασιλείας αὐτοῦ, ὅτε ἐγένετο ἡ ἐν Νικαίᾳ σύνοδος.

(2) Μετὰ δὲ ταῦτα ἀπέστειλεν ὁ βασιλεὺς τὴν ἑαυτοῦ μητέρα Ἑλένην εἰς Ἱεροσόλυμα μετὰ γραμμάτων καὶ χρημάτων ἀφθονίας πρὸς τὸν φερώνυμον Μακάριον, τὸν τῆς Αἰλίας ἐπίσκοπον, ἐπὶ ἀναζητήσει τοῦ ζωοποιοῦ ξύλου τοῦ ἐνδόξου σταυροῦ καὶ οἰκοδομῇ τῶν ἁγίων τόπων αὐτῆς, τοῦτο αἰτησαμένης τῆς βασιλίδος, φασκούσης ὀπτασίαν τινὰ θείαν ἑωρακέναι, κελεύουσαν αὐτὴν τὰ Ἱεροσόλυμα καταλαβεῖν καὶ τοὺς ἁγίους τόπους εἰς φῶς ἀγαγεῖν χωσθέντας ὑπὸ τῶν ἀνόμων καὶ ἀφανεῖς γενομένους ἐπὶ τοσούτου χρόνου. Μαθὼν δὲ ὁ ἐπίσκοπος ἀφικομένην τὴν βασιλίδα, συναγαγὼν τοὺς τῆς ἐπαρχίας ἐπισκόπους, μετὰ τῆς δεούσης τιμῆς ὑπήντησεν αὐτῇ. Εὐθέως δὲ παρεκέλευσε τοὺς ἐπισκόπους τὴν ζήτησιν τοῦ ποθεινοῦ ξύλου ποιήσασθαι. Ἀπορούντων δὲ πάντων περὶ τούτου καὶ ἄλλου ἄλλα ἐξ ὑποψίας διηγουμένου, ὁ τῆς πόλεως ἐπίσκοπος πάντας παρεκάλει ἡσυχίαν ἄγειν καὶ σπουδαιοτέραν εὐχὴν ὑπὲρ τούτου τῷ θεῷ προσφέρειν. Τούτου δὲ γενομένου, εὐθέως ἐδείχθη ὁ τόπος θεόθεν τῷ ἐπισκόπῳ, ἐν ᾧ ἵδρυτο τῆς ἀκαθάρτου δαίμονος Ἀφροδίτης ὁ ναὸς καὶ τὸ ἄγαλμα. Τότε ἡ βασίλισσα τῇ βασιλικῇ αὐθεντίᾳ χρωμένη, συναγαγοῦσα πλῆθος πολὺ τεχνιτῶν καὶ ἐργατῶν, ἐκέλευσεν ἐκ βάθρων ἀνατραπῆναι τὸ μισαρὸν οἰκοδόμημα καὶ τὸν χοῦν πόρρω που ἀποῤῥιφῆναι. Τούτου δὲ γεναμένου, ἀνεφάνη τὸ θεῖον μνῆμα καὶ ὁ τόπος τοῦ κρανίου καὶ οὐ μηκάθεν

---

1. τὸν — ἐπίσκοπον Μακάριον ἐν τῇ συνοδίᾳ καὶ — ὑπερμαχοῦντι M. 1,2. — 3. καὶ ζ. M. 1.—4. ἦν δὲ ἐτῶν θ' καὶ δ. ἐν. M. 1,2.—7. Varians capitis CLXXX. 2.— * καὶ M. 1,2. — 8. ἀφθονίαν codex, ἀφθόνων? — 11. ἐντειλαμένης M. 1,2. — φάσκουσα M. 1,2. — 13. χωσθέν cod. χωσθέντος οὖν αὐτοῦ ὑπὸ M. 1,2. — 14. ἀφανοῦς γενομένου ἐπὶ τοσούτους χρόνους M. 1,2, ἀφανεῖς γενομέν. ἐπὶ τοσούτ. χρο. cod. — 17. δὲ — ξύλου om. M. 1,2. — 18. Ἀπ. οὖν π. π. τοῦ τόπου καὶ ἄλλως ἄλλου ἐξ M. 1,2. — 23. Ἀφ. ν. M. 1,2. — 25. ἀπὸ β. M. 2, ἀπὸ βαράθρων M. 1. — 26. γενομ. 1,2. τὴν δέ μητέρα αὐτοῦ πρὸς τὰ Ἱεροσόλυμα ἀπέστειλε Sym. 314.

τρεῖς σταυροὶ ἐχωσμένοι. Ἐπιμελῶς δὲ διερευνήσαντες, εὗρον καὶ ἥλους. Ἐκεῖθεν λοιπὸν ἀμηχανία πολλὴ καὶ θλῖψις κατέλαβε τὴν βασίλισσαν ἐπιζητοῦσαν ποῖος ἄρα εἴη ὁ δεσποτικὸς σταυρός. Ὁ δὲ ἐπίσκοπος μετὰ πίστεως τὴν διάκρισιν ἔλυσεν· γυναικὶ γὰρ ἀῤῥωστούσῃ τῶν ἐπιφανῶν καὶ ἀπεγνωσμένῃ ὑπὸ πάντων καὶ τὰ τελευταῖα πνεούσῃ προσαγαγὼν ἑκάτερον τῶν σταυρῶν, τὸ ζητούμενον εὗρε· μόνον γὰρ * ἤγγισεν ἡ σκιὰ τοῦ σωτηρίου σταυροῦ τῇ ἀσθενούσῃ, εὐθὺς ἡ ἄπνους καὶ ἀκίνητος θείᾳ δυνάμει παραχρῆμα ἀνεπήδησε μεγάλῃ φωνῇ βοῶσα καὶ δοξάζουσα τὸν θεόν. Ἡ δὲ βασίλισσα Ἑλένη μετὰ χαρᾶς μεγάλης καὶ φόβου ἀνελομένη τὸν ** σταυρὸν, μέρος μέντοι σὺν τοῖς ἥλοις, ἀνεκομίσατο πρὸς τὸν παῖδα, τὸ δὲ λοιπὸν, γλωσσόκομον ἀργυροῦν ποιήσασα, παρέδωκε τῷ ἐπισκόπῳ τῆς πόλεως εἰς μνημόσυνον πάσαις γενεαῖς καὶ θεσπίσασα ἐκκλησίας γενέσθαι ἐν τῷ ζωοποιῷ μνήματι καὶ ἐν τῷ ἁγίῳ Γολγοθᾷ καὶ ἐν τῇ Βηθλεὲμ *** ἐν τῷ σπηλαίῳ, ἔνθα ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν κατὰ σάρκα γέννησιν ὑπέμεινε, καὶ ἐν τῷ ὄρει τῶν ἐλαιῶν, (198[b]) ἔνθα **** εὐλογήσας τοὺς μαθητὰς ἐνελήφθη. Καὶ ἄλλα καλὰ καὶ ἀξιέπαινα ποιήσασα ἐν Ἱεροσολύμοις ἀνέστρεψε πρὸς τὸν παῖδα.

(3) Ὁ δὲ μετὰ χαρᾶς αὐτὴν ὑποδεξάμενος τὴν μὲν τοῦ τιμίου σταυροῦ μερίδα χρυσῇ θήκῃ ἀποθέμενος, παρέδωκε τῷ ἐπισκόπῳ εἰς τήρησιν, ἐνιαυσιαίαις μνήμαις ἑορτάζειν τὴν ἀνάδειξιν τοῦ σταυροῦ προστάξας. Τῶν δὲ ἥλων τοὺς μὲν εἰς τὴν ἰδίαν περικεφαλαίαν ἐχάλκευσε, τοὺς δὲ ἀνέμιξε τῷ σαλβαρίῳ τοῦ ἵππου αὐτοῦ, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ προφήτου Ζαχαρίου διὰ τοῦ Κυρίου λέγοντος· «Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται τὸ ἐπὶ τῷ χαλινῷ τοῦ ἵππου τοῦ βασιλέως ἅγιον τῷ Κυρίῳ παντοκράτορι».

---

1. ἑ. τ. M. 1,2. — 4. διὰ π. M. 1,2. — 5. ἀῤῥωστοῦσα—ἀπεγνωσμένης M. 1,2.— 6. πνέουσαν cod.—ἑκάτερα τὸν σταυρὸν τὸν ζ. M. 1,2. — * ὡς M. 1,2. — ** ζωοποιὸν M. 1,2. — 11. ἀνεκόμισε M. 1,2. μ. τοῦ τιμίου ξύλου καὶ τοὺς ἥλους τῷ υἱῷ ἀπέστειλε Sym. 31a. — 12. τὸν M. 1,2. — τοῖς ἐπισκόποις M. 1,2.— 13. τῆς π. π. ταῖς γ. M. 2. τῆς π. π. τ. γενναίαις.—θ. καλῶς γ. M. 1, θ. ἐκκλησίαν γ. M. 2, θ. ἐκκλη. γ. cod. — *** καὶ M. 1,2. — **** ὁ κς M. 1,2.—18. ποιήσας M. 1,2. — 22. ἐναυσιαίας μνημ. cod, ἐναυσιαίου μνημοσύνου? — 23. κεφαλαίαν cod.—24. σ. ἀ. M. 1,2.—25. πρ. διὰ M. 1,2.—26. Zach. XIV. 20.—ἔσται τῷ χ. M. 2, ἑ. τῷ ἐπὶ χ. M. 1.—ἱ. ἁγ. M. 1,2, καὶ τὸν μὲν ἕνα π. σωτηρίου, τὸν δὲ ἕτερον ἐν τῷ ἱπποχαλίνῳ κεκόσμησεν Sym. 31a.

(4) Ὁ δὲ βασιλεὺς ἐκέλευσε τῷ ἐπισκόπῳ Κωνσταντινουπόλεως καταλαβεῖν τὴν Αἰλίαν καὶ συγκροτῆσαι σύνοδον πλειόνων ἐπισκόπων καὶ ἐγκαινίσαι τοὺς ἁγίους τόπους. Οὗτος δὲ ἦν * Εὐσέβιος ὁ Νικομηδείας, ὁ τῶν Ἀρειανικῶν δογμάτων γενόμενος πρόμαχος· οὗτος ἀναθεματισθεὶς ἐν τῇ Νικαέων μετὰ τῶν συμφρόνων αὐτοῦ καὶ ἐξορισθεὶς, μετὰ χρόνον τὴν φιλανθρωπίαν τοῦ βασιλέως εἰς ἔφοδον ἐξ ἀπάτης λαβόντες, χαρτίον δεητικὸν ἀνήνεγκαν τῷ βασιλεῖ ὀμνύοντες, ὅτι περ «ὑπογράφομεν τῇ ἐκθέσει τῆς πίστεως καὶ ἐν πᾶσιν ἀκολουθοῦμεν τοῖς ἁγίοις πατράσι». Πεισθεὶς δὲ τούτοις ὁ βασιλεὺς ἀνεκαλέσατο αὐτοὺς ἐκ τῆς ἐξορίας καὶ τιμῆς μάλιστα πλείστης ἠξίωσε. Σχολάζοντος δὲ τοῦ Κωνσταντινοπόλεως θρόνου, ταῖς οἰκείαις κακομηχανίαις χρώμενος τυραννικῶς κατέσχε τὸν θρόνον τῆς βασιλευούσης πόλεως ὁ Εὐσέβιος. Ἐπιλαβόμενος δὲ τῆς μείζονος ἐξουσίας τοὺς σύμφρονας αὐτοῦ κατέστησε ταῖς οἰκείαις παροικίαις, ἐξεώσας τοὺς χειροτονηθέντας ἀντ' αὐτῶν.

(5) Τούτου δὲ γεναμένου, κατὰ Ἀθανασίου λοιπὸν τοῦ Ἀλεξανδρείας ἔσχολαζον πολλὰς κατ' αὐτοῦ σκαιωρίας ἐπινοοῦντες. Ὁ δὲ βασιλεὺς δίκαιον ἡγήσατο καὶ Ἀθανάσιον καλέσαι εἰς τὰ ἐγκαίνια τῶν ἁγίων τόπων. Κελεύει οὖν πρῶτον ἐν Τύρῳ συνελθεῖν τὴν σύνοδον καὶ τὰ κατὰ Ἀθανάσιον διασκέψασθαι καὶ οὕτως δίχα πάσης διχονοίας ὁρμήσασθαι πάντας εἰς τὴν ἑορτήν. Ἀπέστειλε δὲ καὶ τὸν ἀδελφιδοῦν αὐτοῦ Δαλμάτιον ἐπόπτην γενέσθαι τῆς συναθροιζομένης συνόδου τὴν κατάστασιν.

336 (6) Συνελθόντων δὲ τῶν ἐπισκόπων ἐν Τύρῳ, παρῆν σὺν αὐτοῖς καὶ ὁ ** Αἰλίας ἐπίσκοπος Μαξιμονᾶς ἀγνοῶν παντάπασι τὰ κατὰ Ἀθανασίου τυρευόμενα. Ὡς δὲ εἰσῆλθεν *** Ἀθανάσιος εἰς τὸ συνέδριον, περιέστησαν αὐτῷ οἱ κατήγοροι, μεγάλα καὶ βαρέα ἐγ-

---

1. 340—342 (Theodoret I. 18), Cod. 523,1—9 anno Const. 9°, (344); sed synodus Tyri habita est a. 336. (Epp. Athanasii) et h. l. ut §. 6. Eusebius Nicomediae non C. P. episcopus nominatur. — * ὁ M. 2. — 5. ἀ. ἐξ. M. 1,2.—7. δεκτ. M. 1,2.—9. Π. τοῦτο ὁ M. 1,2. — 11. πλεῖστος M. 1. — 13. τῆς βασιλείας ὁ M. 1,2. — 16. Cod. 523,9—12? — γενομ. M. 1,2. — 20. ἐπισκ. M. 2. — καὶ ὡς οὐ δ. M. 1,2. — 22. ἀδ. Δ. M. 2. — 24. Σ. οὖν M. 1.2. — ** τῆς M. 1,2. — 25. Μάξιμος 336 — 348? — *** ὁ M. 1,2. — 27. αὐτῷ sic cod. cf. Schaefer app. in Demosth. 1. p. 889, αὐτὸν M. 1,2.

κλήματα φέροντες κατ' αὐτοῦ, ἅπερ ὑπέθεντο αὐτοῖς οἱ παρόντες δικασταί, Εὐσέβιος * Νικομηδείας καὶ οἱ περὶ αὐτόν· ἀλλ' οὐκ ἴσχυσαν ἀποδεῖξαι, Ἀθανασίου ἀπολογουμένου καὶ ἀράχνης δίκην διασπῶντος τὰς συκοφαντίας αὐτῶν. Εἰς μανίαν δὲ τραπέντες οἱ κατήγοροι, συνέχεον ** ἅπαν τὸ συνέδριον βοῶντες· «Ἄρατε τὸν γόητα· γοητείᾳ γάρ τινι χρησάμενος πάντας ἐφίμωσε». Καὶ ἐφονεύθη ἂν Ἀθανάσιος, εἰ μὴ ὁ ἀνεψιὸς τοῦ βασιλέως ἐξήγαγεν αὐτὸν διὰ στρατιωτῶν ἐκ τῶν χειρῶν αὐτῶν.

(7) Λόγος δὲ κρατεῖ, ὅτι *** Ἀθανάσιος ἐκεῖθεν φυγὼν ἀνῆλθεν εἰς τὴν ἁγίαν πόλιν καὶ ποιήσας εὐχὴν καὶ τῷ ἁγίῳ μύρῳ χρίσας τοὺς εὐκτηρίους τόπους πρὸ τῆς τῶν λοιπῶν ἐπισκόπων παρουσίας, οὕτω κατέλαβε τὸν βασιλέα καὶ πάντα τὰ κατ' αὐτὸν ἀνεδίδαξεν αὐτόν. Ὁ δὲ ἀκούσας καὶ θαυμάσας τῶν ἀντιδίκων αὐτοῦ τὴν πονηρίαν καὶ μεγίστης (109ᵃ) τιμῆς ἀξιώσας αὐτόν, μετὰ γραμμάτων εὐμενῶν ἀπέστειλεν ἐπὶ τὴν Ἀλεξάνδρειαν· ἦν δὲ τριακοστὸν ἔτος τῆς βασιλείας Κωνσταντίνου.

(6) Τὴν γοῦν σεβάσμιον ἡμέραν τῶν ἐγκαινίων τῶν ἁγίων τόπων καὶ τῆς ὑψώσεως τοῦ τιμίου σταυροῦ ὡρίσαντο οἱ πατέρες μετὰ βασιλικοῦ προστάγματος γίνεσθαι ἀνὰ ἕκαστον ἔτος τῇ ιδ' τοῦ σεπτεμβρίου μηνός.

(7) Ἡ δὲ α' σύνοδος γέγονεν ἐν Νικαίᾳ τῇ μητροπόλει συνελθόντων τιη' ἁγίων (θεοφόρων) πατέρων, ἔτει τῆς βασιλείας Κων- 325

---

1. ἐγκλ. κ. ἀ. M. 2. — ἅπαν ὑπ. M. 1,2. — * ὁ M. 1.2. — 4. αὐτῶν om. M. 1,2. — ** δὲ M. 1,2. — 7. στρατευμάτων ἐκ χειρὸς ἀ. M. 1,2. — *** ὁ M. 1,2. — 9. ἐκφ. M. 1,2. — 11. ἐ. οἴκους πρὸ M. 1,2. — λ. π. 1,2. — 12. κατέλα. cod. κατέλαβον M. 1,2. — ἀν. τὸν βασιλέα M. 1,2. — 14. μεγίστῃ τιμῇ cod. et M. 1,2, h. l. sed paulo supra §. 4 genitivo usi sunt. — 15. ἀπ. εἰς M. 1,2. — 16. Indictione IX, com. Nepotiano et Facundo, Athanasius Tyro C. P. pervenit, unde a Constantino expulsus ad Constantem Caesarem perrexit (Ep. festivalis VIII. ἦν δὲ τοῦτο ἐν τῷ λ' ἔτει τῆς β. Κ. M. 1,2. — 17. Τὴν δὲ M. 1,2. — 18. προσκυνητοῦ στ. M. 1,2; M. 1, h. l. habet lemma π. της ὑψώσεως τοῦ σταυροῦ καὶ Λικινίου cf. CLXXX. 2. — 21. [ιγ'] Σύνοδος α'. Ἀπὸ γοῦν τῆς παρουσίας τοῦ χῦ (κῦ M. 1,2) ἕως τῆς σ' συνόδου γίνονται ἔτη τιή, lemma V. 1, a codd. Mosq. et M. 1,2 in textum receptum, deest in Ced. 499,21—500,7, qui τιη' patres hujus synodi, non annos post Chr. n. h. l. habet: Τῷ κ' ἔτει γ. ἡ ἁγία καὶ οἰκουμενικὴ α' σ. ἐν N. σ. τῶν ἁ. τιη' π. ἧς ἡγ. Σ. πάπα Ρ. τ. Β. καὶ Βικεντίων πρεσβύτεροι Μητρ. Περὶ τῆς α' συνόδου M. 1, Σύνοδος α' M. 2. — N. μ. εὐθυνίας M. 1,2, τὸ πρῶτον N. V. Ced. — σ. τιη' π. V. — 22. ἔτος cod. — τῆς Κ. τοῦ μεγάλου β. κ' V.

σταντίνου κ'. Ταύτης ἡγοῦντο Σιλβέστρου τοῦ τῆς πρεσβυτέρας Ῥώμης τοποτηρηταὶ Βίτων καὶ Βικέντιος πρεσβύτεροι, Μητροφάνης τοῦ Βυζαντίου, Ἀλέξανδρος Ἀλεξανδρείας, Εὐστάθιος Ἀντιοχείας, Μακάριος Ἱεροσολύμων, κατὰ Ἀρείου πρεσβυτέρου γεγονότος Ἀλεξανδρείας, βλασφημοῦντος (δὲ) τὸν θεὸν λόγον κτίσμα καὶ ἑτεροούσιον τοῦ πατρὸς*, [καὶ] ὅτι ἦν ποτὲ, ὅτε οὐκ ἦν, δοξάζοντος. Ὃν καθελοῦσα** ἀνεθεμάτισε σὺν τοῖς ὁμόφροσιν αὐτοῦ, τὸν δὲ υἱὸν ὁμοούσιον καὶ συναίδιον τῷ πατρὶ καὶ θεὸν ἀληθινὸν καὶ κτίστην πάντων (ὀρθοδόξως) ἐδογμάτισε (κατὰ τὸν προφήτην τὸν λέγοντα· «Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε».)

(8) Ἐτύπωσε δὲ καὶ τὸ ἅγιον πάσχα ἑορτάζειν ἡμᾶς κατὰ τὴν*** κρατοῦσαν συνήθειαν· τινὲς γὰρ τῶν πρώην κατὰ τὴν ιδ' τῆς σελήνης ἑώρταζον****.

(9) Μετὰ δέ τινα χρόνον παρακληθεὶς ὁ Κωνσταντῖνος ὑπὸ τῆς ἀδελφῆς Κωνσταντίας, ἀνῆκε τὸν Ἄρειον ἐκ τῆς ἐξορίας, ὡς θήθεν μετανοήσαντα· οὗ παραγενομένου καὶ ἐρωτηθέντος ὑπὸ τοῦ βασιλέως εἰ στοιχεῖ τοῖς ὅροις καὶ τῇ ἐκθέσει τῆς ἐν Νικαίᾳ συνόδου, παρευθὺ κατέθετο πιστεύειν οὕτως. Ὁ δὲ θαυμάσας καὶ ὅρκον ἀπῄτησε. Καὶ ὁ Ἄρειος τοῦτον σοφιζόμενος, ὡς ἐνόμιζε, καὶ τὸν ὅρκον ἀποκρουόμενος ἔφη· «Οὕτω φρονῶ ὡς καὶ ἐγγράφως». Ἦν γὰρ ὁ ἄθλιος καταγράψας τὴν ἑαυτοῦ αἵρεσιν ἐν χάρτῃ, καὶ

---

2. Βίτος M. 1,2. — Βικεντίων V. — 3. Ἀλεξανδρείας V. — 5. γεγ. κτίσμα M. 1,2. — 6. ἑτέρουσιον V. — * λέγοντος V. ὁ ϑς λόγος M. 1,2. — ** ἡ ἁγία σύνοδος cod. — 8. ὁμούσιον V. — 10. Ps. CIX. 4. — 12. Cod. 505,2 — 4. — *** νῦν Cod. — **** Ἐπανόνισαν δὲ καὶ ἑτέρα πολλὰ καὶ διάφορα καὶ ψυχωφελῆ κεφάλαια· καὶ ὑπέγραψαν ἅπαντες εἴτε πατριάρχαι, μητροπολῖται καὶ ἐπίσκοποι καὶ αὐτὸς ὁ βασιλεύς. Δύο δὲ ἐπισκόπων τελειωθέντων, μήπω φθασάντων ὑπογράψαι καὶ ἐν τοῖς τάφοις αὐτῶν τὸν τόμον ἀποτεθέντες ἀφ' ἑσπέρας, τῷ πρωὶ εὗρον τὰς ἑκάστου ἰδιογείρους ὑπογραφὰς, ὅπερ καὶ πάντας ἐξέπληξε cod. in textu. Desunt haec in V. (M. 1,21) Bulg. et Cod. atque tempora posteriora redolent. — 15. Cod. 505,5 — 13. — ὑ. τῆς θυγατρὸς αὐτοῦ K. π. Cod. π. τῆς ἀδ. ἀ. K. V. (M. 1,21). — 16. ἀπὸ τῆς Cod. V. (M. 1,21) — 17. τὸν ὅρον M. 1,2. — 19. ϑ. ὁ. ἐπήνεγκε Cod. V. (M. 1,2). — 20. μὴ φρονεῖν ἐναντία τῇ συνόδῳ καὶ τοῦτο ποιήσας ἀπέλυσεν αὐτὸν εἰρηκὼς αὐτῷ εἰ μέν Cod. — τοῦτο ψηφιζ. M. 1,2. — 21. ἀνακρ. V. — ὡς καὶ ἔγραψα M. 1,2. — 22. τὴν ἑ. δόξαν V. (M. 1,21).

ἐν κόλπῳ φόρων * ὤμνυεν ἀληθῶς οὕτω φρονεῖν ὡς καὶ ἐγγράφως εἴη δηλαδὴ πεποιηκώς. Ὁμόσαντα δὲ μὴ φρονεῖν ἐναντία τῇ συνόδῳ ἀπέλυσεν αὐτὸν ὁ βασιλεὺς εἰρηκώς· «Εἰ μὲν ὀρθή σού ἐστιν ἡ πίστις, καλῶς ὤμοσας, εἰ δὲ ἀσεβὴς καὶ διεστραμμένη, κρινεῖ Κύριος ὁ θεὸς τὰ κατά σε θᾶττον» **.

CLXXXIV. ΠΕΡΙ ΠΑΝΤΩΝ ΤΩΝ ΚΡΙΤΩΝ.

(Ὁ δὲ μέγας Κωνσταντῖνος, ὡς εἴρηται, πεισθεὶς τῇ ὑποκρίσει αὐτοῦ καὶ τῷ ὅρκῳ προσέταξε δεχθῆναι αὐτόν, ἀλλὰ) καὶ τὸν μέγαν Ἀθανάσιον δέξασθαι αὐτὸν εἰς κοινωνίαν ἐκέλευσεν ὡς ἄτε μετανοήσαντα. Τοῦ δὲ μὴ καταδεχομένου, γινώσκοντος ἀκριβῶς τὴν Ἀρείου δυστροπίαν, ἐξορίζει [τοῦ θρόνου] τὸν ἅγιον ***, πιστεύσας καὶ τὰς κατ' αὐτοῦ γενομένας ὑπὸ τῶν Ἀρειανῶν λοιδορίας.

(2) Καὶ οὐ θαῦμα· πολλάκις γὰρ καὶ θεῖοι ἄνδρες κατά τινων εὐσεβῶν διαβολὰς ἀκρίτως παραδεξάμενοι παρετράπησαν τῆς ἀληθείας καὶ τοὺς εὐσεβεῖς παρέβλαψάν τε καὶ [παρ] ελύπησαν, ὥσπερ [οὖν] καὶ ὁ θέσπεσιος Δαυὶδ **** ἐξαπατηθεὶς ὑπὸ τοῦ οἰκέτου Σι-

---

* καὶ cod. — 3. ἀπ. ὁ β. M. 2. — 4. κρίναι Cod. V. (M. 1,2). — ** Ἡμέρας γὰρ τυπωθείσης ἐν ᾗ ἔμελλε δεχθῆναι εἰς κοινωνίαν ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ καί τινος ἁγίου, Ἀλεξάνδρου τῷ ὀνόματι τοῦ Νισίβης, δέησιν ὑπὲρ τούτου πρὸς τὸν θεὸν ποιουμένου, εἰ ἄξιός ἐστιν ἀξιωθῆναι τῆς κοινωνίας, κληθέντος δὲ τοῦ Ἀρείου καὶ τοῦ οἰκείσκου ἐν ᾧ ἔμενεν ἐξελθόντος καὶ πρὸς τὴν ἐκκλησίαν ἀπιόντος, ὁ τῶν ἐπιτυχήσεων Κύριος καὶ τῶν θαυμασίων θεὸς θαυματουργεῖ τι καὶ περὶ αὐτὸν τοιοῦτον· ἔν τινι γὰρ τόπῳ ἀποκρύφῳ νυχθεὶς τὴν γαστέρα εἰσελθὼν καὶ τῶν ἐγκάτων αὐτοῦ κάτωθεν ἐκκενωθέντων τῇ αἰωνίᾳ κολάσει παρεπέμφθη cf. Cod. 518,15—519,7. ano Const. 28° (333). Ἐν ᾧ δὲ τόπῳ τοῦτο γέγονεν ἐν Κωνσταντινουπόλει κθ' παλαιστὰς ἀπέχων τοῦ φόρου, Θεοδόσιος ὁ ὀρθόδοξος βασιλεὺς προσέταξεν ἐν μαρμάρῳ γλυφῆναι τὸ ὁμοίωμα Ἀρείου, Μακεδονίου τε καὶ Σαβελλίου καὶ (109b) Εὐνομίου καὶ τεθῆναι ἐν τῇ γῇ πρὸς αἰσχύνην αὐτῶν, ὡς ἂν οἱ παρερχόμενοι κόπρον καὶ οὖρον καὶ πτύσματα ἐπιρίπτωσιν αὐτοῖς. Omnia haec desunt in V. (et M. 1,2?). — 7. Cod. 505,13 — 17 (ut M. 1,2)· Ταύτῃ τοι καὶ τὸν μ. Ἀ. εἰς κ. ἀ. δ. παρεκελεύσατο ὡς. [ιδ']. Περὶ τοῦ μὴ ὡς ἔτυχε ταῖς διαβολαῖς πιστεύειν. Ταὐτό τοι καὶ τὸν μ. Ἀ. Ἀλεξανδρείας εἰς κ. ἀ. δ. π. V. M. 1,2. Rubrica in codice deest, in M. 2 ad Ὅθεν. — *** ὁ βασιλεὺς εἰς Τρίβεριν cod. καὶ εἰς Τρ. M. 1,2, ὁ β. Slav. Ced. om., V. Inde a 2° ad 10-um Athyr C. P. fuerat Athanasius et exinde Treveros relegatus est (Summarium epistolarum festivalium VIII et IX). — 13. Cod. 505,17 — 24. — θαυμαστόν. M 1,2. — **** καὶ προφήτης ὢν cod.

βᾶ κατὰ τοῦ δεσπότου Μεμφιβοσὲθ· ὡς συμφωνήσαντος μετὰ τοῦ Ἀβεσαλὼμ τοῦ ἀνταίρτου, τοῦτον παρίβλαψε καὶ τῶν ἰδίων ἀποστερήσας τῷ οἰκέτῃ προσεκλήρωσεν.

(3) Ὅθεν χρὴ μετὰ πολλῆς ἀκριβείας·· καὶ σκέψεως ἐρευνᾶν τὰς κατηγορίας καὶ μὴ ὡς ἔτυχε τοῖς κατηγοροῦσι πιστεύειν, κἂν ἄγαν ὦσιν ἀξιόχρεοι· διὸ δὴ καὶ Νικόδημος πρὸς τοὺς παρανόμους Ἰουδαίους καταφορικῶς τε καὶ ἐντρεπτικῶς ἔφη· «Μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον, ἐὰν ἀκούσῃ··· παρ' αὐτοῦ···· καὶ γνῷ τί ποιεῖ»;

(4) Ἀμέλει γέ τοι καὶ οἱ τῶν ἔξω σοφοὶ τοῦτο προδήλως ὑπεμφαίνοντες οὕτω φασίν· «Ἡ μὲν ἀμφισβήτησις κρίσεις ἀναρτάσθω· ἡ δὲ κρίσις τοὺς ἐλέγχους βασανιζέτω· ἡ δὲ βάσανος τὸ δέον ὁριζέτω· ὁ δὲ ὅρος γεγράφθω· τὰ δὲ γαγραμμένα κυρούσθω τὰ δὲ κυρωθέντα βεβαιούσθω τοῖς ἔργοις, καὶ πᾶσα ἀψιμαχία εἰχέσθω, καὶ πάλιν φιλία χορευέτω».

CLXXXV. ΠΕΡΙ ΤΟΥ ΠΩΣ ΟΦΕΙΛΕΙ ΕΙΝΑΙ ΤΟΝ ΚΡΙΤΗΝ.

Οὐκοῦν οὐ δεῖ ἀπερισκέπτως καὶ ἀβασανίστως λέγειν ἢ καταψηφίζεσθαι καὶ βιψοκινδύνως ἐκφέρειν τὰς ἀποφάσεις κατὰ τῶν κατηγορουμένων, ἀλλὰ μετὰ πλείστης ἐρεύνης····· καὶ ζητήσεως ἀκριβεστάτης.

(2) Ὡς ἐν ταῖς ἀποστολικαῖς διατάξεσι φησὶν ὁ λόγος· «Ἔστω δὲ ὁ κριτὴς ἀπροσωπόληπτος, μήτε πλούσιον ἐντρεπόμενος ἢ κο-

---

1. M. ψευδηγοροῦντος ὡς ὅτι τὰ τοῦ τυράννου Ἀ. φρονεῖ τοῦτον Ced. M. ψ. ὅτι τα τοῦ τ. Ἀ. καὶ ἀ. φ. ut M. 1,2.—2. τοῦτον V.—· ὑὺ Ἰωνάθαν cod. ὑὺ Σαουλ M. 1,2.—3. τὸν οἰκέτην M. 1,2. — προσαπεκλ. V. — 4. Ced. 505.24—506,5. — ·· τε Ced. V. — 5. π. τοῖς κ. Ced.— 6. ἀξιόλογοι V. ἀξιόπιστοι Ced.— παρανομοῦντας M. 1,2.— 7. καταφρονικῶς V. — Io. VII. 51. — ··· τι cod. M. 1,2. — ···· πρῶτον V. Ced. e Io. — 10. Ced. 506.5—11. — τούτῳ M. 1,2. — 11. Εἰ μὲν Ced. V. M. 1,2. — κρίνει cod. Ced. M. 1,2, κρίσει V. — εἰ δὲ Ced. bis, sed cf. ὁ δὲ, τὰ δὲ. — 13. ἐγγεγ. V. — 14. ἀργομαχία M. 1,2. — 16. Rubrica nonnisi in M. 2 invenitur. — 19. πολλῆς τῆς ἐ. M. 1,2. — ····· τε V. 1. — ἐκζ. V. 1. — 21. Ced. 506,11 — 507,10. καὶ ἐν ταῖς ἀπ. δ. ὁ θεῖος λ. οὕτως φ. — ὁ λ. om. M. 1,2. Τοῦτο εἴρηται ἐν τῷ β' βιβλίῳ τῶν διατάξεων (cod. et M. 2), c. 41. — 22. ὁ δὲ V. 1. — μήτε κ. M. 1,2.

λακεύων παρὰ τὸ προσῆκον μήτε πένητος φειδόμενος· «οὐ λήψῃ γὰρ, φησὶ, πρόσωπον δυναίστου», «καὶ πένητα οὐκ ἐλεήσεις ἐν κρίσει» — ὅτι τοῦ Κυρίου ἡ κρίσις καὶ «δικαίως τὸ δίκαιον διώξεται», καί· «οὐκ ἀρέσει τῷ δικαίῳ οὐδὲν ἄδικον». Ὅθεν οὐ δεῖ πιστεύειν, ὡς ἔτυχε, τοῖς κατηγοροῦσιν ἀκρίτως καὶ ἀβασανίστως· ἐγχωρεῖ γάρ τινας καὶ διὰ ζῆλον ἢ φθόνον κατά τινος ἀδελφοῦ ἐνστήσασθαι κατηγορίαν, ὡς οἱ δύο πρεσβύτεροι * κατὰ Σωσάννης καὶ ἡ Αἰγυπτία ἐπὶ τοῦ Ἰωσήφ. Σὺ οὖν, ὡς θεοῦ ἄνθρωπος, τὰ τοιαῦτα μὴ προχείρως παραδέχου, ἵνα μὴ ἀνέλῃς τὸν ἀθῷον καὶ ** ἀποκτείνῃς τὸν δίκαιον. («Ἀθῷον γὰρ καὶ δίκαιον οὐκ ἀποκτενεῖς) οὐδὲ λήψῃ δῶρα ψυχὴν παταξαι· τὰ γὰρ δῶρα ἐκτυφλοῦσιν ὀφθαλμοὺς σοφῶν καὶ λυμαίνονται ῥήματα δίκαια». Εἰ οὖν ἀπροσωπολήπτως κρίνετε, ἐπιγνώσεσθε τὸν κατηγοροῦντα κατὰ τοῦ πλησίον αὐτοῦ μαρτυρίαν ψευδῆ· καὶ ἀποδείξαντες αὐτὸν συκοφάντην (καὶ ψευδολόγον) ποιήσατε αὐτῷ καθ' ὃν τρόπον ἐπονηρεύσατο *** τῷ πλησίον, καὶ «ἐξαρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν» (κατὰ (110ᵃ) τὸν θεῖον νόμον Κυρίου)· ὅσον γὰρ ἐπ' αὐτῷ, ἐφονεύσατο τὸν ἀδελφὸν προλαβὼν τὰ ὦτα τοῦ κριτοῦ· γέγραπται γάρ· «Ὁ ἐκχέων αἷμα ἀνθρώπου, ἀντὶ τοῦ αἵματος ἐκείνου ἐκχυθήσεται τὸ αἷμα αὐτοῦ» (καί· «ἐξαρεῖς τὸ ἀναίτιον ἀπὸ σοῦ αἷμα» — «Οὐκοῦν ἐρευνᾶτε μετὰ πολλῆς ἀκριβείας περὶ τῶν ἐνεχομένων, καὶ πρῶτον περὶ τοῦ κατηγοροῦντος ὁποῖά τις ἐστὶν ἡ ἀναστροφὴ αὐτοῦ) καὶ ἐὰν εὐσυνείδητος καὶ ἀξιόπιστος εὑρεθῇ, μὴ πιστευέσθω μόνος· (παράνομον γὰρ τὸ τοιοῦτον· ἀλλ' ἐχέτω καὶ ἑτέρους μάρτυρας εὐλαβεῖς καὶ ὁμοτρόπους, ἵνα) «ἐπὶ στόματος δύο καὶ τριῶν μαρτύρων» ἀξιοχρέων **** σταθήσεται πᾶν ῥῆμα».

---

1. πενήτων M. 1,2. — Lev. XIX. 15, Sir. IV. 30. — 2. Ex. XXIII. 3. — 3. Deut. XVI. 20, δίκαιος cod. — 4. Prov. XII. 22. — 6. ἐκχ. V. 1. — 7. φευδηγ. Ced. — * οἱ V. 1, M. 1,2. — 8. μὴ πρ. τὰ τ. V. 1. — 9. π. καὶ μὴ Ced. — ** μὴ Ced. — 10. Ex. XXIII. 7,8. Const. II. 42. — γὰρ φησι δ. V. 1. — 13. ἐπιγνώσεσθαι V. 1.— 15. ἐπονηρεύσατε αὐτὸ πονηρὸν M. 1. — *** ποιῆσαι M. 1. — 16. Deut. XVII. 7.— τὸ π. M. 2. — ἐκμέσου ὑ. ὅσον Ced. — 17. ἐφόνευσε Ced. V. 1, M. 1,2. — 18. Gen. IX. 6. — 19. αὐτοῦ ἐκχ. Gen. — 20. Deut. XXI. 9. ἐξάρῃς cod.—Const. II. 49. Ἀλλὰ μηδὲ εἰς παραδεχέσθω μαρτυρῶν κατά τινος κἂν λίαν ἢ ἀξ. ἐπὶ Ced.— 21. ἀνεχ. M. 1,2. — 23. πιστεύεσθαι M. 1,2. — 25. Deut. XIX. 15; στόματος γὰρ δ. ἢ τρ. Ced.— μ. στήσεται πᾶν β. Deut. μ. πᾶν β. βεβαιωθήσεται εἶπεν ὁ κς Ced. — **** δηλονότι V. 1, M. 1,2. — 26. στ. τὸ β. M. 2.

(3) Διὰ τί δὲ εἴπομεν τὸν τρόπον αὐτῶν ζητεῖσθαι; διότι πολλάκις ἐγχωρεῖ καὶ τοὺς δύο καὶ τοὺς πλείονας ἐπὶ κακῷ μαρτυρῆσαι καὶ συμφόνως ψευδηγορῆσαι ὡς τοὺς δύο πρεσβυτέρους κατὰ Σωσάννης ἐν Βαβυλῶνι καὶ τοὺς υἱοὺς τῶν παρανόμων κατὰ Ναβουθὲ ἐν Σαμαρείᾳ καὶ τὸ πλῆθος τῶν Ἰουδαίων κατὰ τοῦ Κυρίου ἐν Ἱερουσαλὴμ καὶ κατὰ Στεφάνου τοῦ πρωτομάρτυρος αὐτοῦ. Ἔστωσαν οὖν οἱ μάρτυρες πραεῖς, ἀόργητοι, ἐπιεικεῖς, ἀγαπητικοί, σώφρονες, ἐγκρατεῖς, ἀπερίεργοι, θεοσεβεῖς· ἡ γὰρ τῶν τοιούτων μαρτυρία βεβαία πάντως ὑπάρχει· τῶν δὲ μὴ τοιούτων μὴ παραδέχεσθε τὰς μαρτυρίας, κἂν συμφωνεῖν δοκῶσιν ἐπὶ τῇ μαρτυρίᾳ· προστέτακται γὰρ ἐν τοῖς νόμοις· «Οὐκ ἔσῃ μετὰ πολλῶν ἐν κακίᾳ· οὐ παραδέξῃ ἀκοὴν ματαίαν· οὐ συγκαθήσῃ μετὰ πλήθους ἐκκλῖναι τὸ δίκαιον». Ἐν μέρει δὲ καὶ τὸν κρινόμενον εἰδέναι ὀφείλετε ὁποῖός ἐστι τῇ τοῦ βίου συνηθείᾳ καὶ ἀναστροφῇ, εἰ μεμαρτυρημένος τὸν βίον, εἰ ἀνέγκλητος καὶ ἀδιάβλητος, εἰ ὅσιος καὶ φιλόξενος καὶ φιλόπτωχος, εἰ σώφρων καὶ ψεύδους καθαρός, εἰ ἀπεχόμενος παντὸς πονηροῦ πράγματος» — Μακάριος γὰρ ὁ τοιοῦτος ἐὰν πειρασθῇ, καὶ δόκιμος φανῇ· ἀνὴρ γάρ, φησίν, ἀπείραστος, ἀδόκιμος παρὰ θεῷ· καὶ οὕτω δοκιμασθεὶς ἐπὶ ψεύσματι λέγει καὶ αὐτὸς εἰκότως· «Εἶδες, Κύριε, μὴ παρασιωπήσῃς», «ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι, καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ».

(4) Ἴδετε καὶ τὰ κοσμικὰ δικαστήρια, ὧν τῇ ἐξουσίᾳ ὁρῶμεν ἀγομένους φονεῖς, μοιχούς, φαρμακούς, τυμβωρύχους, λῃστὰς καὶ τὰς ἀνακρίσεις αὐτῶν λαμβάνοντες ὑπὸ τῶν προσαγόντων· οἱ ἡγούμενοι λέγουσι τῷ κακούργῳ· «εἰ ταῦτα οὕτως ἔχει»; Κἀκείνου συγκατατιθεμένου καὶ ὁμολογοῦντος, οὐκ εὐθέως ἐπὶ τὴν κόλασιν αὐτὸν ἐκπέμπουσιν, ἀλλὰ πλείοσιν ἡμέραις τὴν ἐξέτασιν αὐτοῦ

---

1. ἐπιζ. V. 1. — 2. ἐχ. V. 1. — 3. καὶ σ. ψ. om. M. 1,2. — 10. καταμ. V. — 11. πλειόνων Ex. XXIII. 1,2. — ἐπὶ Ex. et Const. II. 47. — 12. συγκαθεσθήσῃ V. 1, συγκαθίσῃ M. 1,2. — 13. ἐκκλίνοντες M. 1,2. — 14. ἀν. μ. τῷ βίῳ V. 1. — 15. ἀδιάκλητος V. 1. — 18. φανεῖ M. 1, cod. ἀναφανῇ V. 1. — θεῷ M. 2. — 20. λέξει V. 1, M. 1,2. ὃ λέγεται M. 1,2.—Ps. XXXV. 22.—21. Ps. XXVII. 12.—23. Const. II. 52. — ἀγ. ὀρ. M. 1,2. — 25. λαμβάνοντας? — προαγ. M. 1,2. — 26. ἔχοι V. 1.— συγκατατιθεμένου M. 1,2. — 27. κ. ἐκπ. M. 1,2.

πτοιοῦνται μετὰ συμβουλίας καὶ σκέψεως καὶ πολλῆς ζητήσεως. Καὶ οὕτω τελευταῖον ὅρον καὶ ψῆφον θανάτου ὁ μέλλων ἐκφέρειν κατ' αὐτοῦ, πρὸς τὸν ἥλιον ἐπάρας τὰς χεῖρας ἐπὶ πάντων διαμαρτύρεται, ἀθῶος ὑπάρχειν τοῦ αἵματος τοῦ ἀνθρώπου· καίτοι ὄντες ἐθνικοὶ» καὶ ἄθεοι καὶ μόνην ἔχοντες τὴν φύσιν διδάσκαλον.

(5) «Ὑμεῖς δὲ γινώσκοντες θεὸν τὸν ἑτάζοντα καρδίας καὶ νεφροὺς καὶ συνιόντα εἰς πάντα τὰ ἔργα ἡμῶν, πόσῳ μᾶλλον ὀφείλετε μετὰ πολλῆς ἐρεύνης τὴν δικαίαν κρίσιν κρίνειν; ὅτι τοῦ Κυρίου ἡ κρίσις τοῦ μέλλοντος ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ»— Διὰ δὴ τοῦτο (110[b]) παραινεῖ καὶ προμαρτύρεται διαῤῥήδην Σολομῶν λέγων· «Ἀκούσατε καὶ ἐνωτίσασθε· οἱ κρατοῦντες πλήθους»,— «ὅτι παρὰ τοῦ Κυρίου ἐδόθη ἡ κράτησις ὑμῶν καὶ ἡ δύναμις παρὰ ὑψίστου, ὃς ἐξετάσει ὑμῶν τὰ ἔργα καὶ τὰς βουλὰς διερευνήσει· ὅτι ὑπηρέται ὄντες τῆς αὐτοῦ βασιλείας, οὐκ ἐκρίνατε ὀρθῶς οὐδὲ ἐφυλάξατε νόμον οὐδὲ κατὰ τὴν βουλὴν τοῦ θεοῦ ἐπορεύθητε, φρικτῶς καὶ ταχέως ἐπιστήσεται ὑμῖν» ἔρευνα, «ὅτι κρίσις ἀπότομος ἐν τοῖς ὑπερέχουσι γίνεται. Ὁ γὰρ ἐλάχιστος, σύγγνωστός ἐστι ** ἐλέους· δυνατοὶ δὲ δυνατῶς ἐτασθήσονται». Καὶ ὁ Κύριος φησίν· Ὦι μὲν γὰρ ὀλίγον δοθήσεται, ὀλίγον ἀπαιτήσουσι παρ' αὐτοῦ, ᾧ δὲ πολύ, πολὺ καὶ ἀπαιτήσουσι παρ' αὐτοῦ».

(6) Καὶ μέντοι *** ὁ μέγας Ἰσίδωρος ἔφη· «Χρὴ τοὺς τῶν πραγμάτων κριτὰς ὀξυτάτους εἶναι καὶ περιεσκεμμένους [ἄγαν περὶ τὸ νοεῖν καὶ ἀνακρίνειν καὶ διακρίνειν]·—τοῦ γὰρ Κυρίου ἡ κρίσις—ἵνα καὶ τὴν τῶν λεγόντων δεινότητα καὶ τὴν τῶν λόγων πιθανότητα

---

1. ομ. π. καὶ ζ. V. 1, M. 1,2.—4. ἀν. ἀλλ' οὗτοι ὁ. V. 1.—ἐ. ἀ. M. 1, ἐ. M.2.— 5. τὴν φ. ἐ. V. 1, M. 1,2. — 6. Const. II. 53· Ὑμεῖς δὲ γ. τίς ὁ θς ἡμῶν καὶ ὁποῖα τὰ κρίματα αὐτοῦ, πῶς ἂν κατ' ἐπήρειαν δυνήσεταί τινι ἀπόφασιν δοῦναι. — τὸν θν V. 1, τὸν M. 1,2. — 8. κρίνειν κρίσιν M. 1,2. — 11. Sap. VI. 2—6. — * πάντες V. 1, M. 1,2. — 12. π. κῦ V. 1. — ἐδ. κρ. M. 1,2. — ὑμῖν Sap. V. 1, M. 1,2. — δυναστεία Sap. V. 1, M. 1,2. — π. ὑψίστῳ M. 1,2. — 16. ὐ. ἔλεγχος V. 1, ὐ. Sap. — ἀπ. ἔσται καὶ τοῖς V. 1. — 17. Ὁ γὰρ ἀδύνατος V. 1. — ** καὶ cod. — 19. Luc. XII. 48. Ὦι μὲν ὀλ. V. 1. — ἀπαιτηθήσεται M. 1,2.? — *** καὶ cod. — 21. III. 9.— 22. εἶναι περὶ τὸ νοεῖν ἵνα καὶ Is. — 23. καὶ διακ. Hic iterum incidit V. 2. — τοῦ γὰρ κρίσις M, 1,2. — 24. τῇ τῶν λ. δεινότητι καὶ τῇ τῶν λ. πιθανότητι παρίστι V. 2. (M. 1?) καὶ — πθ. om. M. 2. — λεγομένων Is.

*

παρέντες, εἰς αὐτὸ τὸ βάθος τῶν νοημάτων χωρῆσαι δυνηθεῖεν κἀκεῖθεν μετὰ πολλῆς ἐξετάστεως καὶ περιόδου καὶ μὴ θᾶττον κατὰ συναρπαγήν, ἀλλὰ μετὰ πλείστης μακροθυμίας καὶ ἀνεξικακίας θηρεύσαντες ἀνιμήσασθαι τὴν ἀλήθειαν».

(7) Οἱ μὲν γὰρ τῶν ἀνθρώπων διὰ βραδύτητα νοῦ τοῦ δικαίου καλῶς οὐκ ἐφικνοῦνται· οἱ δὲ δι' ὀξύτητα μὲν ἐφικνοῦνται, διὰ δὲ φιλοχρηματίαν καπηλεύουσι χρυσῷ προπίνοντες τὴν ψῆφον καὶ τὸν τῆς δικαιοσύνης ζυγὸν λήμματι παρασαλεύοντες· εἰσὶ δὲ ** ἕτεροι, οἳ καὶ αἰδοῖ καὶ κολακείᾳ καὶ φόβῳ καὶ φιλίᾳ ἢ ἔχθρᾳ διαφθείροντες τοῦτο. Διὰ δὴ ταῦτα χρὴ τὸν κριτὴν συνετὸν εἶναι καὶ ἀδέκαστον καὶ χρημάτων καὶ αἰδοῦς καὶ κολακείας καὶ φόβου καὶ φιλίας καὶ ἔχθρας κρείττονα· εἰ γὰρ ὁποτέρῳ τῶν τοιούτων παθῶν χειρωθείη, τὰ πάντα διαφθείρει καὶ ἀπόλλυσιν — Εἰ τοίνυν τὸ μὲν εὑρεῖν τὸ δίκαιον, ἔργον, τὸ δὲ μὴ διαφθείρειν εὑρόντας ἐργωδέστερον, οὐ δεῖ ἐπιῤῥίπτειν τινὰ ἑαυτὸν τῷ κρίνειν». 15

(8) Τότε γοῦν ὁ ὀρθὸς ὅρος τῆς δικαιοσύνης σῴζεται, ὅταν τῇ μὲν αἰτίᾳ ἡ κρίσις, τῇ δὲ κρίσει ὁ ἔλεγχος, τῷ δὲ ἐλέγχῳ ἡ ψῆφος ἡ πρὸς (τὴν) ποιότητα τοῦ ἁμαρτήματος [τὴν] τιμωρίαν ὁρίζουσα ***.

CXXXVI. ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΑΘΑΝΑΣΙΟΥ.

356 Ὁ τοίνυν μέγας Ἀθανάσιος οὐ μόνον ὑπὸ τοῦ βασιλέως Κωνσταντίνου διὰ τὰς τῶν Ἀρειανῶν κακουργίας ἐξωρίσθη, ἀλλά γε

---

1. χωρῆσθαι V. 1. — κ. θηρ. ἀν. την ἀλ. Is. κ. μ. πλείστης V. 2. propter similem initium omittens quae intercedunt, Isidori verbis a Georgio adjuncta.—* καὶ V. 1.— 4. ἀνιμήσησθε V. 1. — 5. Is. III,175· Τῶν ἀ. οἱ μὲν διὰ β. νοῦ οὐκ ἐφικνοῦνται τοῦ δ. οἱ δὲ δι' ὀξύτητα μὲν ἐφ. διὰ. — τοῦ δ. οὐ κ. M. 2. — 6. οἱ δὲ — ἐφ. om. V. 2, M. 1,2. cod. — 7. προσπ. cod. προτείνοντες M. 1,2. — ** καὶ cod. — 9. ἑτ. om. Is. — 9. καὶ φ. ἢ ἐ. om. Is. bis, καὶ κολ. καὶ φόβῳ om. V. 1. — 10. τοῦτον (τὸν ζυγὸν)? — Χρὴ τοιγαροῦν τὸν κρ. καὶ Is. Διά τοι τ. χρὴ τὸν κρ. καὶ V. 1,2. M. 1,2. — 12. ὁπ. τῶν π. τούτων χ. Is. — τὸ πᾶν διαφθερεῖ· εἰ Is. — 13. Ced. 507,10— 15 qui inde a §. 3 priora omiserat. — 14 διαφθεῖραι Is. — εὑρόντες cod. εὑρέντα Is. V. 1,2, M. 1,2. ἐπειδὰν εὑρεθῇ Ced. — οὐ χρὴ Is. — 15. ἐ. τὸ κτ. V. 1,2, ἐ. κρ. M. 1,2. — 16. γοῦν ὁ. M. 1,2. — *** ἔπηται? — 19. Lemma M. 2, quod in codice cum margine periit. — 20. Gl. c. 466,4 — 6 cf. summarium epp. festivalium XXVIII. um et historiam acephalam, februarii 8 vel 9. — 21. τὰς Ἀρ. M. 1,2.

καὶ ὑπὸ τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίου καὶ διαδόχου τῆς βασιλείας αὐτοῦ· φησὶ γὰρ ὁ μέγας Ἀθανάσιος γνοὺς πάλιν καὶ τὸν βασιλέα Κωνστάντιον τὰ τῶν Ἀρειανῶν κρατύνειν βουλόμενον καὶ τοὺς Ἀρειανοὺς συσκευαζομένους ἀθέμιτα αὐτοῦ κατηγορεῖν ἐπὶ διεφθαρμέ-
5 νου δικαστηρίου, μηδενὶ ταῤῥήσας, αἰφνίδιον ἐν μεσαιτάτῃ [νυκτὶ] ζητούμενος, κατέφυγε πρός τινα παρθένον ἁγίαν, ἥτις ἐπὶ τῷ πράγματι ξενισθεῖσα διηπόρει τὴν ἄφιξιν. Ὁ δὲ μακάριος * λέγει πρὸς αὐτήν· «Ἐπιζητοῦμαι παρὰ τῶν Ἀρειανῶν καὶ ἀθέμιτα λοιδοροῦμαι· ἵνα δὲ μὴ κἀγὼ δόξαν ** ἀπενεγκόμενος εἰς τιμωρίαν
10 ἐμβάλω τοὺς τιμωρήσασθαί με βουλομένους, φυγεῖν ἐνεθυμήθην· ἀπεκάλυψεν οὖν μοι ὁ θεὸς ταύτῃ τῇ νυκτὶ λέγων· «Παρ' οὐδενὶ σωθῆναι μέλλεις εἰ μὴ παρ' ἐκείνῃ τῇ παρθένῳ». Καὶ γὰρ ἀεὶ τὰς κατ' αὐτοῦ γινώσκων ἐπιβουλὰς ἐκ θείας ἀποκαλύψεως ὁ θεοφόρος οὗτος ἀπεδίδρασκεν, ὅθεν ὡς γοήτα καὶ φαρμακὸν αὐτὸν οἱ τῆς
15 ἀληθείας ἐχθροὶ διέβαλλον· ἡ οὖν παρθένος ἀπωσαμένη πάντα (111ᵃ) λογισμὸν ὡς ἐκ θεοῦ πεμφθέντα κατέκρυψεν αὐτὸν ἔτη ς'· μέχρι τῆς Κωνσταντίου ζωῆς, ἥτις καὶ μόνη περινίπτουσα τοὺς πόδας αὐτοῦ καὶ τὰ περιττώματα διακονοῦσα καὶ τὰς χρείας αὐτῷ πάσας οἰκονομοῦσα καὶ βιβλία κιχρωμένη καὶ παρέχουσα διετέλεσε.
20 Καὶ οὐδεὶς ἀνθρώπων Ἀλεξανδρείας πάσης ἐν τοῖς ἓξ ἔτεσιν ἔγνω ποῦ ἔστιν ὁ πατριάρχης.

(2) Ἰουλιανοῦ δὲ τὸ κράτος περιθεμένου καὶ σπουδάζοντος τὰ 361
παρὰ Κωνσταντίου διαπραχθέντα ἀνατρέπειν, τοὺς ἐξορισθέντας ἅπαντας ἀνεκαλέσατο, ὅπερ γνοὺς ὁ μέγας Ἀθανάσιος καὶ ἐξελθὼν
25 ἐκ τοῦ οἴκου τῆς παρθένου πάλιν ἐν *** νυκτὶ πρὸς τὴν ἐκκλησίαν παρεγένετο, ὃν οἱ Ἀλεξανδρεῖς θεασάμενοι καὶ τὸν θεὸν δοξάσαντες, ὡς ἐκ νεκρῶν ἐδέξαντο ζῶντα. Καὶ δὴ τοῖς γνησίοις αὐτοῦ φίλοις

---

1. K. καὶ διαδ. V. 1, K. δ. V. 2, K. δ. γεγονότος ἀ. M. 1,2. — 2. ὁ δὲ ἅγιος Ἀθ. V. 1,2, (M. 1,2?). — 4. αὐτῷ V. 1,2. — 5. μεσωτ. V. 2, M. 1,2, — 6. ζητούμενον V. 1. — * πατριάρχης V. 1,2, M. 1,2. — 8. Ἐπεὶ ζ. cod. — ** ἄλογον V. 1, ἀλόγου V. 2, M. 1,2. — 9. ἀπενέγκομ. εἰς τιμωρί ἐμβᾶλ cod. ἀπενέγκωμαι καὶ εἰς τ. ἐμβαλῶ V. 2, M. 1,2, ἀπ. καὶ εἰς ἁμαρτίαν ἐμβάλω V. 1. — 10. ἀνεθ. V. 2. — 12. παρ' ἐκείνῳ. Καὶ V. 2. — 15. διέβαλον V. 2. — ἡ om. V. 1. — 17. τελευτῆς? 361. — περιενίπτουσα V. 1, περὶ αὐτὸν νίπτουσα? — 19. κεχρ. V. 1,2, M. 1,2. — 24. ὁ ἅγιος Ἀθανάσιος V. 1. — *** τῇ V. 1,2, M. 1,2. — 26. παραγίνεται M. 1,2.

ἀπελογήσατο λέγων «Τούτου χάριν πρὸς ὑμᾶς οὐ κατέφυγον, ὅπως εὔορκον ὑμῶν καὶ ἀτάραχον ποιήσω τὴν ὑποχώρησίν μου· διὸ πρὸς ἐκείνην ἀπῆλθον, πρὸς ἣν ὑποψίας ἀφορμὴν οὐδεὶς ἐλάμβανε, δύο μνηστευσάμενος, τὴν σωτηρίαν ἐκείνης — ὠφέλησα γὰρ αὐτὴν σφόδρα — καὶ τὴν ἐμὴν δόξαν».

362 (3) Ὁ δέ γε Ἰουλιανὸς ἐπιτερπόμενος τοῖς εἰδώλοις αὖθις τὴν ἐκκλησίαν ἐτάραττε, τὰ τῶν εἰδώλων ἀνοίγων ἱερὰ καὶ θυσίας ἐπιτελῶν τῇ ἐν Κωνσταντινουπόλει Τύχῃ δημοσίᾳ ἐν τῇ βασιλικῇ, ἔνθα τῆς αὐτῆς κακῆς Τύχης τὸ ἄγαλμα ἵστατο· κἀντεῦθεν οἱ τῇ πλάνῃ τῶν εἰδώλων δεδουλωμένοι βουλὴν εἰσηγήσαντο πρὸς τὸν Ἰουλιανὸν ὡς οὐκ ἄλλως περιέσεσθαι τῶν χριστιανῶν εἰ μὴ Ἀθανασίου ἀπαλλαγείεν, ἅτε δὴ θεμελίου ὄντος τῆς κατ' αὐτῶν ἐκκλησίας. Διὰ τοῦτο γοῦν πάλιν δικαστῶν κινήσεις, πάλιν λαοί, πάλιν στρατιῶται, πάλιν βουλαὶ καὶ δῆμοι ἐκμανόμενοι καὶ ταρασσόμενοι * Ἀθανάσιον ἀπαιτούμενοι· δεὶ δὴ πάλιν νύκτωρ ἀποδράσας καὶ περὶ τὸν Νεῖλον γενόμενος, μέλλοντα εἰς πλοῖον εἰσέρχεσθαι παραστάντες οἱ γνήσιοι φίλοι μετὰ δακρύων πρὸς αὐτὸν ἔλεγον· «Ποῦ πάλιν ἀναχωρεῖς, ὁ ποιμὴν ὁ καλὸς, καὶ [τίνι] καταλιμπάνεις ἡμᾶς, ὡς πρόβατα μὴ ἔχοντα ποιμένα»; Πρὸς οὓς φησὶν ὁ μέγας· «Μὴ κλαίετε, τέκνα, μὴ κλαίετε· νεφίδιόν ἐστι φθινοπωρινὸν οὗτος ὁ τάραχος, πρὸς ὀλίγον μὲν φαινόμενος, ὀξέως δὲ διαλυόμενος· μὴ βαθυμεῖτε, τέκνα· τάχιον ἐλεύσομαι πρὸς ὑμᾶς, θεοῦ θέλοντος». Ὅπερ δὴ καὶ γέγονε. Μετὰ γὰρ ὀλίγον χρόνον, τῶν Ἑλλήνων ὁρώντων κορώνας πριϊπταμένας ἐπὶ τὸν ναὸν τοῦ Σεράπιδος ἐν Ἀλεξανδρείᾳ καὶ κρωζούσας σφοδρῶς, ἔλεγον οἱ Ἕλληνες ἐμπαικτικῶς πρὸς τὸν ἅγιον· «Εἰπὲ ἡμῖν, κακόγηρε, τί κρώζουσιν αἱ κορῶναι»;

---

1. ἀπελογεῖτο V. 1,2, M. 1,2.—2. ἀόρκον V. 1,2.—ὑμῖν?—3. διὸ cod.—6. Ced. 536, 4—8? Glyc. 466,6—12. Expulsus est Athanasius a philosopho Pythiodoro octo menses ante Iuliani mortem (26 Iunii 363) cf. summarium XXXV et historiam acephalam.—8. τῇ K. π. V 1, τῇ Κωνσταντινουπόλεως V. 2, M. 1,2.—9. καθίδρυται V. 1,2, καθίδρυτο M. 1,2.—11. ὡς καλῶς V. 2, M. 1,2.—12. ἀπαλλαγοῖεν V. 2, M. 1,2.—κατ' αὐτὸν V. 1, κατ' αὐτῷ V. 2, κατ' αὐτοῦ M. 1,2, sed subjectum sunt οἱ — δὲ δουλωμένοι.—* καὶ V. 1,2.—13. ἀποδράντος αὐτοῦ—γενομένου V. 1,2 (γενόμενον M. 1,2).—16. μέλλοντ. cod. μέλλοντος V. 1,2, M. 1,2.—17. περισταντες V. 1.—18. ἀναχωρεῖ—καταλιμπάνει V. 2. — 19. ὁ καλὸς ποιμὴν V. 1, ὁ π. ὁ κ. V. 2, M. 1,2. — 20. νεφύδριον? cf. νεφίδρυον V. 1, νεφείδον V. 2. — 22. κελεύοντος V. 1,2, M. 1,2. — 23. π. κ. V. 1,2, M. 1,2. — 25. κραζ. V. 1,2, M. 1,2, bis. — ἐλ. π. αὐτὸν ἐμπ. V. 1,2, M, 1,2.

Ὁ δὲ ἅγιος πρὸς αὐτούς. «Αἱ κορῶναι φωνοῦσι κρά, κρά· τὸ δὲ κρὰ τῇ «Αὐσωνίων φωνῇ αὔριόν ἐστιν, ὅθεν αὔριον ὄψεσθε τὴν τοῦ θεοῦ πρόνοιαν καὶ τὴν ἡμετέραν δόξαν». Καὶ τῇ ἐπαύριον ἠγγέλθη ὁ θάνατος τοῦ ἀποστάτου Ἰουλιανοῦ· ἐπανῆλθε γὰρ ἐκ Περσίδος νεκρὸς ἐβδελλυγμένος, μήτε ἐλεούμενος, μήτε οἰκτειρόμενος, ὡς δὲ πολλοῖς διαῤῥήδην ἡ φήμη, μήτε τῷ τάφῳ προσδεχόμενος*, καὶ πολλῆς** ταραχῆς καὶ θορύβου ἐπλήρωσε τοὺς Ἕλληνας.

(4) Τὸν μέντοι μέγαν Ἀθανάσιον οὐκ ἔλιπε ἐξορία καὶ φυγὴ 365
καὶ βάσανος· μικρὸν γοῦν ἀναπνεύσας ἐκ τούτου (111[b]) πάλιν ὁ τοῦ Οὐάλεντος ἐπέστη αὐτῷ πόλεμος, ὅθεν καὶ τοῦτον τροπωσάμενος διὰ τῆς καλῆς φυγῆς, ὡς πληρωθῆναι μῆνας δ' τὴν φυγὴν αὐτῷ, τοῦ βίου ὑπεξέρχεται, διαρκέσας ἐπὶ τῆς ἱερωσύνης ἔτη μς', πολλὰ πρὸ*** θανάτου**** εἰρηκὼς, μᾶλλον δὲ προγνωστικῶς προαγορεύσας Παύλῳ, τῷ μετ' αὐτὸν ἐπισκόπῳ, οἷα καὶ ὅσα παρὰ τῶν Ἀρειανῶν ὑποστήσεται.

(5) Περὶ δὲ τῶν ἑαυτοῦ ποικίλων καὶ διαφόρων ἀγώνων*****, φυγῶν τε καὶ ἀποκρύψεων ἀναριθμήτων ἀπολογούμενος, ἄκουσον οἷα γράφει ὁ μακάριος· «Εἰ γὰρ λοιδοροῦσι τοὺς κρυπτομένους ἀπὸ τῶν ζητούντων ἀνελεῖν καὶ διαβάλλουσι τοὺς φεύγοντας ἀπὸ τῶν διωκόντων, τί ποιήσωσιν ὁρῶντες τὸν μὲν Ἰακὼβ φεύγοντα τὸν ἀδελφὸν, τὸν δὲ Μωϋσῆν ἐν Μαδιὰμ ὑποχωρήσαντα διὰ τὸν Φαραώ; τί δὲ τοιαῦτα φλυαροῦντες ἀπολογήσονται τῷ Δαυὶδ ἀποδιδράσκοντι τῷ Σαοὺλ καὶ κρυπτομένῳ τοῦτον ἐν τῷ σπηλαίῳ, ἀλλοιοῦντι δὲ τὸ πρόσωπον ἑαυτοῦ ἕως ἂν παρέλθῃ τὸν Ἀγχοῦς καὶ τὴν

---

1. Σύρων Glyc. Ἀσσυρίων V. 1. — 5. ἐκδελ. V. 1, ἐκβελ. V. 2. — * διὸ V. 1. — ** καὶ V. 1. — 8. cf. summarium XXXVII et historiam acephalam. Τῷ ἁγίῳ καὶ μακαρίῳ Ἀθανασίῳ V. 2, M. 1,2. Ὅμως οὖν τὸν μακάριον καὶ ἅγιον Ἀθ. οὐδ' οὕτως V. 1. — καὶ φήμη V. 1. — 9. μ. γὰρ V. 1, μ. οὖν V. 2, M. 1,2, θεραπεύσας M. 2? — π. om. V. 2, M. 1,2.—11. πληρωθείσης μησὶ δ' τῆς φυγῆς? a 5. Oct. ad 31 Jan. 366 (Historia acephala); defunctus est 2 Maii 373 (summarium XLV). — 12. φ. αὐτοῦ V. 1,2, M. 1,2. — τὸν βίον M. 2, — ὑπερξέχεσθαι V. 1. — 13. μή V. 1, M. 1,2. — *** τοῦ V. 1,2, M. 1,2. — **** αὐτοῦ V. 1,2, M. 1,2. — προφητεύσας V. 1,2, M. 1,2. — 14. Πέτρῳ V. 1,2, M. 1. — ***** καὶ διωγμῶν V. 1. — 17. φάσκει V. 1,2, M. 1,2. — 18. Apologia ad Const. I. 707 B ed. Col. 1686. — ὑπὸ V. 2, M. 1,2. — 21. μεταχ. V. 2, M. 1,2. — 23. τὸν Σ. V. 1,2, M. 1,2. κρυπτόμενον V. 1, M. 1,2. — ἐν σκ. V. 1. — 24. τὸν Ἀβιμέλεχ Ath. sed cf. 1 Sam. XXVII. 2.

ἐπιβουλὴν ἐκκλίνῃ; τί δ' ἂν εἶποιεν οἱ πάντα λέγοντες εὐχερῶς καὶ πάντα λίθον, κατὰ τὸ δὴ λεγόμενον, κινοῦντες, τὸν Ἠλίαν τὸν μέγαν κρυπτόμενον· τὸν Ἀχαὰβ καὶ φεύγοντα διὰ τὰς ἀπειλὰς τῆς Ἰεζάβελ; Καὶ μέντοι καὶ οἱ υἱοὶ τῶν προφητῶν ζητούμενοι τότε ἐκρύπτοντο λανθάνοντες ἐν τῷ σπηλαίῳ παρὰ τῷ Ἀβδιοῦ». — Ποίαν οὖν καὶ πρὸς Ἡσαΐαν ἐπινοοῦσιν ἀντίθεσιν παρακελευόμενοι ἕκαστον ὑπὲρ εὐσεβείας διωκόμενον κατὰ θεοῦ συγχώρησιν λέγοντα· «Ἀποκρύβηθι μικρὸν ὅσον [ὅσον] ἕως ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίου». Καὶ γὰρ οἱ μὲν εὐσεβῶς ζῶντες ἐν Χριστῷ, διωχθήσονται, ἀδίκως δηλονότι· οἱ δὲ ἄνομοι, δικαίως ἐκ προσώπου Κυρίου ἐκδιωχθήσονται, «καὶ σπέρμα ἀσεβῶν ἐξολοθρευθήσεται». — Οὕτω δὲ καὶ οἱ τῆς χάριτος τρόφιμοι διὰ τὸν φόβον τῶν Ἰουδαίων ὑπανεχώρουν κρυπτόμενοι· καὶ ὁ μὲν Πέτρος ἐκ τῆς φυλακῆς ἀποδράσας ἐξέφυγε τὰς χεῖρας Ἡρώδου καὶ τὰς προσδοκίας τῶν Ἰουδαίων· «ὁ δὲ Παῦλος ἐν Δαμασκῷ παρὰ τοῦ ἐθνάρχου ζητούμενος, ἀπὸ τοῦ τείχους ἐν σαργάνῃ κεχάλασται καὶ διέφυγε τοῦ ζητοῦντος τὴν μανίαν. Τῆς τοίνυν γραφῆς τοιαῦτα λεγούσης περὶ τῶν ἁγίων, ποίαν ἄρα πρόφασιν τῆς ἑαυτῶν προπετείας καὶ περὶ τῆς *** γραφῶν ἀγνοίας ἐξευρεῖν οἱ φιλοσκῶπται δυνήσονται»; — «Ἐν μὲν γὰρ τῷ νόμῳ πρόσταξις ἦν ἀφορισθῆναι *** πόλεις φυγαδευτηρίους ὑπὲρ τοὺς ζητουμένους εἰς θάνατον, ὅπως δήποτε δύνασθαι διασώζεσθαι· ἐπ' ἐσχάτων δὲ παραγενόμενος ὁ παλαι τῷ Μωσεῖ χρηματίσας ἐκεῖνα θεὸς λόγος αὖθις ἐντολὴν δίδωσι λέγων· «Ὅταν διώκωσιν ὑμᾶς ἐκ τῆς πόλεως ταύτης, φεύγετε εἰς **** ἑτέραν» καί· — «Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη, καὶ ὁ ἐπὶ τοῦ δώματος, μὴ κα-

---

1. πάντες V. 2, M. 1,2. — 2. κ. Ἡ. V. 1. — ° ἀκούοντες διὰ V. 1. — 4. Καὶ υἱοὶ V. 2. M. 1,2. — 5. κατεκρ. V. 1. — Ἀβδία V. 1,2, M. 1,2. — 6. ἐπινοήσουσιν V. 1,2. M. 1,2. — 7. λέγοντ. cod. καὶ λέγοντι M. 1,2, λέγοντι V. 2, καὶ λέγοντες V. 1. — 8. Ies. XXVI. 20. — ἡ ὀ. κῦ παρέλθῃ V. 1, παρέλθοι V. 2, M. 1,2. — 9. ἐκ πρ. κῦ δ. V. 1, M. 1,2. — 10. ἐκδικηθήσονται. — Ps. XXXVII. 28. — 13. ἀποδρὰς V. 1,2, M. 1,2. — 14. τῆς cod. — 15. Καὶ ὁ Π. Ath. 717 D. — 16. σαργάνῃ V. 1. — κεχάλασθ. cod. — ἐξεφ. τοῦ ζ. τὰς χεῖρας Ath. — 17. γρ. τοῖς πᾶσι καταλ. V. 2, M. 1,2. — 18. προπ. ἐξ. δυν. Ath. — ** τῶν V. 1,2, M. 1,2. — *** καὶ V. 1. — 20. ἦν ἐκταγῆναι καὶ π. φυγαδευτηρίων Ath. τοῦ ὑ. τ. ζ. Aih. ὑ. τῶν ζητουμένων V. 1, M. 1,2? ὑ. τοῖς ζητουμένοις V. 2. — 19. ἐπὶ δὲ συντελείᾳ τῶν αἰώνων παρ. αὐτὸς ὁ τῷ M. λαλήσας λ. τοῦ πρς πάλιν ἐ. ταύτην δ. λ. ὁ. δὲ δ. Ath. ὑ. ἐν τῇ πόλει ταύτῃ Aih. — 22. ἐκεῖνος V. 2, ἐκεῖνα post λ. V. 1, M. 1,2. — 23. Mt. X. 23. — **** τὴν Ath. V. 1. — 24. Mt. XXIV. 16 — 18. — 25. ἐπὶ Ath. — καὶ om. Ath. — ἐκ cod. V. 1,2, M. 1,2.

ταθήτω ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ, καὶ ὁ ἐν τῷ ἀγρῷ, μὴ ἐπιστραφέτω * ἆραι τὰ ἱμάτια αὐτοῦ». — «Διὰ τοῦτο καὶ ** ὁ θεὸς λόγος ἄνθρωπος γενόμενος κατηξίωσε ζητούμενος, ὡς ἡμεῖς, κρυβῆναι καὶ πάλιν διωκόμενος [φεύγειν] καὶ τὴν ἐπιβουλὴν ἐκκλῖναι» τῶν ἐναντίων, ἡμᾶς διδάσκων μὴ ἐπιῤῥίπτειν ἑαυτοὺς εἰς κινδύνους. «Διὰ δὴ τοῦτο καὶ οἱ θεῖοι μάρτυρες ἐν τοῖς διωγμοῖς διωκόμενοι μὲν ἔφευγον, εὑρι(112ᵃ)σκόμενοι δὲ ἐμαρτύρουν».

(6) Ἀλλ' εἶποι δ' ἂν τις ***· ὁ μέγας καὶ ἀποστολικὸς Διονύσιος φησίν· «οὐκ ἐστι δίκαιον, ὁσίους ἄνδρας ἐᾷν ἀβοηθήτους ὑπὸ τῶν φαύλων ἐκτρυχομένους»· πρὸς ὃν ῥητέον· ὅσοι μὲν ἀγαπῶσιν, οὓς φησὶν ἁγίους, τὰ ἐπὶ γῆς ὑπὸ τῶν προσύλων ζηλούμενα, τοῦ θείου πάντως ἐκπεπτώκασιν ἔρωτος· οὐκ οἶδ' ὅπως ὅσιοι κληθήσονται ἀδικοῦντες τὰ ὄντως ἐραστὰ καὶ θεῖα τοῖς ἀζηλώτοις καὶ ἀνεράστοις ὑπ' αὐτῶν οὐκ εὐαγῶς [παρευδοκιμούμενα· εἰ δὲ τῶν ὄντως ὄντων ἐρῶσιν, εὐφραίνεσθαι χρὴ τοὺς τινῶν] ἐφιεμένους, ἡνίκα τῶν ἐφετῶν τυγχάνουσιν· ἢ οὐκ ἐν τούτῳ μᾶλλον πλησιάζουσι ταῖς εὐαγγελικαῖς ἀρεταῖς, ὅταν, ὡς δυνατὸν, ἐφέσει τῶν θείων ἀναχωροῦσι τῆς τῶν ὑλικῶν προσπαθείας, ἐγυμνασμένοι πρὸς τοῦτο λίαν ἀνδρικῶς ἐν ταῖς ὑπὲρ τοῦ καλοῦ περιστάσεσιν· ὥστε οὖν ἀληθὲς εἰπεῖν, ὅτι τοῦτο μᾶλλόν ἐστι τῆς θείας δικαιοσύνης ἴδιον τὸ μὴ θέλειν καὶ ἀπολύειν τῶν ἀρίστων τὴν ἀριστότητα ταῖς τῶν ὑλικῶν δόσεσι, μηδὲ, εἴτις ἐπιχειροίη τοῦτο ποιεῖν, ἐᾷν ἀβοηθήτους, ἀλλ' ἐνδρύειν αὐτοὺς ἐν τῇ καλῇ καὶ ἀμειλίκτῳ στάσει καὶ ἀπονέμειν αὐτοῖς τοιούτοις οὖσι τὰ κατ' ἀξίαν.

---

1. καταιβάτω V. 1,2, M. 1,2.—ἀ. τὰ Ath.—ἐπιστρεψάτω Ath. V. 1,2, M. 1,2.— * ὀπίσω Ath.—** αὐτὸς Ath. V. 1, ὁ θεῖος? cod. ὁ λ. δὶ ἡμᾶς γ. ἀ. κατ. Ath.—3. ἐκρύβη V. 2. M. 1,2, cod.—4. ἐκκλῖναι Ath.ἐκκλίνων cod.—6. 716 A: Ταῦτα καὶ οἱ μακάριοι μ. ἐν τ.κατὰ καιροὺς δ. ἐφύλαττον καὶ δ. μὲν ἐφ. κτλ.—δὴ om. V. 1.—8. εἶπῃ V. 2.—*** φησὶν cod. a prima manu, V. 1,2, M. 1,2, e quibus V. 2, φ. post Διον. repetit — 9. οὐκ ἐ. δικαιοσύνη M. 1,2.—ἀ. ὁ V. 1,2, M. 1,2.—10. β. ὡς εἰ μὲν V. 1,2. M. 1,2.—11. προσήλων V. 2, M. 1,2.—12. ἐρ. καὶ οὐκ οἶδ' V. 1, ἐρ. καὶ οἶδ' V. 2.—ὁσιώτατα M. 1,2, κληθεῖεν ἂν V. 1,2, M. 1,2. — 16. εἰ cod., οἳ M. 1,2.—17. ἀναχωροῦσι τοῖς τῶν ὑ. δόσεσι V. 2, sed cf. Odyss. XXII. 270. — 18. ἐγγυμναζόμενοι V. 2, M. 1,2. — 19. ἀληθῶς V. 1, ἀληθ. cod. — 21. ἀπολύειν V. 2, M. 1,2. — 22. μὴ τοίνυν δὲ εἴτις M. 1,2. — ποιεῖν ἀναβοηθήτους M. 1,2. — 23. αὐτοὺς V. 2, M. 1,2.

(7) Κωνσταντίου δὲ τοῦ μεγάλου ὑπὸ Ἑλλήνων φιλοσόφων ὀνειδισθέντος εἰς τὸ Βυζάντιον, ὡς οὐ πράττοι καλῶς παρὰ τὰ ἔθη τῶν παρὰ Ῥωμαίοις βασιλευσάντων διαγενόμενος, ἀλλὰ νεωτερίζων τὴν θρησκείαν μεταθέμενος, ἔδοξεν ἕνα τῶν φιλοσόφων διαλεχθῆναι Ἀλεξάνδρῳ τῷ * Βυζαντίου περὶ τῆς πίστεως **. Λόγων δὲ ἄπειρος ὁ Ἀλέξανδρος, ἀλλὰ θεῖος ὤν, ἐν τῇ ἡμέρᾳ τῆς διαλέξεως εἶπε τῷ διαλεκτικῷ φιλοσόφῳ· «Ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ μου ἐπιτάττω σοι σιωπᾷν καὶ μὴ φθέγγεσθαι». Ἅμα δὲ τῷ λόγῳ ἐφιμώθη καὶ διέμεινεν ἄλαλος ***. 10

CLXXXVII. ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΑΝΤΩΝΙΟΥ.

Ἐν τοῖς χρόνοις αὐτοῦ Ἀντώνιος ὁ μέγας ἦν ἐν πολλαῖς ἀρεταῖς καί μεγάλαις διαπρέπων ****· καὶ ἀκουστὸς ἐγένετο τῷ βασιλεῖ, καὶ γράφει αὐτῷ παρακλητικὴν ἐπιστολήν, [τοῦ] σκυλλῆναι

---

1. Cod. 498,18—499,1· Οὗτος ὁ μέγας βασιλεὺς ὑπὸ φ. Ἑ. ὀνειδιζόμενος ὡς νεοτερίζων (ut cod.) τὴν θ. ἕνα τῶν φ. αὐτῶν παρέστησε δ. Ἀ. τῷ ἐπισκόπῳ. Ὁ δὲ Ἀ. θεῖος μὲν ἦν ἀνὴρ, λ. δὲ ἀπ. ὡς οὖν εἶδε τὸν φιλόσοφον γλωσσαλγοῦντα ἔφη· ἐπ. σοι ἐν ὀ. τῷ χῷ τοῦ ἀληθινοῦ θ. ἡμῶν σ. καὶ μὴ φ. καὶ ἅμα τῷ λ. ἐφ. καὶ γέγονεν ἀλ. — 2. πράττει V. 2, M. 1,2. — 3. ἔθνη V. 1, M. 1. — διαγιν. V. 1,2, διάγων? — 4. νεωτερίζοι? — 5. ἔδοξαν V. 1. — * ἐπισκόπῳ V. 1. — ** Οὗτος ὁ Ἀλέξανδρος πατριάρχης ἦν πρὸς τὸ τέλος τοῦ μεγάλου Κωνσταντίνου Leo: 326—340. cf. Sym. Ms. Ven. 33b. Ἐφ' οὗ ἦν ἐπίσκοπος Ἀ. ὃς πειρασθεὶς τινί τῶν φιλοσόφων εἰπὼν ἐν ὀ. τῷ χῷ φιμώθητι καὶ ἅμα τῷ λόγῳ διεμ. ἀλ. — 7. τὰ δὲ ἄλλα θ. ἐν Leo. P. V. 1.— *** Λέγεται δὲ καὶ τοῦτο περὶ τοῦ μεγάλου Κωνσταντίνου, ὅτι μέλλων κτίσαι τὴν πόλιν καὶ ὀφείλων (ὀφείλ. cod.) πῆξαι τὰ θεμέλια καὶ καταμετρῆσαι, πεζὸς ἐξῆλθε μετὰ τῶν μεγιστάνων αὐτοῦ· καὶ ἐλθὼν εἰς τὸν φόρον, εἶπον αὐτῷ οἱ ἄρχοντες· «Ποιήσον τέλος τοῦ τείχους». Ἐκεῖνος δὲ ἔφη· «Οὔ, ἕως οὗ στῇ ὁ προαγωγός μου ἐκεῖσε πληρώσω». Ἄγγελον γὰρ ἑώρα προαγαγόντα. Ἀπελθὼν δὲ μέχρι τοῦ ἑξακιονίου πεζὸς μετὰ πάσης τῆς συγκλήτου, ἐκεῖσε ὁρᾷ τὸν ἄγγελον τὴν βομφαίαν αὐτοῦ πήξαντα, δηλοῦντα (δηλοῦντος cod.) ἕως ἐκεῖσε στῆσαι αὐτόν. Καὶ δὴ τοῦτο πεποίηκεν. Haec in textu codicis sunt, sed quum in nullo alio inveniantur, e margine irrepsisse videntur.—11. Rubrica haec M. 2, in codice evanuit.—12. Ἐφ' ὧν χρόνων καὶ ὁ ἅγιος Ἀ. ἐν V. 1. Ἐφ' ὃν χρόνον καὶ Ἀ. ἐν V. 2, M. 1,2. — π. καὶ μ. δ. V. 2, M. 1,2, μεγάλ. cod. — **** κατορθώμασιν cod. — 13. καὶ om. V. 1,2, M. 1,2. — 14. σκυλῆναι cod. V. 1. cf. Luc. VII. 6 μὴ σκύλλου. — ἑαυτὸν V. 2.

αὐτὸν ἕως Κωνσταντινουπόλεως, ὅπως τῶν εὐχῶν αὐτοῦ ἀπολαύσῃ. Ὁ δὲ ἅγιος γενόμενος ἐν πολλῇ φροντίδι λέγει τῷ μαθητῇ αὐτοῦ Παύλῳ· «Τί λέγεις, τέκνον, ἀπέρχομαι πρὸς τὸν βασιλέα κατὰ τὴν παράκλησιν αὐτοῦ;» Ὁ δὲ ἀποκριθεὶς εἶπεν· «Ἐὰν ἀπέλθῃς, Ἀντώνιος ὑπάρχεις ἐὰν δὲ μὴ ἀπέλθῃς, ἀββᾶς Ἀντώνιος». Καὶ ὁ ἅγιος ἔφη· «Οὐκοῦν διὰ τῆς δόξης ταύτης, ἐὰν μὴ λέγωμαι ἀββᾶς, ὄντως οὐκ ἀπέρχομαι». Καὶ ταῦτα μαθὼν ὁ διακριτικώτατος βασιλεύς, ὠφελήθη μᾶλλον εἰς τὸ μέτριον καὶ ἀφιλάδοξον **.

(2) Περὶ οὗ καὶ ὁ μέγας Ἀθανάσιος ἔφη· «Ἔφθασε καὶ μέχρι βασιλέων ἡ ἐνάρετος πολιτεία Ἀντωνίου· καὶ *** μαθόντες Κωνσταντῖνος ὁ μέγας καὶ Κωνστάντιος καὶ Κώνστας οἱ Αὔγουστοι ἔγραφον αὐτῷ ὡς πατρὶ καὶ ἠξίουν ἀντιγραφὰς (115[b]) παρ' αὐτοῦ δέχεσθαι· ἀλλ' οὔτε γράμματα δεχόμενος λόγον τινὸς ἢ φροντίδα ἐποιεῖτο· οὔτε μὴν, ὡς οἱ πολλοί, ἐπὶ ταῖς ἐπιστολαῖς ἐγεγήθει. Ὅτε οὖν ἐκομίζετο αὐτῷ **** γράμματα, ἐκάλει τοὺς μοναχοὺς καὶ ἔλεγε· «Μὴ θαυμάζετε, εἰ βασιλεὺς γράφει πρὸς ἡμᾶς· ἄνθρωπος γάρ ἐστι καὶ αὐτὸς, ἀλλὰ θαυμάζετε, ὅτι ὁ θεὸς τὸν νόμον ἔγραψε καὶ διὰ τοῦ ἰδίου υἱοῦ ἐλάλησεν ἡμῖν». Βουλομένου οὖν αὐτοῦ μὴ δέχεσθαι τὰς ἐπιστολὰς, ἐκωλύθη παρὰ τῶν μεναχῶν λεγόντων αὐτῷ, ὅτι χριστιανοί εἰσιν οἱ βασιλεῖς, καὶ μὴ ὡς ἀποῤῥιφέντες σκανδαλισθῶσιν. Ἐπέτρεπεν οὖν ἀναγινώσκεσθαι τὰς ἐπιστολὰς καὶ ἀντέγραφεν ἀποδεχόμενος αὐτούς, ὅτι τὸν Χριστὸν προσκυνοῦσι, συνεβούλευε δὲ τὰ πρὸς σωτηρίαν καὶ μὴ μεγάλα τὰ παρόντα ἡγεῖσθαι, ἀλλὰ μνημονεύειν ἀεὶ τοῦ θανάτου καὶ τῆς μελλούσης κρίσεως καὶ ἀνταποδόσεως καὶ εἰδέναι μόνον θεὸν ἀληθινὸν, βασιλέα αἰώνιον· φιλανθρώπους τε εἶναι [αὐτοὺς] ἠξίου καὶ τοῦ δικαίου φροντίζειν καὶ τῶν πτωχῶν ὡς μέλλοντας περὶ τῆς ἀρχῆς αὐτῶν

---

1. Ὁ δὲ μακάριος V. 1. — 6. ἀββᾶ V. 2. M. 1,2. — * διὰ V. 2. M. 1,2. — ** τοῦ ἁγίου γέροντος V. 1,2, M. 1,2. — 9. Vita 497, A: Ἐ. δὲ μ. V. 2, Ἐ. δὲ καὶ μ. M. 1,2. — 10. ἡ π. Ἀ. φήμη Ath. — *** γὰρ V. 1. — 12. ἀντιγραφ. cod. ἀντίγραφα V. 1,2, M. 1,2, — δέξασθαι M. 1,2. — 13. δ. περὶ πολλοῦ τ. λόγου ἐπ. V. 1,2, M. 1,2, ὡς π. M. 2. — **** τὰ Ath. — 15. ἐκάλ. cod. ἐκάλεσε Ath. — 17. ὅτι ὃς V. 1,2. — 18. ἰδ. αὐτοῦ ἰῷ M. 1,2. — 19. παραδ. V. 1.—ἐκωλύθησαν M. 1,2?—20. ἀποριφθέντες V. 2, ἀπορηθέντες V. 1.—23. δὲ π. V. 2. —μεγάλως? μεγάλ. cod. — 25. μ. τὸν θν ἀλ. V. 1, μ. ἀλ. θν V. 2, M. 1,2.

δοῦναι λόγον τῷ θεῷ· ἅπερ οἱ βασιλεῖς δεχόμενοι λίαν ἔχαιρον» ἐπὶ τῇ παραινέσει τοῦ δικαίου.

338 (3) Τοῦ οὖν θείου Κωνσταντίνου βασιλεύσαντος ἐν Ῥώμῃ ἔτη ιβ' καὶ ἐν Κωνσταντινουπόλει ἔτη κ' καὶ ἐν προαστείῳ τινὶ βασιλικῷ Νικομηδείας ὀλίγον χρόνον ἀῤῥωστήσας ἐτελεύτησε, καταλιπὼν κληρονόμους τῆς βασιλείας αὐτοῦ τοὺς γ' παῖδας αὐτοῦ, Κώνσταν *, Κωνστάντιον καὶ Κωνσταντῖνον τὸν νεώτερον **, καταλείψας καὶ μίαν θυγατέρα ὀνόματι Ἑλένην ***, γαμετὴν γεναμένην Ἰουλιανοῦ τοῦ παραβάτου, ἣν ἔσχεν ἐκ Φαύστας ἀνεψιᾶς, θυγατρὸς Ἑρκουλίου ****.

---

3. Glyc. 466,13: Ὁ μοναχὸς Ἀλέξανδρος ἐν τῇ διὰ τὴν τοῦ τιμίου σταυροῦ εὕρεσιν ἱστορίᾳ λέγει μὲν ἐν Νικομηδείᾳ τελευτῆσαι — τηνικαῦτα δὲ καὶ βαπτισθῆναι. — 4. καὶ ἐν Νικομηδείᾳ τελευτήσαντος ξε', οἱ τρεῖς υἱοὶ αὐτοῦ ἐκράτησαν τῶν Ῥωμαίων V. 1. — * καὶ V. M. 1,2. Κωνστ. Κωνσταντ. καὶ Κωνστάντιον cod. — ** καὶ M. 1,2. — *** τὴν καὶ Κωνσταντίαν V. 2. — 8. γενομ. M. 1,2. — 9. ἀν. Ἑ. V. 2. M. 1,2. — **** Ἡρῳδης καὶ Ἱππόλυτος χρονογράφοι ἱστοροῦσι, ὅτι αὐτὴ ἡ Φαῦστα ἔτεκε υἱὸν ὀνόματι Κρισκέντιον (Κρίσπον Glyc. 461,12—15), ὃν αὐτὴ ἡ μήτηρ διέβαλεν ὡς ἐρασθέντα αὐτῆς, ὃ καὶ μαθὼν ὁ μέγας Κωνσταντῖνος ἀπεκεφάλισεν αὐτόν· ὕστερον δὲ μαθὼν συκοφαντίσασαν τὸν παῖδα αὐτῆς, βαλανεῖον ἐκπυρώσας, ἔσωθεν αὐτὴν κατέκαυσεν. Τὸν δὲ υἱὸν αὐτῆς ἀκρίτως ἀποτμηθέντα διὰ τὴν ὑποψίαν ἣν εἴπαμεν, ἡ μήτηρ τοῦ μεγάλου βασιλέως Ἑλένη, μὴ φέρουσα τὴν τοῦ νέου ἀναίρεσιν ἤδη τῆς τοῦ Καίσαρος ἀξιωθέντα τιμῆς, ἠδολέσχει ἐπὶ τῇ ἀκρίτῳ ἀποφάσει. Ὁ δὲ μέγας Κωνσταντῖνος μεγάλως λυπηθεὶς καὶ μετανοήσας ἔκλαυσεν ἐπ' αὐτὸν ἡμέρας μ' καὶ νύκτας μὴ λουσάμενος τῷ σώματι μηδὲ ἀνακλιθεὶς ἐπὶ κοίτης· ἐποίησε δὲ στήλην αὐτοῦ ἐξ ἀργύρου καθαροῦ, βάψας αὐτὴν ἐκ χρυσίου πλείστου, τὴν δὲ κεφαλὴν μόνην ἐκ χρυσίου, γράφουσαν ἐν τῷ μετώπῳ· «Ἠδικημένος υἱός μου ταύτην στήλην μετανοίας λαβεῖν ἐλιπάρει τὸν θεὸν ὑπὲρ ὧν ἐπλημμέλησα» (Herodes et Hippolytus, exempla similis facinoris, in scriptores mutati? In Parastasibus p. 3, 4 notantur Herodotus et Hippolytus chronographi in eodem regno cf. Ced. 497,22: Τούτῳ τῷ ἔτει (κ') καὶ Κρίσπος ὁ υἱὸς Κωνσταντίνου χριστιανὸς ἐκοιμήθη et 519,22: ἡ μήτηρ αὐτοῦ Ἑ. πρὸ ιβ' ἐτῶν τῆς αὐτοῦ τελευτῆς ἀποθανοῦσα καὶ ἡ γυνὴ αὐτοῦ Φ). — Ἐτελεύτησε δὲ ἐν Νικομηδείᾳ ἐτῶν ξε', καὶ τὸ σῶμα αὐτοῦ ἐν λάρναξι χρυσῇ (πορφυρᾷ Leo, Cod. 519,16—520,4) οἱ στρατιῶται ἐνθέντες ἐποίησαν κοπετὸν μέγαν. Καταλαβὼν δὲ Κωνστάντιος ὁ τῆς ἑῴας βασιλεὺς καὶ ἀνακομίσας τὸ τίμιον λείψανον καὶ βασιλικῶς κηδεύσας τὸν πατέρα, ἐφ' ὑψηλῆ ἀπέθετο τῇ τῶν ἁγίων ἀποστόλων ἐκκλησίᾳ, ἔνθα ἀπετέθη καὶ ἡ μήτηρ αὐτοῦ Ἑλένη. Ἐπὶ τοῦτο γὰρ καὶ Κωνστάντιος ᾠκοδόμησεν ἐκεῖ τὴν ἐκκλησίαν εἰς τὸ ταφῆναι τοὺς βασιλεῖς καὶ ἱερεῖς, ὅπως μὴ ἔσωνται μακρὰν τῶν ἀποστολικῶν λειψάνων. Ἐγένετο δὲ ἡ ἡμέρα τῆς κοιμήσεως αὐτοῦ Μαΐῳ κα' (cf. Sym. Ms. Ven. 32a: Οὗτος καὶ τὰ λείψανα τῶν ἁγίων ἀποστόλων κατέθηκεν. Εἶτα κατὰ Περσῶν κινήσας ἀπὸ Νικομηδείας, πεδίοις θερμοῖς παραγίνεται καὶ κακωθεὶς ἐκεῖθέν τε δὶ Ἑλενοπόλεως ἐν τῷ λ. ἐλθὼν, πυρετοῦ λαβρου κατασχόντος αὐτὸν, ἐτ. οὗ τὸ λείψανον ἀπεκομίσθη εἰς τοὺς ἁγίους ἀποστόλους καὶ ἐτέθη εἰς τὸ παρ' αὐτοῦ κτισθὲν ἡρίον). Λέγουσι δὲ τὸν

(4) [Οὗτοι οἱ τρεῖς υἱοὶ αὐτοῦ ἐκράτησαν τῶν βασιλικῶν σκήπτρων], τῆς μὲν ἀνατολῆς Κωνστάντιος, τῆς δὲ δύσεως Κωνσταντῖνος καὶ Κώνστας, ὃς καὶ φονεύσας τὸν ἀδελφὸν αὐτοῦ Κωνστάντιον καὶ βασιλεύσας μόνος ἔτη κ' ἐσφάγη καὶ αὐτὸς ὑπὸ τοῦ δήμου.

(5) Ἐματαιώθησαν τοίνυν οἱ καταψευδόμενοι τοῦ μεγάλου Κωνσταντίνου καὶ φάσκοντες, ὅτι ἐν τῇ τελευτῇ ἐβαπτίσθη καὶ μέχρι τότε ἀβάπτιστος ὑπῆρχε. Πῶς γὰρ ἂν ὁ τοιοῦτος ἀνὴρ θεοσεβὴς καὶ φιλόχριστος καὶ περὶ τὴν πίστιν θερμότατος ἠνέσχετο χρόνους τοσούτους κεχωρῆσθαι τῆς θείας μεταλήψεως τῶν μυστηρίων, καὶ μάλιστά γε τοιούτοις πατράσιν ἁγίοις συνδιαιτώμενος καὶ τῆς ἱερᾶς αὐτῶν διδασκαλίας καὶ νουθεσίας ἐπίμενος * ἀσπασίως καὶ γνησίως; Πῶς δὲ καὶ τοῖς ἀπίστοις ἐφαίνετο χριστιανὸς τέλειος μήπω τελειωθεὶς διὰ τοῦ βαπτίσματος; Πῶς δὲ καὶ ὁ κατεπείγων καὶ ἀναγκάζων τοὺς ἄλλους ἅπαντας ἀπίστους δηλονότι πιστεῦσαι καὶ βαπτισθῆναι καὶ τὴν ἁγίαν τριάδα ὁμολογῆσαι καθαρότερόν τε καὶ τηλαυγέστερον, αὐτὸς ἐν τοσούτῳ σκότῳ ἐτύγχανεν; Ἀληθῶς ψεῦδος τοῦτο ὑπάρχει καὶ ἀνάπλασμα τῆς Ἀρειανικῆς καὶ ἀθέου αἱρέσεως καὶ τῆς αὐτῶν ἀπιστίας καὶ ἀσεβείας κακούργημα βου-

---

μέγαν Κωνσταντῖνον δολοφονηθῆναι ὑπὸ Δαλματίου ἀδελφοῦ αὐτοῦ, τοῦ καὶ Ἀναβαλλιανοῦ ἐκ Θεοδώρας γεννηθέντος, φάρμακον αὐτῷ δηλητήριον ἐκχεαμένου, διὰ τὸ κρατῆσαι αὐτὸν τῆς βασιλείας, ἀλλὰ τῆς ἐλπίδος [ἐστηρήθη κτλ. Deest h. l. integra plagula excisa, quum quaternio sequens septem tantum plagulas et quidem tres in prima medietate contineat; in hac plagula inveniebatur disquisitio de trinitate, quae Ced. 507,16—510, 16 διάφορον legitur. Caput vero 3. abruptum vix mediam sequentis paginae partem implebat cf. Ced. 520,4: Δόξα δὲ κατέσχε τελευτῆσαι μὲν τὸν μέγαν Κ. φαρμάκῳ δηλητηρίῳ ἐπιβουλῇ τῶν ἀδελφῶν, διὸ καὶ αὐτὸν δι' αὐτογράφου ἐπισκῆψαι τῷ παιδὶ ἐκδικῆσαί τε καὶ φυλάξασθαι τοὺς ἀνελόντας αὐτὸν θείους.

1. Περὶ τῶν παίδων τοῦ μεγάλου Κωνσταντίνου (M. 2.) Οὗτοι—σκήπτρων Desunt haec in cod. et V. 1, sed et sequentia in codice perierunt. V. 2 adjungit in margine: Ὁ μὲν Κωνσταντῖνος ἦν ὁ πρῶτος υἱὸς τοῦ μεγάλου Κωνσταντίνου κατὰ γέννησιν, ὁ δὲ Κωνστάντιος ὁ δεύτερος, ὁ δὲ τρίτος Κώνστας ὁ φονεύσας τὸν ἴδιον ἀδελφόν· cf. Sym. Ms. Ven. 32ᵉ: καταλείψας γ' υἱούς, Κωνστάντιον, Κωνσταντῖνον καὶ Κώνσταντα, διορισάμενος δὲ Κωνστάντιον τὰ τῆς Θρᾴκης καὶ ἑῴας κρατεῖν μέρη, Κωνσταντῖνον μὲν τὰ πρὸς Ὠκεανὸν ἑσπέρια, Κώνσταντα δὲ Κρήτην, Ἀφρικὴν καὶ τὸ Ἰλλυρικόν. — 3. ὡς V. 1. — Κωνσταντῖνον V. 1. — 4. β. ἐ. M. 1. — ις' V. 1. — 5. Ced. 476,5—11. — 6. K. φ. V. 2. — 9. κεχωρεῖσθαι V, 1. χωρὶς V. 2, M. 1,2.— 10. γέ τοι ὁ τοῖς π. καὶ ἁγίοις V. 2, M. 1,2. — * δόγματι V. 2. M. 1,2. — 16. τυγχάνων M. 1,2. — 17. τοῦτο ψ. V. 2. M. 1,2.

λαμένων τῆς οἰκείας αἱρέσεως ὑπασπιστὴν ἀποδεῖξαι τὸν μέγαν Κωνσταντῖνον καὶ ὑπὸ Ἀρειανῶν θῆναι αὐτὸν βαπτισθῆναι ἀναπλαττόντων *.

(6) Καὶ γάρ τοι καὶ ὁ μέγας Ἰσίδωρος τοιάδε φησί· «Δεῖ τοίνυν ἀκολουθεῖν καὶ πειθαρχεῖν τῇ συγκροτηθείσῃ μεγάλῃ καὶ ἁγίᾳ συνόδῳ ἐν Νικαίᾳ κατὰ Ἀρείου τοῦ δυσσεβοῦς τῶν τιη' ἁγίων πατέρων· ἐκείνη γὰρ θεόθεν ἐμπνευσθεῖσα τἀληθὲς ἐδογμάτισεν».

(7) Ἰστέον τοίνυν ὡς ἐν τῇ παλαιᾷ διαθήκῃ περὶ τῆς ἁγίας καὶ ὁμοουσίου ** τριάδος μυστικῶς ἡ διδασκαλία ἐγκατέσπαρται, ὡς καὶ Φίλωνα, καίτοι *** Ἰουδαῖον ἄνδρα ὑπάρχοντα καὶ ζηλωτήν, δι' ὧν καταλέλοιπε συγγραμμάτων, ἀπομάχεσθαι τῇ οἰκείᾳ θρησκείᾳ ****. Βασανίζων γὰρ τὸ εἰρημένον *****, «Ἐν εἰκόνι θεοῦ ἐποίησα τὸν ἄνθρωπον», ἠναγκάσθη ὑπὸ τῆς ἀληθείας καὶ ἐξεβιάσθη καὶ τὸν τοῦ θεοῦ λόγον θεολογῆσαι· τί γάρ; εἰ καὶ δεύτερον τὸν συναίδιον ****** τῷ πατρὶ καὶ ἀριθμοῦ καὶ χρόνων ἀνώτερον ὄντα καλεῖ, τῆς ἀληθείας μὴ ἐφικνούμενος, ὅμως ἔννοιαν ἔσχε καὶ ἑτέρου προσώπου. Οὐκ ἐνταῦθα δὲ μόνον ἐπάθε τοῦτο, ἀλλὰ καὶ τό· «θεὸς» καὶ τό· «Κύριος» ἑρμηνεῦσαι πειρώμενος, τῆς βασιλικωτάτης τριάδος ἔννοιαν ἔσχε· φάσκων γάρ, ὅτι εἷς ἐστιν ὁ θεός, οὐ πρὸς τὸν ἀριθμὸν κατέδραμε τῆς μονάδος, ἀλλὰ πρὸς τὸ μυστήριον τῆς ἁγίας τριάδος, τὸ τῶν μὲν πάντῃ διαιρετῶν ἐνικώτερον, τῶν δὲ ὄντως μοναδικῶν ἀφθονώτερον· καὶ οὕτω κατὰ κράτος εἶλεν αὐτοῦ τὴν ψυχήν, ὡς ἀναγκασθῆναι διαῤῥήδην τοῦτο (καὶ) φάναι καὶ ἐν γράμ-

---

1. ὑποδ. M. 2. — * ὅθεν δέδεικται ὑπὸ τοῦ μακαρίου Σιλβέστρου βαπτισθῆναι ἐν Ῥώμῃ· λέγεται γὰρ καὶ τοῦτο, ὅτι περ ὅσοι κατὰ τὴν πρεσβυτέραν Ῥώμην οἰκοῦσι μέχρι τῆς σήμερον τὴν βαπτιστῆρα (τὸ βαπτιστήριον?) ἔχουσιν εἰς μαρτυρίαν. V. 2.— 4. Τοί γαρτοι M. 2. — 6. τούτου δ. V. 2? — 8. ιζ' Περὶ τῆς ἁγίας τριάδος V. 1, quod ad §. 6 potius pertinet quam ad §. 7, sed locus Isidori laudatus II. 143 inde a § 7 incipit οὗ καὶ ἐν τῇ π. δ. ἐγκ. ἡ. δ.— ** καὶ ζῳοποιοῦ Ced. — *** γε Ced. Ἰ. ὄντα καὶ ζ. Is. — 11. καταλέλοιπται V. 2, καταλέλειπται M. 1,2, ἀπολέλοιπε Is. — **** καὶ V. 2, M. 1,2. — ***** παρὰ τοῦ θεοῦ Is. — Gen. IX. 6. cf. Κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν Gen. I. 27 cum Is. M. 1,2 ἐποίησε. — 13. τῇ τοῦ θῦ θ. M. 1, τῇ τοῦ θεοῦ θεολογία θ. M. 2, τὸν θῦ λ. θ. Is. (cod. B.) — ****** λόγον Ced. — 15. χρόνον V. 2. χ. ὄντα ἀν. Is. χρόνου Is. B. — 16. ἀλ. καὶ ἐφ. V. 1. — 17. Καὶ οὐκ ἐντ. μ. τ. ἐπ. 18. καὶ τὸ κς om. V. 2, Is.—καὶ κς Is. — 19. λέγων γὰρ Is.— 21. τρ. τῶν M. 1.— αγ. om. Is. — 22. εἶδεν ἀ. V. 1, ἐ. V. 2, ἀ. ἐ. M. 1,2, δ. καὶ εἰπεῖν καὶ ἐν συγγ. Is. (δ. τ. καὶ ἐ. κ. ἐν α. Is. B.)

μασι καταλεῖψαι· δύο μὲν γὰρ (εἶπεν) εἶναι τὰς τοῦ ὄντως ὄντος δυνάμεις, ὧν ἡ μὲν ποιητικὴ καὶ εὐεργητικὴ φύσει καλεῖται θεός, ἡ δὲ βασιλικὴ καὶ τιμωρητικὴ Κύριος, οὐ πόρρω βαίνων τοῦ φήσαντος· «Χριστὸς θεοῦ δύναμις καὶ θεοῦ σοφία», δύναμις οὐκ ἀνυπόστατος, ἀλλ' ἐνυπόστατος καὶ παντοδύναμος καὶ ὑποστάσεως δημιουργος καὶ ἰσοσθενὴς ἐκείνου, οὗ δύναμίς ἐστι. Καὶ πάλιν ὁ αὐτὸς Φίλων περὶ τοῦ θεάματος, οὗ εἶδε Μωϋσῆς *, ἐκφράζων ἔφη· «Θέαμα ἐκπληκτικώτατον ὁρᾷ· εἶτα μετ' ὀλίγον κατὰ μέσην ** τὴν φλόγα μορφήν τινα περικαλλεστάτην ἐμφερῆ οὐδενὶ τῶν ὁρατῶν, θεοειδέστατον ἄγαλμα, φῶς αὐγοειδέστερον τοῦ πυρὸς ἀπαστράπτουσαν, ἣν ἐάν τις ὑπετόπησεν εἰκόνα τοῦ ὄντως εἶναι, καλῶς ὑπελήφθη». Εἰ δέ τις περὶ τῆς εἰκόνος ἀκριβῶς μαθεῖν βούλεται, ἀκουέτω Παύλου φράζοντος περὶ τοῦ υἱοῦ, «ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου». Οὐκοῦν κἀκεῖνος θεολογίας ὀρθοδόξου ἅπτεται; μὴ γὰρ *** τὴν ἀκρίβειαν ζήτει παρὰ τοῦ δυνηθέντος ὅλως διὰ σύνεσιν εἰλικρινῆ **** κατοπτεῦσαι τὴν ἀλήθειαν καὶ τῇ οἰκείᾳ θρησκείᾳ ἀπομάχεσθαι· ἀλλ' ἐκεῖνο ἐνόει, ὅτι εἰς ἓν πρόσωπον οὐ συνέκλεισε τὴν θεολογίαν ὡς οἱ ἀπαίδευτοι ***** τῶν Ἰουδαίων καθηγηταί, προλήψει τινὶ κατεχόμενοι, δογματίζουσιν. Οὐκ ἐκ τούτων δὲ [μόνον πληκτικωτάτων] ὄντων, εἰς τοσαύτην προήχθη, ὡς γε ἡγοῦμαι, τὴν ἔννοιαν, ἀλλὰ καὶ ἐκ τοῦ· «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοιώσιν»· καὶ ἐκ τοῦ· «Ἔβρεξε Κύριος ****** [πῦρ] παρὰ Κυρίου» (καὶ ἐκ τοῦ· «Ἐκάλεσε Κύριος ἐν ὀνόματι Κυρίου») καὶ

---

1. ἔφη Is. ἔφησε B, om. Ced.—τοῦ ὄντως δ. V. 1,2, M. 1,2, Is. τοῦ ὄντος δ. B, Ced. sed cf. l. 11.— 2. ἐ. φησὶν V. 1,2, M. 1,2, Is.— 3. καὶ τ. om. V. 2.—εἰπόντες Is.—4. καὶ θῦ σ. δ. om. V. 1, propter homoioteleuton, sed cf. 1 Cor. I. 24.—5. ὑποστάσει V. 2, M. 1,2. ὑποστάσεων Is.—6. Καὶ π. ὀφείλων π. V. 1,2, M. 1,2. Is. Ced.—7. τοῦ θ. om. V. 2, M. 1,2, θῦ θ. Ced.— * ἐν τῷ βάτῳ Ced.—ἐκφρ ̓σαι V. 1, φησὶ Is.—8. πληκτ. V. 1,2, M. 1,2, Is.; ἐ. ὁ. Ced., V. 1,2, M. 1,2. — ὀλίγα V. 1, Is. — ** δὲ Is. μορφή τις ἣν περικαλλεστάτη τῶν ὁ. ἐμφερὴς ὁ. ἀπαστράπτουσα Is. — 9. οὐδὲν V. 1,2, M. 1,2. — ὑπετόπησεν V. 1,2, M. 1,2, Ced., ὑπετόπασεν Is. B. — 11. ὄντως κ. ὑπ. om. Is. — 12. β. μ.λ. φρ. Π. π. τοῦ χῦ Is., sed Π. φρ. B. — 13. λέγοντος Ced. — Col. I. 15. — *** δὴ Is.—15. ζητεῖν V. 2, ζητεῖ ἡ παρὰ M. 1,2.?— **** καὶ Is. καὶ τῇ οἰκείᾳ Ced. 17. ἐννοείτω V. 2, M. 1,2. — ***** καὶ κακόσχολοι V. 1,2, M. 1,2, Ced. —19. μόνον V. 1,2, M. 1,2, πλειστάτων M. 1,2. —20. ταύτην V. 1,2, M. 1,2, Ced. — προήχθην V. 1,2. — 21. Gen. I. 26. — 22. καὶ τοῦ M. 1,2, Gen. XIX. 24. — ****** θεῖον καὶ Gen. πῦρ om. codd. Is. — 23. καὶ — κῦ om. propter homoioteleuton V. 1,2, M. 1,2, Ced. Ex. XXXIV. 5 ἐκ. (Μωϋσῆς), τῷ ὁ. κῦ

ἐκ τοῦ· «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· κάθου ἐκ δεξιῶν μου» καὶ ἐκ τοῦ *· «Ἔν σοι [ὁ] θεὸς, καὶ σὺ εἶ [ὁ] θεός». Τοὺς γὰρ λέγοντας, ὅτι μυριάκις ἐστιν ἅγιος ὁ θεὸς καὶ τό· «Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος Σαβαὼθ» παρερμηνεῦσαι τολμῶντας λαμπρῶς ἐλεγχει τό· Ἐξεζήτησα τὸ πρόσωπόν σου **, Κύριε, ζητήσω· μὴ ἀποστρέψῃς τὸ πρόσωπον *** ἀπ' ἐμοῦ. Εἰ μὴ γὰρ τὴν ἁγίαν τριάδα ἀνεκήρυττεν, ὁ φράσας περιττολογίας δίκαιος ἂν εἴη ἀπαιτηθῆναι δίκας· οὐ μόνον δὲ ἐν τούτῳ — χρῆναι γὰρ οἶμαι ἐπὶ σαφέστερον ὁρμῆσαι ῥητόν — ἀλλὰ καὶ ἐν τῷ· «Θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου· καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεως καὶ ἐξελοῦμαί σε καὶ δοξάσεις με». Εἰ μὴ γὰρ ἡ τριὰς ἐνταῦθα σαφῶς ἐκηρύττετο, ἐχρῆν ῥηθῆναι· Θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως καὶ ἀπόδος αὐτῷ τὰς εὐχάς σου καὶ ἐπικάλεσαι αὐτὸν ἐν ἡμέρᾳ θλίψεώς σου [καὶ] ἐξελεῖταί σε, καὶ δοξάσεις αὐτόν. Ἀλλ' οὕτω μὲν οὐκ ἐρρέθη· εἴρηται δὲ ὡς εἴρηται. Σαφῶς **** διὰ τούτων καὶ δι' ἄλλων πολλῶν (ἅπερ, ἵνα μὴ μακρὸν ποιήσω τὸν λόγον νῦν παραλείψω τοῖς ἀκούειν δυναμένοις) κηρύττει ἡ παλαιὰ διαθήκη, ὅτι οὐχ ἑνὸς προσώπου σημαίνει δεσποτείαν, ἀλλὰ τριῶν μὲν ὑποστάσεων, μιᾶς δὲ ***** οὐσίας, ἵνα καὶ Ἰουδαίων στηλιτεύσῃ τὴν ὡς ἐφ ἑνὸς προσώπου, οὐχ ὑγιῆ ἔννοιαν, οἷς καὶ Σαβέλλιος ἠκολούθησεν, ἴσως ἐκ τῆς ἄγαν τοῦ υἱοῦ πρὸς τὸν πατέρα ἰσότητος, εἰς τὸ μίαν ὑπόστασιν δογματίσαι νευρωθεὶς καὶ Ἑλλήνων ἐξοστρακίσαι τὴν πολυθεΐαν, ὧν Ἄρειος καὶ Εὐνόμιος ἐάλωσαν εἶναι φοιτηταὶ, τὴν τῶν ὑποστάσεων διαφορὰν εἰς τὴν οὐσίαν παραλόγως ἑλκύσαντες. Εἰ δέ τις φαίη· διὰ τί γὰρ μὴ σαφῶς καὶ διαῤῥήδην

---

1. Ps. CX. 1. — * ὅτι V. 1,2, M. 1,2. Ced.—εἶ om. Ced.—3. Ies. VI. 3.—4. Σαβ. om. Ced. — ** τὸ πρόσωπόν σου Ps. XXVII. 8,9, V. 1,2, M. 1,2, Ced. — *** σου Iüdem. — 9. Ps. L. 14,15. — 11. ἐξελοῦ καί σε Is. ἐξελεύσεται σε V. 2. — καὶ δ. αὐτὸν V. 2, omissis seqq. usq. ad. αὐτόν; καὶ δ. σε M. 1,2. — 13. ἀπ. τῷ ὑψίστῳ V. 1, M. 1,2, Ced. — 14. ἐξελοῦμαί σε M. 1,2. σ. τρ. ἐκ. V. 2. M. 1,2, ὀν. μυστικῶς τρ. Ced. — 8. ὁμνῆσαι V. 1, ἑρμηνεῦσαι τὸ M. 1,2. — 15. Καὶ οὕτω V. 1,2, M. 1,4. — **** καὶ Is. γὰρ καὶ — 16. ἄλλων om. V. 1,2, M. 1,2 Ced. qui adjungit ἑτέρων.—π. ἡ π. κ. V. 1,2, M. 1,2, π. ἡ π. δ. κ. Ced.—18. κηρύττει Is. — ***** οὐ V. 2, M. 1,2, ex οὐσίας.—19. Ἰούδαν V. 2, M. 1,2.—20. ὡς om. V. 2, M. 1,2,—ἠκ. ὃς ἐκ V. 2, M. 1,2. ἠκ. ἴσως δὲ ἐκ. V. 1, Ced.—21. ἰσότατος V. 2.—22. ν. τὴν π. τῶν Ἑ. ἐξωστράκισαν V. 1,2, ν. τὴν π. Ἑ. ἐξωστράκισεν M. 1,2, Ced. — 23. οὐ οἱ φοιτηταὶ Ἀ. καὶ Ἑ. ἐ. τὴν ὑπόστασιν δ. V. 2, M. 1,2. — 26. διὰ τί γὰρ om. Ced.

ἐξ ἀρχῆς ταῦτα κεκήρυκται; φαίην* ὅτι μάλιστα μὲν τοῖς συνετῶς ἀκούουσιν λαμπρά ἐστιν αὕτη καὶ ἀπόδειξις καὶ διδασκαλία, ὡς καὶ τῷ σοφῷ ἔδοξε Φίλωνι· εἰ δὲ καὶ συνεσκιασμένως ἐῤῥέθη, ἐκεῖνο λογίζεσθαι χρὴ, ὅτι Ἰουδαίοις τοῖς εἰς πολυθεΐαν ῥέπουσι νομοθετῶν οὐκ ἐδοκίμασε διαφορὰν προσώπων εἰσαγαγεῖν, ἵνα καὶ μὴ διάφορον (113ᵃ) φύσιν ἐν ταῖς ὑπαστάσεσιν εἶναι δογματίσαντες, εἰς εἰδωλολατρίαν ἑλκυσθῶσιν, ἀλλὰ* τῆς μοναρχίας ἐξ ἀρχῆς μαθόντες μάθημα, κατὰ μικρὸν [τὸ τῶν ὑποστάσεων ἀναδιδαχθῶσι δόγμα, τὸ πάλιν εἰς ἑνότητα φύσεως ἀνατρέχον, ὡς εἶναι τὰ μὲν ἑνικῶς λεγόμενα τῆς ταυτότητος τῆς φύσεως παραστατικὰ, τὰ δὲ ὑπερβαίνοντα τὸν ἑνικὸν ἀριθμὸν], τῆς τῶν ὑποστάσεων ἰδιότητος τῆς εἰς μίαν [οὐσίαν] συναγομένης· τὸ μὲν γὰρ διαφόρους φύσεις ὑποτίθεσθαι, ἑλληνικόν· τὸ δὲ ἓν πρόσωπον ἤγουν μίαν ὑπόστασιν, ἰουδαϊκόν· τὸ δὲ πλατύνοντας εἰς τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα*** ὑποστάσεις εἰς μίαν οὐσίαν συνάγειν, ὀρθότατόν ἐστι καὶ ἀληθινὸν τὸ δόγμα».

(8) Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, ὅτι οὐκ ἔστι φυσικῇ ἀποδείξει κατὰ πάντα παραστῆσαι τῶν ὑπὲρ φύσιν πραγμάτων. Εἰ γὰρ καὶ σὰρξ ἀληθὴς ὁ λόγος ἐγένετο, ἀλλ' οὐ ψιλὸς ἄνθρωπος ὁ Χριστὸς ὁ ἐνανθρωπήσας, μᾶλλον δὲ**** θεὸς ἐξ ἑκατέρων τῶν φύσεων εἷς ὑπάρχων υἱὸς θεοῦ, θεὸς ὑρερούσιος, εἰ καὶ διαῤῥήγνυνται***** οἱ τὸ μεῖζον καὶ ἔλαττον ἐπὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ συγκρίνοντες, ἑτερούσιον τοῦ πατρὸς τὸν υἱὸν καὶ ἀνόμοιον δογματί-

---

* ἂν V. 2, M. 1,2.—1. μαλ. τ. σ. Ced. μαλ. μὲν τ. συνεστῶς V. 2, M. 1,2, μαλ. μέντοι συνεστῶς V. 1.—2. ἁ. ἡ ἀπ. V. 2, M. 1,2.—4. νομοθετοῦντες οὐκ ἐδοκίμασαν V. 1, Ced. νομοθετοῦσα ἡ θεία γραφὴ οὐκ εὐδοκίμασε M. 1,2, sed subintelligendus est Deus vel Moses.—6. διαφόρων Is. sed cf. infra διαφόρους φύσεις.—φύσιν κτλ. iterum incipit cod.—7. ἐκκυλισθῶσιν Is.— ** τὸ Is. V. 1,2, M. 1,2.—8. ἀναδεχθῶσι V. 2, M. 1,2.—δ. διὸ π. V. 1, δ. π. M. 1,2. — 10. τῆς ταυτότητα V. 2. — 11. τὰς τῶν ὑπ. ἰδιότ. codex post omissionem ex simili initio natam; sed genitivus a vocabulo παραστατικὰ subintelligendo pendet.—12. δ. ὑπ. V. 2, διαφερούσας ὑπ. M. 1,2.—14. πλατύνοντα Is., sed πλατύνειν τὰς B. — αγ. τρ. Is. — *** εἰς cod., καὶ Is. B, τὰς V. 2, M. 1,2. Ced. Is. — 15. ἀληθέστατον δ. Is. — 17. K. δέ ἐστι V. 1,2, M. 1,2. — ὅτι om. V. 2, Ced. — φυσικὰς ἀποδείξεις Ced. V. 1,2, M. 1,2. — 20. χς ἐν. V. 1,2, M. 1,2. — **** ὁ V. 2. M. 2,2. — ***** τῶν φ. εἷς ὑπ. ῦς V. 2, M. 1,2 e praecedentibus repetunt. — 22. καὶ υἱοῦ V. 2. — 23. ἑτεροούσιον M. 1,2, Ced. — τὸν ῦν τοῦ πρς V. 1,2, M. 1,2, Ced.

ζοντες· οὐ γὰρ ἴσασιν, ὡς ἔοικεν, ὅτι * μεῖζον καὶ ἔλαττον ἐπὶ τῶν ὁμογενῶν ζητεῖται καὶ κρίνεται, ὡς ἄνθρωπος ἀνθρώπου μείζων καὶ βοῦς βοὸς καὶ ἵππος ἵππου καὶ ἅπαξ ἁπλῶς ὁ κανὼν τῆς συγκρίσεως τοῖς ὁμογενέσιν ἁρμόζει. Ὁ τοίνυν τὰ τοῦ θεοῦ τολμηρῶς περιεργαζόμενος καὶ μείζονα λέγων τοῦ υἱοῦ τὸν πατέρα, τὴν σύγκρισιν ὡς ὁμοούσιον προσίεται, κἂν μὴ βούληται· ἑτερούσια γὰρ ἀλλήλοις συγκρίνεσθαι οὐ δύναται, οὔτε λέγεται μείζων ἄνθρωπος βοὸς ἢ μείζων ἵππος καμήλου ἢ μείζων ὄνος ἰχθύος. Τὰ μέντοι γε τὸν ἑνικὸν ἀριθμὸν ὑπερβαίνοντα ἐν τῇ θείᾳ γραφῇ τῆς τῶν ὑποστάσεών εἰσι διαφορᾶς παραστατικά· τὰ δὲ γενικῶς ἐξενηνεγμένα, τῆς ταυτότητος τῆς φύσεως· τὰ μὲν γὰρ ** εἴρηται, ἵνα Σαβέλλιος καὶ Ἰουδαῖοι ἐπιστομισθῶσι, τὰ δὲ ἵνα Ἄρειος καὶ Εὐνόμιος καὶ Ἕλληνες στηλιτευθῶσιν. Οἱ γὰρ πλατύνοντες μὲν εἰς τὴν ἁγίαν τριάδα τὸν τῶν ἰδιοτήτων ἀριθμόν, συστέλλοντες δὲ εἰς μίαν οὐσίαν, ὀρθότητα δογματίζουσιν καὶ ταῖς τῶν οὐρανίων χρησμῶν ἔπονται διδασκαλίαις ***, μήτε εἰς πολυθεΐαν διὰ τὴν τῆς φύσεως διαφορὰν ἐκπίπτοντες, μήτε εἰς ἰουδαϊσμὸν διὰ τὴν τοῦ ἑνὸς προσώπου σύστασιν ὀλισθαίνοντες. Πῶς δὲ οὐκ ἐρυθριῶσιν οἱ κτίσμασι προσκυνοῦντες καὶ ταῖς ἑαυτῶν μαχόμενοι ψήφοις; ἀπαγορεύοντες γὰρ τὸ μὴ τῇ κτίσει προσκυνεῖν ὡς ἑλληνικόν, αὐτοὶ τοῦτο δρῶντες, ἑαυτοὺς λανθάνουσι. Χρὴ δὲ καὶ τοῦτο εἰδέναι, ὡς οὐ τὰ αὐτὰ ὀνόματα πάντως καὶ τὰ αὐτὰ μηνύει πράγματα, οὔτε ἡ ὁμωνυμία συνωνυμίαν ἐκ παντὸς τρόπου ἐμφαίνει· ἐπὶ μὲν γὰρ τοῦ υἱοῦ κυρίως λέγεται ἡ γέννησις, ἐπὶ δὲ τῶν κτισμάτων καταχρηστικῶς· ἐπ' ἐκείνου μὲν, τῆς ἀληθείας ἕνεκεν καὶ τῆς ὁμοουσιότητος, ἐπὶ δὲ τούτων, τιμῆς χάριν καὶ υἱοθεσίας· «βουληθεὶς γὰρ ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας». Μὴ τοίνυν [ἡ] ὁμωνυμία τὴν ὁμοτιμίαν ἐνταῦθα τικτέτω, μηδὲ τὰ καταχρηστικῶς εἰρημένα κυρίως λελέχθαι

---

* τὸ V. 1. — 2. ὁμοουσίων V. 1, Ced. — 3. ἁπλῶς ἅπαξ V. 2, ἁπλῶς ἅπερ M. 1,2. — συγκλήσεως V. 2, M. 1,2. — 6. ὁμούσιον V. 1. — 10. δ. ἐ. V. 1,2, M. 1,2, Ced. — γεννικῶς cod. ἑνικῶς Ced. M. 2. — ἑνεν. V. 1. — ** ὡς M. 1,2? — 14. συστέλλοντ. cod. συστέλλοντα V. 1, M. 1,2. — 16. ὀρθότατα V. 1,2, Ced. — *** μ. εἰς π. διὰ τὴν τοῦ ἑ. πρ. σ. ὁλ. τῆς φ. δ. ἐκπ. V. 2. repetitum. — 18. Πῶς δὲ καὶ ἐρ. οἱ κτίσμα π. V. 2, M. 1,2. — 19. γὰρ τῷ V. 2. — 22. μηκύνει V. 1,2, M. 1,2. — συνωνυμία V. 2, M. 1,2. — 26. χάριτος M. 1,2. — Jac. I. 18. — 27. Μήτοι ἡ M. 12.

νομιζέσθω, ἐπεὶ καὶ τὸν θυμὸν καὶ τὴν ὀργὴν καὶ τὰ ἄλλα πάντα τὰ τῇ θείᾳ μὴ πρέποντα φύσει καταχρηστικῶς λελεγμένα, οὐκ ἄν τις εὖ φρονῶν κυρίως περιπεφράσθαι φαίη· δῆλον γάρ ἐστιν, ὅτι ἑκάστῳ (113[b]) χωρίῳ καὶ ἑκάστῃ λέξει ἡ πρσήκουσα καὶ ἁρμόζουσα διασάφησις προσαγομένη τὴν ἀλήθειαν ὠδίνει.

(9) Εἰπάτωσαν δέ γε καὶ οἱ εἰς τὸ ἅγιον πνεῦμα βλασφημοῦντες καὶ τῆς θείας οὐσίας αὐτὸ χωρίζοντες πῶς ὁ θεὸς καὶ σωτὴρ ἡμῶν ἐνανθρωπήσας παρέδωκε συμπληρωτικὸν εἶναι τῆς ἁγίας τριάδος τὸ πανάγιον πνεῦμα καὶ [ἐν] τῇ ἐπικλήσει τοῦ θείου βαπτίσματος σὺν πατρὶ καὶ υἱῷ ὡς ἐλευθεροῦν τῶν ἁμαρτημάτων τοὺς ἀνθρώπους ἀριθμούμενον καὶ ἐπὶ τῆς μυστικῆς τραπέζης τὸ σῶμα ἰδικὸν τῆς τοῦ υἱοῦ σαρκώσεως ἀποφαῖνον, πῶς * ἂν εἴη ποιητὸν ἢ κτιστόν ἢ τῆς δουλικῆς φύσεως, ἀλλ' οὐ τῆς δεσποτικῆς καὶ δημιουργοῦ καὶ βασιλίδος οὐσίας συγγενὲς καὶ ὁμοούσιον τὸ ἅγιον πνεῦμα; εἰ γὰρ δοῦλον, μὴ συναριθμείσθω (μετὰ τοῦ δεσπότου· εἰ δὲ καὶ κτίσμα, μὴ συναριθμείσθω) τῷ κτίστῃ· ἥνωται γὰρ καὶ συνηριθμηται, ἐπειδὴ τῷ ἀκριβεῖ τῶν τοιούτων δογματιστῇ Χριστῷ πείθεσθαι προσήκει βεβαίως καὶ ἀσφαλῶς τὰ περὶ τῆς οἰκείας οὐσίας διδάσκοντι· εἰ καὶ τοῖς πνευματομάχοις δοκεῖ σοφωτέροις εἶναι, καὶ τὰ οὐράνια πλέον εἰδέναι θεοῦ, κομπάζοντας ἢ μᾶλλον τολμηρῶς τε καὶ δυσσεβῶς ῥητορεύοντας. Εἰ οὖν ὁ θεῖος Δανιὴλ ἄγγελον θεασάμενος καὶ θαυμάσας τὸ κάλλος καὶ τὸ μέγεθος τοῦ ὀφθέντος πρηνὴς ἔπεσεν ἐκπλαγεὶς τὸ παράδοξον τῆς θέας, ποίαν ἕξουσιν ἀπολογίαν οἱ πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι μεσιτεύειν τολμῶντες καὶ τὴν ἄῤῥητον φύσιν λόγοις ζυγοστατεῖν ἐπιχειροῦντες καὶ φυσιολογοῦντες; Τὴν τοίνυν ἄχρονον καὶ ἀΐδιον καὶ ἀμεσίτευτον καὶ παντὸς λόγου καὶ νοῦ κρείττονα πρόοδον τοῦ υἱοῦ ἀπὸ τοῦ πατρὸς γέννησιν καλοῦσιν αἱ γραφαί, οὐχ ἵνα πάθος ὑπογράψωσιν, ἀλλ' ἵνα τὸ ὁμοούσιον ὑποδείξωσιν· ὁμοούσια γὰρ τῷ ὄντι τὰ τικτόμενα

---

3. περφράσθαι Ced, περιφ. cod. M. 1,2. — 4. χ. ἑκάστη λέξις cod. — 5. ὁδηγεῖ cod. — 6. Ced. 513,3—514,16, Ἐ. δὲ τε M. 1,2. — 10. ἐλευθερούντων V. 2, M. 1,2. 12. ἀποφαίνων V. 2. M. 1,2. — * δ' V. 1. — 15. δ. καὶ εἰ V. 2, δ. εἰ δὲ V. 2. M. 1,2. — 17. ἐπεὶ δὲ V. 1, ἐπὶ M. 1. — 18. διδάσκων M. 1,2. — 25. ζευγ V. 1,2. — 28. καλοῦσαι V. 2, M. 1,2. — 29. ὁμ. καὶ τῷ M. 1,2.

*

τοῖς τίκτουσιν. Ἵνα δὲ μὴ φαντασίαν παθους ἐπικομίσῃ, λόγον προσαγορεύουσιν καὶ ἵνα μὴ νεώτερος ἐπινοηθῇ· «Ἐν ἀρχῇ ἦν ὁ λόγος» φησί, εἶτα καὶ τὴν πρὸς τὸν πατέρα σχέσιν κηρύττουσαι· «Καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν», εἶτα καὶ τὴν ἀξίαν· «[Καὶ] θεὸς ἦν ὁ λόγος»· ἐκ μὲν τοῦ υἱοῦ τὸ ὁμοούσιον, ἐκ δὲ τοῦ λόγου τὸ ἀπαθὲς καὶ ἐκ μὲν τοῦ ἐν ἀρχῇ εἶναι τὸ συναΐδιον, ἐκ δὲ τοῦ πρὸς τὸν πατέρα εἶναι τὴν πρὸς αὐτὸν οἰκειότητα, διὰ δὲ τοῦ θεοῦ εἶναι τὴν ἀξίαν αὐτοῦ καταμαθόντες, καὶ ἐξ ἑκάστου ὀνόματος τὸ μὴ ἐφορμοῦν καὶ ἀπρεπὲς ἀποπεμψάμενοι, οἷον ἀπὸ μὲν τοῦ υἱοῦ τὸ νεώτερον, ἀπὸ δὲ τοῦ λόγου τὸ ἀνυπόστατον * θεὸν ἀΐδιον, ὁμοούσιον ἀπαθῶς καὶ ἀχρόνως ἐκ τοῦ πατρὸς προελθόντα, εἰδείημέν τε καὶ προσκυνήσαιμεν **.

CLXXXVIII. ΠΕΡΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΚΩΝΣΤΑΝΤΙΟΥ ΥΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥ.

338 Μετὰ δὲ *** Κωνσταντῖνον τὸν μέγαν ἐβασίλευσε Κωνστάντιος, ὁ υἱὸς αὐτοῦ, ἐν Κωνσταντινουπόλει ἔτη κα', ὃς μετὰ τὴν τοῦ πατρὸς τελευτὴν εἰς τὸ Ἀρειανικὸν φρόνημα παρασυρεὶς [ὑπὸ Εὐσεβίου τοῦ Παμφίλου διδαχθεὶς] κατεβιάζετο τὸν θεῖον Ἀλέξανδρον Κωνσταντινουπόλεως δέξασθαι τὸν Ἄρειον εἰς κοινωνίαν· τοῦ δὲ μηδὲ ὅλως ἀνεχομένου, ἀλλὰ φάσκοντος· «Ἐγώ, βασιλεῦ, τὸν ὑπὸ τῶν τιη' πατέρων κατακριθέντα καὶ ἀναθεματισθέντα δέξασθαι οὐ δύναμαι», ἔφη ὁ βασιλεύς· «Ὅρα, ὦ ἐπίσκοπε, μὴ [καὶ] ἄκων δέξῃ αὐτόν· (114ᵃ) ἰδοὺ γὰρ καὶ σύνοδον ἐκέλευσα γενέσθαι πρὸς τὸ γυμνασθῆναι τὰ παρ' ἑκατέρων ὑμῶν ἀκριβέστερον». Ὁ δὲ ἅγιος

---

3. κηρύττοντες Ced. V. 1, κηρύττουσα V. 2. — 9. ἀποπεμπόμενοι M. 1.2. — τὸν V. 2.—10. τὸ ἐνυπ. M. 1, καὶ τὸ ἐν. M. 2.—* ἀπὸ δὲ τοῦ cod.—θν τὲ ἀ. τὸ ὁμ. cod. ὁμ. ἀΐδιον ἀπ. V. 1, θν, αἰδ. ὁμ. καὶ ἀγαθὸν ἀπ. Ced. — 11. ἰδοίη μὲν M. 1,2. — ** τέλος τὰ περὶ τοῦ μεγάλου Κωνσταντίνου Scholion codicis.—13. ΜΓ'. Ἀρχὴ τῆς βασιλείας Κωνσταντίου V. 1, Βασιλεία K. V. 2, π. τῆς β. K. M. 1, Ἀρχὴ τῆς — Κωνσταντίνου M. 1. — 15. Glyc. 468,16—20. — *** γε V. 1. — 15. K. ἐβ. K. V. 1,2. — K. ὗς ἀ. ἐ. ια' V. 1. ἔτος cod. — 17. παρ. κατεβ. V. 1, Slav. — 19. δὲ μὴ ἀν. παντελῶς V. 1,2, M. 1,2. — 20. ὑπό τιη' V. 1,2, M. 1,2. — 24. ἀκριβέστερα M. 2. — 24. ἁγ. ἐπ. Ἀλ. V. 1,2, M 1.2.

Ἀλέξανδρος ὁ ἐπίσκοπος ἀνέστη εὐθὺς καὶ ἐξῆλθεν ἀπὸ προσώπου τοῦ βασιλέως λέγων· «Τὸ θέλημα τοῦ Κυρίου γενέσθω». Καὶ ἐλθὼν εἰς τὴν ἐκκλησίαν καὶ ἐπιπεσὼν τῷ ἁγίῳ θυσιαστηρίῳ δι' ὅλης τῆς νυκτὸς ἐβόα πρὸς τὸν θεὸν μετὰ δακρύων λέγων· «Κύριε ὁ θεός, μὴ συγχωρήσῃς τῷ ἀναιδεῖ λύκῳ καὶ ἅρπαγι εἰσελθεῖν εἰς τὴν ἁγίαν ἐκκλησίαν σου, ἀλλὰ δίκασον ἐνδίκως τὸν ἄδικον ἐν ταχει». Τῇ δὲ ἐπαύριον τῆς συνόδου συγκροτηθείσης ἐν τῇ ἐκκλησίᾳ, ὁ Ἄρειος ἐρχόμενος μετὰ πάντων τῶν ὁμοφρόνων αὐτοῦ, εἰσῆλθεν ὡς διὰ χρείαν τῆς γαστρὸς εἰς οἶκον τινὸς ὄπισθεν τοῦ φόρου, ἐν ᾧ δὴ τόπῳ κατὰ τὸ ἀδόμενον πρηνὴς γενόμενος, ἐξελάκησε καὶ ἐξεχύθη πάντα τὰ σπλάγχνα αὐτοῦ, καὶ ἀμφοτέρων διῆμαρτεν ὁ δείλαιος, τῆς τε κοινωνίας καὶ τῆς παρούσης ζωῆς. Καὶ ὁ μὲν Ἄρειος οὕτω κατέστρεψε τὸν βίον· οἱ δὲ ὁμόφρονες αὐτοῦ μεγάλως ἠσχύνθησαν καὶ διεσκορπίσθησαν. Ὁ δὲ ποιμὴν ὁ καλὸς, ὁ μακαρίτης Ἀλέξανδρος, τῆς ἐκκλησίας χαιρούσης, τὴν ἁγίαν σύναξιν ἐπετέλεσιν.

(2) Οἱ δὲ τοῦ μεγάλου Κωνσταντίνου ἀνεψιοὶ, Γάλλος καὶ Ἰου- 339
λιανὸς ἀναγνῶσται γεγόνασιν ἐν Ἀντιοχείᾳ· ἐκκλησίαν δὲ τῷ μάρτυρι Μάμαντι κτίσαι προθυμηθέντων, ἐν ᾧ μέρει κτίζειν Ἰουλιανὸς ἔλαχεν, ἡ γῆ τοῦτο οὐκ ἐδέχετο· πανημέριος γὰρ οἰκοδομὴ, ἐδαφισμένη τῇ ἐπιούσῃ ηὑρίσκετο, καὶ τὴν διαστρεφὴν τῆς γνώμης τοῦ ταλαιπώρου ἡ ἄψυχος ὕλη προεδήλου.

(3) Ὃς καὶ τὴν κόμην ἀποκειράμενος καὶ μοναδικὴν ἄσκησιν ὑποκρινάμενος εἰς Ἀθήνας κατῆλθε τῆς βασιλείας ἐφιέμενος καὶ τὴν Ἑλλάδα περιερχόμενος μάντεις ἐπεζήτει καὶ χρησμολόγους εἰ τεύξεται τοῦ ποθουμένου· καὶ δὴ περιτυγχάνει ἀνθρώπῳ δυσσεβεῖ

---

3. προσπεσὼν V. 1. — ὁλ. ν. V. 1. — 4. λ. μ. δ. V. 1. — 8. τῶν — γαστρὸς om. V. 2. M. 1,2. — 10. ᾧ τ. V. 1. — κ. τὸ λεγόμενον V. 1,2, M. 1,2. — γ. ἐξαίφνης ἐλ. μέσος καὶ ἐξ. V. 1,2. — 17. Ced. 521,12—522,2 τῷ β' ἔτει, Glyc. 469,1—4, Greg. III 48 D. — 20. ἔλεγχεν M. 2, ἔλαγχεν M. 1. — τοῦτον M. 1,2. — πανημέρι. γὰρ οἰκοδομ. cod. πανημέριον γὰρ οἰκοδομῶν V. 1,2, M. 1,2. — ἐδαφισμένον V. 2, M. 1,2, ἠδαφισμένων V. 1, ἐδαφισ. cod. — 23. Ced. 524,19—525,10: Τὸν δὲ τούτου ἀδελφὸν Ἰουλιανὸν ἐν φρουρᾷ κατέσχεν (τῷ ιη' ἔτει)· Εὐσεβία δὲ ἡ γαμετὴ τοῦ βασιλέως τοῦτον ἐξαιτησαμένη ἐν Ἀθήναις πέμπει· τὴν Ἑλ. δ. π. cf. Greg. III. 71, C. — 25. εἰ τεύξασθαι M. 2 (ἐν ,ἐντεύξεται M. 1. — 26. ἐπιπ. V. 2, M. 1,2.

ταῦτα προλέγειν ὑπισχνουμένῳ, ὃς τοῦτον εἴς τινα τῶν εἰδωλικῶν καταδύσεων καταγαγὼν, τοὺς ἀπατεῶνας ἐκάλεσε δαίμονας· ἐκείνων δὲ μετὰ τῆς συνήθους φαντασίας ἐπιφανέντων, ἠνάγκασε τοῦτον ὁ φόβος ἐπιθεῖναι τῷ μετώπῳ τὸ τοῦ σταυροῦ σημεῖον, ὅπερ ἰδόντες * ἀφανεῖς ἐγένοντο. Συνεὶς οὖν ὁ γόης ἐκεῖνος τῆς φυγὴν αὐτῶν τὴν αἰτίαν ἐπεμέμψατο τούτῳ λέγων· «Οὐ φοβηθέντες, ὡς σὺ νομίζεις, ἀλλὰ βδελυξάμενοι τὸ παρὰ σοῦ γενόμενον ἀνεχώρησαν». Οὕτω βουκολήσας τὸν αἰχμάλωτον ἐμύησέ τε καὶ τοῦ μύσους ἐνέπλησε· αἵμασι γὰρ μυσαροῖς ἀπολουσάμενον τὸ θεῖον βάπτισμα καὶ ἡ τῆς βασιλείας ἐπιθυμία τῆς εὐσεβείας ἐγύμνωσε τὸν ἄθλιον.

336 (4) Εἶτα Κωνστάντιος τοῦτον μεταστειλάμενος καὶ ἀναγορεύσας τοῦτον Καίσαρα σὺν αὐτῷ κατὰ Περσῶν ἐξώρμησε· ὑποστρέφων ** τοῦτον αὐτοκράτορα καταλείψας, ἀπέθανεν ἐν Κιλικίᾳ.

(5) Ἐφ' οὗ Εὐνόμιος καὶ Φωτεινὸς καὶ Μακεδώνιος καὶ Ἀπολιναρίος οἱ αἱρεσιάρχαι ἐγνωρίζοντο.

(6) Καὶ τὰ λείψανα τῶν ἁγίων ἀποστόλων Ἀνδρέου καὶ Λουκᾶ καὶ Τιμοθέου ἀνεκομίσθησαν ἐν Κωνσταντινουπόλει.

(7) Καὶ Φλαβιανὸς Ἀντιοχείας διχῇ τοὺς ψαλλόντων χοροὺς διελὼν ἐκ διαδοχῆς τὴν δαυιδικὴν ἐδίδαξε πρῶτος ᾄδειν μελῳδίαν (ὅπερ ἐν Ἀντιοχείᾳ πρῶτον ἀρξάμενον παντόσε διέδραμε τῆς οἰκουμένης τὰ πέρατα).

343 (8) Καὶ ἡ ἐν Σαρδικῇ καὶ ἡ ἐν Γάγγραις ἐγένοντο σύνοδοι, ἡ μὲν κατὰ Μαρκέλλου καὶ Φωτεινοῦ, ψιλὸν ἄνθρωπον τὸν Χριστὸν βλασφημοῦντος, ἡ δὲ κατὰ τῶν μαθητῶν Εὐσταθίου τοῦ Σεβαστείας, οἱ καὶ Μα(114^{b})σαλιανοὶ λεγόμενοι.

---

3. τούτων V. 1. — 4. τοῦ στ. τὸ σ. V. 1,2, M. 1,2, Ced. — * οἱ δαίμονες cod. — 5. ἀφ. αὐτίκα γεγόνασι V. 1,2, Ced. M. 1, ἀφ. γ. ἀ. M. 2. — γ. τῆς V. 2, M. 1,2. — 6. ἐπέμψατο V. 2, ἐμεμψ. M. 2, ἐμέμψω ὁ M. 1. — τοῦτον V. 1,2, M. 1,2. cod. — 8. ἀνεπλ. V. 2, M. 1,2. — 9. ἀπολουσάμ. cod. ἀπολουσάμενον V. 1,2, M. 1,2. — β. ἡ τῆς Ced. β. τῇ τῆς V. 1, β. καὶ τῆς V. 2, M. 1,2. — 12. ἀν. K. V. 1,2, M. 1,2, cf. CXC. 1. quatuor annos et sex menses ante Constantii mortem. — ** δὲ V. 1,2, M. 1,2. — 17. Ced. 518,8—10 in Constantino. — 18. εἰσῆλθον V. 1,2, M. 1,2; εἰσήγαγε Ced. — 19. Ced. 530,20—22, Glyc. 469,4—7. — 21. ἀρξαμ. cod. ἀρξάμενοι M. 1,2. — 21. πανταχόσε V. 1, παντὸς V. 2, M. 1,2. — 22. τέρματα 1,2. — 23. Ced. 514,19; 547,20? — σύνεδροι V. 2. — 26. Μεσ. cod. V. 1,2, M. 1,2, h. l. sed c. seq. Μασ.

(9) Καὶ ὁ μέγας Ἐφραῖμ ἔργῳ καὶ λόγῳ διέπρεπε, ὃς καὶ πολλὰ συγγράμματα καταλέλοιπε, ἐν οἷς φασι καὶ τριακοσίας μυριάδας ἐκδέδωκε στίχων εἰς τὸ ψάλλειν συριστὶ καὶ τοὺς ἐκ τῆς πλάνης τοῦ Βαρδησιανοῦ προσεπισπάσασθαι διὰ τοῦ μέλους καὶ τῆς ἡδυτάτης συμφωνίας· ἐκβιασθεὶς δὲ [καὶ] πρεσβύτερος ἐχειροτονήθη ὑπὸ τοῦ μεγάλου Βασιλείου, ὃς καὶ ἐποίησεν αὐτὸν δι' αἰτήσεως λαλῆσαι τὴν ἑλληνίδα γλῶτταν ἀκωλύτως.

(10) Καὶ τὸ σωμεῖον τοῦ σταυροῦ ἐφάνη ἐν τῷ οὐρανῷ ἀπὸ τοῦ τόπου τοῦ ἁγίου κρανίου μέχρι τοῦ ὄρους τῶν ἐλαιῶν διῆκον, περὶ οὗ καὶ φέρεται πρὸς Κωνστάντιον ὑπὸ Κυρίλλου Ἱεροσολύμων ἀναφορά.

CLXXXIX. ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΜΑΣΣΑΛΙΑΝΩΝ ΑΙΡΕΣΕΩΣ.

Οἱ τοίνυν Μασσαλιανοὶ τουτέστιν Εὐχῖται καὶ Ἐνθουσιασταὶ λεγόμενοι ἀπὸ Ἀδελφιοῦ καὶ Δαδῴη καὶ Σάβα καὶ Συμεῶνος καὶ Ἑρμᾶ τῶν αἱρεσιαρχῶν (τὴν πονηρὰν καὶ ψυχώλεθρον αἵρεσιν ταύτην μετέλαβον)· ἀφ' ὧν ὁ μέγας Φλαβιανὸς Ἀντιοχείας ἐπίσκοπος (ἐπὶ τὸ αὐτὸ) μοναχοὺς συναθροίσας * πολλοὺς ** τὴν αἵρεσιν ἐξαρνουμένους, τόνδε τὸν τρόπον διῆλεγξε. Ἐπέσημον γάρ τινα παρ' αὐτοῖς γέροντα, ὀνόματι Ἀδελφιὸν παραλαβὼν κατ' ἰδίαν, ἔφη πρὸς αὐτὸν μετὰ πανουργίας· «Ἡμεῖς μέν, ὦ πρεσβῦτα, τὸν πλεῖον βεβιωκότες βίον, ἀκριβέστερον καὶ τὴν ἀνθρωπείαν ἐμάθομεν φύσιν καὶ τὰ τῶν ἀντιπάλων δαιμόνων ἐγνωμεν εὖ μάλα μηχανήματα· πεῖρα δὲ καὶ τὴν τῆς χάριτος ἐδιδάχθημεν χορηγίαν· οὗτοι δὲ νέοι

---

1. περὶ τοῦ ἁγίου Ἐφραίμ· Cod. 530,18,19.—διέτρεψεν V. 1, ἐπρ. M. 1,2.— 3. στοίχων V. 2, M. 1, στοιχείων M. 2.—Σύροι cod. Σύρους V. 1,2, M. 1,2.—8. Cod. 528,4—10, Glyc. 469,14—22.—ἀπὸ τοῦ ἁγ. κρ. τ. Ὑ. 1.—12. Lemma V. 1; Αὕτη ἐστὶν ἡ τῶν Βογομίλων αἵρεσις cod. in margine; Π. τῶν Μασ. αἱρέσεων V. 2; Π. Μασ. M. 1,2?)—13. Cod. 514,18—516,11.—14. Δαδόη V. 1, Δαδῶν V. 2.—Σάββα V. 1.—καὶ Συμεὼν τῶν V. 1, Cod. — * δῆθεν V. 1. — ** καὶ V. 1. ἐξαρνούμενος V. 1, ἐξαρνούμενοι V. 2, M. 1,2. — 17. ἐξαιρουμ. cod. in m. ὅρα πῶς σοφώτατα ὁ μέγας Φλαβιανὸς τὸν αἱρετικὸν ἐμηχανήσατο ἐξειπεῖν τὴν αἵρεσιν αὐτοῦ· ὅρα αἱρεττικόν.— 18. τόνδε τρ. V. 1, cod. — 19. γερ. παρ. V. 1. Cod. Slav. — 20. πρεσβύτ. cod. πρεσβύτατε M. 1,2. — τὸν om. V. 1. — 21. ἀκριβέστατον V. 2, M. 1,2.

ὄντες καὶ τούτων ἀκριβῶς οὐδὲ ἐπιστάμενοι πνευματικώτερον ἐπακοῦσαι λόγον οὐ φέρουσιν· οὐκοῦν εἰπέ μοι, πῶς φατὲ καὶ τὸ ἐναντίον πνεῦμα ὑποχωρεῖν καὶ τοῦ παναγίου πνεύματος τὴν χάριν ἐπιφοιτᾷν διὰ τῆς ὑμετέρας εὐχῆς καὶ ἐπιτηδεύσεως; Ὁ δὲ τοῖς λόγοις τούτοις καταθελχθεὶς ἐξήμεσεν ἅπαντα τὸν κεκρυμμένον ἰὸν καὶ φυχοφθόρον καὶ φησίν. «Οὐδεμίαν μὲν ἐκ τοῦ βαπτίσματος ἴσμεν ὠφέλειαν τοῖς ἀξιουμένοις ἐγγίνεσθαι, μόνην δὲ τὴν σπουδαίαν εὐχὴν τὸν ἔνοικον καὶ συνουσιωμένον δαίμονα ἐξελαύνειν· ἕλκει γὰρ ἕκαστος τῶν τικτομένων ἐκ τοῦ προπάτορος (ἔλεγεν), ὥσπερ τὴν φύσιν, οὕτω δὴ καὶ τὴν τῶν δαιμόνων δουλείαν, ὧν ὑπὸ τῆς σπουδαίας εὐχῆς ἐλαυνομένων ἐπιφοιτᾷ λοιπὸν τὸ ἅγιον πνεῦμα ὁρατῶς καὶ αἰσθητῶς καὶ τὴν οἰκείαν παρουσίαν φανερώτατα σημαῖνον· καὶ τὸ μὲν σῶμα τῆς ἐμπαθοῦς κινήσεως εὐθὺς ἐλευθεροῦται παντελῶς· ἡ δὲ ψυχὴ τῆς ἐπὶ τὸ χείρω τροπῆς τέλειον ἀπαλλάττεται, ὡς μηκέτι δεῖσθαι λοιπὸν μήτε νηστείας πιεζούσης τὸ σῶμα μήτε διδασκαλίας χαλινούσης τὴν ψυχὴν καὶ τὸν νοῦν (καὶ βαίνειν εὐτακτα παιδευούσης ἀπὸ πάσης ἐνεργείας πονηρᾶς καὶ ἐνθυμήσεως· οὐ μόνον δὲ ὁ τῶν τοιούτων τετυχηκὼς τῶν τοῦ σώματος καὶ τῆς ψυχῆς [ὁ τοιοῦτος] ἀπαλλάττεται παθῶν καὶ αἰσχίστων σκιρτημάτων, ἀλλὰ καὶ τὰ μέλλοντα σαφῶς προβλέπει καὶ τὴν ἁγίαν τριάδα ὀφθαλμοφανῶς θεωρεῖ καὶ θεολογίας καὶ θείων μυστηρίων ἀξιοῦται». Οὕτως ὁ θεῖος Φλαβιανὸς τὴν (μυσαροτάτην καὶ) δαιμονιώδη αἵρεσιν ἀνορύξας (καὶ γυμνώσας) ἔφη πρὸς τὸν δυσσεβέστατον γέροντα· «Πεπαλαιωμένε (115ᵉ) κακῶν ἡμερῶν, ἤλεγξέ σε τὸ σὸν μιαρώτατον στόμα, καὶ οὐκ ἐγώ, καὶ τὰ σὰ διεφθαρμένα καὶ ἀκάθαρτα χείλη καταμαρτυροῦσί σου». Φανερωθείσης δὲ τῆς σατανικῆς καὶ βδελυρᾶς ἀπάτης καὶ αἱρέσεως ταύτης, τῆς μὲν Συρίας ἐξηλάθησαν, εἰς δὲ τὴν Παμφυλίαν ἐχώρησαν καὶ ταύτην τῆς λώβης ἐπλήρωσαν *.

1. ὁ. ἀκρ. V. 1. — ἀκ. V. 1. — 2. ὅπως V. 2, M. 1,2. — 4. ἡμετ. V. 1,2, M. 1. — 8. ἕλκειν V. 2, M. 1,2. — ἕκαστον V. 1,2, M. 1,2. cod. Ced. — ἔλεγεν om. V. 1, Ced. — 11. ἐλαυνόμενον M. 1,2. — 14. τὰ V. 1,2, M. 1,2, Ced. — 16. καὶ β. ἐ. π. om. V. 1, Ced. — 18. μόνοις M. 1,2. — ὁ τῶν τ. τ. om. V. 1, Ced. ὁ τούτων τετ. V. 2, M. 1,2. — 19. ἀ. π. καὶ σκ. Ced. π. ἀ. καὶ σκ. V. 1,2, M. 1,2. — καὶ τῆς ψ.— καὶ τὴν om. V. 2.— 21. ἀξιοῦνται· οὗτος V. 2.—25. σὸν om. V. 2, M. 1,2.—27. καὶ νόσου τ. V. 1,2, M. 1,2. — 28. Συρίας om. V. 2, M. 1,2. — ἐξηλάθη—ἐχώρη ἐπλήρω cod.—ταύτης V. 2, M. 1,2. — * νῦν δὲ σχεδὸν εἰπεῖν καὶ τὴν πλείονα δύσιν. cod.

(2) Ἐν δὲ ταῖς ἡμέραις Κωνσταντίου ἦν τάραχος οὐκ ὀλίγος ἐν ὅλῃ τῇ οἰκουμένῃ διὰ τὸ βουληϑῆναι περιαιρεῖν τὸ ὁμοούσιον ἐκ τοῦ συμβόλου τῆς πίστεως. Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν ϑαῦμα γέγονεν ἐν Ἱεροσολύμοις πάντα λόγον ὑπερβαῖνον· ἐπειδὴ γὰρ ἐν τῇ τῶν δογμάτων διαφωνίᾳ ἐκκοπὴ γέγονε τῶν προσερχομένων τῇ πίστει σκανδαλιζομένων ἐπὶ τῇ τῶν ἱερέων διαφονίᾳ καὶ φιλονεικίᾳ οὐρανόϑεν ἔδειξεν ὁ τῶν ϑαυμασίων ϑεὸς, ὅτι οὐχ ὁ λόγος τῆς εἰς αὐτὸν πίστεως αἴτιος τῶν σκανδάλων, ἀλλὰ τῶν ἀδοκίμων ἱερέων ἡ σκαιότης καὶ τῆς κακίας τῆς αὐτῶν γνώμης ἡ ἀδιακρισία· τοιγαροῦν φαίνεται ἐπάνω τοῦ ἁγίου Γολγοϑᾶ, ἡμέρας μὲν οὔσης [καὶ τῆς πεντηκοστῆς περὶ τρίτην ὥραν], παμμεγέστατος σταυρὸς ἐκ φωτὸς κατεσκευασμένος καλύπτων τὴν τοῦ ἡλίου λαμπρότητα τῇ ὑπερβολῇ τοῦ φωτὸς, ἐν ὀφϑαλμοῖς πάντων τῶν τὴν πόλιν οἰκούντων μικρῶν τε καὶ μεγάλων, πιστῶν τε καὶ ἀπίστων. Κύριλλος δὲ ἦν ὁ σοφώτατος τηνικαῦτα τῆς Αἰλίας ἐπίσκοπος, τὸν ὁμολογητὴν Μάξιμον διαδεξάμενος. Τούτου σώζονται κατηχήσεις ιη' εὐδοκίμως συγγεγραμμέναι, ἐν αἷς τὸ σύμβολον τῶν ἁγίων πατέρων κατὰ λέξιν συνετῶς ἑρμηνεύσας, μνήμην τῆς τοῦ ὁμοουσίου λέξεως οὐκ ἐποιήσατο, τῶν παραδυναστευόντων τότε τὰς ἀφορμὰς ὑφορώμενος· ἔμεινε δὲ ὅμως ἐκ τῶν ἀγράφων συνηγόρων τῇ ὀρϑοδοξίᾳ. Οὗτος ἔγραψε τῷ βασιλεῖ Κωνσταντίῳ περὶ τοῦ γενομένου σημείου. Ἄμεινον δὲ τὰ περὶ τούτου διδάξει αὐτὰ τὰ τοῦ ἐπισκόπου τὰ γράμματα ἔχοντα τάδε· α'Ἐπὶ μὲν γὰρ τοῦ ϑεοφιλεστάτου — Κωνσταντίνου, τοῦ σοῦ πατρὸς, τὸ σωτήριον τοῦ σταυροῦ ξύλον ἐν Ἱεροσολύμοις ηὕρηται — ἐπὶ δὲ σοῦ, δέσποτα πανευσεβέστατε — οὐκ ἐκ γῆς λοιπὸν, ἀλλ' ἐξ οὐρανοῦ τὰ ϑαυματουγήματα καὶ τοῦ Κυρίου * ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ μονογενοῦς υἱοῦ τοῦ ϑεοῦ, τὸ **

---

1. Ἐν ταῖς V. 2, qui hanc variantem relationem c. LXXXVIII. 10 eidem subjungit f° 88, M. 1,2? — 2. β. Κωνσταντιον περιελεῖν V. 2, M. 1,2? — 3. ἐκ. τὸν V. 2. — 6. ἱερέων φ. V. 2, M. 1,2. — 9. καὶ ἐκ τῆς κακίστης γν. αὐτῶν ἡ V. 2, M. 1,2. — 10. φαίνει V. 2. M. 1,2. — ἡ. μεσούσης cod. ἡ. ὁ. V. 2, M. 1,2.—16. ἀναδεξ. M. 1,2. — 18. μνήμης V. 2. — 19. συσκευὰς V. 2. M. 1,2. — 23. Epistola ad C. 3,4 Ἐπὶ μὲν τοῦ V. 2. — 25. ἐώρηται V. 2. — 26. ἀπὸ γῆς Cyr. — * καὶ σωτῆρος Cyr. — 27. ιῦ τοῦ μ. V, 2. — τοῦ ϑῦ om. V. 2, M. 1,2. — ** τῆς Cyr.

κατὰ τοῦ ϑανάτου* τρόπαιον, ὁ μακάριος λέγω σταυρὸς, φωτὸς μαρμαρυγαῖς ἀπαστράπτων ἐν Ἱεροσολύμοις ὤφϑη. Ἐν γὰρ ταῖς ἁγίαις ἡμέραις ταύταις τῆς ἁγίας ν', νώναις Μαΐαις, περὶ τρίτην ὥραν παμμεγέστατος σταυρὸς ἐκ φωτὸς κατεσκευασμένος ἐν οὐρανῷ ὑπεράνω τοῦ ἁγίου Γολγοϑᾶ** μέχρι τοῦ ἁγίου ὄρους τῶν ἐλαιῶν ἐκτεινόμενος ἐφαίνετο, οὐχ ἑνὶ καὶ δευτέρῳ μόνῳ φανείς, ἀλλὰ παντὶ τῷ τῆς πόλεως πλήϑει φανερώτατος δειχϑείς, οὐδ' ὡς ἄν τις νομίσειεν, ὀξέως, κατὰ φαντασίαν παραδραμών, ἀλλ' ἐπὶ πλείοστν ὥραις ὑπὲρ γῆν ὀφϑαλμοφανῶς ϑεωρούμενος καὶ ταῖς ἀπαστραπτούσαις μαρμαρυγαῖς τὰς ἡλιακὰς ἀκτίνας νικήσας· οὐ γὰρ ἂν ὑπ' αὐτοῦ νικώμενος ἐκαλύπτετο, εἰ μὴ δυνατωτέρας ἡλίου τοῖς ὁρῶσιν παρεῖχε τὰς λαμπηδόνας, ὡς ἅπαντας μὲν*** ἑξαυτῆς εἰς τὴν ἁγίαν ἐκκλησίαν συνδραμεῖν τὴν πόλιν τῷ τῆς ϑεοπτίας φόβῳ****, νέων τε ἅμα καὶ πρεσβυτέρων, ἀνδρῶν (115b) τε καὶ γυναικῶν ἐκ πάσης ἡλικίας καὶ μέχρις αὐτῶν ἤδη τῶν ϑαλαμευομένων νεανίδων, ἐντοπίων τε καὶ ξένων, χριστιανῶν τε καὶ Ἑλλήνων καὶ ἀλλαχόϑεν ἐπιδημούντων ἐϑνικῶν, ὁμοϑυμαδόν τε πάντων ὡς ἐξ ἑνὸς στόματος Ἰησοῦν Χριστὸν τὸν Κύριον ἀνυμνούντων, τὸν υἱὸν τοῦ ϑεοῦ τὸν μονογενῆ, τὸν ϑαυματοποιὸν, ἔργῳ τε καὶ πείρᾳ παραλαβόντες, ὅτι τὸ χριστιανῶν δόγμα «οὐκ ἐν πειϑοῖς σοφίας ἐστὶ λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως», οὐχ ὑπ' ἀν-

---

* νίκης Cyr. — 2. μαρμαρυγ. cod. μαρμαρυγὶς V. 2, M. 1,2. — ὡ. ἐν Ἱ. V. 2, M. 1,2. — 3. τ. ἡ. Cyr. ἡ. ταύτης V. 2, M. 1,2. — 7° Maji, in quem festum pentecostes numquam cadere potuit, quum inter X. Maji et XIII. Junii tantum locum habeat. Anno vero 351 vel sub initium episcopatus Cyrilli, quo haec epistola scripta est, pentecoste fuit 19° Maji; notatur igitur quinquaginta dierum inter pascha et pentecosten unus. — 4. παμμεγέϑης Cyr. — ** καὶ V. 2, M. 1,2. Cyr. — 5. ὁ. ἐλ. M. 1,2. — 6. μόνον Cyr. — 7. φανερώτατα Cyr. — 8. νοήσειεν Cyr. — 10. κινήσας V. 2. — ἢ πῶς γὰρ V. 2, M. 1,2. — αὐτῶν Cyr. — 11. δ. τοῖς V. 2, M. 1,2. — 12. ἅπαν cod. Cyr. qui vero habet ἐπιδραμεῖν τὸ τῆς πόλεως πλῆϑος; ἅπαντας ὁμοῦ M. 1,2; ἅπασαν? nisi τὴν π. in τῆς πόλεως cum V. 2, M. 1,2, mutare vis. — *** ἀϑρόως Cyr. — 13. ϑεοπιστίας V. 2, M. 1,2. — **** μετ' εὐφροσύνης κατασχεϑὲν νέων ἅμα γ. καὶ π. Cyr. — 15. αὐτῆς M. 1. — 3. κορῶν V. 2, M. 1,2, κατ' οἴκους ϑ. κ. Cyr.— 16. χ. τε ἅμα καὶ ἀλ. V. 2, M. 1,2. χ. τε ἅμα καὶ τῶν ἀλ. Cyr. — 17. ὁμ. δὲ V. 2, M. 1,2, Cyr. — χ̃ν om. M. 1,2, ante ἵν Cyr. — ***** ἡμῶν Cyr. — 18. ὑμν. M. 2, ἀνυμν. post ϑαυμ. — 19. παραλαβόντων ὅτι χ. τὸ δ. τὸ πανευσεβὲς Cyr. — 20. 1 Cor. II. 13. — 21. ἀπ. λόγων καὶ V. 2, M. 1,2.

ϑρώπων μόνον καταγγελλόμενον, ἀλλ' ἐξ οὐρανοῦ ϑεόϑεν μαρτυρούμενον». — Καὶ ταῦτα μὲν ὁ ἐπίσκοπος· ἐκ δὲ ταύτης τῆς παραδοξοποιΐας πολλαὶ χιλιάδες προσετέϑησαν τῷ λόγῳ τῆς πίστεως.

CXC. ΒΑΣΙΛΕΙΑ ΙΟΥΛΙΑΝΟΥ ΤΟΥ ΠΑΡΑΒΑΤΟΥ.

Μετὰ δὲ Κωνστάντιον ἐβασίλευσε Ἰουλιανὸς* ἔτη β'**, 361
Καῖσαρ δὲ γέγονεν ἔτη δ' καὶ μῆνας ς', ἐξάδελφος ὢν Κωνσταντίου, ὃς ἐτράφη ὑπὸ Εὐσεβίου τοῦ Νικομηδείας ἐπισκόπου· ἦν δὲ*** βραχὺς τὸ σῶμα**** καὶ ὕπνου μὲν καὶ τροφῆς καὶ ἀφροδισίων ὅτι μάλιστα ἐγκρατής, τῷ δὲ ἄλλῳ τρόπῳ [σκαιὸς] καὶ πρὸς εὐσέβειαν πονηρός· (τοῖς γὰρ χριστιανῶν μυηϑεὶς μυστηρίοις, ὕστερον αὐτὰ παριδὼν) τὸ τῶν Ἑλλήνων προείλετο καὶ τὸ ἅγιον βάπτισμα αἵματι ϑυσιῶν ἀπεπλύνατο (ὃς κατὰ συγχώρησιν***** ϑεοῦ παραλαβὼν τὴν βασιλείαν) ἐποίει καὶ τὰ λοιπὰ ὅσα οἱ (τοῦτον κινοῦντες) δαίμονες ἐϑεραπεύοντο (ὅϑεν οἱ τῶν εἰδώλων ὑπασπισταὶ ἀναϑαῤῥήσαντες, ἀνέῳξαν μὲν τοὺς εἰδώλων ναοὺς καὶ τὰς μυσαρὰς ἐπετέλεσαν τελετάς, τοὺς δὲ ϑείους ναοὺς κατέστρεψαν καὶ τοὺς χριστιανοὺς δεινῶς ἐμάστιζον).

(2) Ἐφ' ὧν χρόνων καὶ Πορφύριος ὁ Τύριος ὑπάρχων πολλὰ κατὰ τῆς πίστεως ἡμῶν ἐμμανεὶς, ἐλύττησε· χριστιανὸς γὰρ γε-

---

1. ουνων Cyr.—2. καὶ διὰ τ. V. 2, M. 1,2.—4. Sic lemma V. 2, MΔ. Ἀρχὴ τῆς βασιλείας Ἰ. τοῦ π. V. 1, M. 2, περὶ τῆς β. Ἰ. M. 1, evanuit in codice. — * ὁ παραβάτης V. 1.— ** ἥμισυ, sed a 3 Nov. ad 26 Iunii a. 363 sunt anni duo demto dimidio, non addito.—6. Καῖσ.—ἀνεπλ. om. V. 1, Slav.—ἐγεγόνει V. 2, M. 1,2.—ἐξ. δὲ Κ. ὃς V. 2, ἐξ. δὲ Κ. ἦν ὃς M. 1,2. — 8. ἦν γὰρ V. 2, M. 1,2. — *** Ἰουλιανὸς Ced. 531,22. — τὸ σ. βρ. Ced. — **** εὐπώγων, τετανόϑριξ Leo. ἐ. μελανόϑριξ Ced. — 9. ἐγ. φιλοδοξάτατός τε καὶ τῷ κατ' ἐ. π. Ced. — 10. χριστιανοῖς V. 2, M. 1,2. — 11. αὐτὸν cod. — ***** τοῦ V. 2.—14. καὶ πάντα ποιῶν οἷς οἱ δ. Ced.—τοιοῦτον M. 2.—ἐϑ. δ. V. 1,2, M. 1,2. — 15. ἀναϑαρσισ. cod. — 16. σηκοὺς V. 1,2, M. 1,2. — ἐπετέλε· cod. ἐπετέλουν V. 1,2, M. 1,2. — 17. κατέστρε. cod. κατέστρεφον V. 1,2, M. 1,2. — ἐμάστιξαν? Ἐπὶ τούτου ἐμαρτύρησεν ὁ ἅγιος Εὐσίγνιος καὶ Ἰω. ὁ στρατιώτης, Ἀντίγονος καὶ Μελάσιππος ὁ πατὴρ αὐτοῦ καὶ Κλαυσίνα ἡ μήτηρ αὐτοῦ καὶ Ἀρτέμιος ὁ μέγας καὶ ἄλλοι πολλοί. Σχόλιον. — 20. ἐκμ. V. 1,2, M. 1,2. — ἐξωλίσϑησε V. 2, M. 1,2.

νόμενος καὶ τυφθεὶς ὑπό τινος χριστιανοῦ ἐν Παλαιστίνῃ *, θυμωθεὶς ἀπῆλθε πάλιν εἰς τὸν ἑλληνισμὸν ὁ τάλας καὶ κατὰ τῆς πίστεως ἐδογμάτισεν.

(3) Ὁποῖα τοίνυν καὶ ὅσα κατ' ἐκεῖνον ἐτολμήθη τὸν καιρὸν καὶ ἐπράχθη ὑπὸ τῶν τοῦ ἀσεβοῦς ὑπηρετῶν καὶ ὁμοφρόνων, πάμπολλά μέν ἐστι καὶ συγγραφῆς ἰδίας ἐπιδεόμενα· ἡμεῖς δὲ ἐκ πολλῶν ὀλίγα διηγησόμεθα. Ἐν Ἀσκαλῶνι μὲν καὶ Γάζῃ ἀνδρῶν ἱερῶν καὶ γυναικῶν ἁγίων διὰ βίου τὴν παρθενίαν ἐπειλημμένων ἀναῤῥήξαντες τὰς γαστέρας καὶ κριθῶν ἐμπλήσαντες προὔθηκαν χοίροις βορὰν (ὡς καὶ τῶν ἡπάτων καὶ τῶν αἱμάτων ἀπεγεύσαντο παράνομοι).

(4) Ἐν δὲ τῇ Σεβαστείᾳ πόλει τοῦ προδρόμου τὴν θήκην ἀνοίξαντες πυρὶ ** παρέδωκαν τὰ *** λείψανα καὶ τὴν κόνιν εἰς ἀέρα ἐλίκμησαν.

CXCI. ΠΕΡΙ ΤΗΣ ΑΙΜΟΡΡΟΟΥΣΗΣ.

Ἐν δὲ Καισαρείᾳ τῆς Φιλίππου τῇ νῦν Πανεάδι ἀνδριὰς ἦν τοῦ Κυρίου, ὃν ἡ αἱμόῤῥους εὐχαριστήριον πρὸ τοῦ οἴκου αὐτῆς ἔστησεν· βοτάνη δέ τις ἐφύετο ἐν τῇ βάσει, ἐν ᾗ πρότερον ὁ χαλκοῦς ἀνδριὰς ἵστατο τοῦ Χριστοῦ, πᾶσι μὲν ἀνθρώποις ἄγνωστος πέλουσα, παντὸς δὲ πάθους ἀλεξητήριος τυγχάνουσα, ὅπερ ἀνδριάντα Ἰουλιανὸς ὁ ἀσεβὴς καταγαγεῖν πρὸς ἐμπαιγμὸν δῆθεν καὶ συρῆναι προστάξας, ἴδιον ἀντ' ἐκείνου ξόανον ἵδρυσε· πῦρ δὲ

---

1. τυπτηθεὶς codices. — * καὶ V. 2. — 2. ἐπανῆλθε V. 1.—ταλαίπωρος V. 1,2, M. 1.2. — καὶ τὰ τῆς V. 2. — 4. ἐτόλμησαν τὸν κ. οἱ τοῦ δυσσεβοῦς ὁμόφρονες, παμπ. V. 1,2, M. 1,2. — 6. εἰσι V. 2. M. 1,2. — καὶ γραφῆς M. 1,2. — 7. Ced. 533,6—16. Καὶ γὰρ ἐν Γ. καὶ Ἀ. πρεσβυτέρους κτλ. — 8. γ. διὰ V. 1,2, M. 1.2, — ἀειπαρθ. Ced. — ἐπιλημμ. cod. V. 2, ἐπηγγελμένων V. 1. — 10. ὧν V. 1,2, M. 1,2.— ἀπ. οἱ δυσώνυμοι V. 1,2, M. 1,2. — 12. Ced. 535,1,2. Οὗτος ὁ μιαρὸς τὴν τοῦ πρ. θ. ἀνοίξας π. τὰ λ. παραδέδωκε καὶ τὴν κ. διελίκμησε. — Σεβάστῃ V. 1,2. — πρ. θ. V. 1,2. Ced. — ** τε V. 1,2, M. 1,2. — 13. παρέδωσαν V. 1,2, M. 1,2. — *** δὲ V. 1,2, M. 1,2. — κ. διεσκέδασαν V. 1,2, M. 1,2. — 15. Lemma M. 2, in codice evanuit. — 16. Ced. 534,8—15. — 18. ἐφ. τῇ V. 1, ἐφ. ὑπὸ τὴν βάσιν τοῦ ἀνδριάντος Ced. — 21. δυσσ. V. 1, δείλαιος Ced. — κατεαγῆναι Leo, καταγῆν M. 2, καταγῆν ὧν M. 1, κατάγει Ced.

κατελθὸν οὐρανόθεν τοῦτο κατέκαυσε. (Τὸν δὲ * τοῦ Κυρίου ἀνδριάντα ὑφ' Ἑλλήνων τότε συντριβέντα οἱ χριστιανοὶ συλλέξαντες ἐπιμελῶς εἰς ἐκκλησίαν ἀπέθεντο).

(2) Ὁ δὲ ἐμβρόντητος Ἰουλιανὸς προφανῶς λοιπὸν καὶ ἀναιδῶς κατὰ (116ᵃ) τῆς εὐσεβείας ὡπλίζετο· καὶ πρῶτον μὲν τὰς ἐν τῇ πόλει καὶ τὰς ἐν Δάφνῃ πηγὰς ταῖς μυσαραῖς θυσίαις ἐμόλυνεν, ὅπως ἕκαστος μεταλαμβάνων τοῦ ὕδατος, μεταλαγχάνῃ καὶ τοῦ μύσους· ἔπειτα δὲ ** τὰ κατὰ τὴν ἀγορὰν προκείμενα τοὺ μιάσματος ἐμπίπλησι· περιερράινοντο γὰρ ἄρτοι καὶ κρέα καὶ ὀπῶραι καὶ λάχανα καὶ τὰ ἄλλα ὅσα ἐδώδιμα. Ταῦτ' οὖν ὁρῶντες οἱ χριστιανοὶ ἔστενον μὲν καὶ ὠλόλυζον ἐπὶ τοῖς γενομένοις, μετελάμβανον δ' ὅμως, ἀποσταλικῷ νόμῳ πειθόμενοι τῷ φάσκοντι· «Πᾶν τὸ ἐν μακέλλῳ πωλούμενον ἐσθίετε μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν».

(3) Ἔτι μὴν καὶ ἕτερον ἐξεῦρε κατὰ τῆς εὐσεβείας μηχάνημα· τοῖς γὰρ στρατιωτικοῖς καταλόγοις χρυσίον διανέμων κατὰ τὸ παλαιὸν ἔθος καθιστάμενος αὐτὸς ἐπὶ θρόνου βασιλικοῦ, προὔθηκε δὲ *** παρὰ τὸ ἔθος βωμὸν ἀνθράκων πλήρη καὶ λιβανωτὸν ἐπὶ τῆς κατὰ πρόσωπον αὐτοῦ τραπέζης, προσέταξε δὲ τὸν τὸ χρυσίον κομιζόμενον ἕκαστον πρότερον ἐπιβάλλειν τῷ βωμῷ τὸν λιβανωτὸν, εἶτα προσέρχεσθαι καὶ τὸ χρυσίον παρὰ τῆς χειρὸς αὐτοῦ δέχεσθαι.

(4) Καὶ πρὸς τούτοις ἐκέλευσε καὶ ταῖς μυσαραῖς εἰκόσιν αὐτοῦ συγγράφεσθαι Δία καὶ Ἄρεα (καὶ οὕτως ὁ ἀνόσιος ἔσπευδε καταμιαίνειν πάντας).

(5) Ἐξέθετο δὲ κανόνας ὥστε χριστιανοὺς μὴ στρατεύεσθαι 362
μήτε ποιητικῶν ἢ ῥητορικῶν ἢ φιλοσοφικῶν ἅπτεσθαι μαθημάτων·

---

* γε V. 1,2, M. 1,2. — 4. Ced. 525,11—21. — 5. ἐκ τῆς πόλεως V. 1. — 6. καὶ τὰς ἔξωθεν π. Ced. — 7. μεταλαγχάνει cod. μεταλαμβάνῃ V. 1. — ** καὶ V. 1. Ced. — τὰ om. V. 1,2, M. 1,2. — 9. ἐνεπίμπλει V. 1,2, M. 1,2, ἐνεπίμπλη Ced. — 11. γεν. V. 2, M. 1,2. — 12. 1 Cor. X, 25. — 15. Ced. 534,6, Greg. III. 75 A. — ἐξευρὼν V. 1, M. 1,2, ἀνεξευρὼν V. 2.—μ. καὶ τοῖς V. 1.—17. καθῆστο μὲν ἀ. V. 1, ἐκάθητο μὲν ἀ. V. 2, M. 1,2.—*** καὶ M. 2.—18. παρὰ om. V. 2, M. 1,2.—πλήρης λ. cod.—τῇ—τραπέζῃ cod. — 19. τρ. καὶ πρ. V. 1. — περὶ τῶν—κομιζομένων V. 1,2.—20. ἐπιβαλεῖν cod.—β. λ. V. 1.—23. Ced. 534,3—6.—26. Ced. 533,20,21. τῷ β' ἔτει.—δὲ καὶ νόμον ὡ. V. 1,2, M. 1,2. — ἢ φιλοσόφων μ. ἐκπαιδεύεσθαι V. 1,2, M. 1,2.

«ἐκ γὰρ τῶν ἡμετέρων, φησίν, ὁπλιζόμενοι γραμμάτων τὸν καθ' ἡμῶν ἀναδέχονται πόλεμον»*.

(6) Ὃν Γρηγόριος ὁ τῆς θεολογίας ἐπώνυμος εὖ μάλα στηλιτεύων φάσκει· «Σὸν τὸ ἑλληνίζειν; εἰπέ μοι· τί δέ; οὐ Φοινίκων τὰ γράμματα; ὡς δέ τινες** Αἰγυπτίων ἢ τῶν ἐπὶ τούτων σοφωτέρων Ἑβραίων, οἳ καὶ πλαξὶ θεοχαράκτοις ἐγγραφῆναι τὸν νόμον παρὰ θεοῦ πιστεύουσιν. Σὸν τὸ ἀττικίζειν, τὸ *** ἀριθμεῖν ἢ καὶ λογίζεσθαι δακτύλοις, μέτρα τε καὶ στάθμα****; οὐκ Εὐβοιέων, εἴπερ Εὐβοιεὺς ὁ Παλαμήδης ὁ πολλῶν εὑρετὴς [καὶ] διὰ τοῦτο ἐπίφθονος»; «Σὰ τὰ ποιήματα; τί δὲ; οὐ τῆς γραὸς μᾶλλον ἐκείνης, ἢ τὸν ὦμον σεισθεῖσα παρά τινος συντόνως, ὡς λόγος, εἶτα ἐνυβρίζουσα τῷ σφοδρῷ τῆς ὁρμῆς ἔπος ἐφθέγξατο, καὶ τοῦτο ἀρέσαν τῷ νεανίᾳ λίαν καὶ φιλοπονώτερον μετρηθὲν τὴν θαυμασίαν σου ταύτην ἐδημιούργησε ποίησιν»; — «Αὐτὸ δὲ πόθεν σοι τὸ μυεῖσθαι καὶ μυεῖν καὶ***** θρησκεύειν; οὐ παρὰ Θρᾳκῶν; [καὶ] ἡ κλῆσις πειθέτω σε· Τὸ δὲ θύειν οὐ παρὰ Χαλδαίων ἢ τῶν Κυπρίων******; τὸ δὲ γεωμετρεῖν οὐκ Αἰγυπτίων; τὸ δὲ μαγεύειν οὐ Περσικόν; Τὴν δὲ ὀνείρων μαντικὴν τίνων ἢ Τελμησέων ἀκούεις; τὴν οἰωνιστικὴν δὲ ποίων; οὐκ ἄλλων ἢ Φρυγῶν τῶν πρῶτον περιεργασαμένων ὀρνίθων πτῆσίν τε καὶ κινήματα. Καὶ ἵνα μὴ μακρολογῶ, πόθεν σοι τὸ καθ' ἕκαστον; οὐχ ἓν ἐξ ἑκάστου, ὧν ἁπάντων εἰς αὐτὸ συνελθόντων ἓν δεισιδαιμονίας μυστήριον συνέστη; Τί οὖν; δεξόμεθα, πάντων ἀποχωρησάντων εἰς τοὺς πρώτους εὑραμένους, μηδὲν ἕτερον ἔχειν πλὴν

---

* Ἀπολιναρίος δὲ τῇ μὲν θείᾳ γραφῇ ὕλῃ χρησάμενος, πάντων δὲ ποιητῶν τοὺς χαρακτῆρας μιμησάμενος, ἔγραψε [τοῦ δὲ αὐτῶν] παιδεύεσθαι χριστιανούς· Οὗτος δὲ ὁ Ἀπολιναρίος ὀρθόδοξος καὶ ἐλλόγιμος ἦν (Cod. 533.21—23). — 4. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς ed. Paris. 1531. 4° p. 62.— δαι cod. — 6. π. θῦ om. Gr. — ** φασὶ τῶν cod. τῶν V. 1,2, M. 1,2. — *** πεττευεῖν δὲ καὶ Gr. — 7. ἢ om. Gr.,— τὸ ἀ. δὲ καὶ V. 1,2, M. 1,2. — **** καὶ ἔτι πρὸ τούτων τὰ τακτικὰ καὶ πολεμικὰ τίνος; Gr. — 11. ἀντιπαριόντος ὡς Gr. — τὰ σφοδρὰ V. 2. — 13. λίαν om. Gr. — 14. σοι om. V. 2. — ***** τὸ Gr. — 15. οὐ π. Θρ. om. V. 2. — 16. τὸ θ. δὲ V. 1,2, M. 1,2. — εἶτ' οὖν K. Gr. V. 1,2, M. 1,2. — ****** τὸ ἀστρονομεῖν οὐ Βαβυλωνίων Gr. — 17. Περσῶν V. 2, M. 1,2. — ὀνειρομαντικὴν οὐ T. M. 2. — 18. τὴν δὲ ὀ. π. V. 2, M. 1,2. — τίνων Gr. — 19. πρῶτον cod. πρώτως V. 1. — 21. ἑνὸς ἐξ V. 2. — εἰς ταὐτὸν Gr. — 23. ἡμέτερον Gr. ὑμᾶς ἑτ. vel ὑμετ.?

τῆς κακίας καὶ τῆς περὶ τὸ θεῖον ταύτης καινοτομίας»; ἡ γὰρ τοῦ λόγου δύναμις τοῖς μὲν ἐπιεικέσιν ὅπλον, τοῖς δὲ μοχθηροῖς πέντρον κακίας γίνεται».

(7) Καὶ μέντοι καὶ τοὺς Ἰουδαίους κατὰ τῶν χριστιανῶν 363
ἐξοπλίζων ἤρετο τούτους· «Διὰ τί, θύειν τοῦ νόμου κελεύοντος, οὐ θύετε»; Τῶν δὲ τὸν ἐν Ἱεροσολύμοις ναὸν καὶ τὴν ἐκεῖσε περιγεγραμμένην αὐτῶν λατρείαν προβαλλομένων, αὐτίκα προσ(116b)έταξεν ὁ θεομάχος ἀνεγεῖραι τὸν κατ' ὀργὴν καὶ γνώμην θεοῦ ναὸν καταλυθέντα καὶ τοῦτο μετὰ πολλῆς χαρᾶς ἀκούσαντες ἅπασι τὰ προστεταγμένα τοῖς κατὰ τὴν οἰκουμένην ὁμοφύλοις ἐδήλωσαν. Καὶ οἱ μὲν πανταχόθεν συνέτρεχον καὶ χρήματα καὶ προθυμίαν εἰς τὴν οἰκοδομὴν τοῦ ναοῦ προεισφέροντες· ὁ δὲ παραβάτης συναπέστειλεν αὐτοῖς καὶ ἄρχοντας καὶ πολλὴν παῤῥησίαν καὶ συνδρομήν· σκαπάνας γὰρ καὶ ἄμμας ἀργυρᾶς κατασκευάσας συνέπεμψε τοῖς ἀθέοις Ἰουδαίοις. Καὶ ἐπεὶ ὀρύττειν κατήρξαντο (καὶ τὸν χοῦν ἐκφορεῖν πολλαὶ μυριάδες), ἐξαπίνης ἄνεμοι (βαγδαῖοι) βίαιοί (τε καὶ στρόβιλοι) πνεύσαντες ἀθρόως ἅπαντας διεσκέδασαν. (Ἐκείνων δὲ μεμηνότων ἔτι καὶ τῇ θείᾳ μακροθυμίᾳ μὴ σωφρονιζομένων, ἀλλὰ τοῦ ἔργου παλιν ἁπτομένων, πρῶτον μὲν σεισμὸς γέγονε μέγιστος καὶ φοβερώτατος, ἔπειτα δὲ) πῦρ ἐκ τῶν ὀρυττομένων θεμελίων ἀναδραμὸν κατέκαυσε * πλείστους.

Κατὰ δὲ τὴς αὐτὴν νύκτα καὶ τὴν μετ' αὐτὴν) ὤφθη ἐν τῷ οὐρανῷ τοῦ σταυροῦ τὸ σχῆμα πᾶσαν φωτοειδῶς καταυγάζον τὴν γῆν ἐκείνην· (ὅπερ οἱ ματαιόφρονες θεασάμενοι καὶ τὴν κατ' αὐτῶν θεομηνίαν ἐναργέστερον ἐπαισθόμενοι, πρὸς τὰ ἴδια μετ' αἰσχύνης ἀπέδρασαν).

---

2. μέντρον? V. 2. — 4. Cod. 525,21—526,11,537,9—14 τῷ γ' ἔτει. — 9. ἅπαντα τὰ πρ. V. 2, M. 1,2. — 12. συνεισφέροντες Cod. — ὁ δὲ συν. V. 1,2, M. 1,2. Cod. — 13. ἄρχοντα V. 1,2, M. 1,2. — π. ὑπηρεσίαν Cod. V. 1,2, M. 1,2. — 14. ἀντιθέοις Cod. V, 1,2, M. 1,2. — 15. Ἰουδ. om. V. 2. — ἠρξ. V. 1, Cod. — ἐκφέρειν V. 1,2, M. 1,2. — 17. ἅπαντα διεσκόρπισαν Cod. — 18. μ. καὶ σ. V. 1. — 19. ἐγίνετο σ. V. 1, σ. ἐγ. V. 2, M. 1,2. — * τοὺς V. 1. — 22. Cod. 537,20—538,5? — 23. τοῦ χῦ τὸ σχ. V. 2, M. 1,2. — 24. ἅπερ V. 1,2, M. 1,2.

(8) Ὁ δὲ βαρυκάρδιος Ἰουλιανὸς ταῦτα μεμαθηκὼς παραπλησίως καὶ αὐτὸς τῷ Φαραὼ τὴν καρδίαν ἐσκλήρυνε. Μετὰ δὲ ταῦτα Πέρσαι κατὰ τὴν Ῥωμαίων ἐξελθόντες γῆν, ἔδοξεν αὐτῷ τούτοις παρατάξασθαι· καὶ * τοὺς μάντεις ἐπερωτήσας, ἐκέλευον αὐτῷ καὶ ὑπισχνοῦντο τὴν νίκην, ὡς παρὰ τῶν δαιμόνων εἰληφότες, ὅθεν καὶ χρησμὸν τῷ δυσσεβεῖ ἐπανεγίνωσκον ἔχοντα τάδε· «Νῦν ** πάντες ὁρμώμεθα θεοὶ νίκης τρόπαια κομίσασθαι παρὰ Τηρὶ ποταμῷ.

Τῶν δ' ἐγὼ ἡγεμονεὺς θοῦρος πολεμόκλονος Ἄρης». Τούτοις πεισθεὶς ὁ πεφενακισμένος καὶ πολλὰ καὶ μεγάλα καὶ δυσδιήγητα κατὰ χριστιανῶν ποιήσας καὶ ἄλλα πλείονα ποιεῖν μετὰ τὸν πόλεμον καὶ τὴν νίκην ἐπα[γγει]λάμενος, κατὰ Περσῶν ἐκίνησε καὶ διαβὰς τὸν ὁρίζοντα ποταμὸν ἀπὸ τῆς Περσῶν τὴν Ῥωμαίων χώραν καὶ ὑπό τινος ἀπατηθεὶς Περσικοῦ λέγοντος ὡς ἐν τρισὶν ἡμέραις παραδώσειν αὐτῷ τὴν Βαβυλῶνα καὶ μὴ χρήζειν πολλῶν ἀναλωμάτων, εὐθὺς τὰς μὲν τὴν τροφὴν *** κομιζούσας ναῦς ἐνέπρησεν, αὐτὸς δὲ διὰ γῆς ἀπῄει δυσβάτου ποδηγούμενος ὑπὸ τοῦ ἀπατεῶνος Πέρσου, ὃς ἐξαίφνης ἀποδράσας κατέλιπε τὸν εὐρίπιστον καὶ κουφότατον πλανώμενον μετὰ τοῦ λαοῦ καὶ τρυχόμενον ὑπό τε τῆς ἐρημίας καὶ τῆς τῶν τροφῶν ἀπορίας· τοσαύτη γὰρ ἔνδεια περιέσχεν αὐτοὺς ὡς καὶ ἵππων καὶ ἡμιόνων ἀπογεύσασθαι. Πλανώμενος οὖν ὁ λαὸς καὶ σφόδρα διαφθειρόμενος εὗρον ἐξάπινα κείμενον τὸν θεήλατον ****· ἐξ ἀφανοῦς γὰρ ἀκόντιον φέρεται κατ' αὐτοῦ, καὶ διὰ τοῦ βραχίονος εἰς τὴν πλευρὰν διαδραμὸν εἰσέδυ, ἐξ ἧς πληγῆς τὸν βίον κατέστρεψεν, ἀδήλου τοῦ ἀνελόντος αὐτὸν γενομένου. Καὶ τὸν μὲν τὴν δικαίαν ἐκείνην ἐπενεγκόντα πληγὴν οὐδεὶς

---

1. Ced. 538,6—23 ὡς φησιν Ἀγαθίας, qui de hac re nihil habet. — 2. ἐσκληρύνετο cod. — 3. Περσῶν — ἐξελθόντων? τῆς Ῥ. ἐξήλασαν γῆς· διὸ καὶ ἐδ. V. 1. — 4. ἀντιπαρ V. 1,2. — * δὴ V. 1. — ἐπερωτήσαντι? — ἐκ. καὶ ὑπ. V. 1, sed αὐτῷ post νίκην V. 1,2. — 6. ἐχ. οὕτως V. 1,2, M. 1,2. — ** δὲ V. 1. — 7. ὡρμήθημεν, Leo, P. Th. Ced. V. 1,2, M. 1,2. — 8. περὶ Leo. — 9. ἡγεμονεύσω Leo, P. Th. Ced. V. 1,2, M. 1,2, cod.; ἡγεμονεὺς conjectura nostra metro requiritur. — θεουρὸς cod. κουθοῦρος M. 1,2, κοθοῦρος V. 2. — 13. τῇ Ῥ. χώρᾳ V. 1, ι subscr. pro ν. — *** τοῦ λαοῦ V. 1. — 16. ἐνέπρησ. cod. ἐνεπύρισεν V. 1,2, M. 1,2, cf. Greg. IV. 115 D. — 17. διηγ. M. 2. — **** νεκρὸν cod. — 24. καὶ τοῦ βρ. V. 1,2.

ἔγνω μέχρι καὶ τήμερον· ὅμως δὲ, εἴτε ἄνθρωπος, εἴτε ἄγγελος * τοῦτο δέδρακε, τοῦ θείου νεύματος ὑπηρέτης γέγονεν· ἐκεῖνον δὲ φασὶ δεξάμενον τὴν πληγὴν, εὐθὺς πλῆσαι τὴν χεῖρα τοῦ αἵματος καὶ ῥίψαι εἰς τὸν ἀ(117ª)έρα καὶ φάναι· «Ἐνίκησας, Γαλιλαῖε· ἀρκέσθητι Ναζαρηνέ.

(9) ** Καὶ ἀνακομισθὲν *** τὸ μιαρὸν αὐτοῦ σῶμα ἐν Ταρσῷ καὶ ταφὲν ἀνεβράσθη ἀπὸ τῆς γῆς καὶ ἀπερρίφη, καθὼς **** ἔφη παλιν Γρηγόριος ὁ τῆς θεολογίας ἐπώνυμος· «Μικρὸν **** τὸ ἐν μέσῳ· καὶ Πέρσαις μὲν ἡ δίκη δοῦσα τὸν ἀλιτήριον, ἐκεῖ δικάζει καὶ — νεκρὸν ἐπανάγει μὴ ἐλεούμενον, ὡς δὲ ἐγώ τινος ***** ἤκουσα, μηδὲ τῷ τάφῳ προσδεχόμενον, ἀλλ' ὑπὸ τῆς σεισθείσης δι' αὐτὸν γῆς ἀποσειόμενον καὶ ἀναβρασσόμενον, προσίμιον οἶμαι τῆς ἐκεῖσε κολάσεως ******». Μετὰ δὲ ταῦτα ἐφωράθησαν αἱ τῆς ἐκείνου γοητείας μαγγανίαι.

(10) Ἐν μὲν γὰρ τῇ Περσίδι τυγχάνων, πέμψας δαίμονα πρὸς τὴν δύσιν πρὸς τὸ ἐνεγκεῖν ******* ἐκεῖθεν ἀπόκρισιν διὰ τάχους, ἐκωλύθη τῆς πρόσω πορείας ὑπό τινος μονάζοντος, ἐπὶ ἡμέρας ι' μὴ δυναμένος προβῆναι· ὑποστρέψας δὲ πρὸς τὸν ἀποστάτην καὶ τὴν αἰτίαν τῆς βραδύτητος ἐρωτηθεὶς ἀπεκρίνατο· «Καὶ ἐβράδυνα καὶ ἄπρακτος ἐπάνῆλθον· ἐκδεχόμενος γὰρ Πούπλιον μονάζοντα, εἴπως παύσηται τῆς προσευχῆς, καὶ μὴ παυσαμένου αὐτοῦ ******** ἡμέρας ι', διεκώλυσέ με ποιῆσαι τὸ θέλημά σου». Καὶ τοῦτο ἀκούσας Ἰου-

---

* εἴτε ανος V. 2. — 2. ἐκεῖ δὲ V. 2, M. 1,2. — 4. Ἐν. Γ. ἐν. V. 1,2, M. 1,2, νενίκηκας χε, κορέσθητι Ναζωραῖε Leo, Ced. κ. N. — ** Εἶτα V. 1,2. — 6. Glyc. 472,6—9. — *** φησὶ V. 1.—7. ὑπὸ M. 2. — **** καὶ V. 2. M. 1,2. — 8. Greg. XXV. 393, D. — ***** μὲν γὰρ V. 1,2, γὰρ M. 1,2, cod. — ****** Ἐπὶ τούτου ἐν Ἀθήναις Βασίλειος καὶ Γρηγόριος ἤκμαζον παιδευόμενοι παρὰ Ἱμερίῳ καὶ Προαιρεσίῳ εὐδοκίμοις σοφισταῖς· ἐμαθήτευον δὲ καὶ παρὰ Λιβανίῳ τῷ ἐν Ἀντιοχείᾳ σοφιστῇ (Scholion; Leo. in Valentiniano). — 9. δικασας M. 2. 10. μηδ' Gr. ὡς — προσ. om. V. 2, M. 1,2. — 11. προσλαμβανόμενον V. 1, Gr. — ἀποσειόμ. καὶ ἀναβρασσομ. cod. ἀποσειόμενος καὶ ἀναβρασσόμενος V. 2, M. 1,2. — 13. κακίας γοητίαι καὶ μαγγανίαι V. 2, κ. αἱ γ. καὶ μ. M. 1,2. — 15. Ced. 526,12—527,2, Glyc. 472,9 — 15. — ******* αὐτῷ V. 1, Ced. — 17. ι', καὶ μὴ δ. ὁ δ. πρ. πάλιν πρ. τὸν Ἰουλιανὸν ὑπέστρεψε V. 1,2, (M. 1,2 ἐπεστρ.). — 18. Ὁ δὲ τὴν ἀ. τῆς β. ἐρωτήσας ἀπεκρίθη αὐτῷ ὁ δαίμων V. 1,2, (M. 1,2. om. αὐτῷ). — 20. ἐκδ. Π. V. 2, M. 1,2. — ******** ἐπὶ V. 1,2, M. 1,2.

λιανὸς καὶ ἀγανακτήσας σφόδρα, προσηπείλησε μετὰ τὴν ἐπιστροφὴν ἐξολοθρεῦσαι τὸ τῶν μοναχῶν γένος, ὅπερ μαθών τις τῶν μεγιστάνων αὐτοῦ καὶ θαυμάσας, ἐπανελθὼν, διένειμε τὰ ὑπάρχοντα αὐτοῦ· πένησι καὶ ἀπῆλθε πρὸς τὸν γέροντα, καὶ γενόμενος δόκιμος μοναχὸς πᾶσιν ἔλεγε τὴν ἰσχὺν τῶν μοναζόντων, ἣν ἔλαβον κατὰ τῶν σκοτεινομόρφων δαιμόνων.

(11) Ἐν δὲ Καράις, τῇ παρὰ ** Κάρου *** βασιλέως κτισθείσῃ πόλει, τὴν πρὸς Πέρσας ποιούμενος πορείαν, ἐξελθὼν καὶ ἐν τινι καταδύσει θυσίας ἀκαθάρτους ποιῶν, κλεῖθρα καὶ σήμαντρα ταῖς θύραις ἐπέθηκε καὶ φύλακας ἐπέστησε, μηδένα ἔσω τῶν θυρῶν κελεύσας γενέσθαι μέχρι τῆς αὐτοῦ ἐπανόδου, ἣν περ ἀνοίξαντες μετὰ τὴν ἐκείνου πτῶσιν, εὗρον γύναιον ἐκ τῶν τριχῶν κρεμάμενον καὶ ἐκτεταμένας ἔχον τὰς χεῖρας, ἧς ἀνασχίσας ὁ ἄσπλαγχνος τὴν γαστέρα τὴν κατὰ Περσῶν δήπουθεν ἔγνω διὰ τοῦ ἥπατος νίκην.

(12) Ἐν δὲ Ἀντιοχείᾳ πολλὰς μὲν κιβωτοὺς ἐν τοῖς βασιλείοις κεφαλῶν ἀνθρώπων πεπληρωμένας, πολλὰ δὲ φρέατα νεκρῶν σωμάτων εὗρον πεπληρωμένα· καὶ γὰρ μυρίας [μὲν] γυναῖκας ἐν γαστρὶ ἐχούσας ἀνατεμὼν καὶ ἐν τοῖς ἐμβρύοις ἡπατοσκοπῶν καὶ πολλοὺς παῖδας κατασφάξας ὑπὸ τὰ εἴδωλα κατώρυξεν ὁ φιλείδωλος εἰδωλιανός. Πολλὴν δὲ καὶ ἄλλην λογικὴν ἀγέλην ἐκ ποικίλων ἡλικιῶν διαφόροις ὑπέβαλε θανάτοις ἐπ' ὀνόματι Ποσειδῶνος καὶ τῶν λοιπῶν δαιμόνων ὁ δαιμονιώδης καὶ θεομίσητος· οὐ μὴν δὲ, ἀλλὰ καὶ ἵππους λευκούς τε καὶ πυρρούς ἔθυε, τοὺς μὲν τῷ ἡλίῳ, τοὺς δὲ τῷ πυρὶ καὶ τοῖς ἀνέμοις· καὶ πρὸς τούτοις κύνας καὶ πιθήκους καὶ κόρακας καὶ πᾶν σχεδὸν ἑρπετῶν εἶδος καὶ τετραπόδων, θηρίων τε καὶ τῶν ἄλλων πτηνῶν καὶ νηκτῶν οὐ διέλειπε κατασφάττων καὶ τελετὰς παντοίας ἐπινοῶν, πλείους καὶ χείρους τῶν

---

1. ὑποστρ. V. 1,2. — 2. τῶν μ. το γ. V. 1,2, M. 1,2 — — * πάντα V. 1, π. τοῖς V. 2, M. 1,2. — 7. Ced. 527,3 — 10, Glyc. 472,15,16. — ** τοῦ V. 1,2, M. 1,2, Ced. — *** τοῦ Ced. — 8. εἰσελθὼν V. 1, Ced. — 9. ἐπιτελέσας V. 1,2, M. 1,2. — 10. μηδ.—ἐπανόδου om. Slav.— 11. αὐτοῦ om. V. 2. — 14. ἑ. δ. M. 1,2. — 15. Ced. 527,10—528,2,540,4—15. — 17. πεπλησμένα V. 1. — καὶ μυρίας V. 1,2.—18. ἡπατοσκοπούμενος V. 1,2. M. 1,2, Ced. — πολλὰ παιδία V. 1,2, M. 1,2, Ced. — 19. φιλήδονος V. 2, M. 1,2. — 20 Ἰουλιανὸς, paetermiso lusu verborum Ced. V. 1. — 25. ἑ. γένος καὶ V. 1.

παρ' Ἕλλησι νενομισμένων, πρὸς τὸ πάντας τοὺς πρὸ αὐτοῦ (117[b]) Ἕλληνας ὑπερακοντίσαι, διὰ τῶν τοιούτων οἰόμενος ὁ ἄθεος ἀποθεωθῆναι καὶ θεὸς νομισθῆναι.

(13) Τοιαῦτα τῶν δυσωνύμων θεῶν καὶ ἀκαθάρτων διαμόνων τὰ ἐπιτάγματα καὶ μαντεύματα καὶ τοιαῦτα τοῦ ματαιόφρονος καὶ ἀποστάτου καὶ θεηλάτου τὰ ἀποτελέσματα. Καὶ τούτων μὲν ἡ ψευδομαντεία τε καὶ ἀπάτη πεφώραται· ἐκεῖνος δὲ τῇ τούτων πλάνῃ δεδουλωμένος ἀπώλετο ψυχῇ καὶ σώματι, ἐτῶν ὑπάρχων λ', καὶ ἐξέλιπον ἐν ματαίοτητι αἱ ἡμέραι αὐτοῦ καὶ τὰ ἔτη αὐτοῦ μετὰ σπουδῆς, καὶ ἀπώλετο διὰ τὴν ἀνομίαν αὐτοῦ· πολλὴν γὰρ «ἀδικίαν» εἰς τὸ ὕψος * ἐλάλησεν καὶ ἔθετο εἰς οὐρανὸν τὸ στόμα αὐτοῦ, καὶ ἡ γλῶσσα αὐτοῦ διῆλθεν ἐπὶ τῆς γῆς», ὡς γέγραπται. Καὶ πάνδεινα καὶ δυσεξήγητα πράξας καὶ μεγάλα μεγαλαυχήσας τὴν ἑαυτοῦ προτέραν πίστιν καὶ τάξιν μὴ τηρήσας πέπτωκε πτῶμα ἐξαίσιον καὶ δυσεξήγητον, ὥσπερ καὶ ὁ τοῦτον ἀπατήσας καὶ ἀπολέσας παγκάκιστος διάβολος.

CXCII. ΒΑΣΙΛΕΙΑ ΙΟΒΙΑΝΟΥ.

Μετὰ δὲ τοῦτον ἐβασίλευσε Ἰοβιανὸς μῆνας η'. (Μετὰ 363 τὴν Ἰουλιανοῦ σφαγὴν μόλις ποτὲ πρᾶον ἡμῖν τὸ βασίλειον τὸ Ἰοβιανοῦ ἀνενεώθη· οὗτος γὰρ ἐν ἑνὶ καὶ τῷ αὐτῷ καιρῷ βασιλεὺς καὶ ὁμολογητὴς καὶ τῆς κακῶς ἐπενεχθείσης πλάνης ὠθητὴς ἐπεφάνθη· ἐπειδὴ γὰρ ἐν τοῖς ὅπλοις ὁ στρατὸς ἐτύγχανε καὶ ὁ βάρβαρος ἐπέκειτο, οἱ ἡμέτεροι στρατηγοὶ περὶ τῶν ἄκρων βουλευόμενοι πραγμάτων Ἰοβιανῷ τὴν ψῆφον δεδώκασιν)· ἐκεῖνος δὲ (κατασχεθεὶς εἰς τὸ ὑποδέξασθαι τὰ τῆς βασιλείας σύμβολα, πρὸς τὸ στρατόπεδον τὸ μολυνθὲν ταῖς Ἰουλιανοῦ ἱεροσυλίαις) λέγεται εἰρηκέναι, μὴ δύνασθαι αὐτὸν βασιλεύειν τούτων, ἐπειδὴ χριστιανὸς αὐτὸς ἦν·

---

2. ἑλληνίσαντας V. 1,2, M. 1,2, Ced. — 4. δ. ἀκ. V. 2,M. M. 1,2. — 6. θ. καὶ ἀπ. M. 1,2, θ. ἀπ. V. 2. — 8. τέθνηκε ψ. V. 1,2. M. 1,2. — 10. Ps. LXXIII. 8,9, ἀδ. καὶ ἀνομίαν cod. ἀν. καὶ ἀδ. V. 1,2, M. 1,2. — * ὄντως V. 1. — 13. καὶ πάνυ μεγαλαυχ. V. 1. — 14. τ. καὶ π. τ. V. 1, π. καὶ τ. μυκτηρίσας V. 2. — 15. δυσδιήγητον V. 1,2, M. 1,2. — 17. Rubrica codicis et V. 2. — 18. ἔτος ἓν Leo, μ. θ', ἡμέρας ιε' Ced. 539,15—24, quum sint 7 menses, 22 dies usque ad 17 Febr. 364.

*

τότε πάντας ὁμοῦ τῇ αὐτῇ φωνῇ ἀποκριθῆναι λέγοντας (ὅτι καὶ ἡμεῖς) χριστιανοί ἐσμεν·· (πρὶν δὲ ἀκοῦσαι· τὴν φωνὴν ταύτην, οὐκ ἠνέσχετο ἐφησυχάσαι τοῦ δέξασθαι τὴν βασιλείαν).

(2) Τοιγαροῦν αὐτῷ θεία τις φιλανθρωπία παρεγένετο, καὶ, παρ' ἐλπίδα πᾶσαν, συγκειμένης τῶν ἡμετέρων πανταχόθεν παρὰ τῶν πολεμίων τῆς φάλαγγος, καὶ μηδεμιᾶς προσδοκίας οὔσης τοῦ διαφυγεῖν, ἄφνω πρεσβευταὶ πεμφθέντες παρὰ τῶν βαρβάρων παραγίνονται καὶ ἐξαιτοῦσιν εἰρήνην καὶ τῷ στρατοπέδῳ ἤδη ὑπὸ τοῦ λιμοῦ καταναλωθέντι τροφὰς ·· καὶ τὰ ἀναγκαῖα καὶ τὰ λοιπὰ συναλλάττειν ἐπαγγέλλονται καὶ πάσῃ φιλανθρωπίᾳ τὴν ἡμετέραν διορθοῦσι προπέτειαν.

(3) Κθ' δὲ ἔτη συνθέμενος εἰρήνην εἰς τὴν Ῥωμαίων ἐπανῆλθε γῆν σὺν τοῖς στρατεύμασιν· ἠναγκάσθη δὲ καὶ τὴν Νίσιβιν πόλιν μεγίστην οὖσαν Πέρσαις παραχωρῆσαι.

(4) Οὗτος πολλὴν φροντίδα καὶ ἐπιμέλειαν τῶν ἐκκλησιῶν ποιούμενος τοὺς ἐν ἐξορίαις ἐπισκόπους πάντας ἀνεκαλέσατο· τῷ δὲ μεγάλῳ Ἀθανασίῳ ἀπέστειλε, τῆς ἀμωμήτου πίστεως αὐτῷ ἐγγράφως σημᾶναι τὴν ἀκρίβειαν, ὅπερ καὶ πέπραχεν Ἀθανάσιος — καὶ γέγραφεν Ἰοβιανῷ ἐπιστολὴν πλήρη ὀρθοδοξίας.

(5) Ἀλλ' ὁ οὕτως εὐσεβὴς καὶ θαυμάσιος μετὰ ἡ' μῆνας τῆς αὐτοῦ βασιλείας ἐν τῇ Κιλικίᾳ) μύκητα πεφαρμαγμένον φαγὼν, ἐτελεύτησεν ἐν χωρίῳ Δαδαστα[νᾶ] τῆς Γαλατίας μέγα πένθος καταλείψας τῇ ἐκκλησίᾳ καὶ λαοῖς πᾶσιν.

(6) Οὗτος γὰρ γνωστὸς ὢν τῷ Ἰουλιανῷ καὶ ἐν τῷ στρατῷ χριστιανὸν ἑαυτὸν ὡμολόγει· ποτὲ δὲ ὄπισθεν Ἰουλιανοῦ

---

2. πάντες ὁμοίᾳ τῇ—λέγοντ. cod.— · αὐτοκράτορ τρισαύγουστε Ced.—5. συγκειμ. τὴν φάλαγγα cod.— ·· παρέχουσι? 12. λ' Ced. 539,21.—15. Ced. 539,24—540,4: Ὅθεν νόμους ἐξέπεμψεν εἰς πᾶσαν τὴν ὑπὸ Ῥωμαίων γῆν εἰς περιποίησιν τῶν τοῦ θεοῦ ἐκκλησιῶν καὶ τοὺς ἐν ἐξορίᾳ χριστιανοὺς ἀν. γράψας καὶ τῷ ἱερῷ Ἀθ.—17. α. ἀ. ἐ. τῆς ἀμ. π. τὴν ἀ. οὗ γενομένου, βεβαίοτερος εἰς ὀρθοδοξίαν γέγονε Ced. — 20. Ced. 540,10—21. Ἐπὶ Κ. Π. ὁρμώμενος ἐλθὼν ἐν Ἀγκύρᾳ τῆς Γ. ὕπατος προῆλθε· φθάσας δὲ ἐν προαστείῳ Δ. ἐκοιμήθη ἐν οἰκίσκῳ νεωστὶ κεκονιαμένῳ· τῆς δὲ ἀσβέστου βαρὺν ἀτμὸν ἀναδιδούσης, αἰφνίδιον ἐτ. ἀποπνιγεὶς ἀπὸ τῆς καύσεως, ὡς δέ τινες γράφουσι, μ. π. φ. ἀπέθανεν. — 24. Ced. 539,10—14: Τοὺ δὲ μετ' αὐτὸν βασιλεύσαντος Ἰοβιανοῦ τὴν ἀλουργίδα ὁ. περ πατοῦντος ἀκ. πατήσαντος ἐν τῷ ἐπικλινῆ τινὰ κατιέναι τόπον, ἐπ. Ἰ. καὶ τὸ συμβὰν κρίνας αὐτὸν μετ' ἐκεῖνον τῆς βασιλείας κρατήσειν, ἔφη· εἴθε καὶ γ. ἀ.

περιπατῶν, τὴν χλαμύδα αὐτοῦ πεπάτηκε, πρὸς ὅνπερ ἐπιστραφεὶς Ἰουλιανὸς καὶ ἰδὼν οὐκ ἄλλον, ἀλλὰ αὐτὸν, εἶπε τὴν βασιλείαν διαδέξασθαι, «εἴθε γοῦν ἄνθρωπος»· ἦν δὲ (118ᵃ) εὐσεβὴς καὶ πραὺς καὶ ἐπιεικής.

CXCIII. ΒΑΣΙΛΕΙΑ ΟΥΑΛΕΝΤΙΝΙΑΝΟΥ ΚΑΙ ΟΥΑΛΕΝΤΟΣ.

Μετὰ δὲ Ἰοβιανὸν ἐβασίλευσεν Οὐαλεντινιανὸς ἔτη ις', ἀνα- 364
γορευθεὶς ἐν Νικαίᾳ τῆς Βιθυνίας, ὅστις ὑπὲρ τῆς ἡμετέρας πίστεως παρὰ Ἰουλιανοῦ ἐτύγχανε τῆς στρατιᾶς ἐκβληθείς· (ἀλλ' ἐπλήρωσεν ἐν αὐτῷ ὁ θεὸς, ὅπερ ὑπέσχετο, ὑπὲρ τὰ «ἑκατονταπλασίονα ἐν τῷ παρόντι αἰῶνι» ἀποδεδωκὼς αὐτῷ· ἐπειδὴ γὰρ ὑπὲρ τῆς πίστεως τὴν στρατιὰν καταλέλοιπε, καὶ τὴν βασιλείαν ἐδέξατο).

(2) Οὗτος εἰς τὴν βασιλείαν κοινωνὸν προεβάλετο μετὰ λ' ἡμέρας τῆς ἑαυτοῦ ἀναγορεύσεως τὸν ἑαυτοῦ ἀδελφὸν Οὐάλεντα· εἰσελθὼν γὰρ ἐν Κωνσταντινουπόλει, μεταπεμψάμενος αὐτὸν ἐκ Παιωνίας* πόλεως Κιβαλῆς — ἐκεῖθεν γὰρ ὥρμητο — κοινωνὸν αὐτὸν τῆς βασιλείας προσελάβετο καὶ ἑαυτῷ μὲν τὰ τῆς δύσεως ἐπελέξατο μέρη, ἐκείνῳ δὲ τὰ τῆς ἀνατολῆς κατέλιπε.

(3) Οὐάλης δὲ συγκροτῶν τοὺς αἱρετικοὺς εἰς τὴν ὁδὸν τῶν ἰδίων πατέρων ἐπορεύετο· καὶ γὰρ ἐπισκόπους εἰς ἐξορίαν ἔπεμψεν καὶ πρεσβυτέρους καὶ διακόνους καὶ μοναχούς, Τατιανοῦ τότε ἄρχοντος τῆς Ἀλεξανδρείας, ἐπὶ τοσοῦτον, ὥστε καί τινας εἰς βασάνους ἀγαγεῖν καὶ τῷ πυρὶ παραδοῦναι καὶ πλεῖστα ἀθέμιτα καὶ ὠμότατα κατὰ τῆς τοῦ θεοῦ ἐκκλησίας μηχανήσασθαι. Ταῦτα πάντα μετὰ τελευτὴν Ἀθανασίου διεπράττετο· ὥσπερ γὰρ θείᾳ τῇ αὐτοῦ

---

6. Ced. 540,23—541,3: Ὁ ἀνηγορεύθη ἐν N. τῆς B. παρὰ τοῦ στρατοῦ ὃς ἐβ. ἔτη ιγ' ut Leo. P. Th. sed 547,1, ια'; nam a 24 febr. 364 ad 17 Nov. 375 sunt anni XI, menses VIII et dies XXIV. — 9. M. X. 30. — 13. Ced. 541,11 — 17. — 14. Kal. Martüs. — * Παιῶνες ἔθνος, τινὲς φασὶ τοὺς νῦν καλουμένους Πανονίους, ἕτεροι δὲ Μακεδονίους (Scholion). — 25. 373, Maji II. (Summarium epistolarum Athanasii festivalium).

κωλυθεὶς ἀρετῇ, καίτοι κατὰ τῶν ἄλλων βακχεύων, οὐδὲν κατ' ἐκείνου λυπηρὸν ἐτόλμησεν.

(4) Οἱ δὲ (ἐν Κωνσταντινουπόλει) ὀρθόδοξοι (ἐλεεῖσθαι νομίσαντες ὑπὸ Οὐάλεντος) πρεσβείαν ἔστειλαν πρὸς αὐτὸν (ἐν Νικομηδείᾳ πέμψαντες) ὀγδοήκοντα ἱερατικοὺς ἄνδρας (ὧν ἡγοῦντο Θεόδωρος καὶ Οὐρβανὸς καὶ Βενέδημος), οὓς ἅπαντας σὺν αὐτῷ τῷ πλοίῳ ὑφαφθῆναι προστάξας, πάντες σὺν τῇ νηῒ κατεφλέχθησαν, μέχρι Δακιβύζων πλοίου διαρκέσαντος κἀκεῖσε διαλυθέντος).

(5) Οὐάλης δὲ πᾶσαν ἐκκλησίαν πορθήσας καὶ εἰς Καισάρειαν ἀπὸ ἀνατολῆς κατὰ Βασιλείου τοῦ μεγάλου κινούμενος, ὅτε καὶ τὰ κατὰ τὸν υἱὸν αὐτοῦ ἐγένετο, καθὼς φησὶν ὁ θεολόγος Γρηγόριος.

(6) Δημοσθένους, ἑνὸς τῶν ὀψοποιῶν τοῦ Οὐάλεντος, ἐν τῇ πρὸς Οὐάλεντα συντυχίᾳ καταδραμόντος βασιλεῖ καὶ βαρβαρίσαντος, μικρὸν μειδιάσας ὁ ἅγιος ἔφη· «Ἰδού, ἐθεασάμεθα καὶ Δημοσθένην ἀγράμματον».

(7) Οἱ δὲ Γότθοι τότε κακῶς ἐχρῶντο Οὐάλεντι· ὁ δὲ αἰτεῖ τὸν θεῖον Οὐαλεντινιανόν, τὸν ἀδελφὸν αὐτοῦ, πέμψαι αὐτῷ στρατιὰν εἰς βοήθειαν· αὐτὸς δὲ οὐκ ἔδωκεν αὐτῷ, ἀλλὰ καὶ ἐπωνείδισεν ὡς αἱρετικὸν καὶ κακόφρονα, εἰπών, ὅτι οὐ χρὴ ἐπαμύνειν ἀνδρὶ πολεμοῦντι θεῷ.

(8) Ἐν ἐκείνῳ δὲ τῷ χρόνῳ μετὰ μς' ἔτη τῆς ἱερωσύνης Ἀθανασίου τοῦ μεγάλου, μετὰ πολλοὺς ἀγῶνας καὶ πολλοὺς τῆς ἐγκρατείας στεφάνους Ἀθανάσιος ἐκοιμήθη, Πέτρον αὐτὸν διαδέξασθαι προειπὼν τὸν κοινωνήσαντα αὐτῷ τῶν θλίψεων. (Λούκιος δὲ ἐπίσκοπος ὢν τῆς τῶν Ἀρειανῶν αἱρέσεως παραχρῆμα ὡς λύκος

---

3. Cod. 544,16—19: Καὶ τῷ ς' ἔτει πρ. ἀπ. οἱ ὀρθ. π. Ὀ. ἀ. ἰ. π', οὓς π. σὺν τῷ π. ὑ. Ὀ. ἐκέλευσε κ. πάντες. — 8. Δακίζων cod. — 9. Cod. 547,22—548,3. — πάσας τὰς ἐκκλησίας πορθῶν ἦκεν εἰς Κ. κ. τοῦ μ. Β. μαινόμενος Cod. — 10. ἔπραξε δὲ οἷα καὶ ὁ μέγας Γρ. εἰς τὸν ἐπιτάφιον τοῦ μεγάλου Βασιλείου ἔλεξε ὅτε καὶ Γαλάτης υἱὸς Οὐάλεντος καὶ ἡ σύμβιος Δομνίκα νόσῳ χαλεπῇ ἐχειμάσθη Cod. — 12. Oratio 20,352 A—D. — 13. Πρὸς τούτοις Δ. τινὸς τῶν ὀψ. Ὀ. ἐν τῇ ὁμηλίᾳ τῇ π. Ὀ. μεμφομένου Βασιλείον καὶ β. εἰπεῖν τὸν διδάσκαλον Ἰ. ἐθ. καὶ Δ. ἀγ. Cod. 548, 3—6. — 17. Cod. 546,20—23 τῷ ι' ἔτει. — 20. οὐ θέμεις ἐπ. ἀ. θεομάχῳ Cod. ἄνδρα πολεμοῦντ. cod. — 22. Κοίμησις Ἀθανασίου τοῦ μεγάλου. Cod. 545,14—17 τῷ θ' ἔτει.

ἐπὶ πρόβατα ὥρμησε. Καὶ ὁ μὲν Πέτρος εὐθέως εἰς τὴν Ῥώμην ἀπέφυγε, Λούκιος δὲ οὕτως εἰς τὸ αἷμα τῶν ἀνθρώπων ἐπορεύετο, ὡς μηδὲ σχῆμα τῆς θρησκείας δοκεῖν φυλάττειν.)

CXCIV. ΠΕΡΙ ΜΟΝΑΧΩΝ ΤΩΝ ΕΝ ΤΗ ΕΡΗΜΩ.

Ἐν τῇ ἀρχῇ δὲ τῆς ἐπιβάσεως αὐτοῦ, τοσαῦτα καὶ οὗτος αἰσχρὰ κατὰ τῶν παρθένων τῆς ἐκκλησίας καὶ τῶν ἐγκρατευομένων ἐποίησεν, οἷα οὐδὲ ἐν τοῖς διωγμοῖς τῶν Ἑλλήνων γενέσθαι μνημονεύεται*.

(2) Οὐ μόνον δὲ (118[b]), ἀλλὰ καὶ τὴν ἔρημον ἐπόρθει καὶ πόλεμον τοῖς ἡσυχάζουσιν ἐπήγαγεν· τρεῖς γὰρ χιλιάδας ὁμοῦ κατὰ τὴν ἔρημον ἀπέστειλε τοὺς μοναχοὺς πολεμεῖν. Οἱ δὲ ἐρχόμενοι καινὸν εἶδος πολέμου ἑώρων· οἱ γὰρ ἀντίπαλοι καθὼς ἐπέβαινον, οἱ ἅγιοι τοὺς αὐχένας αὐτῶν τοῖς ξίφεσι προέτεινον καὶ οὐδὲν ἄλλο ἤκουον εἰ μὴ τοῦτο· «Ὦ φίλε, δι' ὃ παρεγένου;»

(3) Κατ' αὐτὸν γὰρ τὸν καιρὸν οἱ τῶν μοναχῶν πατέρες τῷ βίῳ καὶ τῇ ἀξίᾳ τῆς ἀρχαιότητος Μακάριος καὶ Ἰσίδωρος καὶ Μακάριος ἕτερος καὶ Ἡρακλείδης καὶ Παμμῶ, Ἀντωνίου μαθηταί, κατὰ τὴν Αἴγυπτον ἤκμαζον· καὶ μάλιστα ἐν τοῖς ἐρήμοις τόποις τῆς Νιτρίας ὑπῆρχον ἄνδρες, οἵ τινες τὴν κοινωνίαν εἶχον τῆς ζωῆς καὶ τῆς πράξεως, οὐδ' εἰς τῶν ἄλλων ἀνθρώπων, [τὸν τρόπον] ἀλλὰ μετὰ τῶν οὐρανίων ἀγγέλων πιστεύοντες, ἅπερ παρὼν ἑώρακα ἤδη ἐγώ, καὶ τούτας τὰς πράξεις ἀναφέρω, ὧν καὶ τοῖς πάθεσι κοινωνὸς εἶναι κατεξιώθην.

(4) Οὗτοι ἐν τοῖς ἰδίοις οἰκήμασι κείμενοι καὶ εὐχόμενοι ἐξεδέχοντο τοὺς ἑαυτῶν φονευτάς. Ἀπηνέχθη δὲ αὐτοῖς ἄνθρωπος ἐκ πολλοῦ τὰ μέλη παντὸς τοῦ σώματος καὶ μάλιστα τοὺς πόδας ξηροὺς ἔχων· ἐλαίῳ δὲ χρίσαντες αὐτὸν εἶπον· «Ἐν ὀνόματι Ἰησοῦ

---

4. Rubrica in codice deest ut in Par.1706.—5. Ced. 544,13—15 de Valente. τῳ ε' ἔτει.— * Πολλοὺς Οὐάλης ἀνεῖλεν ὑπονοηθέντας βασιλεύειν ἀπὸ τοῦ θῆτα γράμματος (Scholion) cf. Ced. 548,13—23 τῷ γ' ἔτει Valentis = 378. — 11. οἱ δὲ — ἐπεβ. om. Slav. — 14. Mt. XXVI. 50. Ἑταῖρε, ἐφ' ᾧ πάρει; — 19. ἔχει cod.

Χριστοῦ, ὃν διώκει Λούκιος, ἀνάστα καὶ περιπάτει τοῖς ποσίν», ὃς παραχρῆμα ἀναστὰς, εὐχαριστῶν τῷ θεῷ ἀπῆλθε εἰς τὸν οἶκον αὐτοῦ.

(5) Πρὸ ὀλίγου δὲ χρόνου τυφλὸς ἠξίωσεν ἀπενεχθῆναι εἰς τὸ οἰκίδιον Μακαρίου, ὅπερ ἦν ἐν τῇ ἐρήμῳ ἀπὸ ἡμερῶν τριῶν· ἐλθὼν δὲ ἐκεῖσε ὁ τυφλὸς πολλῷ καμάτῳ τῶν ἀγόντων αὐτὸν καὶ τὸν Μακάριον μὴ εὑρὼν ἐν τῇ οἰκίᾳ, πάνυ ἀθυμήσας ἐλυπεῖτο· τῆς πίστεως δὲ τῇ ὑπερβολῇ ἐκθερμανθεὶς ἔφη τοῖς ἄγουσιν· «Παρακαλῶ ὑμᾶς, ἀγάγετέ με ἐν τῷ μέρει τῆς κέλλης τοῦ τοίχου ἐν ᾧ εἰώθει καθεύδειν ὁ γέρων· ὅτε δὲ προσηνέχθη, μικρὸν ἐκ τοῦ ξηροῦ πηλοῦ λαβὼν, ὅθεν ὁ τοῖχος ἐκέχριστο, ταῖς ἰδίαις ἐπέθηκε χερσὶ καὶ παρεκάλεσε ὥστε καὶ ὕδωρ ἀντληθῆναι ἐκ τοῦ φρέατος, ἀφ' οὗπερ ἔπιεν ὁ πρεσβύτης· ἐκείνῳ δὲ τῷ ὕδατι τὸν πηλὸν ἀναλύσας καὶ τούτῳ ἐπιχρίσας τοὺς ὀφθαλμοὺς καὶ ἀποπλύνων ἐκ τοῦ ἀντληθέντος ὕδατος, ἐξαίφνης τὴν θέαν ἀπέλαβεν οὕτως, ὥστε μηδενὸς χρῄζειν ὑπηρέτου, καὶ εἰς τὰ ἴδια ἐπανῆλθε χαίρων, ὃς μετὰ ταῦτα σὺν πάσῃ τῇ οἰκίᾳ αὐτοῦ ἐπανελθὼν πρὸς τὸν γέροντα καὶ τῷ θεῷ χάριν ὡμολόγει καὶ τὸ πρᾶγμα ὡς ἐγένετο ἀπεμνημόνευεν.

(6) Ὁ αὐτὸς δὲ οὗτος Μακάριος σπήλαιον εἶχε πλησίον ὑαίνης· ἔν τινι δὲ ἡμέρᾳ τοὺς σκύλακας αὐτῆς τυφλοὺς ὑπάρχοντας ἀπήνεγκε τὸ θηρίον καὶ πρὸς τοὺς πόδας αὐτοῦ ἔθηκε. Νοήσας δὲ ἐκεῖνος, ὅτι περὶ τῆς τυφλώσεως τῶν σκυλάκων τὸ θηρίον παρεκάλει, ἠξίωσε τὸν δεσπότην θεὸν, ἵνα τὸ βλέπειν αὐτοῖς ἀποδῷ· ἀποδοθείσης δὲ αὐτοῖς *, ἐπανῆλθον ἀκολουθοῦντες ἐπὶ τὸ σπήλαιον τῇ μητρί· καὶ μετ' ὀλίγον αὕτη μετὰ τῶν ἰδίων σκυλάκων ὑποστρέφουσα δορὰς προβάτων τὸ ἔριον ἐχούσας ὡσανεὶ δῶρα ὑπὲρ τῆς εἰς αὐτοὺς χάριτος ἀπήγαγε τῷ γέροντι, τοῖς ὀδοῦσι τὰς δορὰς βαστάζουσα καὶ ταύτας πρὸ τῶν θυρῶν θεμένη ἀνεχώρησεν.

(7) Τούτους τοὺς θείους πατέρας Λούκιος εἰς νῆσον τῶν τῆς Αἰγύπτου λιμνῶν ἐξώρισεν, ἔνθα οὐδεὶς χριστιανῶν κατοικεῖ. Τοῦ δὲ πλοίου τῇ νήσῳ μετὰ τῶν μοναχῶν (119ᵃ) προσεγγίσαντος, ἡ θυγάτηρ τοῦ ἱερέως τῶν εἰδώλων τῆς χώρας ἐκείνης ὑπὸ δαίμονος

---

19. Glyc. 473,16—19. — * τῆς θέας?

ἐλαυνομένη, δι' ἀνέμων ἁρπαζομένη ἔρχεται ἕως τοῦ πλοίου κράζουσα βοαῖς ἀτάκτοις οἷα δαιμονῶσα. Ἐπιτιμήσαντες δὲ τῷ πνεύματι τῷ ἀκαθάρτῳ τὴν μὲν παῖδα ὑγιῆ τοῖς γονεῦσιν ἀπέδωκαν, τοὺς δὲ τὸν τόπον οἰκοῦντας χριστιανοὺς πάντας θερμοὺς καὶ διαπύρους ἐποίησαν. Τοῦτο μαθὼν Λούκιος καὶ φοβηθεὶς μὴ πάντας ὀρθοδόξους ποιήσωσιν, λάθρα αὐτοὺς ἐπανελθεῖν πρὸς τὰ οἰκεῖα ἐν ταῖς ἰδιαίς σκηναῖς ἐν τῇ ἐρήμῳ ἐποίησεν.

CXCV. ΠΕΡΙ ΤΟΥ ΜΑΒΙΑ ΚΑΙ ΤΩΝ ΟΡΘΟΔΟΞΩΝ.

Μετὰ ταῦτα Μαυΐας, ὁ τῶν Σαρακηνῶν βασιλεύς, χριστιανὸς ἦν ἐκ γένους Ῥωμαίων καὶ ληφθεὶς αἰχμάλωτος ἤρεσε διὰ κάλλος τῷ βασιλεῖ τῶν Σαρακηνῶν· καὶ τῷ χρόνῳ εἰς βασιλέα προκόψας πολλὰ κακὰ τοῖς Ῥωμαίοις ἔδρασε, ὥστε καὶ τὸν στρατὸν ἐκτρίψαι σφοδρωτάτῳ πολέμῳ καὶ πόλεις πολλὰς ἐν Παλαιστίνῃ καὶ Ἀραβίᾳ πορθῆσαι. Παρακληθεὶς οὖν εἰρήνην ποιήσασθαι, «οὐκ ἄλλως, ἔφη, τοῦτο γενήσεται εἰ μὴ Μωϋσῆς τις τῷ ὀνόματι μοναχὸς τῷ ἔθνει αὐτοῦ χειροτονηθῇ ἐπίσκοπος», ὃς ἐν τῇ Ῥώμῃ* τοῖς γειτνιάζουσιν τοῖς μέρεσιν αὐτῆς διάγων, ταῖς ἀρεταῖς καὶ τοῖς θαύμασιν ἐξήστραψεν. Τούτου ἡ αἴτησις ἐμηνύθη τῷ βασιλεῖ τῶν Ῥωμαίων, ὃς κελεύει τοῖς στρατηγοῖς μετὰ πολλοῦ τοῦ τάχους τοῦτο ποῆσαι. Ἀγαγόντες δὲ αὐτὸν ἐν Ἀλεξανδρείᾳ χειροτονῆσαι ὑπὸ Λουκίου, αὐτὸς οὐ κατεδέξατο εἰπών, ὅτι «Λούκιος τὰς χεῖρας αὐτοῦ οὐκ ἐπιβαλεῖ μοι· πεφυρμέναι γάρ εἰσι τοῖς τῶν ἁγίων αἵμασι». Καταισχυνθέντος δὲ τοῦ ἀσεβοῦς Λουκίου, τῆς δημοσίας χρείας ἐπικειμένης, ἠναγκάσθη ἡσυχάσαι, ἵνα παρὰ τῶν ἐπισκόπων τῶν ὑπ' αὐτοῦ ἐξορισθέντων Μωϋσῆς τὴν χειροτονίαν δέξηται, ὅπερ καὶ γέγονε· καὶ οὕτως χειροτονηθεὶς ἐδόθη Μαυίῳ καὶ πολλοὺς τοῦ φύλου χριστιανοὺς πεποίηκε· ἱστορεῖ δὲ πολλὰ περὶ τοῦ

---

8. Π. τῆς Μαυΐας καὶ ἀποστόλου Θωμᾶ M. 2, quae rubrica in codice non legitur nec in Par. 1706.—10. Moavia filius Thaur filii Morti Cenditae cujus abnepos Hareth Al, Macsur regnavit a. 488—531; ipse igitur Moavia c. a. 360. (Hamza IX de Cenditis Hirae principibus). — * καὶ? — 17. αὐτοῖς cod. — 20. χειροτονηθῆναι?

ἔθνους ὅθεν τε ἤρξατο καὶ ὅθεν ἐπονομάζεται καὶ ὅτι ιγ΄ ἐτῶν περιτέμνονται ἐν Ἐδέσσῃ τῆς Μεσοποταμίας, ἔνθα Θωμᾶς ὁ ἀπόστολος ἐδίδαξεν.

(2) Ἐλθὼν δὲ ὁ βασιλεὺς Οὐάλης καὶ ἰδὼν τοὺς ὄχλους τῶν ὀρθοδόξων τοὺς ἐκβληθέντας καὶ ἐν τῷ πεδίῳ ποιουμένους τὴν σύναξιν, εἰς τοσαύτην ὀργὴν ἀνήφθη, ὥστε οἰκείαις χερσὶ τυπτῆσαι τὸν ἔπαρχον κατὰ τοῦ προσώπου, ἐπειδήπερ οὐκ ἐδιώχθησαν κἀκεῖθεν οἱ ὄχλοι, καθάπερ αὐτὸς προσέταξεν· ἐκεῖνος δὲ, καίπερ Ἕλλην ὢν καὶ παρὰ τοῦ βασιλέως ὑβρισθείς, ὅμως σκοπῷ φιλανθρωπίας τῇ ἑξῆς μέλλων ἐπὶ πόρθησιν τῶν χριστιανῶν ἐξιέναι, τοῦτο αὐτὸς δῆλον τοῖς πολίταις πεποίηκε διὰ λαθραίων μηνυμάτων, ὥστε μὴ ἀπελθεῖν εἰς τὴν σύναξιν. Ἔωθεν δὲ προιὼν μεγίστῳ φόβῳ ὑπὲρ τοῦ ἔθνους διὰ τῆς αὐτοῦ τάξεως ἑστῶτος *, καὶ πάντα ἐποίει ὥστε μηδένα κινδυνεῦσαι τοῦ λαοῦ· ἑώρα δὲ ὅμως τὸ πλῆθος τοῦ λαοῦ πλεῖον τῆς συνηθείας ἐπὶ τὸν τόπον ἐκεῖνον πορεύεσθαι καὶ συντρέχειν καὶ πολλοὺς ἐπιταχύνειν ὡσανεὶ φοβουμένους μήτις ἐκ τῆς ἀπειλῆς τοῦ θανάτου ἀπολειφθείη· ἐν δὲ τῷ μεταξὺ καί τι γύναιον ὁρᾷ οὕτως ἐπιταχύνον καὶ σπεῦδον ὡς μηδὲ, ἐξιὸν τῆς οἰκίας, προσκλεῖσαι τὰς θύρας μήτε περιμεῖναι εὐπρεπῶς τὸ σχῆμα τῶν γυναικῶν περιβαλέσθαι καθάπερ ἐχρῆν (119b) ἐπιμελῶς· ἔφερε καὶ μεθ' ἑαυτῆς ἡ γυνὴ καὶ παιδίον νήπιον **· σφοδρωτάτῳ δρόμῳ τὴν τάξιν τοῦ ὑπάτου διαῤῥήξασα ἔσπευδεν. Ἐκεῖνος δὲ λοιπὸν οὐ φέρων· «Κατάσχετε, ἔφη, τὸ γύναιον καὶ ἐνταῦθα ἀγάγετε». Ὡς δὲ κατασχεθεῖσα ἠνέχθη πρὸς τὸν ἔπαρχον· «Ποῦ, φησὶν, ὦ δυστυχὲς γύναιον, ἐπιταχύνουσα σπεύδεις;» Ἡ δέ· «Εἰς τὸ πεδίον, ἔφη, ἔνθα ὁ τῶν καθολικῶν ὄχλος συνάγεται».—«Οὐκ ἀκούεις, ἔφη, ὅτι ὁ ὕπαρχος ἐκεῖσε πορεύεται, ἵνα πάντας ἀνελεῖ, οὓς ἂν εὕρῃ;» Ἡ δὲ εἶπεν· «Ἀκήκοα καὶ διὰ τοῦτο σπεύδω, ἵνα ἐκεῖ εὑρεθῶ».—«Τοῦτι δὲ τὸ παιδίον ποῦ ἕλκεις;» ἐκεῖνος ἔφη. Ἡ δὲ ἀπεκρίνατο. «Ἵνα καὶ αὐτὸ μαρτυρίου ἀξιωθῇ». Ταῦτα δὲ οὕτως ἀκούσας ἐπανελθὼν ἐκέλευσε τὴν τάξιν καὶ τὸ ὄχημα εἰς τὸ παλάτιον *** ὑποστρέψαι·

---

13. τὸ ἔθος — ἑστῶτι cod. — * συνείχετο? — 20. ἐφ. δέ? — ** καὶ? — 27. ἔπαρχος? — *** ἐκέλευσε cod. repetit.

εἰσελθὼν δὲ πρὸς τὸν βασιλέα εἶπεν· «Ὦ βασιλεῦ, ἀποθανεῖν με, εἰ προστάττεις, ἕτοιμός εἰμι· τὸ δὲ ἔργον ὅπερ ἐκέλευσας, οὐ δύναμαι ἐκπληρῶσαι». Διδάξας δὲ πάντα καὶ τὰ περὶ τῆς γυναικὸς κατέσχε τὴν τοῦ βασιλέως ὁρμήν.

(3) Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν οἱ πόλεμοι τοῦ ἀσεβοῦς βασιλέως Οὐάλεντος. οὓς κατὰ τῶν τοῦ θεοῦ ἐκκλησιῶν ἐπήγαγε, κατὰ τῶν πολεμίων ἐστράφησαν· Τῶν γὰρ Γότθων ἐκ τῶν ἰδίων τόπων ἐξελθόντων, διὰ πάσης ὁμοῦ τῆς Θρᾴκης ἐξέχεαν ἑαυτοὺς καὶ τοῖς ὅπλοις τὰς πόλεις καὶ τοὺς ἀγροὺς πορθεῖν ἀγρίως ἤρξαντο.

(4) Τότε κατὰ τοῦ Οὐάλεντος ῥήμασιν αἰσχροῖς οἱ πολῖται ἐχρῶντο καὶ ὕβρεσι χαλεπαῖς μὴ ἐξιόντος εἰς πόλεμον.

(5) Ἐξερχομένου δὲ αὐτοῦ *, Ἰσαάκιος ὁ ἱερὸς κρατήσας τοῦ χαλινοῦ τοῦ ἵππου αὐτοῦ ἔφη πρὸς αὐτόν· «Ποῦ βαδίζεις, ὦ βασιλεῦ, κατὰ θεοῦ στρατευόμενος καὶ θεὸν ἔχων ἀντίπαλον;» Πρὸς ὃν ὀργισθεὶς Οὐάλης φρουρεῖσθαι προσέταξε ἀπειλήσας (αὐτῷ) θάνατον, εἰ ἐνανέλθοι, (καθάπερ Ἀχαὰβ τῷ Μιχαίᾳ. Ὁ δὲ τῆς αὐτῆς προφητικῆς χάριτος πληθεὶς ὁμοίως ἐκείνῳ τὴν ἀντίφρασιν ἐπὶ παντὸς τοῦ λαοῦ δέδωκεν εἰπών· «ὅτι ἐπιστρέφων ἐπιστρέψεις, οὐ λελάληκεν ἐν ἐμοὶ ὁ θεός»).

(6) Εἶτα συμβολῆς γενομένης ἐν Ἀδριανουπόλει καὶ ἡττηθεὶς κατὰ κράτος φεύγει σὺν ὀλίγοις εἰς οἴκημα, ὅπερ αἰσθόμενοι οἱ πολέμιοι κατέκαυσαν αὐτὸν σὺν τοῖς συνοῦσιν αὐτῷ τῷ οἰκήματι, (βασιλεύσαντος ἀνοσίως ἔτη ιδ').

(7) Οὐαλεντινιανὸς δὲ ὁ μέγας τῇ πίστει καὶ τῇ εὐσεβείᾳ τέ- 373
λειος καὶ ἀκέραιος τῇ παλαιᾷ τῆς τῶν Ῥωμαίων βασιλείας αὐθεντίᾳ τὴν πολιτείαν ἐκυβέρνα καλῶς· σύνοδον γὰρ ἐν τῷ Ἰλλυρικῷ

---

5. Ced. 547,12—548,9? ἐπὶ αὐτοῦ. — 10. Ced. 548,1—549,3 τῷ γ' ἔτει. Μαθὼν δὲ ἐν Ἀντιοχείᾳ Οὐάλης περὶ τῶν Γότθων ἦλθεν εἰς Κ. Π. ὕβριζον δὲ αὐτὸν οἱ Βυζάντιοι ὡς ἄνανδρον καὶ φυγοπόλεμον. — 11. ἐξιόντι cod. — 12. Ced. 549,3—7. — * πρὸς τὸν τῶν Γότθων πόλεμον Ced. — Ἰ. τις μοναχὸς τῶν μεγάλων κρ. Ced. — 13. ἰ. Οὐάλεντος Ced. — Που ἐξέρχη β. Ced. — 14. Τοῦτον ὁ Ὀ. φρουρᾷ παρέδωκεν ἀπ. θ. Ced. — 18. Ἐὰν ἐπ. ἐπ. ἐν εὑρήνῃ οὐ λ. ἐν ἐ. 1 Regg. XXII. 28, om. Slav. — 20. Ced. 549,17 — 22. καὶ συμβαλὼν αὐτοῖς καὶ ἡτ. — 21. φ. ἐν τινιχωρίῳ καὶ εἰσελθὼν ἐν ἀχυρῶνι μετὰ τῶν συνόντων ἐκρύπτετο κτλ. Ced. — 24. Ced. 546,6 — 13. (τῷ ι' ἔτει) τῆς δὲ δόσεως πάσης τριάδα ὁμοούσιον πρεσβευούσης ἠτήσαντο Οὐαλεντινιανὸν καὶ ἐποίησε σ. ἐν τῷ Ἰ. καὶ τὴν ἐν Ν. π. ἐκύρωσε.

ἐκέλευσε γενέσθαι, ἥτις τὴν ἐν Νικαίᾳ πίστιν ἐβεβαίωσεν· ἔνδικτον δὲ γράψας τοῖς ἐν Ἀσίᾳ καὶ Καρίᾳ ἐπισκόποις ἐμμένειν τοῖς δόξασι παρεγγύησε, κοινωνὸν ἐν τῷ ἐνδίκτῳ προσλαβόμενος τὸν ἀδελφὸν αὐτοῦ Οὐάλεντα καὶ Γρατιανὸν τὸν υἱὸν αὐτοῦ.

(8) Ἔγραψε δὲ καὶ τὰ ὅμοια καὶ ἐν τῷ Ἰλλυρικῷ· συνελθόντων οὖν ἐπισκόπων ἐν Ἰταλίᾳ, ἀποθανόντος ἐν Μεδιολάνῳ Αὐξεντίου, τοῦ τῶν αἱρετικῶν ἐπισκόπου, οἱ ἑκατέρου μέρους ὄχλοι ὑπὸ διαφόρου σπουδὴν ἐποιοῦντο· καὶ ἦν τις αὐτοῖς μεγίστη διχόνοια καὶ ἐπικίνδυνος στάσις· καὶ ἑκάτερον μέρος ὅλεθρον τῇ ἰδίᾳ παρεσκεύαζε πόλει, εἰ μή γε ἡ αὐτοῦ κρατήσειε γνώμη καὶ εἰς ἔργον ἀγάγοι τὸ βούλημα, καίτοι ἐναντίων τῶν προθέσεων αὐτοῖς οὐσῶν. Τότε δὲ τῆς ἐπαρχίας ἐκείνης Ἀμβρόσιός τις τὴν ἀρχὴν διῴκυνεν, ἀνὴρ ἀξιέπαινος ἐν τῇ τῶν Ῥωμαίων (120ª) συγκλήτῳ ἐν πλείστοις ἀξιώμασι διαπρέψας, ὃς καὶ τὴν ἡγεμονίαν ἐπεπίστευτο πάσης τῆς Ἰταλίας παρὰ τῶν ἀσεβῶν βασιλέων Κωνσταντίου καὶ Κώνσταντος, υἱῶν τοῦ μεγάλου Κωνσταντίνου, οὐ μήν, ἀλλὰ καὶ παρὰ τοῦ εὐσεβοῦς βασιλέως Οὐαλεντινιανοῦ, ὃς καὶ παραχρῆμα εἰς τὴν ἐκκλησίαν εἰσῆλθε κωλύων τὴν στάσιν. Ὁ δὲ δῆμος τῆς πρὸς ἀλλήλους ἀφέμενος ἔριδος μιᾷ φωνῇ τὸν Ἀμβρόσιον ἐπεζήτησαν, κατηχούμενον ὄντα, μεγάλως λέγοντες ἑνωθήσεσθαι καὶ μίαν ἀμφοτέροις τοῖς μέρεσι τὴν πίστην ἔσεσθαι, εἰ Ἀμβρόσιος ἐπίσκοπος αὐτοῖς δοθείη.

(9) Ὅπερ γνοὺς ὁ θεοσεβὴς Οὐαλεντινιανὸς ἐκέλευσε μυηθῆναι καὶ χειροτονηθῆναι Ἀμβρόσιον, πολλὰ περὶ ἀρετῆς μαρτυρήσας αὐτόν· χειροτονηθέντος δὲ αὐτοῦ, τοῦτον τὸν ὕμνον ὁ βασιλεὺς τῷ θεῷ ἀνεπέμψαι· «Χάρις σοι, δέσποτα παντοκράτορ καὶ σῶτερ ἡμέτερε,

---

2. ἔγραψεν Οὐαλεντινιανὸς Ced. — καὶ Φρυγίᾳ καὶ πᾶσι τοῖς ἐν τῇ ἀνατολῇ ἐπ. Ced. — τ. ὡρισμένοις παρὰ τῆς συνόδου παρεγγυώμενος, κοινωνὸς αὐτοῦ καὶ Ὁ. τὸν ἀδ. καὶ Γρ. τὸν ὑὸν πρ. ἐν τῷ ἰ. Ced. — 5. Ced. 545,21 — 546,2: Τῷ ι' ἔτει Ἀμβρόσιος μετὰ Εὐδόξιον τῆς ἐκκλησίας Μεδιολανῶν ἡγήσατο, Οὐαλεντινιανοῦ τοῦ βασιλέως ἐκεῖσε διάγοντος· καὶ γὰρ τὸν Ἀμβ. ἐπὶ τῷ διαλῦσαι τὴν ἀμφισβητουμένων αἱρετικῶν τὰς ἔριδας ἀποσταλέντα, ἔτι κ. ὁ. ἐξαιτησάμενος ὁ λαὸς ἐβάπτισε καὶ ἐπίσκοπον Μ. ἐποίησεν. — 7. ἐπὶ δ. vel δ.? — 23. Ced. 546,3 — 6. Ὁ. ἀκούσας Ὁ. ὁ βασιλεὺς χ. σοι, ἔφη ὦ δ. — 25. χειροτονηθέναι δὲ — ἀναπέμψαι cod.

ὅτι τῷδε τῷ ἀνδρὶ ἐγὼ μὲν σώματα, σὺ δὲ ψυχὰς* ἐνεχείρισας καὶ ** τὰς ἐμὰς ψήφους δικαίας ἀπέφηνας».

(10) Φασὶ δὲ, ὅτι τοὺς ἄρχοντας ἀδικοῦντας γενναίως Ἀμβρόσιος ἐπὶ τοῦ βασιλέως διήλεγχεν.

(11) Ἐν δὲ τῷ μεταξὺ, ἐπὶ τῶν πολέμων τῶν Σαυρομάτων, 374 375
ὁ Οὐαλεντινιανὸς ὁ μέγας ἐκ τῶν μερῶν τῆς Γαλλίας εἰς τὸ Ἰλλυρικὸν ἐλθεῖν βουλόμενος καὶ τοῦ πολέμου ἀρχὴν λαβόντος, ἀῤῥωστίᾳ αἰφνιδίῳ συσχεθεὶς ἐτελεύτησε· πρέσβεις γὰρ Σαυρομάται ἐξαπέστειλαν ἐξαιτούμενοι εἰρήνην· οὓς Οὐαλεντινιανὸς θεασάμενος ἤρετο εἰ πάντες *** Σαυρομάται τοιοῦτοι τυγχάνουσιν ὄντες τὰ σώματα· τῶν δε εἰπόντων, ὅτι τοὺς παρ' αὐτοῖς ἀρίστους ἀπέστειλαν, ἀνακράξας μέγα, δεινὰ τὴν βασιλείαν Ῥωμαίων ὑπομένειν, εἰ Σαυρομάτων οἱ ἄριστοι τοιοῦτοι Ῥωμαίους τολμᾶσθαι πολεμεῖν· ἐκ δὲ τῆς διατάσεως τοῦ θυμοῦ φλεβὸς ῥαγείσης καὶ αἵματος πολλοῦ ἐκχυθέντος, τελευτῆσαι αὐτὸν ἔν τινι φρουρίῳ Γαλλίας.

CXCVI. ΒΑΣΙΛΕΙΑ ΓΡΑΤΙΑΝΟΥ ΚΑΙ ΟΥΑΛΕΝΤΙΝΙΑΝΟΥ ΤΩΝ ΥΙΩΝ ΤΟΥ ΜΕΓΑΛΟΥ ΟΥΑΛΕΝΤΙΝΙΑΝΟΥ.

Ὀρθοδοξώτατος ὢν καὶ δοῦλος Κυρίου κληρονόμους καταλείπει 375
τῆς βασιλείας αὐτοῦ Γρατιανὸν, τὸν υἱὸν αὐτοῦ, Αὔγουστον ὄντα, καὶ Οὐαλεντινιανὸν, νέον κομιδῇ τυγχάνοντα καὶ μήπω τῶν βασιλικῶν συμβόλων καταξιωθέντα, ὃν ἡ ἀνάγκη τῶν ἐπιχειρούντων τὸν τόπον τῆς βασιλείας ἁφαρπάζειν, ὡς σχολάζοντα, παρεσκεύασεν αὐτὸν καὶ, ἀπόντος τοῦ ἀδελφοῦ, τὴν πορφύραν ἐνδύσασθαι, Πρόβου τῷ τηνικαῦτα πιστῶς τὸ πρᾶγμα μεταχειρισαμένου ****.

---

* ἀνθρώπων Ced. — ** ταύτη Ced. — 5. Ced. 547,1—10. Τῷ ια' ἔτει Ὀ. ὁ μ. ἐτ. βασιλεύσας ἔτη ια' τρόπῳ τοιῷδε· οἱ Σ. ὑπ' αὐτοῦ ἡττηθέντες πρ. πρὸς αὐτὸν ἐπέμψαν αἰτοῦντες ἐ. αὐτοῦ δὲ τούτους ἐρωτῶντας, εἰ. — *** οἱ Ced. — 10. τ. εἰσιν ἀκρότατοι καὶ αὐτῶν ἐ. ὅτι τ. κρείττονας πάντων ὧδε ἔχεις καὶ ὁρᾷς, ἀν. βιαίως ἔφη δ. Ῥ. ἡ βασιλεία ὑπομένει εἰς Οὐαλεντινιανὸν λῆξασα, εἰ Σαυρομάται τ. ὄντες οἰκτρότατοι Ῥωμαίοις κατεξανίστανται Ced. — 14. τάσεως καὶ τοῦ κρότου τῶν χειρῶν φ. β. καὶ πλείστου ἀναδοθέντος ἁ. ἐν τ. φ. Γ. θνήσκει Ced. — 17. Deest. rubrica in M 2 et Par. 1706. — 19. κατέλιπε? — **** Ἐπὶ Γρατιανοῦ Μελέτιος Ἀν-

379 Ian. 19. (2) Ὅστις ἐβασίλευσεν ἔτη γ' καὶ μετὰ Θεοδοσίου ἔτη γ'· οὗτος γὰρ τὸν μέγαν Θεοδόσιον προεχειρίσατο βασιλέα ἐν Βυζαντίῳ, ἀγαγὼν ἐξ Ἰσπανίας πρὸς τὸ πολεμεῖν τοὺς Σκύθας· αὐτὸς δὲ ἐν Ῥώμῃ διέτριβεν.

393 Iul. 25. (3) Μάξιμος δέ τις Βρετανὸς δυσανασχετῶν, ὅτι Θεοδόσιος ὑπὸ Γρατιανοῦ βασιλείας ἠξίωται, ὡς μηδεμιᾶς τυχὼν τιμῆς, διήγειρε τοὺς ἐν Βρετανίᾳ ἀντᾶραι Γρατιανῷ, ὄντινα καὶ ἀνεῖλε· μετετέθη δὲ ὑπὸ Θεοδοσίου Γρατιανὸς εἰς τοὺς βασιλικοὺς τάφους, ὅστις τοσοῦτον εὐστόχως ἐπὶ πολὺ ἐτόξευεν, ὡς λέγειν τινὰς τὰ Γρατιανοῦ βέλη φρένας ἔχειν.

(4) Κατ' ἐκείνους δὲ τοὺς καιροὺς σεισμὸς (μέγας καὶ φοβερώτατος) γέγονεν, ὡς ἐν Ἀλεξανδρείᾳ ὑποχωρῆσαι (μὲν) τὴν θάλασσαν ἐπὶ πολύ, τὰ δὲ πλοῖα ὡς ἐπὶ ξηρᾶς εὑρεθῆναι κείμενα. Πλήθους δὲ λαοῦ συνδραμόντος εἰς θέαν τοῦ παραδόξου θαύματος καὶ τοῦ ὕδατος πάλιν ὑποστρέψαντος (120[b]) καὶ ἐκβεβληκότος μακρότερον τοῦ συνήθους τόπου, κατεποντίσθησαν ἀνθρώπων μυριάδες ε'· (καὶ τὰς μὲν ἐκεῖθεν προσορμιζούσας ναῦς τὸ ὕδωρ κατεκάλυψεν, τὰς δὲ ἐν τῷ ποταμῷ Νείλῳ εὑρεθείσας ἀπέῤῥιψεν ὁ ποταμὸς εἰς ξηρὰν μετὰ πολλῆς τῆς ῥύμης μέχρι σταδίων ρπ'· ἀλλὰ μὴν) καὶ τῆς Κρήτης καὶ τῆς Ἀχαΐας καὶ τῆς Βοιωτίας καὶ τῆς Ἠπείρου καὶ Σικελίας τὰ πλεῖστα μέρη (συνέβη τότε) ἀπολεσθῆναι, τῆς θαλάσσης ἀνελθούσης· καὶ πολλὰ πλοῖα, ὑψωθέντος τοῦ ὕδατος, ἐπὶ ὀρέων ἐῤῥίφη ἄχρι σταδίων ρ' (τάς τε Βρετανικὰς νήσους καὶ τῆς Ἀφρικῆς τὰ αὐτὰ καὶ πλείονα ὑποστῆναι· καὶ σχεδὸν πά-

---

τιοχείας ἐν Κωνσταντινουπόλει γινόμενος καὶ Δημόφιλον εὑρὼν τὰς ἐκκλησίας κατέχοντα, Γρηγόριον τὸν θεολ. ἐκ Ναζιανζοῦ ἤγαγε πρὸς τὴν τῆς Ἀρειανικῆς πλάγης καθαίρεσιν καὶ κατάλυσιν (Scholion).

1. Ced. 550,12—17? de Gratiano, ut Leo. — 5. Ced. 551,1—13: Μαξιμιανὸς δέ τις Βρ. ὅτι τὸν Θεοδόσιον ὁ Γρ. βασιλέα ἐποίησεν, — 6. ὥστε cod. αὐτοῦ — τυχόντος Leo, Ced. — 9. ὃς ἐπὶ τ. εὐστ. ἐτ. Ced. — 12. Περὶ τῶν σεισμῶν. Glyc. 473, 21—474,10, Ced. 550,17—551,10: Ἐπὶ Γρατιανοῦ σ. ἐν Ἀλ. γ. ἐπὶ τοσοῦτον ὡς ἐπὶ π. ὑπ. τὴν θ. καὶ τὰ πλ. ἐπὶ ξ. ἑστάναι. — 14. Π. δὲ πολλοῦ ἐπὶ τῷ παραδόξῳ θεάματι συνδεδραμηκότος, τῶν ὑδάτων ἀθρόως ἐκδραμόντων ε' μ. ἀνῶν κ Ced. — 21. Κρ. δὲ καὶ Ἀχ. καὶ Β. Ἠ. τε καὶ Σ. πλ. Ced. — 23. καὶ ἐπικλυσάσης αὐτὰ ὡς καὶ ἐπὶ ὀ. ἀποῤῥιφῆναι πλοῖα ἀ. στ. ρ' Ced.

σης τῆς οἰκουμένης τὰ πρὸς τῇ θαλάσσῃ τὰ μὲν ὑπὸ τοῦ σεισμοῦ, τὰ δὲ ὑπὸ τῆς θαλάσσης κατεποντίσθη· καὶ μέντοι ἐν τοῖς βυθοῖς καὶ ἐν τοῖς μεγάλοις πελάγεσι τὰ ἀμφὶ τὸ Ἀδρίαν καὶ Αἰγαῖον πέλαγος καὶ ἄλλα πλεῖστα ὑπεχώρησε καὶ διέστη ὡσεὶ τεῖχος ἔνθεν τὰ ὕδατα, καὶ ἐφάνη ἡ ξηρά· καὶ πολλὰ τότε πλοῖα εὑρέθησαν πλέοντα καὶ εἰς τὸν πυθμένα καθίσαντα καὶ πάλιν ἀνήχθησαν τῇ τοῦ ὕδατος καταστάσει. Συνεχῶν δὲ καὶ ἐπαλλήλων τῶν σεισμῶν γενομένων, ἡ μὲν Νίκαια τῆς Βιθυνίας πόλις πᾶσα συνέπεσε καὶ τὰ κύκλῳ τῶν προαστείων ἀγροὶ καὶ ἔργα πλεῖστα. Ἡ δὲ Γέρμη καλουμένη πόλις τοῦ Ἑλλησπόντου πᾶσα ἐκ θεμελίων κατεποντίσθη· καὶ πρὸς τούτοις χάσματα πολλὰ κατὰ διαφόρους τόπους ἐγένοντο, ὡς ἐκ τοῦ φόβου ἐν τοῖς ὄρεσι μένειν τοὺς ἀνθρώπους· ἐκ δὲ τῆς ἀβροχίας πολλὰ ζῷά τε καὶ ἄνθρωποι διεφθάρησαν).

(5) Ὁ δὲ προειρημένος Γρατιανὸς ἐβασίλευσεν ἔτη ς'· ὁ δὲ Οὐαλεντινιανὸς ἐβασίλευσεν ἔτη γ' καὶ ἀπέθανε.

CXCVII. ΒΑΣΙΛΕΙΑ ΘΕΟΔΟΣΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ.

Μετὰ δὲ τοῦτον ἐβασίλευσε Θεοδόσιος ὁ μέγας ἔτη ις'. Τότε ὁ πατὴρ Θεοδοσίου, καὶ αὐτὸς Θεοδόσιος καλούμενος, τοῖς τῶν μεγάλων * τροπαίοις περιπνέων, τῇ ἐκκοπῇ τῶν βαρβαρικῶν ἐθνῶν, τοὺς Ῥωμαίων ὅρους εὐπορωτέρους ἐποίησεν. Ὁρῶν δὲ τὸν ἑαυτοῦ υἱὸν τῇ μὲν ἐλπίδι μέγαν, τῷ δὲ χρόνῳ μικρὸν — μόλις γὰρ ἦν τοῦ βαθμοῦ τῆς νεότητος ἐπιβεβηκώς—συγκλητικῷ τινι ἀμαξοβίῳ, κοινωνῷ αὐτοῦ τυγχάνοντι τῆς γνώμης καὶ τῶν πόνων, παρέδωκεν ἐκπαιδεύειν, ὅστις ἀμαξόβιος ἐγχειρισθέντα αὐτῷ τὸν νέον πραϋτάτῃ διδασκαλίᾳ καὶ αὐστηροτέρᾳ ** κολακείᾳ εἰς λαμπρὰν ἄσκησιν τῆς ζωῆς ἐστερέωσεν. Ἐκεῖσε τοίνυν ὄντος Θεοδοσίου, καθ' ὕπνους ἑαυτὸν εἰδέναι λέγεται βασιλικῇ χλαμύδι καὶ πορφύρᾳ κεκοσμημένον.

---

3. τὸν Ἀνδρίαν cod.—9. κύκλα cod., κυκλόθεν προαστεῖα?—12. τὸν φόβον cod.—* Ῥωμαίων?—19. τρόπαι cod.—22. et 24, Ἀμαξ.?—** καὶ οὐ? sed cf. Historiam miscellam: *Theodosius—in Hispania morabatur, ubi et ortus fuerat et nutritus.*—26. Hist. misc. *Inter haec* (victoriam de Alanis, Hunnis, Gothis reportatam) *divinam visionem vidit — Gratianus Theodosium purpura induit — consulatu Ausonii et Olybrii* (379).

Οὐαλεντινιανοῦ δὲ τοῦ γέροντος τελευτήσαντος. Μάξιμος ὁ δήμιος τὴν ὑπαρχότητα τῶν Γαλλιῶν εἰς μανίαν ἔτρεψε καί τινα συσκευὴν πεποιηκὼς Θεοδόσιον τὸν πρεσβύτερον τροπαίοις κεκορεσμένον σφαγῆναι προσέταξε, ὃς πρὶν τελευτῆσαι τὸ θεῖον βάπτισμα δεξάμενος καὶ εἰς τὴν ἀθανασίαν ἀναγεννηθεὶς ἐτελεύτησε. Κατὰ δὲ τὸν αὐτὸν καιρὸν ὁ νεώτερος Θεοδόσιος ἐν τῇ τοῦ δουκὸς ἀξίᾳ ἐτύγχανε· τῷ δὲ αὐτῷ βέλει τοῦ φθόνου, ὅπερ καὶ ὁ πατὴρ, διὰ Μάξιμον ὁμοίως ἀδίκως ὑπέπιπτεν· (121ª) ἀλλ' ὁ θεὸς αὐτὸν διεσώσατο, μεινάσης παρ' αὐτῷ τῆς ἀξίας καὶ τῆς οὐσίας ἀναδοθείσης, εἰς τὴν πατρῴαν γῆν τῶν Σπανίων, ἐν ᾗ ἐγεννήθη, ἐφοίτησε προστάγματι βασιλικῷ ἐκεῖσε ἡσύχως καὶ πράως τὸν βίον διάγων. Πλακίλλαν δὲ τὴν γενομένην Αὐγούσταν ἠγάγετο τότε καὶ βασιλέας ἐξ αὐτῆς ποιήσας, ἥτις τὴν φύσιν τῷ λογισμῷ καὶ τὴν φήμην τοῖς ἐγκωμίοις ἐνίκα.

(2) Ἐν δὲ τῷ μεταξὺ Οὐάλης γράμματα ἐκπέμπει πρὸς τὸν βασιλέα Γρατιανὸν προστάξας Θεοδόσιον ἀποσταλῆναι πρὸς αὐτόν. Ἀρξάμενος δὲ τῆς ὁδοιπορίας Θεοδόσιος καὶ γνοὺς τὴν Οὐάλεντος τελευτὴν ἔρχεται εἰς πόλιν καλουμένην Σέρμιον. Τῶν δὲ Γότθων πᾶσαν πόλιν καὶ χώραν ἀφειδῶς λυμαινομένων καὶ τῶν Ῥωμαϊκῶν στρατοπέδων φευγόντων ἀπὸ προσώπου αὐτῶν, τότε Θεοδόσιον ἐν τῷ Σερμίῳ διάγοντα Γρατιανὸς προσκαλεῖται βουλῇ τῆς συγκλήτου Ῥωμαίων φθονούσης αὐτῷ, ἢ σὺν ὀλίγοις στρατιώταις εἰς τοσοῦτον ὠμὸν πόλεμον ἀποσταλῆναι Θεοδόσιον πείθει, ἐπικινδύνῳ ἀξιώματι τιμηθέντα στρατηλάτου ἀξίᾳ, τὸν βασιλέα παρέπεισε. Καὶ ὁ μὲν βασιλεὺς τῶν ἐπιβουλῶν καὶ τοῦ φθόνου οὐ ἐ ἔγνω· κατὰ κράτος δὲ τοὺς νομιζομένους ἀηττήτους εἶναι Γότθους νικήσας Θεοδόσιος σὺν τάχει πολλῷ, τῷ βασιλεῖ τροπαιοφόρος παραστὰς θείᾳ ψήφῳ

---

1. ὁ δείλαιος? *tyrannus* (Marcellinus Hist. misc.)? — 7. ᾧπερ? — Μαξίμου? cf. Hist. misc: *Ea tempestate Theodosius tam propter parentum nobilitatem quam pro fortitudine propria nominatissimus habebatur et ob hanc causam invidia similium judicum fatigatus* — 13. Glyc. 474,28—21 cf. Historian miscellam. *Cumque imperator quid faceret haesitaret, quippe cum Barbari elati victoria inexpugnabiles esse viderentur — ascivit ex Hispania Theodosium et — magistrum militum esse denuntians, cum exercitu ad Barbaros destinavit.* — 20. καὶ σὺν cod. — 25. τὸν τῶν ἐπιβουλ. καὶ τοῦ φ. τοῦ κατὰ φύ. ἐσπτώτ. cod. sed Hist. misc. *Gratianus — cunctis faventibus* etc.

τὸ βασιλικὸν διάδημα περιβάλλεται. Γρατιανοῦ χειροτονοῦντος αὐτὸν, καινῇ τινι καὶ θαυμαστῇ περιεβλήθη πορφύρᾳ ὡς ἀρχαῖος βασιλεύς· καὶ ἐπειδὴ τοὺς ὤμους αὐτοῦ ὑπὲρ ἄνθρωπον ὑψηλοὺς ὄντας διαφόροις βασιλικοῖς χλαμύσιν ἐνδύειν οὐκ ἠδύνατο — πάντας γὰρ ὑπερεῖχε τῷ μεγέθει· πᾶσαν ἐσθῆτα διὰ τὸ ὕψος μικρὰν ἀπέφηνεν — τέλος Κωνσταντίνου τοῦ εὐσεβεστάτου βασιλέως τῇ πορφύρᾳ κοσμηθεὶς ἐξέλαμψεν, ἐκ τετραγόνου ἁρμοσάσης αὐτῷ.

(3) Οὗτος Γρατιανὸς τὰ τῆς δύσεως μέρη ἐπ' αὐτῷ καὶ τῷ ἀδελφῷ διεφύλαξεν, Θεοδοσίῳ δὲ τὴν τῆς ἀνατολῆς φροντίδα ἐπέτρεψεν. Πολλὰ δὲ εὐσεβῶς καὶ γενναίως κατορθώσας ὁ Γρατιανὸς παρὰ Μαξίμου τοῦ τυράννου [ἐν] ταῖς Βρεττανίαις ἐπαναστάντος, δι' Ἀνδραγαθίου τοῦ δουκὸς ἐν Λουγδούνῳ παρὰ τῶν ἰδίων προδοθείς, μᾶλλον δὲ βίᾳ τῶν πολεμίων συσχεθείς, ἀνῃρέθη.

(4) Οὐαλεντινιανὸς δὲ ὁ νεώτερος τούτου ἀδελφὸς ἐν Ἰταλίᾳ διάγων ὑπὸ τῆς σφαγῆς τοῦ ἀδελφοῦ καὶ τοῦ φόβου τοῦ πολέμου πτοηθείς, εἰρήνης αὐτῷ καθ' ὑπόκρισιν προταθείσης παρὰ Μαξίμου, καὶ αὐτὸς ὑποκρινάμενος ἡδέως ἐδέξατο.

(5) Ἰουστῖνα δὲ τότε ἡ μήτηρ αὐτοῦ τῆς Ἀρειανῶν αἱρέσεως τὰ φάρμακα τῆς ἀσεβείας, ἃ περιόντος τοῦ ἀνδρὸς ἔκρυπτεν, εὐμαρῶς ἀπατηθέντι τῷ υἱῷ μετὰ θάρσους ἀπεκάλυψε καὶ πείθει αὐτὸν διὰ στρατιωτικῆς χειρὸς τὸν μὲν Ἀμβρόσιον ἀνθιστάμενον αὐτῷ τῷ ὀρθῷ λόγῳ τῆς ἐκκλησίας Μεδιολάνων ἐξῶσαι καὶ εἰς ἐξορίαν πέμψαι, τὴν ἐκκλησίαν δὲ διαρρῆξαι καὶ πολεμεῖν τὰ ἅγια. Βενίβολος δὲ τότε ἐν ἀξιώματι ταῖς ὑποσχέσεσι τῆς βασιλίδος μὴ εἴξας, τῆς στρατιωτικῆς ζώνης καὶ τῶν ἀξιωμάτων τὴν ὀρθόδοξον πίστιν προκρίνας τοῖς ποσὶ τῶν βασιλέων τὴν (121ª) ἑαυτοῦ ζώνην ἀπέρριψεν.

(6) Μάξιμος δὲ ὁ τύραννος θέλων τὸ τοῦ τυράννου ἄτιμον ὄνομα ἐκδύσασθαι καὶ νόμιμον ἐπιδείξασθαι ἑαυτὸν βασιλέα, γράμματα

---

4. παφορ. βᾶ. χλαμύδ. cod. — 5. μικροῦ codex. — 8. Ced. 531.3 — 10: Καὶ ἀποστέλλει Ἀνδραγάθιον, ὃν παραυτὰ διὰ στρατιωτῶν παρεσκευασμένων ὄντων ἐπὶ τούτου, Γρατιανὸν διεχειρίσατο. **Marcellinus:** ***Ind. XI, Merobaude II et Saturnino coss. Gratianus imp. Maximi tyranni dolo apud Lugdunum occisus est VIII K. Sept*** — 14. Ced. 531,14—17: Ἀδ. δὲ Γρατιανοῦ, ὁμώνυμος τῷ πατρὶ Οὐαλεντινιανῷ, ἔτι περιὼν τοὺς ἐν ἐξορίᾳ ἐπισκόπους ἀνεκαλέσατο καὶ τὰς ἰδίας ἐκκλησίας ἀπέδωκεν αὐτοῖς, ἐκδιώξας τοὺς Ἀρειανοὺς Δαμάσου τοῦ πάπα Ῥώμης αὐτῷ συμπράττοντος.

ἐκπέμψας τὸ ἀσεβὲς ἐπὶ τῆς Ἰουστίνης ἀπεφαύλιζε καὶ τὸ πολεμεῖσθαι τὴν πίστιν τοῦ θεοῦ καὶ τὴν κατάστασιν τῆς καθολικῆς ἐκκλησίας ἀνατρέπεσθαι ἀπηγόρευσεν· καὶ οὕτω πλησιάζειν τῆς Ἰταλίας ἤρξατο.

(7) Τοῦτο δὲ Ἰουστῖνα μαθοῦσα, τοῦ τε πολεμίου ἅμα καὶ τῆς συνειδήσεως τῆς ἀσεβοῦς ἐπικειμένων αὐτῇ, εἰς φυγὴν τραπεῖσα, πρώτη τὴν ἐξορίαν ἐκληρώσατο, ἣν τοῖς ἱερεῦσιν αὐτὴ ἡτοίμασεν. Τοιγαροῦν μετὰ τῆς ἀθεμίτου μητρὸς πεφευγὼς ὁ βασιλεὺς Οὐαλεντινιανὸς ὁ νέος τῆς Ἰταλίας ἐστερήθη καὶ τῆς οἰκείας ἐξεβλήθη βασιλείας.

(8) Ἐλθὼν οὖν ἐν τῇ ἀνατολῇ οὕτως ἐπεδέχθη παρὰ τοῦ εὐσεβοῦς βασιλέως Θεοδοσίου, ὥστε δοκεῖν αὐτὸν μᾶλλον τῶν μερῶν ἐκείνων βασιλεύειν ἢ ἐν ἐξορίᾳ διάγειν· παραχρῆμα δὲ διὰ Θεοδοσίου καθαρθεὶς ἀπὸ τῆς φαυλότητος τῆς αἱρέσεως τῆς ἀκαθάρτου τὸν ἰὸν ἐξέχεεν, ἐν ᾧπερ αὐτὸν ἡ ἀνόητος ἔβλαψε μήτηρ καὶ τὸν Χριστὸν ἀνεδέξατο πιστοτάτῃ προτροπῇ Θεοδοσίου· πολλάκις γὰρ εἰς τὴν ἐλπίδα τῆς πίστεως διὰ Θεοδοσίου ἐκπαιδευθείς, ἔμαθε τὴν βασιλικὴν παράταξιν οὐ δι' ὅπλων ἑστάναι, ἀλλ' ἐξ ἀγαθῶν προφάσεων. Τοιοῦτος δὲ ἦν ὁ λόγος ὁ παρὰ Θεοδοσίου πρὸς τὸν Οὐαλεντινιανόν· «Οἶδα, φησίν, πολλάκις, Οὐαλεντινιανέ, παρὰ τῶν εὐσεβεστάτων βασιλέων, ἡσυχάζοντος τοῦ στρατοπέδου, τὴν νίκην κατορθωθεῖσαν καὶ τοὺς πολεμίους ὑποταγέντας ὑποτελεῖς γενέσθαι τοῦ προλαβόντος κινδύνου· οὕτως ὁ ἔνθεος Κωνσταντῖνος ταῖς βοηθείαις τοῦ θεοῦ ἀνορθωθεὶς καὶ Λικίννιον τὸν τοῦ θεοῦ τύραννον ἐν ναυαγίῳ διέφθειρεν· οὕτως ὁ ἔνδοξος Οὐαλεντινιανὸς ὁ σὸς πατὴρ εὐτυχέστερον τὴν βασιλείαν ἀβλαβῆ παρὰ τῶν πολεμίων ἰθύνων ἐτελεύτησε, τοῦ θεοῦ ἐκδικοῦντος αὐτὸν καὶ μάχας ἀναριθμήτους καὶ νίκας ἀνεδείξατο, πολλοὺς βαρβάρους καὶ διαφόρους ἀνελών. Οὐάλης δὲ ὁ θεῖος ὁ σὸς τῷ θεῷ ἀντιπαρατάττων ἐμίανε τὴν ἐκκλησίαν ὁ βέβηλος διὰ τῆς σφαγῆς τῶν ἁγίων καὶ τῆς ἐξορίας τῶν ἱερέων, ὃς τῇ τοῦ θεοῦ βουλήσει ὑπὸ τῶν Γότθων πολιορκηθεὶς καὶ ἡττηθεὶς ἐκαύθη. Σὺ οὖν αἱρετικοῦ ὄνομα λαβεῖν ἀνέξῃ ἀπιὼν εἰς πόλεμον; ὀρθῶς τὸν Χριστὸν σέβεται ὁ ἀδίκως σε ἐκβαλών· ἡ σὴ ἀπιστία εὐκαιρίαν Μαξίμῳ συνεισήνεγκεν· ἐκεῖνος μόνον

τοῦ βασιλεύειν ἐστὶ τύραννος, σὺ δὲ πολέμιος ἤρξω τοῦ θεοῦ καθεστάναι· δώσω σοι στρατὸν καὶ παρέξω σοι βοήθειαν· ἀλλ' εἰ τὸν Χριστὸν βλάπτομεν, τίνα παρακαλέσωμεν μαχόμενοι;» Ταῦτα καὶ τὰ τούτων πλείονα νουθετήσας Θεοδόσιος Οὐαλεντινιανὸν εἰς τὴν ὀρθόδοξον πίστιν μετήγαγεν.

(9) Ἐν δὲ τῷ μέσῳ τῆς μητρὸς αὐτοῦ τελευτησάσης, Θεοδόσιος διὰ τὴν πίστιν καὶ τὴν χρηστότητα τοῦ βασιλέως Γρατιανοῦ, καὶ τῶν εὐεργεσιῶν αὐτοῦ μεμνημένος εἰς ἄμυναν πάσας τὰς τῆς ἀνατολικῆς δυνάμεις ἐξάξας, ἐξεδίκησε τὸ δίκαιον αἷμα καὶ τὸν Οὐαλεντινιανὸν κατέστησεν ἐπὶ τὴν βασιλείαν, ἐκβαλὼν τὴν τυραννίδα (122[a]).

(10) Αὐτὸς δὲ μετὰ ταῦτα εἰσελθὼν εἰς τὴν Ῥώμην καὶ θριαμβεύσας τὴν νίκην εἰς τὴν βασιλίδα ἐπανῆλθε τῶν πόλεων.

CXCVIII. ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΑΡΣΕΝΙΟΥ *.

Ἐν ταῖς ἡμέραις οὖν, ἐν αἷς ὁ ἀγαθὸς θεὸς ἐξήγειρε Θεοδόσιον βασιλέα τὸν μέγαν καὶ ἐνεπίστευσεν αὐτῷ τὸν θρόνον τῆς βασιλείας Ῥωμαίων, ἠγάγετο εἰς γυναῖκα τὴν θυγατέρα τοῦ πρὸ αὐτοῦ βασιλέως Πλακίλλαν ὀνόματι καὶ ἔτεκεν ἐξ αὐτῆς δύο υἱοὺς Ἀρκάδιον καὶ Ὀνώριον.

(2) Αὐξησάντων δὲ τῶν παίδων, ἦλθον εἰς ἡλικίαν τοῦ ἐκμανθάνειν γράμματα· καὶ ἐξαπέστειλεν εἰς πᾶσαν τὴν ὑπ' αὐτὸν βασιλείαν ζητῆσαι ἄνδρα ἑλλόγιμον καὶ ἀσκητήν, κεκοσμημένον ἐν ἀληθείᾳ τὸν φόβου τοῦ θεοῦ, ἔχοντα θεογνωσίαν εἰς ἄκρον, ὡς ὀφείλων παραδοῦναι αὐτῷ τοὺς υἱοὺς αὐτοῦ· οὐκ ἠβούλετο γὰρ εἰς σχολεῖον αὐτοὺς ἐμβαλεῖν ἢ ὑπὸ ἀτάκτων διδασκάλων παιδευθῆναι, ἵνα μὴ μάθωσιν ὑπὸ ἄλλων παιδίων, ἃ ὁ θεὸς οὐ θέλει καὶ τυπωθῶσιν ἐν λόγοις ἀνωφελέσιν. Ταῦτα ὁ βασιλεὺς λογισάμενος σπουδὴν πᾶ-

---

1. βασιλ. cod. — 6. *Ind. I. Theodosio A. II. et Cynegio coss. Valentinianus — et Theodosius Maximum — apud Aquilejam rebellantem vicerunt* (Marcellinus) — 12. *Ind. II. Timasio et Promoto coss. Theodosius Imp. — Romam mense Iunio introivit — urbeque egressus est K. Sept.* (Marc.). — * καὶ μοναχοῦ M. 2. — 15. Glyc. 473,1—476,9, Ced. 573,11—17. — 21. αὐτοῦ codex, sed infra αὐτὸν.

σαν ἐποιεῖτο τοῦ εὑρεῖν ἄνδρα τοιοῦτον· καὶ τῶν διαταγμάτων ἐκπεμφθέντων κατὰ πᾶσαν τὴν ὑπ' αὐτὸν βασιλείαν οὐκ ἠδυνήθησαν εὑρεῖν τινα τοιοῦτον κατὰ τὸν ἐνιστάμενον αὐτῷ λογισμόν, ἀλλά ποτε μὲν ἄνδρα φιλόσοφον, ἀλλ' οὐ φιλόθεον, ποτὲ δὲ πάλιν φιλόθεον, ἀλλ' οὐ φιλόσοφον· ηὔξησαν δὲ οἱ παῖδες· καὶ οὐκ ἠνέσχετο εἰς σχολεῖον ἐκδοῦναι αὐτοὺς δι' ὃν εἴρηται τρόπον.

(3) Καὶ μὴ εὑρὼν καθὼς ἐζήτει, ἀπέστειλεν ἐν τῇ Ῥώμῃ πρὸς τὸν ἐν αὐτῇ βασιλέα τοῦ εὑρεῖν παρ' αὐτοῦ τοιοῦτον ἄνδρα, γράψας αὐτῷ, ὅτι «μεγάλως μοι χαρίζῃ τοῦτο ποιῶν». Ὁ οὖν βασιλεὺς προσκαλεσάμενος τὸν πάπαν δείκνυσιν αὐτῷ τὰ γράμματα Θεοδοσίου τοῦ βασιλέως εἰπών, ὅτι» ἀνένδεκτόν ἐστι μὴ ποιῆσαι τῷ συμβασιλεύοντι ἡμῖν τὴν αἴτησιν ταύτην· αἰσχύνη γάρ ἐστι τοῦ ἡμετέρου κράτους μὴ εὑρεθῆναι ἐν τῇ μεγίστῃ Ῥώμῃ ἄνθρωπον τοιοῦτον»· καὶ ἐρευνήσαντες καὶ ἐπιζητήσαντες οὐχ εὗρον· ἐπὶ πολὺ οὖν διερευνώντων αὐτῶν καὶ διαλογιζομένων καὶ ἀδολεσχούντων περὶ τούτου, εἶπεν ὁ πάπας τῷ βασιλεῖ· «Ἔστι παρ' ἡμῖν διάκονός τις παρθένος μετὰ τῆς ἰδίας ἀδελφῆς ὀνόματι Ἀρσένιος· ὅμοιος γὰρ αὐτῷ ἄλλος οὐκ ἐστιν ὁ ὀφείλων, καθὼς ἐπιθυμεῖ ὁ βασιλεὺς Θεοδόσιος, παιδεύσῃ τε τὰ τέκνα αὐτοῦ πάσῃ γνώσει θείᾳ τε καὶ ἀνθρωπίνῃ· ἀλλ' οὐκ οἶδα εἰ καταδέξηται, διότι ἔχει καιρὸν ἀποταξάμενος τῆς ἐγκυκλίου παιδεύσεως· ἀλλ' ἴσως, ἐὰν κελεύσῃ τὸ ὑμέτερον κράτος, καλέσομεν αὐτὸν καὶ πληροφοροῦμεν αὐτὸν περὶ τούτου». Ταῦτα ἀκούσας ὁ βασιλεὺς ἐχάρη λίαν· καὶ πέμψαντες μετεστείλαντο τὸν Ἀρσένιον. Εἰσελθόντος δὲ αὐτοῦ λέγει πρὸς αὐτὸν ὁ βασιλεύς· «Οὐ λέληθε τὸ ἡμέτερον κράτος ἡ κατὰ θεόν σου πολιτεία καὶ ὁ ἐνάρετός σου βίος· ἀλλὰ διηνεκῶς ἀκούοντες τὴν καλήν σου ἀναστροφήν, πάνυ εὐφραινόμεθα ἐπὶ τούτοις· ἐπεὶ δὲ ὁ συμβασιλεὺς ἡμῶν Θεοδόσιος ἀπέστειλεν ἡμῖν πρεσβείαν αἰτούμενος στεῖλαι αὐτῷ ἄνθρωπον τοιοῦτον δυνάμενον παιδεῦσαι τὰ τέκνα αὐτοῦ ἐν πάσῃ θεοσεβείᾳ καὶ φιλοσοφίᾳ, τούτου χάριν μετεστειλάμεθά σε ὡς κατὰ θεὸν ὄντα, ἵνα ἀπελθῇς πρὸς αὐτὸν καὶ τὴν χάριν τὴν δοθεῖσάν σοι ἐκ θεοῦ παιδεύσῃς αὐτούς· (122ᵃ) οὐ γὰρ ἐκρίναμεν ἁπλῶς καὶ ὡς ἔτυχεν ἐγχειρίσαι τοῦτο τὸ πρᾶγμά τινι εἰ

17. ὀφειλ. cod. — 26. τοῦτο cod.

μὴ τῇ σῇ εὐλαβείᾳ». Ὁ δὲ Ἀρσένιος εἶπε τῷ βασιλεῖ· «Οὐκ ἀγνοεῖ, θεοσεβέστατε βασιλεῦ, ὁ ἁγιώτατος πατὴρ ἡμῶν πάπας τὴν ἐμὴν εὐτέλειαν, ὅτι ἔχω καιρὸν μὴ παρελθὼν διὰ τῆς ἔξω φιλοσοφίας, ἐξαιρέτως δὲ ἀφ' οὗ τὴν χειροτονίαν ταύτην ὁ ἀνάξιος ἐδεξάμην, οὔτε εἰς βιβλίον ἐνέκυψα τῶν τοιούτων ἐπιστημῶν». Ὑπολαβὼν δὲ ὁ πάπας εἶπε πρὸς αὐτὸν, ὅτι μὲν ἀληθῆ εἰσι τὰ παρὰ σοῦ λεγόμενα, ἐπισταμεθα ταῦτα οὕτως ἔχειν· πάνυ γὰρ ἐπῃνέσαμεν τὴν ἐνάρετόν σου πολιτείαν ἐν τούτῳ· ἀλλ' ἐπειδὴ θεῖα καὶ βασιλικὴ κέλευσίς ἐστι, καὶ θεάρετόν ἐστι τὸ πραγματευόμενον, ἐκλιπαροῦμέν σε ἐπιδοῦναι ἑαυτὸν εἰς τὸ τοιοῦτον ἀγαθὸν ἐπιχείρημα· δύνῃ γὰρ διὰ τῆς χάριτος τοῦ θεοῦ τῆς δοθείσης σοι εὐσεβῶς καὶ θεαρέτως αὐτοὺς παιδεῦσαι· οὐ μὴν, ἀλλὰ καὶ ἐπὶ τῇ φιλοσοφίᾳ μεγάλως αὐτοὺς ὀφελῆσαι δεικνύων αὐτοῖς τὰς πομπὰς καὶ αἰσχρότητας τῶν δυσσεβῶν εἰδώλων, οὓς θεοὺς ἀποκαλοῦσιν οἱ ἀλιτήριοι Ἕλληνες, καὶ τοῦ μὴ πιστεύειν, τοῖς παρ' αὐτῶν μυθευομένοις, ἀλλὰ δαίμονας αὐτοὺς ἀποκαλεῖν καὶ * θρησκεύειν τὰ μιάσματα αὐτῶν καὶ φαντάσματα».

(4) Τούτοις καὶ τοῖς τοιούτοις λόγοις πείσαντες Ἀρσένιον ἀπέστειλαν πρὸς τὸν βασιλέα μετὰ πάσης δόξης καὶ τιμῆς, γράψαντες αὐτῷ, ὅ τε βασιλεὺς καὶ ὁ πάπας, ὅτι» κατὰ τὴν κέλευσιν ὑμῶν ἀπεστείλαμεν ὑμῖν ἄνθρωπον, ὃς δυνήσεται μετὰ τῆς τοῦ θεοῦ χάριτος ἀνάξαι τὰ φίλτατα τέκνα τῆς ὑμῶν γαληνότητος ἐν πάσῃ σοφίᾳ καὶ ἀρετῇ». Ὁ οὖν Ἀρσένιος παραδοὺς τὴν ἀδελφὴν εἰς παρθενῶνα ἀπῆλθεν ἐν Κωνσταντινουπόλει. Δεξάμενος δὲ ὁ βασιλεὺς Θεοδόσιος τὰ γράμματα καὶ ἀναγνούς, προσκαλεσάμενός τε τὸν Ἀρσένιον, σχῆμά τε καὶ ἦθος εὐλαβὲς θεασάμενος ἐν αὐτῷ, σεμνὸν μὲν ἔχοντα τὸ σχῆμα, ὠχρὸν τὸ χρῶμα, εὔτακτον τὸ βλέμμα, ταπεινὸν τὸ φρόνημα, τὴν λαλιὰν σύμμετρον καὶ περὶ τὰ θεῖα καὶ ἀνθρώπινα σοφώτατον καὶ ἁπλῶς εἰπεῖν πάσῃ τῇ κατὰ θεὸν ἀρετῇ κεκοσμημένον, ἐχάρη χαρὰν μεγάλην καὶ δὴ πρὸς αὐτὸν ὁ βασιλεὺς ** «Δηλοῖς μὲν διὰ τοῦ σχήματος, ἤθους τε καὶ ἀπολογίας ἐνάρετόν σε καὶ θεσσεβῆ εἶναι καὶ, καθὼς γεγραφήκασιν ἡμῖν ὅ τε

---

5. οὐδὲ? — * μὴ? — ** εἶπε? — 31. Δηλοῖ cod.

συμβασιλεὺς ἡμῶν καὶ ὁ τῆς Ῥωμαίων ἁγιώτατος πάπας, οὕτω τε ἴδομεν· ἀληθῆ γὰρ ἔγραψαν· νῦν οὖν πάντως οὐκ ἀγνοεῖς δι' ἣν αἰτίαν ἔστειλάν σε πρὸς ἡμᾶς· ἀλλὰ καὶ τὸ ἡμέτερον κράτος αὐτοψὶ διαλεχθήσεταί σοι, ὅτι χάριν τῶν ἡμετέρων τέκνων, ἵνα πάσῃ θεοσεβείᾳ καὶ φόβῳ θεοῦ τούτους ἐκπαιδεύσῃς, ἔτι μὴν καὶ τὴν φιλοσοφίαν πᾶσαν εἰς ἄκρον αὐτοὺς διδάξῃς· ἀλλὰ μὴ ὑποσταλῇς μηδὲ διακριθῇς πρὸς αὐτοὺς ὑπονοῶν, ὅτι τέκνα ἡμῶν ὑπάρχουσιν, μήτε πάλιν ὡς βασιλεῦσιν αὐτοῖς προσχῇς ἢ τιμήσεις, ἀλλ' ὡς τέκνα καὶ μαθητὰς ἔχε αὐτοὺς καὶ ὅτε παραπέσωσιν, ἐπέξελθε αὐτοῖς». Καὶ ταῦτα εἰπὼν ὁ βασιλεὺς Θεοδόσιος καὶ ἐνέγκας τόν τε Ἀρκάδιον καὶ Ὀνώριον παραδίδωσιν αὐτοὺς εἰς τὰς χεῖρας αὐτοῦ, (123ᵃ) λέγων· «Ἰδού, ἀπὸ τῆς σήμερον, οὗτός ἐστιν ἐμοῦ τε καὶ ὑμῶν πατὴρ καὶ διδάσκαλος. Ὑπακούσατε αὐτῷ ὡς πατρὶ καὶ μὴ παρακούσητε αὐτοῦ μήτε ἀντιτάξησθε· παρήγγειλα γὰρ αὐτῷ, ἵνα ἐὰν παρακούσητε αὐτῷ ἢ παραπέσειέ τις ἐξ ὑμῶν, ἐπεξέλθῃ αὐτῷ ὡς μαθητῇ».

(5) Καὶ ταῦτα εἰπὼν ἀφορίζει αὐτοῖς πλησίον τοῦ βασιλικοῦ κοιτῶνος τρικλίνιον μέγα καὶ ἐν αὐτῷ διάγειν παρακελεύεται. Τοῦτο δὲ ἐπενόησεν ὁ βασιλεύς, ἵνα συχνότερον ἐπισκέπτηται αὐτούς· μεγάλως δὲ τιμήσας τὸν Ἀρσένιον ἐποίησεν αὐτὸν μεῖζον πάντων τῶν ἐν τῷ παλατίῳ, ὥστε μὴ εἶναί τινα τῶν ἐκεῖσε λαμπροτέραν αὐτοῦ ἐσθῆτα περικείμενον· καὶ, ἁπλῶς εἰπεῖν, ἦν πατὴρ τοῦ βασιλέως καὶ τῶν τέκνων αὐτοῦ.

(6) Ὁ οὖν Ἀρσένιος παραλαβὼν τοὺς υἱοὺς τοῦ βασιλέως τόν τε Ὀνώριον καὶ Ἀρκάδιον ἀνῆγεν αὐτοὺς θεοσεβῶς, διδάσκων πᾶσαν σοφίαν θείαν τε καὶ ἀνθρωπίνην. Ταπεινόφρων δὲ ὑπάρχων ὁ ἐν ἁγίοις Ἀρσένιος οὐκ ἐχρᾶτο αὐτοῖς ὡς μαθηταῖς, ἀλλ' ὡς βασιλεῦσι· καθίζων γὰρ αὐτοὺς ἐπὶ δύο θρόνων, αὐτὸς παριστάμενος ἐδίδασκεν αὐτούς. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν εἰσελθόντος τοῦ βασιλέως ἄφνω πρὸς αὐτούς, ὁρᾷ Ἀρσένιον μὲν ἱστάμενον, τὰ δὲ τέκνα αὐτοῦ καθεζόμενα· καὶ ἐλυπήθη σφόδρα κατὰ Ἀρσενίου καὶ λέγει πρὸς αὐτόν. «Οὕτως παρήγγειλα ὑμῖν, ἵνα βασιλικῶς καὶ μὴ μᾶλλον ὡς μαθηταῖς χρήσῃ τοῖς παιδίοις; καὶ τί τοῦτο πεποίηκας; πάνυ γὰρ

26. αὐτοὺς — βασιλεῖς codex, sed infra dativum habet ipse.

ἐλύπησας τὸ ἡμέτερον κράτος ἐν τούτῳ». Ὁ δὲ Ἀρσένιος πρὸς τὸν βασιλέα φησίν· «Οὐχ ἡγησάμην πρέπον εἶναι, θεοστήρικτε βασιλεῦ, ἐμὲ καθέζεσθαι, βασιλεῖς δὲ παραστήκειν μοι». Ὁ δὲ βασιλεὺς ὀργισθεὶς ἐπὶ τῷ λόγῳ τούτῳ ἀπεκρίθη βλοσυρῷ τῷ βλέμματι πρὸς Ἀρσένιον λέγων· «Σὺ καθιστᾷς αὐτοὺς βασιλεῖς· οὐχ ὡς δούλους παρέδωκά σοι αὐτούς; ἵνα τί ταῦτα φθέγγῃ;» Καὶ ταῦτα εἰπὼν ὁ βασιλεὺς παραχρῆμα ἐπάρας τὰ διαδήματα, ἅπερ εἶχον ἐπὶ τὰς κεφαλὰς αὐτῶν, καὶ ῥίψας αὐτὰ εἰς τὴν γῆν ποιεῖ αὐτοὺς εἰς τοὺς πόδας αὐτοῦ προσκυνῆσαι καὶ καθίσας τὸν Ἀρσένιον ἐπὶ θρόνου, ἐκείνους παρίστασθαι αὐτῷ ἐκέλευσεν, εἰπών, ὅτι «εἰ μὲν φοβηθῶσι τὸν θεὸν καὶ ἐν τῷ νόμῳ αὐτοῦ θελήσωσι πορεύεσθαι καὶ φυλάσσειν τὰς ἐντολὰς αὐτοῦ, δύνατός ἐστιν ὁ παμβασιλεὺς τῶν αἰώνων, εἴπερ θέλημα αὐτοῦ ἐστιν, παρασχεῖν αὐτοῖς τὴν ἀξίαν ταύτην· εἰ δὲ μὴ ἔχωσι τὸν φόβον τοῦ θεοῦ, εὔχομαι αὐτῷ, μᾶλλον ἐκριζωθῆναι αὐτοὺς νηπιόθεν· κρεῖσσον ἡγοῦμαι τεθνάναι αὐτοὺς εὐσεβῶς ἢ βασιλεύειν ἀσεβῶς». Ταῦτα εἰπὼν ὁ βασιλεὺς εἰσῆλθεν εἰς τὸν κοιτῶνα αὐτοῦ.

(7) Ἐκ τότε οὖν ὁ Ἀρσένιος δεδιὼς τὸν βασιλέα οὐκέτι ἐποίει αὐτοὺς καθεσθῆναι, ἀλλὰ μᾶλλον παρίστασθαι αὐτῷ καὶ ἐκμανθάνειν. Ἐν τούτοις οὖν διάγων ὁ ἡγιασμένος Ἀρσένιος πάνυ ἐδυσφόρει καὶ ἐλυπεῖτο· — ἦν γὰρ μισόδζος καὶ φιλόθεος — καὶ ἐπεθύμησε μᾶλλον τὸν μονήρη βίον καὶ ἡσύχιον μετελθεῖν, ὥστε παρακαλεῖν τὸν θεὸν συχνῶς ὑπὲρ τούτου μετὰ δακρύων, ποιῆσαι τρόπον τοῦ ἰδιάσαι αὐτὸν ἐκ τοῦ κόσμου.

(8) Ἐν μιᾷ οὖν τῶν ἡμερῶν εὑρὼν ὁ ἅγιος Ἀρσένιος τὸν Ἀρκάδιον περιπεσόντα εἰς παι(123[b])δικὸν πταῖσμα, ἐνέγκας καὶ ἐμβριμησάμενος ἐπιτίθησιν αὐτῷ δεινὴν πληγήν, ὥστε σχεδὸν ἕως θανάτου τοὺς τύπους τῶν πληγῶν φέρειν ἐν τῷ σώματι αὐτοῦ. Ὁ οὖν Ἀρκάδιος ἀφ' ἧς ἡμέρας ἐδάρη, ἔμεινεν ἔχων κατὰ Ἀρσενίου κακίαν πολλὴν καὶ προσκαλεσάμενος τὸν σπαθάριον αὐτοῦ ἐπιτρέπει αὐτῷ κατ' ἰδίαν λέγων· «Ὁποίῳ τρόπῳ δυνηθῇς ἀπόκτεινόν μοι τὸν Ἀρσένιον, μηδενὸς γινώσκοντός». Ὁ δὲ σπαθάριος ἀκούσας τὴν ἐλεει-

---

7. ἀπάρας?

νὴν ἀπόφασιν ταύτην καὶ φόβον τοῦ θεοῦ ἐν καρδίᾳ ἔχων θαῤῥεῖ τῷ Ἀρσενίῳ τὴν μιαιφόνον τοῦ Ἀρκαδίου ἐπιτροπήν. Ὁ δὲ Ἀρσένιος λύπῃ τε καὶ φόβῳ συσχεθεὶς παρεκάλει τὸν θεὸν λέγων· «Κύριε, ὁδήγησόν με πῶς σωθῶ»· καὶ μετεμελήσατο ἐπὶ τῇ πληγῇ ᾗ ἦν τύψας τὸν Ἀρκάδιον. Εἶτα ὀλίγων ἡμερῶν διελθουσῶν καὶ τοῦ Ἀρσενίου κατεπείγοντος τὸν σπαθάριον τοῦ δί οἵου δήποτε τρόπου σῶσαι αὐτὸν καὶ τούτου ἀδιαλείπτως εὐχομένου, ἦλθεν αὐτῷ φωνὴ λέγουσα· «Ἀρσένιε, φεῦγε τοὺς ἀνθρώπους καὶ σώζῃ».

(9) Ταύτης οὖν τῆς φωνῆς ἀκούσας μηδενὶ μηδὲν εἰρηκὼς ἀλλ' ἐσθῆτα ἐυτελῆ ἐνδυσάμενος κατῆλθεν εἰς τὸν λιμένα καὶ κατ' οἰκονομίαν θεοῦ, εὑρὼν ἐκεῖσε πλοῖον, ἐμβὰς ἐν αὐτῷ ἦλθεν ἐν Ἀλεξανδρίᾳ καὶ ἀποδρηξάμενος ὥρμησεν εἰς τὴν ἔρημον τῆς σκήτεως καὶ ἐκεῖ διέπρεπεν ἐν διαφόροις κατορθώμασιν· ἤκουσε δὲ πάλιν φωνὴν λέγουσαν αὐτῷ· «Ἀρσένιε, φεῦγε, σιώπα, ἡσύχαζε, αὗται γάρ εἰσιν αἱ ῥίζαι τῆς ἁναμαρτησίας».

(10) Ὁ δὲ βασιλεὺς Θεοδόσιος πάνυ λυπηθεὶς ἐπὶ τῇ ἀναχωρήσει Ἀρσενίου ἔγραψε παντὶ καὶ πανταχοῦ ἀναζητῆσαι αὐτὸν, καὶ οὐκ ἠδυνήθησαν αὐτὸν εὑρεῖν ἄχρι τῆς τελευτῆς αὐτοῦ. Βασιλευσάντων δὲ Ἀρκαδίου καὶ Ὀνωρίου, ἐγνώσθη αὐτοῖς, ὅτι Ἀρσένιος ἐν Αἰγύπτῳ διάγει τὸν μονήρη βίον καλῶς πολιτευόμενος· καὶ ἔγραψαν αὐτῷ πλείστας ἐπιστολὰς παρακαλοῦντες αὐτὸν ὥστε εὔχεσθαι ὑπὲρ τῶν ἰδίων μαθητῶν καὶ τέκνων. Ἔγραψε δὲ αὐτῷ πάλιν Ἀρκάδιος δυσωπῶν αὐτὸν ὥστε συγχωρῆσαι αὐτῷ τὸ πταῖσμα, ὃ ἥμαρτεν εἰς Ἀρσένιον ἀνελεῖν αὐτὸν βουληθείς, ὥστε θέλων αὐτὸν πληροφορῆσαι γράφει αὐτῷ ἐν ὠμότητι λαβεῖν παρὰ τοῦ ὑπάρχου Ἀλεξανδρείας αὐγουσταλίου τὰ δημόσια τῆς Αἰγύπτου καὶ ταῦτα διανεῖμαι ὅπου ἂν κελεύῃ καὶ μόνον συγχωρήσῃ αὐτῷ καὶ εὔξηται ὑπὲρ τῆς βασιλείας αὐτοῦ τε καὶ Ὀνωρίου τοῦ ἀδελφοῦ αὐτοῦ καὶ ἀντιγράψαι αὐτοῖς κἂν ἅπαξ. Ὁ δὲ ἐν ἁγίοις πατὴρ ἡμῶν Ἀρσένιος γράψαι αὐτοῖς οὐκ ἠνέσχετο, δηλοῖ δὲ αὐτοῖς οὕτως· «Ὁ θεὸς, τέκνα, πᾶσιν ὑμῖν συγχωρήσει καὶ ἀξιώσει ποιεῖν τὰ θεῖα αὐτοῦ

---

4. μετεμελήτ. codex. — 10. ἐκδ.? — 12. ἀποδρωξ.? — 25. ἐν ὠμότ. codex, ἔννομα?

θελήματα· περὶ δὲ ὧν γεγραφήκατε χρημάτων ἐγὼ ἤδη τῷ κόσμῳ ἀπέθανον· μηδὲν λογίσητέ με ὅλως εἶναι εἰς τοὺς ζῶντας».

(11) Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις Θεοδόσιος ὁ μέγας βασιλεὺς 381
ἐδήλωσε Δημοφίλῳ ἢ τῆς Ἀρείου πλάνης ἀποστῆναι ἢ τῶν ἐκκλησιῶν ἐκστῆναι· ἐξῆλθεν οὖν, μ' ἔτη τῶν Ἀρειανῶν κατασχόντων τὰς ἐκκλησίας. Ἡ σύνοδος οὖν καὶ ὁ βασιλεὺς Γρηγορίῳ τῷ θεολόγῳ τὴν ἐπισκοπὴν ἐκύρωσαν Κωνσταντινουπόλεως καὶ μὴ θέλοντα τοῦτον τῷ θρόνῳ ἐνίδρυσαν βιασάμενοι ὡς πολλὰ καμόντα καὶ τῆς πλάνης τῶν αἱρέσεων τὴν πόλιν ἐλευθερώσαντα.

(12) Εὑρὼν γὰρ μόνην τὴν ἁγίαν Ἀναστασίαν σμικροτάτην οὖσαν καὶ ὑπὸ τῶν ὀρθοδόξων κρατουμένην, (124[a]) ἐκεῖσε τὰς συνάξεις ποιῶν καὶ τὴν ὀρθόδοξον πίστιν διδάσκων, πάντας μετέστρεψεν ἀπὸ τῆς αἱρέσεως· ὕστερον δὲ ὑπὸ Μαρκιανοῦ οἰκονόμου τῆς μεγάλης ἐκκλησίας εἰς ὃ νῦν ὁρᾶται μέγεθος ἀνεδομήθη καὶ ἁγία Ἀναστασία μετωνομάσθη ἢ διὰ τὸ γυναῖκα (ἔγγονον) ἐκ τῶν ἄνωθεν καταπεσοῦσαν καὶ ἀποθανεῖν, κοινῆς δὲ γενομένης ὑπὸ τῶν ὀρθοδόξων εὐχῆς (καὶ) ταύτην ἀναστῆναι, μήτε τοῦ ἐμβρύου θανέντος — ἢ καὶ διὰ τῆς ὀρθοδοξίας τὴν ἀνάστασιν ἐν αὐτῇ γενέσθαι.

(13) Μετὰ δὲ τὸ ἐνιδρυθῆναι τὸν θεολόγον ἐπὶ τοῦ θρόνου, ὡς εἴρηται, Κωνσταντινουπόλεως, μαθὼν παρ' Αἰγυπτίων τῷ λόγῳ φθονηθῆναι, τὸν συντακτήριον λόγον σχεδιάσας καὶ ἀναγνούς, ἑκουσίως τῆς ἐκκλησίας καὶ τοῦ θρόνου ἀποταξάμενος, ὑπεχώρησε.

---

3. Cod. 552,18—553,3. Ἐλθὼν δὲ καὶ αὐτὸς ἐν Κ. Π. Δ. ἐδ. ἢ ἀπ. τῆς Ἀ. πλ. ἢ ταχέως τῆς ἐκκλησίας ἐξελθεῖν κτλ. — 11. Cod. 551,17—558,6. Τότε καὶ ὁ θεολόγος Γρ. παῤῥησιαστικώτερον τὸν λόγον τῆς ἀληθείας ἐδίδασκεν ἐν Κ. Π. εἰς τὸ εὐκτήριον τῆς ἁγίας Ἀναστασίας ἔτι μικρὸν τυγχάνον, α' χρόνους καὶ μικρόν τι πρὸς ἑκεῖσε πεποιηκώς — ὑ. ἐπὶ τοῦ ὁσίου Μ. ἀνοικοδομηθῆναι καθὼς ὁρ. — 16. ἐγκύμωνα Leo. cf. Ced: ἀνάστασις μὲν διὰ τὸ τὸν τῆς ὁ. λόγον ἐν ταύτῃ ἀναστῆναι, Ἀν. δὲ διὰ τὸ συμβὰν ἐν αὐτῇ θαυματούργημα· λέγεται γὰρ γ. τινα ἀν. πεσ. ἀπ. γ. δὲ κ. ἐ. ὑ. τ. ὁ. τ. ἀν. — 21. Ced. 555,1—7 τῷ ς' ἔτει — μ. ὁ θεῖος Γρ. τινὰς τῶν ἐξ Αἰγύπτου τῷ λόγῳ αὐτοῦ φθονήσαντας. — 22. Ἀ. τοῦτο φθονήσαντας cod. τοὺς Αἰγυπτίους μ. ὁ Γρ. τῷ λ. τούτου φθ. Leo. — 23. τὸν σ. ἐπιδειξάμενος λ. τῆς ἐπισκοπικῆς διοικήσεως ὑπανεχ. Ced. τὸν σ. λ. ἐπ. ἐκ. τῆς ἐπ. ὑπεχ. Leo.

(14) Νεκτάριον δὲ ὁ βασιλεὺς καὶ ἡ σύνοδος προχειρίζεται πατριάρχην, Ταρσέα μὲν τῷ γένει, τὴν τοῦ πραίτορος ἀρχὴν τότε διέποντα, ἀβάπτιστον δὲ μέχρι τότε ὑπάρχοντα, σεμνὸς δὲ καὶ εὐλαβὴς καὶ περὶ τὸν βίον ϑαυμάσιος.

(15) Ὁ δὲ μέγας Γρηγόριος πρὸς Ναζιανζὸν τὸ χωρίον Καππαδοκίας ἐπανελϑὼν, ὅπερ ἐκέκτητο ἐκ πατρικοῦ κλήρου, ἠρεμήσας ἐν αὐτῷ καὶ ἡσυχάσας τινὰ χρόνον καὶ ἐν ϑεωρίᾳ μείζονι γενόμενος τὸν βίον μεταλλάττει πρεσβύτης καὶ πλήρης ἡμερῶν καὶ πάσης ἀρετῆς ἔμπλεως γενόμενος.

CXCIX. ΠΕΡΙ ΤΗΣ Β' ΣΥΝΟΔΟΥ.

Ἡ δὲ δευτέρα σύνοδος γέγονεν ἐν Κωνσταντινουπόλει τὸ α' τῶν ρν' ἁγίων πατέρων (ἐπὶ Θεοδοσίου τοῦ μεγάλου), ἐπὶ Δαμάσου πάπα Ῥώμης, ἧς ἡγοῦντο Τιμόϑεος Ἀλεξανδρείας, Μελέτιος Ἀντιοχείας, Κύριλλος Ἱεροσολύμων*, Γρηγόριος ὁ ϑεολόγος, κατὰ Μακεδονίου γεγονότος ἐπισκόπου Κωνσταντινουπόλεως, ὃς ἔτι περιὼν ὡσαύτως τῷ Ἀρείῳ ἐβλασφήμει, ὁμοίως δὲ** τὸ πνεῦμα τὸ ἅγιον, μὴ εἶνα ϑεὸν ἀληϑινὸν, ἀλλὰ κτίσμα καὶ αὐτὸ ὑπελάμβανεν.

(2) Αὕτη συνελϑοῦσα χειροτονεῖ μὲν ἐν Κωνσταντινουπόλει τὸν συγκλητικὸν Νεκτάριον, Μακεδόνιον δὲ ἀναϑεματίζει καὶ σὺν αὐτῷ Σαβέλλιον τὸν Λίβυν, ἓν πρόσωπον ἐπὶ τῆς ἁγίας τριάδος δοξάζοντα, ἔτι δὲ καὶ Ἀπολινάριον τὸν Λαοδικείας, λέγοντα τὸν ἐνανϑρωπήσαντα λόγον ἄνουν εἶναι, ἀντὶ δὲ νοῦ τὸν λόγον ἐν τῇ ψυχῇ γεγενῆσϑαι. Τὸ δὲ πνεῦμα τὸ ἅγιον ϑεὸν εἶναι ζῳοποιὸν καὶ ὁμοούσιον τῷ πατρὶ καὶ τῷ υἱῷ ἐκήρυξε προστεϑηκυῖᾳ [εἰς] τὸ

---

3. σεμνὸν — εὐλαβῆ — ϑαυμάσιον? — 5. Ἀριαζὸν cod. — 10. Rubrica M. 2. in codice cum margine est abscissa. — 11. Ced. 554,16—23: Τῷ ς' ἔτει τῆς βασιλείας τοῦ μ. Θ. γ. ἡ ἐν Κ. Π. ἁγία καὶ οἰκουμένικὴ β' σ. τῶν ρν' ἁγ. π. κτλ. — * καὶ Ced. — 16. ὡς αὐτῷ τῷ cod. — ** καὶ Ced. — 20. Ced. 555,7—14: Ἡ δὲ ἁγία σύνοδος M. ἀν. σὺν ἁ. καὶ Σ. — 22. ἔτι δὴ Ced. — Λαοδικέα Ced. — 23. ανον Ced. — λ. ἀρκεῖν τῇ ψυχῇ ἐκ. δὲ τὸ πμᾶ τὸ ἁ. ἐ. ζ. καὶ ὁμ. τῷ π. καὶ τῷ υἱῷ, πρ. εἰς τὸ ἁ. σ. περὶ τοῦ ἁγίου πμς τὸ ζ. καὶ τὰ ἑ. Ced.

ἐκτεθὲν παρὰ τῶν ἐν Νικαίᾳ ἁγίων πατέρων σύμβολον τὸ κύριον καὶ τὸ ζωοποιὸν καὶ τὰ ἑξῆς.

(3) Τότε (δὲ) ὁ μέγας Ἀμφιλόχιος παρακαλεῖ τὸν βασιλέα τοὺς Ἀρειανοὺς ἐκ πασῶν τῶν πόλεων ἐξελθεῖν· ὁ δὲ ἀπηνεστέραν ὑπολαβὼν τὴν αἴτησιν οὐχ ὑπήκουσεν αὐτῷ· καὶ ὁ σοφώτατος Ἀμφιλοχιος τότε μὲν ἐσίγησε, ἐξεῦρε δὲ ὕστερον ὑπόθεσιν ἀξιομνημόνευτον· ἐντὸς γὰρ πάλιν τῶν βασιλειῶν γενόμενος (καὶ τῷ βασιλεῖ συγκαθήμενον τὸν υἱὸν Ἀρκάδιον θεασάμενος) τὸν μὲν πατέρα ἠσπάσατο *, τὸν δὲ υἱὸν κατέλιπεν ἀπροσκύνητον· καὶ ὁ βασιλεὺς νομίσας ἐπιληθῆναι τὸν Ἀμφιλόχιον ἀσπάσασθαι ** τὸν υἱὸν *** προσέταξεν. Ὁ δὲ ἀποχρῆν ἔφη τὴν αὐτῷ προσενεχθεῖσαν τιμὴν (καὶ μὴ ἐπιζητεῖν καὶ τοῦ υἱοῦ ὡς ἐν διαιρέσει· πρὸς) ὃν ὁ βασιλεὺς χαλεπήνας οἰκείαν ἐκάλει παροινίαν τὴν τοῦ υἱοῦ ἀτιμίαν. Καὶ ὁ Ἀμφιλόχιος ἐξεβόησε (πρὸς τὸν βασιλέα λέγων)· «Ὁρᾷς, ὦ βασιλεῦ, πῶς οὐ φέρεις τὴν τοῦ παιδὸς ἀτιμίαν· πίστευσον (δή) οὖν καὶ τὸν θεὸν τοὺς τὸν υἱὸν αὐτοῦ βλασφημοῦντας βδελύττεσθαι καὶ ἀποστρέφεσθαι». Τοῦτο ἀκούσας (124[b]) ὁ βασιλεὺς καὶ σφόδρα θαυμάσας νόμον εὐθέως ἔγραψε τοὺς τῶν αἱρετικῶν συλλόγους κωλύοντα.

(4) Τούτῳ τῷ ἀγαθῷ φθονήσας ὁ μισόκαλος δαίμων ὠμόν τι καὶ ἀπάνθρωπον παρεσκεύασε γενέσθαι· ἀπὸ γὰρ Κωνσταντινουπόλεως ἐξελθὼν ὁ βασιλεὺς ἐπὶ Ῥώμην τὴν ὁδοιπορίαν ἐποιεῖτο· ἐν δὲ τῇ Θεσσαλονίκῃ γενόμενος κατὰ πάροδον καὶ τῶν στρατιωτῶν αὐτοῦ παραταξάντων τῇ πόλει διὰ μιτάτα, ἐστασίασαν εἰ Θεσσαλο-

---

3. Ced. 555,15—556,6. — ἐδιισώπει Ced. — ἐξελαθῆναι τοὺς Ἀ. ἐκ π. τῶν π. Ced. — 5. ὑπ. καὶ τότε μὲν ὁ σ. Ἀ. ἐβ. μετ' οὐ πολὺ δὲ ἐντὸς τῶν β. Ced. — 8. βασιλέα Ced. — * ὡς εἰκὸς Ced. — 9. ὃν αὐτοῦ σὺν αὐτῷ ἑστῶτα βασιλικῶς ἀγέραστον κ. Ced. — ** καὶ Ced. — *** βασιλικῶς Ced. — 11. τὴν παρ' αὐτοῦ πρ. ἀ. ἰδιωτικῶς τ. ὃν Ced. — 13. ὁ. ἔλεγεν εἶναι τὴν Ced. — 18. ἐγ. ἐ. τὰς τῶν ἁ. συνάξεις κ. Ced. — 20. Ced. 556,6—17,571,2—7: τῷ ιε' καὶ ις' ἔτει. Thessalonicae fuit Theodosius XV. K. Iulü 379, XVIII — IV. Non. Febr. XVI. K. Apr. — XVI. K. Dec. 380 et III. Idus Mart. 388 — pridie K. Maji 388; sed Mediolani natalem diem non transegit nisi a. 386, 387, 388, 389 et 390, lex vero est a. 380 Dat. III. K. Ian. (Cod. Theod. IX. T. II. 3.). — 21. Κ. Π. ἐπὶ Ῥ. ὁ β. τὴν ὁδ. ποιούμενος ἐν Θ. κατὰ π. γέγονε, τῶν δὲ στ. ἀ. ταραξάντων τὴν πόλιν Ced. — 24. μιτάτ. cod.

νικεῖς καὶ τὸν βασιλέα μὲν ὕβρισαν, τινὰς δὲ τῶν ἀρχόντων αὐτοῦ ἐλιϑοβόλησαν. Ὁ δὲ ὑπὸ τῶν ἀγγελϑέντων ἐξαφϑεὶς καὶ μὴ ἐνεγκὼν τοῦ ϑυμοῦ τὴν ῥύμην, τῷ ὑπάρχῳ τῆς πόλεως ἐκείνης τὴν ψῆφον τῆς τιμωρίας (ἐξενεγκεῖν) ἐπέτρεψεν, ὃς * τοιαύτην ἐξουσίαν λαβὼν **, οἷα δὴ αὐτονόμος (καὶ) τύραννος, ἄδικα ξίφη κατὰ πάντων ἐγύμνωσε καὶ τοὺς ἀϑώους μετὰ τῶν ὑπευϑύνων κατέκτεινε χιλιάδας ζ'.

(5) Ταύτην (οὖν) τὴν συμφορὰν μαϑὼν Ἀμβρόσιος ὁ ἐπίσκοπος Μεδιολάνων — πόλις δὲ αὕτη τῆς Ἰταλίας — εἰς ἣν ἀφικομένου τοῦ βασιλέως καὶ συνήϑως εἰς τὸν ναὸν βουληϑέντος εἰσελϑεῖν, ὑπαντήσας ἔξω τῶν ϑυρῶν διεκώλυσεν αὐτὸν μετὰ παῤῥησίας βοῶν· «Οὐκ οἶσϑα, ὡς ἔοικεν, ὦ βασιλεῦ, τῆς γενομένης μιαιφονίας τὸ μέγεϑος· οὐκ ἐᾷ γάρ σε τῆς βασιλείας *** ἡ δυναστεία τὴν ἁμαρτίαν ἐπιγινώσκειν· ὑπὸ τῆς ἀλουργίδος ἀπατώμενος ἀγνοεῖς τοῦ καλυπτομένου σώματος τὴν ἀσϑένειαν· ἀλλ' ἴσϑι, ὡς φϑαρτὸς ὢν καὶ ῥευστός, φϑαρτόν σου καὶ ῥευστὸν ὑπάρχει τὸ κράτος καὶ ἡ δυναστεία, περὶ ἧς μικρὸν ὕστερον λόγον ἀποδώσεις τῷ βασιλεῖ τῶν βασιλευόντων. Ποίοις τοίνυν ὀφϑαλμοῖς ὄψῃ τὸν τοῦ κοινοῦ δεσπότου ναόν; ποίοις δὲ ποσὶ τὸ δάπεδον ἐκεῖνο πατήσεις τὸ ἅγιον; πῶς δὲ τὰς χεῖρας ἐκτενεῖς ἀποσταζούσας ἔτι τοῦ ἀδίκου φόνου τὸ αἷμα; [πῶς δὲ καὶ τοιαύταις ὑποδέξῃ χερσὶ τὸ ἄχραντον τοῦ δεσπότου σῶμα; πῶς δὲ καὶ τῷ στόματι παροίσεις τὸ τίμιον αἷμα] τοσοῦτον διὰ **** τοῦ ϑυμοῦ ***** ἐκχέαντι παράνομον αἷμα; λοιπὸν ἄπιϑι καὶ μὴ πειρῶ τοῖς δευτέροις τὴν προτέραν αὔξειν παρανομίαν, καὶ δέχου τὸν δεσμόν, οὗ ὁ ϑεὸς ἄνωϑεν γίνεται σύμψηφος». Τούτοις οὖν εἴξας ὁ

---

1. μὲν β. Ced. — 2. Ὁ δὲ βασιλεὺς ταῦτα μαϑὼν καὶ τὴν β. τοῦ ϑ. μὴ ἐν τῷ ἐπ. Ced. — * τὴν Ced. — 4. εἰληφὼς ὁ Ced. — ** τοῦ ϑυμοῦ e linea superiori repetit cod. — 8. Ced. 556,17—557,14. — ὁ μέγας Ἀ. ἀκηκοὼς Μ. ἐπ. π. δὲ Ἰ. ἀ. Ced. — 10. ἔξωϑεν τῶν προϑύρων συν. ὁ ἅγιος ἐκωλ. τὴν εἴσοδον λέγων αὐτῷ μ. π. Οὐκ οἶδας, ὡς ἐ. β. τῆς εἰργασμένης παρανομίας τὸ μ. οὐδὲ γὰρ ἐᾷ σε Ced. — *** ἴσως Ced. — 13. ἐπιγνῶναι Ced. — 15. ῥευστὸς τοιοῦτόν σοι ὑπ. καὶ τὸ τῆς δυναστείας κρ. μ. δὲ. ὑ. Ced. — 18. Π. οὖν Ced. — 20. τῶν ἀδίκων Ced. — **** τὸν Ced. — ***** λόγον Ced. — 24. πρώτην Ced. — δ. ᾧ ϑ᾽ς Ced.

βασιλεὺς τοῖς λόγοις ὑπέστρεψεν εἰς τὰ * βασίλεια δακρύων καὶ στένων.

(6) Διελθόντων δὲ μηνῶν ἡ' καὶ τοῦ βασιλέως μὴ ἐξελθόντος, ἀλλὰ σφοδρῶς μετανοοῦντος, κατέλαβεν ἡ τοῦ Κυρίου ** γενέθλιος ἑορτή· καὶ θεασάμενος Ῥουφῖνος ὁ μάγιστρος, ὅτι οὐδὲ τὴν συνήθη προέλευσιν ποιῆσαι βούλεται ὁ βασιλεύς, λέγει πρὸς αὐτόν· «Δραμοῦμαι, δέσποτα, καὶ τὸν ἀρχιεπίσκοπον πείσω λῦσαί σε τοῦ δεσμοῦ, εἰ κελεύεις». Ὁ δὲ φησίν· «Οἶδα ἐγὼ τὴν Ἀμβροσίου ἀκρίβειαν (ὅτι οὐ πεισθήσεται)». Ἐπεὶ δὲ πλείοσι λόγοις χρησάμενος ὁ Ῥουφῖνος πείθειν ὑπέσχετο (τὸν Ἀμβρόσιον), ἀπελθεῖν (αὐτὸν) ἐκέλευσεν· ὑπὸ δὲ τῆς ἐλπίδος θαρρήσας ἠκολούθησεν αὐτὸς μετ' ὀλίγον. Αὐτίκα δὲ τὸν Ῥουφῖνον ἰδὼν ὁ Ἀμβρόσιος· «Τὴν κυνῶν, εἶπεν, ἀναίδειαν, ὦ Ῥουφῖνε, ζηλοῖς, τοσαύτης μιαιφονίας γενόμενος μέτοχός τε καὶ σύμβουλος· ἀλλ' ἐγὼ οὐκ ἐάσω αὐτὸν τῶν ἱερῶν ἐπιβῆναι προθύρων». Ταῦτα ἀκούσας (ὁ) Ῥουφῖνος ἐμήνυσε διὰ ταχυδρόμου τῷ βασιλεῖ· ὁ δὲ βασιλεὺς κατὰ μέσην μαθὼν τὴν ὁδόν· «ἀπέλθω» φησί, «καὶ τὰς δικαίας δέξομαι παροινίας». Εἶτα παραγενόμενος εἰς τὴν ἐκκλησίαν, ἐδυσώπει τὸν ἀρχιερέα τοῦ δεσμοῦ λυθῆναι. Καὶ ὁ μὲν τυραννικὴν ἀπεκάλει τὴν παρουσίαν (ἐκείνην) καὶ κατὰ θεοῦ μεμηνέναι. (125ª) Ὁ δὲ μετὰ σκυθρωπότητος καὶ πολλῆς κατανύξεως· «οὐ θρασυνόμενος», ἔφη, «κατὰ τῶν ἁγίων κανόνων, ἀλλὰ λῦσαί με τῶν δεσμῶν δεηθῆναι ἐλήλυθα». «Καὶ ποίαν», φησί, «μετάνοιαν ἀνέδειξας μετὰ παρανομίαν τοσαύτην; ἢ ποίοις ἀξίως φαρμάκοις ἐθεράπευσας τὰ δυσιάτα τραύματα;» Καὶ ὁ βασιλεὺς (ἀπεκρίνατο)· Σὸν ἔργον *** τὸ δεῖξαι μὲν καὶ κεράσαι τὰ φάρμακα· ἐμὸν δὲ τὸ δέξασθαι (προσφερόμενα)». Τότε **** Ἀμβρόσιος λέγει· «Ἐπειδὴ τῷ θυμῷ ***** δικάζειν ἐπιτρέ-

---

1. ἐπανῆλθεν εἰς Ced. — * ἐκεῖσε Ced. — στ. καὶ δ. Ced. — 3. Ced. 557,14 — 559,11, M. δὲ δ. η'. — ** ἡμῶν τοῦ χῦ Ced. ἡ. Hist. m. — 6. β. π. Ced. — λ. αὐτῷ εἰ κελεύεις δ. ὅρ. *Rufinus, curro, inquit si, tibi placet* Hist. misc. — 8. Ὁ δὲ Ὁ. ἐ. φ. Ced. — 11. τῇ ἐλπίδι δὲ βουκοληθεὶς ἡ. καὶ ἀ. Ced. — 12. Ἀ. τοίνυν ἐ. τὸν Ῥ. Ἀ. ἔφη· Τὴν κ. ἀν. — 14. ἐγὼ καὶ πάλιν ἀ. κωλύσω τῶν Ced. — 15. ἐδήλωσε τῷ β. ταχέως Ced. — 16. κ. μ. τοῦτο μ. ἀπ. Ced. — 18. λ. τοῦ δ. Ced. — 22. δ. ἀξιώσων ἐλ. Ced. — 23. μ. ἐδ. Ced. — 24. φ. ἀξ. Ced. — *** ἐστὶ Ced. — **** λοιπὸν Ced. — ***** τὸ Ced.

πεις, γράψον νόμον τοῦ ϑυμοῦ τὰς ψήφους ἀργὰς εἶναι, καὶ ἐν ἡμέραις λ' αἱ φονικαί τε καὶ δημευτικαὶ μενέτωσαν γνώσεις ἐν γράμματι, τὴν τοῦ ὀρϑοῦ λογισμοῦ πρεσδεχόμεναι κρίσιν». Ὡς εὐϑὺς ὁ βασιλεὺς γραφῆναι κελεύσας καὶ διὰ τῆς οἰκείας χειρὸς βεβαίωσας, διέλυσε τὸν δεσμὸν Ἀμβρόσιος καὶ εἰσελϑεῖν αὐτὸν ἐν τῇ ἐκκλησίᾳ ἐπέτρεψεν. Ὁ δὲ εἰσελϑὼν (οὐκέτι ἑστὼς ἐδέετο τοῦ ϑεοῦ οὐδὲ τὰ γόνατα κλίνας, ἀλλὰ) πρηνὴς ἐπ' ἐδάφους κείμενος ἐβόα μετὰ κραυγῆς· «Ἐκολλήϑη τῷ ἐδάφει ἡ ψυχή μου, ζῆσόν με κατὰ τὸν λόγον σου, Κύριε»· καὶ ταῖς χερσὶ τίλλων τὰς τρίχας τῆς κεφαλῆς (καὶ τοῦ πώγονος) καὶ τὸ μέτωπον τύπτων καὶ δάκρυσι τὴν γῆν βρέχων (ὡς τοὺς ὁρῶντας μεγάλως ὀφελεῖσϑαι καὶ συμπενϑεῖν αὐτῷ), καὶ οὐ διέλιπεν οὕτως δυσωπεῖν τὸν ϑεὸν μέχρις ὥρας τῆς κοινωνίας. Καὶ τότε διαναστὰς καὶ πλησίον τῶν κιγκλίδων ἐλϑών, βουλόμενος εἰσελϑεῖν ἐκωλύϑη παρὰ * Ἀμβροσίου δηλώσαντος αὐτῷ· «Ἴσϑι **, βασιλεῦ, ὡς μόνοις τοῖς ἱερεῦσιν ὑπάρχουσι τὰ ἔνδον [εἰσιτητά], τοῖς δ' ἄλλοις ἅπασιν ἄϑηκτά τε καὶ ἄψαυστα· ἔξϊϑι τοίνυν καὶ τοῖς ἄλλοις κοινώνει τῆς στάσεως· ἀλουργὶς γὰρ βασιλεῖς, οὐχ ἱερεῖς ποιεῖν εἴωϑεν». Ὁ δὲ καὶ τοῦτο δεξάμενος ἀσμένως ἀντεδήλωσεν· *** «Οὐκ αὐϑαδείᾳ χρώμενος τοῦτο πεποίηκα, ἀλλ' ἐν Κωνσταντινουπόλει τὸ ἔϑος εἶναι τοῦτο μεμάϑηκα· χάριν δὲ **** ὀφείλω καὶ τῆσδε τῆς ἰατρείας». Τοσαύτῃ γοῦν καὶ τηλικαύτῃ διέλαμπον ἀρετῇ ὅ τε βασιλεὺς καὶ ὁ ἀρχιερεύς.

(7) Ἀπελϑὼν δὲ ὁ βασιλεὺς ἐν Κωνσταντινουπόλει καὶ ἑορτῆς γενομένης καὶ εἰς τὸ ϑυσιαστήριον μὴ εἰσελϑόντος αὐτοῦ, Νεκτα-

---

1 ἀ. ποιοῦντα καὶ ἡμ. Ced. — 2. γράμμασι Ced. — 3. ἐκδ. Ced. — ὃν ἐ. τοῦ βασιλέως κελεύσαντος γ. καὶ διὰ τῆς ὀ. χ. βεβαιώσαντος Ced. *Impp Gratianus, Valentinianus et Theodosius A. A. A. Eutropio Pr. P. Nullus in carcerem prius quam convincatur—spatium coram loci judice—dierum XXX tribuatur etc.*—7. ἐδ. πεσὼν ἐβόα Ced. — 8. Ps. CXIX. 25. — 9. χ. τὰς τρ. τῆς κ. ἔτιλλε, τὰς ὄψεις ἔτυπτε καὶ τὴν γῆν τοῖς δ. ἔβρεχε καὶ τὸν ϑ. ἐδυσώπει ἄχρι τῆς ὡ. τῆς μεταλήψεως. τ. δὲ δ. Ced. — * τοῦ Ced. — ** ὦ Ced. — 17. πᾶσιν ἄβατά τε Ced. — *** ὡς Ced. — **** σοι Ced. — 22. Τ. δὴ καὶ τ. Ced. — 23. ἀ. καὶ ὁ β. Ced. — 24. Ced. 559.11—17: Ἐπανελϑὼν — καὶ ἐν τῇ ἱερᾷ τραπέζῃ τὰ δῶρα προσενεγκὼν εὐϑὺς ἐξεληλύϑε. Ν. δὲ τοῦ τηνικαῦτα π. — ὁ. μ. ἕως ἐπ. κ. τοσοῦτον ὀνίνησιν ἔλεγχος παρὰ ἀνδρὸς ἀρετῇ λάμποντος προσφερόμενος.

ρίου τοῦ πατριάρχου δεδηλωκότος μαϑεῖν τὴν αἰτίαν· «μόγις» ἔφη· «βασιλέως καὶ ἱερέως διαφορὰν ἐδιδάχϑην· Ἀμβρόσιόν γὰρ μόνον οἶδα ἐπίσκοπον καλούμενον». (Ἐν Κωνσταντινουπόλει ἐλϑὼν ἐτύπωσε τοῦτο, πρὸ τούτου τῶν βασιλέων ἔνδοϑεν τοῦ ϑυσιαστηρίου ἱσταμένων, μὴ ἱστασϑαι).

CC. ΠΕΡΙ ΤΩΝ ΑΝΔΡΙΑΝΤΩΝ ΚΑΤΑΣΤΡΑΦΕΝΤΩΝ ΕΝ ΑΝΤΙΟΧΕΙΑ.

Ἐν ταύταις δὲ ταῖς ἡμέραις ἐν Ἀντιοχείᾳ κατεσύρη ἡ τῆς 393
γυναικὸς τοῦ βασιλέως Θεοδοσίου Πλακίλλης εἰκὼν φόρων 394
ἕνεκα πλείστων· δι' ἣν ὀργισϑεὶς ὁ βασιλεὺς ἔλεϑρον ἄρδην ἠπείλησε τῇ πόλει· ἐκεκώλυτο δὲ διὰ τὸν τοῦ ϑυμοῦ νόμον, ὃν Ἀμβρόσιος γράψαι περοίηκε τοῦτον.

(2) Τότε καὶ Ἰωάννης ὁ Χρυσόστομος πρεσβύτερος ἐν Ἀντιοχείᾳ ὧν τοὺς ἀνδριάντας ἔγραψε.

(3) Ἐν δὲ ταύταις ἡμέραις παράνομοί τινες ἄνδρες ἐν Ἀντιοχείᾳ τοὺς βασιλικοὺς ἀνδριάντας καταστρεψάμενοι εἰς μεγάλην ὀργὴν ἐκίνησαν τὸν βασιλέα· καὶ ϑυμωϑεὶς ἀπέστειλεν ἄρχοντας πρὸς τὸ τιμωρήσασϑαι τοὺς ἐν τῇ πόλει, ὧν τὴν ἔφοδον οἱ τῆς πόλεως αἰσϑόμενοι καὶ φυγῇ χρησάμενοι, κατῆλϑον ἐκ τῶν (125[b]) ὀρέων οἱ μοναχοὶ καὶ τὸν ϑυμὸν εἰς οἶκτον μετέβαλον.

(4) Περὶ ὧν καὶ ὁ Χρυσόστομος ταῦτα φάσκει· «Ἐπειδή τινες μιαροὶ καὶ παμμίαροι τοὺς νόμους κατεπατήσαντο, τὸ ἔσχατον καϑεῖλον τοὺς ἀνδριάντας καὶ πᾶσαν ἐπεκρότησαν κίνδυνον». «Ὅτε (καὶ) οἱ παρὰ τοῦ βασιλέως ἀποσταλέντες ἐπὶ τῇ τῶν γεγενημένων ἐξετάσει τὸ φοβερὸν ἐκεῖνο συνεκρότησαν δικαστήριον καὶ πάντας ἐπὶ τὰς εὐϑύνας τῶν τετολμημένων ἐκάλουν, καὶ ϑανάτων διαφόρων προσδοκία πᾶσιν ἦν, τότε οἱ τὰς ἀκρωρείας τῶν ὀρέων κατοικοῦν-

---

7. Rubrica M. 2, in codice cum margine periit. — 8. Ced. 570,18—571,1: τῷ ι' καὶ ις'. ἔτει. — 13. Ced. 570,22.—πρ. ὧν Ἀντιοχείας λόγους περὶ τούτου ϑαυμαστοὺς ἐξέϑετο οὓς ἀ. ἐπεγ. Ced. — 15. Varians §. 1, Ced. 559,18 — 562,15: Εἶχε δὲ καὶ ἄλλην ἀφορμὴν ὁ βασιλεὺς ὠφελείας κτλ. — ' ταῖς? — 18. τῶν τῆς — αἰσϑομένων καὶ φ. χρησαμένων? — 21. Varians ex homilia ad populum Ant. XVII T. II. 172 A, C et 173 B, D, E. — 24. ἐπὶ τὴν—ἐξέτασιν Chr.

τες μοναχοὶ τὴν οἰκείαν (ἑαυτῶν) ἀπεδείξαντο φιλοσοφίαν. Τοσούτοις γὰρ ἔτεσιν ἐν ταῖς ἑαυτῶν συγκεκλεισμένοι καλύβαις, οὐδενὸς παρακελεύσαντος ἢ συμβουλεύσαντος, ἐπειδὴ τοσοῦτον νέφος εἶδον τὴν πόλιν περιϊσταμένον, καὶ λοιπὸν λιπόντες αὐτῶν τὰ σπήλαια καὶ τὰς σκηνάς, πάντοθεν συνέῤῥευσαν, ὡς ἐξ οὐρανοῦ τινὲς ἄγγελοι παραγενόμενοι· καὶ ἦν ἰδεῖν τὴν πόλιν ἐοικυῖαν οὐρανῷ, τότε πανταχοῦ τῶν ἁγίων φαινομένων ἐκείνων καὶ ἀπὸ τῆς ὄψεως μόνον παρακαλοῦντας τοὺς ὀδυνωμένους, καὶ πρὸς πᾶσαν ὑπεροψίαν συμφορᾶς ἀγόντων. Τίς γὰρ ἰδὼν ἐκείνους οὐκ ἂν εὐθὺς κατεφρόνησε θανάτου καὶ τῆς ζωῆς ὑπερεῖδεν;» — «οἳ καὶ τοῖς ἄρχουσι μετὰ παῤῥησίας διελέχθησαν ὑπὲρ τῶν ὑπευθύνων τὸ ἑαυτῶν αἷμα παρασκευασθέντες ἐκχέειν, ὥστε τοὺς ἁλόντας ἐξαρπάσαι τῶν προσδοκωμένων δεινῶν», ὅπερ καὶ γέγονε. «Ποῦ (τοί)νυν εἰσὶν οἱ τοὺς τρίβωνας ἀναβεβλημένοι καὶ (τὸ) βαθὺ γένειον δεικνύντες καὶ ῥόπαλον τῇ δεξιᾷ φέροντες ψευδώνυμοι φιλόσοφοι, τὰ κυνικὰ καθάρματα, οἱ τῶν ἐπιτραπεζίων κυνῶν ἀθλιώτερον διακείμενοι καὶ γαστρὸς ἕνεκα πάντα ποιοῦντες;» Οἱ γὰρ τῆς πόλεως ἅπαντες εἰς τὰς ἐρήμους ἀποφυγόντες καὶ κατακρυβέντες, «οὗτοι μόνοι διὰ τῶν ἔργων ἀληθῶς τὴν φιλοσοφίαν ἀπεδείξαντο καὶ «πάντων δεδεικότων καὶ κατεπτηχότων, εἰς τὸ μέσον στάντες τὸ δεινὸν ἔλυσαν οὐκ ἐν πολλαῖς ἡμέραις»· — «ἀλλ' ἐν μιᾷ καταβάντες καὶ διαλεχθέντες καὶ τὴν συμφορὰν λύσαντες πρὸς τὰ ἴδια (πάλιν) ἀνέβησαν καταγώγια. Τοσοῦτόν ἐστιν ἡ παρὰ τοῦ Χριστοῦ τοῖς ἀνθρώποις δειχθεῖσα φιλοσοφία».

384 (5) Ἐπὶ Θεοδοσίου τὸ σῶμα Παύλου τοῦ ὁμολογητοῦ εἰς τὴν πόλιν εἰσήχθη καὶ ἐν τῇ Παύλου ὀνομαζομένῃ ἐκκλησίᾳ ἀπετέθη, ἣν ᾠκοδόμησε Μακεδόνιος Παύλῳ ἐπιβουλεύων.

(6) Ἐπὶ τούτου Ἡλιόδωρος ὁ γράψας τὰ Αἰθιοπικὰ

---

4. καταλιπόντες Chr. — 8. παρακαλούντων? παρακαλοῦντα cod. — 15. φ. οἱ τῶν ἔξωθεν Chr. — 17. Τῶν γὰρ τῆς π. ἁπάντων — ἀποφυγόντων καὶ κατακρυβέντων? Πάντες κατελιπον κτλ. μόνοι δὲ οἱ διὰ — ἐπιδεικνύμενοι Chr. — 23. εἰσενενεχθεῖσα Chr. — 25. Ced. 554,3,4: Τότε (τῷ ς' ἔτει) ἤχθη καὶ τὸ σ. τοῦ ἁγίου Π. ποῦ ὁμ.

ἐπίσκοπος ἦν Τρίκκης· γράφει δὲ καὶ διὰ στίχων ἰάμβων τὴν τοῦ χρυσοῦ ποίησιν πρὸς τὸν αὐτὸν Θεοδόσιον.

(7) Καὶ τὰ λείψανα τῶν ἁγίων μαρτύρων Τερεντίου, [καὶ] Ἀφρικανοῦ διεκομίσθησαν καὶ ἀπετέθησαν εἰς τὴν ἁγίαν Εὐφημίαν ἐν τῇ πέτρᾳ.

(8) Καὶ ἡ τιμία κεφαλὴ τοῦ βαπτιστοῦ Ἰωάννου ἐν Κωνσταντινουπόλει διεκομίσθη, εὑρεθεῖσα μὲν πρότερον παρά τισι μοναχοῖς τῆς Μακεδονίου αἱρέσεως, οἵτινες ἐξ Ἱεροσολύμων ἐλθόντες εἰς Κιλικίαν διέτριψαν. Μαρδονίου δὲ τοῦ εὐνούχου τοῦτο μαθόντος καὶ μηνύσαντος Οὐάλεντι, μετεκομίζετο ἐκ προστάξεως αὐτοῦ ἐν Κωνσταντινουπόλει· ὡς δὲ οἱ εἰς τοῦτο σταλέντες ἐπιθέντες ὀχήματι ἦλθον εἰς πανδοχεῖον, καὶ οὐκ ἔτι μετῆλθον τὸν τόπον αἱ τὸ ὄχημα ἕλκουσαι ἡμίονοι, καίπερ πολλὰ μαστιγούμεναι (126ª)· καὶ τότε μὲν οὖν ἀπετέθη ἡ ἁγία κεφαλὴ ἐν Κοσιλάου κώμῃ, μὴ κρίναντος τοῦ θεοῦ τοιούτου δώρου ἀξιωθῆναι τὸν Ἀρειανὸν Οὐάλεντα· Θεοδόσιον δὲ τῆς εὐσεβείας ὁ θεὸς ἀμειβόμενος μεταγαγεῖν αὐτὴν τῷ βασιλεῖ συνεχώρησεν· καὶ ἐν τῷ Ἑβδόμῳ αὐτὴν ἀπέθετο, ναὸν περικαλλῆ καὶ μέγιστον τῷ προδρόμῳ οἰκοδομήσας.

(9) Τὸ δὲ ἐν Ἀλεξανδρείᾳ ἱερὸν τῶν Ἑλλήνων Θεόφιλος ὁ ἀρ- 391
χιεπίσκοπος αἰτήσας Θεοδόσιον ἐξεκάθηρε (καὶ εἰς ἐκκλησίαν μετεσκεύασε καὶ τὰ τῶν Ἑλλήνων ἐδημοσίευσεν ὄργια, φαλλοὺς καὶ εἴτι τούτων ἀσελγέστερόν τε καὶ βέβηλον, ὅπερ καταπλαγέντες τὸ πλῆθος τῶν Ἑλλήνων μυρίους φόνους εἰργάσαντο. Τοῦτο δὲ μαθὼν ὁ Θεοδόσιος τοὺς μὲν ἀναιρεθέντας χριστιανοὺς ἐμακάρισεν ὡς ὑπὲρ εὐσεβείας ἀναιρεθέντας, τοῖς δὲ Ἕλλησι παραχωρεῖν ἐπηγγείλατο, εἰ χριστιανοὶ γένωνται)· τὰ μέντοι ἱερὰ τὰ ἑλληνικὰ καθ-

---

6. Ced. 554,2: Τότε καὶ ἡ κ. τοῦ προδρόμου ἐν Κ. Π. ἤχθη· 562,16—563,4. Ἐπὶ τούτου τοῦ μεγάλου Θεοδοσίου καὶ ἡ τ. κ. τοῦ τιμίου πρ. καὶ β. Ἰω. ἡ. ἐν Κ. Π. — 8. εἰς Κ. ἐ. διέτριβον Ced. — 11. ὡς δὲ κατελάβον ἐν κώμῃ Κοσιλαοῦ οὐκέτι μ. τὸν τ. κ. πολλὰς μαστιγουμένων· τότε Ced. — 14. ἐν τῇ προρρηθείσῃ κ. κρίνοντος τοῦ θ. μὴ τ. δ. Ced. — 16. ἀμ. ὁ θς Ced. — 17. συν. ἦν καὶ ἐν τῷ τοῦ πρ. ἁ. ναῷ Ced. — 19. Ced. 569,2—4: Τῷ ια' ἔτει sed cf. legem XV. K. Iul. 391 de paganis Romano com. Aegypti, Th. 13. — 26. Καὶ τοῦ Ἀλεξανδρείας Θεοφίλου αἰτησαμένου τὰ ἱ. πάντα τῶν Ἑλλήνων καθηρέθησαν καὶ τὰ εἴδωλα ἐχωνεύθησαν καὶ εἰς χρείας πενήτων ἐδόθη Ced.

αιρεθῆναι προσέταξε καὶ τοὺς θεοὺς χωνευθῆναι καὶ εἰς δαπάνην δοθῆναι πένησιν.

(10) Καὶ τοῦ ναοῦ τοῦ Σεράπιδος λυομένου, γράμματα ἱερογλυφικὰ εὑρέθη σταυροῦ ἔχοντα τύπους, ἅπερ θεασάμενοι οἱ ἐξ Ἑλλήνων χριστιανήσαντες ἔφασαν σημαίνειν τὸν σταυρὸν παρὰ τοῖς ἱερογλυφικὰ γινώσκουσιν γράμματα ζωὴν ἐπερχομένην.

(11) Περὶ δὲ τοῦ ναοῦ Σεράπιδος (οὗ καθεῖλε Θεόφιλος ὁ ἀρχιεπίσκοπος σὺν τῷ ξοάνῳ αὐτοῦ) τοῦτο οἱ μὲν ·· Δία ἔφασκον εἶναι, οἱ δὲ τὸν Νεῖλον διὰ τὸ ··· μόδιον ἔχειν ἐν τῇ κεφαλῇ καὶ ···· πῆχυν (ἐν τῇ χειρὶ ἤτοι τὸ τοῦ ὕδατος μέτρον, ἄλλοι δὲ τὸν ἡμέτερον Ἰωσήφ), ἕτεροι δὲ Ἆπιν τινὰ γενονέναι ἄνθρωπον ἔμπορον ἤγουν βασιλέα ἐν Μεμφίτιδι πόλει τῆς Αἰγύπτου· λιμοῦ γὰρ γενομένου τοῖς Ἀλεξανδρεῦσι πολίταις ἐκ τῶν ἰδίων τροφὴν παρεῖχε· τελευτηκότι δὲ αὐτῷ ναὸν ἀνέστησαν, ἐν ᾧ ναῷ βοῦς ἐτρέφετο σύμβολον φέρων τοῦ γεωργοῦ (καί τινα ἔχων ἐν τῇ χροιᾷ ἐπίσημα)· ὅστις ἐκ τῆς προσηγορίας αὐτοῦ καὶ αὐτὸς Ἆπις ἐκαλεῖτο. (Τὴν δὲ σωρὸν τούτου τοῦ Ἄπιδος, ἐν ᾗ τὸ σῶμα ἔκειτο αὐτοῦ, ἐν Ἀλεξανδρείᾳ μετήνεγκαν καὶ ἀπὸ τῆς σωροῦ καὶ τοῦ Ἄπιδος σύνθετον ὄνομα πεποιηκότες) ἐκάλουν αὐτὸν (Σώραπιν, οἱ δὲ μετὰ ταῦτα) Σέραπιν.

(12) (Τούτου ναὸς ἦν ὑπὸ Ἀλεξανδρέων κτισθεὶς παμμεγέθης καὶ ὑπὸ κιόνων πολυτιμήτων καὶ μαρμάρου ἔσωθεν καὶ ἔξωθεν πάνυ λαμπρῶς κεκαλλοπισμένος·) ἐν τῷ μέσῳ δὲ τοῦ ναοῦ τὸ ἄγαλ-

---

3. Τοῦ δὲ ν. Ced. 569,6—10. — ' ἐν Ἀλεξανδρείᾳ Ced. — ἱ. γρ. Ced. — 4. στ. τύπον ἐπεχ. Ced. οἱ ἐξ Ἑ. θ. ἐπίστευσαν λέγοντες σ. τ. στ. κατὰ τὴν τῶν ἱερογλυφικῶν γραμμάτων ἔννοιαν, ζ. ἐπ. Ced. — 7. Ced. 569,10—18: Τοῦτον τὸν Σάραπιν οἱ. — '' τὸν Ced. — 8. ἑ. λέγουσιν Ced. — ''' τὸν Ced. — '''' τὸν Ced. — 9. π. οἱ δὲ Ἆπιν Ced. — 11. ἀ. εὔπορον ἐν Αἰγύπτῳ γ. ὃς ἐν καιρῷ λ. ἐκ τῶν ἰ. ἐπήρκεσεν Ἀλ. ᾧ καὶ τελευτῶντι ν. καὶ στήλην ἀν. καὶ β. αὐτοῦ ἐτ. ὃν καὶ Ἆπιν ἐκάλουν ὁμωνύμως τῷ δεσπότῃ· σ. οὗτος ἦν τοῦ γ. Ced. — 15. γεωργ. cod. γεωργεῖν? — Μετωνόμασαν δὲ τὸν ἄνθρωπον ἐκεῖνον καὶ Γόρασιν καὶ Σαρ. τὴν στήλην Ced. — 21. Περὶ τοῦ μαγνήτου. Ced. 569,18—570,2: ἐν τῷ ναῷ γοῦν τούτου ἀγ. μ. καὶ φ. οἷον ἐκ διαφόρου κατεσκευασμένον ὕλης ἵστατο ὡς ἑκατέραις χερσὶν ἑκατέρων ἔχεσθαι τῶν τοίχων Ced. — 22. μαρ ἰοων? μαρμαρ. cod. Cedrenus imaginem minorem magnete tractam intra majorem · hibat fuisse, ut a magnete tecti in laquearibus fixo illa tum trahi non potuisset, ᾧ igitur ad templum referendum est.

μα αὐτοῦ ὑπῆρχε μέγα καὶ φοβερόν, ὥστε τῇ μὲν δεξιᾷ χειρὶ τὸν ἕνα τοῖχον, τῇ δὲ ἀριστερᾷ τὸν ἕτερον συνέχειν, ὅπερ τέρας ἀπὸ παντὸς γένους καὶ ὕλης, ἀπὸ χρυσῶν πεταλων καὶ ἀργυρῶν ὑπῆρχεν ἐνδεδύμενον, ἐν ᾧ (πλάνης ἕτερον εἶδος ἐτύγχανεν κακουργηθὲν τοιοῦτον· λίθος τίς ἐστι μαγνήτης λεγόμενος, ὃς ἔχει φυσικὴν ἐνέργειαν ἕλκειν πρὸς ἑαυτὸν τὸν σίδηρον·) ξοάνου (δὲ) κατασκευάσαντες ἐκ χαλκοῦ [οὐ] μέγα καὶ ἐν τῇ κεφαλῇ σίδηρον ἔνδοξεν καθηλώσαντες τὸν λίθον τοῦτον ἐν τοῖς φατνώμασιν ἄνωθεν τῆς στέγης ἔπηξαν ἀπὸ διαμέτρου· τὸ δὲ ὑπὸ τῆς φυσικῆς βίας ἀνελκόμενον τοῦ λίθου—μετέωρον γὰρ ἐκρέματο διὰ πολλὴν τέχνην—καὶ ἐκρατεῖτο μέσον ἐδάφους καὶ ὀρύφου θαυμαζόμενον καὶ μὴ παντελῶς κατασπώμενον.

(13) Τούτου καταλυθέντος (126[b]) καὶ ἐδαφισθέντος καὶ τοῦ 393
Νείλου κατὰ τὸ εἰωθὸς μὴ ἀνελθόντος, ἔχαιρον Ἕλληνες λέγοντες 394
διὰ ταύτην τὴν αἰτίαν μὴ ἀναβαίνειν τὸν ποταμόν· ὅπερ μαθὼν ὁ βασιλεὺς Θεοδόσιος εὐσεβῶς ἀπεκρίνατο· «Μὴ γένοιτο ποταμὸν (ναοῖς δαιμόνων καὶ) θυσίαις χαίροντα καὶ ἐπὶ τὴν γῆν ποτὲ ὕδωρ ἀνάγειν»· θεὸς δὲ τούτου τὴν πίστιν ἀποδεξάμενος ὑπὲρ τὸ δέον ἐκέλευσε πλημμυρῆσαι, ὅπερ εἰς φόβον ἤγαγε οὐ τὸν τυχόντα τὴν Αἴγυπτον, μὴ καὶ τὴν Ἀλεξάνδρειαν αὐτὴν κατακλύσῃ τὸ ὕδωρ.

(14) Ὅπερ δὴ καὶ περὶ τῆς Ἀρτέμιδος πρός τινας φησὶν ὁ μέγας Ἰσίδωρος· «Ἐπειδήπερ ἠθέλησας μαθεῖν τό*· «Τίς οὐκ οἶδε τὴν Ἐφεσίων πόλιν νεοκόρον οὖσαν τῆς μεγάλης Ἀρτέμιδος καὶ τοῦ Διοπετοῦς»; ἴσθι, ὅτι οὐκέστι τῆς γραφῆς ὁ λόγος, ἀλλὰ τοῦ γραμματέως τῆς Ἐφεσίων· περιττὸν οὖν ἡγοῦμαι λογοποιΐας ἀγυρτικὰς

---

3. ὑπῆρχον ἐνδεδυμένοι cod. — 4. ἔνδον δὲ τούτου τοῦ μεγίστου ἀγάλματος ἄλλος ναὸς καὶ εἴδωλον καὶ ξόανον ἀπηωρήρητο χ. οὐ μ. δέ Ced. — κακουργ. cod.— 7. τούτου τῇ κ. σ. ἐνείραντες, τ. φ. δὲ τῆς στ. ἀν. μαγνῆτιν λ. κατὰ κάθετον ἐνθέμενοι μετ. τοῦτον τοῦ ἀέρος ἀφῆκαν ὁρᾶσθαι κρεμάμενον καὶ οὔτε γῆς οὔτε αὐτῆς τῆς στέγης ἐφαπτόμενον Ced. — 13. Ced. 571,8—15: Τῷ δὲ αὐτῷ ἔτει (ιε' καὶ ις') τοῦ ποταμοῦ N. κ. τὸ ἔθος μὴ ἀναβάντος ἐχ. οἱ Ἕλ. αἴτιον εἶναι τούτου τὸ κωλυθῆναι θύειν τοῖς θεοῖς αὐτῶν. — 15. ὁ εὐσεβὴς β. Θ. εἶπε· Μὴ γ. ποτὲ π. θ. χ. ἐπὶ τὴν γῆν πλημμυρῆσαι. Ὁ δὲ θς τοῦτο ἀπ. εὐλόγησε τὴν ἀνάβασιν τοῦ ποταμοῦ, ὥστε ἅπαν τὰς τοὺς κατ' Ἀ. φοβηθῆναι μὴ καὶ αὐτὴν Ἀ. κ. ἡ πλημμύρα τοῦ ὕδατος Ced. — 21. Isidorus Pelusiota, cp. IV. 206. — * ἐν ταῖς πράξεσι τῶν ἀποστόλων. κείμενον Act. XIX. 35 τίς οὐ γινώσκει κτλ.

ἑρμηνεύειν· περὶ ὧν οἶμαι καὶ τὸν ἱεροψάλτην Δαυὶδ εἰρηκέναι· «Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ὁ νόμος σου, Κύριε».

(15) «Ἐπεὶ οὖν φιλομαθὴς ὢν, πολυμαθὴς ἐθέλεις εἶναι, καὶ τοῦτο φράσω σοι· οἱ παρ' Ἕλλησι τὰ ξόανα κατασκευάσαντες (καὶ) φόβον βουλόμενοι ποιῆσαι τοῖς ὁρῶσιν ἔφασκον, ὅτι (τὸ ἄγαλμα) ἐξ οὐρανοῦ παρὰ τοῦ Διὸς ἐπέμφθη καὶ κατέπτη κρεῖττον ὑπάρχον πάσης ἀνθρωπήνης χειρὸς καὶ ἀνάλωτον, ὅθεν καὶ Διοπετὲς καὶ οὐράνιον βρέτας ἐκάλουν· βρέτας δὲ παρὰ τὸ βροτῷ ἐοικέναι· ὅπερ οὐχ οὕτως ἦν [ὡς] ἡ περὶ τῶν ἀγαλμάτων ματαίως δόξα πεπλανημένων δόξα· ἀλλὰ τοὺς ἀγαλματοποιοὺς ἢ ἀπακτεινόντες ἢ φυγαδεύοντες, ἵνα μηδεὶς εἰπεῖν ἔχοι, ὅτι χειροποίητόν ἐστι τὸ ξόανον, ἦν δὴ φήμην πλάσαντες ἐν ταῖς ἀκοαῖς τῶν (πεφενακισμένων) ἀνθρώπων ἠφίεσαν, ἥτις καὶ τὴν Ἐφεσίων ἐπλάνα πόλιν». — «Ὅτι ἀληθές ἐστιν, ὅτι ἀπέκτενον τοὺς ἀγαλματοποιοὺς, μαρτυρεῖ τὸ χθὲς καὶ πρώην ἐν Ἀλεξανδρείᾳ τῇ πρὸς Αἴγυπτον γεγενημένον· Πτολεμαῖος συναγαγὼν τεχνίτας ὥστε τὸν τῆς Ἀρτέμιδος ἀνδριάντα ποιῆσαι, μετὰ τὸ ἔργον βόθρον μέγαν ὀρύξας καὶ τὸν δόλον κρύψας ἐκέλευσε τοὺς τεχνίτας ἐν αὐτῷ δειπνῆσαι, οἵτινες δειπνῶντες ἐκεῖσε κατεχώσθησαν καὶ ἀπέθανον, ἄξιον μισθὸν τῆς κακουργίας κομισάμενοι· πλὴν οὓς ἐκεῖνος βουλόμενος ἀφανίσαι τεχνίτας, ἵνα δόξῃ ἀχειροποίητος [ὀνομαζόμενος θεὸς, ὃν καὶ ἀχειρομίαντον] κέκληκε, τοῦτο δέδρακεν· ἀλλ' ὁ ἡμέτερος δεσπότης καὶ θεὸς ἐν τάχει ἐφανέρωσε τὴν παμβέβηλον αὐτοῦ μιαιφονίαν· σκηπτοῦ γὰρ καὶ σεισμοῦ γεγονότος μεγάλου καὶ τοῦ ναοῦ καταπεσόντος ἅμα καὶ τοῦ βόθρου ἀναβοθρευθέντος, ἐφοράθη τὰ τῆς ἀπάτης κατασκευάσματα.

---

1. μελῳδὸν εἰρ. Is.— 2. Ps. CXIX. 85.— 4. Isidorus IV. 207.—τ. φράσας ἵνα μὴ δόξαιμί σε λυπεῖν· οἱ Is. — 7. ἐπ. ἢ κ. Is. — κρ. π. ἀ. χ. ὅθεν Is. — 9. π. τῷ cod.— 12. τὸ δὲ οὐ τοιοῦτον ἦν ed. omissis ἡ — δόξα, quae a chronographo adjuncta sunt. et conjunctione aliqua, ὡς vel καθὼς, jungenda. — ἔχοιεν cod. — ξ. ταύτην τὴν φ. πλανᾶσθαι Is. — 23. ἀλλ' οὐκ ἔλαθε προὔπτου γὰρ γενομένου τοῦ δράματος κατ' ἐνιαυτὸν θρήνοις τοὺς οὕτω τεθνεῶτας ἠμείβετο Is.

(16) Ἐν δὲ τῷ Κανώπῳ μᾶλλον τῆς ὅλης Αἰγύπτου κατειδώλῳ ὄντι φασὶ τεράστειόν τι εἶναι τοιοῦτον· Ποτὲ Χαλδαῖοι τὸν ἴδιον θεὸν, ὅπερ ἐστὶ τὸ πῦρ ἀποσεμνύνοντες, πανταχοῦ περιέφερον, ὥστε τοῖς θεοῖς πασῶν τῶν ἐπαρχιῶν συμβεβληκέναι καὶ τὸν νικῶντα ἐκεῖνον παρὰ πάντων νομίζεσθαι θεόν. Τῶν οὖν ἄλλων ἐπαρχιῶν οἱ θεοὶ, ἢ ἀπὸ χαλκοῦ ἢ ἀπὸ χρυσοῦ ἢ ἀργύρου ἢ ξύλου ἢ λίθου ἢ ἄλλης τοιαύτης ὕλης [ἀν]αμφιβόλως εὐχερῶς διὰ τοῦ πυρὸς ἐφθείρετο, ὥστε πανταχοῦ τὸ πῦρ ἀναγκαίως νικᾷν. Ταῦτον ἀκηκοὼς ὁ τοῦ Κανώπου ἱερεὺς (127ª) πανοῦργόν τι τοιοῦτον ἐνεθυμήθη· Ὑδρίαι ἐν τοῖς μέρεσιν Αἰγύπτου εἰώθασι γίνεσθαι ὀστράκιναι, τρήσεις ἔχουσαι λεπτὰς καὶ συνεχεῖς, ὥστε διὰ τὸν τρήσεων ἐκείνων τὸ τεθολωμένον ὕδωρ διυλιζόμενον ἀποδίδοσθαι καθαρώτερον. Ἐκ τούτων τῶν ὑδριῶν μίαν λαβὼν ὁ ἱερεὺς τοῦ Κάνωπος καὶ τὰς τρήσεις ἐκείνας ἀναφράξας κηρῷ καὶ διαφόροις ξωγραφήσας χρώμασι, πληρώσας τε ὕδατος, ἔστησεν ὡς θεόν· καὶ ἀποτεμὼν παλαιοῦ ἀγάλματος τὴν κεφαλὴν, ὅπερ ἐλέγετο Ἐλάου τινὸς κυβερνήτου γεγενῆσθαι, ἐπιμελῶς ἐπιθεὶς εἵρμωσεν αὐτὴν τῷ ἀγάλματι. Παρεγένοντο δὲ μετὰ ταῦτα οἱ Χαλδαῖοι, καὶ ἀνήφθη παρὰ τὴν ὑδρίαν τὸ πῦρ, καὶ ὁ κηρὸς, δι' οὗ αἱ τρήσεις ἐτύγχανον πεφραγμέναι, διελύετο· τῆς δὲ ὑδρίας ἱδρούσης καὶ τὸ ὕδωρ διὰ τῶν τρήσεων ἐκβαλλούσης, ἐσβέννυτο τὸ πῦρ· οὕτω τε τῇ πανουργίᾳ τοῦ ἱερέως ὁ Κάνωπος τῶν Χαλδαίων νικητὴς ἀνεδείχθη καὶ ἀπὸ τότε λοιπὸν ἐτιμᾶτο ὡς θεὸς πάντων νικητὴς ὁ Κάνωπος.

(17) Νῦν δὲ παραγενομένου Θεοφίλου τοῦ ἀρχιερέως τοῦ πάντων θεοῦ, οὐδὲ εἷς ὠφέλησεν ἱδρὼς, οὐδὲ ἡ ἀπὸ κηροῦ κατασκευσθεῖσα πανουργία συνεβάλετό τι αὐτῷ· ἀλλὰ πάντα τὰ αὐτῶν ἐπορθήθη καὶ εἰς ἔδαφος κατηνέχθη. Ὅτε δὲ ταῦτα οὕτως γενέσθαι ἀπηγγέλη τῷ εὐσεβεστάτῳ βασιλεῖ, ὅτι τὰ εἴδωλα τῆς Αἰγύπτου κατηνέχθη

---

1. Ced. 570,9—16: Ἰστέον ὅτι Χ. τὸ πῦρ ὡς π. ἀναιρετικὸν βέβονται καὶ πάντας τοὺς Ἕλλήνων θεοὺς κατέδραμον· προσῆλθον δὲ καὶ τῷ Κ. ἱερεῖ καὶ αὐτὸς μηχανᾶταί τι τ. — 9. Εἰς τύπον ἀγάλματος ὑδρίαν ὀστρακίνην καταοκευάσας, τρ. ὑπέθηκε λ. ἃς κ. φραξάμενος καὶ χρώματι καλλύνας π. ἀγ. ἀπ. κ. καὶ ἐφαρμόσας τῷ σκεύει εὐφυῶς καὶ τῷ πυρὶ προσαγαγὼν ἤλεγξεν αὐτοῦ τὴν ἰσχὺν, κατὰ μικρὸν διὰ τοῦ ὕδατος ἀποσβεσθέντος.

καὶ ἐκκλησίαι ἀντ' αὐτῶν ᾠκοδομήθησαν, ἐκτείνας τὰς χεῖρας εἰς τὸν οὐρανὸν εἶπεν· «Εὐχαριστῶ, δέσποτα Χριστέ, ὁ θεός μου, ὅτι, χωρὶς ἀπολείας τῆς πόλεως ἐκείνης τῆς μεγάλης, ἡ οὕτως παλαιὰ κατεσβέσθη πλάνη».

292 (18) Ἐν δὲ τῷ μεταξὺ Οὐαλεντινιανὸς ἐν τοῖς τῆς δύσεως μέρεσι τὴν πολιτείαν διοικῶν, βρόχῳ χρησάμενος τὸ τέλος ἐπλήρωσε τοῦ βίου, δι' ἣν αἰτίαν, μέχρι τοῦ παρόντος οὐκ ἴσμεν· τινὲς μὲν γὰρ ἔλεγον ἐπιβουλῇ τοῦ στρατηγοῦ Ἀρβογάστου γεγενῆσθαι τοῦτο· καὶ τοιαύτη παρὰ πᾶσιν ἐκράτει ὑπόληψις· ἄλλοι μέν[τοι] ἀξιῶν εἶναι τὸν στρατηγὸν ἀπὸ τοιούτου μύσους ἔλεγον, αἰτίαν δὲ παρεσχηκέναι τούτου νεανίαν ἀγανακτήσαντα εἰς τοῦτο πραχθῆναι, ἐπείπερ, φασίν, οὐ συνεχωρεῖτο παρ' αὐτοῦ ὡς νεώτερος, εἰ μηδέπω βεβηκὼς κατ' ἐξουσίαν διὰ πάντων τὴν βασιλείαν διοικεῖν.

(19) Θεοδόσιος δὲ οὐδὲν ἧττον ἀναφθεὶς ὅπλα κατὰ Εὐγενίου τοῦ εἰς τὸν τόπον αὐτοῦ καταστάντος εἰς ἐκδίκησιν ἥρπασε, τὴν τούτου γνώμην διὰ Ἰωάννου μοναχοῦ ἡσυχαστοῦ Αἰγυπτίου μεμαθηκώς. Ὁ γάρ τοι θεῖος οὗτος ἀνὴρ ἐνενηκονταετὴς πέλων τὴν ἡλικίαν ἐν σπηλαίῳ κατέμενε μόνος, μήτε αὐτὸς ἐξερχόμενος τῆς κέλλης, μήτε ἄλλον εἰσδεχόμενος ἔνδον· ηὐλόγει γὰρ μόνον διὰ θυρίδος καὶ ἠσπάζετο τοὺς πρὸς αὐτὸν παραβάλλοντας· καὶ τούτους οὐ διαπαντὸς, ἀλλὰ δὶς τῆς ἑβδομάδος, σαββάτῳ καὶ κυριακῇ· τὰς δὲ λοιπὰς ἡμέρας ἀπρόϊτος ὑπῆρχε παντὶ ἀνθρώπῳ νηστείαις καὶ ἀγρυπνίαις καὶ προσευχαῖς σχολάζων· καὶ ἦν ἰδεῖν τὸν μακάριον ὅλον εἶναι ἐκτετηγμένον τῷ σώματι δι' ἄκραν σκληρωγαγίαν· καὶ γὰρ ἤσθιεν οὐδὲν ἕτερον ἢ λάχανα καὶ ὀλίγας ὀπώρας (127ᵃ) μετὰ δύσιν ἡλίου· περὶ γὰρ ἄρτου οἴνου τε καὶ ἐλαίου καὶ τῶν λοιπῶν ὅσα διὰ πυρὸς ἔχει τὴν χρῆσιν, περιττόν ἐστι καὶ λέγειν. Τούτοις καὶ τοῖς τοιούτοις θείοις κατορθώμασι διανυκτερεύων καὶ διημε-

---

5. Cod. 568,8—11.—6. ἀγχόνῃ Ced. *laqueo* (Prosper.) *Arcadio II et Rufino coss. Th.* 14, conf. Orosium VII. 35: *dolo A. comitis sui, ut ferunt strangulatus, atque ut voluntariam sibi consciviss mortem putaretur, laqueo suspensus*, cf. Theophanem et Miscell. — 14. Περὶ Ἰωάννου μοναχοῦ. Ced. 568,11—20: Ἔσπευσε δὲ ὁ μέγας Θ. εἰς ἐκδ. αὐτοῦ· ἐξιὼν δέ κατὰ τοῦ τυράννου Εὐγενίου οὐκ ἰδίᾳ ἰσχύϊ ἐθάρρησεν Ἰ. δὲ τ. Ἀ. μ. μεγάλου τὴν βάβδον ἀ. δ. τὴν ἐπωμίδα δὲ ἀντὶ κράνους ὁπλίσαμενος. — 21. δεύτερον codex e compendio β΄ male solute.

ρεύων ὁ ὅσιος ἐκδηλος ἐγένετο καὶ προφητικῶν χαρισμάτων ἔμπλεως, προσημαίνων ἐσθ' ὅτε τὰ μέλλοντα καὶ τὰ κρυφίως ἑκάστῳ πεπραγμένα καὶ διανοούμενα. Καὶ μέντοι καὶ περὶ τοῦ Νείλου καὶ τῆς εὐφορίας αὐτοῦ ἢ καὶ ἀφορίας τοῦ χρόνου ἢ ἀπειλὴν ἢ ἑτέραν ἐπέρχεσθαι μέλλουσαν παρὰ θεοῦ * προηγόρευε καὶ τοὺς ἁμαρτάνοντας παῤῥησίᾳ διήλεγχεν. Καὶ τί δὴ πολλὰ λέγειν; ἀδυνατεῖ γὰρ τὸ στόμα καὶ νοῦς ἀνθρώπων ἀριθμεῖν τῶν θαυμάτων αὐτοῦ ἢ τῶν ἀρετῶν τὸ πέλαγος. Πρὸς τοῦτον οὖν τὸν θεοφόρον ἀπέστειλεν ὁ βασιλεὺς Θεοδόσιος σκυλῆναι αὐτὸν παρακαλῶν καὶ ἐκδυσωπῶν ἕως αὐτοῦ, ὅπως ταῖς ἐκείνου προσευχαῖς ἐφοδιαζόμενος τῆς πρὸς τοὺς ἀντιπάλους καταρξειε μάχης. Ὁ δὲ τὴν παρουσίαν μὲν ὑπὲρ εὐλαβείας ἀνεβάλετο, εὐχὴν δὲ ἐπὶ τῇ βακτηρίᾳ ἐφ' ᾗ ἐπεστήρικτο καὶ τῷ περιβολαίῳ, ὁ περιαυχένιον ἔφερε, ποιησάμενος, ταῦτα πρὸς αὐτὸν ἐκπέμπει, παραγγείλας, ἵνα τὸ μὲν περιβόλαιον ἀντὶ κόρυθος ἐπὶ τὴν κεφαλὴν περιβαλεῖται, τῇ δὲ βακτηρίᾳ ἀντὶ δόρατος τῇ δεξιᾷ χειρὶ χρήσηται καὶ πρῶτος τοῦ στρατιωτικοῦ αὐτοῦ προπορεύσηται. Ὁ δὲ βασιλεὺς Θεοδόσιος πιστῶς καὶ εὐλαβῶς τὰ παρὰ τοῦ ἁγίου σταλέντα δεξάμενος εἰς τὸν πόλεμον παρασκευάζεται, οὐχ οὕτως τῇ τῶν ὅπλων καὶ τῶν βελῶν καὶ τοῦ λαοῦ τῷ πλήθει ὅσον τῇ τῶν νηστειῶν καὶ τῇ τῶν εὐχῶν τοῦ ἁγίου πεποιθώς **· οὗτος γὰρ καινὴν ἐπηγγείλατο αὐτῷ τὴν νίκην, ἀναίμακτον προβήσεσθαι εἰς τὸ κατ' αὐτὸν, καὶ ἀπὸ ἑκατέρου μέρους πλεῖστον ἐκχεῖσθαι μέλλειν αἷμα. Περιήρχετο δὲ μετὰ ἐπισκόπων καὶ μετὰ πλήθους πάντας τοὺς τῶν εὐχῶν τόπους καὶ ἔῤῥιπτεν ἑαυτὸν πρὸ τῶν θυρῶν τῶν μαρτύρων καὶ τῶν ἁγίων ἀποστόλων ἐπὶ κιλικίου, ἑξαπλῶν ἑαυτὸν, καὶ τῇ πρεσβείᾳ τῶν ἁγίων πιστοτάτην αὐτῷ παρὰ θεοῦ βοήθειαν ἐζήτει. Οἱ δὲ Ἕλληνες κατὰ τὴν Ῥώμην θύειν ἤρξαντο καὶ σπλαγχνοσκοπίας ἀπὸ θρεμμάτων ποιεῖσθαι, νίκην ἀφροντὶ ἀπαγγέλλοντες Εὐγενίῳ, Φλαβιανοῦ τότε τοῦ ὑπάρχου σπουδαιότερον τῶν ἄλλων ταῦτα πράττοντος, καὶ πάντας ἔπειθεν Εὐγένιον νικητὴν ἀποφανεῖσθαι, πολλὴν ἔχων φρονήσεως

---

* τιμίαν? — 6. δεῖ?—16. χρήσασθαι cod. — ** βοηθείᾳ? vf. infra. — 23. ἔμελλεν cod. — ἐπισκόπ. cod.

οἴησιν. Ὅτε δὲ Θεοδόσιος ὁ ἀληθῶς τῇ ἀληθείᾳ τῆς εὐσεβείας πεποιθὼς τὰ στόμια τῶν Ἄλπεων κατέλαβεν, πρῶτοι ἐκεῖνοι εὐδαίμονες εἰς φυγὴν ἐτράπησαν ὑπὸ φαύλου συνειδότος πτοηθέντες· στὰς γὰρ ἐφ' ὑψηλᾶς πέτρας Θεοδόσιος, ὅθεν καὶ ὁρᾷν καὶ ὁρᾶσθαι παρ' ἑκατέρου στρατοπέδου ἠδύνατο, ἐπὶ τὴν ἐξ ἕωθους ἐπέτρεψεν ἑαυτὸν βοήθειαν καὶ ἁπλώσας ἑαυτὸν ἐνώπιον τοῦ θεοῦ· «θεὲ παντοκράτορ, ἔφη, σὺ οἶδας, ὅτι ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ καὶ υἱοῦ σου ἐκδικήσεώς μου ἕνεκα δικαίας τὸν πόλεμον τοῦτον ἀνεδεξάμην· καὶ εἰ μὲν ψεύδομαι, τιμώρησόν με· εἰ δὲ μετὰ δικαίας αἰτίας καὶ σοὶ πεποιθὼς ἦλθον ἐνταῦθα, ἔκτεινον τὴν δεξιάν σου τοῖς σοῖς, μήποτε (128ᵃ) εἴπωσι τὰ ἔθνη· ποῦ ἐστιν ὁ θεὸς αὐτῶν;» Ἦν τινα εὐχὴν τοῦ πιστοτάτου βασιλέως πιστευθέντες οἱ στρατηγοὶ παρὰ θεοῦ προσδεδέχθαι, εἰς τὸν πόλεμον ἀνεψυχώθησαν, ἐξαιρέτως δὲ Βακούριος, ἀνὴρ τῇ πίστει καὶ τῇ εὐσεβείᾳ καὶ τῇ ἀρετῇ τῆς ψυχῆς καὶ τοῦ σώματος ἔνδοξος παρὰ πάντας τοὺς πλησίον τυγχάνοντας, τούτῳ μὲν τῷ κόντῳ, τούτῳ δὲ τοῖς βέλεσιν, ἔστι δ' ὅτε καὶ τῷ ξίφει ἐτρώννυε καὶ τὰ τάγματα τῶν πολεμίων συνεζευγμένα καὶ συγκεκροτημένα διέῤῥηξε καὶ διὰ μέσου τοῦ πλήθους τῶν πεπτωκότων τὰς τάξεις διασχίσας καὶ τοὺς σωροὺς τῶν νεκρῶν παριὼν πρὸς αὐτὸν ἐπορεύετο τὸν τύραννον· καὶ τοῦ πολέμου σφοδροῦ γενομένου, Εὐγένιος πρὸς τοὺς πόδας τοῦ βασιλέως ὀπίσω δεδεμένων αὐτοῦ τῶν χειρῶν ἦχθη· κἀκεῖσε τῆς αὐτοῦ ζωῆς καὶ τοῦ πολέμου τὸ τέλος ἐγένετο.

(20) Τότε τοίνυν ὡς τὰ μέλλοντα προειδὼς ὁ βασιλεὺς καὶ φροντίζων, ὥστε τὴν πολιτείαν διατυπῶσαι, εἰς τὰ τῆς ἑῴας μέρη παραχρῆμα ἀπέστειλεν, ὅπου τὰ ἑαυτοῦ παρέθετο τέκνα φυλακῇ ἀσφαλεστάτῃ μέλλων ἐπὶ τὸν πόλεμον ἐξιέναι· καὶ ἐν μὲν τῇ ἀνατολῇ τὸν βασιλέα Ἀρκάδιον προσέταξε τὴν πάλαι παραδοθεῖσαν αὐτῷ βασιλείαν φυλάττειν· Ὀνώριον δὲ τῇ αὐτῇ τιμήσας ἀξίᾳ ἐπὶ τὴν τῆς δύσεως βασιλείαν κατελθεῖν ταχέως προσέταξε. Ἐλθόντα δὲ αὐτὸν περιπτυξάμενος καὶ φιλήσας, παρέδωκεν αὐτῷ τὰ σκῆ-

---

4. ὑψηλ. Cod. — 6. ἑαυτοῦ? — 8. ἐκδικήσημ. cod. — δικαί cod. — 12. πιωθέντες cod. — 13. προσεδεδείχθαι cod. — *Barbarius* Misc. — 20. ἀνέμου cod. — 24. Cod. 563,5—13.

πτρα τῆς βασιλείας τῆς δύσεως, αὐτὸς ἐπὶ δέκα καὶ ζ' καιροὺς διϊδύνας τὴν βασιλείαν εὐτυχῶς εἰς τὸν βελτίονα μετῆλθε βίον μετὰ τῶν εὐσεβῶν βασιλέων ἀπολαμβάνων τὰ γέρα τῶν ἄθλων, ἐν Μεδιολάνῳ τελευτήσαντος καὶ τοῦ σώματος αὐτοῦ παρὰ Ἀρκαδίου υἱοῦ αὐτοῦ ἐν τῇ πόλει ἀποκομισθέντος.

CCI. ΒΑΣΙΛΕΙΑ ΑΡΚΑΔΙΟΥ.

Μετὰ δὲ Θεοδόσιον ἐβασίλευσεν Ἀρκάδιος, ὁ υἱὸς αὐτοῦ, ἔτη ιγ̄· βασιλεύσας ἐν τῇ Ῥώμῃ Ὀνώριος. 395

(2) Ὃς τὸν κίονα τοῦ ξηρολόφου στήσας, αὐτὸς ἑαυτοῦ καθίδρυσεν ἀνδριάντα. 403

(3) Καὶ πόλιν ἐν τῇ Θρᾴκῃ κτίσας ἐκάλεσεν αὐτὴν Ἀρκαδιούπολιν.

(5) Ἐφ' οὗ* ἡ γῆ ἐμυκήσατο σφόδρα ἐπὶ ἡμέρας ζ', καὶ σεισμὸς ἐγένετο μέγας** καὶ παγκόσμιος.

CCII. ΠΕΡΙ ΤΟΥ ΜΕΓΑΛΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ.

Νεκταρίου δὲ τοῦ ἀρχιεπισκόπου Κ. Π. τελευτηκότος, κοινῇ ψήφῳ Ἀρκάδιος ἐκ τῆς Ἀντιοχέων πόλεως Ἰωάννην τὸν Χρυσόστομον μεταστειλάμενος χειροτονηθῆναι παρεσκεύασεν ἐπίσκοπον Κ. Π. 398 Feb. 26

(2) Συνέβη δὲ καὶ Θεόφιλον Ἀλεξανδρείας ἐνδημεῖν, ὃς ἦν βαθυνοήμων καὶ δεινὸς πάνυ καὶ δυνάμενος ἐκ τῆς φανερᾶς ὄψεως τὸ ἀφανὲς ἀνθρώπου βούλημά τε καὶ ἰδίωμα συνιδεῖν ὅτι μάλιστα.

(3) Καὶ τὴν μὲν Ἰωάννου χειροτονίαν κωλῦσαι ἐσπούδαζεν, Ἰσίδωρόν τινα πρεσβύτερον ἑαυτοῦ καὶ ξενοδόχον Ἀλεξανδρείας θέλων προβαλέσθαι, Ἰσίδωρον δὲ, οὐ τὸν ἀσκητὴν καὶ Πηλουσιώτην,

---

4. τὸ σῶμα cod. — 7. ιδ' Ced. 574,5.—8. ἐάσας Ὠνώριον Mon. βασιλεύσαντος — Ὀνωρίου? — 9. ἑαυτῷ τὸν ἑαυτοῦ Mon. — 13. Ced. 586,3: Τῷ ιδ ἔτει ἐμυκήθη ἡ γῆ ἐπὶ ἡ. ζ'. — * καὶ Mon. — 14. γέγονε Mon. — ** τε Mon. — 15. Ἀρχὴ τοῦ Χρυσοστόμου Ced. — 16. Ced. 574,14: Τῷ ς' τούτου ἐνιαυτῷ χειροτονεῖται ὁ Χρ. ἐν Κ. Π.

μαθητὴν γεγονότα ποτὲ τοῦ Χρυσοστόμου, καθὼς οἴονταί τινες, ἀλλὰ τὸν προειρημένον ξενοδόχον.

(4) Ὁ οὖν Ἰωάννης τῶν εὐγενῶν Ἀντιοχέων ὑπῆρχε, υἱὸς Σεκούνδου στρατηλάτου καὶ μητρὸς Ἀνθούσης, ἐλλόγιμός τε ἦν ἄγαν καὶ πολὺς περὶ τὸ λέγειν, ᾧ καὶ Λιβάνιος ὁ σοφιστὴς καὶ διδάσκαλος αὐτοῦ προσεμαρτύρησε· ἐρωτηθεὶς γὰρ παρὰ τῶν προσηκόντων, τίνα ἀνθ' ἑαυτοῦ προβάλλεται διδάσκαλον· «Ἰωάννην*, ἔλεγεν, εἰ μὴ τοῦτον οἱ χριστιανοὶ ἡμῶν ἁπεσύλησαν».

(5) Ὀκτωκαιδέκατον ἔτος ἄγων τὴν ἡλικίαν, ἀφηνίασεν ἀπ' αὐτοῦ (128ᵇ) καὶ ὑπὸ Μελετίου, πατριάρχου Ἀντιοχείας, βαπτισθείς, χειροτονηθεὶς (δὲ) ἀναγνώστης καὶ παραμείνας τῇ ἐκκλησίᾳ ἔτη γ' καὶ ἀναχωρήσας ἀπῆλθε πρός τινα μοναχὸν καὶ ἡγούμενον τοὔνομα Καρτέριον καὶ προσμείνας αὐτῷ ἔτη δ', γίνεται ὑπ' αὐτοῦ μοναχός.

(6) Καὶ τὰς θείας γραφὰς ὑπ' αὐτοῦ παιδευθεὶς καὶ τῆς μοναχικῆς πολιτείας τὴν ἀκρίβειαν, χρόνον τινὰ ἀνεχώρησεν ἐν σπηλαίῳ μόνος ἔτη δύο, πόθῳ τῆς ἡσυχίας· μὴ ἀναπεσὼν δὲ τὸν τῆς ἡσυχίας χρόνον, μήτε νύκτωρ, μήτε μεθημερίαν, νεκροῦται τὰ ὑπογάστρια, πληγεὶς ὑπὸ τοῦ κρύους, καὶ τὰς περὶ τοὺς νεφροὺς δυνάμεις.

(7) Οὐκ ἐπαρκῶν δὲ ἑαυτῷ χρησιμεύειν, πάλιν καταλαμβάνει τὴν ἐκκλησίαν ἐκ θείας προμηθείας εἰς πολλῶν σωτηρίαν· ἐντεῦθεν χειροτονεῖται διάκονος διὰ Μελετίου, ὑπηρετήσας τῷ θυσιαστηρίῳ ἔτη ε'.

(8) Ἤδη δὲ τῆς διδασκαλικῆς αὐτοῦ ἀρετῆς διαλαμπούσης, πρεσβύτερος χειροτονεῖται διὰ Φλαβιανοῦ τοῦ ἐπισκόπου· καὶ δια-

---

3. Ἀντιόχ. cod. Ἀντιοχείας? — 5. Ced. 577,15—17: ᾧ καὶ Α. ἐμ. πυθομένων γὰρ τῶν αὐτοῦ φοιτητῶν τίνα ἀντ' ἀ. προίστησι τῷ διδασκαλείῳ, Ἰ. ἔφη, εἰ μὴ ἐσυλήθη ὑπὸ τῶν χριστιανῶν (Γαλιλαίων Leo.). — * φη cod. — 9. Ced. 577,4—9. — ἀγ. τῆς ἡλικίας ἔτος καταλιπὼν τὸν διδάσκαλον αὐτοῦ Λιβάνιον, ὑπὸ τοῦ ἁγιωτάτου ἐ. Α. Μ. Ced. — 12. γ' ἀνεχώρησε καὶ ἀπ. Ced. — Κ. τ. Ced. — 13. ἀ. πρ. Ced. — 15. Ced. 577,10 — 14. — 17. πόθ. cod. ποθῶν Ced. — τὸν διετῆ χ. μὴ ν. μὴ καθ' ἡμ. Ced. — 18. μεθ' ἡμερ. cod. μεθ' ἡμέραν? — 19. ἀπὸ Ced. — 21. Ced. 577,14—18: Μὴ ἐπ. — 23. θ. ὑπὸ τοῦ θείου M. Ced. — 24. τρία ἐ. Ced. — 25. Ced. 577, 18—21. — 26. δ' ἐ. δ. ἐν τῇ ἐ. Ἀντιοχείας Ced.

τρέψας δ' ἔτη ἐν τῇ Ἀντιοχέων ἐκκλησίᾳ ἀποσεμνύνει τὸ ἐκεῖ ἱερατεῖον τῷ βίῳ τῆς ἀκριβείας.

(9) Ἦν δὲ ἀσκητὴς εἰς ἄκρον καὶ πολυάγρυπνος καὶ φιλήσυχος λίαν, καὶ διὰ ζῆλον σωφροσύνης ἐπαῤῥησίαστος καὶ ἀκρόχολος καὶ θυμῷ μᾶλλον ἢ αἰδοῖ ἐχαρίζετο· καὶ ἐλευθεροστομίᾳ πρὸς τοὺς ἐντυγχάνοντας ἀμέτρῳ ἐκέχρητο. Καὶ ἐν μὲν τῷ διδάσκειν πολὺς ἦν πρὸς ὠφέλειαν, ἐν δὲ ταῖς συντυχίαις, ἀλαζονικός τις καὶ ὑπερόπτης ἐνομίζεσο τοῖς (αὐτὸν) ἀγνοοῦσιν.

(10) Διὸ [καὶ ἐπὶ] τὴν ἐπισκοπὴν προβληθεὶς, μείζονι ὀφρύϊ κατὰ τῶν ὑπηκόων ἐκέχρητο πρὸς διόρθωσιν ἑκάστου καὶ σωτηρίαν· καὶ τοὺς τρόπους καὶ τοὺς λόγους μεταλλάττων, οὐ τοίνυν, εἰ μή τις [εἴη κόλαξ, τοῦτον ἀλαζόνα εἶναι νομίζει, οὐδ' αὖ πάλιν εἰ] κόλαξ * ἢ ἀγεννὴς, τοῦτον μετριόφρονα λεκτέον, ἀλλὰ τὸν ἐν (τῇ) προσηκούσῃ τάξει τῇ ἐλευθέροις πρεπούσῃ ἑαυτὸν φυλάττοντα· μεγαλόψυχον γὰρ εἶναι προσήκει τὸν διδάσκαλον, οὐχ ὑπερήφανον, ἀνδρεῖον, οὐ θρασὺν, ἐπιεικῆ, οὐ δουλοπρεπῆ, μετριόφρονα, οὐ ταπεινοφροσύνην ὑποκρινόμενον, ἐλεύθερον, οὐκ ἀνδράποδον, ὥσπερ δὴ καὶ αὐτὸς οὗτος ὁ χρυσοῦς τὴν γλῶτταν λέγει οὕτως·

(11) «Διὰ τοῦτο ποικίλον εἶναι δεῖ τὸν διδάσκαλον καὶ ποιμένα· [ποικίλον δὲ] λέγω, οὐχ ὕπουλον οὐδὲ κόλακα καὶ ὑβριστὴν, ἀλλὰ πολλῆς ** ἐλευθερίας καὶ παῤῥησίας ἀνάμεστον, εἰδότα *** καὶ συγκατιέναι χρησίμως, ὅταν ἡ τῶν πραγμάτων ὑπόθεσις ἀπαιτῇ τοῦτο, καὶ χρηστὸν εἶναι ὁμοῦ καὶ αὐστηρόν· οὐ γὰρ **** ἑνὶ τρόπῳ χρήσασθαι τοῖς ἀρχομένοις ἅπασι δέον· εἰπεῖ ***** μηδὲ ἰατρῶν παισὶν ἑνὶ μόνῳ φαρμάκῳ πᾶσι τοῖς κάμνουσι προσφέρεσθαι καλὸν μηδὲ κυβερνήτῃ μίαν ὁδὸν εἰδέναι τῆς πρὸς τὰ πνεύματα μάχης». Ἐννόησον τοίνυν ὁποῖόν τινα εἶναι χρὴ τὸν μέλλοντα χειμῶνα τοσοῦτον ἀνθέξειν καὶ τοιαύτην ζάλην καὶ τοσαῦτα κύματα

---

1. ἐκεῖσε l. τῇ τοῦ βίου ἀρετῇ Ced.—4. Ced. 577,21—578,4: ἦν γὰρ ἀ. ἄκρως.— 5. ἐχ. ἐλ. τε Ced. — 6. ἀμέτρως Ced. — τὸ δ. cod. — 9. Ced. 578,4—13. — * εἴη Ced. — 13. καὶ ἀγεννὴς Ced. — λεκταῖον cod. καλέσει Ced. — 14. τ. τὰς ἐλ. Ced. — 17. ἐλεαθέριον, οὐκ ἀνθραπώδη Ced. — 18. ὁ Χρυσόστομος λ. Ced. 578,13—579,13— 19. De sacerdotio VI. 4,425 B. — 20. οὐχ ὑποκριτὴν Chr. — ** μὲν Chr. — *** δὲ Chr. — 23. ἐ. καὶ Chr. — **** ἐστὶν Chr. — ***** δὴ Chr. — 25. νόμῳ τοῖς Chr.— 26. τὴν cod.?

πρὸς τὸ «γενέσθαι τοῖς πᾶσι τὰ πάντα, ἵνα πάντας κερδήσῃ». Καὶ γὰρ σεμνὸν δεῖ εἶναι τὸν τοιοῦτον καὶ ἄτυφον καὶ φοβερὸν καὶ προσηνῆ καὶ ἀρχικὸν [καὶ κοινωνικὸν καὶ ἀδέκαστον καὶ θεραπευτικὸν] καὶ ταπεινὸν καὶ ἀδούλωτον καὶ φαιδρὸν καὶ ἥμερον, ἵνα [πρὸς] ταῦτα εὐκόλως [μάχεσθαι] δύνηται. Οὐκοῦν δεῖ τὸν ἐναρετον καὶ ἐχέφρονα φεύγειν τὸ κολακεύειν καὶ κολακεύεσθαι, καὶ μήτε ἀλαζονικὸν (129ᵃ) εἶναι μήτε κόλακα, ἀλλ' ἀμφοτέρων τῶν κακῶν τούτων κολάζειν τὴν ἀμετρίαν καὶ ἐλεύθερον εἶναι, μήτε εἰς δουλοπρέπειαν καταπίπτοντα. Πρὸς μὲν γὰρ χρηστοὺς ταπεινὸν ὑπάρχειν χρὴ, πρὸς δὲ θρασεῖς ὑψηλόν· ἐπείπερ οἱ μὲν ἀρετὴν εἶναι τὴν ἐπιείκειαν ἡγοῦνται, οἱ δὲ ἀνδρείαν τὴν θρασύτητα, ἐκείνοις μὲν τὴν ταπεινοφροσύνην δέον προσφέρειν, τούτοις δὲ τὴν ἀνδρείαν σβεννύουσαν αὐτῶν τὴν ἀπὸ θρασύτητος δόξαν, ἵνα τοὺς μὲν ὠφελήσῃ, τῶν δὲ ταπεινώσῃ τὸ φρόνημα».

(12) Ὅπερ οὖν καὶ ὁ μέγας Βασίλειος δηλῶν ἔλεγε· «τοῦ σοφωτάτου Σολομῶντος φήσαντος· «καιρὸς τῷ παντὶ πράγματι», εἰδέναι χρὴ, ὅτι καὶ ταπεινότητος καὶ ἐξουσίας καὶ ἐλέγχου καὶ παρακλήσεως καὶ φειδοῦς καὶ παῤῥησίας καὶ χρηστότητος καὶ ἀποτομίας καὶ ἅπαξ ἁπλῶς παντὸς πράγματος καιρός ἐστιν ἴδιος, ὥστε ποτὲ μὲν τὰ τῆς ταπεινότητος δεικνύειν καὶ μιμεῖσθαι τῇ ταπεινώσει τὰ παιδία κατὰ τὴν κυριακὴν φωνὴν, ποτὲ δὲ τῇ ἐξουσίᾳ κεχρῆσθαι «ἣν ἔδωκεν ὁ θεὸς εἰς οἰκοδομὴν καὶ οὐκ εἰς καθαίρεσιν», ὅταν ἡ χρεία ἐπιζητῇ τὴν παῤῥησίαν· καὶ ἐν καιρῷ μὲν παρακλήσεως τὸ χρηστὸν ἐνδείκνυσθαι, ἐν καιρῷ δὲ ἀποτομίας τὸν ζῆλον ἐμφαίνειν καὶ ἐφ' ἑκάστου τῶν ἄλλων ὁμοίως τὸν ἔγκριτον καὶ δίκαιον λογισμὸν ἀποφέρεσθαι· λογισμοὶ γὰρ δικαίων κρίματα».

(13) Καὶ δὴ καὶ ὁ θεοφόρος Ἰσίδωρος καὶ τοῦ μακαρίου φοιτητὴς ποτε λέγει· «Τὸν ἄρχοντα δὲ καὶ ἀγαθὸν εἶναι δεῖ καὶ φοβερὸν, ἵν' οἱ μὲν εὖ βιοῦντες θαῤῥοῖεν, οἱ δ' ἁμπρτάνοντες ὀκνοῖεν· θάτερον γὰρ θατέρου χωρὶς, ἀναρχίας μᾶλλόν ἐστιν ἢ ἀρχῆς. Εἰ

---

1. πάντως τινὰς σώσω 1 Cor IX. 22, sed πάντας DEFE, κερδήσω Aeth. Erp. Clem. Or. Mac. Naz. Tert. — 5. δύναται cod. — 15. Ced. 379,14—380,2, Serb. 261—263. — 16. Eccl. III. 1. — 21. Mt. XVIII. 3. — 22. 2 Cor. XIII. 10. — 25. ἔκκριτον Ced. — 27. Ced. 380,2—12?

μὲν γὰρ πάντες ἦσαν εὐπειθεῖς καὶ φιλάρετοι, ἀγαθότητος ἔδει μόνης, εἰ δὲ φιλαμαρτήμονες, φόβου· ἐπειδὴ δὲ καὶ ἀγαθοὺς καὶ πονηροὺς ἀνάγκη ἐν τοῖς ἀρχομένοις εἶναι, ἀμφότερα μεταχειριστέον τῷ ἄρχοντι καὶ προϊσταμένῳ, ἵνα ἡ μὲν ἀγαθότης στηρίζῃ τοὺς ἀγαθοὺς καὶ σώφρονας, ὁ δὲ φόβος προαναστέλλῃ τῶν κακίστων τὰ πταίσματα».

(14) Ταῦτα τοίνυν, ὡς ἔοικεν, ἀγνοοῦντες καὶ τὰ τούτων ὅμοια 403
μὴ καλῶς ἐπισταμένοι διακρίνειν καὶ συγκρίνειν οἱ ἐχθροὶ τοῦ θεσπεσίου Ἰωάννου ἀλόγως καὶ ἀνοήτως ἐμίσουν αὐτὸν καὶ διέβαλλον ὡς τραχύν τινα καὶ ὀργίλον. Διὸ δὴ καὶ κατὰ γυναικῶν ὁ μακάριος Ἰωάννης ἐπ' ἐκκλησίας λόγον ἐπεδείξατο, ὃν οἱ δυσμενεῖς κατ' Εὐδοξίας εἰρῆσθαι θρυλλήσαντες, ταύτῃ τὸν λόγον εἰσήγαγον. Ἡ δὲ πρὸς Ἀρκάδιον δεινῶς πεπονθέναι λέγουσα κατὰ Ἰωάννου τοῦτον παρώτρυνεν· παρασκευάζει δὲ μετασταλῆναι Θεόφιλον ὡς πρόδηλον ἐχθρὸν τοῦ Ἰωάννου ὑπάρχοντα, Ὃς παραγενόμενος ἐν τῇ Δρυῖ τῇ ἐν Ῥουφινιαναῖς τὴν κατὰ Ἰωάννου ἐπιβουλὴν κατειργάσατο, (καὶ τοῦτον κατέκρινεν ἐν ἐξορίᾳ στεῖλαι), ὅπερ γνοὺς ὁ λαὸς στάσιν μεγάλην ἐποίησε μὴ συγχωρῶν αὐτῷ ἐκβληθῆναι τῆς πόλεως.

(15) Ἐπικαμφθεῖσα* Εὐδοξία τοῖς ὀδυρμοῖς τοῦ λαοῦ (παρεκάλεσεν ὑπὲρ Ἰωάννου τὸν Ἀρκάδιον, καὶ) πέμψασα Βρίσσωνα τὸν εὐνοῦχον ἀπὸ Πραινέτου τὸν Ἰωάννην εἰσήγαγεν, ὥστε Θεόφιλον καὶ τοὺς σὺν αὐτῷ φοβηθέντας φυγῇ χρήσασθαι· ἐξήκοντα δὲ ἐπίσκοποι εὑρεθέντες συνῆλθον καὶ ἄκυρα (129[b]) τὰ ἐν τῇ Δρυῖ πραχθέντα ἅπαντα ψηφισάμενοι, Ἰωάννῃ τὴν ἐπισκοπὴν δικαίως ἐκύρωσαν.

(16) Ἐπισυνέβη δὲ αὖθις τὰ κατὰ τὴν ἀργυρᾶν στήλην τῆς 404
Εὐδοξίας τόν τε ἀμπελῶνα τῆς χήρας· πάλιν μῖσος καὶ πάλιν ὀργή, πάλιν ἔχθρα καὶ λόγου ἐπίδειξις, οὗ ἡ ἀρχή· «Πάλιν Ἡρωδιὰς μαίνεται». Κἀντεῦθεν οἱ τοῦ μέρους αὐτοῦ ἐπίσκοποι τὴν ἐξορίαν

---

7. Ced. 580,12—581,1. — 15. τὴν ἐν cod. τῇ νῦν Ced. — 19. Ced. 581,1—6.— * δὲ Ced. — 20. Βρίσωνα Ced. Βρυσσ. cod. sed §. 16 Βρισσ. — 21. ὡς Ced. — 22. φ. τὴν σωτηρίαν πορίσασθαι Ced. — 26. Ced. 581,6 — 16: Ἐπεὶ δὲ ἀ. συνέβη τὰ. — Ἐ. καὶ τὸν τῆς χ. ἀ. Ced. — 28. λόγων cod.

αὐτοῦ μέλλειν ἔσεσθαι βλέποντες, συναθροίζονται πρὸς αὐτὸν μετὰ πολλῶν δακρύων λέγοντες· «ἐπάναγκες ἡμῖν, ὦ δέσποτα *, τὰς ἐκκλησίας κατέχοντας ἀναγκασθῆναι καὶ κοινωνῆσαι καὶ ὑπογράψαι». Ὁ δὲ μακάριος πρὸς αὐτούς· «Κοινωσήσατε μέν, ἵνα μὴ σχίσητε τὴν ἐκκλησίαν· μὴ ὑπογράψητε δέ· οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα ἄξιον καθαιρέσεως».

(16) Εἶχε δὲ μαθητὰς ἐπισκόπους μὲν Πρόκλον καὶ Παλλάδιον καὶ Βρίσσωνα καὶ Θεοδώρητον, ἀσκητὰς δὲ Μάρκον καὶ Νεῖλον καὶ Ἰσίδωρον τὸν Πηλουσιώτην.

(17) Ὁ δὲ μέγας Ἐπιφάνιος Κύπρου ἐν τῷ Ἑβδόμῳ ἐλθών, χειροτονίας καὶ συνάξεις παρὰ τὴν Ἰωάννου ἐποίησε γνώμην. Καὶ τοῦ Ἰωάννου τοῦτο συγχωρῆσαι θελήσαντος καὶ προτρεψαμένου αὐτὸν συμβῆναι αὐτῷ ἐν τῷ ἐπισκοπικῷ καταγωγείῳ, οὐχ εἵλατο τοῦτο ποιῆσαι Ἐπιφάνιος· ταῖς [γὰρ] τοῦ Θεοφίλου διαβολαῖς προκατείληπτο.

(18) Ἰωάννου τοῦ Χρυσοστόμου ἐπισκοποῦντος, ἀνήρ τις [ἦν] Μακεδονιανὸς γυναῖκα ἔχων ὁμόφρονα αὐτοῦ· καὶ ὁ μὲν ἀνὴρ πεισθεὶς τῇ διδασκαλίᾳ Ἰωάννου, τῇ καθολικῇ ἐκκλησίᾳ προσελθὼν ἐκοινώνησεν· ὁμοίως δὲ καὶ τῇ γυναικὶ κοινωνῆσαι παρῄνει· ἡ δὲ ὑποκριθεῖσα πείθεσθαι τῷ ἀνδρί, ἦλθεν ἐν τῇ ἐκκλησίᾳ· παιδίσκη δὲ αὐτῆς γνησία κοινωνίαν ἐκ τῆς Μακεδονίου φέρουσα αἱρέσεως δέδωκεν αὐτῇ· δεξαμένη δὲ ὑπὸ Ἰωάννου τὴν κοινωνίαν, ὑποκριθεῖσα (συγκύπτειν καὶ) ταύτης μεταλαμβάνειν, (ἣν μὲν εἶχε) δέδωκε τῇ παιδίσκῃ (αὐτῆς), ἔλαβε δὲ ἐξ αὐτῆς ἣν ἔφερεν ἡ παιδίσκη τῆς τῶν Μακεδονιανῶν, ἣν καὶ προσαγαγοῦσα τῷ στόματι, εὗρεν αὐτὴν λίθον γεγενημένην· (καὶ τούτου φανερωθέντος) ὑπότρομος προσελ-

---

1. συναθροισθέντες — ἔλεγον Ced. — * ἐστι Ced. — 3. κατέχουσιν? — 7. Ced. 581,16 — 18. — 10. Ced. 581,18 — 24. — 11. γν. ἐπ. Ced. — 12. τούτῳ Ced. — 13. εἰς τὴν ἐπισκοπικὴν καταγωγὴν Ced. — εἵλετο Ced. — 16. Ced. 575,5—15: Τοῦ δὲ Χ. τὰ τῆς ὀρθοδόξου ἐκκλησίας ἰθύνοντος, προσῆλθεν αὐτῷ τις τῆς τῶν Μακεδονιανῶν αἱρέσεως μετανοήσας. — 19. παραινέσας δὲ καὶ τῇ ἰδίᾳ γαμετῇ ἐπιστρέψαι καὶ μετανοῆσαι καὶ κ. μόλις ὡς δῆθεν ἔπεισεν· ἡ δὲ δοῦσα τῇ παιδίσκῃ κ. τῶν Μακεδονιανῶν ἐκέλευσεν ἔχειν μεθ' ἑαυτῆς Ced. — 21. φέρων cod. — 22. καὶ δὴ προσελθοῦσα τῷ Χρυσοστόμῳ καὶ δ. τὴν ἁγίαν κ. ἐκ τῶν χειρῶν αὐτοῦ Ced. — 24. καὶ τὴν τῶν Μ. λαβοῦσα προσάγει τῷ στ. καὶ εὑρίσκει ἀ. λ. γεγονυῖαν Ced. — 26. φρί-

θοῦσα τοῖς Ἰωάννου ποσὶν, τὸ γεγονὸς ἐξήγγειλε καὶ τῇ ἐκκλησίᾳ προσῆλθε κατὰ ἀλήθειαν· (ὁ δὲ λίθος ἐν τῷ σκευοφυλακίῳ ἐτέθη φυλάττεσθαι).

(19) Ὁ οὖν ἀοίδιμος Ἰωάννης ἐπισκοπεύσας ἔτη ε'*, ἐξωρίσθη εἰς Κουκουσὸν, κἀκεῖθεν μετὰ ἔτη γ' καὶ μῆνας β' μετενέχθη εἰς Πιτυοῦντα. Καὶ γενόμενος κατὰ πάροδον ἐν Κομάνοις ἐτελεύτησεν ἐν πολλῇ θλίψει** καὶ κακώσει ὑπάρχων ἐτῶν νβ'. 407 Sept. 1.

CCIII. ΠΕΡΙ ΤΗΣ ΕΠΙΣΤΟΛΗΣ ΠΑΠΑ ΡΩΜΗΣ ΠΡΟΣ ΤΟΝ ΑΡΚΑΔΙΟΝ ΤΟΝ ΒΑΣΙΛΕΑ.

Ὁ δέ γε πάπας Ῥώμης Ἰννοκέντιος ἀκούσας τὴν ἐξορίαν Ἰωάννου καὶ τὴν τελευτὴν αὐτοῦ γράφει πρὸς Ἀρκάδιον τοιάδε· «Φωνὴ αἵματος τοῦ ἀδελφοῦ μου Ἰωάννου βοᾷ πρὸς τὸν θεὸν κατὰ σοῦ, βασιλεῦ, ὥς ποτε Ἄβελ τοῦ δικαίου κατὰ τοῦ ἀδελφοκτόνου Καΐν. Καὶ πάντως ἐκδικηθήσεται παντοιοτρόπως, ὅτι διωγμὸν ἄδικον κατὰ τῆς ἐκκλησίας τοῦ θεοῦ καὶ τῶν ἱερέων αὐτοῦ συνεστήσω [καὶ] ἐξέωσας τὸν μέγαν τῆς ἐκκλησίας φωστῆρά τε καὶ διδάσκαλον ἐκ τοῦ θρόνου τῆς ἐπισκοπῆς αὐτοῦ παρανόμως τε καὶ ἀκρίτως συνεκδιώξας αὐτῷ καὶ τὸν Χριστόν».

(2) Τελευτήσαντος δὲ Ἰωάννου*** χειροτονεῖται πατριάρχης Ἀρσάκιος.

(3) Ἡ δὲ νέα Δαλιλὰς Εὐδοξία κατὰ μικρὸν τῷ ξυρῷ τῆς ἀπάτης (130ª) ξυρήσασα****, καταράν ἐπήγαγεν ἑαυτῇ***** ἐνδικόν τε καὶ ἀνεξάλειπτον, δεσμεύσασα φορτίον ἁμαρτημάτων δυσ-

---

ξουσα οὖν προσπίπτει τῷ ἁγίῳ ὑπ. ἐξαγορεύουσα τὸ τόλμημα καὶ εἰλικρινῶς προσερχομένη τῇ ἐ. Ced.

4. Ced. 381,24—382,4: Ὁ γοῦν cf. 376,21—24. — * καὶ ἥμισυ, Ced. sed sunt VI anni et IV m. usque ad 26 iunii 404 quo nominatus est Arsacius Chrysostomi in locum (Chr. pasch.). — 5. μετενεχθείς Ced. — ** τε Ced. — 9. Deest hoc lemma M. 2, in cod. et Par. 1706. — 10. Ced. 382,4—16. Ὁ δέ γε π. Ῥ. Ἰνν. ἀκ. τὴν ἐν ἐξορίᾳ τ. γ. cf. Palladii vitam Chr. 31 et responsum Arcadii in cod. Vatic. 1485. — 14. παντοίῳ τρόπῳ Ced. — 16. τῆς οἰκουμένης Ced. — 17. συνδ. Ced. — ** ἐν τῇ ἐξορίᾳ Leo. ἐν ἐξ. M. 2? — 21. Ced. 382,12—16. — *** σε Ced. qui omisso §. 21 (forsitan e margine codicis in textum illato) haec tamquam Innocentii verba exhibet. — ***** καὶ μῖσος Ced.

βάστακτον, καὶ προσθεῖσα τοῖς πρώην αὐτῆς δεινοῖς καὶ πολλοῖς ἁμαρτήμασιν.

(4) Ὁ δὲ (γε) μέγας Ἰσίδωρος πρός τινα γράφων, οὕτως φησίν· «Ἐρωτᾷς τὴν περὶ τὸν θεσπέσιον Ἰωάννην τραγῳδίαν· ἀλλὰ φράσαι ταύτην ἀπορῶ· νικᾷ γὰρ τὸν νοῦν ἡ μέθη τοῦ πράγματος. Μικρὰ δὲ μάνθανε, ἅπερ ἡ Αἴγυπτος ἠγνόησε, Μωσέα μὲν παραιτουμένη, τὸν δὲ Φαραὼ οἰκειουμένη, τοὺς ταπεινοὺς μαστίζουσα καὶ τοὺς κοπουμένους θλίβουσα, πόλεις οἰκοδομοῦσα καὶ τοὺς μισθοὺς ἀποστεροῦσα καὶ μέχρι (τοῦ) νῦν τούτοις ἐμμελετῶσα, τὸν λιθομανῆ καὶ χρυσολάτρην προβαλλομένη Θεόφιλον, τέσσαρσι συνεργοῖς καὶ συναποστάταις ὀχυρωθέντα, τὸν * θεοφιλῆ καὶ θεολόγον κατεπολέμησεν ἄνθρωπον, τὴν περὶ τὸν ἐμὸν ὁμώνυμον ἀπέχθειαν καὶ δυσμένειαν ἑρμηνήριον τῆς οἰκείας εὐρηκότα σκληρότητος· ἀλλ' «ὁ μὲν οἶκος Δαυὶδ κραταιοῦται καὶ πορεύεται· ὁ δὲ οἶκος Σαοὺλ ἀσθενεῖ καὶ καταισχύνεται καὶ συμποδίζεται», καθὼς ὁρᾷς· εἰ καὶ τῆς ζάλης ὑπεξῆλθεν ὁ ἄνθρωπος τοῦ θεοῦ στεφανίτης καὶ νικηφόρος καὶ πρὸς τὴν ἄνω γαλήνην μετεχώρησεν.

(5) Ὑποστρέφοντι δὲ Ἐπιφανίῳ ἐν Κύπρῳ τὴν ἑαυτοῦ τελευτὴν παρὰ θεοῦ μεμαθηκὼς πλησιάζουσαν, λέγεται εἰρηκέναι τοῖς αὐτὸν παραπέμπουσιν· «σπεύδω ἐγώ*** ἀφίημι δὲ ὑμῖν τὰ βασίλεια καὶ τὴν πόλιν καὶ τὴν ὑπόκρισιν»· ὅς γε καὶ Ἰωάννου τὴν ἐν ἐξορίᾳ τελευτὴν καὶ νίκην ἐδήλωσε, καὶ Ἰωάννης ὁμοίως Ἐπιφανίῳ τὴν ἐν τῷ πλοίῳ κοίμησιν· ἐκ θείας ἐπιπνοίας ταῦτα προμυηθησαν οἱ μακάριοι, ἵνα μήτις ἔχθραν [ἔχειν] αὐτοὺς ὑποπτεύσειε κατ' ἀλλήλων· οὐ γὰρ ἂν οἱ τοιοῦτοι θεηγόροι καὶ θεοφιλεῖς*** διδάσκαλοι καὶ τοῦ εἰρηνοποιοῦ Χριστοῦ μαθηταὶ γνήσιοι τοῦ φάσκοντος· «Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ

3, Cod. 582,16—583,9. — Ep. 152. — 5. γὰρ om. Is. — v. τὸ τοῦ Is. — 6. μ. ἄττα· ἡ γείτων Ἀ. συνήθως ἠνήμησε M. π. Is. τὸν Φ. ἀ. Is. — 9. Χρυσομανῆ Cod. X. γὰρ Is. — 10. σ. ἢ μᾶλλον σ. Is. — * ὄντως Cod., οὕτω cod. — 12. ἐμὸν Cod. — 13. 2 Sam. III. 1; ὁ om. Is. — 14. κρ. ἀ. δὲ ὁ τοῦ Σ. κ. ὁ. Is. — 16. βίου καὶ πρ. Is. — 17. μετετέθη Is. — 18. Cod. 583,9 — 584,3: Ὑποστρέφοντος δὲ Ἐπιφανίου ἐν Κ. καὶ τὴν ἑ. τ. π. θῦ μεμαθηκότος. — ** σπεύδω Cod. — 24. προμυήθε. cod. προμυηθέντες Cod. — 25. κατ' ἀ. ὑποτοπάσειεν Cod. — *** ἄνθρωποι καὶ Cod. — 27. Io. XIII. 35. — μ. μου Cod.

μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις», ἔχθραν* ἔχοντες ἐτελεύτησαν· ἄπαγε· εἰ γὰρ καὶ μικρὸν σκάνδαλον τὸ ποριθὲν γέγονε μεταξύ, τὴν ἀνθρωπίνην ἀσθενείαν ἐλέγχον πρὸς ὀλίγον, ἀλλ' οὖν γε θᾶττον εἰς τὴν κορυφὴν τῶν ἀρετῶν (αὖθις) ἀνήχθησαν, τὴν ἀγάπην, περὶ ἧς λέγει Παῦλος ὁ ἀπόστολος· «Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακόν», καὶ ὅτι «ὁ θεὸς ἀγάπη ἐστὶ, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ ἐν τῷ θεῷ μένει».

(6) Μετὰ δὲ τὴν Ἰωάννου τελευτὴν ἐπίσκοπός τις ἅγιος, Ἀδελφιὸς τοὔνομα, ἔλεγεν, ὅτι λύπην εἶχον ἀφόρητον, διότι ὁ τοιοῦτος ἀνὴρ, ὁ τῆς οἰκουμένης διδάσκαλος, ὁ τοῖς λόγοις εὐφράνας τὴν ἐκκλησίαν τοῦ θεοῦ, ἔξω τοῦ θρόνου ἐκοιμήθη· ἐδεόμην οὖν τοῦ θεοῦ μετὰ πολλῶν δακρύων, ἵνα δείξῃ μοι αὐτὸν ἐν ποίᾳ καταστάσει ἐστὶ καὶ εἰ μετὰ τῶν πατριαρχῶν ἐτάγη· ἐπὶ πολὺν οὖν χρόνον τοῦτο εὐχόμενος, ἐν μιᾷ γίνομαι ἐν ἐκστάσει, καὶ θεωρῶ ἄνδρα ** πάνυ εὐειδῆ κρατήσαντά με τῆς δεξιᾶς χειρὸς, ὃς ἀπαγαγών με εἰς τόπον λαμπρὸν καὶ ὑπερένδοξον, ἐδείκνυέ μοι τοὺς τῆς ἐκκλησίας διδασκάλους· ἐγὼ δὲ, φησὶ, περιεσκόπουν ἰδεῖν ὃν καθυμίως εἶχον, τὸν μέγαν Ἰωάννην, τὸν ἐμὸν ἀγαπητόν· ὡς οὖν ἔδειξέ μοι πάντας καὶ ἑκάστου τὸ ὄνομα ἐγνώρισε, κρατήσας με πάλιν τῆς χειρὸς, ἐξήγαγέ με ἔξω· ἐγὼ δὲ λελυπημένος ἠκολούθουν αὐτῷ (130ᵃ) μὴ ἑωρακὼς μετὰ τῶν πατέρων τὸν ἐν ἁγίοις Ἰωάννην (τὸν Χρυσόστομον). Ὡς οὖν ἐξηρχόμην, ὁ ἐφεστὼς τῇ θύρᾳ κατασχών με λέγει μοι· («Τί ἔχεις; τί λελύπησαι;» ἐμοῦ δὲ μὴ ἀποκριθέντος, πάλιν λέγει μοι·) «Οὐδεὶς [εἰσ]ερχόμενος ὧδε, λυπούμενος ἔνθεν ἐξέρχεται». Τότε λέγω αὐτῷ· «Αὕτη μοί ἐστιν (ἡ) λύπη, ὅτι τὸν ἐμὸν προσφιλέστατον Ἰωάννην τὸν ἐπίσκοπον Κ. Π. οὐχ ἑώρακα μετὰ τῶν ἄλλων τῆς ἐκκλησίας διδασκάλων». Ὁ δὲ πάλιν λέγει μοι ***· «Ἄνθρω-

---

1. μετ' ἀλλήλων Ced.— * καὶ κακίαν Ced.— 3. τῆς ἀνθρωπίνης ἀσθενείας cod.— 4. ἤχθησαν Ced, ἀνήχθη· cod. — 5. 1 Cor. XIII. 4. — 7. 1 Io. IV. 16. — 9. Ced. 584, 4—585,2. π. τοῦ ἐπισκόπου δεηθέντος τοῦ θεοῦ ἐν ποίᾳ καταστάσει ἐστὶν ὁ Χρ. Par. 1706. — Ἀ. ὄνομα αὐτῷ Ced. — 10. ἔχων cod. — ** τινὰ Ced. — 20. ὁ. εἶπε Ced. — 23. ἐπισχὼν Ced. — 24. ἔχης τί λυπῆσαι cod. — 26. ταύτη cod. — τὸν πρ. μοι Ced. — *** «Ἰωάννην τὸν τῆς μετανοίας λέγεις»; λέγω αὐτῷ· «ναί»· ὁ δὲ ἀπακριθεὶς λέγει μοι Ced. in codice forsan ex homoiteleuto omissum.

πος ἐκεῖνον ἐν σαρκὶ ὢν ἰδεῖν οὐ δύναται· ἐκεῖ γὰρ παρίσταται ὅπου ὁ θρόνος ὁ δεσποτικός»*.

403 (7) Ἐπὶ Ἀρκαδίου ἀντῆραν οἱ Ἴσαυροι πραιδεύοντες ἕως Καππαδοκίας.

406 (8) Ἐπὶ αὐτοῦ εἰσῆλθε καὶ τὰ λείψανα τοῦ ἁγίου προ- 5
φήτου Σαμουὴλ καὶ ἀπετέθη ἐν τῷ ναῷ αὐτοῦ πλησίον τοῦ Ἑβδόμου.

(9) Ἀῤῥωστήσας δὲ ὁ αὐτὸς βασιλεὺς τελευτᾷ.

CCIV. ΒΑΣΙΛΕΙΑ ΘΕΟΔΟΣΙΟΥ ΤΟΥ ΜΙΚΡΟΥ.

408 Μετὰ δὲ Ἀρκάδιον ἐβασίλευσε Θεοδόσιος, ὁ υἱὸς αὐτοῦ, ἔτη 10
Maji 2. μβ΄**. καὶ ἐξελθὼν ἱππασθῆναι (ἐν τῷ Κάμπῳ), συμπεσὼν τῷ
450 Junii 20 ἵππῳ ἐτελεύτησεν.

450 (2) Οὗτος ἐν τοῖς χαλκοπρατίοις ναὸν ἔκτισε τῆς Θεοτόκου, πρότερον ὄντα συναγωγὴν Ἰουδαίων.

445? (3) Καὶ τὸ χερσαῖον τεῖχος τῆς πόλεως καταλύει καὶ 15
προσθεὶς ἄλλα δύο διαστήματα, ᾠκοδόμησεν ἕτερον τεῖχος δὶ ἡμερῶν ξ΄.

412 (4) Ἐπὶ αὐτοῦ καὶ οἱ ἐν Ἐφέσῳ μαρτυρήσαντες παῖδες ζ΄ ἐπὶ Δεκίου, ἀνέστησαν μετὰ ἔτη τοβ΄.

438 (5) Καὶ σεισμὸς μέγας ἐγένετο ἐν Κ. Π. καὶ φοβερώτατος, 20
ὥστε πεσεῖν τὰ τείχη τῆς πόλεως καὶ τὸ πλεῖστον μέρος αὐ-

---

* ἐστιν Ced. Γαϊνᾶς Ἀρκαδίῳ ἀντάρας πολλὰ δεινὰ τῇ πόλει εἰργάσατο· πολέμου δὲ [πολλοῦ] συῤῥαγέντος κατά τε γῆν καὶ θάλατταν, αὐτὸς καὶ οἱ σὺν αὐτῷ ἀπώλοντο. cod. in textu cf. Ced. 574,21—575,4: Τῷ η΄ ἔτει Γ. τυραννεῖ κατὰ Ἀρκαδίου· καὶ π. κακὰ τῷ Βυζαντίῳ ἐπεδείξατο ἀπ. σὺν τοῖς ἑαυτοῦ στρατεύμασιν.— ** μῆνας β΄, Ced. 586,21, ἔτη λγ΄ Leo!—11. Ced. 602,8—10: Μετὰ δέ τινα χρόνου ἐξῆλθεν ὁ βασιλεὺς ἱπ. καὶ συμπεσόντος αὐτῷ τοῦ ἵππου κτλ. — 13. Ced. 602,5,6: Τότε (τῷ μβ΄ ἔτει) καὶ τὴν τῶν χαλκοπρατίων ἐκκλησίαν τῇ θεοτόκῳ ἀνήγειρε, σ. Ἰ. πρ. οὖσαν. — 15. Ced. 598,19—599,1: Τῷ κς΄ ἔτει — Κῦρος — καταλύσας τὸ χ. τ. Κ. Π. καὶ πρ. ἀ. δ. β΄, οἰκοδομεῖ ἐ. τ. δὶ ἡ. ξ΄. — 19. ρμ΄? inde a Decio 251 — 253, ρο΄ Ced. ρπα΄ Anastasius, ρπδ΄ Theophanes. — 20. Ced. 599,19—21: Ἐπὶ τούτου (τῷ κή ἔτει) σεισμοὶ μεγάλοι γεγόνασιν ἐν Κ. Π. ἐν μησὶ δ΄, ὥστε φοβηθέντας τοὺς ἐν Βυζαντίῳ ἔξω τῆς πόλεως ἐν τῷ λεγομένῳ Κάμπῳ διατρίβειν.

τῆς ἐν διαφόροις τόποις· καὶ μέντοι καὶ κώμας καὶ χώρας τῆς τε Θρᾴκης καὶ Πόντου, Βιθυνίας καὶ Φρυγίας καὶ Γαλατίας, καὶ ἐπεκράτησεν ὁ σεισμὸς ἐπὶ μῆνας γ'· διὸ καὶ ὁ βασιλεὺς σὺν τῷ πατριάρχῃ Πρόκλῳ καὶ παντὶ τῷ πλήθει τῆς πόλεως ἀνυπόδητος ἐλιτάνευειν ἐπὶ πολλὰς ἡμέρας.

(6) Ἐν αἷς λιτανευόντων αὐτῶν, συνέβη παιδίον ἁρπαγῆναι ἐκ τοῦ λαοῦ εἰς τὸν ἀέρα καὶ μυηθῆναι ὑπ' ἀγγελικῆς τινὸς διδασκαλίας τὸν τρισάγιον ὕμνον. Τοῦ δὲ παιδὸς ἀπολυθέντος καὶ τὸ μυηθὲν ἀπαγγείλαντος καὶ τοῦτο μετ' αὐτοῦ μελωδησάντων τῶν ὄχλων, παραυτίκα ἐκόπασεν ἡ τοῦ σεισμοῦ ἀπολεία (καὶ τὸ παιδίον ἀπέθανεν).

(7) Ἐπὶ Θεοδοσίου Ἄσπαρ καὶ Ἀρδαβούριος προχειρί- 423?
ζονται δομέστικοι ἀνατολῆς τε καὶ δύσεως.

(8) Ἀττικοῦ δὲ πατριαρχοῦντος Ἰουδαῖόν τινα παράλυτον νουθετήσας, εἶτα βαπτίσας, ὑγιῆ (παραδόξως) ἐκ τῆς κολυμβήθρας ἀνήγαγε.

CCV. ΠΕΡΙ ΤΗΣ Γ' ΣΥΝΟΔΟΥ*.

Καὶ ἡ γ' γέγονε σύνοδος τῶν ἐν Ἐφέσῳ σ' πατέρων, συ- 431
νελθοῦσα τὸ πρότερον ἐν ἔτει ιγ̄ τῆς Θεοδοσίου τοῦ μικροῦ βασιλείας, υἱοῦ Ἀρκαδίου.

(2) Ἧς ἡγοῦντο Κύριλλος Ἀλεξανδρείας, διέπων καὶ τὸν τόπον Κελεστίνου τοῦ Ῥώμης, Ἰουβενάλιος Ἱεροσολύμων (Ἰωάννης Ἀντιοχείας, κατὰ Νεστορίου ἐπισκόπου Κ. Π. παρόντος καὶ αὐτοῦ ἐν Ἐφέσῳ) λέγοντος** μὴ λέγειν Θεοτόκον τὴν (ἁγί-

---

6. Ced. 599,21—600,8: Τοῦ γοῦν εἰρημένου πατριάρχου μετὰ τοῦ κλήρου καὶ τοῦ λαοῦ ταῖς λιταῖς ἐκείσε προσκαρτεροῦντος, περὶ ὥραν γ', ἄφνω πάντων ὁρώντων ἡρπάγη νεανίας εἰς τὸν ἀ. καὶ ἤκουσε θείας φωνῆς παῤῥεγγυώσης αὐτῷ ἀναγγεῖλαι τῷ ἐπισκόπῳ καὶ τῷ λαῷ λιτανεύειν οὕτω κτλ.—12. Ced. 599,6—14: Τῷ κε' ἔτει.— 14. Ced. 587,16—18: Τῷ β' ἔτει Ἀττικὸς ἐπ. Κ. Π. Ἰ.—ν. πείσας τε καὶ β. Ced.— 15. ἐξήγαγε Ced. — * Σύνοδος γ' ἐν Ἐφέσῳ· εἰσὶν ἀπὸ τῆς β' εἰς τὴν γ' ἔτη μθ'? Scholion a secunda manu. — 18. Ced. 594,9—12: Τῷ κε' τοίνυν ἐνιαυτῷ τῆς Θ. β. ἡ ἐν Ἐ. ἁγία καὶ οἰκουμενικὴ γ' σ. τῶν σλ' π. συνηθροίσθη χρόνον ἄγουσα ἀπὸ μὲν τῆς β' μα', ἀπὸ δὲ κτίσεως κόσμου ,ϛθιε'. — 21. Ced. 594,12—19. Ἧ ἦρχον Κ. Ἀ. ὃς Κ. πάπα Ῥ. τὸν τόπον διεῖπε καὶ Ἰ. — ** τοῦ καταράτου Νεστορίου Ced. — 24. μὴ εἶναι Ced.

αν) θεοτόκον (Μαρίαν), ἀλλὰ χριστοτόκον (καὶ κυριστόκον) καὶ δύο υἱοὺς ἐπὶ * Χριστοῦ τοῦ θεοῦ μυθολογοῦντος καὶ δύο ὑποστάσεις καὶ ἄλλον μὲν εἶναι τὸν λόγον τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα, ὕστερον δὲ τὸν ἐκ Μαρίας τεχθέντα ἄνθρωπον, κατὰ σχέσιν δὲ ἑνωθέντα τῷ θεοῦ λόγῳ, καὶ ὁμωνύμως αὐτῷ υἱὸν λεγόμενον.

(3) Τοῦτον προσκληθέντα παρὰ τῆς συνόδου καὶ μὴ ἀπατήσαντα ἐκκλησιαστικῶς καθελοῦσα ὡς μὴ θελήσαντα τοῖς ὀρθοῖς δόγμασι συνθέσθαι, ἀνεθεμάτισε **, μίαν δὲ τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν καθ' (131ᵃ) ἕνωσιν ὑπόστασιν καὶ δύο φύσεις σαφῶς ἐδογμάτισε, τὸν αὐτὸν εἶναι (καὶ) θεὸν καὶ ἄνθρωπον καὶ τὴν ἁγίαν Μαρίαν κυρίως καὶ ἀληθῶς θεοτόκον.

(4) Ἰωάννης δὲ Ἀντιοχείας ἐπίσκοπος μετὰ τὴν Νεστορίου καθαίρεσιν καταλαμβάνει· καὶ λυπηθεὶς ὅτι χωρὶς αὐτοῦ καθῃρέθη Νεστόριος, παραλαβὼν τοὺς συνελθόντας αὐτῷ ἐπισκόπους, ἐν οἷς ἦν καὶ Θεοδώρητος ὁ Κύρου ἐπίσκοπος καὶ Ἴβας Ἐδέσσης, καθαίρεσιν ὑπαγορεύει τοῦ ἐν ἁγίοις Κυριλλου καὶ Μέμνονος τοῦ Ἐφεσίων ἐπισκόπου ὡς παρὰ τὸν κανόνα τῆς ἐκκλησίας ποιησάντων τὴν σύνοδον. Οἱ δὲ περὶ Κύριλλον μέμφονται ὡς ἄθεσμα καὶ ἄτοπα τὰ παρ' αὐτῶν γενόμενα. Καὶ οὕτως ἀπὸ τῆς Ἐφεσίων διαφερόμενοι ἀλλήλοις διέστησαν, οἵτε Ἀνατολικοὶ καὶ [οἱ] Αἰγύπτιοι.

(5) Μετὰ δὲ ταῦτα σπουδῇ τοῦ βασιλέως ἠνώθησαν, συμφρονήσαντες καὶ οἱ Ἀνατολικοὶ τῇ ἐκτεθείσῃ ἐν Ἐφέσῳ ὀρθοδόξῳ πίστει καὶ τῇ κατὰ Νεστορίου καθαιρέσει ἔγγραφον ἐπιστολὴν τοῖς Ἀλεξανδρεῦσι διὰ Παύλου τοῦ ἐπισκόπου Ἐμέσσης ἀποστείλαντες.

(6) Νεστόριος δὲ ἐξωρίσθη εἰς Ὄασιν ***.

426 Oct. 10. 428 (7) Ἀττικοῦ δὲ τελευτήσαντος, Σισίνιος πατριάρχης προχειρίζεται· τούτου δὲ τελευτήσαντος ὁ Νεστόριος· τούτου δὲ καθαιρεθέντος Πρόκλος ἀντ' αὐτοῦ χειροτονεῖται,

---

* τοῦ ἑνὸς Ced. — 5. τὸν θεὸν λόγον Ced. — ὁμ. καὶ αὐτὸν λ. ὢν Ced. — 6. Ced. 594,19—595,2. — ** καὶ ἐχειροτονήθη Μαξιμιανὸς πρεσβύτερος τῆς αὐτῆς μεγάλης ἐκκλησίας Ced. — 12. Ced. 505,3—12. — 15. Θ. Τύρου Ced. — 21. Ced. 595,12—15. — 26. Ced. 595,16. — *** ἄλλοι δὲ γράφουσιν, ἐν τῇ Θάσσῳ κτλ. Ced. — 29. Ced. 595,1—4: Τῷ ιϑ' ἔτει τοῦ προφήτου Ζαχαρίου τὰ λ. καὶ τοῦ ἁγίου πρωτομάρτυρος Στ. καὶ Λ. ἀπετέθησαν· τότε πρώτως καὶ ἡ μνήμη τοῦ μεγάλου. — * ἐπετελέθη.

ὅτε καὶ τὸ λείψανον τοῦ Χρυσοστόμου ἐν τῇ πόλει μετεκο- 415?
μίσθη. Ὡσαύτως καὶ τὰ λείψαντα Στεφάνου καὶ Λαυρεν-
τίου.

(8) Ὁ δὲ τῶν Περσῶν φύλαρχος ἦλθε πολεμῆσαι Θεοδοσίῳ· 422—
ὁ δὲ βασιλεὺς ἀπέστειλε κατ' αὐτοῦ πατρίκιον καὶ στρατὸν ἔνο- 434
πλον· τοῦ δὲ παραταξαμένου εἰς πόλεμον, δηλοῖ αὐτῷ ὁ φύλαρχος
λέγων· «Εἰ ἔτι ἔχεις ἕνα δυνατὸν ἐκ τοῦ λαοῦ σου ἰσχύοντα μονο-
μαχῆσαι καὶ νικῆσαι ἕνα Πέρσην μονομάχον, εὐθέως ποιῶ τὰ πά-
κτα τῆς εἰρήνης ἐπὶ χρόνους ν'»· εἰ δὲ ἡττηθείη, λαμβάνειν
με κεντηνάρια ν'». Καὶ οὕτως ὁ μὲν Πέρσης καταφράκτον, ὁ δὲ
Γότθον κόμητα ἔνοπλον μεταξὺ τοῦ πλήθους παραστήσαντες εἰς
μονομαχίαν, πρῶτος ὁ Πέρσης ὁρμήσας δορυφόρος· ὁ δὲ Γότθος
δεξιὸν πλαγιάσας ἐσώκισεν αὐτὸν κατὰ τὸ γοτθικὸν ἔθος, καὶ
τοῦτον ἐκ τοῦ ἵππου καταγαγών, αὐτίκα ἀνεῖλεν. Καὶ τοῦτου
γεγονότος, ἐποίησεν ὁ Περσῶν φύλαρχος εἰρήνης πάκτα κατὰ
τὴν ὑπόσχεσιν αὐτοῦ.

(9) Τοῦ δὲ βασιλέως κυνηγῆσαι ἐξελθόντος, τοὺς σὺν αὐτῷ
πάντας διαλαθών, ἦλθε διὰ μακρᾶς ὁδοῦ πρός τινα μοναχὸν ἐν κελ-
λίῳ καθεζόμενον πλησίον τῶν προαστείων Κ. Π.

(10) Ὃν ὁ γέρων ἐπέγνω μὲν, ἐδέξατο δὲ ὡς ἕνα τῶν στρατιω-
τῶν. Τοῦ δὲ βασιλέως ἐκ τῆς ὁδοῦ καὶ τοῦ καύσωνος ὀλιγωρήσαν-
τος, ἔβρεξεν ἄρτους ὁ γέρων καὶ βαλὼν ὄξος καὶ ἔλαιον ἔφαγεν ὁ
βασιλεὺς καὶ ἔπιεν ὕδωρ.

(11) Καὶ φησὶ πρὸς τὸν μοναχόν· «Οἶδας τίς εἰμι, πάτερ;» Ὁ
δὲ μοναχὸς εἶπεν· «Ὁ θεὸς οἶδέ σε». Καὶ ὁ βασιλεὺς ἔφη· «Ἐγώ
εἰμι Θεοδόσιος ὁ βασιλεύς». Καὶ ἀναστὰς * ὁ γέρων προσεκύνησεν
αὐτόν. Εἶπεν οὖν ὁ βασιλεύς· «Μακάριοί ** ἐστε ὄντως ὑμεῖς οἱ

---

4. Ced. 599,5—14: Κατὰ Περσῶν στρατηγοῦντος Προκοπίου (ἔτει κζ') δηλοῦται αὐτῷ παρὰ τοῦ Πέρσου. — 7. ὅτι δώσωμεν μονομάχους, καὶ οἷος ἂν ἡττηθῇ, διδότω τὸ μέρος αὐτοῦ π. ἐπὶ χ. ν'. Ced. — 10. Δίδωσιν οὖν ὁ στρατηγὸς Προκόπιος Ἀρεόβινδον κ. τῶν φοιδερατων, ὃς σώκιστρον κατέχων τὸν Πέρσην ἐσ. καὶ κατενεγκὼν ἐκ τοῦ ἱ. ἀπέκτεινε Ced. — 14. Καὶ γέγονε π. ἐ. μεταξὺ Ῥωμαίων καὶ Π. εἰσελθὼν δὲ Ἀρ. ἐν τῇ πόλει — προήχθη ὕπατος Ced. (434). — 17. Ced. 595,22—24: Ὁ βασιλεὺς δὲ κ. ἐξελθὼν τοὺς κτλ. — 20. Ced. 595,24—596,4. — 24. Ced. 596,4—11: Καὶ φ. ὁ βασιλεύς· οἶδας. — * εὐθὺς Ced. — 26. αὐτῷ Ced. — ** καὶ τρισμακάριοι Ced.

μοναχοὶ καὶ ἀμέριμνοι τοῦ κόσμου· ἐπ' ἀληθείας γὰρ λέγω σοι, πάτερ*, ἐν τῷ παλατίῳ ἐγεννήθην καὶ οὐδέποτε μεθ' ἡδονῆς ἀπήλαυσα βρώσεως (τοιαύτης) καὶ πόσεως καθὼς σήμερον».

(12) Τοῦ δὲ λαοῦ φθάσαντος, καὶ ἐνώπιον πάντων ἀξιοπρεπῶς τιμήσαντος τὸν γέροντα καὶ πάντας ἀξιωθῆναι τῆς εὐχῆς αὐτοῦ τοῦ βασιλέως προστάξαντος, ἀνεχώρησεν εἰς τὴν ὁδὸν αὐτοῦ μετ' εἰρήνης. Καὶ ἀπὸ τότε (131[b]) ἐτίμα αὐτὸν ὁ βασιλεὺς (μεγάλως). Ὁ δὲ γέρων ἀναστὰς ἔφυγε καὶ πάλιν ἦλθεν εἰς Αἴγυπτον.

CCVI. ΠΕΡΙ ΤΗΣ ΑΝΑΚΟΜΙΔΗΣ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ.

438 Jan. 27 Ὁ αὐτὸς βασιλεὺς ἀποστείλας ἀνεκόμισε τὸ λείψανον τοῦ Χρυσοστόμου ἐκ Κομάνης ὅπου ἦν τελευτήσας ἐξορισθεὶς ὑπὸ Εὐδοξίας τῆς μητρὸς αὐτοῦ, πολλὰ δεηθεὶς τοῦ βασιλέως ὁ Πρόκλος ὁ τότε τὸν τῆς Κ. Π. ἐθάνων θρόνον, τοῦ ἀνακομίσαι αὐτό, ὃ δὴ καὶ γέγονε· καὶ ἀπέθετο αὐτὸν ἐντίμως ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων.

(2) Περὶ δὲ τῆς γυναικὸς Θεοδοσίου τοῦ βασιλέως Εὐδοκίας οὕτω συμβέβηκε· φιλόσοφος ἐν ταῖς ἐν Ἑλλάδι Ἀθήναις, ἔχων υἱοὺς γ' καὶ θυγατέρα μίαν τελευτῶν, τοῖς μὲν υἱοῖς κατέλειπε κληρονομίαν καὶ τὴν περιουσίαν αὐτοῦ πᾶσαν· τῇ δὲ θυγατρὶ νομίσματα ρ', οὕτως εἰρηκὼς ἐν τῇ διαθήκῃ· «Ἀθηναΐδι τῇ ποθεινοτάτῃ θυγατρὶ θέλω δοθῆναι νομίσματα ρ' καὶ μόνον. Ἀρκεῖ γὰρ αὐτῇ ἡ αὐτῆς τύχη».

(3) Ἥτις μετὰ τὴν τοῦ πατρὸς τελευτὴν μηδὲν λαβοῦσα παρὰ τῶν ἀλελφῶν, ἦλθε πρὸς τὴν Πουλχερίαν τὴν ἀδελφὴν Θεοδοσίου,

---

* ὅτι Ced. — 2. ἡδονῶν Ced. — 4. Ced. 596,12—16. — 5. κελεύσαντος τοῦ β. Ced. — 7. Καὶ ἤρξατο ἀπὸ τ. τιμᾶν ἀ. ὁ β. Ced. — 8. ἀπῆλθεν Ced. — 10. Ced. 599,14: Τῷ κή ἔτει—Πρόκλος—ἐπ. Κ. Π. προχειρίζεται, ὃς τὸ τοῦ Χ. λ. ἀνακομίζει τῷ λ. ἔτει καὶ εἰς τὸν τῶν ἁπ. ἀποτίθησι ναόν. — 16. Ced. 590,8—12: Τῷ ιδ' ἔτει ἐτελεύτησεν ἐν Ἀ. Λέοντιος ὁ φιλόσοφος, ὃς ἔγραψεν ἐν τῇ δ. αὐτοῦ· «Τὴν μὲν οὐσίαν μου π. καταλιμπάνω τ. υ. μου, Ἀ. δὲ τῇ ἐμῇ θ. ἀφίω δ. χρυσίου ν. ρ'. ἀ. γὰρ ἀ. ἡ τ. αὐτῆς». — 23. Ced. 590,12—17: Ταύτην τὴν Ἀθεναΐδα ἐξ Ἀθηνῶν εἰσαχθεῖσαν θ. ἡ Πουλχερία καλλει σώματος διαπρέπουσαν καὶ συνέσει ψυχῆς καλλυνομένην καὶ λέγω κεκοσμημένην πρὸς τὸν ἀρχιεπίσκοπον Κ. Π. Ἀττικὸν (405—426) ἀποστείλασα, ἐβάπτισεν Ε. μετονομάσασα.

κατεγκαλοῦσα τοὺς ἀδελφούς. Ἡ δὲ θεασαμένη τὸ εὐπρεπὲς καὶ ἐλλόγιμον αὐτῆς, καὶ μαθοῦσα παρὰ τῆς θείας αὐτῆς, ὅτι παρθένος ἐστίν, βαπτίζει ταύτην, ἦν γὰρ Ἑλληνίς, καὶ Εὐδοκίαν μετονόμασε.

(4) Καὶ συνῆψεν αὐτὴν τῷ ἰδίῳ ἀδελφῷ πρὸς γάμον (συνευδοκοῦντος καὶ τοῦ προσφιλεστάτου Παυλίνου, ὃς γενόμενος μάγιστρος ἐτιμήθη μειζόνως ὡς συνεργὸς καὶ παράνυμφος. Καὶ μέντοι καὶ τοὺς ἀδελφοὺς αὐτῆς μεταστειλάμενος, ἀξιωματικοὺς ἐποίησε).

(5) Μετὰ ταῦτα συνέβη προελθεῖν τὸν βασιλέα κατὰ τὴν ἡμέ- 440
ραν τῶν θεοφανίων καὶ Παυλῖνον ἀηδισθέντα μὴ εὑρεθῆναι μετὰ τοῦ βασιλέως· καὶ ἐπέδωκέ τις πένης τῷ βασιλεῖ μῆλον φρυγατικὸν μέγα σφόδρα, ὅπερ δεξάμενος ὁ βασιλεὺς καὶ θαυμάζων καὶ πᾶσα ἡ σύγκλητος, ἔδωκε τῷ πένητι νομίσματα ρ', τὸ δὲ μῆλον ἀπέστειλε τῇ βασιλίσσῃ, ἡ δὲ τῷ Παυλίνῳ, ὁ δὲ τῷ βασιλεῖ εἰσερχομένῳ ἐν τῷ παλατίῳ. Ὁ δὲ βασιλεὺς λαβὼν τοῦτο καὶ ἐπιγνοὺς ἐζήτει αὐτὸ παρὰ τῆς βασιλίσσης· ἡ δὲ εἶπεν, ὅτι «ἔφαγον αὐτό» καὶ ὁρκίσας αὐτὴν κατὰ τῆς ἑαυτοῦ σωτηρίας, ἠρνήσατο ἐνομώτερον. Τότε ὑπέδειξεν αὐτῇ τὸ μῆλον· ἡ δὲ ἰδοῦσα αὐτὸ κατησχύνθη καὶ ἔμεινεν ἄφωνος. Ὁ δὲ βασιλεὺς ὀργισθεὶς κατ' αὐτῆς καὶ ὅτι ἐρῶσα τοῦ Παυλίνου τὸ μῆλον ἔπεμψεν αὐτῷ καὶ διὰ τοῦτο ἠρνήσατο. Καὶ παραυτίκα τὸν Παυλῖνον ἀνεῖλε.

(6) Ἡ δὲ βασίλισσα Εὐδοκία ἐπὶ τούτῳ λυπηθεῖσα, τὸν βασι- 444
λέα παρεκάλει εἰς Ἱεροσόλυμα αὐτὴν ἀποσταλῆναι εὐχῆς χάριν· ὁ δὲ εἴξας τῇ αὐτῆς αἰτήσει, τὴν ἐπιθυμίαν αὐτῆς ἐξεπλήρωσεν.

---

5. Ced. 590,17,18: Ἥντινα καὶ τῷ αὐτῆς ἀδ. καὶ βασιλεῖ συνέζευξεν εἰς γυναῖκα. — 9. Ced. 591,2 — 15: Τῇ οὖν ἡμέρα τῶν ἁγίων θ. ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἀπόντος τοῦ βασιλέως, προσήγαγέ τις αὐτῷ ἐξ Ἀσίας π. μ. μ. καὶ ὑπερφυές, ὁ. ἀπ. τῇ Αὐγούστῃ δεδωκὼς τῷ π. ν. ρ', αὐτὴ δὲ νοσοῦντι τότε Π. ἀπ. ἀββαβῶνα τῆς αὐτοῦ τελευτῆς· ὁ δὲ Παυλῖνος ἀγνοῶν μετὰ β' ἡμέρας ἀπ. αὐτὸ τῷ β. ὁ δὲ β. τ. γνωρίσας ἔκρυψε καὶ λέγει τῇ Αὐγούστῃ· «ποῦ ἐστι τὸ μῆλον, ὅπερ σοι ἀπέστειλα;» ἡ δὲ εἶπε· ἔφ. ἀ. Καὶ πάλιν ὤρκωσεν ἀ. τὴν σ. αὐτοῦ λ. μή τινι τοῦτο πέπομφας». «Ἡ δὲ πάλιν εἶπε φαγεῖν αὐτό, προσθεῖσα τὴν σωτηρίαν τοῦ βασιλέως. Τ. εἰς ὀργὴν κινηθεὶς ὁ βασιλεὺς κελεύει τὸ μ. εἰσενεχθῆναι, τὸν δὲ Π. ἀποστείλας τῇ νυκτὶ ἐκείνῃ ἀπεκεφάλισεν — 22. Ced. 591,13 — 17 cf. 601,15—602,2: Ἔκτοτε δὲ γέγονε μεταξὺ αὐτῶν λύπη καὶ ἀπομερισμός· γνοῦσα δὲ τοῦτο ἡ Αὔγουστα, καὶ αἰσχυνθεῖσα ὡς ὑβρίσθη, ἐξώρμησεν εἰς τοὺς ἁγίους τόπους. τοῦτ. cod.

(7) Τῆς δὲ παραγενομένης, πολλὰ καὶ μεγάλα κατορθώματα πεποίηκεν, ἀνανεώσασα τὰ τείχη Ἱερουσαλήμ.

(8) Εἰς λόγους δέ τινας ἐρχομένης αὐτῆς πρός τινας, τοῦτο ἔλεγεν, ὅτι περὶ ἐμοῦ Δαυὶδ εἴρηκεν· «Ἀγάθυνον, κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών· καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ».

455 (9) Ἐν δὲ τῷ μέλλειν αὐτὴν τελευτᾶν ἐξωμολογήσατο μὴ συνειδέναι τι κατὰ τῆς Παυλίνου κατηγορίας.

447 (10) Πρόκλου δὲ τελευτήσαντος, Φλαβιανὸς ἀνὴρ ἱερώτατος τῆς ἐκκλησίας προέστη.

(11) Καὶ ἐκ τῶν Γότθων ἔθνη γεγόνασι δ', οἵτε Ὑπόγοτθοι, Γήπεδες καὶ Οὐάνδαλοι, ἐξ ὧν Ἄβαρες καὶ ἤρξαντο διαπεραῦν ἐν τῇ Ῥωμαίων γῇ.

CCVII. ΒΑΣΙΛΕΙΑ ΜΑΡΚΙΑΝΟΥ.

450 Μετὰ δὲ Θεοδόσιον ἐβασίλευσε Μαρκιανός, ὁ γαμβρὸς αὐτοῦ, ἔτη ς'. (132ᵃ) Τοῦ γὰρ Θεοδοσίου τελευτήσαντος καὶ μήπω τοῦτο γνωσθέντος τινί, μεταστειλαμένη τοῦτον Πουλχερία ἡ τοῦ βασιλέως ἀδελφὴ στρατιώτην ὄντα καὶ γέροντα καὶ ἐν σωφροσύνῃ καὶ σεμνότητι βίου διαπρέποντα, φησὶ πρὸς αὐτόν· «Ἐπειδὴ ὁ βασιλεὺς ἐτελεύτησεν, ἐγὼ δὲ ἐξελεξάμην σε ἐκ πάσης τῆς συγκλήτου ὡς ἐνάρετον, δός μοι λόγον, ὅτι φυλάσσεις (μου) τὴν παρθενίαν (ἄσυλον) ἣν τῷ θεῷ ἀνεθέμην, καὶ ἀναγορεύω σε βασιλέα». Τοῦ δὲ συνθεμένου τοῦτο μεθ' ὅρκου, προσκαλεῖται τὸν πατριάρχην Ἀνατόλιον καὶ τὴν σύγκλητον καὶ ἀναγορεύει αὐτὸν βασιλέα.

453 (2) Πολλὰ οὖν ποιήσασα κατορθώματα καὶ πολλοὺς εὐκτη-

. Ced. 591,20—24. — 4. Ps. LI. 18. — 6. Ced. 591,18—20. Ἐν δὲ τῷ τ. ἀ. ἐπωμόσατο μὴ σ. τῇ κ. αὐτῆς κατηγορίᾳ ἕνεκα Π. — αὐτὸν cod. — 8. Ced. 601,4: Τῷ λθ' ἔτει — τὸν μὲν Πρόκλον Φλ. πρεσβύτερος σκευοφύλαξ τῆς μεγάλης ἐκκλησίας διεδέξατο. — 10. Ced. 601,1 — 3: Ἐπὶ τούτου τοῦ βασιλέως ἐκ τῶν Γ. γ. ἐ. δ', Γότθοι, Ὑ. Γ. καὶ Οὐάνδηλοι, ἐξ ὧν Ἀ. ἡ. δ. ἐν τῇ Ῥ. γῇ. — 14. Ced. 602,18—603, 3: Ἡ δὲ σοφὴ καὶ ἀγαθὴ Π. μ. τῆς τοῦ ἀδελφοῦ τελευτῆς γνωσθείσης μ. τὸν Μαρκιανόν, ἄνδρα ἐν σ. καὶ σ. δαπρέποντα, γ. ὀ. καὶ ἱκανώτατον, λέγει π. ἀ. κτλ. — 19. σε ἐξ. ἐξ ὅλης τῆς Ced. — 21. Αὐτοῦ δὲ σ. τ. μεταστέλλεται Ced. — 24. Ced. 605,13—15: Τῷ γ' ἔτει ἡ μακαρία καὶ εὐσεβὴς Π. ἐκοιμήθη ἐν χῷ π. καί μὴ διαφθαρεῖσα, πάντα τὰ ἑαυτῆς πτωχοῖς διανείμασα.

ρίους οἴκους ἀνεγείρασα καὶ πτωχοτροφεῖα καὶ ξενῶνας καὶ ξενοτάφια καὶ μοναστήρια, ἐν οἷς καὶ τὸν τοῦ ἁγίου Λαυρεντίου ναὸν ᾠκοδόμησεν, καὶ ἐτελεύτησε παρθένος καταλείπουσα Μαρκιανὸν βασιλεύειν.

(3) Καὶ γὰρ ἦν αὕτη πάσῃ ἀρετῇ κεκοσμημένη· αὕτη γὰρ καὶ τὸν ἀδελφὸν Θεοδόσιον ἐξεπαίδευσεν εἰς πάντα, οἷον ἠθός τε καὶ λόγον, βάδισμά τε καὶ γέλωτα καὶ ἐνδυμάτων περιβολὴν καὶ σχῆμα καθέδρας καὶ στάσιν· προηγουμένως δὲ τὴν εἰς τὸ θεῖον εὐσέβειαν ἐπιμελῶς αὐτὸν ἐδίδαξεν.

(4) Ὁ δὲ φύσει νωθρός τις καὶ ἀπερίσκοπος ὑπῆρχεν εἰς πάντα, μάλιστα εἰς τοὺς ὑποβάλλοντας αὐτῷ χάρτας*, ἀπαρανα-γνώστως ὑπέγραφεν, ὅπερ ἡ σοφωτάτη ποτὲ γνοῦσα, σοφῶς ὑπῆλθεν αὐτῷ, δωρεὰν ὑποβάλλουσα δῆθεν πρὸς δουλείαν ὑποχωροῦσαν τὴν ἑαυτοῦ γαμετὴν τὴν Εὐδοκίαν, ἣν καὶ καθυπογράψας μὴ πρότερον ἀναγνοὺς, ὕστερον πικρῶς ὀνειδίζεται παρὰ τῆς ἰδίας ἀδελφῆς Πουλχερίας.

(5) Ὁ δέ γε Μαρκιανὸς εὐσεβὴς ἄγαν καὶ δικαιοκριτὴς ὑπάρχων, ταῦτα περὶ αὐτοῦ γέγραπται, ὅτι ἔτι στρατιώτης ὢν, στυφθεὶς τοὺς πόδας καὶ νοσήσας κατελείφθη ἐν πόλει Σύδημα. Ἀναῤῥωσθεὶς οὖν ᾠκειώθη δυσὶν εὐπόροις ἀδελφοῖς.

---

4. Ced. 586,22—24: Π. ἡ τούτου ἀδελφὴ παρθένος ιθ' ἐτῶν οὖσα, τὴν βασιλείαν καλῶς διώκει, ἥτις Θ. τὸν ἀδ. εἰς τὴν κατὰ θν εὐσέβειαν ἐξ. καὶ εἰς τἄλλα ἅπαντα.— ἀρετῆς cod. — 10. Ced. 600,15—601,1: Οὗτος ὁ Θ. εὐμετάγωγος ἦν σφόδρα, πειθόμενος τοῖς ὑποβάλλουσιν ἀ. οἰκείοις, ὡς πολλάκις καὶ χάρτους μὴ ἀναγινώσκων ὑπ. ὅ. μαθοῦσα Π. ἡ αὐτοῦ ἀδελφὴ καὶ πολλάκις νουθετήσασα, ἐπεὶ οὐκ ἔπειθε σ. ὑ. ἀ. καὶ δ. δ. αἰτεῖ· ἡ δὲ ἦν π. δ. ἐκχωροῦσα Ἐ. τὴν ἀ. γ. προσήνεκτο τοίνυν ὁ τοῦτο διαταττόμενος χάρτης καὶ παρὰ τοῦ βασιλέως ὑπεσημαίνετο· μετὰ δὲ τοῦτο ἀναγνωσθέντος αὐτοῦ, δεινῶς ὑπὸ τῆς Π. ὠνειδίσθη καὶ ἔκτοτε ἀκρίβειαν τῶν τοιούτων ἐποίει.— * ἃς?—17. Deest in Slav. sed habet Ced. 603,11—604,6: Στ. τοίνυν λιτὸς ὢν πρὸ τούτου Μ. μετὰ τοῦ ἰδίου νουμέρου ἀπὸ τῆς Ἑλλάδος κατὰ Περσῶν ἀπῆει καὶ γενόμενος ἐν Λυκίᾳ, ἀῤῥωστίᾳ περιέπεσε· καὶ καταλειφθεὶς ἐν πόλει Συδήμων κἀκεῖσε χρονοτριβήσας προσκολλᾶται δύο τισὶν ἀδ. Ἰουλίῳ καὶ Τατιανῷ, οἵτινες εἰς τὸν ἴδιον οἶκον λαμβάνοντες αὐτὸν διανέπαυσαν. — 19. Εἰς ὃ. δὲ ἐξελθόντες ἔλαβον αὐτὸν μεθ' ἑαυτῶν· κοπιάσαντες δὲ περὶ μ. ἐκοιμήθησαν· προεξυπνισθεὶς δὲ ὁ Τατιανὸς θεωρεῖ τὸν Μαρκιανὸν εἰς τὸν ἥλιον κοιμώμενον καὶ ἀετὸν παμμεγέστατον ἐπ' αὐτὸν ἐλθόντα καὶ τὰς ἑαυτοῦ πτέρυγας διαπετάσαντα σκιὰν ἐπ' αὐτὸν περιποιησάμενον Ced.

Ἅμα δὲ αὐτοῖς ἐπὶ ϑήραν ἐξιὼν μεσημβρίαν ἀναπαυσάμενος ὕπνωσεν· ἔξυπνοι δὲ γενόμενοι οἱ αὐτάδελφοι ὁρῶσιν ὑπνοῦντα αὐτὸν ἐν ἡλίῳ, ὑπὸ ἀετοῦ δὲ περισκεπόμενον. Ἐκπλαγέντες οὖν, διυπνισϑέντι λέγουσιν αὐτῷ· «Εἰ βασιλεύσεις, τί ἡμῖν χαριεῖ;» Ὁ δὲ διαπιστῶν ὅμως ἔφη, «ἀντὶ πατρὸς ἔχειν ὑμᾶς». Δόντες οὖν αὐτῷ νομίσματα σ' ἀπέστειλαν ἐν τῇ πόλει, φήσαντες· «μέμνησο ἡμῶν ἐν τῇ βασιλείᾳ σου.

(10) (Ὁ δὲ εἰσελϑὼν προσεκολλήϑη Ἄσπαρι καὶ Ἀρδαβουρίῳ)· εἶϑ' οὕτως (μετὰ Ἄσπαρος) εἰς Ἀφρικὴν ἐλϑὼν ἐζωγρήϑη. Ὑπνοῦντος δὲ ἐν τῇ αὐλῇ Γιζερίχ, ἀετὸς αὖϑις κατελϑὼν ἐπεσκέπ[ασ]εν αὐτόν. Ὁραϑεὶς δὲ παρὰ Γιζερίχ, τοῦτον ἀνελεῖν ᾠήϑη ὡς βασιλεύειν μέλλοντα· λογισάμενος δὲ ὡς τὴν τοῦ ϑεοῦ βουλὴν κωλύειν οὐ δύναται, σπονδὰς εἰρηνικὰς μετ' αὐτοῦ ποιήσας ἀπέλυσεν αὐτόν.

449 (11) Φλαβιανοῦ τελευτήσαντος, Ἀνατόλιος χειροτονεῖται πατριάρχης.

453 (12) Ὁ οὖν Μαρκιανὸς τῆς βασιλείας αὐτοκράτωρ καὶ μόνος καταλειφϑεὶς ἐκέλευσεν ἄρχοντα ἐπὶ δόσει χρημάτων μὴ γίνεσϑαι· οὐ μὴν δὲ ἀλλὰ καὶ πολλῆς ἐλεημοσύνης ἀνάπλεως ἦν.

(13) Ἐν δὲ ταῖς γινομέναις ἐν τῷ Κάμπῳ λιταῖς πεζὸς ἐξήρχετο σὺν τῷ πατριάρχῃ Ἀνατολίῳ, πολλὰς δωρεὰς τοῖς πένησι παρεχόμενος.

455 (14) Ἐφ' οὗ ἔπεσον ἐκ τοῦ οὐρανοῦ λίϑοι τρεῖς ἐν τῇ Θράκῃ παμμεγέϑεις.

CCVIII. ΠΕΡΙ ΤΗΣ Δ' ΣΥΝΟΔΟΥ.

451 Καὶ ἡ δ' γέγονε σύνοδος τῶν χλ' πατέρων ἐν Καλχηδόνι ἔτει τῆς Μαρκιανοῦ (132[b]) βασιλείας πρώτῳ, ἧς ἡγοῦντο Λέοντος

4. Καὶ τοῦτο ϑεασάμενος ἐγείρει τὸν ἑαυτοῦ ἀδελφὸν καὶ τὸ ϑεαϑὲν ὑποδείκνυε· καὶ ἐπὶ πολὺ ϑαυμάζοντες ἐξυπνίζουσι τὸν Μαρκιανὸν καὶ λ. ἀ. Ced. — Ἐὰν Ced. — βασιλεύσῃς cod. — 5. χαρίζῃ;» ὁ δέ· «τίς εἰμι ἐγὼ, ἵνα τοῦτο γένηται εἰς ἐμέ;» οἱ δὲ ἐκ δευτέρου τὸν αὐτὸν λόγον εἶπον· λέγει ὁ Μαρκιανός· «ἐὰν τοῦτο ἐκ ϑῦ γένηται, πατέρας ὑμᾶς ἀνακηρύξω· τότε διδόασιν ἀ. σ' ν. λέγοντες· «πορεύου ἐν τῇ π. καὶ μ. ἡ ὅτι ὁ ϑς ὑψώσει σε Ced. — 7. Luc. XXIII. 43. — 9. Ced. 604,5—12 varians. om. Slav. — 16. om. Slav. — 18. Ced. 607,1,2. — 26. Ced. 604,16—605,3: Τῷ β' αὐτοῦ ἔτει ἡ ἐν Χ. ἁγία δ' σ. γ. ὑπὸ π. χλ'. ἐν τῷ μαρτυρίῳ τῆς πανευφήμου Εὐφημίας κτλ.

μὲν τοῦ ἁγιωτάτου πάπα Ῥώμης, [τοποτηρηταὶ] Πασχάσιος καὶ Λουκίνσιος ἐπίσκοποι καὶ Βονεφάτιος πρεσβύτερος, Ἀνατόλιος Κ. Π., Ἰουβενάλιος Ἱεροσολύμων, (Μάξιμος Ἀντιοχείας, ἔχοντες συναθλοῦσαν καὶ Εὐφημίαν τὴν μάρτυρα, τὴν μέχρι τῆς σήμερον ὑπερμαχοῦσαν τῇ πίστει, οἱ καὶ συνήχθησαν) κατὰ Εὐτυχοῦς (τοῦ δυστυχοῦς, πρεσβυτέρου γεγονότος καὶ ἀρχιμανδρίτου) καὶ Διοσκόρου (γεγονότος ἐπισκόπου Ἀλεξανδρείας, τότε ὑπ' αὐτῆς καθαιρεθέντων ὡς ἀντενενεχθέντων τοῖς ὀρθῶς παρ' αὐτῶν ἐκφωνουμένοις) καὶ λεγόντων, μὴ εἶναι τὴν σάρκα τοῦ Κυρίου ὁμοούσιον ἡμῖν, ἀλλ' ἐκ δύο μὲν φύσεων τὴν ἕνωσιν γενέσθαι, μίαν δὲ * ἀποτελεσθῆναι μετὰ τὴν ἕνωσιν, καὶ ὡς ἐν φαντασίᾳ τὴν σάρκα φορέσαι τὸν Κύριον μυθολογούντων καὶ τῇ θεότητι πάθος πρὸς νεμόντων.

(2) Οὓς καθελόντες ὡς βλασφήμους ἀνεθεμάτισαν, ἐξεφώνησάν τε τέλειον θεὸν καὶ τέλειον ἄνθρωπον τὸν αὐτὸν ἐν δύο φύσεσιν ἀσυγχύτως (καὶ) ἀδιαιρέτως τὸν Κύριον ἡμῶν καὶ θεὸν Ἰησοῦν Χριστόν· δύο δὲ εἰρήκασι φύσεις τῷ λόγῳ τῆς διαφορᾶς, οὐ τῷ λόγῳ τῆς διαιρέσεως, τήν τε τοῦ Ῥώμης ἐπιστολὴν πάπα Λέοντος πρὸς Φλαβιανὸν γραφεῖσαν ὡς στηλην ὀρθοδοξίας ἐδέξαντο.

(3) Ἐπικυροῦσι δὲ καὶ [τὴν Νεστορίου καθαίρεσιν, ἐδέξαντο δὲ] Θεοδώρητον καὶ Ἶβαν ὡς ἀναθεματίσαντας Νεστόριον.

(4) Ἐπὶ τούτου Συμεὼν ὁ θαυμάσιος ἐπιβὰς τῷ στύλῳ (ἡ σύνοδος ἐπιμεμψαμένη — πρῶτος γὰρ τοῦτο ἐπενόησεν — ἀκοινωνησίαν αὐτῷ ἔπεμψεν. Εἶτα μαθόντες οἱ θεῖοι πατέρες τὸν βίον καὶ τὸ ἄτυφον τοῦ ἀνδρὸς, πάλιν αὐτῷ ἐκοινώνησαν. Πρὸς ὃν ὁ βασιλεὺς Μαρκιανὸς ἐν ἰδιωτικῷ σχήματι παραγενόμενος, τῆς ἱερᾶς εὐχῆς αὐτοῦ καὶ θέας κατηξίωται).

---

3. Μαξ. — συνήχθησαν om. Ced. et Slav. — 6. τοῦ — ἀρχ. om. Ced. et Slav.— 7. γ. ἐ. Ἀ.— ἐκφ. om. Ced. et Slav. — 9. μήτε τὴν σ. τοῦ κῦ ὁ. ἡ. εἶναι ἀλλ' ἐκ δύο μὲν φ. τὴν ἑ. λέγεσθαι Ced. — * φύσιν Ced. — 13. ἀπονεμ. ἡγ. δὲ τῆς σ. Δ. π. Ῥ. — Ἱεροσολύμων Ced. — 14. Ced. 605,3—10: Καθαιροῦνται τοίνυν οἱ αἱρετικοὶ καὶ ἐξορίζονται ἐν Γάγγρᾳ· χειροτονεῖται δὲ Προτέριος ἐπίσκοπος Ἀλεξανδρείας ἀντὶ Διοσκόρου· ἡ δὲ ἁγία σ. ἐξεφώνησε τ. Θ̄ν. — 17. τὰς cod. — 18. π. Λ. ἐπ. Ced. — 20. Ced. 605,10—12. — 22. Ced. 596,17—598,18: ἐν τοῖς χρόνοις τούτοις (τῷ κε' ἔτει Θεοδοσίου) καὶ ὁ μέγας Σ. ὁ στυλίτης ἐπέβη τῷ κίονι κτλ. Συμεῶνος τοῦ θαυμασίου ἐπιβάντος?

(5) Περὶ οὗ καὶ Θεοδώρητος φησίν· «Ἐπειδὴ τοίνυν ἀριθμῷ κρείττονες οἱ ἀφικνούμενοι, προσψαύειν δὲ πάντες ἐπεθύμουν καί τινα εὐλογίαν ἐπεχείρουν τρυγᾶν ἀπὸ τῶν δερματίνων ἐκείνων ἱματίων· (πρῶτον μὲν τῆς τιμῆς τὸ ὑπερβάλλον ἄτοπον εἶναι νομίζων, ἔπειτα καὶ τοῦ πράγματος τὸ ἐπίπονον δυσχεραίνων, τὴν ἐπὶ τοῦ κίονος ἐμηχανήσατο στάσιν, ὃν) πρῶτον μὲν ἐκέλευσε γενέσθαι πήχεων ς', εἶτα ιβ' (καὶ)μετὰ ταῦτα κβ', νῦν δὲ λς'. — Ἐγὼ δὲ οὐδὲ τῆς θείας οἰκονομίας ἄνευ ταύτην λαμβάνω τὴν στάσιν· (οὗπερ ἕνεκα τοὺς μεμψιμοίρους παρακαλῶ χαλινῶσαι τὴν γλῶσσαν καὶ βιψοκινδύνως μὴ φέρεσθαι * καὶ σκοπεῖν ὡς πολλάκις τὰ τοιαῦτα ὁ θεὸς) τῶν βαθυμοτέρων ἕνεκα ὠφελείας (ἐμηχανήσατο)· καὶ γὰρ τὸν Ἡσαΐαν γυμνὸν καὶ ἀνυπόδετον βαδίσαι προσέταξε καὶ τὸν Ἱερεμίαν περίζωμα τῇ ὀσφῦι περιθεῖναι καὶ οὕτω τοῖς ἀπειθοῦσι προσφέρειν τὴν προφητείαν, καὶ ἄλλοτε (δὲ) κλοιοὺς ξυλίνους καὶ σιδηροῦς μετὰ ταῦτα περιβαλεῖν τῷ τραχήλῳ, καὶ τῷ Ὡσηὲ γυναῖκα πόρνην λαβεῖν καὶ πάλιν ἀγαπῆσαι γυναῖκα μοιχαλίδα, καὶ τῷ Ἰεζεκιὴλ ἐπὶ τοῦ δεξιοῦ πλευροῦ (κεῖσθαι) ἡμέρας μ' καὶ ἐπὶ τοῦ ἀριστεροῦ (ἡμέρας) ρν' κατακλιθῆναι καὶ αὖθις διορύξαι τὸν τοῖχον καὶ φυγόντα ἐξελθεῖν καὶ αἰχμαλωσίαν ἑαυτῷ διαγράψαι, καὶ ἄλλοτε ** ξίφος εἰς ἀκμὴν παραθῆξαι καὶ ξυρᾶσθαι τούτῳ τὴν κεφαλὴν καὶ τετραχῇ τὰς τρίχας διελεῖν καὶ (ἀπονεῖμαι (133a), τὰ μὲν εἰς τόδε, τὰ δὲ εἰς τόδε), ὡς ἂν μὴ πάντα λέγω· — γίνεσθαι τούτων ἕκαστον προσέταξεν ὁ τῶν ὅλων πρύτανις, τοὺς λόγῳ μὴ πειθομένους (μηδὲ προφητείαις ἐπαΐειν ἀνεχομομένους), τῷ τῆς θεωρίας παραδόξῳ συλλέγων (καὶ τῶν θεσπισμάτων ἀκούειν παρασκευάζων. Τίς γὰρ οὐκ ἂν ἐξεπλάγη, θεῖον ἄνθρωπον γυμνὸν βαδίζοντα ὁρῶν; τίς δὲ οὐκ ἂν ἤρετο τί

---

1. Ced 596,18 — 597,21. — 2. κρεῖττον cod. *innumerabiles* Th. ed. Col. 1573 II. p. 468. Πολλοὶ γὰρ εἰς αὐτὸν ἀφ. ἡ. π. ψαύειν τῶν δ. ἐκείνου ἐνδυμάτων. Ced. — 6. Καὶ πρ. μὲν ἐξ π. ἐκ. γ. τὸν κίονα Ced. — 7. κδ',? sed XXII Th. — ἦν οὐκ ἀ. τῆς θ. ὁ. Ced. — 8. ὑπολαμβάνω γενέσθαι Ced. *existimo hanc factam fuisse* Th. — * ἐᾶν? *permittant* Th. — *sed potius*, ἀλλὰ μᾶλλον? Th. — 11. ὡ. ἐ. τῶν β. Ced. — 12. ὥσπερ καὶ τὸν Ced. — 13. καὶ ὁ. προφητεύειν Ced. — 15. μ. τ. om. Th. et Ced. — 16. ἀγ. πονηρὰν γ. καὶ Ced. — 17. τὸν Ἐζ. Ced. — 19. φυγεῖν καὶ Ced. — ** δὲ Ced. — 22. ἵνα Ced. *ne* Th. — 23. προσέταττεν Ced. — 24. λόγων Ced.

δήποτε συνοικεῖν ὁ προφήτης πόρνῃ γυναικὶ ἀνέχεται; Ὥσπερ οὖν ἐκείνων ἕκαστον ὁ θεὸς γενέσθαι προσέταξεν τῆς τῶν ἀμελῶς συζώντων διορθούμενος ὠφέλειαν, οὕτω δὴ καὶ τὸν καινὸν τοῦτον καὶ παράδοξον τρόπον ἐπρυτάνευσε θέαμα τῷ παραδόξῳ καὶ ξένῳ πάντας ἕλκων εἰς θεωρίαν καὶ πειθανάγκην τοῖς ἀφικνουμένοις παρασκευάζων τὴν προσφερομένην παραίνεσιν.) Τὸ γὰρ καινὸν τοῦ θεάματος ἐνέχυρον ἀξιόχρεων γίνεται τοῦ διδάγματος (καὶ ὁ εἰς θεωρίαν ἀφικνούμενος τὰ θεῖα παιδευθεὶς ἐπανέρχεται)». — «Καθάπερ γὰρ ἐπί τινος λυχνίας τεθεὶς ὁ φανότατος οὗτος λύχνος *, ἡλίου δίκην πάντοθεν τὰς ἀκτῖνας ἐξέπεμψεν, καὶ ἔστιν ἰδεῖν (καὶ) Ἴβηρας καὶ Ἀρμενίους καὶ Πέρσας ** ἀφικνουμένους καὶ τοῦ θείου βαπτίσματος ἀπολαύοντας (Ἰσμαηλῖται δὲ κατὰ συμμορίαν παραγινόμενοι διακόσιοι κατ' αὐτὸ καὶ τριακόσιοι, ἔστι δ' ὅτε καὶ χίλιοι)· καὶ ἀρνοῦντες μὲν τὴν πατρῴαν ἐξαπάτην μετὰ φωνῆς καὶ τὰ ὑπ' ἐκείνων σκευασθέντα εἴδωλα, πρὸ τοῦ θείου κίονος ἐκείνου συντρίβουσιν (καὶ τοῖς ὀργίοις Ἀφροδίτης ἀποταττόμενοι — τούτου γὰρ ἀνέκαθεν τοῦ δαίμονος κατεδέξαντο τὴν λατρείαν) — τῶν θείων ἀπολαύουσι μυστηρίων, νόμους δὲ παρὰ τῆς ἱερας ἐκείνης γλώττης, (τοῖς πατρῴοις ἤθεσι χαίρειν φράζουσι καὶ τῶν ἀγρίων ὄνων καὶ καμήλων τὴν βρῶσιν ἀποτασσόμενοι. Καὶ τούτων αὐτόπτης ἐγενόμην ἐγὼ καὶ ἀκήκοα αὐτῶν τὴν πάτριον ἀσέβειαν ἀρνουμένων καὶ τῇ εὐαγγελικῇ διδασκαλίᾳ συντεθεμένων». — «Τοσαύτην οὖν ὑπὸ τῶν φιλοψόγων ὁ κίων ψεγόμενος ὠφέλειαν ἀνέβλυσε καὶ τοσαύτην ἀκτῖνα θεογνωσίας εἰς τὰς βαρβάρων διανοίας κατέλαμψεν).

(6) Εἰκότως οὖν ἔλεγεν ὁ Κύριος· «Ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει» *** (ἧς ἐπαγγελίας τὸ τέλος ἐναργῶς

---

9. εἰς λυχνίαν Ced. *Super candelabrum aliquod* Th. — * ὁ μέγας θηλαδὴ Συμεὼν Ced. — 10. ἦν Ced. *est, ut dixi, Ib. venientes et P. et A.* Th. — ** καὶ Ἰσμαηλίτας ὁσημέραι Ced., *turmatim* Th. — 14. Τοσαύτην οὖν τὴν χάριν ὁ θαυμάσιος εἰς πάντα τὰ ἔθνη ἐξέπεμψεν, ὥστε τὰ τῶν πατρῴων θεῶν ἑ. πρὸ τοῦ κ. ἑ. τοῦ θ. ἄγοντος συντρίβειν, τὴν δὲ καθαρὰν καὶ ἀμώμητον ἡμῶν χριστιανῶν πίστιν ὑπὸ τοῦ μεγίλου Σ. ἐκπαιδεύσασθαι, διὰ πολλῶν θαυμάτων καὶ μεγίστων τεραστίων τούτους ἐναγῶν εἰς τὴν τοῦ χῦ πολιτείαν Ced. — 18. *leges accipientes* Th. ν. δεχόμενοι? — 22. *Eosque* Th. Καὶ τούτ.? — 26. Ced. 597,22—598,2. — *** καὶ μείζονα τούτων ποιήσει Io. XIV. 12, Ced.

ἐϑεασάμεϑα· τῆς γὰρ τοῦ Κυρίου σκιᾶς οὐδαμοῦ ϑαῦμα ἐργασαμένης, ἡ τοῦ μεγάλου Πέτρου σκιὰ ϑάνατον ἔλυσε καὶ νόσους ἐξήλασε καὶ δαίμονας ἐφυγάδευσεν· ἀλλ' ὁ ἐκεῖνα καὶ τὰ τοιαῦτα διὰ τῶν ἀποστόλων αὐτοῦ δράσας τότε) καὶ νῦν ὁ αὐτὸς διὰ τοῦ ϑεράποντος Συμεὼν ἐνεργεῖ ϑαύματα τῇ τοῦ ἁγίου πνεύματος αἴγλῃ καταλαμπόμενος καὶ πανταχοῦ τὰς τῆς χάριτος ἀκτῖνας ἐκπέμπων κατὰ τὸν μέγαν Βασίλειον.

(7) Φησὶ γάρ· «Ὥσπερ τὰ λαμπρὰ καὶ διαφανῆ τῶν σωμάτων, ἀκτῖνος αὐτοῖς ἐμπεσούσης, αὐτά τε γίνεται περιλαμπῆ καὶ ἑτέραν αὐγὴν (ἀφ' ἑαυτῶν) ἀποστίλβει, οὕτως αἱ πνευματοφόροι ψυχαὶ ἐλλαμφϑεῖσαι παρὰ τοῦ πνεύματος, αὐταὶ * ἀποτελοῦνται πνευματικαὶ καὶ εἰς ἑτέρους τὴν χάριν ἐξαποστέλλουσιν· ἐντεῦϑεν μελλόντων προγνώσεις, μυστηρίων σύνεσις, κεκρυμμένων ἀποκάλυψις, (133[b]) χαρισμάτων διανομή, τὸ οὐράνιον πολίτευμα, ἡ μετ' ἀγγέλων χορεία, ἡ ἀτελεύτητος εὐφροσύνη, ἡ [ἐν ϑεῷ διαμονή, ἡ] πρὸς ϑεὸν ὁμοίωσις, τὸ ἀκρότατον τῶν ὀρεκτῶν, ϑεὸν γενέσϑαι» **.

433 (8) Ἐπὶ Μαρκιανοῦ εἰσῆλϑε τὰ λείψανα Ἡσαΐου ἐνεχϑέντα ἀπὸ Πανεάδος καὶ κατετέϑη εἰς τὸς ἅγιον Λαυρέντιον.

453 (9) Τῷ δὲ τρίτῳ ἔτει τῆς αὐτοῦ βασιλείας Πουλχερία ἡ εὐσεβὴς ἐτελεύτησε παρϑένος, ἥτις ἔκτισε τὸν ναὸν τῆς ὑπεραγίας ϑεοτόκου, τὰ Χαλκοπράτεια, καὶ τὸν ἐν Βλαχέρναις.

456 457 (10) Στυφϑεὶς δὲ τοὺς πόδας αὐτοῦ καὶ ἀῤῥωστήσας ἐπὶ μῆνας ε' ὁ βασιλεὺς Μαρκιανὸς ἐτελεύτησεν.

CCIX. ΒΑΣΙΛΕΙΑ ΛΕΟΝΤΟΣ.

457 Μετὰ Μαρκιανὸν ἐβασίλευσε Λέων ὁ μέγας ὁ Μακέλλης ἔτη ιη'· καὶ ἀπέϑανε δυσεντεριάσας, ὃν ἡ σύγκλητος προεβά-

---

4. ὃς τῇ τοῦ Ced. — 8. Ced. 598,2—11. cf. epistolam XLVI. 2? et de Sp. S. XVI. 38. — 10. ἐφ' ἑαυτὰ codex. — * τε Ced. — 13. καταλῆψις Ced. — ** κατὰ χάριν Ced. — 17. Τῷ λε' (Θεοδοσίου) ἠνέχϑη ἀπὸ Π. τὸ λείψανον τοῦ προφήτου Ἡ. καὶ ἐτέϑη ἐν τῷ ναῷ τοῦ ἁγ. Δ. Ced. 600,9,10. — 20. Ced. 605,13? — 26. Δ. ὁ μ. ὀρϑόδοξος ἐ. ιξ'—μ. δὲ ἐλέγετο διὰ τὸ ἀποκτεῖναι Ἄσπαρα καὶ Ἀρδαβούριον ὡς Ἀρειανοὺς ὄντας μάκελ γὰρ Ῥωμαϊστὶ ὁ σφαγεὺς λέγεται Ced. 607,11—15. — 27. προεβαλλ. cod.

λετο διὰ τὸ αὐτοῦ ὀρϑόδοξον, Ἄσπαρος καὶ Ἀρδαβουρίου βουληϑέντων κρατῆσαι τῆς βασιλείας, Ἀρειανοὺς ὄντας ἡ σύγκλητος οὐκ ἐδέξατο, οὕσπερ καὶ ὁ βασιλεὺς ὁρῶν μὴ ὀρϑῶς ἔχειν πρὸς αὐτὸν, ἀνεῖλεν αὐτούς· καὶ ἐκ τότε ἐκλήϑη Μάκελ ὅ ἐστι Ῥωμαϊστὶ ὁ σφαγεύς.

(2) Ἐφ' οὗ (σημεῖον) ἐφάνη ἐν τῷ οὐρανῷ νεφέλη σαλπιγγοειδὴς ἐπὶ ἡμέρας μ', καὶ σποδὸν ἔβρεξε ἐν Κ. Π. σπιϑαμῆς τὸ πάχος· τῶν γὰρ νεφῶν ὡς πῦρ ὁρωμένων, ἐδόκει πῦρ ρύειν. Διὰ τοῦτο πάντων λιτανευόντων, τῇ φιλανϑρωπίᾳ τοῦ ϑεοῦ ἐσβέσϑη καὶ εἰς κόνιν μετεβλήϑη.

(3) Ζωγράφου δέ τινος γράψαι τὸν Χριστὸν καϑ' ὁμοιότητα 462
τοῦ Διὸς τολμήσαντος, παραυτίκα ἡ χεὶρ αὐτοῦ ἐξηράνϑη· ἰάσατο δὲ αὐτὸν Γενναδιος ὁ πατριάρχης. Φασὶ δέ τινες τῶν ἱστορικῶν, ὅτι τὸ οὖλον καὶ ὀλιγότριχον ἐπὶ τοῦ Χριστοῦ σχῆμα, οἰκειότερόν ἐστιν.

(4) Ὁ δέ γε ϑεῖος Γενναδιος Ἐλευϑερίῳ τῷ μάρτυρι δί ἕνα κληρικὸν τοῦ ναοῦ μὴ καλῶς διάγοντα ἐδήλωσε τάδε· «Ἅγιε τοῦ ϑεοῦ Ἐλευϑέριε· ὁ στρατιώτης σου ἀτακτεῖ· καὶ ἢ διόρϑωσον τοῦτον ἢ ἔκκοψον»· ὁ δὲ εὐϑὺς ἐτελεύτησεν.

(5) Ὁ αὐτὸς Γενναδιος νυκτὸς ἐλϑὼν εἰς τὸ ἅγιον ϑυσιαστήριον εὔξασϑαι, εἶδέ τι φάσμα δαιμόνιον, ᾧ * ἐπιτιμήσας ἤκουσε ** κράζοντος· «ἐνδίδωμί σοι, ὕστερον δὲ κρατήσας πάντως τῆς ἐκκλησίας» (ὅπερ δείσας Γενναδιος, πολλὰ τὸν ϑεὸν ἱκετεύσας μετὰ μικρὸν ἐτελεύτησεν).

---

1. Ἄσπαρ δὲ ἠτήσατο τὸν βασιλέα ἐγκαταστῆσαι τῇ πόλει ἔπαρχον ὁμόδοξον κτλ. Ced. 607,16—608,2.—3. ὅπερ cod. οὓς Leo.— 6. Ced. 612,18—20: Τῷ ϑ' ἔτει ἐφ. ἐν τῷ ὀ. ν. ὥσπερ σάλπιγγος ἐκτύπωμα ἔχουσα ἐπὶ ἡ. μ' καϑ' ἑσπέραν.—ἀφ' οὗ vel ὑφ' (τοῦ ἐμπρησμοῦ) καὶ κόνις ἐξ αὐτοῦ κατηνέχϑη ὥστε κεῖσϑαι εἰς τοὺς κεράμους ἕως σπ. Leo. σπιϑαμῆ πρὸς π. M. σπηϑμ. cod.—11. Ced. 611,5—8: Τῷ ζ' ἔτει.—τὸν σωτῆρα γ. τ. κ. ὁ τοῦ Δ. ἐξ. ἡ χ. ὃν ἐξαγορεύσαντα δί εὐχῆς ἰ. Γ. Ced. — 14. σχ. ἐπὶ τοῦ σωτῆρος Ced. — 16. Οὗτος ὁ Γ. κληρικῷ τῆς ἐκκλησίας τοῦ ἁγίου Ἐλευϑερίου ἀτάκτῳ ὄντι πολλάκις ἐνουϑέτει· ἐπεὶ δὲ αὐτὸν κάμψαι οὐκ ἴσχυσεν, δηλοῖ τῷ ἁγίῳ Ἐ. ἐν τῷ ναῷ εἰπὼν διά τινος τῶν ὑπηρετουμένων αὐτῷ· Ἁ. μάρτυρ Ἐ. ἢ διόρϑωσαι τὸν κληρικόν σου ἢ ἐ. αὐτόν· καὶ ἐ. ἐτ. ὁ κληρικός Ced. 611,12—17. — 20. Οὗτος ὁ Γ. τῇ νυκτὶ ἐν τῷ ϑυσιαστηρίῳ ἐ. φάντασμα δαιμονίου Ced. 611,9,10. — * καὶ Ced. — ** αὐτοῦ Ced. — 22. ὡς αὐτοῦ μὲν ζῶντος ἐνδίδωσι μετὰ δὲ ϑάνατον αὐτοῦ κρατήσει π. τῆς ἐκ. Ced. ἐνδίδω σοι δὲ κρατήσῃς cod.

(6) Ἐπὶ Λέοντος, Ἀνατολίου τελευτήσαντος, Γεννάδιος προεχείσϑη πατριάρχης· προεβάλετο δὲ Μαρκιανὸν οἰκονόμον, τῆς τῶν Καϑαρῶν ὄντα ϑρησκείας, εἰς δὲ τὴν
461 ἐκκλησίαν μετελϑόντα, ὃς ἔκτισε τὴν ἁγίαν Ἀναστασίαν, ἣν καὶ ἀπὸ τοῦ ἐμπρησμοῦ ἐῤῥύσατο δι' εὐχῆς· γέγονε γὰρ τότε μέγας ἐμπρησμὸς ἀπὸ τοῦ νεωρίου λιμένος ἕως τοῦ ἁγίου Θωμᾶ κατελϑών. Εἰς τοὺς κεράμους οὖν ἀνελϑὼν τῆς ἁγίας Ἀναστασίας ἔχων τὸ εὐαγγέλιον ἐπὶ χεῖρας, ἀβλαβῆ τὸν ναὸν διεσώσατο.

463 (7) Ἐπὶ τούτου Στούδης ἔκτισε τὸν ναὸν τοῦ ἁγίου Ἰωάννου τοῦ προδρόμου καὶ μοναχοὺς ἐκ* τῶν Ἀκοιμήτων ἐγκατέστησε.

464 (8) Καὶ τὸ τοῦ προφήτου Ἐλισσαίου σῶμα μετετέϑη ἐν Ἀλεξανδρείᾳ ἐν τῇ μονῇ Παύλου τοῦ λεπροῦ· λεπρὸν γὰρ ἰάσατο**, λεπρὸν ἐποίησε καὶ εἰς (τὸ) τοῦ λεπροῦ ἐτέϑη.

458 (9) Καὶ τὰ λείψανα τῆς ἁγίας Ἀναστασίας κατετέϑη ἐν τῷ ναῷ αὐτῆς.

465 (10) Καὶ Δανιὴλ ὁ ϑαυμάσιος (ἐκ τῆς μάνδρας ἐλϑὼν τοῦ ἁγίου Συμεὼν) ἐν τῷ Ἀνάπλῳ ἐπέβη τῷ στύλῳ.

469 (11) Καὶ τῆς ὑπεραγίας Θεοτόκου ἡ ἐσϑὴς εὑρεϑεῖσα ἐν Ἱεροσολύμοις παρά τινι εὐλαβεστάτῃ γυναικὶ Ἰουδαίᾳ καὶ παρϑένῳ (ἱερῶς διαφυλαττομένη· καὶ ἐν Κ. Π. ἀποκομισϑεῖσα ἐν Βλαχέρναις ἀπετέϑη, ἔνϑα ὁ βασιλεὺς ναὸν ᾠκοδόμησε τῇ ϑεομήτορι καὶ σωρὸν ἐκ χρυσοῦ καὶ ἀργυρίου κατασκευάσας κα-

---

2. προεβαλλ. cod. — 4. Μαρκιανὸς δὲ ὁ οἰκονόμος τῆς μεγάλης ἐκκλησίας, τὸν ναὸν κτίσας τῆς ἁγίας ἀναστάσεως, ἔτι νέον ὄντα τοῦτον τοῦ ἑ. διεσώσατο Ced. 610,2,3. — 5. Τῷ ε' ἔτει· γ. ἑ. ἐν Κ. Π. ἀρξάμενος ἀπὸ τοῦ ν. φϑάσας ἕως τοῦ ἁ. Θ. τῶν Ἀμάντων Ced. 609,21—610,2. — 7. ἀν. εἰς τὸ κεράμιον μετὰ εὐαγγελίου καὶ ϑυμιατοῦ καὶ τὸν ϑ'ν δάκρυσιν ἐξιλεωσάμενος κτλ. Ced. 610,4—611,4. — 10. Ced. 611,17—19. Τῷ δ' αὐτῷ ἔτει (ς') Στούδιος τὸν ν. ἑ. — 11. τοῦ βαπτιστοῦ Ced. — * τῆς μονῆς Ced. — ἐν αὐτῷ κατ. Ced. — 13. Τῷ δ' αὐτῷ ἔτει (ζ') μ. ὁ προφήτης Ἐλισσαῖος ἐν Ἀ. Ced. 612,12. — ** καὶ Ced. — 16. Τούτῳ τῷ ἔτει (α') ἠνέχϑη τὸ λείψανον τῆς ἁ. μάρτυρος Ἀ. ἀπὸ τοῦ Σιρμίου καὶ κ. ἐν τῷ ν. ἁ. ἐν τοῖς Δομνίνου ἐμβόλοις Ced. 608,21—23. — 18. Τῷ η' ἔτει Δ. ὁ στυλίτης ἐν τῷ Ἀ. τῷ στ. ἐπ. Ced. 612,15,16. — 20. Τότε (τῷ ιζ' ἔτει) καὶ ἡ ἑ. τῆς ὑ. ϑ. ἐξ Ἱεροσολύμων ἤχϑη, ἑ. π. τ. ἑ. γ. Ἑβραίῳ π. Ced. 614,5—7.

τέθετο ταύτην, ἥτις ἐξ ἐρίων ἀφθάρτως ἐξυφασμένη καὶ ὁ στήμων καὶ ἡ κρόκη καὶ ὁμοειδὴς καὶ ὁλόχροος, ἀδιάφθορός ἐστι καὶ ἀλώβητος, μέχρι νῦν τὸ θαῦμα τῆς ἀειπαρθένου κηρύττουσα).

(12) Ἐπὶ αὐτοῦ Ἰσοκάσιος κοαίστωρ Ἕλλην διαβληθεὶς, 467
εἰσήχθη πρὸς τὸν ὕπαρχον τῆς πόλεως δεδεμένος ὀπισθάγκωνα. Ἔφη οὖν αὐτῷ Ποσαῖος ὁ ὕπαρχος· «Ὁρᾷς (ἑαυτὸν), Ἰσοκάσιε, ἐν ποίῳ σχήματι καθέστηκας;» Ὁ δὲ εἶπεν· «Ὁρῶ καὶ οὐ ξενίζομαι· [ἄνθρωπος γὰρ ὢν] ἀνθρωπίναις περιέπεσον συμφοραῖς· ἀλλὰ δίκασον ἐπ' ἐμοὶ ὡς ἐδίκαζες σὺν ἐμοί. Ταῦτα* μαθὼν ὁ βασιλεὺς**, σπλαγχνισθεὶς ἐπὶ τούτῳ, ἐλεύθερον εἴασεν.

CCX. ΒΑΣΙΛΕΙΑ ΛΕΟΝΤΟΣ ΤΟΥ ΜΙΚΡΟΥ.

Λέων ὁ μικρὸς, ἔγγονος αὐτοῦ, ἐβασίλευσεν ἔτος α' 474

CCXI. ΒΑΣΙΛΕΙΑ ΖΗΝΩΝΟΣ.

Μετὰ τοῦτον ἐβασίλευσε Ζήνων, ὁ γαμβρὸς Λέοντος τοῦ 474
μεγάλου, πατὴρ δὲ Λέοντος τοῦ μικροῦ, ἔτη ιζ' καὶ ἀπέθανε δυσεντερικὸς.

(2) Ὃς εὐθὺς μετὰ τὸ βασιλεῦσαι ὑποβουλευθεὶς ὑπὸ Βηρίνης, 476
πενθερᾶς αὐτοῦ, γυναικὸς Λέοντος τοῦ μεγάλου, ὡς παρὰ γνώμην αὐτῆς βασιλεύσας, ἔφυγε πρὸς τὴν ἰδίαν πατρίδα μετὰ τῆς γυναικὸς αὐτοῦ Ἀριάδνης. Ἡ δὲ Βηρίνα στέψασα Βασιλίσκον τὸν ἀδελ-

---

4. Περὶ Ἰσοκασίου. rubrica codicis. Τῷ ι' ἔτει Ἰ. ὁ κ. Ἀντιοχείας ὁ καὶ φιλόσοφος διεβλήθη τῷ βασιλεῖ ὡς Ἕ. καὶ ἐκέλευσε ἐξετασθῆναι αὐτὸν παρὰ τῷ ἐπάρχῳ Κ. Π. Ἀχθέντος δὲ αὐτοῦ δεδεμένου ὁ. ἔφη πρὸς αὐτὸν Π. ὁ ἐπ. Ced. 612,21—613,3. — 5. ὕπατον et σ. ὕπατος?—* ἀκούσας ὁ δῆμος εὐφήμησε τὸν βασιλέα καὶ Ced.—** καὶ Leo.—10. ἐχάρη καὶ ἀπέλυσεν αὐτὸν εἰς τὴν ἰδίαν χώραν Ced.—12. Rubrica, quae in cod. ut videtur evanuit, nec in M. nec in P. 1706 invenitur.—13. Λ. ὁ Ζήνωνος ὢς καὶ Ἀριάδνης κτλ. Ced. 615,4—7. — 16. ἔτη κζ', μῆνας δ' Ced. 615,18. — 18. Βασιλίσκος Βηρίνης ἀδελφὸς ἐν Ἡρακλείᾳ διατρίβων, ἐστασίασε κατὰ Ζήνωνος, ὃν φοβηθεὶς ὁ Ζήνων σὺν Ἀριάδνῃ τῇ ἰδίᾳ γυναικὶ καὶ χρήμασιν ἱκανοῖς φεύγει εἰς Ἰσαυρίαν Ced. 615,17—20. — 20. βασιλεύσαντος cod. — 21. Βασιλίσκος δὲ ἐν τῷ Κάμπῳ ἀνηγορεύθη βασιλεὺς, Μάρκον τε τὸν υἱὸν Καίσαρα ἐποίησε καὶ Ζηνωδίαν — ἔστρεψε κτλ. Ced. 615,21—616,20.

φὸν αὐτῆς, ἐβασίλευσεν ἔτη β', ἅπερ ἐτάγησαν εἰς τοὺς χρόνους Ζήνωνος. Καὶ κτίσας παλάτιον ἐν Κ. Π. καὶ ἐκάλεσεν αὐτὸ * ἴδιον ὄνομα τὰ Βασιλίσκου.

477 (3) Μετὰ ταῦτα Ζήνων ὑποστρέψας καὶ εἰσελθὼν ἐν Κ. Π. καὶ τούτων χειρωσάμενος ἐν τῇ ἐκκλησίᾳ προσφυγόντων ἐξώρισεν ἅμα γυναιξὶ καὶ τέκνοις εἰς τὸ φρούριον Καππαδοκίας, ἐν ᾧ βληθέντος ἐν πύργῳ καὶ τῆς θύρας ἀναφραγείσης ἐτελεύτησε.

(4) Ἐπὶ τούτου γέγονε σεισμὸς φοβερὸς ἐν Κ. Π. καὶ ἔπεσον ἐκκλησίαι πολλαὶ καὶ οἰκίαι καὶ ἔμβολοι ἕως ἐδάφους· (τὸ αὐτὸ ἔπαθε καὶ ἡ Νικομήδεια).

480 (5) Ὁ αὐτὸς Βηρίνην τὴν ἰδίαν πενθερὰν ἐξώρισε βουλῇ Ἴλλου μαγίστρου· ἡ δὲ γυνὴ Ζήνωνος, θυγάτηρ Βηρίνης, Ἀριάδνη παρεγγύησεν Οὐρβικίῳ τοῦ ἀνελεῖν τὸν Ἴλλον. Καὶ ἀνερχομένου ἐν τῷ ἱππικῷ, μετὰ τοῦ ξίφους λαβὼν ἀπετμήθη τὸ δεξιὸν οὖς. Ἐκ τούτου ἀνταρσίαν ἐμελέτησε κατὰ Ζήνωνος τοῦ ἀκεφάλου.

CCXII. ΠΕΡΙ ΠΕΤΡΟΥ ΤΟΥ ΚΝΑΦΕΩΣ.

471 Ἐπὶ Ζήνωνος Μαρτύριος Ἀντιοχείας, διὰ τὴν τοῦ Ζήνωνος περὶ τὴν ὀρθόδοξον πίστιν διαστροφήν, ἀποταξάμενος τῆς ἐπισκοπίας, ἐπ' ἐκκλησίᾳ ἔφη· «Κλήρῳ ἀνυποτάκτῳ καὶ λαῷ ἀπειθεῖ καὶ ἐκκλησίᾳ ῥερυπωμένῃ ἀποτάσσομαι, φυλάττων ἐμαυτῷ τὸ τῆς ἱερωσύνης ἀξίωμα».

(2) Ὃς πρῶτος ἐπενόησε τὸ μύρον ἐν τῇ ἐκκλησίᾳ ἐπὶ παντὸς τοῦ λαοῦ ἁγιάζεσθαι καὶ τὴν ἐπὶ τῶν ὑδάτων ἐν τοῖς Θεοφανίοις ἐπίκλησιν ἑσπέρας γίνεσθαι καὶ ἐν πάσῃ συνάξει τὸ σύμβολον τῆς

---

* κατ'?—4. Γράφει τοίνυν ἡ σύγκλητος πρὸς Ζήνωνα, καὶ πρόσλαβὼν ἐκεῖνος Ἴλλον τε καὶ Ἰσαύρους — ἐπάνεισιν πρὸς τὸ Βυζάντιον — καὶ τὸν Βασιλίσκον ἐξαγαγὼν τῆς ἐκκλησίας ἣ πρὸ τούτου προπίφευγε ἐξορίζει ἐν Κουκουσῷ της Κ. ἀποκλείσας δὲ εἰς ἕνα πύργον σὺν γυναικὶ καὶ τ. λιμῷ διαφθείρει Cod. 616,20—617,4. — 8. Τῷ δ' ἔτει ἐγένετο σ. φ. ἐν Κ. Π. μηνὶ Σεπτεμβρίῳ κε' κτλ. Cod. 618,16—22. — 18. Rubrica M. 2, in cod. evanuit? — Τῷ ζ' ἔτει Λέων — Μαρτυρίου δὲ τοῦ Ἀντιοχείας τῷ θρόνῳ ἀποταξαμένου καὶ λέγοντος· Κλ. Cod. 612,3—6.

πίστεως λέγεσθαι, πρὸ τούτου μὴ λεγόμενον εἰ μὴ ἅπαξ τοῦ ἐνιαυτοῦ τῇ μεγάλῃ παρασκευῇ.

(3) Τούτου, ὡς εἴρηται, ταῦ θρόνου ἀναχωρήσαντος, Πέτρος ὁ κναφεὺς τῷ θρόνῳ τυραννικῶς ἐπεδήμησε, ὡς τὰ Εὐτυχίου φρονῶν.

(4) Καὶ τῷ θρόνῳ Ἀντιοχείας ἐκ δευτέρου τυραννικῷ τρόπῳ κρατήσαντος καὶ ὑπὸ τοῦ ἐκκλησιαστικοῦ δεσμοῦ ἐκβληθέντος καὶ πάλιν ἐκ τρίτου μετὰ τὴν ἐν Ἰσαυρίᾳ γεγενημένην* τοῦ Βασιλίσκου τυραννίδα, ἐπὶ τῆς βασιλείας Ζήνωνος, Βασιλίσκου αὐθεντία τοῦ αὐτοῦ θρόνου κρατήσαντος ἀθέσμως, μὴ λυθέντων τῶν κατ' αὐτοῦ γεγονότων ἀναθεμάτων καὶ πᾶσαν τὴν ἀνατολὴν ἐκταράξαντος, ὑπὸ τοῦ πάπα Ῥώμης (134[b]) Φήλικος ἀναθεματίζεται διά τε τὴν ἑτεροδοξίαν καὶ τὴν ἐν τῷ Τρισαγίῳ προσθήκην.

(5) Ἐπὶ τῆς αὐτῆς βασιλείας Ζήνωνος, Βαρνάβα τοῦ ἀπο- 485
στόλου τὸ λείψανον εὑρεθὲν ἐξ ἀποκαλύψεως ἐν Κύπρῳ (ἐν πόλει Κωνσταντίᾳ) ὑπὸ δένδρον κερατέαν, ἔχον ἐπὶ** στήθους τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἰδιόγραφον*** τοῦ Βαρνάβα.

(6) Ἐξ ἧς προφάσεως τῇ ἀποκαλύψει καὶ εἰσηγήσει τοῦ ἀποστόλου περιγεγόνασι Κύπριοι τῷ κναφεῖ Πέτρῳ φιλονεικοῦντι, ὑπὸ Ἀντιόχειαν τελεῖν τὰς κατὰ τὴν Κύπρον ἐκκλησίας, καὶ αὐτοκέφαλον εἶναι τὴν κατὰ Κύπρον μητρόπολιν.

(7) Ὅπερ εὐαγγέλιον τὸ εὑρεθὲν ἀποθέμενος Ζήνων ἐν τῷ παλατίῳ ἐν τῷ ναῷ τοῦ ἁγίου Στεφάνου, (κατ' ἐνιαυτὸν ἀναγινώσκεται τῇ ἁγίᾳ καὶ μεγάλῃ ἑορτῇ).

(8) Μαριανὸς δέ τις προεῖπε τῷ βασιλεῖ, ὅτι καὶ τὴν βα- 490
σιλείαν καὶ τὴν γυναῖκά σου διαδέχεται ἀπὸ σιλεντιαρίων.

---

3. Π. ὁ κν. τῷ θρ. ἐπιπηδᾷ Ced. 612,6. — * τοῦ Ἴλου cod. — 14. Τούτῳ τῷ χρόνῳ (τῷ δ' ἔτει) τὸ τοῦ ἁγίου ἀπ Β. λ. εὑρέθη ἐν Κ. Ced. 618,22. — 16. κερατεῖον Leo, cod. κερασέαν ἱστάμενον Ced. — ** τοῦ Ced. — *** αὐτοῦ τοῦ Ced. — 18. ἐξ ἧς πρ. ἔκτοτε γέγονε μητρόπολις ἡ Κ. καὶ τοῦ μὴ τ. ν. Ἀ. ἀλλ' ὑπὸ Κ. Π. Ced. 619,2—4, Leo. — 25. Τὸ δὲ τοιοῦτον ἐ. Ζ. ἀπέθετο ἐν τῷ π. ἐν τῷ ν. τοῦ Ἁ. Στ. ἐν τῇ Δάφνῃ Ced. 619,4—6 Τὸ δὲ τ. ἐ. Ζ. ἀπ. εἰς τὸ παλάτιον ἐν τῷ ἁγίῳ Στεφάνῳ Leo. — 25. Τῷ ιζ' ἔτει Ζήνων ἤρετο Μαριανὸν τὸν σοφώτατον κόμητα· ἦν γὰρ μυστικά τινα εἰδώς, ἃ καὶ προέλεγεν αὐτῷ· φησὶ γάρ· «τίς μετ' ἐμὲ βασιλεύσει;» Ὁ δὲ εἶπεν, ὅτι καὶ τὴν γ. σου διαδέξεταί τις ἀπὸ σ. ἐμὲ δὲ ἀδίκως ἀποκτενεῖς· καὶ ἀμφότερα ἐν καιροῖς τοῖς ἰδίοις γεγόνασι Ced. 620,20—621,2 cf. 621,8—22.

Πελάγιον δέ τινα ὑπὸ σιλεντιαρίων, ὄντα πατρίκιον, ἄνδρα σοφώτατον, ἐκέλευσε φυλαττέσθαι ἐν εἱρκτῇ, ὃν οἱ φυλάσσοντες νυκτὶ ἀπέπνιξαν κατὰ κέλευσιν Ζήνωνος.

(9) Ἐπὶ αὐτοῦ Περόζης ὁ Πέρσης ἡττηθεὶς ἐν πολέμῳ ὑπὸ Οὔννων τὸν μάργαρον, ὃν ἐφόρει λευκότατον καὶ μέγαν καθ' ὑπερβολήν, ἐξ ὠτὸς τοῦ δεξιοῦ ἀφελόμενος ἔρριψεν ὅπως μήτις αὐτὸν ὀπίσω φορέσει.

(10) Ἐπὶ δὲ τοῦ γεγονότος σεισμοῦ, ἔπεσε καὶ ἡ σφαῖρα τοῦ ἀνδριάντος τοῦ φόρου καὶ ἡ στήλη τοῦ μεγάλου Θεοδοσίου * εἰς τὸν κίονα τοῦ ταύρου.

(11) Ζήνων δὲ δυσεντεριάσας ἐτελεύτησε τῇ τῶν Ἀκεφάλων αἱρέσει.

CCXIII. ΒΑΣΙΛΕΙΑ ΑΝΑΣΤΑΣΙΟΥ ΤΟΥ ΔΥΡΡΑΧΙΤΟΥ.

491 Μετὰ δὲ Ζήνωνα ἐβασίλευσεν Ἀναστάσιος ὁ δίκορος ὁ Δυῤῥαχίτης ἔτη κζ' **. Λέγεται δὲ περὶ αὐτοῦ, ὅτι Δυῤῥαχίτης ὢν, υἱὸς πρεσβυτέρου, καὶ χρεώσας λίτρας χρυσίου ρ' διὰ τὸ ναυαγῆσαι αὐτὸν γ', ὁ δὲ στρατηγὸς ὁ ὢν ἐν τῷ Δυῤῥαχίῳ διὰ τὰ νομίσματα βουλόμενος λαβεῖν τὴν γυναῖκα τοῦ πρεσβυτέρου, τοῦ συγγενέσθαι μετ' αὐτῆς, διεκωλύθη παρὰ θείας ὀπτασίας· ἔλαβε δὲ τὸ παιδίον τοῦ πρεσβυτέρου καὶ ἀνῆλθεν ἐν τῷ παλατίῳ.

(2) Καὶ μετὰ τελευτὴν Ζήνωνος Ἀριάδνη ἡ γυνὴ αὐτοῦ προχειρίζεται Ἀναστάσιον βασιλέα.

(3) Λέγεται δὲ ἐκκλησίαν κτίσαι ἐν τῷ Δυῤῥαχίῳ τοῖς ἁγίοις ἀναργύροις καὶ τὰ ζώδια, ἅπερ εἰσὶν ἐν τῇ πόρτῃ.

(4) Τὸ πρῶτον μὲν ὀρθόδοξος ὢν, ὕστερον ἐξέκλινεν εἰς μοναρχίαν καὶ ἀπέθανεν ἀπὸ ἀστραπῆς, ἐξορίσας καὶ τὸν πατριάρχην Ἱεροσολύμων, ὄντα ὀρθόδοξον καὶ ἅγιον.

---

5. τὸν σχολάριον ὃν cod. in margine a prima manu. — 9. Ἐν αὐτοῖς δὲ τοῖς χρόνοις Π. ὁ τῶν Περσῶν βασιλεὺς — τὸν μ. ὃν εἶχε λ. καὶ μ. εἰς ὑ. ὑπέρτιμον Ced. 623,1—12.—7. ἵνα ἀ. αὐτοῦ τοῦτον φορεῖη Ced. — 8. Ced. 618,19—20. — * ἡ Ced.— 11. Ced. 622,6—23? — ** μῆνας δ' Ced. 626, 9. — 15. Λέγεται — ἅγιον § 4 om. Slav.

(5) Ἐπὶ αὐτοῦ Βιταλιανὸς ὁ Θρᾴξ ἀντάρας καὶ παρα- 513—
λαβὼν τὴν Θρᾴκην ἅμα Σκύθαις καὶ Μυσίοις ἦλθεν ἕως τοῦ 515
Ἀνάπλου πραιδεύων· ἀλλὰ ναυμαχήσαντος αὐτῷ Μαρίνου τοῦ ἐπάρχου μετὰ τοῦ Μηδικοῦ πυρὸς καὶ θείου ἀπύρου, ὃ κατεσκεύασε Πρόκλος ὁ φιλόσοφος, κατέφλεξε τὰς ναῦς τῶν βαρβάρων. Βυθισθέντων δὲ πάντων σχεδὸν, Οὔννων καὶ Γότθων καὶ Βουλγάρων καὶ τοῦ λοιποῦ στρατοῦ ἐν τῷ ῥεύματι, Βιταλιανὸς ἔφυγε μετὰ τῶν ὑπολειφθέντων ὀλίγων.

(6) Καὶ πῦρ ἐν τῷ οὐρανῷ ἐφάνη, καὶ γέγονε δημοτικὴ 513
ἐπανάστασις περὶ τοῦ ὀρθοδόξου δόγματος ἐν Κ. Π. ὡς βουληθέντος τοῦ βασιλέως προσθεῖναι εἰς Τρισάγιον τό· «Ὁ σταυρωθεὶς δι' ἡμᾶς, ἐλέησον ἡμᾶς». Τοῦ γὰρ λογοθέτου καὶ τοῦ ἐπάρχου ἀνελθόντων ἐν τῷ ἄμβωνι τῆς μεγάλης ἐκκλησίας καὶ τὴν αἵρεσιν ἀρξαμένην ἐκ βασιλέως ἐπιτρόπου κηρύττοντος, ἐπῆλθεν ὁ δῆμος καὶ πᾶν τὸ πλῆθος τῆς πόλεως κατ' (135ᵃ) αὐτῶν· καὶ μόλις ἐξέφυγον. Καὶ γέγονε τοιαύτη στάσις καὶ ταραχὴ κραζόντων· «Ἄλλον βασιλέα θέλομεν», ὡς καὶ τὸν βασιλέα καὶ τοὺς ἄρχοντας φεύγειν καὶ ἀποκρύπτεσθαι τὴν ὁρμὴν τοῦ λαοῦ. Συναθροισθέντες δὲ οἱ στασιασταὶ εἰς τὸν οἶκον τοῦ λογοθέτου καὶ τοῦ ἐπάρχου καταδραμόντες καὶ πάντα διαρπάσαντες, ἐνέπρησαν τοὺς οἴκους αὐτῶν καὶ τοὺς εὑρεθέντας ἐκεῖ κατέσφαξαν. Εἶτα γενομένης ταραχῆς καὶ στάσεως μεγάλης ἐμπρησμοὺς οἰκων πολλῶν ἐποιήσαντο καὶ φόνους μυρίους εἰργάσαντο καὶ ἄλλα τοιαῦτα φοβερά τε καὶ ἐξαίσια κατετόλμησαν, ὑβρίζοντες Ἀναστάσιον μετὰ κραυγῆς μεγάλης καὶ Βιταλιανὸν εὐφημοῦντες. Καὶ οὕτως ἐλθόντες πλησίον τῆς ὑπ' αὐτοῦ κτισθείσης κινστέρνης τοῦ ἁγίου Μωκίου, εὗρον τὸν ὑπὸ τοῦ βασιλέως ἀγαπώμενον ἡγούμενον μοναστηρίου τοῦ ἁγίου Φιλίππου, ὃν καὶ φονεύσαντες καὶ τὴν κεφαλὴν αὐτοῦ ἐπὶ δόρατος ἀναρτήσαντες ἔκραζον· «Οὗτός ἐστιν ὁ φίλος τοῦ ἐχθροῦ τῆς ἁγίας

1. Τῷ κδ' ἔτει ὁ Β. ἀγανακτήσας κατὰ Ἀναστασίου διὰ τὴν ἐπιορκίαν πολλὰ κακὰ τοῖς στρατοπέδοις Ἀναστασίου καὶ τῇ λοιπῇ πολιτείᾳ ἐπεδείκνυτο ἁρπάζων καὶ ἀφοπλίζων καὶ τέλος πρὸς ὕβριν ἕκαστον στρατιώτην μιᾶς φόλλεως πιπράσκων Cod. 622,22—623,2. — 20. ἐνεπύρησαν cod.

τριάδος». Ἐκβαλόντες δὲ καὶ γυναῖκα ἐγκλειστὴν οὖσαν πλησίον τῆς ξηροκέρκου πόρτης, εἰς ἣν ὁ βασιλεὺς εἶχε πίστιν καὶ ταύτην ἀνεῖλον. Τὸ δὲ σῶμα αὐτῆς συνδήσαντες μετὰ τοῦ προλεχθέντος ἡγουμένου καὶ σύραντες, ἔκαυσαν εἰς τὰ Στουδίου.

513 (7) Ἐφ' ὧν χρόνων καὶ Μούνδαρος ὁ τῶν Σαρακηνῶν φύλαρχος βαπτισθεὶς ὑπὸ τῶν ὀρθοδόξων ἐν Συρίᾳ, Σευῆρος ἐπισκόπους ἀπέστειλε πρὸς τὸν βασιλέα θέλων αὐτῷ μεταδοῦναι τῆς οἰκείας αἱρέσεως, ὧν τοῦ δόγματος αἰσθόμενος, ἔφη μετὰ πανουργίας· «Ἐδεξάμην γράμματα σήμερον, ὅτι Μιχαὴλ ὁ ἀρχάγγελος ἐτελεύτησε». Τῶν δὲ εἰπόντων ἀδύνατον εἶναι τοῦτο, ἀπεκρίθη· «Καὶ πῶς, φησίν, θεὸς γυμνὸς ἐσταυρώθη καθ' ὑμᾶς, εἰ μὴ ἐκ δύο φύσεων ἦν ὁ Χριστός, εἴγε μηδὲ ἄγγελος ἀποθνήσκει;» Ὅπερ ἀκούσαντες καὶ σφόδρα καταπλαγέντες ἀνεχώρησαν μετ' αἰσχύνης.

(8) Ἀναστάσιος δὲ εἶδε καθ' ὕπνους φοβερόν τινα τῇ χειρὶ κατέχοντα κώδικα (γεγραμμένον καὶ ἀναγινώσκοντα). Καὶ ἀναπτύξας (ε' φύλλα τοῦ κώδικος) ἀναγνοὺς τὸ ὄνομα τοῦ βασιλέως εἶπεν αὐτῷ· «Ἰδού, διὰ τὴν ἀπιστίαν σου ἀπαλείφω ιδ' ἔτη (τῆς ζωῆς σου)». Καὶ (τῷ ἰδίῳ δακτύλῳ) ἀπῆλειψε *.

(9) Καὶ μετὰ δύο ἡμέρας βροντῶν καὶ ἀστραπῶν ἐν τῷ παλατίῳ γενομένων καὶ τοῦ βασιλέως μονωτάτου καταλειφθέντος καὶ ἀπὸ τόπου εἰς τόπον (φεύγοντος), ἐν ἑνὶ τῶν κοιτωνίσκων τῷ λεγομένῳ Ὠᾶτον ἀπελάβετο τὴν ὀργὴν τοῦ θεοῦ, καὶ βίψασα αὐτὸν κατέβραξεν, ὥστε αἰφνίδιον εὑρεθῆναι νεκρόν.

(10) Φασὶ δὲ αὐτὸν μετὰ τὸ ταφῆναι, μεθ' ἡμέρας τινὰς βοᾶν· «Ἐλεήσατέ με καὶ ἀνοίξατε». Τῶν (μνημοραλίων) δὲ εἰπόντων, ὅτι ἄλλος βασιλεύει, ἔφη (ἐκεῖνος)· «Οὐδέν μοι

---

1. Cod. 635,21—636,1: Τῷ κζ' ἔτει Ἀ. ἐ. ἐν ὁράματι ἄνδρα φ. βαστάζοντα κ. δν ἀν. καὶ εὑρὼν τὸ ὀ. αὐτοῦ τοῦ β. — 18. κακοπ. Cod. — * αὐτὰ Cod. — 20. Θείῳ σκηπτῷ κεραυνωθεὶς ἐμβρόντητος γέγονε Cod. 636,12. — 26. Cod. 622,12—20 de Zenone: Μ. δὲ τὸ κατατεθῆναι ἀ. ἐν τῷ τάφῳ ἔφασαν οἱ σωματοφύλακες οἱ ἐν τῷ τάφῳ τεταγμένοι γοερὰν φωνὴν ἐπὶ δύο νύκτας ἀποδίδοσθαι ἐκ τοῦ μνήματος αὐτοῦ. Ἐλ. ἐλ. καὶ ἀν. μοι. — 28. μέλλει cod.

μέλει· εἰς μοναστήριον ἀπαγάγετέ με». Οἱ δὲ εἴασαν αὐτόν. Λέγεται δὲ μετ' οὐ πολὺ τὸ μνῆμα ἀνοιγῆναι καὶ εὑρεθῆναι αὐτὸν [ὑπὸ πείνης] φάγοντα τὰς σάρκας τῶν βραχιόνων αὐτοῦ καὶ τὰ καλίγια ἃ ἔφόρει.

(11) Ἐν δὲ Ἀλεξανδρείᾳ πλεῖστοι ἄνδρες καὶ γυναῖκες καὶ 516
παῖδες πληγέντες ὑπὸ δαιμόνων, ἀθρόως ὑλάκτουν.

(12) Ἔτι περιὼν τῷ βίῳ, εἶδε καθ' ὕπνους φοβερὸν λέγοντα (αὐτῷ)· «Διὰ τοὺς ἀναθεματισμοὺς τῆς συνόδου ταῦτα πάσχουσι δίκαιοι».

(13) Καὶ Οὖννοι καὶ οἱ λεγόμενοι Ἴβηρες περάσαντες τὰς Κασ- 515
πίας πύλας, πᾶσαν (135[b]) τὴν Ἀρμενίαν καὶ Καππαδοκίαν καὶ Γαλατίαν καὶ Πόντον ἐξέλειψαν.

(14) Ἐν Νεοκαισαρείᾳ δὲ σεισμοῦ γενέσθαι μέλλοντος 503
ἄνθρωπός τις ὁδεύων (ἐπὶ τὴν πόλιν) εἶδε στρατιώτας προάγοντας καὶ ἕτερον ὄπισθεν κράζοντα· «Τὸν οἶκον τοῦ θαυματούργου Γρηγορίου φυλάξατε». Καὶ τοῦ σεισμοῦ γενομένου, τὸ μὲν πλεῖστον τῆς πόλεως ἔπεσεν, ὁ δὲ ναὸς τοῦ ἁγίου ἐσώθη.

(15) Καὶ ἐν Ἀντιοχείᾳ χρυσοχόος ἐφάνη τις πλάνος ὑποδει- 506
κνύων τοῖς ἀργυροπράταις χεῖρας χρυσᾶς ἀνδριάντων καὶ πόδας καὶ ἄλλα τινὰ σκεύη λέγων, ὅτι θησαυρὸν εὗρον μεστὸν τοιούτων. Καὶ πολλοὺς ἀπατήσας καὶ χρήματα πλεῖστα λαβών, ἦλθεν ἐν Κ. Π. φεύγων, ἐν ᾗ πολλοὺς ὡσαύτως δειλιάσας,

---

1. Τῶν δὲ μὴ ἀνοιξάντων, λ. μ. τινὰ χρονὸν τὸ μνημεῖον ἀν. Ced.—3. τοὺς βραχίονας ἀ. Ced. Leo.—5. Τούτῳ τῷ ἔτει (κε') Ἀλεξανδρεῖς πλ. ἀ. καὶ γ. καὶ παιδία δεινῶς πλ. Ced. 633,17.—7. Καθ' ὑ. δέ τις ἐ. φ. λ. ὅτι διὰ τ. ἀ. τῆς σ. ταύτης π. δ. Ced. 633,18—20.—10. Τῷ κε' ἔτει Οὖννοι οἱ λεγ. Σαβὴρ τὰς Κ. π. περ. τὴν Ἀ. ἐξέδραμον, Κ. τε καὶ Γ. καὶ Π. ληϊζόμενοι κτλ. Ced. 633,3—16.—12. ἐξείληψαν cod.— 13. Τῷ ιβ' ἔτει—ἐν Ν. δὲ μ. γίνεσθαι σ. στρατιώτης ὁ Ced. 628,16—21.—14. δύο στ. ἐπ. αὐτὸν ἰόντας καὶ ὀπ. ἄλλον κράξαντα. Φ. τὸν ὀ. ἐν ᾧ ἡ θήκη τοῦ Γρ. ἐστι. Γ. δὲ τοῦ σ. τὸ πλ. μ. τῆς π. ἐπτώθη, πλὴν τοῦ ναοῦ τοῦ ἁ. Γρ. Ced. — 19. Ced. 629,8—17: Τότε (τῷ ιδ' ἔτει) καὶ ἀ. τις χειμευτὴς ἐκ τῶν τῆς χείμης τεχνῶν εὐφυὴς ὢν ταῖς ἀπάταις ὀφθαλμοπλανῆσαι, ὑπεδείκνυεν ἀ. καὶ ἑτέροις χ. καὶ π. ἀ. καὶ ἕτερα εἴδη χρυσᾶ λ. θ. εὑρηκέναι· καὶ π. ἀπ. εἰς πενίαν ἤνεγκε. Φήμης οὖν περὶ τούτου γενομένης, κρατηθεὶς ἤχθη τῷ Ἀναστασίῳ. Ὁ δὲ προσήνεγκεν αὐτῷ χ. ἵππου ὁ διὰ μαργαριτῶν· ὃν λ. ὁ β. ἐ. Ὁ. σὺ, εἰ καὶ πάντας ἠπάτησας, ἐ. ὀ. ἀπατήσεις. Καὶ ἐξ ἀ. εἰς τι φ. ἔνθα καὶ τελευτᾷ.

προσῆλθε καὶ τῷ βασιλεῖ ὁλόχρυσον καὶ διάλιθον χαλινὸν προσκομίσας, ὃν ὁ βασιλεὺς λαβὼν ἔφη πρὸς αὐτόν· «Ὄντως ἐμὲ οὐκ ἀπατᾷς». Καὶ (μαστιγώσας αὐτὸν πολλὰ, δέσμιον) εἰς (τὴν Πέτραν εἰς τὸ τῆς Ἀσίας) φρούριον ἐξώρισεν, ἐν ᾧ καὶ ἐτελεύτησε.

CCXIV. ΠΕΡΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΚΩΑΔΟΥ.

517 Καὶ Κωάδης ὁ βασιλεὺς Περσῶν ἔν τινι φρουρίῳ τῶν ἐκεῖσε μαθὼν ὡς λίθους τιμίους ἀποκεῖσθαι ἐν αὐτῷ, βουλόμενος αὐτοὺς ἀνελέσθαι, ἐκωλύετο παρὰ τῶν αὐτόθι οἰκούντων δαιμόνων. Πᾶσαν τοίνυν μαγείαν ἐπιδειξαμένων τῶν θεραπευτῶν αὐτοῦ καὶ μηδὲν ἰσχυσάντων, ἦλθε διὰ τῶν Ἰουδαίων· ἀποτυχὼν κἀκεῖθεν συνεβουλεύθη διὰ τῶν χριστιανῶν καταργῆσαι τοὺς δαίμονας. Ὁ δὲ τῶν ἐν Περσίδι χριστιανῶν ἐπίσκοπος ἐπὶ τὸ αὐτὸ σύναξιν ἐπιτελέσας καὶ τῶν θείων μυστηρίων μεταλαβὼν (καὶ τοῖς συνοῦσι χριστιανοῖς μεταδοὺς καὶ τῷ σημείῳ τοῦ σταυροῦ διώξας τοὺς δαίμονας) τῷ Κωάδῃ τὸ φρούριον ἀπέδωκεν.

(2) Ὃς καταπλαγεὶς (πάνυ καὶ φοβηθεὶς) προκαθεδρίᾳ τὸν ἐπίσκοπον ἐτίμησεν, ἕως τούτου Ἰουδαίων καὶ Μανιχαίων προτιμωμένων, καὶ ἄδειαν δέδωκε τοῖς χριστιανοῖς καὶ τοῖς χριστιανίζειν ἐθέλουσι (καὶ μετὰ τοῦτο καὶ τοὺς χριστιανοὺς ἀγαπήσας ἔκτοτε μεγάλως).

---

6. Rubrica M. 2, deest in cod. et Par. 1706. — 7. Ced. 634, 17—635,4: Μεταξὺ Ἰνδῶν καὶ Περσῶν κάστρον ἐστὶν ὀνομαζόμενον Τζουδάδερ, ἐν ᾧ πολλὰ χρήματα καὶ μαργαρῖται καὶ λίθοι τίμιοι ἀποκείμενοι ἦσαν καὶ ὑπὸ δαιμόνων ἐφυλάττοντο· τοῦτο Κ. μ. ἐζήτει λαβεῖν καὶ ὑπὸ τῶν δ. κωλυόμενος, κινεῖ τὴν τῶν παρ' αὐτοῦ μ. πᾶσαν ἐπίνοιαν, ἔπειτα καὶ τῶν Ἰ. καὶ τοῦ σκοποῦ ἀποτυγχάνει· πεισθεὶς δὲ διὰ τῆς πρὸς τὸν Θ'ν εὐχῆς τῶν χ. τούτου κυριεῦσαι, ἐπίσκοπόν τινα χριστιανὸν ἀπὸ τῶν ἐν Περσίδι περὶ τούτου παρεκάλεσεν, ὃς σ. ἐπ. καὶ τῶν θ. μ. μ. προσελθὼν τῷ τόπῳ τ. ἐκεῖσε δ. ἐξεδίωξε καὶ τῷ Κ. τὸ κ. ἀπόνως παρέδωκεν. — 17. Ἐν τούτῳ Καβάδης κ. πρ. Ced. 635,4. — 18. τότε M. καὶ Ἰ. προκαθεζομένων καὶ ἀδ. παρέσχε τ. βουλομένοις βαπτίζεσθαι Ced.

CCXV. ΠΕΡΙ ΤΟΥ ΕΥΦΗΜΙΟΥ ΤΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ.

Εὐφήμιος δέ τις πρεσβύτερος καὶ πτωχοτρόφος Νεαπόλεως τῆς 489
κειμένης ἐν τῷ Ἀνάπλῳ, προχειρίζεται ἐπίσκοπος Κ. Π. ὃς ἅμα τῇ χειροτονίᾳ, πρὶν ἢ ἀνελθεῖν εἰς τὸ σύνθρονον, ἐκ τῶν ἱερέων διπτύχων ἀπήλειψε Πέτρου τοῦ Μογγοῦ τὸ ὄνομα ταῖς ἰδίαις χερσίν· καὶ οὕτως εἰς τὸν ἐπισκοπικὸν θρόνον ἐκάθισεν· Οὗτος δὲ ὁ Μογγὸς Ἀλεξανδρείας μὲν ἦν ἐπίσκοπος, αἱρετικὸς δὲ ὢν διάπυρος.

(2) Εὐφήμιος δὲ ζηλωτὴς ἦν τῆς ὀρθοδόξου πίστεως καὶ τοὺς ἐναντίους ἐδίωκεν, ὧν πρῶτος ἦν Ἀναστάσιος ὁ τότε σιλεντιάριος, ὕστερον δὲ βασιλεὺς γενόμενος, ὃν τὰ Εὐτυχοῦς μαθὼν φρονοῦντα καὶ ὀχλοποιοῦντα, ἰδὼν τὴν καθέδραν αὐτοῦ τὴν ἐν τῇ ἐκκλησίᾳ ἀνέτρεψεν καὶ αὐτῷ χαλεπῶς ἀπειλῶν ἐδήλωσε, εἰ μὴ τὰ τῆς ἡσυχίας ἄγοι, τὴν κεφαλὴν ἀποκείρειν καὶ τοῖς δήμοις θριαμβεύειν· καὶ βασιλεῖ δὲ τὰ κατ' αὐτὸν ἐγνώρισεν καὶ ἐξουσίαν τὴν κατ' αὐτοῦ ἔλαβεν.

(3) Ὡς δὲ Ζήνων ὁ βασιλεὺς ἐτελεύτησεν, ἀναγορεύεται εἰς βασιλέα ὑπὸ Ἀριάδνης τῆς Αὐγούστης Ἀναστάσιος ὁ σιλεντιάριος, περὶ οὗ ἀντέστη Εὐφήμιος ὁ ἐπίσκοπος, αἱρετικὸν καλῶν καὶ τῶν χριστιανῶν ἀνάξιον. Ἀριάδνης (136[a]) δὲ καὶ τῶν τῆς συγκλήτου συναινεῖν ἀναγκαζόντων Εὐφήμιον, οὐκ ἄλλως τοῦτο ποιῆσαι ἠνέσχετο εἰ μὴ ὁμολογίαν ἔγγραφον παρ' αὐτοῦ ἐκομίσατο, ὡς εἰς ὅρον πίστεως δέχεται τὰ ἐν Καρχηδόνι δογματισθέντα.

(4) Τῇ δὲ ὁμολογίᾳ αὐτοῦ βεβαίως τὸν Εὐφήμιον ἠπάτησε βασιλεύσας· Μανιχαῖοι δὲ καὶ Ἀρειανοὶ ἔχαιρον Ἀναστασίῳ, Μανι-

---

1. Rubrica M. 2, deest in cod. et Par. 1706. — 12. ἀνέστρεψεν? — 13. ἄγειν cod. — 16. Cod. 625,20—626,8: Μετὰ δὲ τὴν Ζήνωνος τελευτὴν ἡ βασίλισσα καὶ ἡ σύγκλητος καὶ τὸ στράτευμα Ἀναστάσιον τὸν σιλεντιάριον ἀναγορεύουσι βασιλέα τῆς τῶν ἀκεφάλων ἤτοι συγχυτικῶν ὄντα αἱρέσεως — ἀπαιτεῖται ὁμολογίαν παρὰ Εὐθυμίου τοῦ πατριάρχου πρὸς τὸ μὴ σαλεῦσαί τι τῆς ἐκκλησίας καὶ τῆς πίστεως, ἀν. αὐτὸν ἀποκ. τῆς τῶν χ. βασιλείας, βιαζομένης δὲ αὐτὸν Ἀρ. καὶ τῆς σ. δίδωσιν αὐτοῦ τὸ ἰδιόχειρον τῷ πατριάρχῃ κυροῦν τὰ τῆς ἐν Κ. συνόδου ὑπὲρ τῆς πίστεως δόγματα.—21. κομίσαιτο?— 23. Τὴν δὲ ὁμολογίαν? cod. ν pro ι subscr. Cod. 626,9—13: Ἐπὶ τούτου Μ. καὶ Ἀρ. ἐχ. Μ. μὲν ὡς μ. τοῦ βασιλέως ζ. ὁ. καὶ προσφιλοῦς αὐτοῖς, Ἀρ. δὲ ὡς Κλ. τὸ θ. αὐτοῦ, ἀδελφὸν τῆς κακόφρονος μ. ἀ. ὁμ. ἐχ.

χαῖοι μὲν ὡς τῆς μητρὸς αὐτοῦ ζηλωτρίας οὔσης αὐτῶν, Ἀρειανοὶ δὲ ὡς Κλέαρχον τὸν Θεῖον πρὸς μητρὸς Ἀναστασίου ἐμόδοξον ἔχοντες.

492 (5) Πολλὰ δὲ τῶν Ἰσαύρων ἄτοπα καὶ ἀπανϑρώπινα τολμώντων ἐν Κ. Π., Ἀναστάσιος ἅπαντας τῆς βασιλίδος ἐξέβαλε· οἱ δὲ ἐξελϑόντες πρὸς τυραννίδα ὥρμησαν καὶ ἕως τοῦ Κοτυαίου ἐξέδραμον, καϑ' ὧν ὁ βασιλεὺς στρατὸν ἐξέπεμψε καὶ Ἰωάννην τὸν * κυρτὸν ** ἀνεῖλεν.

494 (6) Τοῦ δὲ πολέμου ἐπὶ ε' ἔτη κρατήσαντος, Ἀναστάσιος ἀποκαμὼν ἐϑάρρησεν Εὐφημίῳ τῷ ἐπισκόπῳ, ὡς εἰρήνης ἐφίεται, καὶ συναγαγεῖν τοὺς ἐνδημοῦντας τῶν ἐπισκόπων προσέταξεν ὑπὲρ τῶν Ἰσαύρων παρακαλεῖν. Εὐφήμιος δὲ ἐξήγαγε τὸ λεχϑὲν πρὸς Ἰωάννην πατρίκιον ἀδελφὸν Ἀϑηνοδώρου, ἑνὸς τῶν ἐξάρχων τῶν Ἰσαύρων.

(7) Ὁ δὲ δραμὼν πάντα ἀπαγγέλλει τῷ βασιλεῖ, ὅπερ εἰς ἔχϑραν τὸν βασιλέα κατὰ Εὐφημίου ἐξώπλισε μεῖζονα.

(8) Ἀναστάσιος δὲ βασιλικώτερον κινηϑεὶς κατὰ τῶν Ἰσαύρων, τούτους κατὰ κράτος ἐνίκησε, καὶ πέμψας πρὸς Εὐφήμιον Εὐσέβιον τὸν μάγιστρον αὐτοῦ δηλοῖ αὐτῷ· «Αἱ εὐχαί σου, κύριε ὁ μέγας, τοὺς φίλους σου ἠσβόλωσαν».

496 (9) Ἀναστάσιος δὲ ὁ βασιλεὺς ἐπιβουλὰς τῶν Ἰσαύρων ἐπιγράψας Εὐφημίῳ καὶ ὡς εἴη γράμματα πεπομφὼς τοῖς τυράννοις, συνήγαγε τοὺς ἐπιδημοῦντας ἐπισκόπους, οἵτινες βασιλεῖ χαριζόμενοι, ἀκοινωνησίᾳ καὶ καϑαιρέσει τὸν ἄνδρα ἠμείψαντο.

(10) Καὶ προχειρίζεται εἰς ἐπίσκοπον ὁ βασιλεὺς Μακεδόνιον πρεσβύτερον τῆς ἐκκλησίας καὶ σκευοφύλακα ***.

(11) Οἱ μέντοι λαοὶ δὶ Εὐφήμιον ἐστασίαζον, ἐν οἷς εἰς τὸν ἱππόδρομον ἔδραμον λιτανεύοντες· ἀλλ' οὐδὲν ὤνησαν· τοῦ γὰρ βασιλέως ἐνίκα ἡ ἔνστασις.

---

* Σκύϑην καὶ Ἰω. τὸν Th. L. II. 11. — ** καὶ Ἰω. τὸν πατρίκιον? ex homoioteleuto om. — 8. Ἀπ. δὲ ὁ βασιλεὺς ἐν τῷ χρονίζειν τὸν πόλεμον, ἐϑ. Ἐ. ὡς ἐ. ἐφ. καὶ σ. τ. ἐ. ἐπισκόπους πρ. (καὶ δόξει cod. Ge. Mosq.) παρακαλέσαντας δῆϑεν περὶ τῶν Ἰ. Ἐ. δὲ τὸ μυστήριον ἐξ. π. Ἰω. τὸν π. πενϑερὸν Ἀϑ. τοῦ ἐξάρχου τῆς τυραννίδος Th. An. 4. — 13. Theod. L. Εὐφ. δὲ πρὸς αὐτόν; Ὁ. δὲ ϑ. τῷ βασιλεῖ ἀπήγγειλε ὅ. εἰς ἀϑιάλακτον ἔχϑραν κ. Ἐ. τὸν β. Ἀναστάσιον ἤγειρεν Theoph. — 17. κυρι cod. om. Theoph. αἱ μεγάλαι Leo.—19. Ὅϑεν τὰς τῶν Ἰ. ἐπ. Ἐ. ἐπέγραφεν Theoph. — ** Οὗτος ὁ Μακεδόνιος οὐκ ἐστιν ὁ πνευματομάχος ἀλλ' ἕτερος ὀρϑόδοξος Glossa cod. — 25. Ὁ μ. λαὸς cod.

(12) Εὐφήμιον δὲ ὁ βασιλεὺς εἰς Εὐχαΐτας περιορισθῆναι προσέταξεν. Ὁ δὲ λόγον ᾔτησε διὰ Μακεδονίου λαβεῖν ἀπαθείας, ὡς ἐπιβουλῆς χωρὶς κατὰ τὸν τόπον ἀπάγεται. Ἐπιτραπεὶς δὲ τὸν λόγον δοῦναι, ὁ Μακεδόνιος· ἐπαινετόν τι σκεψάμενος, ἐν τῷ βαπτιστηρίῳ τοῦ Εὐφημίου ὄντος, τὸ ὠμοφόριον τὸ ἐπισκοπικὸν αὐτοῦ ἀφαιρεθῆναι προσέταξε. Καὶ οὕτως εἰσελθὼν πρὸς τὸν Εὐφήμιον, δανεισάμενος δὲ χρήματα, παρέσχε τῷ Εὐφημίῳ καὶ τοῖς σὺν αὐτῷ.

(13) Μακεδόνιος δὲ ἀσκητὴς ἦν ἱερὸς, ὡς ὑπὸ Γενναδίου τραφεὶς, οὗ καὶ ἀδελφιδοῦς ἐτύγχανε.

(14) Διὰ γοῦν τὸ μὴ ὑπακούειν τῇ αἱρέσει τοῦ βασιλέως, πολλὰ δεινὰ ἐνεδείξατο· φασὶ γὰρ τελευτήσαντος Μακεδονίου ἐν ἐξορίᾳ φοβερόν τι συμβῆναι· νεκρὸν γὰρ ὄντα [καὶ ἐν κραββάτῳ τεθειμένον, βλεπόντων πάντων] σφραγίσασθαι τῷ σταυρῷ.

(15) Ἐπὶ αὐτοῦ εἰσῆλθεν ὁ μέγας Σάβας ἐν Κ. Π. τὸ πρῶτον, καὶ τὸ δεύτερον ἐπὶ Ἰουστινιανοῦ.

(16) Ἐπὶ τοῦ αὐτοῦ βασιλέως Ἀναστασίου Δευτέριος ἐπίσκοπος Βυζαντίου· Ἀρειανὸς, Βάρβαρόν τινα βαπτίζων, ἐτόλμησεν εἰπεῖν· «Βαπτίζεται ὁ δεῖνα εἰς ὄνομα πατρὸς δὶ υἱοῦ ἐν ἁγίῳ πνεύματι». Καὶ ἐξηράνθη εὐθεώς ἡ κολυμβήθρα. Ὁ δὲ Βάρβαρος ἔμφοβος γενόμενος (γυμνὸς) ἔφυγεν, ὡς ἐξ αὐτοῦ πᾶσι γνωσθῆναι τὸ θαῦμα.

(17) Καὶ δύο πάλιν ἐπισκόπων (136[b]) ἀμφισβητούντων ἐπὶ Ἀναστασίου, ὀρθοδόξου καὶ Ἀρειανοῦ, καὶ τοῦ Ἀρειανοῦ διαλεκτικοῦ ὄντος, τοῦ δὲ ὀρθοδόξου θεοσεβοῦς καὶ πιστοῦ, ὁ ὀρθόδοξος προύτεινεν ὥστε, ἀφειμένους τῶν λόγων, εἰς πυρὰν εἰσελθεῖν, καὶ οὕτως δειχθῆναι τὸν εὐσεβέστερον. Τοῦ δὲ Ἀρειανοῦ παραιτησαμένου, αὐτὸς εἰσελθὼν ἀπὸ τοῦ πυρὸς διελέγετο καὶ ἀπαθὴς ἐφυλάττετο.

---

2. ὃς cod. ὡς ἀνεπιβούλευτον μεῖναι ἐν τῷ ἀπάγεσθαι Theoph. — 10. Διὰ — ἐφυλάττετο om. Bulg. sed Leo: εἰς ὃν διὰ τὸ μὴ ὑπείκειν. — 11. τελευτήσαντ. Μακεδόνιον cod. — 17. Τῷ κ' ἔτει Δ. ὁ ἐπ. τῶν Ἀρειανῶν, β. τ. Β. λεγόμενον, παρὰ τὴν δεσποτικὴν παράδοσιν ἐτ. Ced. 613,19—23. — 19. β. Βάρβαρος Ced. — 20. εὐθὺς ἐξ. Ced. — 21. ἐφ. καὶ π. ἐγνώρισε τὸ θ. Ceo. — 28. τῆς πυρᾶς Leo.

CCXVI. ΒΑΣΙΛΕΙΑ ΙΟΥΣΤΙΝΟΥ ΤΟΥ ΘΡΑΙΚΟΣ.

518 Μετὰ Ἀναστάσιον ἐβασίλευσεν Ἰουστῖνος ὁ Θρᾴξ ἔτη θ', ἄριστος ἐν πολέμῳ καὶ ζηλωτὴς θερμὸς τῆς ὀρθοδόξου πίστεως.

(2) Οὗτος καὶ Βιταλιανὸν τὸν προρρηθέντα ᾠκειώσατο καὶ στρατηλάτην ἐτίμησεν καὶ παρρησίαν ἔχειν πρὸς αὐτὸν ἐποίησεν.

520 (3) Ἐδολοφονήθη δὲ Βιταλιανὸς παρὰ τῶν Βυζαντίων μηνιώντων διὰ προειρημένης ἐπαναστάσεως.

518 (4) Ἀμάντιον δὲ τὸν πραιπόσιτον (ὃς τὸν ναὸν τοῦ ἁγίου Θωμᾶ ᾠκοδόμησε καὶ ἐκόσμησε, λέγεται χρήματα δεδωκέναι αὐτῷ τῷ Ἰουστίνῳ, ὄντι κόμητι ἐξκουβιτόρων ἐπὶ Ἀναστασίου, ὅπως Θεόκριτον τὸν ἀνεψιὸν αὐτοῦ ἀναγορεύσῃ εἰς βασιλέα. Τοῦτον) ἀνεῖλε Ἰουστῖνος καὶ τοὺς τὴν ἀνταρσίαν σὺν αὐτῷ μελετήσαντας καὶ τὴν βασιλείαν αὐτὸς κατέσχεν.

524 (5) Ἐπὶ αὐτοῦ τὰ κατὰ τὸν ἅγιον Ἀρέθαν (καὶ τοὺς) ἐν Νέγρᾳ τῇ πόλει ἐπράχθη καὶ τὰ κατὰ τῶν Ὁμηριτῶν διὶ Ἐλεσβαὰν τοῦ βασιλέως τῶν Αἰθιόπων.

521 (6) Ἐτυπώθη δὲ ἐπὶ αὐτοῦ τὸ ἑορτάζειν ἡμᾶς τὴν τῆς ὑπαπαντῆς ἑορτήν.

519 (7) Καὶ ἀστὴρ ἐφάνη ἐν τῷ οὐρανῷ ἐπάνω τῆς χαλκῆς πύλης φαίνων ἐπὶ ἡμέρας καὶ νύκτας κζ'.

526 (8) Γέγονε δὲ καὶ σεισμὸς φοβερώτατος· καὶ ἡ μὲν Κ. Π. ἐν διαφόροις τόποις ἀπέλαβεν, ἡ δὲ μεγάλη Ἀντιόχεια

---

1. ἄνθρακος cod., om. Par. 1706. — 1. ἄριστος — ἑορτὴν om. Bulg. et Serb. πᾶσαν ἀρ. ζ. τῆς ὀ. π. Ced. 636,17—23. — 4. Βιταλιανὸς δὲ ὁ ποῤῥηθεὶς σφόδρα ᾠκειώθη τῷ βασιλεῖ Ced. 637,10. — 9. Ced. 637,23—638,1. — 13. μετὰ καὶ ἄλλων τινῶν τυραννίδα μ. ἀν. Ced. — 16. Τούτῳ τῷ ἔτει (ε') καὶ τὰ Ced. 639,8—10. — 17. ἐν ἔγρα cod.—ἐπ. ὑπὸ τῶν Ὁμ. καὶ ὁ πόλεμος Ἑλ. β. τ. Ἀ. πρὸς τοὺς Ὁμηρίτας καὶ ἡ νίκη αὐτοῦ Ced. — 19. Ἐπὶ αὐτοῦ δὲ (τῷ θ' ἔτει) ἐτ. ἐ. ἡ. καὶ τὴν ἑ. τῆς ὑπ. κτλ. Ced. 641,19—21. — 21. Τῷ δ' αὐτῷ ἔτει (β') ἐφ. ἀ. ἐν τῇ ἀνατολῇ κομήτης ὃς εἶχεν ἀκτῖνας ἐκπεμπούσας ἐπὶ τὰ κάτω αὐγάς, ὃν ἔλεγον πωγωνίαν εἶναι εἶχε δὲ ἀκτῖνα ὁρῶσαν ἐπὶ δύσιν Ced. 638,3—5. — 23. Ced. 640,10—22 (τῷ η' ἔτει) Ced. 641,21—73. — φ. ὑφ' οὗ τῇ μὲν Κ. Π. ἐν δ. τ. τῇ δὲ Ἀντιοχείᾳ συμφορὰ ἀνεκδιή-

πάθος ἔπαθεν ἀνεκδιήγητον ὡς καταποθῆναι πᾶσαν σχεδὸν τὴν πόλιν καὶ τάφον γενέσθαι τῶν οἰκητόρων. Τινὲς δὲ καταχωσθέντες καὶ ἔτι ζῶντες ὑπὸ τὴν γῆν ἔκραζον. Καὶ ἐξελθὸν πῦρ ἀπὸ τῆς γῆς τούτους κατέφλεξε. (Ὁμοίως) καὶ ἕτερον πῦρ ἐκ τοῦ οὐρανοῦ κατήρχετο καθάπερ σπινθῆρες καὶ κατέκαιεν ὥσπερ ἀστραπὴ τὸν εὑρισκόμενον.

(9) Ἡ δὲ Πομπηιούπολις τῆς Μυσίας διαῤῥαγεῖσα μέσον, καὶ τὸ ἥμισυ καταποθὲν μετὰ τῶν οἰκητόρων, ἔκραζον ὑπὸ τὴν γῆν ἐλεηθῆναι ζητοῦντες· καὶ διέμεινεν ἡ γῆ σειομένη ἐναυτὸν ὅλον.

(10) Καὶ γυνή τις ἀνεφάνη γιγαντιαῖα ἐκ Κιλικίας οὖσα ὑπερέχουσα τῇ ἡλικίᾳ ἅπαντα ἄνθρωπον πῆχυν ἕνα καὶ πλατεῖα (ἦν) σφόδρα, ὥστε θαυμάζειν τοὺς ὁρῶντας αὐτήν· καὶ ἐν τοῖς ἐργαστηρίοις καὶ οἴκοις ἐδίδουν αὐτῇ ἀνὰ ὀβολοῦ.

(11) Ὁ αὐτὸς βασιλεὺς πολλὰ ἐφιλοφρονήσατο τὴν πόλιν Ἀντιόχειαν πρὸς οἰκοδομὴν καὶ τοὺς ἐν αὐτῇ ζῶντας ὑπολειφθέντας. Τοσοῦτον δὲ ἐπ' αὐτὴν ἤλγησεν, ὡς καὶ τὸ διάδημα ἀποθεῖναι καὶ τὴν πορφύραν καὶ σάκκον καὶ σποδὸν περιβαλέσθαι καὶ πενθῆσαι ἐπὶ πολλὰς ἡμέρας.

(14) Ἐτελεύτησε δὲ καταλιπὼν τὴν βασιλείαν Ἰουστινιανῷ τῷ ἀνεψιῷ.

(13) Ἰουστῖνος ἀνεκαλέσατο πάντας (ἱερεῖς καὶ ἄνδρας 518

γητος προεμηνύθη — ὥστε πτωθῆναι σχ. π. τὴν π. καὶ τ. τῶν ὀ. γ. τινὰς δὲ ἀναχωσθέντας καὶ ἔτι ζώντας ὑπὸ τὴν γῆν πῦρ ἐξ. ἐκ τῆς γῆς κ. Ced. 640,10—20.

5. ἄειρος ὡς σπ. κ. Ced.—σπινθὴρ ἐπὶ cod.—6. τοὺς εὑρισκομένους Ced.—7. Τῷ δ' ἔτει — ἀλλὰ καὶ ἡ Π. Ced. 641,21—23. — μ. κατεπόθη μετὰ τῶν ὀ. καὶ ἐ. Ced. τοῦ ἡμίσους καταποθέντος?— 9. ὄντες οἱ ἀνοι τὸ ἐλεήσατε· Ced. cf. 640,22: ἐσείετο δὲ ἡ γῆ ἐπὶ ἐν. ἕνα. — 11. π. τῆς γιγαντιαίς γυναικὸς rubrica codicis. Ced. 640,5—8: Τῷ δ' αὐτῷ ἔτει (ε') ἐφ. γ. τις ἐκ τῆς Κ. γιγαντογενὴς, ὑπ., om. Serb. Bulg.? ὥστε — ἡμέρας. — 13. σφ. γυρεύουσα δὲ τὰς πόλεις ἐλάμβανε κατὰ ἐργαστήριον φόλλιν μίαν Ced. — 15. ὀβολόν cod. — 16. Ἀγγελθέντος δὲ τοῦ παίδους ὁ μὲν β. μεγάλως ἠ. τὴν ψυχὴν καὶ ῥίψας τὸ δ. καὶ τὴν π. ἐπένθει ἐν σάκκῳ καὶ σποδῷ ἡ π. κτλ. Ced. 641,9—19, om. Serb. Bulg.? — 21. Ced.642,1—3. — 23. Ἀν. δὲ καὶ π. τοὺς ἀ. ὑπὸ Ἀναστασίου ἐξορισθέντας Ced. 638,1 (ἔτει α').

εὐσεβεῖς καὶ ὀρθοδόξους) οὓς Ἀναστάσιος ἀδίκως ἐξώρισεν.

525 (14) Ἐπὶ αὐτοῦ Ἔδεσα πόλις, Σκιρτοῦ ποταμοῦ μέσον αὐτῆς διερχομένου καὶ πλοῦτον καὶ τέρψιν αὐτῇ παρεχομένου, πλημμυρήσας ταύτην σὺν τοῖς συνοίκοις ἐπόντισεν. Μετὰ δὲ τὸ παύσασθαι τὰ ὕδατα (137ª) πλὰξ λιθίνη εὑρέθη ἐν τῇ τοῦ ποταμοῦ ὄχθῃ ἱερογλυφικοῖς γράμμασιν ἐγκεκολαμμένη περιέχουσιν οὕτως· «Σκιρτὸς ποταμὸς σκιρτήσει κακὰ σκιρτήματα (πόλει καὶ) πολίταις».

(15) Εὐλαλίου τινὸς ἀπὸ πλουσίων πένητος τελευτήσαντος καὶ γράψαντος ἐν διαθήκῃ Ἰουστῖνον κληρονόμον καὶ παρακελευσαμένου ὥστε τὰς γ' θυγατέρας αὐτοῦ μικρὰς καταλειφθείσας ἀναθρέψαι καὶ ἐκπροικίσαι τὸν βασιλέα καὶ πάντα αὐτοῦ τὰ χρέα δοῦναι τοῖς χρεωφειλέταις καὶ τὰ γραμματεῖα (αὐτοῦ) ἀναῤῥύσασθαι, ἅπερ πάντα βασιλικῶς Ἰουστῖνος ἐξέστειλε, καταπλήξας ἐν τούτῳ ἅπαντα ἀκούσαντα ἄνθρωπον.

CCXVII. ΒΑΣΙΛΕΙΑ ΙΟΥΣΤΙΝΙΑΝΟΥ.

527 Μετὰ Ἰουστῖνον ἐβασίλευσε Ἰουστινιανὸς ὁ ἀνεψιὸς αὐτοῦ, ἔτη λθ', ὃς ἀνακαινίσας τὴν μεγάλην ἐκκλησίαν τὴν ἁγίαν Σοφίαν εἰς κάλλος καὶ μέγεθος, πρότερον κτισθεῖσαν ὑπὸ Κωνσταντίου, υἱοῦ Κωνσταντίνου τοῦ μεγάλου, παρέδωκε καὶ τροπάριον ἐν τῇ ἐκκλησίᾳ ψάλλεσθαι, οὗ ἡ ἀρχή· «Ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ θεοῦ.

---

3. Τῷ ζ' ἔτει — κατεποντίσθη Ἔ. — διὰ τοῦ ὕδατος τοῦ μ. ἀ. (αὐτοῦ cod.) θ. Σ. π. ὃς πλ. δίκην θαλάσσης τοὺς οἴκους σὺν τοῖς οἰκοῦσι σύρων ἐπ. κτλ. Ced. 639, 20—640.5. — 6. παῦσαι Ced. — ἐ. π. λ. ἐν τῇ ὀ. τοῦ π. γεγραμμένη ἰ. γ. ὀ. Ced. — 10. Τούτῳ τῷ Ἰουστίνῳ Εὐλάλιός τις ἀ. π. γενόμενος πένης ἐν τῷ μέλλειν αὐτὸν ἀποβιῶναι ἔγραψεν ἐνδιαθήκως πλ. Ἰ. παρακελευσάμενος ὡ. τ. γ' ἀ. θ. Ced. 637,2—9. — 14. ἀποδ. Ced. — χρεωστουμένοις Ced. δανεισταῖς Leo. — 15. ἁ. β. π. Ced. π. β. Leo. — 16. ἐπλήρωσε Ced. Leo. — π. ανον τὸν ἀκ. Ced. — 18. π. τῆς βασιλείας Ἰ. τοῦ μεγάλου M. 2, π. τῆς β. Ἰουστίνου τοῦ μ. Par. 1706. — 20. Τούτου τῷ β' ἔτει ἀνεκαίνισεν ἐκ θεμελίων Ἰ. τὴν τοῦ θῦ μ. ἐ. εἰς κ. καὶ μ. ὑπὲρ τὸ πρ. παραδοὺς τρ. αὐτῇ ὑπ' ἀ. μελισθὲν ψ. Ὁ μ. ὓς καὶ λ τοῦ θῦ Ced. 650,12—15.

(2) Οὗτος ἐποίησε καὶ τὰς νεαρὰς διατάξεις, ἐκφω- 528.
νήσας καὶ τύπον περί τε ἐπισκόπων καὶ ξενοδόχων καὶ οἰ- 529
κονόμων καὶ ὀρφανοτρόφων, ὥστε μὴ κληρονομεῖσθαι πλὴν ἃ πρὸ τοῦ γενέσθαι ἐκέκτηνται.

(3) Ἡ δὲ Ἀντιόχεια σειομένη οὐκ ἐπαύετο μέχρις οὗ ἐφάνη θεοσεβεῖ ἀνθρώπῳ γράψαι εἰς τὰ πρόθυρα τῶν φλιῶν· «Χριστὸς μεθ' ἡμῶν· στῆτε». Ἔστη δὲ ἡ ὀργὴ τοῦ θεοῦ καὶ ἔκτοτε ἐκλήθη ἡ πόλις Θεούπολις*.

(4) Καὶ ἡ ὑπαπαντὴ μετηνέχθη καὶ ἔλαβεν ἀρχὴν ἑορτά- 542
ζεσθαι Φεβρουαρίῳ μηνὶ εἰς τὴν β', γενομένη πρότερον τῇ ιδ' τοῦ αὐτοῦ μηνός, ἥτις οὐκ ἐστιν ἐναριθμουμένη ταῖς δεσποτικαῖς ἑορταῖς. Ὁ γὰρ θεῖος Χρυσόστομος οὕτως λέγει· «Ἐποίησεν ὁ θεὸς τὰ ἔργα αὐτοῦ πάντα, καθὼς γέγραπται», τῇ δὲ ζ' κατέπαυσεν»· διὸ καὶ ἐπ' ἐσχάτου τῶν ἡμερῶν ὁ τοῦ θεοῦ λόγος «ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλὸς» εὐδόκησεν καὶ ἐνανθρωπήσας τὸν αὐτὸν τρόπον κατὰ τὸν ἀριθμὸν τῶν ἡμερῶν τῆς κοσμοποιΐας τὰς ἑορτὰς παρέδωκεν ἡμῖν τῆς αὐτοῦ οἰκονομίας· καὶ πρώτη μέν ἐστι καὶ ῥίζα τῶν ἑορτῶν τοῦ Χριστοῦ ἡ κατὰ σάρκα ἐκ τῆς παρθένου Μαρίας μετὰ τὴν συλληψιν γέννησις, δευτέρα δὲ ἡ ἐπιφάνεια, τρίτη δὲ ἡ τοῦ σωτηρίου πάθους ἡμέρα, τεταρτη ἡ ὑπερένδοξος ἀνάστασις, καθ' ἣν ἐν τοῖς καταχθονίοις γενόμενος ὁ σωτὴρ καὶ λυτρωτὴς πάντων συνανέστησεν ἑαυτῷ τοὺς δικαίους καὶ τοὺς πιστεύσαντας, ε' δὲ ἡ πρὸς οὐρανοὺς ἀνάληψις αὐτοῦ ὡς καὶ ἐν ε' τῆς ἑβδομάδος ἐγένετο ἡμέρα· ς' ἡ τῆς ἐπιφοιτήσεως ἡμέρα τοῦ ἁγίου πνεύματος, ζ' δὲ ἡ προσδοκωμένη τῆς καθολικῆς ἀναστάσεως τῶν νεκρῶν μεγάλη καὶ ἀδιάδοχος ἡμέρα. Τότε γὰρ ἑορτάσουσιν ὄντως μετὰ πολλῆς χαρᾶς καὶ εὐφροσύνης οἱ μέλλοντες

---

1. Τοὺς δὲ παλαιοὺς νόμους πάντας ἀνενέωσε, ποιήσας μονόβιβλον ὃ καὶ ν. δ. ἐκάλεσε Cod. 646,3,4. — 5. Ἐφ. δέ τινι θ. ἀ. ἐν ὁρίματι εἰπεῖν πᾶσιν ἵνα ἐπιγράψωσιν εἰς τὰ ὑπέρθ. αὐτῶν Cod. 646,16—21. — 8. Καὶ τούτου γενομένου ἐ. ἡ ὁ τοῦ θῦ καὶ πάλιν ὁ βασιλεὺς καὶ ἡ Αὐγοῦστα πολλὰ ἐδωρήσαντο χρήματα εἰς ἀνακαινισμὸν τῆς Ἀντιόχου πόλεως καὶ μετωνόμασαν αὐτὴν Θεούπολιν Cod. — * ἐφ' οὗ ἡ Ἀντιόχεια Θεούπολις ἤρξατο προσαγορεύεσθαι cod. in textu e margine, ut videtur. — 12. Spuria III. 783 C—784 A. Ex. XX. 11. Luc. XIX. 10.

κληρονομεῖν «ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν» Καὶ ταῦτα μὲν ὁ Χρυσόστομος.

545 (5) Μετὰ δὲ ταῦτα ἐπὶ τῆς βασιλείας Ἰουστινιανοῦ ἐξελθοῦσα ἡ θάλασσα ἐκ τῶν ὁρίων αὐτῆς ἐπὶ μιλια γ' πρὸς τὰ μέρη τῆς Θράκης χωρία πολλὰ καὶ προαστεῖα ἐξαφανίσασα, ἀνθρώπους δὲ ἀναριθμήτους ἀποπνίξασα, πάλιν ὑπέστρεψε.

532 (6) Καὶ ὁ δῆμος ἀνταίρας τὸ λεγόμενον πρασινοβένετον καὶ πολλὴν ἀταξίαν καὶ ἁρπαγὴν καὶ σφαγὴν καὶ ἐμπρησμὸν ἐν τῇ πόλει, (137[b]) ἀναγορεύουσι βασιλέα Ὑπάτιον ἐν τῷ ἱππικῷ. Πολλοῦ δὲ λαοῦ συνδραμόντος καὶ τοῦ ἱππικοῦ πληρωθέντος, προσέταξε Ἰουστινιανὸς τὸν λαὸν αὐτοῦ καὶ τὸν στρατόν *. Καὶ οἱ μὲν ἄνωθεν, οἱ δὲ κάτωθεν τοῦ καθίσματος τοξεύοντες, ἀπέκτειναν χιλιάδας λ', ἐν οἷς καὶ τὸν Ὑπάτιον χειρωσάμενος ἀνεῖλεν ὡς βασιλικὸν διάδημα φορέσαντα.

CCXVIII. ΠΕΡΙ ΤΗΣ Ε' ΣΥΝΟΔΟΥ **.

553 Καὶ ἡ ε' γέγονε σύνοδος τῶν ρξε πατέρων ἔτει τῆς αὐτοῦ βασιλείας Ἰουστινιανοῦ φημὶ τοῦ μεγάλου κς' ἐπὶ Βιγιλίου τοῦ ἁγιωτάτου πατριάρχου Ῥώμης διὰ λιβέλλου τὴν ὀρθὴν πίστιν κυροῦντος, ἧς ἡγοῦντο Εὐτύχιος Κ. Π., Ἀπολιναρίος Ἀλεξανδρείας ***, Δόμνος Ἀντιοχείας, (Στέφανος ἐπίσκοπος Ῥαφίας, Γεώργιος ἐπίσκοπος τῆς Τιβεριωτῶν πόλεως) τοποτερητήσαντες δὲ Εὐτυχίου Ἱεροσολύμων, κατ' Ὠριγένους καὶ τῶν τὰ ἐκείνου ἀσεβῆ δόγματα διαδεξαμένων, Διδύμου **** καὶ Εὐαγρίου τῶν παλαι ἀκμασάντων

---

1. 1 Cor. II. 9. — 4. Ced. 637,15—19: Τῷ ιη' ἔτει ἐπανέστη ἡ θ. τῇ Θράκῃ ἐπὶ μ. δ' καὶ ἐκάλυψεν αὐτὴν ἐπὶ τὰ μ. Ὀδησσοῦ καὶ Διονυσιούπολιν καὶ τὸ Ἀφροδίσιον καὶ πολλοὶ ἐπνιγήσαν κτλ. — 8. Τῷ ε' ἔτει γέγονεν ἡ ἀνταρσία τοῦ λεγομένου Νίκα καὶ ἔτρεψαν οἱ τῶν δήμων β. Ὑ. τὸν συγγενῆ Ἀναστασίου τοῦ βασιλέως κτλ. Ced. 647,11—648,21. — * εἰς τὸ ἱππικόν? — 16. Rubrica M. 2, Par. 1706, deest in codice. — ** Ἀπὸ τῆς δ' σύνοδου μέχρι τῆς ε' ἔτη ρβ' codicis glossa, Ced. 660,1. — 17. Τῷ κε' τῆς μ. Ἰ. γ. ἡ ἁγία καὶ οἰκουμενικὴ ε' σ. τῶν ρξε' ἁγίων π. ἐν Κ. Π. ἐπὶ Ced. 659,18—660,12. — *** καὶ Ced. — ἔτει — Ἱεροσολύμων om. Slav. — 21. Ἀντ. τοποτηρητὴς δὲ Εὐτύχιος Ἱερ. κατὰ Σευήρου τοῦ ἀκεφάλου καὶ δυσσεβοῦς — ἀλλὰ καὶ κατὰ τοῦ παράφρονος Ὠ. Ced. — **** τοῦ ἀπὸ ὀμμάτων Ced.

καὶ τῶν ἐκτεθέντων παρ' αὐτοῖς κεφαλαίων, ἐν οἷς ἐληρώδουν προϋπάρχειν τὰς ψυχὰς τῶν σωμάτων, ἐξ Ἑλληνικῶν ὁρμώμενοι δογμάτων, τὴν μετεμψύχωσιν δοξάζοντες καὶ τέλος εἶναι τῆς κολάσεως καὶ σώματα ἡμῶν μὴ ἀνίστασθαι τὰ αὐτὰ ἐν τῇ ἀναστάσει, καὶ τὴν τῶν δαιμόνων εἰς τὸ ἀρχαῖον ἀποκατάστασιν, τὸν * παράδεισον ἀλληγοροῦντες καὶ μή (τε) γεγενῆσθαι μήτε εἶναι ἀπὸ θεοῦ αἰσθητὸν παράδεισον, μήτε (δὲ) ἐν σαρκὶ πλασθῆναι τὸν Ἀδάμ· ἅτινα δόγματα ἕως χρόνου τὸ πλέον ἐκρύπτετο, εἰς πλῆθος δὲ ἐπιδιδόντα καὶ πολλὰ τὴν ἐκκλησίαν λυμαινόμενα, τηνικαῦτα στηλιτευθέντα ἀνεθεματίσθησαν.

(2) Ἔτι δὲ καὶ κατὰ Θεοδώρου τοῦ Μόψου ἐστίας, διδασκάλου γεγονότος ** Νεστορίου τοῦ ἰουδαιόφρονος ἀνεθεμάτισαν μετὰ τῆς λεγομένης Ἴβα ἐπιστολῆς, καί τινων συγγραμάτων Θεοδωρήτου τοῦ ἐπισκόπου Κύρου συγγραφέντων κατὰ τῶν ιβ' κεφαλαίων τοῦ μακαρίου Κυρίλλου.

(3) Τὸ δὲ γράμμα τοῦ βασιλέως *** πρὸς τὴν **** σύνοδον περιεῖχεν οὕτως· «Περὶ μὲν οὖν Ὠριγένους καὶ τῶν ὁμοφρόνων αὐτοῦ σπουδὴ γέγονεν ἡμῖν καὶ ἔστιν ἀτάραχον τὴν ἁγίαν τοῦ θεοῦ (καθολικὴν) καὶ ἀποστολικὴν ἐκκλησίαν διαφυλάττεσθαι ***** καὶ τὰ ὅπως οὖν ἀναφυόμενα τῇ ὀρθοδόξῳ πίστει ἐναντία κατακρίνεσθαι· ἐπεὶ τοίνυν διέγνωσται ἡμῖν ὡς τινες ἐν Ἱεροσολύμοις εἰσὶ μοναχοὶ δήπουθεν Πυθαγόρᾳ καὶ Πλάτωνι καὶ Ὠριγένει τῷ (καὶ) Ἀδαμαντίῳ καὶ τῇ τούτων δυσσεβείᾳ καὶ πλάνῃ κατακολουθοῦντες καὶ διδάσκοντες, δεῖν ᾠήθημεν φροντίδα καὶ ζήτησιν ποιήσασθαι περὶ τούτων, ἵνα μὴ τέλειον διὰ τῆς Ἑλληνικῆς καὶ Μανιχαϊκῆς ἀπάτης αὐτῶν πολλοὺς ἀπολέσωσι· λέγουσι γὰρ, ἵνα ἐκ τῶν πολλῶν ὀλίγα μνημονεύσωμεν, ὅτι νόες ἦσαν δίχα παντὸς ἀριθμοῦ τε καὶ ὀνόματος, ὡς ἑνάδα πάντων εἶναι τῶν λογικῶν τῇ ταυτότητι τῆς οὐσίας καὶ ἐνεργείας καὶ τῇ δυνάμει τῇ πρὸς θεὸν λόγον ἑνώσει τε καὶ γνώσει· καὶ ὡς κόρον αὐτῶν λαβόντων τῆς θείας ἀγάπης καὶ θεω-

3. δοξαζόντων τέλος τε τῆς Ced. — * δὲ Ced. — 6. ἀλληγορούντων Ced. — 7. ὑπὸ τοῦ θῦ Ced. — 9. πολλοὺς τῆς ἐκκλησίας Ced. — 10. ἀναθεματίσαντες cod.— 11. Ced. 660,13—18. — ** τοῦ Ced. — 16. Ced. 660,19—663,24. — *** Ἰουστινιανοῦ Ced. — **** ἁγίαν Ced. — ***** δίκαιον Ced. — 30. λαμβανόντων Ced.

ρίας, κατ' ἀναλογίαν τῆς ἐπὶ τὸ χεῖρον ἑκάστου τροπῆς λεπτομερῆ τε ἢ παχύτερα σώματα ἀμφιάσασθαι καὶ ὀνόματα κληρώσασθαι, κἀντεῦθεν τὰς οὐρανίους καὶ λειτουργικὰς ὑποστῆναι δυνάμεις· ἀλλὰ μὴν καὶ ἥλιον καὶ σελήνην καὶ τοὺς ἀστέρας καὶ αὐτὰ τῆς αὐτῆς τῶν (138ᵃ) λογικῶν ἑνάδος ὄντα, [ἐκ τῆς] ἐπὶ τὸ χεῖρον τροπῆς τοῦτο γεγονέναι ὅπερ εἰσί· τὰ δὲ ἐπὶ πλεῖον τῆς θείας (ἀγάπης) ἀποψυγέντα λογικὰ ψυχὰς ὀνομασθῆναι καὶ σώμασι παχυτέροις τοῖς καθ' ἡμᾶς ἐμβληθῆναι· τὰ δὲ ἐπὶ τὸ ἄκρον τῆς κακίας ἐληλακότα ψυχροῖς καὶ ζοφεροῖς ἐνδεθῆναι σώμασι, καὶ δαίμονας γεγονέναι τε καὶ ὀνομασθῆναι· καὶ ὅτι ἐξ ἀγγελικῆς μὲν καταστάσεως ψυχικὴ γίνεται κατάστασις, ἐκ* τῆς ψυχικῆς δαιμονιώδης τε καὶ ἀνθρωπίνη· ἕνα δὲ** νοῦν ἐκ πάσης τῆς ἑνάδος τῶν λογικῶν ἀκλόνητον μεῖναι καὶ ἀκίνητον τῆς θείας ἀγάπης καὶ θεωρίας, ὡς καὶ (ὁ) Χριστὸς βασιλεὺς καὶ ἄνθρωπος γεγονέναι· καὶ ὅτι παντελὴς ἔσται τῶν σωμάτων ἀναίρεσις, αὐτοῦ τοῦ Κυρίου πρώτου ἀποτιθεμένου τὸ ἴδιον σῶμα καὶ τῶν λοιπῶν ἁπάντων, καὶ ὅτι ἀνακομίζονται πάλιν ἅπαντες εἰς τὴν ἑαυτῶν ἑνάδα καὶ γίνονται νόες, καθὰ καὶ ἐν τῇ προϋπάρξει ἐτύγχανον, ἀποκαθισταμένων δηλονότι καὶ αὐτοῦ τοῦ διαβόλου καὶ τῶν λοιπῶν δαιμόνων εἰς τὴν αὐτὴν ἑνάδα καὶ τῶν ἀσεβῶν καὶ ἀθέων ἀνθρώπων μετὰ τῶν θείων καὶ θεοφόρων ἀνδρῶν καὶ τῶν οὐρανίων δυναμέων καὶ τὴν αὐτὴν ἐξόντων ἕνωσιν πρὸς τὸν θεὸν ὁποίαν ἔχει καὶ Χριστός, καθὼς καὶ προϋπῆρχεν, ὡς μηδεμίαν εἶναι διαφορὰν τῷ Χριστῷ πρὸς τὰ λοιπὰ λογικὰ παντελῶς, οὔτε τῇ οὐσίᾳ, οὔτε τῇ γνώσει, οὔτε τῇ δυνάμει, οὔτε τῇ ἐνεργείᾳ. Ὁ γὰρ*** Πυθαγόρας ἀρχὴν τῶν πάντων ἔφησεν εἶναι τὴν μονάδα, καὶ πάλιν Πυθαγόρας] καὶ Πλάτων δῆμόν τινα ψυχῶν ἀσωμάτων εἰπόντες καὶ τὰς ἁμαρτάδι τινὶ περιπεσούσας τιμωρίας χάριν εἰς σώματα καταπέμπεσθαι λέγουσιν, ὅθεν ὁ Πλάτων δέμας τὸ σῶμα καὶ σῆμα ἐκάλεσεν, ὡς ἐν τούτῳ τῆς ψυχῆς δεδεμένης καὶ τεθαμμένης· (σῆμα γὰρ τὸ μνῆμα). Εἶτα

---

1. ἐπὶ τὸ χ. τῆς cod. — λεπτομερέστερα ἢ καὶ π. Ced. — 5. τὰ χείρω Ced. — 7. ὁ. τὰ δὲ ἐπὶ τὸ ἄκρον χύτροις cod. ex seqq. — 9. ὁ. ὁ. γενόμενα Ced. — * δὲ Ced. — ** μόνον Ced. — 15. ἔστι Ced. — 17. αὐτὴν Ced. — 18. ἢ codex. Ced. — *** τοι Ced. — 29. σχῆμα cod. — Phaedon 33 p. 82 E? ὡς οἱονεὶ τῆς ψ. ἐν τ. Ced.

περὶ τῆς ἑπομένης κρίσεως καὶ ἀνταποδόσεως τῶν ψυχῶν αὖθις φησίν· «Ἡ μὲν παιδαρεστήσαντος καὶ κακῶς βιώσαντος μετὰ φιλοσοφίας ψυχὴ» — «τρίτῃ περιόδῳ τῇ χιλιετεῖ» ἔᾶται κολασθεῖσα καὶ «οὕτω πτερωθεῖσα τῷ χιλιοστῷ ἔτει (ἐκβάλλεται καὶ) ἀπέρχεται· αἱ δὲ ἄλλαι ὁπόταν τόνδε τὸν βίον τελέσωσιν», — «αἱ μὲν εἰς τὰ ὑπὸ τῆς γῆς δικαιωτήρια ἐλθοῦσαι δίκην ἅμα καὶ λόγον τίσουσιν· αἱ δὲ εἰς τὸν οὐρανόν τινα τρόπον κουφισθήσονται καὶ ὑπὸ τῆς δίκης διαίξουσιν καθὼς ἐβίωσαν». — Οὗ τὴν ἀτοπίαν τοῦ λόγου καταμαθεῖν ῥᾴδιον· τίς γὰρ αὐτὸν ἐδίδαξε τὰς τῶν ἐτῶν περιόδους καὶ χιλιάδας; καὶ ὅτι χιλίων διελήλυθότων ἐτῶν, τότε τῶν ψυχῶν ἑκάστη εἰς ἴδιον ἀπέρχεται χῶρον; τὰ δὲ μεταξὺ τούτων οὐδὲ τοῖς ἄγαν ἀσελγεστάτοις ἥρμοττε λέγειν, μήτοιγε φιλοσόφῳ τοιούτῳ. Τοῖς γὰρ τὴν ἀκραιφνῆ πολιτείαν κατορθωκόσι τοὺς ἀκολάστους [καὶ] παιδεράστας συνέξευξε, καὶ τούτους κἀκείνους τῶν αὐτῶν (ἄθλων) ἔφησεν ἀπολαύσεσθαι. Πυθαγόρας τοίνυν καὶ Πλάτων καὶ Πλωτῖνος καὶ οἱ τῆς ἐκείνων συμμορίας ἀθανάτους εἶναι τὰς ψυχὰς συνομολογήσαντες, προϋπάρχειν ἔφησαν τῶν σωμάτων, καὶ δῆμον εἶναι ψυχῶν καὶ τὰς πλημμελούσας εἰς σώματα καταπίπτειν, ὡς ἔφην, καὶ τοὺς μὲν πικροὺς καὶ πονηροὺς [εἰς λύκους], τοὺς δὲ δολεροὺς εἰς ἀλώπεκας, τοὺς δὲ θηλυμανεῖς εἰς ἵππους. (138[b]) Ἡ δὲ ἁγία ἐκκλησία τοῖς θείοις ἑπομένη λόγοις φάσκει τὴν ψυχὴν συνδημιουργηθῆναι τῷ σώματι· καὶ οὐ τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον κατὰ τὴν Ὠριγένους φρενοβλάβειαν. Διὰ ταῦτα οὖν τὰ πονηρὰ καὶ ὀλέθρια δόγματα, μᾶλλον δὲ ληρήματα, προτρέπομεν τοὺς ὁσιωτάτους ὑμᾶς εἰς ἓν συνηγμένους ἐπιμελῶς ἐντυχεῖν τῇ ὑποτεταγμένῃ ἐκθέσει καὶ ἕκαστον τῶν αὐτῶν κεφαλαίων κα-

---

2. Ἡ τοῦ φιλοσοφήσαντος ἀδέλως ἢ π. μετὰ φ. Phaedrus 249 A. — 3. κολασθῆναι Ced. — 4. τρις χ. Pl. — 5. ὅταν τὸν πρῶτον β. τελευτήσωσι Pl. — 6. ὑπὸ γῆς Pl. ὑπὸ γῆν Ced. — 8. ἐκτίνουσι Plato. — 7. τ' οὐρανοῦ Plato, οὐράνιον Ced. — ὑ. τῆς δ. κουφισθεῖσαι διάγουσιν ἀξίως οὗ ἐν ἀνθρώπου εἴδει ἐβίωσαν βίου Plato, κουφισθεῖσαι ὑ. τῆς δ. δ. ἀξίως κ. ἐβ. Ced. — 8. ἀποτομίαν cod. — 13. τίς γὰρ — κατορθωκὼς τοῖς κτλ. cod. — 18. ψ. κατὰ πλ. cod. — 19. εἰς π. τοὺς δὲ ἁρπακτικοὺς Ced. cf. Phaedonem 82 A: τοὺς δὲ γε ἀδικίας τε καὶ τυραννίδος καὶ ἁρπαγὰς προτετιμηκότας εἰς τὰ τῶν λύκων τε καὶ ἱεράκων καὶ ἰκτίνων γένη. — 23. γοῦν Ced. — 26. αὐτοῦ Ced.

τακρῖναι τε καὶ ἀναθεματίσαι μετὰ τοῦ δυσσεβοῦς Ὠριγένους καὶ πάντων τῶν τὰ τοιαῦτα φρονούντων ἢ φρονησόντων εἰς τέλος».

(4) Ἅπερ δὴ λοιπὸν ἡ σύνοδος ἀκούσασα, καὶ πάντα βασανίσαντες οἱ θεῖοι πατέρες ἐξεβόησαν· «Ἀναθεματίζομεν ὅλα ταῦτα καὶ πάντας τοὺς τὰ τοιαῦτα φρονοῦντας ἢ φρονήσοντας μέχρι τέλους».

(5) Ὡσαύτως δὲ καὶ [περὶ] Θεοδώρου [τοῦ] Μόψου ἑστίας καὶ τῶν λοιπῶν οὕτω πάλιν φησὶν ὁ βασιλικὸς τύπος· «Σπουδὴ γέγονε τοῖς ὀρθοδόξως καὶ εὐσεβῶς προβεβασιλευκόσι τοῖς ἡμετέροις πατράσι τὰς κατὰ καιρὸν ἀναφυομένας αἱρέσεις διὰ συνόδων ὁσιωτάτων ἱερέων ἐκκόπτειν καὶ τῆς ὀρθῆς πίστεως καθαρῶς κηρυττομένης, ἐν εἰρήνῃ τὴν τοῦ θεοῦ ἁγίαν ἐκκλησίαν διαφυλάττειν· διόπερ καὶ Κωνσταντῖνος ὁ μέγας, Ἀρείου βλασφημοῦντος καὶ λέγοντος μὴ εἶναι τὸν υἱὸν ὁμόουσιον τῷ θεῷ καὶ πατρί, ἀλλὰ κτίσμα καὶ ἐξ οὐκ ὄντων γεγονέναι, συναγαγὼν ἐν Νικαίᾳ τοὺς τιη' πατέρας καὶ αὐτὸς ἐκεῖ παραγενόμενος καὶ τοῦ Ἀρείου καταδικασθέντος, ἐσπούδασε τὴν ὀρθόδοξον πίστιν κρατῦναι· δι' ἧς ὁμολογήσαντες οἱ θεῖοι πατέρες ὁμοούσιον εἶναι τῷ θεῷ καὶ πατρὶ τὸν υἱὸν (καὶ τὸ ἅγιον πνεῦμα) καὶ μέχρι νῦν ᾄδεται (καὶ πιστεύεται). Καὶ Θεοδόσιος δὲ ὁ πρεσβύτερος, Μακεδονίου ἀρνουμένου τὴν θεότητα τοῦ ἁγίου πνεύματος καὶ Ἀπολιναρίου τοῦ μαθητοῦ αὐτοῦ βλασφημοῦντος εἰς τὴν οἰκονομίαν τοῦ θεοῦ λόγου καὶ φάσκοντος νοῦν ἀνθρώπινον μὴ εἰληφέναι τὸν θεοῦ λόγον, ἀλλὰ σαρκὶ ἑνωθῆναι ψυχὴν ἄλογον ἐχούσῃ, συναγαγὼν ἐν Κωνσταντινουπόλει τοὺς ρν' πατέρας καὶ μετασχὼν καὶ αὐτὸς τῆς συνόδου, καὶ τῶν εἰρημένων καθαιρεθέντων καὶ ἀναθεματισθέντων αἱρετικῶν μετὰ καὶ τῶν δυσσεβῶν αὐτῶν δογμάτων καὶ ὁμοφρόνων, παρεσκεύασε κηρύττεσθαι (τὸ ὁμοούσιον καὶ) τὴν ὀρθόδοξον πίστιν (ἐτράνωσε). Θεοδό-

---

2. φρονησ. cod. bis. — 3. Ced. 664,1—4. — 4. ὅλοις τρύτοις μετὰ πάντων τῶν τὰ τ. φρονούντων ἢ φρονησόντων Ced. — 7. Ced. 664,5—670,11. σιθ' π. τοῦ αἱρετικοῦ Εὐτυχοῦς M. 1, π. αἱρεσιάρχου Ἐ. Par. 1706, ac si haec quintae synodi non fuissent; in codice margo. abscissus est. — 12. ἁ. τοῦ θῦ Ced. — 17. κρ. π. Ced. — 18. τὸν ῦν τῷ θεῷ καὶ πρι ἀλλὰ μὴ κτίσμα καὶ ἐξ οὐκ ὄντων γενονέναι, μ. νῦν ἁ. Ced. — ' τοῦ Ced. — 27. ἁσ. Ced. — π. τὴν ὀ. π. κηρ. καὶ Θ. Ced.

σιος δὲ ὁ νέος, τοῦ ἀσεβοῦς Νεστορίου λέγοντος ἄλλον εἶναι τὸν θεὸν λόγον καὶ ἄλλον τὸν Χριστὸν, καὶ τὸν μὲν φύσει υἱὸν τοῦ θεοῦ καὶ πατρὸς, τὸν δὲ χάριτι [υἱὸν] ἀσεβῶς [εἰσάγοντος καὶ τὴν ἁγίαν Μαρίαν εἶναι θεοτόκον ἀρνουμένου], συναγαγὼν τὴν προτέραν ἐν Ἐφέσῳ τῶν ἁγίων σ' πατέρων σύνοδον καὶ ἀποστείλας ἄρχοντας παρεῖναι ὀφείλοντας τῇ συνόδῳ [προσέταξε καὶ τὸν Νεστόριον παραγενέσθαι καὶ κρίσιν ἐπ' αὐτὸν γενέσθαι· καὶ δὴ] γενομένης ἀκριβοῦς ἐξετάσεως, κατεδίκασαν Νεστόριον καὶ ἀνεθεμάτισαν σὺν τοῖς ὁμόφροσιν αὐτοῦ. Τούτων δὲ οὕτω προελθόντων, ἐπαναστάντες Κυρίλλῳ τῷ ὁσιωτάτῳ * οἱ τῆς ἐξαγίστου Νεστορίου μερίδος, ἐσπούδασαν τόγε ἐπ' αὐτοῖς ἀνατρέψαι τὴν κατὰ Νεστορίου γενομένην κρίσιν. Ἀλλ' οὖν γε Θεοδόσιος ὁ βασιλεὺς ἀντιλαμβανόμενος τῶν ** ὀρθῶς κατὰ Νεστορίου (139ᵃ) καὶ τῶν πονηρῶν αὐτοῦ δογμάτων κριθέντων, παρεσκεύασε κρατεῖν δικαίως καὶ βεβαίως τὴν ἐπ' αὐτῷ γενομένην κρίσιν. Καὶ γὰρ πρὸς τούτοις καὶ ἄλλα τινὰ κατὰ τοῦ θείου Κυρίλλου πρὸς τὸν βασιλέα καταφλυαρήσαντος γράφει πρὸς αὐτὸν Κύριλλος τοιάδε· «Ἐπειδήπερ ἐπεθύμην, ὦ εὐσεβέστατε βασιλεῦ, τῶν φιλοψογεῖν εἰωθότων τινὰς ἀγρίων σφηκῶν δίκην περιβομβεῖν καὶ μοχθηροὺς ἐρεύγεσθαι κατ' ἐμοῦ λόγους, ὡς ἐξ οὐρανοῦ κατακομισθὲν καὶ οὔτι ἐκ τῆς ἁγίας παρθένου λέγοντος τὸ θεῖον σῶμα Χριστοῦ, καὶ μέντοι *** δύο υἱοὺς κατὰ Νεστόριον ὁμολογεῖν ἡμᾶς κατεφλυάρησαν, δεῖν ᾠήθημεν ὀλίγα περὶ τούτου πρὸς αὐτοὺς εἰπεῖν οὕτως· Ὦ ἀνόητοι καὶ μόνον εἰδότες συκοφαντεῖν, πῶς εἰς τοῦτο παρήχθητε γνώμης καὶ τοσαύτην νενοσήκατε μωρίαν; ἔδει γὰρ, (ἔδει) σαφῶς ἐννοεῖν, ὅτι σχεδὸν ἅπας ἡμῖν ὁ ὑπὲρ τῆς πίστεως ἀγὼν συγκεκρότητο διαβεβαιουμένοις, ὅτι θεοτόκος ἐστὶν ἡ ἁγία Μαρία· ἀλλ' ἐπείπερ ἐξ οὐρανοῦ καὶ οὐκ ἐξ αὐτῆς τὸ θεῖον γεγεννῆσθαι σῶμα **** λέγομεν, ὡς φατὲ, πῶς ἂν νοοῖτο θεοτόκος; Τίνι γὰρ ὅλως τέτοκεν εἰ μὴ ἐστιν ἀληθὲς, ὅτι γεγέννηκε κατὰ σάρκα

---

5. ὀφ. π. Ced.—πανοσ. Ced. — * πάπα cod. a prima manu. — 11. αὐτοὺς cod.—γεγενημ. Ced. — ** ὄντως Ced. — 14. γενναίως τὴν ἐπ' ἀ. γεγεννημένην Ced. βεβ. in n. P. — 16. καταφλυαρησάντων, γ. π. τὸν βασιλέα Κ. ταῦτα Ced. — 18. φιλολογεῖν Ced. — *** καὶ Ced. — 24. μανίαν Ced. — 27. γεγεννῆσθαι τὸ θ. Ced. — **** τοῦ χῦ Ced. — 28. φασὶ Ced.

τὸν Ἐμμανουήλ; γελάσθωσαν τοίνυν οἱ κατ' ἐμοῦ τοιαῦτα πεφλυαρηκότες. Οὐ γὰρ ψεύδεται λέγων ὁ θεσπέσιος Ἡσαΐας· «Ἰδοὺ, ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν»· «καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ [Ἐμμανουὴλ ὅ ἐστι μεθ' ἡμῶν ὁ θεός»· ἀληθεύει δὲ πάντως καὶ ὁ ἀρχάγγελος Γαβριὴλ πρὸς τὴν παρθένον εἰπών· «μὴ φοβοῦ Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τῷ θεῷ, καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρὶ καὶ τέξῃ υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ] Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν». Ὅταν δὲ λέγωμεν ἄνωθεν ἐξ οὐρανοῦ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν * οὐχ, ὡς ἄνωθεν ἐξ οὐρανοῦ κατενεχθείσης τῆς ἁγίας αὐτοῦ σαρκὸς, ταῦτα φαμὲν, ἀλλ' ὡς ἑπόμενοι τῷ ἁγίῳ Παύλῳ φάσκοντι· «Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκὸς, ὁ δεύτερος (ἄνθρωπος) ὁ Κύριος ἐξ οὐρανοῦ». Μεμνήμεθα ** καὶ *** τοῦ Κυρίου λέγοντος· «Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου», καίτοι γεγέννηται (ὡς εἴρηται) σάρκα ἐκ τῆς ἁγίας παρθένου λαβών. Ἐπειδὴ δὲ ὁ ἄνωθεν ἐξ οὐρανοῦ καταφοιτήσας θεὸς λόγος «κεκένωκεν ἑαυτὸν μορφὴν δούλου λαβὼν» καὶ κεχρημάτικεν ἀνθρώπου υἱὸς μετὰ τοῦ μεῖναι ὃ ἦν, τουτέστι θεός — ἄτρεπτος γὰρ καὶ ἀναλλοίωτος κατὰ φύσιν ἐστίν — ὡς εἷς ἤδη νοούμενος μετὰ τῆς ἰδίας σαρκὸς ἐξ οὐρανοῦ λέγεται κατελθεῖν. Ὠνόμασται δὲ καὶ ἄνθρωπος ἐξ οὐρανοῦ, τέλειος ὢν ἐν θεότητι, καὶ τέλειος ὁ αὐτὸς ἐν ἀνθρωπότητι καὶ ὡς ἐν ἑνὶ πρωσώπῳ νοούμενος — εἷς γὰρ Κύριος Χριστός — κἂν τῶν φύσεων ἡ διαφορὰ μὴ ἀγνοῆται, ἐξ ὧν τὴν ἀπόῤῥητον ἕνωσίν φαμεν πεπρᾶχθαι· τοιγαροῦν ὁμολογοῦμεν τὸν μονογενῆ υἱὸν τοῦ θεοῦ (καὶ) λόγον θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον, ἐκ ψυχῆς λογικῆς καὶ σώματος, πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένου κατὰ τὴν ἀνθρωπότητα, [ὁμοούσιον τῷ πατρὶ τὸν αὐτὸν κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρω-

---

1. οἱ ταῦτα καὶ τὰ τ. τὰ κατ' ἐ. Ced. — 2. κακάριος Ced. — Ies. VII. 14. — 5. Luc. I 30,31. — 7. Mt. I. 21. — * καὶ Ced. — 11. ἱερῷ Ced. — 1 Cor. XV. 47. — ** δὲ Ced. — *** αὐτοῦ Ced. — 13. Io. III. 13. — 15. κατὰ σ. ὡς ἐ. ἐκ τῆς ἁ. π. ἐπ. Ced. — 17. ἐ. ἐκένωσε μ. δ. λ. Phil. II. 7.

πότητα]· δύο γὰρ φύσεων (ἡ) ἕνωσις γέγονεν, ὅθεν ἕνα Χριστὸν, ἕνα υἱὸν, ἕνα Κύριον ὁμολογοῦμεν. Κατὰ γοῦν τὴν τῆς ἀσυγχύτου ἑνώσεως ἔννοιαν ὁμολογοῦμεν * τὴν ἁγίαν παρθένον ἀληθῶς θεοτόκον, διὰ τὸ τὸν θεὸν λόγον σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι καὶ ἐξ αὐτῆς συλλήψεως ἑνῶσαι αὐτῷ τὸν ἐξ αὐτῆς ληφθέντα ναόν· καὶ εἰ δοκεῖ, δεξώμεθα εἰς παράδειγμα τὴν καθ' ἡμᾶς αὐτοὺς σύνθεσιν καθ' ἣν ἐσμεν ἄνθρωποι· συντεθείμεθα γὰρ ἐκ ψυχῆς καὶ σώματος καὶ ὁρῶμεν φύσεις δύο, ἑτέραν μὲν τοῦ σώματος, ἑτέραν δὲ τῆς ψυχῆς; ἀλλ' εἷς ἐξ ἀμφοῖν (139^b) καθ' ἕνωσιν ἄνθρωπος, καὶ οὐχὶ τὸ ἐκ δύο φύσεων συντεθεῖσθαι δύο ἀνθρώπους, τὸν ἕνα νοεῖσθαι παρασκευάζει, ἀλλ' ἕνα τὸν ἄνθρωπον κατὰ (τὴν) σύνθεσιν, ὡς ἔφην, τὴν ἐκ ψυχῆς καὶ σώματος· ἐὰν γὰρ ἀνέλωμεν τὸ ὅτι ἐκ δύο καὶ διαφόρων φύσεων ὁ εἷς καὶ μόνος ἐστὶ Χριστὸς, ἀδιάσπαστος ὢν μετὰ τὴν ἕνωσιν, ἐροῦσιν οἱ δὶ ἐναντίας· «Εἰ μία φύσις τὸ ὅλον, πῶς ἐνηνθρώπησεν ἢ ποίαν ἰδίαν ἐποιήσατο σάρκα»; Τοὺς δὲ λέγοντας, ὅτι κρᾶσις ἢ σύγχυσις ἢ φυρμὸς ἐγένετο τοῦ θεοῦ λόγου πρὸς τὴν σάρκα, καταξιωσάτω σου ἡ θεοσέβεια προδήλως ἐπιστομίζειν». — Μετὰ ** ταῦτα, Κυρίλλου τελευτήσαντος, ἐπιφύεται μοναχός τις *** ἀρχιμανδρίτης Εὐτυχὴς ὀνομαζόμενος καὶ ἀποσπᾷ κατ' ὄπιν **** μέρος οὐκ ὀλίγον τοῦ λαοῦ κυρῶν κατὰ Νεστορίου καὶ τὸ ἑαυτοῦ πονηρὸν δόγμα, φάσκων μὴ εἶναι τὸ σῶμα τοῦ Κυρίου ἡμῖν ὁμοούσιον *****. Καὶ δὴ πάλιν μετ' ὀλίγον διὰ βασιλικῆς χειρὸς ἑτέρα σύνοδος ληστρικὴ ἐν Ἐφέσῳ καὶ οὐχ ὁσία γίνεται, παραπεμφθέντος ἐκεῖσε Φλαβιανοῦ Κωνσταντινουπόλεως, τὴν πᾶσαν ἐξουσίαν Διοσκόρου Ἀλεξανδρείας ἔχοντος· καὶ φονεύεται μὲν Φλαβιανὸς ὁ θεῖος, ὑπερμαχῶν τῆς ὀρθοδόξου πίστεως, ἀνατρέπεται δὲ ἡ ἐν Ἐφέσῳ πρώτη σύνοδος, ὑπογραψάντων φονικῇ βίᾳ τινῶν ἐπισκόπων, ἐξ ὧν ὑπῆρχε Βασίλειος ὁ Σελευκείας. Καὶντεῦθεν τῶν τοῦ Νεστορίου καὶ Διοσκόρου καὶ Εὐτυχοῦς δημοσιευομένων πονηρῶν

---

1. κ. ταύτην οὖν Ced. — * καὶ Ced. — ** δὲ Ced. — *** καὶ Ced. — **** αὐτοῦ 20. κυρ. τὰ N. cod. Ced. — 21. τὴν σάρκα τοῦ κῦ Ced. — ***** Περὶ τῆς ληστρικῆς συνόδου τῶν Ἀρμενίων, ἐχούσης Διόσκορον πατριάρχην Ἀλεξανδρείας καὶ Εὐτυχῆ ἀρχιμανδρίτην αἱρετικούς (Scholion). — 22. ὁ. διαβολικῆς ἰσχυσάσης χ. Ced. — 23. σ. ἐν Ἐ. λ. Ced.

δογμάτων καὶ πολλῆς ταραχῆς γενομένης καὶ ζάλης μαλίστης ἐν τῇ ἀνατολῇ, φονεύεται Προτέριος ὁ μέγας ἱερεὺς καὶ ἕτεροι πλεῖστοι. Τούτων οὖν οὕτως ἐχόντων, ἀνίσταται Θεόδεν Μαρκιανὸς ὁ βασιλεὺς * συναγαγὼν ἐν Χαλκηδόνι τὴν τῶν χλ' πατέρων σύνοδον, παρόντος Διοσκόρου καὶ Εὐτυχοῦς, μεθ' ὧν καὶ αὐτὸς πορευθείς, καταδικάζονται μὲν Διόσκορος, καὶ Εὐτυχὴς καὶ Νεστόριος καὶ πάλιν ἀναθεματίζονται, Θεοδώρητον δὲ καὶ Ἴβαν καὶ Βασίλειον Σελευκείας ἐδέξαντο καθυπογράψαντας· καὶ τῆς ληστρικῆς συνόδου ἀνατραπείσης καὶ ἀναθεματισθείσης, εἰς μίαν συμφωνίαν ἤγαγον πάντας οἱ θεῖοι πατέρες. — Τούτων δὲ τῶν δ' συνόδων οὕτω γενομένων καὶ ἐπιβεβαιωθεισῶν καὶ κρατουσῶν ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ, οἱ τὰ Νεστορίου φρονοῦντες ἐσπούδασαν αὖθις τὴν αἵρεσιν αὐτῶν κρατῦναι (διὰ) τῆς Θεοδώρου τοῦ Μόμψου ἑστίας ἀφορμῆς, πολλῷ χείρονα τοῦ αὐτοῦ μαθητοῦ Νεστορίου βλασφημήσαντος. Ὅθεν τοίνυν καὶ ἡμεῖς ἀκολουθοῦντες τοῖς ἡμετέροις πατράσι καὶ βουλόμενοι τὴν ὀρθὴν πίστιν ἀλώβητον διαφυλάττεσθαι, προτρέπομεν καὶ τούτου τὰς βλασφημίας διεξετάσαντες, κατ' αὐτοῦ καὶ τῶν ὁμοφρόνων αὐτοῦ ἀποφήνασθαι· πρὸς γὰρ ταῖς ἄλλαις ἀναριθμήτοις αὐτοῦ βλασφημίαις (ταῖς) εἰς τὸν Χριστὸν καὶ θεὸν γινομέναις, ἄλλον εἶναι τὸν θεὸν λόγον (ἔφη) καὶ ἄλλον τὸν Χριστὸν, ὑπὸ τῶν τῆς ψυχῆς παθῶν καὶ τῶν τῆς σαρκὸς ἐπιθυμιῶν ἐνοχλούμενον καὶ τῶν χειρόνων κατὰ μικρὸν ἀφιστάμενον, πρὸς τὰ κρείττονα τῇ προκοπῇ τῶν ἔργων ἐληλυθέναι *, τῇ ἀρίστῃ πολιτείᾳ γενόμενον ἄμωμον, καὶ ὡς ψιλὸν ἄνθρωπον ἐν ὀνόματι πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος βαπτισθῆναι καὶ διὰ τοῦ βαπτίσματος τὴν χάριν τοῦ ἁγίου πνεύματος εἰληφέναι καὶ υἱοθεσίας ἠξιῶσθαι [καὶ] καθ' ὁμοίωσιν βασιλικῆς εἰκόνος εἰς προτότυπον τοῦ θεοῦ λόγου ** προσκυνεῖσθαι (140ᵃ) καὶ μετὰ τὴν ἀνάστασιν ἄτρεπτον ταῖς ἐννοίαις καὶ ἀναμάρτητον γεγενῆσθαι· [καὶ πρὸς τούτοις εἶπε τοιαύτην γεγενῆσθαι] τὴν ἕνωσιν τοῦ θεοῦ λόγου πρὸς τὸν Χριστὸν, ὁποίαν ὁ ἀπόστολος ἔφη περὶ τοῦ ἀνδρὸς καὶ τῆς γυναικός· «Ἔσονται οἱ

---

1. γ. μάλιστα ἐν Ced. — * καὶ Ced. — 4. παρόντων Ced. — 14. μ. ἀ. Ced. — 17. διεξετάσαντας Ced. — 19. δυσφ. εἰς χν τὸν ϑν ἡμῶν γεν. Ced. — ** καὶ Ced. — 27. πρόσωπον Ced. — *** τὸν χν Ced. — 31. Eph. V. 31.

δύο εἰς σάρκα μίαν». Ἔτι δὲ προτρέπομαι ὑμᾶς ἐξετάσαι καὶ τὰ κακῶς γραφέντα παρὰ Θεοδωρήτου καὶ Ἴβα κατὰ τῆς ἐν Ἐφέσῳ συνόδου πρώτης καὶ ὁμοίως τὰ κατ' αὐτῶν ἀποφήνασθαι.

(6) Καὶ ταῦτα πάλιν ὡσαύτως οἱ θεῖοι πολυπραγμονήσαντες πατέρες ἀπεκρίθησαν· «Ἡ μὲν ἐν Χαλκηδόνι θεία σύνοδος Θεοδώρητον καὶ Ἴβαν πολλὰ καταβοήσαντας οὐκ ἄλλως αὐτοὺς ἐδέξατο εἰ μὴ πρότερον ἀνεθεμάτισαν τὰ ἴδια πονηρὰ συγγράματα καὶ Θεόδωρον καὶ Νεστόριον. Ἡμεῖς δὲ κατακρίνομεν καὶ ἀναθεματίζομεν πρὸς τοῖς ἄλλοις ἅπασιν αἱρετικοῖς τοῖς κατακριθεῖσι καὶ ἀναθεματισθεῖσιν ὑπὸ τῶν εἰρημένων ἁγίων δ' συνόδων * Θεόδωρον (τὸν) γενόμενον ἐπίσκοπον Μόμψου ἑστίας καὶ τὰ δυσσεβῆ συγγράματα αὐτοῦ, καὶ μέντοι καὶ τὰ κακῶς παρὰ Θεοδωρήτου συγγραφέντα κατά τε τῆς ὀρθῆς πίστεως καὶ τῶν ιβ' κεφαλαίων τοῦ ἐν ἁγίοις Κυρίλλου καὶ τῆς ἐν Ἐφέσῳ πρώτης ἱερᾶς συνόδου καὶ ὅσα ὑπὲρ συνηγορίας Θεοδώρου καὶ Νεστορίου αὐτῷ γέγραπται. Πρὸς τούτοις ἀναθεματίζομεν καὶ τὴν ἀσεβῆ ἐπιστολὴν τὴν λεγομένην παρὰ Ἴβα γεγράφθαι πρὸς Μάριν τὸν Πέρσην, τὴν ἀρνουμένην τὸν θεὸν λόγον (καὶ) ἐκ τῆς ἁγίας Μαρίας τῆς θεοτόκου σαρκωθέντα ἄνθρωπον γεγενῆσθαι καὶ τὸν θεσπέσιον Κύριλλον ὡς αἱρετικὸν διαβάλλουσαν καὶ μεμφομένην μὲν τὴν ἐν Ἐφέσῳ σύνοδον τὴν ἁγίαν καὶ πρώτην ὡς χωρὶς κρίσεως καὶ ζητήσεως ** Νεστόριον καθελοῦσαν καὶ τὰ ιβ' κεφάλαια τοῦ μακαρίου Κυρίλλου διαπτύουσαν, ἐκδικοῦσαν δὲ Νεστόριον καὶ Θεόδωρον καὶ τὰ θεοστυγῆ αὐτῶν συγγράμματά τε καὶ δόγματα. Διὸ δὴ τοίνυν τὰς μὲν τῶν αἱρετικῶν τούτων *** πάντων ἀθυροστόμους γλώσσας καὶ τὰς τούτων ἀσεβεστάτας συγγραφὰς, αὐτούς τε τοὺς αἱρετικοὺς τοὺς μέχρι τέλους ἐμμείναντας τῇ οἰκείᾳ κακοδοξίᾳ καὶ πονηρίᾳ μετὰ (τοῦ) πατρὸς τοῦ ψεύδους τοῦ διαβόλου συναριθμοῦντες, ἐροῦμεν· «Πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσατε».

---

2. πρ. ἁγίας σ. Ced. — 3. αὐτοῦ Ced. e compendio male soluto. — 4. Ced. 670, 12—671,14. — πρς π. Ced. Θεοδωρήτου καὶ Ἴβα π. καταβοήσασα Ced. — * καὶ Ced. — 18. ἁ. παρθένου τῆς θ. Μ. Ced. — 20. Ἐ. πρ. ἁγίαν σ. ὡς Ced. — ** τὸν Ced. — *** καὶ Ced. — 28. ψ. εἰκότως δ. Ced. — Ies. L. 11.

CCXIX. ΠΕΡΙ ΘΑΝΑΤΙΚΩΝ, ΣΕΙΣΜΩΝ, ΑΣΤΕΡΩΝ ΚΑΙ ΦΟΝΩΝ.

538 Ἐπὶ τῆς αὐτοῦ βασιλείας θανατικὸν ἀνθρώπων γέγονεν ἐν Κ. Π. ὥστε μένειν ἀτάφους τοὺς ἀποθνήσκοντας ἐπὶ ἡμέρας γ' διὰ τὸ μὴ ἐξαρκεῖν τοὺς κραβάττους τῶν ἐκκλησιῶν καὶ τῶν * οἴκων πρὸς τὸ ἐκφέρειν τοὺς τελευτῶντας, ὅθεν ποιήσας ὁ βασιλεὺς (Ἰουστινιανὸς) κραβάττους χιλίους, καὶ μηδ' οὕτως ἐξαρκούντων, ἀμάξας προσέταξε πλείστας εὐτρεπισθῆναι καὶ ἄλογα καὶ ἐπιστιβάζοντες ἐν αὐτοῖς τοὺς νεκροὺς ἐξωδίαζον. Ἐπιτεινομένης δὲ τῆς θνήσεως, ἐῤῥίπτον τοὺς πλείονας εἰς τὸν αἰγιαλόν· καὶ ἔμενον ἄταφοι ἕως ἡμερῶν ς' διὰ τὸ μηδὲ τὰ πλοῖα ἐξαρκεῖν διαπερᾶν καὶ θάπτειν (οὐ μὴν δὲ ἀλλὰ καὶ ἐν τοῖς οἴκοις καὶ ἐμβόλοις καὶ ἐκκλησίαις, καὶ οὐκ ἦν τόπος, ἐν ᾧ οὐ κατέκειντο νεκροί. Πολλοὶ ἀπόζοντες, πολλοὶ δὲ καὶ ἀδιάθετοι τελευτῶντες, εἰς πρόσωπα ξένα τὰ ἑαυτῶν ἤρχοντο, διὰ τὸ πάντας ἄρδην τελευτᾶν τοὺς συγγενεῖς καὶ τοὺς οἰκείους).

(2) Ἐκρατήσεν οὖν ἡ θνῆσις αὕτη μῆνας β', Ἰούλιον καὶ Αὔγουστον. Ἐγένοντο δὲ βρονταὶ μεγάλαι σφόδρα καὶ ἀστραπαὶ φοβεραὶ λίαν, ὡς καὶ ἀνθρώπους (140[b]) καθεύδοντας ἐκ τῶν ἀστραπῶν καυθῆναι.

553 (3) Καὶ μέντοι καὶ σεισμὸς γέγονε μέγιστος καὶ παγκόσμιος, ὥστε πᾶσαν τὴν οἰκουμένην σχεδὸν πτοηθῆναι καὶ τὴν θάλασσαν ἀναῤῥιχάναι μίλια β' καὶ ἀπολέσθαι πλοῖα ἐν τῇ τοῦ ὕδατος ἀναχαιτίσει (διαπλέοντα πάμπολλα καὶ ἀναρίθμητα) καὶ ἐν μὲν τῇ Ἀραβίᾳ καὶ Παλαιστίνῃ καὶ Μεσοποταμίᾳ

---

1. Rubrica hujus generis in codice evanuisse videtur, sed deest et in M. 2 et Par. 1706. — 2. Τῷ λα' ἔτει — τῷ φεβρουαρίῳ μηνὶ γ. θνῆσις ἀ. καὶ μάλιστα τῶν νέων ἐν Κ. Π. ὡ. Ced. 675,20—676,7. — * εὐαγῶν Ced. — 6. ἕτερα κραββάτια χίλια Ced. — 8. ἀλ. δέδωκε μυρία πρὸς τὸ ἐκφέρειν τ. ν. Ced. — 9. ἐξοδιαζ. cod. — 10. ἡμᾶ. cod. ἡμέρας Cep. — τὸ μὴ ἐπαρκεῖν τοῖς ζῶσι θάπτειν τοὺς τεθνεῶτας μήτε δὲ τὰ π. ἐξ. εἰς τὸ θ. ἀ. Ced. ceteris omissis. — 16. Ἐκράτει Ced. 676,7—9. — 17. καὶ ἀ. μ. σφόδρα ὥστε πολλοὺς ὑπ' αὐτῶν κατακαῆναι Ced. — 20. Τῷ κζ' ἔτει, μηνὶ Αὐγούστῳ ιε' γ. σ. μέγας ὡς πεσεῖν πολλοὺς οἴκους καὶ ἐκκλησίας καὶ λοετρὰ καὶ τὰ τείχη μάλιστα τῆς χρυσῆς πόρτης, καὶ πολλοὶ ἀπέθανον. Οὗτος ὁ σ. π. γ. — πολλὴ πλ. ἀ. — κατεπτώθησαν — ἀλόγων, πέπτωκε δὲ καὶ τῆς Νικομηδείας μέρος πολὺ καὶ ἐπ. ὁ σ. ἡ. μ' Ced. 674,12—21.

καὶ Ἀντιοχείᾳ κατεπόϑησαν πόλεις πολλαὶ καὶ κῶμαι. Καὶ συνελήφϑησαν ἀνϑρώπων πλήϑη καὶ ἀλόγων, ἐν δὲ Κ. Π. ἐκκλησίαι καὶ οἶκοι πολλοὶ πεπτώκασι καὶ τὸ πλεῖστον μέρος τοῦ τείχους τῆς πόλεως. Καὶ ἀπέϑανεν ἐν τοῖς συμπτώμασι πλῆϑος ἄπειρον
5 Καὶ ἐπεκράτησεν ὁ σεισμὸς ἡμέρας (καὶ νύκτας) μ'.

(4) Καὶ πῦρ ἐφάνη ἐν τῷ οὐρανῷ ὡς εἶδος λόγχης ἀπὸ ἄρκτου 557
ἐπὶ δυσμὰς ἕλκον.

(5) Καὶ γέγονε σεισμὸς πάλιν, ὥστε πεσεῖν τὰ β' τείχη (τῆς) Κ. Π. τὸ ἀνατολικὸν καὶ τὸ δυτικὸν, καὶ πολλαὶ ἐκκλησίαι καὶ
10 οἶκοι ἕως ἐδάφους κατέπεσον, ἀλλὰ μὴν καὶ τὰ προάστεια καὶ τὸ ῥήγιον (ἠφανίσϑησαν καὶ πολλοὶ ἀπώλοντο καὶ διεφϑάρησαν τόποι) ὡς μηδὲ γνωριζεσϑαι (αὐτοὺς εὐχερῶς). Καὶ ἐπεκράτησεν ἡ γῆ σειομένη διηνεκῶς ἡμέρας καὶ νύκτας ι'. Διὸ καὶ λυπούμενος ὁ βασιλεὺς εἰς τὰ Γενέϑλια καὶ (τὰ) Θεοφάνια χωρὶς (τοῦ)
15 στέμματος προῆλϑε καὶ τὰ ἐξ ἔϑους ἀριστόδειπνα τῆς δωδεκαημέρου οὐκ ἐποίησεν, ἀλλὰ πάντα πτωχοῖς διένειμε.

(6) Ἔτι μὴν αὖϑις ἐπεγένετο ϑανατικὸν· ἐκ νοσήματος τοῦ λεγομένου βουβῶνος μῆνας δ' καὶ οὐχ ἧττον διέφϑειρε τοῦ προτέρου ϑανατικοῦ πᾶσαν τὴν πόλιν καὶ τὰ πόῤῥω ταύτης.

20 (7) Ἐν δὲ τῇ Ἀντιοχείᾳ, γενομένου σεισμοῦ μεγάλου ἐπὶ ὥραν μίαν, ἠκούσϑη βρυγμὸς ἐκ τοῦ οὐρανοῦ φοβερώτατος, καὶ ἀπέϑανον ἐν τῇ συμπτώσει χιλιάδες ε'.

(8) Λιτανευόντων δὲ πάντων καὶ τρεμόντων, ἐφάνη ἐν ὁράματι ἀνϑρώπῳ τινὶ, ὥστε εἰπεῖν τοῖς ἐν τῇ πόλει, ἵνα γράψωσιν εἰς τὰ
25 ὑπέρϑυρα αὐτῶν· «Χριστὸς μεϑ' ἡμῶν· στῆτε». Καὶ τούτου γενομένου ἔστη παρευϑὺς ὁ κλόνος τῆς γῆς καὶ ἡ ὀργὴ τοῦ Θεοῦ κατέπαυσε. Καὶ ἐκ τότε ἐκλήϑη ἡ Ἀντιόχεια Θεούπολις.

---

6. Ced 675,9: Τῷ λ' ἔτει ἐφ. — ὡς λόγχη ἀπὸ ἀ. ἕως δυσμῶν Ced. — 8. Καὶ τῷ λα' ἔτει ἐγένοντο π. σεισμοὶ διάφοροι ὡ. παϑεῖν Ced. 675,11—20. — 11. ἀπόλλοντ. cod. — 12. ὥστε μὴ γ. καὶ ἐν ἄλλαις δὲ πόλεσιν ἐγένετο ὁ σεισμὸς οὗτος οἷον οὐκ ἐμνημόνευσεν ανος ἐν ταῖς γενεαῖς ἐκείναις· καὶ ἐσείετο ἡ γῆ μετὰ φιλανίας ἐν νυκτὶ καὶ ἡμέρᾳ ἐπὶ ἡ. ι' Ced. — 15. κλητόρια τοῦ δ. Ced. — 16. ἀ. τὰς ἐξόδους αὐτῶν δέδωκε τοῖς π. Ced. — 17. Ced. 676,10—13: Τῷ λα' ἐπ. — · καὶ μάλιστα τοῖς παιδίοις Ced. — ἀπὸ βουβωνικοῦ πάϑους Ced. — 20. Ced. 676,17—19. — μετὰ τὸ γενέσϑαι τὸν σεισμὸν γέγονε βρ. Ced. — 21. καὶ πολλοὶ ἐκ τοῦ φόβου ἀπ. Ced. — 23. Varians. CXVII. 3.

530 (9) Καὶ ἀστὴρ ἐφάνη μέγας εἰς τὸ δυτικὸν μέρος κομήτης ἐπὶ τὰ ἄνω πέμπων τὰς ἀκτῖνας, ὃν ἔλεγον Λαμπαδίαν, καὶ διέμεινεν ἐπὶ ἡμέρας καὶ νύκτας κ' φαίνων.

558 (10) Οὕτως ἐγένοντο κοσμικαὶ δημοκρατίαι καὶ φόνοι πολλοί, καὶ μετὰ χρόνον τινὰ γέγονεν ἀστέρων δρόμος ἀφ' ἑσπέρας ἕως πρωῒ ὥστε πάντας ὑπερεκλήττεσϑαι καὶ λέγειν, ὅτι πίπτουσιν οἱ ἀστέρες. Καὶ μετ' ὀλίγον πάλιν ὁ ἥλιος χωρὶς ἀκτίνων ἐφαίνετο ὥσπερ καὶ ἡ σελήνη· πόλεμοι δὲ καὶ νόσοι καὶ ϑάνατοι τοὺς ἀνϑρώπους οὐ διέλιπον.

CCXX. ΠΕΡΙ ΤΟΥ ΚΩΜΟΔΡΟΜΟΥ ΚΑΙ ΤΟΥ ΚΥΝΟΣ.

530 Ἦλϑε δὲ καὶ ἐκ τῆς δύσεως ἄνϑρωπος κωμοδρόμος ἐν Κ. Π. ἔχων κύνα ξανϑὸν καὶ τυφλὸν, ὅστις (κελευόμενος ὑπὸ τοῦ κωμοδρόμου) ἐποίει τέρατα (παράδοξα)· παρεστῶτος ὄχλου παμπόλλου καὶ τοῦ κωμοδρόμου λαμβάνοντος δακτυλίδια χρυσᾶ καὶ ἀργυρᾶ καὶ σιδηρᾶ καὶ χαλκᾶ καὶ πάντα σμίγων καὶ περισκέπων χώματι καὶ τῷ κυνὶ ἐπιτρέπων, ἐλάμβανε διὰ τοῦ στόματος καὶ ἐδίδου ἑκάστῳ τὸ ἴδιον.

(2) Ὡσαύτως καὶ νομίσματα παρεῖχε κατ' ὄνομα.

(3) Καὶ πρὸς τούτῳ ἐπερωτώμενος ὑπεδείκνυε τὰς ἐν γαστρὶ ἐχούσας νομίμως καὶ τὰς παρανόμως καὶ τοὺς μοιχοὺς καὶ τὰς πόρνας, τοὺς εὐπροαιρέτους καὶ ἐλεήμονας, τοὺς ἀδιακρίτους

---

1. Τῷ δ' ἔτει ἐφ. κόμητης μ. καὶ φοβερὸς εἰς τὸ δ. μ. π. ἐπὶ τὰ ἄνω τὰς ἑαυτοῦ ἀ. ὃν ἐλ. Λ. καὶ ἐμ. λάμπων ἐπὶ ἡ. κ' Ced. 647,8—10. — M. δὲ χ. — ἀστέρες γεγόνασι δὲ κ. δ. καὶ φ. π. καὶ π. καὶ ν. καὶ 9. τοῖς ανοις οὐκ ἐπελ. Ced. 676,13—17, ἐν τούτῳ τῷ χρόνῳ (τῷ α' ἔτει) ὁ ἡ. ὡ. ἡ σ. χ. ἀ. τὴν αἴγλην ἐστύγναζεν 650,7—11. — 10. π. κυνὸς M. 2, Par. 1706. — 11. Τῷ ιζ' ἔτει ἀνεφάνη τις χαλκεὺς Ἀνδρέας ὀνόματι ἐ. μεϑ' ἑαυτοῦ κ. ξ. καὶ τ. ὃς ἐπ. τ. π. γὰρ αὐτῷ ὁ. λάϑρᾳ τοῦ κ. ἐκομίζετο τὰ τῶν ἑστώτων δ. χ. καὶ ἀ. καὶ σ. καὶ ἐτίϑη εἰς τοῦδαφος π. αὐτὰ χ. καὶ ἐπέτρεπε τὸν κύνα καὶ ἐλ. καὶ ἐδ. ἐ. τὸ ἰ. Ced. 657,4—9. — τὴν δύσιν cod. — 18. Ὁμοίως καὶ διαφόρων β. ν. μιγνύμενα ἀπεδίδου κατ' ὀ. Ced. 657,9. — 19. Ἀλλὰ καὶ τῶν παρεστώτων ἀνδρῶν τε καὶ γυναικῶν ἀπεδ. τὰς ἐν γ. ἐ. καὶ πόρνους καὶ μ. καὶ ἐλ. καὶ κνιποὺς πάντας μ. ἀλ. ἐδείκνυεν Ced. 657,10—13.

καὶ ἀνελεήμονας μετὰ ἀληθείας πάντας κατεμήνυσεν [ὅθεν ἔλεγον ὅτι πνεῦμα. Πύθωνος ἔχει.

(4) Γέγονε δὲ καὶ δια(286^{b})στροφὴ περὶ τοῦ πάσχα· καὶ ὁ 546
μὲν πλεῖστος λαὸς ἐποίησε τὴν ἀπόκρεων πρὸ τοῦ βασιλέως· ὁ δὲ βασιλεὺς πρεσέταξεν ἑτέραν ἑβδομάδα πραθῆναι κρέα, καὶ πάντες οἱ κρεωπῶλαι σφάξαντες οὐδεὶς ἠγόραζεν· οὐ γὰρ ἦσθιον· τὸ δὲ πάσχα γέγονεν ὡς ὁ βασιλεὺς ἐκέλευσεν, καὶ ηὑρέθη νηστεύων ὁ λαὸς ἑβδομάδα περισσοτέραν.

(5) Τινὲς δὲ διαβληθέντες ὡς ἀρρενοφθόροι, διάταξιν ἐξεφώνησε* 528
τοὺς εὑρισκομένους οὕτω· τοὺς μὲν καυλοτομεῖσθαι, τοὺς δὲ καλάμους ὀξεῖς εἰς τοὺς πόρους ἐμβάλλεσθαι τῶν αἰδοίων αὐτῶν· διὸ πολλοὶ καὶ τῶν ἀρχιερέων καὶ οὕτω τιμωρηθέντες περιαγόμενοι δεινῶς ἐτελεύτησαν· καὶ γενόμενος φόβος μέγας ἐσωφρόνησε τοὺς λοιποὺς καὶ μάλα εἰκότως.

(6) «Ὀλολυζέτω, γάρ φησι, πίτυς, ὅτι πέπτωκε κέδρος», τουτέστι τῶν ἰσχυρῶν καὶ μεγάλων πιπτόντων τὰ ἀσθενέστερα παιδευέσθωσαν· οὕτω γε μὴν καὶ ὁ σοφὸς λέγει· «Τῶν ἀσεβῶν πιπτόντων δίκαιοι κατάφοβοι γίνονται» καί· «Λοιμοῦ μαστιγουμένου, ἄφρων πανουργότερος γίνεται»· «πανοῦργος δὲ ἰδὼν πονηρὸν τιμωρούμενον κραταιῶς αὐτὸς παιδεύεται». Ἡ τοίνυν μυσαρωτάτη καὶ λυσσώδης αὕτη καὶ παρὰ φύσιν ἁμαρτία πρώην ὑπὸ τῶν Σο-

---

1. πάντ. cod. πάντα Coisl 303, folio 286 a. Post κατεμήνυσεν enim deest codicis folium ante 141^{a} integrum, quod codicis illius antiquissimi ab amicissimo Em. Millero hujus editionis in usum transcripti ope suppletum est. — 2. τὸν κύνα π. Π. ἔχειν Ced. Leo. — πύθονος cod. — 3. Τῷ ιθ' ἔτει γ.—δ. τοῦ ἁγίου π. καὶ ἐποίησαν οἱ δῆμοι τὴν ἀπ. μηνὶ φεβρουαρίῳ δ'. ὁ δὲ, Ced. 657,20—658,2. — 11. ἀπόκρεον πρὸ τοῦ cod. — 5. παραθεῖναι κρέας καὶ πάντων τῶν κρεωπώλων προβαλόντων, ὁ ἠγόρασεν οὐδὲ ἤ. Ced. — 6. ἠγώραζεν cod. — 7. κατὰ τὸ βασιλικὸν πρόσταγμα καὶ ἑ. ὁ λ. νηστεύσας ἑ. περισσήν Ced. — 9. Τῷ β' ἔτει Ἡσαΐας ὁ Ῥόδου ἐπίσκοπος καὶ Ἀλέξανδρος Διοσπόλεως τῆς Θράκης καὶ ἕτεροι πολλοὶ κατεσχέθησαν ἀρ. καὶ τοὺς μὲν ἐκαυλοκόπησε, τοῖς δὲ κ. ὀ. ἑ. εἰς τ. π. τῶν ἀ. προσέταξε καὶ γυμνοὺς κατὰ τὴν ἀγορὰν θριαμβευθῆναι· ἦπῆρχον δὲ καὶ τῶν πολιτῶν καὶ συγκλητικῶν καὶ τῶν ἀ. οὐκ ὀλίγοι οἱ ἐκτμηθέντες καὶ δημευθέντες κατὰ τὴν ἀγορὰν γυμνοὶ οἰκτρῶς ἑτ. καὶ γενομένου φόβου μεγάλου, οἱ λοιποὶ ἐσωφρονίσθησαν, νόμους τε σφοδροὺς κατὰ τῶν ἀσελγαινόντων ἐξέθετο Ced. 645,17—646,2. — * εἰς ? — 10. τοῖς δὲ Leo. — 13. γενομένου φόβου μεγάλου Leo. — 15. Ὀλολυξάτω Zach. XI. 2. — διότι Zach. — 17. Prov. XXIX. 16. — 18. XIX. 25. — 19. XXII. 3.

δόμων διαπραττομένη καὶ ὥσπέρ τις φωνὴ ἀνερχομένη καὶ βοῶσα τὸ μέγεθος τῆς ἀσεβείας εἰς τὰ ὦτα κυρίου Σαβαώθ, ἔφασκεν ὁ πολλὰ πρῶτον μακροθυμήσας καὶ ὕστερον διὰ τὸ ἀμετανόητον αὐτῶν καὶ ἀνεπίστροφον τῆς ἀδικρίτου καὶ ἀκολάστου γνώμης ἐπάξας μάλα δικαίως τὴν τιμωρίαν· «Κραυγὴ Σοδόμων καὶ Γομόρρας πεπλήθυνται πρός με, καὶ * ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα», καὶ ἐπάγει λέγουσα ἡ γραφή· «Καὶ ἔβρεξε Κύριος πῦρ καὶ θεῖον παρὰ Κυρίου ἐπὶ Σόδομα καὶ Γόμορρα — καὶ κατέστρεψε τὰς πόλεις ταύτας καὶ πᾶσαν τὴν περίοικον καὶ πάντας τοὺς κατοικοῦντας ἐν ταῖς πόλεσιν». Ἄξιον οὖν ὄντως θαυμᾶσαι (287ᵃ) καὶ λίαν ἐκπλαγῆναι καὶ φρίξαι τὴν φοβερὰν καὶ θείαν καὶ πυρφόρον ἀπειλήν, ὅπως ἐπελθοῦσα προσηκόντως οὐ μόνον ἅπαν τὸ γένος τῶν ἐλεεινῶν ἀνθρώπων ἐκείνων ἀναλίσκει καὶ ἅπαν τῆς γῆς τὸ ἀνάστημα, ἀλλά γε καὶ τῆς προκειμένης θαλάσσης νεκροῦνται τὰ ὕδατα φλογισθέντα καὶ ὑπερκαυθέντα διὰ τὴν ὑπερβάλλουσαν ἔκκαυσιν καὶ πύρωσίν τε καὶ ἀκρασίαν τῆς μιαρᾶς σαρκὸς τῶν ἀθλίων ἐκείνων καὶ εἰς τὸν αἰῶνα στηλιτευομένων· ὅθεν εἰκότως πυρὶ τὰς δίκας εἰσπράττονται καὶ μέχρι νῦν πόλεις Σοδόμων καὶ Γομόρρας τεφρωθεῖσαι· πάλαι μὲν γὰρ διὰ τῆς λαγνείας καὶ παρὰ φύσιν ἀκολασίας καὶ αὐτὸν μιαίνοντες τὸν ἀέρα καὶ τὴν γῆν· νῦν δὲ τῆς δυσπραγίας ἐκείνης καὶ παρανομίας καὶ τῆς δικαίας τοῦ θεοῦ κρίσεως μάρτυς ἡ γῆ καὶ ὁ ἀὴρ ἕως ἄρτι παχυνόμενος ἐκεῖθεν ἐλέγχει καὶ τὴν ἐκείνων αἰσχρουργίαν καὶ τὴν τῶν ἐκείνων ἰχνηλατούντων καὶ ἐργαζομένων θεοστυγῆ πράξιν· καὶ μέντοι καὶ τῶν τὴν μέλλουσαν ἀπιστούντων κρίσιν προδήλως τὴν παράνοιάν τε καὶ πόρωσιν **, ἵνα διὰ τῶν πάλαι τὰς δίκας εἰσπραττομένων ἡμεῖς τὴν ὄψιν καὶ τὴν πεῖραν τῶν θείων κολαστηρίων ἐκφύγωμεν. Εἰ δέ τις τῶν μὴ τὴν γῆν ἐκείνην ἑωρακότων ἀπιστοίη μὴ οὕτως ἔχειν, ἀκουέτω τῆς θείας γραφῆς διηγουμένης περὶ τῆς σοφίας καὶ λεγούσης· «Αὕτη δίκαιον, ἐξαπολλυμένων ἀσεβῶν, ἐρρύσατο φυγόντα καταβάσιον πῦρ Πεντα-πόλεως· ἧς ἔτι μαρτύριον τῆς πονηρίας καπνιζομένη καθέστηκε

---

5. Gen. XVIII. 20. — * αἱ Gen. — 7. Καὶ κς ἐ. Gen. XIX. 24. — 9. περίχωρον Gen. — 17. εἰσπράττοντε cod. — ** ἐποίησεν? Sap. X. 6. πῦρ κατ. — 29. οἷς ἐπὶ μ. Sap. 7, sed plerique codices ut Coisl.

χέρσος καὶ ἀτελέσιν ὥραις καρποφορούντα φυτά»· ὡσαύτως δὲ καὶ Ἰούδα Ἰακώβου φάσκοντος· «Ὡς Σόδομα καὶ Γόμορρα καὶ [αἱ] περὶ αὐτὰς πόλεις τὸν ὅμοιον τούτοις τρόπον ἐκπορνεύσασαι καὶ ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας πρόκεινται δεῖγμα πυρὸς αἰωνίου δίκην ὑπέχουσαι» καί· «οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνας τετήρηται».

(7) Λέγει δὲ καὶ ὁ θεῖος Χρυσόστομος· «Ἀπιστεῖ τις τῇ γεέννῃ, τὰ Σόδομα διαλογιζέσθω, τὰ Γόμορρα ἐννοείτω, τὴν γεγενημένην τιμωρίαν καὶ ἔτι μένουσαν» καὶ τοῦ διαιωνίζειν τὴν κόλασιν ἐναργὲς τεκμήριον παριστῶσαν· καὶ γὰρ (287^{b}) οὐ μόνον ἡ γῆ, ἀλλὰ καὶ αὐτὸς ὁ ἀὴρ καὶ τὰ ὕδατα μετέσχε τῆς συμφορᾶς, καὶ καθάπερ σώματος ἐμπρισθέντος τὸ μὲν σχῆμα μένει καὶ ὁ τύπος ἐν τῇ τοῦ πυρὸς ὄψει καὶ ὁ ὄγκος καὶ ἡ ἀναλογία, ἡ δὲ δύναμις οὐκέτι· οὕτω δὴ κἀκεῖσε γῆν ἔστιν ἰδεῖν, ἀλλ' οὐδὲν ἔχουσαν γῆς, ἀλλὰ πάντα τέφρα· δένδρα καὶ καρπούς, ἀλλ' οὐδὲν δένδρων οὐδὲ καρπῶν· ἀέρα καὶ ὕδωρ, ἀλλ' οὐδὲν ὕδατος οὐδὲ ἀέρος· ἐπειδὴ γὰρ καὶ ταῦτα τετέφρωνται· τοίγαρ οὖν οὐδὲν ἕτερον ἢ κάμινός ἐστιν ὁ ἀὴρ, κάμινος τὸ ὕδωρ, πάντα ἄκαρπα, πάντα ἄγονα, πάντα πρὸς τιμωρίαν τῆς προλαβούσης ὀργῆς καὶ εἰκόνες τῆς μελλούσης κολάσεως· ἐννόησον τοίνυν ἡλίκον ἐστὶ τὸ ἁμάρτημα ὡς βιάσασθαι πρὸ καιροῦ τὴν γέενναν φανῆναι· καὶ γὰρ παράδοξος ἦν ὁ ὑετὸς ἐκεῖνος· ἐπειδὴ καὶ παρὰ φύσιν καὶ παράνομος ἡ μίξις· καὶ κατέκλυσε τὴν γῆν, ἐπειδὴ καὶ τὰς ἐκείνων ψυχὰς ἡ χαλεπὴ καὶ ἐπάρατος ἐπιθυμία· ἀλλ' ὦ τῆς παραπληξίας τῶν τοῦτο κατεργαζομένων καὶ τῆς ταλαιπωρίας καὶ κακονοίας τῶν ἐλεεινῶν καὶ ἀθλίως τοῦτο πασχόντων ἑκουσίως μάλιστα καὶ φθειρομένων ὑπὸ τῶν διεφθαρμένων καὶ βεβήλων τε καὶ ἀκαθάρτων ψυχῇ καὶ σώματι καὶ χοίρων χείρους ἑαυτοὺς ἀποφαίνοντες, οἵτε φθείροντες καὶ οἱ φθειρόμενοι ἀφόβως καὶ ἀναισχύντως· οἵ γε καὶ ἀλόγων ἀνοητότεροι καὶ κυνῶν ἀναιδέστεροι· οὐδαμοῦ γὰρ τοιαύτη μίξις παρ' ἐκείνοις, ἀλλ' ἐπιγινώσκει τοὺς ἰδίους ὅρους ἡ φύσις· Τούτους ἐγὼ καὶ ἀνδροφόνων χείρους εἶναι λέγω καὶ ὅπερ ἂν εἴπῃς ἁμάρτημα· οὐδὲν ἴσον ἐρεῖς

---

2. Iud. 7,13, ubi cod. 67.105.106 αἰῶνας habent. — 6. εἴ τις ἀπ. Chr. VI. 297 C. — 7. τ. τὴν ἤδη γ. καὶ μέχρι νῦν μ Chr. — 24. ἀθλίων? — 27. ἀποφαινόντων?

τῆς παρανομίας ταύτης· ὁ μὲν γὰρ ἀνδροφόνος τὴν ψυχὴν ἀπὸ τοῦ σώματος ἐχώρησεν· οὗτος δὲ τὴν ψυχὴν μετὰ τοῦ σώματος ἀπώλεσεν. Πόθεν οὖν ἐτέχθη τὸ μέγα τοῦτο κακόν; ἀπὸ τρυφῆς καὶ σπαταλης καὶ ἐγκαταλείψεως θεοῦ καὶ ἀπὸ τοῦ μὴ φοβεῖσθαι αὐτὸν καὶ τὴν μέλλουσαν κρίσιν· ὅταν γὰρ ἐκβάλωσί τινες τὸν τοιοῦτον φόβον ἐκ τῆς καρδίας αὐτῶν, ἐγκαταλιμπά(288ᵃ)νονται εἰς τέλος καὶ οὕτως ἔρχονται εἰς ἐπιθυμίας ἀνοήτους καὶ βλαβερὰς καὶ «εἰς πάθη ἀτιμίας»· ὥσπερ γὰρ πολλοὶ πολλάκις τὴν τῶν σιτίων ἐπιθυμίαν ἀφέντες γῆν σιτοῦνται καὶ λίθους μικράς· καὶ ἕτεροι δὲ ὑπὸ δίψους κατεχόμενοι σφοδροῦ καὶ βορβόρου πολλάκις ἐπιθυμοῦσιν· οὕτω κἀκεῖνοι καταλειφθέντες διὰ τὰς προειρημένας αἰτίας πρὸς τὸν ἄθεσμον τούτων ἐξεκαύθησαν ἔρωτα καὶ πρὸς τὴν μιαρὰν ὄρεξιν μανίαν τε καὶ λύσσαν· εἰ δὲ οὐκ αἰσθάνονται, ἀλλ' ἥδονται, μὴ θαυμάσῃς· καὶ γὰρ οἱ μαινόμενοι καὶ φρενίτιδι κατεχόμενοι νόσῳ πολλὰ ἑαυτοὺς ἀδικοῦντες καὶ ἐλεεινὰ πράσσοντες ἐφ' οἷς αὐτοὺς ἕτεροι δακρύουσι, γελῶσι καὶ τοῖς λεγομένοις αὐτοῖς ἐντρυφῶσι. Πόσαι λοιπὸν γέενναι τοὺς τοιούτους ἀρκέσωσι καὶ πόσα κολαστήρια; εἰ δὲ καταγελᾷς γεέννης ἀκούων καὶ ἀπιστεῖς ἐκείνῳ τῷ πυρί, ἀναμνήσθητι πάλιν τὸν ἐν Σοδόμοις θεῖον ἐμπυρισμὸν καὶ τὴν φοβερὰν ἐκείνην φλόγωσιν. Εἰ οὖν τοιαῦτα πράττων καὶ σὺ δίκην οὐ δίδως, μὴ θαυμάσῃς· ἐκεῖνοι μὲν γὰρ ὡς μὴ τὴν γέενναν εἰδότες ἐκολάσθησαν παρὰ πόδας· σὺ δὲ ὅσα ἂν ἁμάρτῃς, κἂν μηδεμίαν δίκην δῷς ἐνταῦθα, ἐκεῖ πάντα χαλεπωτέρως ἀποτίσῃ καὶ κολασθήσει· διατί; ὅτι πλείονος ἀπηλαύσαμεν χάριτος· ὅταν δὲ καὶ πλείονα καὶ μείζονα πταίομεν ἐκείνων, ποίας συγγνώμης τύχωμεν ἐκ προγόνων τὰ σωτηριώδη παραλαβόντες διδάγματα, ἅπερ ἐκεῖνοι παντελῶς οὔτε ἤκουσαν οὔτε ἔμαθον, ὥστε διὰ τοῦτο μειζόνως κολασθησόμεθα, κἂν τε μικρὰν δίκην ἐνταῦθα δῶμεν κἂν τε μὴ δῶμεν· Οὐκοῦν μηδεὶς ὁρῶν πονηροὺς εὐπραγοῦντας θορυβείσθω· οὐ γάρ ἐστιν ἐνταῦθα ἡ ἀνταπόδοσις οὔτε τῆς ἀρετῆς οὔτε τῆς πονηρίας· εἰ δὲ σοῦ καὶ γίνεται τῆς ἀρετῆς καὶ τῆς πονηρίας, ἀλλ' οὐχὶ κατ' ἀξίαν ἀλλ' ἁπλῶς ὡσανεί γεῦμα τῆς κρίσεως,

7. Rom. I. 26.

ἵνα οἱ τῇ ἀναστάσει διαπιστοῦντες, τοῖς γοῦν ἐνταῦθα σωφρονίζωνται· ὅταν οὖν εὐπραγῇ ὁ πονηρὸς, ἐπὶ κακῷ τῆς ἑαυτοῦ κεφαλῆς· (288[b]) ἵνα γὰρ ὢν ἔπραξεν ἴσως] (141[a]) ἀγαθῶν τὴν ἀντίδοσιν ἐνταῦθα λαβὼν ἴσως ἐκεῖ πλεῖον κολασθήσηται· ὅταν δὲ πάσχει ὁ ἀγαθὸς, μακάριος ὄντως ἐστὶν, ἵνα γὰρ ἀποθέμενος πάντα καὶ τὰ μικρὰ ἁμαρτήματα, εὐδόκιμος καὶ καθαρὸς ἀπίῃ καὶ ἀνεύθυνος. Ἐκεῖ γάρ εἰσιν οἱ τέλειοι στέφανοι τῶν ἀγαθῶν καὶ ἐκεῖ αἱ σφοδρότεραι καὶ ἀπέραντοι κολάσεις τῶν πονηρῶν· ὥσπερ καὶ ὁ σηπεδόνα ἔχων, κἂν μὴ τέμνηται, ἀῤῥωστεῖ καὶ τότε μᾶλλον ἐν κακοῖς, ὅταν μὴ τέμνηται· οὕτως καὶ ὁ ἁμαρτάνων, κἂν μὴ κολάζηται, πάντων ἐστὶν ἀθλιώτερος. Καὶ καθάπερ οἱ σπλῆνα καὶ ὑδερὸν ἔχοντες, ὅταν ἀπολαύσωσι τραπέζης δαψιλῆς καὶ ψυχροποσίας καὶ πολυτελῶν ἐδεσμάτων καὶ καρυκευμάτων, τὸ λοιπὸν μαλιστά εἰσι πάντων ἐλεεινότεροι, τῇ τρυφῇ τὸ νόσημα προσαύξοντες· ἂν δὲ ἀγχωνται λιμῷ καὶ δίψει κατὰ τοὺς ἰατρικοὺς νόμους, ἐλπίδα τινὰ σωτηρίας ἔχουσιν· οὕτω καὶ οἱ ζῶντες ἐν πονηρίᾳ, εἰ μὲν κολάζονται, χρηστὰς ἔχουσι τὰς ἐλπίδας· εἰ δὲ μετὰ τῆς πονηρίας ἀπολαύουσι τροφῆς καὶ ἀδείας, τῶν ἐν ὑδέρῳ γαστριζομένων ἐλεεινότεροι σφόδρα ἂν εἶεν, καὶ τοσούτῳ πλεῖον, ὅσον ψυχὴ σώματος βελτίων. Εἰ τοίνυν ἐκεῖνοι μήτε νόμον ἔχοντες τὸν κωλύοντα αὐτοὺς τῆς ἀθεμίτου πράξεως μήτε προφήτας εἰδότες, οὐδεμιᾶς ἔτυχον συγγνώμης, ἀλλὰ πυρὸς καὶ θείου παραναλώματα γεγόνασιν, πόσῳ μᾶλλον ἡμεῖς ἄξιοί ἐσμεν τιμωρίας καὶ χαλεπωτέρας ὑπεύθυνοι καταδίκης, οἱ νόμον καὶ προφήτας καὶ εὐαγγελιστὰς καὶ διδασκάλους ἀναγινώσκοντες καὶ χείρονα ποιοῦντες; Τίνος δὲ ἕνεκα τοιαῦτα δρώντων ἡμῶν, οὐκ ἐπάγει καὶ ἡμῖν ὁ θεὸς τοιαύτην πανολεθρίαν, ἐπειδὴ ἄλλη κόλασις ἀργαλεωτέρα καὶ ἀτελεύτητος καὶ ἕτερον πῦρ ἄσβεστον ἡμᾶς ἐκδέχεται δεινότερον καὶ σφοδρώτερον; «Ὁ σκώληξ γὰρ, φησὶν, αὐτῶν οὐ τελευτήσει καὶ τὸ πῦρ οὐ σβεσθήσεται». Διὰ δὴ τοῦτο καὶ ὁ παλαιὸς καὶ θεῖος νόμος ἀναστέλλων τὴν ἐξάγιστον αἰσχρουργίαν ταύτην καὶ ὀλεθρίαν ἔφασκεν· «Οὐ κοιμηθήσῃ μετὰ

---

3. ἀντιμισθίον cod. ἀνταπόδοσιν γρ. — 4. Hucusque apographum codicis Coisliniani 305—6. ἀπίει cod. — 18. τρυφῆς? — 28. Ies. LXVI. 24. — 31. Lev. XVIII. 22.

ἄῤῥενος κοίτην γυναικείαν· βδέλυγμα γάρ ἐστιν». «Καὶ ὃς ἂν κοιμηθῇ μετὰ ἄῤῥενος κοίτην γυναικὸς, θανάτῳ θανατούσθωσαν ἀμφότεροι· ἐπικατάρατος γὰρ ὁ τοιοῦτος· λίθοις λιθοβολήσατε αὐτούς».

(8) Ταύτην τοίνυν τὴν ἀκόλαστον καὶ ἀκάθαρτον γνώμην καὶ παράνομον πρᾶξιν τῶν αὐθαιρέτως παρασχόντων θριαμβεύειν εὖ μάλα καὶ στηλιτεύων ὁ μέγας Κύριλλος οὕτως φάσκει· «Ἀκολασίας γὰρ ἕνεκεν οἱ τάλανες τοῦτο δρῶσι, τὰ τῶν γυναικῶν πάσχειν, ἄνδρες ὄντες βουλόμενοι· οὐδενὸς γὰρ χρησίμου χάριν τὴν φύσιν μετατιθέντες, ἀσελγείας ἕνεκα τὴν θεόπλαστον ἀνδροπρεπῆ μορφὴν διαφθείρουσιν ἑκουσίως πολλάκις ἢ ὑπὸ ἄλλων ὑπομένειν ἀναγκάζονται τοῦτο, ὡς λοιμοὶ τῆς φύσεως καὶ τοῦ γένους πολέμιοι καὶ σπίλοι πολιτείας καὶ ζωῆς ἐφύβριστοι γίνονται· δίκην Μαινάδων πορνευομένων πορνευθέντες ἀμέτρως ἐν τοῖς αἰσχίστοις ὀρχοῦνται πάθεσι, μιαρᾷ πολιτείᾳ καὶ πεφθαρμένῃ τὴν ἀθλίαν ζωὴν συγκεράσαντες· ἀμφίβολα καὶ μιμισημένα πρόσωπα περιφέρουσι καὶ γράμμα νενοθευμένον· ἱερῶν περιβόλων μακρὰν ἀποιχέσθωσαν καὶ ἁγίων συνόδων ὡς βδελυγμένον ἄγος καὶ θεοστυγὲς ἐλαυνέσθωσαν· ἐπειδὴ γὰρ αἰσχίστῃ καὶ κακίστῃ γνώμῃ τὸ καλὸν καὶ θεῖον ἔργον εἰς τὸ κακὸν καὶ διαβεβλημένον δόγμα παραλλάξαντες, μεταποιήσαντες τὴν πνευματικὴν εὐνουχίαν ἀπηγορευμένῃ πράξει λειτουργεῖν (141[b]) ἀναγκάσαντες, οὐ μόνον ἄξιον νομικῆς ψήφου τιμωρίαν λαμβάνειν, ἀλλὰ καὶ ἐξ εὐαγγελικῆς * ἀποφάσεως εἰς τὸ λεγόμενον σκότος τὸ ἐξώτερον ἀπελαύνεσθαι». Περὶ γὰρ τοιούτων ἔφη Μωϋσῆς. «Θλαδίας καὶ ἀπόκοπος οὐκ εἰσελεύσεται εἰς τὸν οἶκον Κυρίου». Ἔτι γοῦν πεπληρωμένων οἴκων τῶν μεγιστάνων τοιούτων τερατομόρφων προσώπων, χρυσοῦς μηνίσκους ἐπὶ τραχήλων, φύσιν μὲν ἄῤῥενος, θηλείας δὲ ὄψιν ἔχοντες καὶ κεκλασμένως βαδίζοντες καὶ τεθρυμμένως φθεγγόμενοι ὥσπερ ἑταιρίδες ἀπρεπεῖς ὧδε κἀκεῖσε τὴν κεφαλὴν περισείουσαι· καὶ γελῶσιν ἀκρατῶς τε καὶ ἀναιδῶς, οἰστρηλασίαν πρόδηλον ὑπεμφαίνοντες, ὅθεν μετ' ἀνδρῶν μὲν ὡς γυναῖκες μαλακῶς εὐναζόμενοι καὶ μαλακιζόμενοι φθείρονται· μετὰ

1. Lev. XX. 12,27. — 22. ἄξιοι? — * καὶ? cod. — 25. Deut. XXIII. 1. — 32. κοιταζόμενοι καὶ μ. Glossa.

γυναικῶν ὡς φύλακες ἅμα καὶ σωφροσύνης δῆθεν ἐνδάλματα καθεύδοντες ἀναισχύντως * ἀπερυθριασμένως αἰσχροπραγοῦσιν. Καὶ οὗτοι μὲν οὕτως ὑπ' ἀνδρῶν ἀνοσίων καὶ βεβήλων φθειρόμενοι μαλακίζονται καὶ καταμιαίνονται διὰ τῆς παρὰ φύσιν ἀνοσιουργίας καὶ βδελυρίας· αὐτοὶ δὲ γυναικάρια ταλαίπωρα καὶ «σεσωρευμένα, κατὰ τὸ εἰρημένον, (ἐφ') ἁμαρτίαις» καταμολύνουσι καὶ καταβλάπτουσιν οἷα λυσσώδεις κύνες. Καὶ τὸ δὴ χαλεπώτερον καὶ ἐλεεινότερον, αἴτιοι ἐντεῦθεν γίνονται καὶ πρόξενοί τε καὶ μέτοχοι τῆς ἀπεράντου κολάσεως, οἵ τε φθείροντες καὶ οἱ φθειρόμενοι. Ἀλλ', ὦ τῆς ἀφροσύνης, ὦ τῆς ἀπάτης καὶ παραπληξίας· τούτους γὰρ ἄνθρωποι μάλιστα προὔχοντες ὡς σώφρονας παραδεχόμενοι πιστεύουσιν καὶ εἰσοικίζουσιν, οἵ γε εἰσοικιζόμενοι καὶ παῤῥησίας τυγχάνοντες τοὺς ὄντως δικαίως ἀρετῆς ἐπιμελουμένους σώφρονας ἄνδρας κατὰ μικρὸν ἐκλεάσαντες εἰς τὸ τῶν Σοδόμων βάραθρον κατηκόντισαν ἐλεεινῶς· διὸ δὴ λοιπὸν καὶ ἀραρώτερον πάνυ γε καὶ νόμος εὐαγγελικὸς καὶ ἄριστος βίος καὶ εὐσεβὴς πολιτεία βδελύττεται τούτους ὡς θεομισεῖς καὶ ἀκαθάρτους. Οὗτοι γὰρ τοιαύτην ἐξάγιστον ζωὴν προτιμήσαντες καὶ ποθήσαντες ὅσον ἦκεν ἐπ' αὐτοὺς, πόλεις μὲν ἠφάνισαν, τοὺς σπερματικοὺς τῆς φύσεως λόγους παραφθείροντες καὶ φθειρόμενοι· εὐανδροῦσαν δὲ Ῥώμην ἀνδρῶν καὶ ἡλικίαν καὶ τὴν ἀῤῥενοπρεπῆ γενναίως ἰσχὺν δεινῶς ἐξανήλωσαν καὶ ἁπλῶς τὴν σύντονον καὶ σφριγῶσαν ἀκμὴν τῆς νεότητος λυμηνάμενοι φανερῶς ἀθλίους καὶ καταγελάστους ἐποίησαν τοὺς ἁλόντας, οὓς φευκτέον προτροπάδην καὶ βδελυκτέον ἐνδίκως τοὺς ψυχοκτόνους καὶ σωματοφθόρους καὶ ἐναγεῖς ὄντας καὶ τῆς φύσεως παραχάρακτας· οὐδὲν γὰρ ἀληθῶς μυσαρώτερον ἢ ἀκαθαρτώτερον τῶν οὕτω πορνευομένων τε καὶ πορνεύοντων· εἰώθασι γὰρ, ὡς ἀληθῶς καὶ ἀκριβῶς μεμαθήκαμεν, οὐ μόνον οἱ σπάδονες καὶ τὰ μόρια τῆς αἰσχρουργίας ποσῶς ἔχοντες ἀσελγαίνειν ἀμέτρως καὶ ἀκολασταίνειν ἀκορέστως, ἀλλὰ καὶ οἱ τέλειον ἀπόκοποι καὶ ἐκτετμημένοι· καθάπερ οὖν καὶ οἱ ἐκ γενετῆς ἐστηρημένοι ταῦτα — φεῦ τῆς ἐσχάτης ἀτοπίας καὶ φρενοβλαβείας — διὰ χειρὸς καὶ δακτύλων φθείρειν

* καὶ? — 5. 2 Tim. III. 6. — 11. προὔχοντας cod. — 15. ἁρμοζόντως Glossa. — 20. εὐανδροῦσι cod. ἐξανδρ.? — ἀνδρός cod.

τὰς ἀθλίας γυναῖκας κατὰ τὴν ἀνοσιουργίαν αὐτῶν, οὕτως ἐμμανῶς οἱ ἀνόσιοι κατεργάζεσθαι*. (142[b]) Καὶ τοῦτο δηλῶν ὁ σοφὸς ἀριδήλως ἔφη· «Μακάριος «εὐνοῦχος ὁ μὴ ἐργασάμενος ἐν χειρὶ ἀνόμημα» «καὶ παρθένος ἥτις οὐκ ἔγνω κοίτην ἐν παραπτώματι». Εἰκότως οὖν ἄθηλοι, ἄνανδροι, ἀνδρόγυνοι, σιδηροκατάδικοι καὶ γυναικομανεῖς προσαγορευέσθωσαν. Ἀκουέτωσαν τοίνυν οἱ καθαροὶ, καὶ σώφρονες τούτους ὑποτοπαζέτωσαν καὶ μὴ πιστευέτωσαν τῷ ψεύδει, ἀλλὰ τῇ κατησχυμμένῃ καθαρότητι καὶ σωφροσύνῃ· ἀπὸ γὰρ ἀκαθάρτου τί καθαρισθήσεται καὶ ἀπὸ ψεύδους τί ἀληθεύσει;

560 (9) Ὁ δὲ βασιλεὺς Ἰουστινιανὸς πάμπολλα κτίσματα ποιήσας θαυμαστὰ** καὶ τὴν πενταγέφυραν τοῦ Σαγάρου, ἅπερ Προκόπιος ὁ ἱστορικὸς ἐν ὀκτὼ λόγοις ἀνεγράψατο.

565 (10) Εἰς δὲ τὰ τέλη αὐτοῦ*** τὸ περὶ φθαρτοῦ καὶ ἀφθάρτου κινήσας δόγμα****, ἀλλότριος τῆς εὐσεβείας θεοῦ ἐτελεύτησε (προβαλλόμενος Ἰουστῖνον ἀνεψιὸν αὐτοῦ εἰς βασιλέα, κουροπαλάτην τότε ὄντα).

534, 535 (11) Γελίμερ Βελισάριον ἐκφεύγων [εἰς ὄρος ὀχυρὸν κατέφυγεν ἔθνους τῶν Μαυρουσίων]. Οὗτος γὰρ ὁ Βελισάριος στρατηγὸς ἦν, ὅστις καὶ μετὰ πλήθους ἀναριθμήτου καὶ πλοίων καὶ χρυσοῦ πολλοῦ (σταλεὶς παρὰ Ἰουστινιανοῦ) πολεμῆσαι Οὐανδάλοις καὶ Ἀφρικὴν ἐκπορθῆσαι, ὃς ἀγχινοΐᾳ καὶ φρονήσει***** πάντα λησάμενος καὶ Γελίμερον κρατήσας ἀνήγαγεν ἐν τῇ πόλει μετὰ πλούτου πολλοῦ καὶ ἐθριάμβευσεν

---

* εἰώθασιν vel κατεργάζονται. — 3 Sap. III. 14,13. — 7. ὑποτοπάζοντας μάτην cod. — ψ. καὶ τῇ cod. — 10. Ἄλλου βιβλίου (Procopii?, Ced. 678,15—17: Τῷ λγ' ἔτει κτίζει τὴν γ. τοῦ Σαγγάρεως ποταμοῦ. — ** ἐκ κληρικῶν τε καὶ πολε(μικῶν) cod. glossa marginalia et sub pagina: σχόλιον: Ἰουστινιανὸς ἔστησε τὸν κίονα τὸν λεγόμενον Αὐγουστίωνα, ἐπιθεὶς ἐπάνω ἵππον τὴν αὐτοῦ στήλην, κρατοῦσαν τῇ μὲν ἀριστερᾷ χειρὶ μῆλον σφαιροειδὲς ὡς τῆς γῆς ἁπάσης κυριεύσαντος, τὴν δὲ δεξιὰν ἀνατεταμένην ἔχουσαν καὶ οἱονεὶ πρὸς Πέρσας ἐμφαίνουσαν καὶ διακελευομένην· «Στῆτε καὶ τῇ Ῥωμαίων γῇ μὴ ἐπεμβαίνετε» (Ced. 656,18 — 23: Τῷ ις' ἔτει = 543; Leo, post judicium in paederastas). — 12. Aed. V. 5. — 13. Ced. 680,4 — 8 τῷ λή. — *** Ἰουστινιανὸς Ced. — **** καὶ ἴδικτον πανταχοῦ καταπέμψας. Ced. 14. αλλότριον cod.—17. Περὶ Βελισαρίου Ced. 649,15—24: πάλιν δὲ ἐξαπέστειλεν ὁ βασιλεὺς τὸν Βελισάριον στρατηγὸν μ. — πολλοῦ καταπολ. — ***** καὶ ἀνδρείᾳ Ced. — 22. ἐγκρατῆ ποιησάμενος Ced.

ἐν τῷ ἱππικῷ ὑπατείαν ποιήσας ἐν τῇ πόλει, ὥστε Ἰουστινιανὸν* ἐν μὲν τῷ ἑνὶ μέρει τοῦ νομίσματος ἑαυτὸν ἐγχαράξαι, ἐν δὲ τῷ ἑτέρῳ Βελισάριον ἔνοπλον καὶ ἐπιγράψαι· «Βελισάριος ἡ δόξα τῶν Ῥωμαίων».

(12) Ἀλλ' οἷα τὰ τοῦ φθόνου ἐν μεγάλῃ εὐδαιμονίᾳ εἰώθει ποιεῖν, ὤδινε καὶ εἰς Βελισάριον. Διαβληθεὶς γὰρ μετέστη τῆς ἀρχῆς καὶ τῆς δόξης καὶ Σολομὼν ἀντ' αὐτοῦ στρατηγὸς ἐπέμφθη, ὃς τὰ κτηθέντα παρὰ Βελισαρίου φυλάξασθαι μὴ δυνηθεὶς, τοῖς Οὐανδάλοις πάντα παρεχώρησεν.

(13) Οὗτος γὰρ ὁ [Γελίμερ] Βελισάριον εἰς ὄρος ἐκφεύγων, ὡς εἴρηται, ὀχυρὸν ἔθνους τῶν Μαυρουσίων, παρ' αὐτοῖς δὲ οὔτε ἄρτος, οὔτε οἶνος, οὔτε ἔλαιον γεωργεῖται, ἀλλὰ κριθὰς καὶ ὀλύρας ὡς ἄλογα ζῷα ἔφθὰ σιτίζονται. Γράφει οὖν πρὸς Φαρὰν Γελίμερ, ὃν Βελισάριος κατέλιπε φυλάσσοντα αὐτὸν, πεμφθῆναι αὐτῷ ἄρτον καὶ σπόγγον καὶ κιθάραν. Ὁ δὲ Φαρὰς διηπόρει περὶ τούτων, ἕως (ἂν) ὁ τὴν ἐπιστολὴν κομίσας ἔφη, ὅτι ἄρτον μὲν ἐπιθυμεῖ γεύσασθαι καὶ ἰδεῖν **, σπόγγον δὲ διὰ τὰ δάκρυα (καὶ τὴν ἀλουσίαν, παραμυθήσασθαι τοὺς ὀφθαλμούς, κιθάραν δὲ ὅπως τὰς συμφορὰς αὐτοῦ ἐκτραγῳδοίη. Ταῦτα Φαρὰς ἀκούσας, περιαλγήσας τε καὶ τὴν ἀνθρωπείαν φύσιν ἐκμυκτηρίσας πάντα ἔπεμψεν (ὅσα ἔχρῃζεν).

(14) Χοσρόου δὲ τοῦ Πέρσου τὴν ἅπασαν ἀνατολὴν λη- 541
ϊζομένου, Ἰουστινιανὸς Βελισάριον ἐκ τῆς δύσεως* ἀγαγὼν καὶ στρατηγὸν ἀνατολῆς ποιήσας, κατὰ Περσῶν ἐξαπέ-

---

* ἀποδεξάμενον Ced. — 2. μὲν ἐν cod. — 5. Ced. 649,24 — 650,4: ἀλλ' οἷα φθόνος ἐν. — 8. κτ. Βελισαρίῳ φυλάξαι Ced. — 9. πάντων Ced. πάντ. cod. — 11. Ὁ δὲ Γ. ἐλεεινῶς χειμαζόμενος γ. τῷ Φ. ἀξιῶν π. οἱ ἀ. καὶ σπ. καὶ κ. π. ἐκείνοις γὰρ τοῖς Μαυρουσίοις ὀ. ὀ. ἐ. ὀ. σῖτος γ. — σιτίζονται κτλ. Ced. 649,6—10. — 14. Β. π. Φ. Γ. ὃν κατ. cod. (Φθαρὰς ter.) — ** τὸν Ced. — 19. διὰ τὸ τὰ δ. ἀπομάττεσθαι Ced. — 20. τὴν δὲ κ. Ced. — 22. ἀνῖνην τύχην ἐ. π. ἐξέπεμψε Ced. — 24. Τῷ ιδ' ἔτει Χοσρόης ὁ τῶν Περσῶν βασιλεὺς τεταρτην εἰσβολὴν εἰς τὴν Ῥωμαίων γῆν ἐποιήσατο — Ἰουστινιανὸς — Β. αὖθις ἐκ τῶν ἑσπερίων ἐληλυθότα κατ' αὐτοῦ ἔπεμψεν κτλ. Ced. 652,13—655,14.

στειλεν. Ὁ δὲ καθοπλισθεὶς καὶ κατὰ Περσῶν ἐκστρατεύσας τοσοῦτον τοὺς πρέσβεις Δαρείου τῇ καθοπλίσει καὶ στρατείᾳ ἐξέπληξεν, ὡς ἐπὶ θήραν δῆθεν ἐξιὼν αὐτοῖς ὀφθείς, ὥστε ἀφικόμενον πρὸς Χοσρόην ὑπόσπονδον αὐτὸν Ῥωμαίοις [ποιῆσαι· τοσοῦτον δὲ Βελισάριος ἐθαυμάσθη παρὰ Πέρσαις καὶ Ῥωμαίοις] καὶ εὐδοκίμησεν ἢ ὅτε Γελίμερα δορυάλωτον καὶ Οὐττήγην τοὺς δύο βασιλεῖς ἐν Βυζαντίῳ ἤγαγεν.

565 (15) Πάλιν οὖν κατηγορηθεὶς ὡς ἐπιβουλεύων τῷ βασιλεῖ Ἰουστινιανῷ ἐκ θλίψεως τελευτᾷ, δημευθείσης ἁπάσης αὐτοῦ τῆς ὑποστάσεως.

CCXXI. ΒΑΣΙΛΕΙΑ ΙΟΥΣΤΙΝΟΥ.

Μετὰ δὲ Ἰουστινιανὸν ἐβασίλευσεν (142[b]) Ἰουστῖνος, ὁ ἀνεψιὸς αὐτοῦ, ἔτη ιγ', ὃς ἔκτισε παλάτιον ἔξω τῆς πόλεως καὶ λιμένα ἐν τῇ πόλει· τὸν μὲν ἐκάλεσε Σοφιανάς, τὸ δὲ Σοφιανῶν εἰς ὄνομα τῆς γυναικὸς αὐτοῦ Σοφίας.

CCXXII. ΠΕΡΙ ΤΙΝΟΣ ΙΟΥΔΑΙΟΥ ΠΑΙΔΟΣ.

536—552 Ἐφ' οὗ καὶ Ἰουδαῖός τις ἐν Κ. Π. ὑελοψικὴν τέχνην ἔχων, παιδίον ἐκέκτητο μονογενές, ὃ (καὶ παρέδωκε μανθάνειν γράμματα πλησίον τῆς μεγάλης ἐκκλησίας, ἧς ὁ σκευοφύλαξ, ἔχων λείψανα πολλὰ τῆς ἁγίας τραπέζης ἐξ ἱκανοῦ χρόνου, προσεκαλέσατο παῖδας πρὸς τὸ δαπανῆσαι αὐτά· εἰσῆλθεν ὁμοίως καὶ τὸ Ἰουδαϊκὸν καὶ μετέλαβε καὶ αὐτὸ μετὰ τῶν λοιπῶν χριστιανῶν παιδίων. Ἀπολυθὲν δὲ καὶ πρὸς τοὺς γονεῖς ἐλθὸν, ἠρωτᾶτο παρὰ τοῦ πατρὸς αὐτοῦ· «Ἵνα τί ἐβράδυνας, τέκνον;» Ὁ δὲ παῖς ἀπεκρίθη· «Μετὰ τῶν χριστιανῶν παιδίων (ἀπελθὼν) εἰς τὴν μεγάλην ἐκκλησίαν,

---

13. Ced. 684,3,4; λιμένα Σοφίας 685,12—14. — 17. Rubrica M. 2. Π. τ. Ἰ. τοῦ βίψαντος τὸν παῖδα αὐτοῦ ἐν τῇ καμίνῳ Par. 1706, evanuit in cod. — 18. Ced. 686, 23—688,2: Ἐπὶ τούτου τοῦ εὐσεβεστάτου Ἰ. Ἰ. τις ἐν τῇ πόλει ὑελοψὸς π.—21. τρ. δέδωκε τοῖς παισὶ πρὸς Ced.—22. μεθ' ὧν συνῆλθε καὶ τὸ Ἰ. παιδίον ὅπερ ἀπ. πρ. τ. γ. αὐτοῦ ἀπῆλθε καί φησιν ὁ πατὴρ αὐτοῦ ἵνα Ced. καὶ μετ. — παίδων om. Slav.

ἔφαγον κἀγώ, πάτερ, (καὶ διὰ τοῦτο ἐβράδυνα)». Ὁ δὲ δόλιος ἐκεῖνος θὴρ (ἢ πατὴρ) σφόδρα μανεὶς (ἔσχε παρ' ἑαυτῷ τὸ πρᾶγμα καὶ) μετὰ τὸ ἄριστον συμπαραλαβὼν μεθ' ἑαυτοῦ τὸν υἱὸν αὐτοῦ καὶ πρὸς τὸ ἐργαστήριον ἀπελθών, ἔῤῥιψεν αὐτὸν εἰς τὴν καμινον καὶ κλείσας τὴν θύρας ἀνεχώρησεν. Ἡ δὲ γυνὴ αὐτοῦ γινώσκουσα τὴν τοῦ πατρὸς μανίαν τὴν κατὰ τοῦ παιδὸς, εἰς τὸ ἐργαστήριον σπουδῇ παρεγένετο καὶ παρακύψασα διὰ τῆς ὀπῆς τῆς θύρας ἤκουσε τὴν φωνὴν τοῦ παιδὸς ἔσω ἐν τῇ καμίνῳ· καὶ τὴν θύραν παταξασα καὶ εἰσελθοῦσα, ἐξέβαλε τὸν υἱὸν αὐτῆς ἄφλεκτον ἐκ τῆς καμίνου. Λεγούσης δὲ αὐτῆς· «Τίς ἐνέβαλέ σε, τέκνον, εἰς τὴν κάμινον, καὶ πῶς οὐκ ἐφλέχθης;» φησὶν ὁ παῖς· «Ὁ μὲν πατήρ μου ἐνέβαλέ με, γυνὴ δὲ πορφυροφοῦσα ἦλθε καὶ τὴν φλόγα κατέσβεσε λέγουσα*· «Μὴ φοβοῦ, παιδίον». Ἡ δὲ μήτηρ αὐτοῦ ταῦτα ἀκούσασα καὶ καταπλαγεῖσα καὶ τὸν υἱὸν παραλαβοῦσα, πρὸς τὸν πατριάρχην Μηνᾶν ἔφθασε καὶ πάντα ἀναγγείλασα (αὐτῷ) παρεκάλει χριστιανὴ γενέσθαι (μετὰ τοῦ παιδίου αὐτῆς). Ὃς αὐτίκα τῷ βασιλεῖ ἀγαγὼν ἀμφοτέρους ἐκέλευσεν ὁ βασιλεὺς παραστῆναι καὶ τὸν πατέρα τοῦ παιδίου καὶ (τοῦτον) μετὰ τὴν ἐξέτασιν πολλὰ παραινέσας καὶ παρακαλέσας χριστιανὸν γενέσθαι, οὐκ ἔπεισε, ὅθεν προσέταξεν ἀνασκολοπισθῆναι αὐτὸν ὡς φονέα τοῦ ἰδίου παιδὸς γενόμενον, τὴν δὲ γυναῖκα βαπτίσας ἐποίησεν ἀσκήτριαν, τὸν δὲ παῖδα ἀναγνώστην**.

CCXXIII. ΒΑΣΙΛΕΙΑ ΤΙΒΕΡΙΟΥ.

Τιβέριος μετὰ Ἰουστῖνον ἐβασίλευσεν ἔτη δ'. Τούτου 565
ἀνελθόντος ἐπὶ ἱπποδρόμιον, ἔκραξαν τὰ μέρη· «Ἴδωμεν,

---

3. ἀριστῆσαι λαβὼν τὸ παιδίον καὶ ἀπ. εἰς τὸ ἐ. αὐτοῦ ἐρ. αὐτὸ εἰς Ced. — 5. τὴν κ. τοῦ π. μ. τοῦ ἀνδρὸς αὐτῆς εἰδυῖα, ἀπελθοῦσα ἐν τῷ ἐργαστηρίῳ καὶ διὰ τῆς ὀ. π. ἡ. τῆς φωνῆς καὶ εἰσ. εὗρε τὸν παῖδα καθήμενον ἐσωθεν τῆς κ. ἀκαταφ. Ὃν ἐξαγαγοῦσα ἠρώτα αὐτὸν πῶς ἀκατάφλεκτος διέμεινε. Ὁ δὲ ἀπεκρίνετο. Γ. π. Ced.— * μοι Ced. — 14. κατ. ἀπῆλθε σὺν τῷ υἱῷ πρ. τὸν π. Μ. καὶ Ced. — 17. Ὁ δὲ πρὸς τὸν βασιλέα ἀπήγαγε καὶ Ced. — 19. ἐξ. παρεκάλει ὁ βασιλεὺς γ. χ. καὶ π. π. αὐτὸν οὐκ ἐπ. ὁ. καὶ πρ. ἀ. ἀν. ὡς φ. γ. τοῦ ἰ. παιδίου, τὴν δὲ γ. καὶ τὸ παιδίον β. ὁ πατρίαρχης τὴν μὲν ἐπ. ἀ. τὸ δὲ παιδίον ἀν. Ced. — 24. Ced. 688,8—12. ε' Leo.— 25. ἐν τῷ ἱππικῷ ἀνεκ. Ced. — ** ἐξ ἄλλου· (2) Οὗτος ὁ βασιλεὺς Ἰουστῖνος

ἴδωμεν τὴν Αὐγοῦσταν Ῥωμαίων». Ὁ δὲ ἐδήλωσεν· «Ἡ ἀντικρὺ τοῦ δημοσίου λοετροῦ Διηγιστέως ἐκκλησία (οὖσα)

μεγαλόδωρος ἦν καὶ φιλόκτιστος, ἔσχε δὲ γυναῖκα Σοφίαν ὀνόματι (Ced 680,13 — 15). (3) Εὐσεβὴς δὲ ὢν (καὶ ὀρθόδοξος) ἐπεκόσμησε τὰς ἐκκλησίας τὰς κτισθείσας ὑπὸ Ἰουστινιανοῦ, τήν τε μεγάλην ἐκκλησίαν (καὶ) τοὺς ἁγίους ἀποστόλους, ἀπό τε κειμηλίων καὶ ἀμφίων καὶ πάσης προσόδου (Ced. 680,15 — 17). (4) Ὁ αὐτὸς ἀνελθὼν ἐν τῷ ἱπποδρομίῳ, τῶν δήμων στασιαζόντων, ἐδήλωσε τοῖς Βενέτοις, ὅτι ὑμῖν Ἰουστινιανὸς ὁ βασιλεὺς ἐτελεύτησε, τοῖς δὲ Πρασίνοις (τοὺς — Πρασίνοις cod.) ὅτι ὑμῖν Ἰουστινιανὸς ὁ βασιλεὺς ζῇ. Καὶ ἀκούσαντα τὰ μέρη ἡσύχασαν. (5) Ὁ αὐτὸς κτίζει καὶ τὰ παλάτια Σοφιανῶν ἐξαίσια καὶ λαμπρὰ καὶ ὑπερθαύμαστα — καὶ τὴν νῆσον τὴν Πρίγκιπον, ὃ ἦν προαστεῖον αὐτοῦ, κατασκευάσας καὶ ἐκεῖ παλάτιον (Ced. 684.3—6). (6) Ὁ αὐτὸς ἔκτισε καὶ τὴν ἐκκλησίαν τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου ἐν τῷ ὀρφανοτροφείῳ, ἀλλὰ καὶ τὰς β' ἀψῖδας τῶν Βλαχερνῶν ὁ αὐτὸς προσέθηκε ὡς εἶναι τὴν ἐκκλησίαν σταυρωτήν· (Ced. 684,12—15). (7) Ναρσῆς δὲ ὁ κουβικουλάριος (143ª) ἠγαπᾶτο παρὰ τοῦ βασιλέως· διὸ καὶ ἐλοιδορεῖτο εἰς αὐτὸν ὑπὸ τῶν εἰωθότων ἴσως πάντα ὑπονοεῖν, ὃν ἀπέστειλεν Ἀλέξανδρον (ἐν Ἀλεξανδρείᾳ Leo.) κατ' ἐχθρῶν, καὶ διεπράξατο πράξεις ἀρίστας (a. 567). (8) Οὗτος ὁ Ναρσῆς ἔκτισε τὴν ὑπεραγίαν Θεοτόκον, ἐν ᾧ καὶ λείψανα τῶν ἁγίων μαρτύρων Πρόβου, Ταράχου καὶ Ἀνδρονίκου ἀπέθετο (Ced. 684,7)· (9) Τιβέριον δὲ τὸν κόμητα τῶν ἐξκουβίτων ἀπέστειλε κατὰ τῶν Οὔνων ἐξελθόντων καὶ ληλατούντων τὰ Θρᾳκῶα μέρη (Ced. 685,5 a 570). (10) Εἶτα νόσῳ ληφθεὶς Ἰουστῖνος Τιβέριον ἰδιοποιησάμενος, Καίσαρα ἀνηγόρευσεν (Ced. 685,6,7. a. 574). (11) Κτίζει δὲ καὶ τὰ παλάτια τὰ ἐν τῷ Ἰουλιανοῦ λιμένι ἐπ' ὀνόματι τῆς γυναικὸς αὐτοῦ Σοφίας, ἀποκαθάρας τὸν λιμένα καὶ μέσον ἱδρύσας στήλας β' αὐτοῦ τε καὶ τῆς γυναικὸς αὐτοῦ, μετονομάσας τὸν λιμένα Σοφίας (Ced. 685,11—14 a. 577). (12) Νόσῳ δὲ βαρηθεὶς προσεκαλέσατο τόν τε ἀρχιερέα καὶ τὴν σύγκλητον πᾶσαν καὶ ἀγαγὼν Τιβέριον παρουσίᾳ πάντων, προεβάλετο αὐτὸν βασιλέα εἰπὼν τάδε· «Ὁ θεός ἀγαθόν σε ποιήσας, αὐτὸς, οὐκ ἐγὼ, τὸ ἀξίωμα (σχῆμα Leo, Ced.) τῆς βασιλείας σοι δίδωσι. Τίμησον (οὖν) αὐτὸν (αὐτὸ Ced.), ἵνα τιμηθῇς ὑπ' αὐτοῦ· μὴ ἐπιχαίρῃς (ἐπιχαῖρε cod.) αἵμασι· μὴ κοινώνει (κονωνῇς Leo.) φόνοις· μὴ κακὸν ἀντὶ κακοῦ ἀποδῷς (ἀποδώσῃς Ced.)· μὴ μνηνιήσῃς (μηνήσῃς cod, μνηνῇς Ced, Leo.) τινὶ ὡς κἀγώ· κἀγὼ (γὰρ Leo, Ced.) μηνιήσας (μηνήσας cod. μηνιῶν Ced. μηνιεῖς Leo.) ἔπταισα καὶ σφαλεὶς ἀπέλαβον κατὰ τὰς ἀνομίας μου, ἀλλὰ δικάσομαι ἐν τῷ θεῷ τοῖς ὑποβάλλουσί μοι ταῦτα· μὴ ἐπαρθῇς ἐπὶ (τῇ) τιμῇ τῆς βασιλείας σου· οὕτως ἔχε τοὺς πάντας ὡς σεαυτόν· γνῶθι τίς ἦς καὶ τίς εἶ νῦν· μὴ ὑπερηφανῇς (ὑπερηφανεῖς cod. ὑπερήφανος ἦς Ced, Leo.) τοῖς ὁμοφύλοις καὶ οὐχ ἁμάρτῃς. Οἶδας τίς ἤμην καὶ τίς εἰμὶ νῦν, τὸν θάνατον ἐν ὀφθαλμοῖς ὁρῶν. Πάντες οὗτοι οἱ παριστάμενοι δοῦλοί εἰσι καὶ τέκνα σου. Τῷ στρατῷ πρόσεχε· ἀνάνδρους καὶ ἀσυνέτους μὴ προχειρίζου. Μή σε πεισάτωσαν, ὅτι καὶ οἱ πρὸ σοῦ οὕτως διεγένοντο. Ταῦτα παρεγγυῶ σοι καὶ παραινῶ ἀφ' ὧν ἔπαθον. Πε-

ὁμώνυμος· τῇ Αὐγούστῃ». Εὐφήμησαν οὖν τὰ μέρη· «Ἀναστασίας Αὐγούστης πολλὰ τὰ ἔτη».

(2) Ἡ δὲ Σοφία, ἡ τοῦ Ἰουστίνου γυνή, ἐπλήγη τὴν ψυχήν· οὐ γὰρ ᾔδει ἔχειν αὐτὸν γυναῖκα καὶ διὰ τοῦτο προσεφλιώθη αὐτῷ ἐπὶ Ἰουστίνου, πείσασα αὐτὸν προβαλέσθαι εἰς βασιλέα Τιβέριον, βουλομένη γῆμαι αὐτὸν καὶ μεῖναι Αὐγοῦσταν.

(3) Ταύτην δὲ κατήγαγε Τιβέριος εἰς τὸ παλάτιον τὸ ἐν τῷ Ἰουλιανοῦ λιμένι, κελεύσας κουβικουλαρίους καὶ ἑτέρας τινὰς εἶναι εἰς ὑπηρεσίαν αὐτῆς καὶ διατηρεῖν αὐτήν· ἐτίμα δὲ αὐτὴν ὡς μητέρα, ποιῶν πᾶσαν θεραπείαν αὐτῆς.

(4) Οὗτος ἔκτισε καὶ τὸ δημόσιον Βλαχερνῶν λοετρὸν 582
καὶ πολλὰς ἐκκλησίας καὶ ξενῶνας ἀνενεώσατο.

(5) Οὗτος Μαυρίκιον καὶ Ναρσῆν κατὰ Περσῶν ἀπέστειλε· Μαυρικίου δὲ ὑποστρέψαντος μετὰ νίκης μεγάλης, ἐδέξατο αὐτὸν ὁ βασιλεὺς μετὰ τιμῆς πολλῆς καὶ γαμβρὸν αὐτὸν εἰσεποιήσατο, ὡσαύτως καὶ Γερμανὸν ἐν τῇ ἑτέρᾳ θυγατρὶ, ἀμφοτέρους ποιήσας Καίσαρας.

ριουσίας οἱ ἔχοντες, ἀπολαυέτωσαν αὐτῶν (αὐτοῖς cod.) χρησίμως· τοῖς μὴ ἔχουσιν (οἱ ἔχοντες χορηγήτωσαν. [εἰ ἀγαθοὶ δώρησαι Leo]. Οἶδας ὅτι τῶν σπλάγχνων μου) σε προετιμησάμην (προετίμησα Leo, εἰ Ced.). Τὴν μητέρα σου, τὴν ποτέ σου δέσποιναν γενομένην σέβου καὶ τίμα· δοῦλος γὰρ ἦσθα πρότερον, νῦν δὲ γενοῦ αὐτῆς». Ταῦτα εἰπόντος τοῦ βασιλέως καὶ τοῦ Καίσαρος ἐν τοῖς ποσὶν αὐτοῦ πεσόντος, ἔφη ὁ βασιλεύς· «Εἰ θέλεις, [εἰμὶ· εἰ οὐ θέλεις], οὐ ζῶ (οὐκ ὦ Leo.). Ὁ θεὸς ὁ τὸν οὐρανὸν καὶ τὴν γῆν ποιήσας, ἐμβάλοι (ἐμβάλῃ Ced.) εἰς τὴν σὴν καρδίαν (τὴν κ. σου Ced.) καὶ ἄλλα, ἃ ἐπελαθόμην εἰπεῖν σοι». Τελευτήσαντος δὲ αὐτοῦ, Τιβέριος τὴν βασιλείαν ἐκράτησεν (Ὅρα παραγγελίαν Ἰουστίνου πρὸς τὸν Τιβέριον Glossa; Ced. 685,19—686,20. a. 678). (13) Ἐπὶ Ἰουστίνου χειροτονεῖται Ἰωάννης ὁ νηστευτὴς πατριάρχης (a. 582? Haec omnia desunt in Serb. et Bulg.) — * ἐστι Ced, Leo. — 3. Ced.688,12—16.—5. ὑπὸ Ced. — 7. Αὐγοῦστα Ced. — 8. Ced. 688,16—19. — π. τῶν Σοφιῶν κελ. Ced. — 9. κουβικουλάριον Ced. — ἑτέρους Leo, Ced. — 11. ἴσα μητρὶ Leo, Ced. — 13. Ced. 690,6—8: Τῷ δ' αὐτοῦ ἔτει κτίζει Τιβέριος τὸ δ. τῶν Β. — ἀνανεοῖ δὲ καὶ ἐ. π. καὶ ξ. κτλ. Ced. — 15. Ced. 690,14—691,1. — 16. ἀνάγκης cod.

(6) Φαγὼν δὲ κώμωρα πρώϊμα ἀξιοθέατα πεφαρμακωμένα καὶ μέλλων τελευτᾶν Μαυρίκιον * βασιλέα ἀνηγόρευσεν.

CCXXIV. ΒΑΣΙΛΕΙΑ ΜΑΥΡΙΚΙΟΥ **.

583 Μετὰ Τιβέριον ἐβασίλευσε Μαυρίκιος, ὁ γαμβρὸς αὐτοῦ ὁ Ἀρμένιος, ἔτη κ', ὃς ἔσχε γαμβρὸν ὀνόματι Φιλιππικόν, ὃς ἔκτισε μονὴν *** ἐν Χρυσοπόλει ἐπ' ὀνόματι αὐτοῦ.

(2) Στρατηλάτης δὲ **** παρὰ Μαυρικίου προχειρισθεὶς καὶ ἀναλαβὼν τὰ στρατεύματα κατὰ Περσῶν ἐχώρει, πολλὰς ἀνδραγαθίας κατ' αὐτῶν ἐνδεικνύμενος ἅμα Ἡρακλείῳ στρατηγῷ.

(3) Κτίζει δὲ ὁ Μαυρίκιος τὰ Καριανοῦ καὶ τὸν ἐν αὐτῷ ἔμβολον, ὑπογράψας ἐν αὐτῷ καὶ αὐτοῦ πράξεις (καὶ τὸν ναὸν τῶν ἁγίων μ' ὄντα πλησίον τοῦ σωτηρίου).

(4) Καὶ τὴν λιτὴν δὲ τὴν ἐν Βλαχέρναις τελεισθεῖσαν τῆς ὑπεραγίας θεοτόκου διετύπωσε καὶ τὴν προέλευσιν ἀπαρτήσας καὶ τὸ ἐν αὐταῖς δημόσιον λουτρόν.

590, 591 (5) Ἐπὶ τούτου Χαγάνος ὁ τῶν Ἀβάρων ἀρχηγὸς τὰς σπονδὰς διαλύσας ἐπὶ τὴν Θρᾴκην χωρεῖ καὶ πολλὰ στρατεύματα τῶν Ῥωμαίων ἀναιρεῖ.

(6) Τοῦ δὲ βασιλέως κατ' αὐτοῦ ἐξιόντος καὶ ἐν τῷ Δαονίῳ γενομένου, τῇ νυκτὶ ἐκείνῃ γύναιον ἔτικτε καὶ οἰκτρὰς φωνὰς ἠφίει. Ὁ δὲ βασιλεὺς ἀπέστειλε μαθεῖν τὸ συμβάν, καὶ εἶδον παιδίον γεννηθὲν ἄνευ ὀφθαλμῶν καὶ βλεφάρων, μήτε χεῖρας μήτε βραχίονας ἔχον·

---

1. Ced. 691,1—5: Τῇ δὲ ιδ' τοῦ Αὐγούστου μηνὸς φ. — συκόμωρα πρ. Leo, συκάμινα ὄψιμα Ced. — νενοθευμένα Ced. — 2. τεθναίναι, προσκαλεῖται τὸν πατριάρχην Ἰωάννην καὶ τὴν σύγκλητον ἅμα τοῖς στρατεύμασι καὶ M. Ced. — * τὸν ἴδιον γαμβρὸν Ced. — ἀναγορεύει Ced. — ** τοῦ Ἀρμενίου M. 2. — *** τῆς Θεοτόκου, ἐν Κ. Π. δὲ οἶκον τὸν λεγόμενον τοῦ Φ. Leo, Ced. 698,7—12. — **** τῆς ἑώας Ced. 602,10. — 12. Ced. 694,18: Ὁ δὲ M. ἔκτισε τὸν Καριανὸν ἐ. ἐν Βλ. γρ. ἐν ἀ. διὰ ζωγραφίας τὰς ἐ. πρ. Ced. — 15. Ced. 694,20—23. — 18. Περὶ τοῦ παιδὸς του γεννηθέντος ἄνευ χειρῶν — 21. Ced. 695,24—696,2. — 22. γενομένῳ cod. — 25. ἔχων cod. — τῷ ἰσχίῳ Ced.

πρὸς δὲ τὸ ἰσχιον (καὶ) ἰχθύος οὐρὰ προσπεφυκυῖα ὑπῆρχεν αὐτῷ *.

(7) Ἀλλὰ καὶ εἰς τὰ ἔξωθεν τοῦ Βυζαντίου χωρία ἐτέχθησαν δύο παιδία, ἓν μὲν τετράπουν, καὶ ἕτερον δικόρυφον. Οἱ δὲ τὰς ἱστορίας γράψαντες λέγουσι μὴ σημαίνειν ἀγαθὰ ταῖς πόλεσιν ἐν αἷς τοιαῦτα τίκτονται.

(8) Τῇ (δὲ) αὐτῇ ἡμέρᾳ καὶ ὁ ἵππος τοῦ βασιλέως ** διερράγη πεσών.

(9) Ὁ δὲ τούτοις οὐκ εἰς καλὸν οἰωνισάμενος, ὑπέστρεψεν ἐν τῇ πόλει.

(10) Ἀλλὰ καὶ κύων ἑξάπους κεφαλὴν ἔχων λεοντώδη ἐγεννήθη παμμεγέθης σφόδρα.

CCXXV. ΠΕΡΙ ΤΩΝ ΣΕΙΡΗΝΩΝ ΚΡΟΚΟΔΕΙΛΩΝ ΚΑΙ ΥΔΡΕΩΝ.

Καὶ ἐν τῷ Νείλῳ ποταμῷ *** ἐφάνησαν ἡλίου ἀνατέλλοντος ἀνθρωπόμορφα δύο ζῷα, ἀνὴρ **** καὶ γυνὴ (ἅπερ σειρῆναι προσαγορεύονται, ἡδύφθογγα πάνυ καὶ θανατηφόρα· τὴν δὲ μορφὴν ἔχουσιν ἀπὸ κεφαλῆς ἕως ὀμφαλοῦ, ἀνθρώπου, τὸ δὲ λοιπὸν πετεινοῦ) καὶ ὁ μὲν ἀνὴρ ***** εὔστερνος (ἦν καὶ) κατάπληκτος ******, ἡ δὲ γυνὴ ******* τὴν ὄψιν καὶ τὴν κόμην ξανθὴν (ὁμοίως καὶ ὁ ἀνὴρ τούς τε μασθοὺς εἶχε καὶ τὴν ὄψιν ἄτριχον καὶ τὴν κόμην βαθεῖαν. Ὁ δὲ λαὸς μετὰ τοῦ ὑπάρχου θαυμάζοντες ὅρκοις ἔβαλλον ἐκεῖνο τὸ ἀνδρόγυνον μὴ ἀναχωρῆσαι πρὶν ἅπαντες ἐμφορηθῶσι τῆς θέας ταύτης παραδόξου). Καὶ (δὴ) μέχρις ὥρας θ' πᾶς ὁ λαὸς ἐθαύμαζε θεωρῶν τὰ ζῷα ταῦτα. Καὶ οὕτω πάλιν εἰς τὸν ποταμὸν κατέδυσαν.

---

1. προσφυῶς Ced. — * ὀστρακόδερμος. Τῇ αὐτῇ ἡμέρᾳ καὶ κύων ἑξάπους κεφαλὴν ἔχων λεοντώδη γεννηθεὶς ἐγίνετο μέγας σφόδρα Ced. — ** ὁ τὸν χρυσοῦν περικείμενος κόσμον, ἀθρόως Ced. 696,4. — 8. T. πᾶσιν ὁ.-ὁ βασιλεὺς περίλυπος ἦν Ced. 696,5.—10. περὶ τοῦ ἑξάποδος κυνός.—12. π. κρ. Par. 1706, π. κροκοδίλου M. 2. — 14. Ced. 700,19—701,6: Κατὰ τοῦτον τὸν χρόνον (τῷ ιη' ἔτει). — *** μετὰ τοῦ λαοῦ πορευομένου ἐν τόπῳ τῷ ἐπιλεγομένῳ Δ. Ced. — ἡ. ἀνίσχοντος ζ. ἀ. ἐν τῷ ποταμῷ ἐφ. Ced. — **** τε Ced. — ***** εὔστολος Ced, — ****** τὴν ὄψιν κτλ. Ced. — ******* τούς τε μασθοὺς εἶχε καὶ Ced. — 20. ὁ. λείαν καὶ κ. βαθεῖαν. — 23. ἐθαύμασεν ὁρῶν. — 24. Καὶ τῇ θ' ἐδ. ἐν τῷ ποταμῷ Ced.

(2) Τούτων δὲ καταδυσάντων κροκόδειλοι ἀνέδυσαν (καὶ ἐκπηδήσαντες πολλοὺς τῶν ἀνθρώπων διέφθειραν). Ὁ (γάρ τοι) κροκόδειλος θηρίον μέγα ἐστὶν ὁμοῦ καὶ ἰχθῦς ἀπὸ κεφαλῆς μέχρι οὐρᾶς, καὶ ἡ μὲν χροιὰ τοῦ νώτου αὐτοῦ πέτρᾳ μελαίνῃ προσέοικε, ἡ δὲ γαστὴρ λευκή· καὶ πόδες αὐτῶν εἰσὶ δ' καὶ οὐρὰ μεγίστη, τραχεῖα· τῆς βάχεως γάρ ἐστιν ἑνὸς ὀστέου τελευτή· καὶ ἐντέτμηται ὡς ἀκάνθας (143ª) ὥσπερ αἱ τῶν πριόνων (ὁρμαὶ καὶ) ἀκμαί, καὶ τύπτει μετ' αὐτῆς πρὸς οὓς ἂν μάχηται, καὶ πολλὰ ποιεῖ τραύματα· ἡ δὲ κεφαλὴ αὐτοῦ προσήρμοσται τοῖς ὤμοις ἐξισουμένη ἐφ' ὅσον μὲν οὐ κέχηνε θηρίου ἐστὶ κεφαλή· ἐπὰν δὲ χάνῃ, ὅλη γίνεται στόμα μέχρι τῶν ὤμων τὸ χάσμα ποιοῦσα.

(3) Ἀναιρεῖ δὲ τοῦτο πολλάκις ἡ λεγομένη ὕδρις ἐν τῷ αὐτῷ ποταμῷ ὑπάρχουσα, μορφὴν ἔχουσα κυνὸς τοιούτῳ τρόπῳ. Τὸ γὰρ στόμα διανοίγων ὁ κροκόδειλος καὶ οὕτως καθεύδων, ἡ ὕδρις ἐγκυλισαμένη εἰς πηλὸν καὶ διὰ τοῦ στόματος αὐτοῦ πρὸς τὴν γαστέρα χωροῦσα καὶ ταύτην διαῤῥήξασα, (θᾶττον) ἐξέρχεται διὰ τῆς ἕδρας νεκρὸν αὐτὸν καταλιμπάνουσα. Καὶ ταῦτα μὲν ὧδε· πρὸς τὰ ἑξῆς ὁ λόγος βαδισάτω.

(4) Πρίσκον ὁ βασιλεύς, τὸν ἴδιον γαμβρόν, ἀποστείλας κατὰ Σκυθῶν μετὰ παντὸς τοῦ στρατοῦ, οἳ τοὺς Σκύθας νικήσαντες ἀντῆραν κατὰ τοῦ βασιλέως. Μηνιῶν δὲ αὐτοῖς ὁ βασιλεύς, πολέμου συγκροτηθέντος μεταξὺ Ῥωμαίων καὶ βαρβάρων, ὑπέθετο Μαυρίκιος ὁ βασιλεὺς τῷ στρατηγῷ καταπιστευθέντι τὸ στράτευμα προδοῦναι τούτους τοῖς πολεμίοις, δι' ἣν ἀνταρσίαν κατ' αὐτοῦ ἐμελέτησαν, ὅπερ καὶ γέγονε.

---

1. Ced. 701,6 — 14. Καὶ ἰδοὺ καὶ κροκοδείλων πλῆθος ἀνεφάνη. Ὁ δὲ κρ. θ. ἐ. ὁμοῦ καὶ ἰ. μέγας, ἀμφίβιος δὲ καὶ ἡ μὲν χ. τ. ν. ἀ. π. ἔοικε μ. ἡ δὲ γ. λ. π. δὲ δ' καὶ ὀ. μεγάλη καὶ τρ. — 6. ἐν. δὲ ἄνωθεν ὡς αἱ Ced. — 8. ἐν ταὐτῷ καὶ τραυματίζει· ἡ κ. δὲ προσηρμοσμένη τ. ὠ. καὶ ἐ. καὶ ἐφ' Ced. — 10. κ. ἐ. ἐὰν Ced. — 11. ποιοῦσα τὸ χ. Ced. — 12. Ζῷον δέ ἐστι μικρὸν ἡ ὑ. ἥτις καὶ ὕλλος λέγεται κ. ἐχ. μ. αὕτη εἰς π. κυλ. ἐπιτηροῦσά τε τὸν κροκόδειλον καθευδοντα, εἰσπηδᾷ διὰ τοῦ στ. ἀ. — κεχηνὼς γὰρ ὁ κροκόδειλος καθεύδει εἰς τ. γ. τούτου χ. κ. τ. διαῤῥήσσουσα, ἐ. δ. τ. ἐ. ἀπονεκροῦσα αὐτόν Ced. 701,14—19. — 25. δι' ὃ?

(5) Συνελήφθη οὖν πλῆθος πολύ, καὶ ἤγαγεν αὐτοὺς ὁ Σκύθης ἐξωνηθῆναι παρὰ Ῥωμαίων. Ἐδήλωσε δὲ ὁ βασιλεὺς τῷ χαγάνῳ δωρεὰν αὐτῷ πάντας ἀπολυθῆναι. Ὁ δὲ ἀντεδήλωσεν· «Ἀποδίδωμι πάντας κατὰ ψυχὴν νόμισμα κομιζόμενος». Τοῦ δὲ βασιλέως μὴ ἀνασχομένου δοῦναι, ἀνὰ ἥμισυ νομίσματος ἠξίωσε λαβεῖν ὁ βάρβαρος. Καὶ μηδὲ τοῦτο καταδεξάμενος ὁ βασιλεύς, θυμωθεὶς ὁ βάρβαρος ἀπέκτεινε χιλιάδας ιβ' ἐν τῷ κάμπῳ τοῦ τριβουναλίου.

(6) Ὅθεν ἐκ τούτου ἐμισήθη Μαυρίκιος ὑπὸ πάντων καὶ ἐλοιδόρουν αὐτὸν καὶ κατηρῶντο. Ὁ δὲ μεταμεληθεὶς καὶ τὸ μέλλον κριτήριον ἐννοήσας, εἵλετο μᾶλλον τὴν ἁμαρτίαν ἐνταῦθα ἀπολαβεῖν καὶ μὴ ἐπὶ τοῦ φοβεροῦ κριτηρίου. Καὶ ποιήσας δεήσεις ἐγγράφους ἀπέστειλεν εἰς τε τοὺς πατριαρχικοὺς θρόνους καὶ εἰς ἀσκητήρια καὶ μοναστήρια μετὰ δώρων πολλῶν, ὅπως εὔξωνται περὶ αὐτοῦ, ἵνα τὴν ἁμαρτίαν ἐνταῦθα ἀπολάβῃ.

(7) Προεσκανδαλίζετο δὲ καὶ εἰς Φιλιππικόν, τὸν γαμβρὸν αὐτοῦ, διὰ τὸ Φῖ γράμμα. Οὕτω γὰρ εἶπον τῷ Μαυρικίῳ, ὅτι Φῖ αὐτὸν διαδέξεται. Ὃς δὶ ὅρκων πολλῶν ἐπληροφόρει Μαυρίκιον καθαρὸς εἶναι τῆς τοιαύτης ὑποψίας. Τοῦ δὲ Μαυρικίου τὸν θεὸν ἱκετεύοντος ῥυσθῆναι τῆς ἁμαρτίας ταύτης, εἶδεν ἐνύπνιον τοιοῦτο, ὡς ὅτι λαοῦ πλείστου παρεστῶτος τῇ εἰκόνι τοῦ Χριστοῦ ἐν τῇ χαλκῇ πύλῃ τοῦ παλατίου, φωνὴ ἐκ τῆς εἰκόνος ἐγένετο λέγουσα· «Ἀγάγετέ μοι Μαυρίκιον». Ὃν ἀγαγόντες παρέστησαν. Καὶ φησὶν* ἡ θεία φωνή· «Ποῦ θέλεις (ὦ Μαυρίκιε) ἀποδώσω σοι, ἐν-

---

1. ἤγαγον ἀ. οἱ Σκύθαι Leo. — 7. καταδεξαμένου τοῦ βασιλέως Leo, cf. Ced. 700,6—13. — 11. ἐξελέξατο μ. ἐ. ἢ ἐκεῖσε M. cf. Ced. 704,1—6. — 17. Ced. 704,7—705,12: Ἐσκ. ὡς τὸ φῖ ἔχειν εἰς χρηματισμὸν τὸν τοῦτον ἀναιρήσοντα, καίτοι διαφόρως αὐτῷ Φιλιππικοῦ ὀμνυμένου μὴ ἔχειν ἐξ αὐτοῦ φόβον τινά. Πάντων οὖν περὶ τούτου εὐχομένων, ἐ. ὁ Μαυρίκιος ἐν μιᾷ νυκτὶ ὡς εἰς τὴν χαλκῆν πύλην τοῦ π. ἱστάμενον ἑαυτὸν ἔμπροσθεν τῆς ἐ. τοῦ σωτῆρος καὶ λαὸν πολὺν σὺν αὐτῷ τῶν αἰχμαλώτων ἐγκαλούντων καὶ φ. γέγονεν ἐκ τοῦ ἁγίου χαρακτῆρος λέγουσα· «Δότε M.» Καὶ οἱ δῆθεν ὑρηρέται κρατήσαντες αὐτὸν π. ἐν τῷ πορφύρῳ ὀμφαλίῳ τῷ ἐκεῖσε. — * πρὸς αὐτὸν Ced. — 26. ὧδε ἢ Ced.

ταῦθα [ἢ] ἐν τῷ μέλλοντι αἰῶνι;» Ἀποκριθεὶς εἶπεν· «ὧδε καὶ μὴ ἐκεῖθεν». Καὶ εὐθέως ἐκέλευσεν ἐκδοθῆναι αὐτὸν * καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα ** καὶ πᾶσαν τὴν συγγένειαν (αὐτοῦ) Φωκᾶ τῷ στρατιώτῃ. Διυπνισθεὶς οὖν ἀπέστειλεν εὐθὺς τὸν παρακοιμώμενον αὐτοῦ ἀγαγεῖν Φιλιππικόν, ὃς ἐν τῇ αὐτῇ ὥρᾳ ἰδὼν τὸν παρακοιμώμενον καὶ τῆς ἑαυτοῦ ζωῆς ἀπογνούς, ἠτήσατο κοινωνῆσαι, καὶ οὕτως ἀπῇει πρὸς τὸν βασιλέα καταλιπὼν τὴν γυναῖκα ἐπὶ σάκκου καὶ σποδοῦ (144[b]) θρηνοῦσαν. Ἐλθὼν δὲ πρὸς τὸν βασιλέα, ἔπεσεν ἐν τοῖς ποσὶν αὐτοῦ. Ὁ δὲ βασιλεὺς ἐκέλευσε τὸν παρακοιμώμενον ἐξελθεῖν, καὶ αὐτὸς ἔπεσε πρὸς τοὺς πόδας Φιλιππικοῦ λέγων· «Συγχώρησόν μοι, ἀδελφέ, ὅτι ἥμαρτόν σοι πολλά. Σὲ γὰρ ὑπενόουν τῇ ζωῇ μου ἐπιβουλεῦσαι· ἀλλὰ νῦν ἔγνων ἀθῶον εἶναί (σε). Παρακαλῶ οὖν σε εἰπεῖν μοι, εἰ γινώσκεις ἐν τοῖς τάγμασι Φωκᾶν τινὰ στρατιώτην». Ὁ δὲ Φιλιππικὸς ἔφη· «ἕνα γινώσκω, ὃς πρὸ καιροῦ πεμφθεὶς ἐκ τοῦ στρατοῦ ἀντέλεγε τῷ κράτει σου». Καὶ ὁ βασιλεὺς ἔφη· «ποίας ἐστὶ γνώμης;» *** «Δειλὸς καὶ θρασύς». Ὁ δὲ βασιλεὺς ἔφη· «εἰ δειλός, καὶ φονεύς». Καὶ διηγήσατο ὁ βασιλεὺς αὐτῷ τὸ ἐνύπνιον. Ὁ δὲ εἶπεν· «Ἴδε πῶς γράμμα τῷ θεῷ οὐ λείπει, δέσποτα», (ᾧ θέλει δοῦναι τὴν βασιλείαν).

(8) Ἐν αὐτῇ δὲ τῇ νυκτὶ ἐφάνη ἀστὴρ κομήτης ****.

(9) Καὶ τῇ ἐπαύριον ἔφθασεν ὁ ἀποσταλεὶς μαγιστριανὸς φέρων ἀπόκρισιν ἐκ τῶν ἁγίων, ὅτι ὁ θεὸς τὴν μὲν ψυχήν σου σώζει, δεξάμενος τὴν μετάνοιάν σου, τῆς δὲ παρούσης ζωῆς

---

1. Ὁ δὲ ἔφη· «Φιλάνθρωπε δέσποτα, δικαιοκρίτα· ὦ. μ. καὶ μὴ ἐν τῷ μέλλοντι» Ced. — * τε Ced. — ** αὐτοῦ Ced. — 6. ὃς ἀ. τῇ ὡ. Ced. — 10. ἐπὶ τοῖς Ced. — ἐξ. ἐκ. τὸν π. Ced. — 11. εἰς Ced. — *** ὁ δὲ ἔφη Ced. — 20. Ἴ. δ. πῶς οὐ λ. τὸν θν γ. Ced. — 21. ὃ cod. ὅταν τινὶ Leo. — 23. Ced. 705,12: Τῇ δὲ ν. ἐκείνῃ ἐφ. — **** ἐν τῷ οὐρανῷ ὁ λεγόμενος ξιφίας Ced. — 24. Ced. 705,16—18: Καὶ τῇ ἐπιούσῃ ἡμέρᾳ ἐφθ. — 25. θς δ. τὴν μ. σου σ. τὴν ψ. σου καὶ μετὰ τῶν ἁγίων κατατάττει σε πανοικὶ, τῆς δὲ βασιλείας μ. ἀτιμίας καὶ κ. ἐ. Ταῦτα ἀ. Μ. μ. τὸν θν ἐδόξαζε Ced.

μετὰ πολλῆς θλίψεως καὶ κινδύνων ἐκπίπτεις. Ἅπερ ἀκούσας Μαυρίκιος ἐκ ψυχῆς ηὐχαρίστησε τῷ Κυρίῳ μεγάλως.

(10) Κατεσκεύασε δὲ στέμμα Σοφία, ἡ τοῦ Ἰουστίνου 601
σοι γυνή, Μαυρικίῳ τῷ βασιλεῖ ὑπερφυὲς καὶ ὑπερτίμιον. 5 Ὁ δὲ τοῦτο θεασάμενος καὶ θαυμάσας τῇ ἡμέρᾳ τοῦ ἁγίου πάσχα ἀπέθετο ἐν τῇ ἐκκλησίᾳ καὶ τοῦτο ἀνέθηκε τῷ θεῷ.

(11) Τοῦ μετοπώρου δὲ καταλαβόντος καὶ τοῦ βασιλέως 602
γράψαντος Πέτρῳ τῷ στρατηγῷ παραχειμάσαι ἐν τῇ τῶν 10 Σκλάβων χώρᾳ, ἀντεῖπεν ὁ λαός· ὅθεν οἱ ἄρχοντες εἰς ἓν τὰ πλήθη συναθροίσαντες, προβάλλονται εἰς βασιλέα Φωκᾶν τὸν στρατιώτην.

(12) Τοῦ δὲ Πέτρου καὶ τῶν λοιπῶν ἀρχόντων ἐν τῇ πόλει παραγενομένων καὶ τοῦτο τῷ βασιλεῖ εἰπόντων, 15 Μαυρίκιος τὸ κατ' αὐτοῦ μῖσος τοῦ λαοῦ εἰδὼς, μεσούσης νυκτὸς ἀποδυσάμενος εἰσῆλθεν εἰς δρόμωνα σὺν τῇ γυναικὶ καὶ τοῖς τέκνοις φεύγων τὴν ἐπανάστασιν τοῦ λαοῦ.

(13) Καὶ μετὰ κινδύνου εἰς τὸν ἅγιον Αὐτονόμον διασωθεὶς, βουλόμενος εἴς τι φρούριον ὀχυρὸν καταφυγεῖν, οὐκ 20 ἴσχυσεν· αἴφνης γὰρ ἐπιτίθενται αὐτῷ σφοδρώτατοι πόνοι καὶ ἀρθρίτιδες, ὥστε κεῖσθαι αὐτὸν ἀμετακίνητον.

(14) Ὁ δὲ Φωκᾶς ὑπὸ τοῦ λαοῦ δεχθεὶς εἰσῆλθεν ἐν τῇ πόλει καὶ εἰς τὰ βασίλεια.

---

3. Τῷ ιθ' ἔτει, τοῦ ἁγίου πάσχα, Σ. Αὐγουστα ἡ γ. Ἰ. ἅμα Κωνσταντίνᾳ τῇ γυναικὶ Μαυρικίου στ. κατασκευάσασαι ὑπερτ. τῷ β. προσήγαγον. Ὁ δὲ βασιλεὺς τ. θ. ἀπελθὼν ἐν τῇ μ. ἐ. τῷ θεῷ τ. προσήγαγε, κρεμάσας ἐπάνω τῆς ἁγίας τραπέζης Ced. 701,20—24. — 8. Τῷ δὲ Π. στρ. ὄντι γράφει Μ. τὸν Ἴστρον διαπεραῶσαι καὶ ἐν ξένῃ χ. τὸν λαὸν π. ὅπερ ἀκοῦσαν τὸ πλῆθος ἐστασίασεν καὶ πρ. ἄρχοντα Φ τὸν κένταρχον κτλ. Ced. 705,18—22. — 13. Τοῦτο ὁ Πέτρος ἀκηκοὼς εἰς τὸ Βυζάντιον φεύγει καὶ πάντα ἀναγγέλει τῷ β. Ο δὲ Μ. μ. ν. ἰδιωτικὴν περιβαλόμενος ἐαθῆτα εἰς δρ. εἰσελθὼν μετὰ τῆς γυναικὸς καὶ τῶν τέκνων αὐτοῦ ἀποδιδράσκει Ced. 705, 22—706,3. — 18. Λαίλαπος δὲ γεγονυίας μόλις διασώζεται εἰς τὸν ἁ. Ἀ. ἐν ταύτῃ δὲ τῇ νυκτὶ ἀρθρῖτις καὶ ποδάγρα ἐπιπίπτει αὐτῷ Ced. 706,3—5. — 22. Οἱ δὲ Πράσινοι ἐξελθόντες εἰς τὸ Ῥήγιον μεγάλαις εὐφημίαις ἐτίμων τὸν τύραννον Φωκᾶν καὶ πείθουσιν αὐτὸν ἐν τῷ Ἑβδόμῳ παραγενέσθαι Ced. 706,5—7.

(15) Τὸν δὲ υἱὸν αὐτοῦ Θεοδόσιον ἀπέστειλε πρὸς Χοσρόην τὸν βασιλέα Περσῶν ἀναμνῆσαι αὐτὸν τὰς εἰς αὐτὸν εὐεργεσίας καὶ ὡς δι' αὐτοῦ τὴν βασιλείαν Περσῶν ἐκράτησε. Χοσρόης τὴν τῶν Περσῶν ἀθροίσας χῶραν * κατὰ Ῥωμαίων ἐχώρησεν ἐπὶ Φωκᾶ καὶ πολλὰς πόλεις καὶ χώρας τῶν Ῥωμαίων ἐπόρθησεν.

CCXXVI. ΒΑΣΙΛΕΙΑ ΦΩΚΑ ΤΟΥ ΤΥΡΑΝΝΟΥ.

602 Μετὰ Μαυρίκιον ἐβασίλευσε Φωκᾶς ὁ Καππαδόκης τύραννος ἔτη ή', στέψας καὶ Λεοντὼ τὴν γυναῖκα αὐτοῦ εἰς Αὐγοῦσταν.

(2) Εἰς δὲ τὸ ἱππικὸν ἀνελθόντος καὶ στάσεως γενομένης περὶ προτιμήσεως τόπου τοῖς μέρεσιν, ἔκραξαν οἱ δῆμοι· «Ὁ Μαυρίκιος οὐκ ἀπέθανεν, ἀλλὰ ζῇ· ἐρωτηθήτω». Ὁ δὲ ἀλάστωρ κινεῖται πρὸς [τὸν] φόνον Μαυρικίου. Καὶ εἰσῆλθε Μαυρίκιος δέσμιος εἰς τὸν Εὐτροπίου λιμένα· προκολάζων δὲ αὐτὸν ὁ μιαιφόνος τῇ θεωρίᾳ, τοὺς πέντε ἄῤῥενας υἱοὺς αὐτοῦ ἔμπροσθεν αὐτοῦ σφαγῆναι προστάττει. Ὁ δὲ Μαυρίκιος φιλοσοφῶν τῷ δυστυχήματι, συνεχῶς ἀπεφθέγγετο· «δίκαιος εἶ, κύριε, δικαία ἡ κρίσις σου»**. Τῆς δὲ τιθήνης ὑποκλεψάσης ἓν (ἐκ) τῶν (ε') βασιλικῶν παιδίων καὶ τὸ ἴδιον αὐτῆς πρὸς ἀναίρεσιν ἀντιδοῦσα, ὁ Μαυρίκιος (145ª) οὐ κατεδέξατο, ἀλλὰ τὸ ἴδιον ἐπεζήτησεν

---

1. Θ. δὲ τὸν τοῦ Μαυρικίου ὑ. ὡς λόγος κρατεῖ π. Χ. ἀποσταλέντα, ἀποστείλας ὁ Φ. κατέλαβε κτλ. Ced. 709,8—23. — 4. ἀθ. δύναμιν Leo. — * μᾶλλον καὶ δύναμιν cod. e glossemate in textum recepto. — 8. Κόσμου ἔτος ,χιε' τῆς θείας σαρκώσεως φιε'. Φ. ὁ τ. ἐβ. ἐ. η'— τούτου γυνὴ Λ. ὁμότροπος αὐτῷ Ced. 708,14,21. — 11. Ced. 706,16—707,8. — 13. ἀ. καλῶς ἔχει Mon. — * καὶ cod. — 15. ἦχθη Leo. ἀποστείλας ἤγαγε τὸν τοιοῦτον εἰς Ced. — καὶ προαναιροῦνται οἱ τούτου ε' ἄῤῥενες παῖδες ἐπ' ὄψεσιν ἀ. Ced. — 17. ἐπιτρέπει Mon. — 18. τὸ δυστύχημα Mon. — ἐπεφθ. Leo, Ced.—19. Ps. CXVIII. 136.—εὐθεῖς αἱ κρίσεις Ps. δίκαιαι αἱ κρ. Ced.— ** Γίνεται τοίνυν τῶν παίδων ὁ θάνατος τοῦ πατρὸς ἐπιτάφιον, ἐπιδειξαμένου τὴν ἀρετὴν ἐν τῷ μεγέθει τῆς συμφορᾶς Ced. — 20. τῆς γὰρ τ. αὐτοῦ κλ. ἓν τῶν β. παίδων Ced. — 21. ἰ. ἀ. πρ. ἀν. Leo, ἰ, ἐπιδούσης π. σφαγὴν Ced. — 22. ἐπ. φασὶ δέ τινες ὅτι τούτου σφαγέντος, γάλα σὺν τῷ αἵματι ἔῤῥευσεν, ὡς πάντας τοὺς ἐρῶντας θρηνῆσαι δεινῶς Ced.

ἐλθεῖν καὶ αὐτὸ ἀναιρεθῆναι. Οὕτω τοίνυν καὶ νόμων φύσεως (καὶ τρόπων κρείττονι καὶ ἀκροτάτῃ μετανοίᾳ) ὑψηλότερος γεγονὼς (Μαυρίκιος ὁ βασιλεὺς) ἀπαλλάττει καὶ αὐτὸς τὸν βίον (μετὰ πολλῆς ὑπομονῆς καὶ εὐχαριστίας, ὅθεν καὶ κληρονόμος γέγονε τῶν αἰωνίων ἀγαθῶν).

(3) Τοῦ δὲ ἀθλίου Φωκᾶ προστάξαντος τεθῆναι τὰς τούτων κεφαλὰς ἐν τῷ κάμπῳ τοῦ τριβουναλίου, ἐξήρχοντο οἱ τῆς πόλεως καὶ ἐθεώρουν αὐτὰς ἕως ἐπώζεσαν. Καὶ τότε συνεχώρησεν αὐτὰς ὁ ἀλιτήριος τοῖς ποθοῦσιν ἀποδοθῆναι. Οἱ δὲ δεξάμενοι κατέθεντο αὐτὰς ἐν τοῖς πρέπουσι τόποις.

(4) Τὴν δὲ Μαυρικίου γυναῖκα σὺν ταῖς τρισὶν θυγατράσιν αὐτῆς ἐν μοναστηρίῳ καθεῖρξεν.

(5) Καλλιγράφος δέ τις εὐλαβὴς ἐν Ἀλεξανδρείᾳ ἐκ παννυχίδος οἴκαδε πορεύομενος μέσης νυκτός, καθ' ἣν ἡμέραν ἀνηρέθη Μαυρίκιος, ὁρᾷ τοὺς ἀνδριάντας ἐκ τῶν βωμῶν καθελκυσθέντας καὶ βοῶντας· «Ἀνηρέθη Μαυρίκιος καὶ τὰ τέκνα αὐτοῦ», ὅπερ σημειωσάμενος ὁ καλλιγράφος, ἦλθεν ἄνθρωπος μεθ' ἡμέρας δέκα μηνύων τὴν Μαυρικίου τελευτήν.

(6) Ὁ δέ γε ἀλάστωρ Φωκᾶς μετ' ὀλίγον χρόνον καὶ τὴν γυ- 603
ναῖκα Μαυρικίου ἅμα ταῖς τρισὶ θυγατράσιν αὐτῆς ἀνεῖλεν ἐν τῷ μόλῳ (τοῦ) Εὐτροπίου (οὐ μὴν δὲ ἀλλὰ καὶ πᾶσαν τὴν συγγένειαν Μαυρικίου διώλεσεν ὁ παράνομος εἰς πλείονα τῶν χριστιανῶν ὄλεθρον· οὐ γὰρ διέλιπε τὴν τῶν Ῥωμαίων ἔκτοτε βασιλείαν δυστυχήματα ποικίλα τε καὶ ἐπάλληλα.

---

1. Καὶ οὕτως καὶ ἀ. ἀνηρέθη Leo. Ὁ μέν οὖν ὁ βασιλεὺς ν. φ. ὑψ. γ. καὶ ἀ. ἀπ. τὸν β. Ced. — 6. Τούτων δὲ τὰς κ. ἐν τῷ κ. τοῦ τρ. (τῶν τριβουναλίων cod.) ἔβριψαν Μετὰ δὲ τὸ ἐποζέσαι αὐτὰς, ὥρισε τοῖς θέλουσι λαβεῖν αὐτὰς, ἃς καὶ τοῖς σώμασιν αὐτῶν προσέμιξαν οἱ φιλόχριστοι, θάψαντες ἐν τῷ ναῷ τοῦ ἁγίου Μάμαντος κτλ. Ced. 707,8—708,2 cf. Th. — 11. Τῷ δ' ἔτει ἡ Αὐγοῦστα Κωνσταντῖνα σὺν τ. τ. θ. ἀ. εἰς τὴν ἐκκλησίαν προσφεύγει. Ὁ δὲ πατριάρχης Κυριακὸς τοῦτο οὐκ ἐπένευσε· ὅρκοις δὲ βεβαιωθεὶς ὑπὸ τοῦ Φωκᾶ ἐν μοναστηρίῳ ἐγκλείει Ced. 711,3—7.— 13. Ced. 710,1—7: Ἐν Ἀλ. κ. ἐ. — 14. μεσούσης ν. ἀκούει ἐκ τῶν β. τῶν ἀνδριάντων λεγόντων ἀναιρεθῆναι Μαυρίκιον καὶ τὰ τ. ἀ. καὶ πάντα τὰ ἐν Βυζαντίῳ πραχθέντα συμπτώματα. Πρωΐας δὲ ἐπανελθὼν τῷ Αὐγουσταλίῳ διηγήσατο. Ὁ δὲ παρήγγειλεν αὐτῷ σιωπῆσαι σ. δὲ τὴν ἡμέραν ἀπεκαράδοκει τὴν ἔκβασιν, ἥτις μετὰ θ' ἡ. ἠκούσθη Ced. — 19. Ced. 712,18 — 15. Τῷ ε' ἔτει τὴν Κ. σὺν τ. τρ. θ. ἀ. — 23. Ἐν ταῖς ἡμέραις αὐτοῦ πάντα ἐπερίσσευσε τοῖς ἀνθρώποις τὰ κακά Ced. 708,22.

(7) Ὅ τε γὰρ Χοσρόης, ὁ τῶν Περσῶν βασιλεύς, τὴν εἰρήνην διέλυσε καὶ Ἄβαροι τὴν Θράκην ἐδῄωσαν καὶ ἄμφω τὰ στρατεύματα τῶν Ῥωμαίων διέφθειραν καὶ ἐξῆλειψαν διὰ τὸ τὸν ἀνόσιον καὶ βέβηλον προτιμῆσαι τοῦ ἐννόμου καὶ εὐσεβοῦς βασιλέως. 8

608 (8) Πρὸ δὲ τούτων καὶ θνῆσις ἀνθρώπων τε καὶ κτηνῶν καὶ ἀφορία τῆς γῆς πολλὴ γέγονε καὶ χειμὼν βαρύτατος ὥστε παγῆναι τὴν θάλασσαν καὶ πολλοὺς ἰχθύας τεθνάναι.

(9) Ὁ οὖν δόλιος Φωκᾶς μετὰ πάντων αὐτῶν τῶν ἀμέτρων κακῶν προσέθηκε καὶ τὸ τελευταῖον τοῦτο· ποιήσας γὰρ ἱππικὸν 10 ἢ τακτησίν, τῶν δὲ δήμων τοῦτον μὴ καταδεξαμένων, ἔκραξαν ὑβρίζοντες αὐτόν· «Ἀνάτειλον Φωκᾶ*, πάλιν (εἰς) τὸν καῦκον ἔπιες, πάλιν τὸν νοῦν ἀπώλεσας»· ἐφ' οἷς μανεὶς (ὁ θεομάχος) πολλοὺς (μὲν) ἠκρωτηρίασε· καὶ τὰ μέλη αὐτῶν ἐν τῇ σφενδόνῃ ἐκρέμασε, πολλοὺς δὲ ἀπεκεφάλισε καὶ ἄλλους ἐκάκησε. 15 Τὸν δὲ πλείονα λαὸν τῷ ὑπάρχῳ ἐπέτρεψεν ἀποκλεῖσαι αὐτούς, ὥπως μετὰ ἡμέρας τινὰς παραδώσῃ αὐτοὺς τῷ θανάτῳ. Οἱ δὲ ὄχλοι ἐπισυναχθέντες καὶ πῦρ εἰς τὸ πραιτώριον βάλλοντες, ἐξῆλθον οἱ δέσμιοι πάντες καὶ ἔφυγον.

(10) (Μετὰ δὲ ταῦτα ἔφθασεν ἡ ὀργὴ τοῦ θεοῦ ἐπὶ τὴν κε- 20 φαλὴν τοῦ ἀσεβοῦς Φωκᾶ ἀνθ' ὧν ἔδρασεν ἀναριθμήτων κακῶν. Ὁ γὰρ γαμβρὸς αὐτοῦ) Κρίσπος ὁ πατρίκιος, μὴ ὑποφέρων ὁρᾶν τοὺς ἀδίκους φόνους καὶ τὰ δεινὰ τὰ ὑπὸ τοῦ Φωκᾶ γενόμενα, ἔγραψε πρὸς Ἡράκλειον** στρατηγὸν Ἀφρικῆς,

---

6. Θν. ἀ. καὶ κτ. π. καὶ ἀναρίθμητος, ἀφορίαι τῆς καὶ λιμοὶ καὶ λοιμοὶ χαλεπώτατοι καὶ χειμῶνες τηλικοῦτοι ὡς π. τὴν θ. καὶ τεθ. τοὺς ἰ. Ced. 708,23 — 709,3. — 10. Ποίησάντος δὲ αὐτοῦ ἱ. καὶ τῇ ἑσπέρᾳ πολλῷ τῷ οἴνῳ χρησαμένου καὶ βραδεύσαντος ἀνελθεῖν, ἔκραξεν ὁ δῆμος Leo, Ced. 709,8—9. — * μὴ ἐξερχομένου δὲ αὐτοῦ τάχιον πρὸς τὴν θέαν, ἔφη ὁ δῆμος Leo, Ced. — 12. π. τὸν οἶνον Ced. — 14. ἠκρ. καὶ π. ἐφόνευσε· τοῦ ὄχλου δὲ πῦρ Ced. ἠκρ. καὶ πολλῶν κεφαλὰς ἀπέτεμε. Τῷ δὲ ὁ. πῦρ Leo. — 18. βαλόντος Ced. βάλλοντος Leo, τῶν δὲ ὄχλων ἐπισυναχθέντων — βαλόντων? — 20. ὀργὴ ἐπὶ Vind. — 21. κακῶν· Ἡράκλειος γὰρ ὁ στρατηγὸς Ἀφρικῆς πλ. ἐξοπλίσας Vind. sed habent Leo, P. et Th. quae in hoc cod. omissa sunt. ὁ γὰρ — Φωκᾶ om. et Slav. — 22. Ced. 711,19—712,1: Τῷ ς' ἔτει Κ. ὁ π. μὴ φέρων. — 23. γεν. cod. — 24. γράφει Ced. — ** τὸν πατρίκιον καὶ Ced. — ἐν Ἀφρικῇ μετὰ δυνάμεως ὅπως ἔλθωσι κ. τ. τ. Φ. Leo, Ἀ. ὅ. ἐλθ. κ. τ. τ. ἥκουε γὰρ κατ' αὐτοῦ μελετωμένην παρ' αὐτῶν ἀνταρσίαν Ced.

πλοῖα πολλὰ ὁπλίσαντα ἀνελθεῖν κατὰ τοῦ τυράννου Φωκᾶ.

(11) Ὁ δὲ αὐτὸς Ἡράκλειος πλοῖα πολλὰ· ἐξοπλίσας καὶ στρατὸν ἄπειρον ἐξ Ἀφρικῆς καὶ Μαυριτανίας ἐπισυνάξας) τὴν Κ. Π. κατέλαβεν, ἐπιφερόμενος καὶ τὴν ἀχειροποίητον εἰκόνα τοῦ κυρίου **, (ὥς φησι Γεώργιος ὁ Πισίδιος).

(12) Καὶ πολέμου συγκροτηθέντος μεταξὺ Φωκᾶ καὶ Ἡρακλείου εἰς τὸν Σοφίας λιμένα, ἐνίκησεν ὁ Ἡράκλειος (145[b]) τῇ τοῦ Χριστοῦ βοηθείᾳ Φωκᾶν τὸν ἁλιτήριον· οὗτινος ἡττηθέντος, Φωτεινός *** τις (ἐκ τῶν μεγιστάνων) ἀδικηθεὶς (καὶ προεπιβουλευθεὶς) ὑπὸ Φωκᾶ εἰς τὴν σύζυγον, εἰσῆλθεν (ἀθρόως) μετὰ (πλήθους) στρατιωτῶν εἰς τὸ παλάτιον (καὶ τὸν ἄθλιον Φωκᾶν) ἀτίμως (ἐκ) τοῦ θρόνου ἀναστήσας, τῆς βασιλικῆς ἐσθῆτος ἀπεγύμνωσε καὶ ἐνδύσας (αὐτὸν) μέλανα (χιτωνίσκον) καὶ κλοιὰ (τῷ τραχήλῳ αὐτοῦ) περιθεὶς, ἄτιμον **** (καὶ ἐλεεινὸν) πρὸς Ἡράκλειον ἀπήγαγεν. Ὃν (ὁ Ἡράκλειος) θεασάμενος εἶπε (πρὸς αὐτόν)· «Οὕτως, ἄθλιε, τὴν πολιτείαν διῴκησας; Ὁ δὲ ἀπεγνωσμένος ὢν ἀντέφη· «Σὺ κάλλιον ἔχεις διοικῆσαι;» Καὶ πρῶτον μὲν ἐκέλευσεν Ἡράκλειος αὐτοῦ τὰς χεῖρας καὶ τοὺς πόδας ἐκκοπῆναι καὶ μετὰ τοῦ-

---

3. Ced. 712,16—18 τῷ ἢ ἔτει. — * ἐξ Ἀφρικῆς Ced. — 4. M. αὐτῆς συν. Vind. M. αὐτὸς συν. Mon. — ** ἡμῶν ιῦ χῦ cod. καὶ θῦ ἡμῶν ιῦ χῦ L. P. Th. Ced. — 6. Πισίδ. cod. Πισίδης? — 8. Ced. 712,19—713,7, αὐτὸς συναξας Mon. 13 Ced. 713,14—19. — κροτ. Vind. L. P. Th. συβραγγέντος Ced. — μετ. — λιμ. om. Vind. εἰς τὸν λ. τῆς Σ. μ. Φ. καὶ Ἡρ. ἡττηθεὶς ὁ ἁλιτήριος ἔφυγεν εἰς τὰ βασίλεια Ced. — 10. τῇ χάριτι χῦ Vind. — *** δὲ Ced. — 11. ὑ. Φ. εἰς τὴν σ. ἀδ. εἰσελθὼν μ. στρ. εἰς τὰ βασίλεια ἀτ. τοῦ θ. τοῦτον ἀν. καὶ τῆς β. ἐ. ἀπογυμνώσας Ced. ἀδ. καὶ om. Vind. sed habent L. P. Th. loco alterius participii καὶ πρ. — 15. μ. δὲ χ. ἐνδ. ἀ. Vind. καὶ μ. ἐνδ. Ced. — **** τινα Vind. languet (Tafel) 17. ὃν θ. ἐ. ὁ. Ced. L. P. Th. δν Ἡρ. θ. Vind. — 19. ἀπ. ἐκεῖνος ανος ἔφη Vind. e compendio male lecto, ἀπ. ὧν ἔφη L. P. Th. — 20. Καὶ παρευθὺ κελεύει Ἡ. πρ. μὲν Ced. — 21. τὰς χ. καὶ τ. π. ἀ. ἀφαιρεθῆναι Vind. τὰς χ. καὶ τ. π. ἀ. κοπῆναι L. P. Th., τὰς χ. καὶ τ. π. ἀ. ἐκκ. Ced. et Leonis cod. 854. — εἶθ' οὕτως καὶ τοὺς ὤμους αὐτοῦ ἀκρωτηριασθῆναι L. P. Th. ἐ. ὁ. τ. ὠ. Ced.

το ἐκ τῶν ὤμων ἀκρωτηριάζεσθαι * καὶ τὰ αἰδοῖα (ἐκτμηθῆναι καὶ κοντοῖς ἀναρτασθῆναι διὰ τὰς ἀμέτρους ὕβρεις, ἃς ἔπραξεν), ἔπειτα (δὲ) ** τὴν κεφαλὴν (μαχαίρᾳ τμηθῆναι), τὸ δὲ κατεσκελετωμένον σῶμα τοῦ δυσωνύμου *** κατὰ τὴν [τοῦ] βοὸς λεγομένην ἀγορὰν **** πυρὶ παραδοθῆναι *****.

CCXXVII. ΒΑΣΙΛΕΙΑ ΗΡΑΚΛΕΙΟΥ.

Μετὰ ****** Φωκᾶν ἐβασίλευσεν Ἡράκλειος ******* ἔτη λ', ὃν Σέργιος ὁ πατριάρχης στέψας ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου Στεφάνου ἐν τῷ παλατίῳ — ἐστέφθη δὲ ἅμα αὐτῷ καὶ ἡ μεμνηστευμένη αὐτῷ Εὐδοκία Αὐγοῦστα — τοῖς στεφάνοις τοῦ γάμου ὁμοῦ αὐτοκράτωρ καὶ νυμφίος ἀναδειχθείς, ἀναγορευθεὶς καὶ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ὑπὸ παντὸς τοῦ λαοῦ βασιλεύς. Ἀπὸ δὲ τῆς μεγάλης ἐκκλησίας αὐτὸν παραλαβόντες, εὐφημοῦντες, κροτοῦντες, δοξάζοντες εἰς τὰ βασίλεια εἰσήγαγον.

611 (2) Συνέπραττε δὲ τούτοις καὶ συνηυδόκει πλέον Κρίσπος ὁ ἔπαρχος καὶ γαμβρὸς τοῦ Φωκᾶ. Μετὰ δέ τινα χρόνον στρατηγὸν αὐτὸν ποιήσας Καππαδοκίας, ὁ βασιλεὺς ἀπέστειλε. Ἐκεῖ τοίνυν ἀπελθών, ἐλοιδόρει Ἡράκλειον καὶ ἀνταρσίαν ἐμελέτα κατ' αὐτοῦ. Μετ' οὐ πολὺ δὲ ἐν Κ. Π.

---

* λώρους Vind. — 1. τὰ δὲ αἰδ. ἐκτέμνεσθαι Vind. — 2. κοντῷ ἀναρτηθῆναι Leonis cod. 854. — ** καὶ Vind. L. P. Th. — 3. μ. τέμνεσθαι Vind. ἀποτμηθῆναι L. P. Th. — 4. κατεσκιλιταμ. cod. κατεσκ. L. P. Th. Vind. καταλειφθὲν Ced. — σ. αὐτοῦ οἱ στρατιῶται λαβόντες ἐν τῇ τοῦ β. ἀγορᾷ κατέκαυσαν Ced. — *** συρόμενον Vind. συρὲν L. P. Th. — **** τῷ Vind. L. P. Th. — 5. παραδεδόσθαι Vind. — ***** Μοναχὸς δέ τις ἅγιος ὥς φασιν ἐπὶ τῶν ἡμερῶν τοῦ Φωκᾶ πρὸς τὸν θεὸν διαμαχόμενος (δικάζ. L, διαδικ. P. Th.) ἔλεγε πολλάκις· ἀκύριε, διὰ τί τοιοῦτον παράνομον βασιλέα δέδωκας (δ. om. P. Th.) τοῖς χριστιανοῖς; Ἦλθε δέ αὐτῷ φωνὴ ἀοράτως· (ἀόρατος L.) «ὅτι χεῖρον (χείρονα L.) τούτου οὐχ εὗρον πρὸς τὴν κακίαν τῶν ὄντων (νῦν κατοικούντων L.) ἐν τῇ πόλει. In textu codicis; omiserunt Vind. et Ced. hanc glossam marginalem in textum receptam 7. Ced. 713,20—714,1. — ****** δὲ Vind. Mon. — ******* ὁ μέγας Vind. Leo. — 8. πατρ. καὶ ἡ σύγκλητος μετὰ παντὸς τοῦ λαοῦ ἀνηγόρευσε βασιλέα ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἀπὸ Vind. — 13. μεγ. om. Vind. Mon. — π. ἀ. Vind. — 15. Ced. 713,7—14. — 17. ἐξαπ. Vind. — 18. καὶ ἀντ. ἐμ. κατ' ἀ. om. Vind.

γενόμενον, τὰ κατ' αὐτοῦ γεγραμμένα κρατῶν ἐπὶ χάρτου καὶ κρούσας ἐν τῇ κεφαλῇ αὐτοῦ, ἔφη (πρὸς αὐτὸν) ἐπὶ τῆς συγκλήτου ὁ βασιλεύς· «γαμβρὸν οὐκ ἐποίησας, ταλαίπωρε· καὶ πῶς ἂν φίλον ποιήσειας;» Εἶτα κληρικὸν αὐτὸν κατάστήσας ἐν τῇ μονῇ τῆς Χώρας περιώρισεν, ἐν ᾗ* μετ' ὀλίγον τὸ πέρας τοῦ βίου ἐδέξατο.

(3) Μετὰ δὲ ταῦτα*** Χοσρόης ἀποστείλας κατὰ Ῥωμαίων 617
ἡγεμόνα Σαΐτην καλούμενον μετὰ πολλῆς δυνάμεως, πᾶσαν τὴν ἀνατολὴν ἠφάνισεν. Ἐλθὼν δὲ ἐν Κ. Π. ἱκανὸν χρόνον ἐν Χαλκηδόνι ἐκάθισεν, ὃς τὸν Ἡράκλειον μεθ' ὑποκρίσεως εἰρηνικῶς προσκαλεσάμενος τὰ πρὸς ἀγάπην ὡμίλησε. Τοῖς δὲ ἀπατηλοῖς αὐτοῦ καὶ δολίοις λόγοις πιστεύσας ὁ βασιλεὺς ἐκπέμπει πρὸς αὐτὸν πρέσβεις εἰρήνης μεγιστάνας ο', οὓς παραλαβὼν Σάϊτος ἐκ Χαλκηδόνος καὶ τὴν Ῥωμαϊκὴν ἀρχὴν διελθών, ἀτίμως (ἅμα) καὶ δεσμίους ἀπήγαγε. Ὁ δὲ Χοσρόης τὸν μὲν Σάϊτον, ὡς τὸν Ἡράκλειον ἰδόντα καὶ μὴ συλλαβόντα, ἀποδαρῆναι ἐκέλευσε, τοὺς δὲ πρεσβευτὰς ἐν φρουραῖς καὶ μεγίσταις κακουχίαις κατεδίκασε, περὶ ὧν ἀθυμία πολλὴ καὶ θλῖψις (146ᵃ) εἶχε τὸν βασιλέα καὶ πᾶσαν τὴν πόλιν.

(4) Ἐγένετο δὲ καὶ λιμὸς ἰσχυρὸς καὶ θανατικὸν μέγα, καὶ ὁ 618
ἥλιος ἠμαυρώθη καὶ ἔβρεξε κόνιν.

(5) Καὶ οἱ Ἄβαρεις πρὸς τὸν βασιλέα ἦλθον, εἰρήνην δῆθεν 619
αἰτούμενοι, οὓς δεξάμενος*** πρόκενσον πρὸς τὴν Ἡράκλειαν ποιη-

---

1. γενόμεν. cod. γενομένου? sed Leo: Ἐλθὼν δὲ ἐν Κ. Π. — τὰ — αὐτοῦ om. Vind. Slav. sed cf. Ced. ἤγαγεν ἐπὶ σ. καὶ τὰ πρὸς Ἡράκλειον γενόμενα ἔγγραφα αὐτοῦ κατέχων ὁ βασιλεὺς ἐν τῇ χειρὶ κρ. Κρίσπον τὴν κεφαλὴν μετὰ τοῦ χ. ἔφη τ. γ. ὁ. ἐπ. φ. ἀ. πῶς π. — δ. ἐν τῇ μονῇ τῇ τῆς Χώρας Ced. — * καὶ Vind. Leo: ἐν ᾗ καὶ ἐτελεύτησεν; Ced. κἀκεῖ τελευτᾷ. — 7. Ced. 718,6—15: Τῷ ιβ' ἔτει — ὁ Χ. δέ Σάην τὸν ἡ. μ. π. δ. κ. Ῥ. ἀπ. π. τὴν ἀ. ἡφ. — ** ὁ τῶν Περσῶν βασιλεὺς Vind. — 8. Σάην Ced. Σαΐτον Vind. Leo. — 9. ἐν Καλχηδόνι ἱ. χ. ταύτην παρεκ. Leo, ἐν Χ. ἱ. κ. π. Ced. ἰκ. χ. ἐν Χ. ἐκ. ood. —12. ἐ. σὺν αὐτῷ πρ. μ. πρὸς Χοσρόην ο' Leo, αὐτοῦ ἐ. σὺν ἀ. πρ. μ. πρ. Χ. ο' Ced. ὁ β. ἐκπέμψας σὺν ἀ. τῷ ἀσεβεῖ π. Χ. πρ. ἐ. μ. ο' Vind. — 14. Καλχ. cod. — 15. ἀτίμως ἁ. καὶ δεσμίως cod. — 17. ἀποδεῖραι Vind. Leo, ἐκδαρῆναι Ced. — 21. ἐμαράνθη Vind. — 22. Ced. 716,6—16: Τῷ ϛ' ἔτει ἐστράτευσαν οἱ Ἄβαρες κατὰ τῆς Θράκης· ἀποστείλας δὲ Ἡράκλειος ἠτεῖτο ἐ. κτλ. Τότε καὶ οἱ Ἄβαροι π. Vind. — αἰτησόμενοι δ. Vind. — *** καὶ Vind.

σάμενος, τοὺς ἀποκρισιαρίους ἀνέπαυεν. Οἱ δὲ τὸ κακὸν ἐν ταῖς καρδίαις αὐτῶν ἔχοντες, τοῖς ὁμοφύλοις ἐδήλωσαν τάχιστα φθάσαι· «Ἰδοὺ γὰρ ὁ βασιλεὺς καὶ ὁ πλοῦτος αὐτοῦ παρ' ἡμῖν ἐστί». Τῶν δὲ μηδ' ὅλως ἀμεληsάντων, τὸν τόπον κατέλαβον. Τότε τῇ προμηθείᾳ τοῦ φιλανθρώπου θεοῦ τοῦ σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ, μόλις εἰς τὸ Βυζάντιον διαλαθὼν ἔφυγεν καὶ αὐτοὺς ἀποκαθίστατο. Οἱ δὲ τοῦτον ἐπιδιώξαντες ἕως τόπου πολλοῦ καὶ μὴ φθάσαντες, πᾶσαν τὴν ὑπηρεσίαν αὐτοῦ εἰληφότες, τὰ δὲ Θρᾳκῶα μέρη διώξαντες, ἠχμαλώτευσαν ἄνδρας τε καὶ γυναῖκας χιλιάδας ὁ' καὶ ** ὑπέστρεψαν εἰς τοὺς τόπους αὐτῶν.

614 (6) Ὁ δὲ θυσσεβὴς Χοσρόης*** ἀποστείλας ἕτερον ἄρχοντα κατὰ τῶν Ῥωμαίων, ὀνόματι Σάρβαρον**** μετὰ πλείστης δυνάμεως, καὶ παρέλαβε τὴν Καππαδοκίαν καὶ τὴν Δαμασκόν, τὴν Παλαιστίνην σὺν τῇ ἁγίᾳ πόλει καὶ πολλὰς μυριάδας χριστιανῶν διὰ χειρὸς τῶν Ἰουδαίων ἀνεῖλεν.

(7) Ἠιχμαλώτευσε καὶ Ζαχαρίαν τὸν πατριάρχην Ἱεροσολύμων καὶ τὰ τίμια ξύλα ἐν Περσίδι ἀπήγαγον.

616 (8) Ὡσαύτως παρέλαβον Αἴγυπτον καὶ Λιβύην καὶ ἕως Αἰθιοπίας· ἦλθον δὲ καὶ ἕως Καλχηδόνος καὶ ταύτην παρέλαβον.

621 (9) Ὁ δέ γε βασιλεὺς Ἡράκλειος τὴν ἁγίαν ἑορτὴν

---

1. ἀνέπαυσεν Vind. — κ. ἐχ. Vind. — 2. φθάσατε Vind. — * ἀγρύπνων δαιμόνων Vind. — 5. ἀληθεῖς τῇ Vind. — 6. διαλ. αὐτοὺς ἀποκαθίσταται ὁ βασιλεὺς Vind. — 8. ἐ. καὶ τὰ Vind. — δηώσαντες Tafelü conjectura. — ** οὕτως Vind. — 11. Εἶτα πάλιν Vind. Ced. 718,16—18, Leo. — *** ὁ δεσπότης Vind. — ἀπέστειλεν Leo, Ced. — 12. κ. Ῥ. Vind. Leo, Ced. — **** ὃς Leo, Ced. — 13. θ. ἦλθε πρὸς τὴν Ἀσίαν τὴν (γῆν τῶν Leo.) Ῥωμαίων λητζόμενος Ced. Leo, θ. καὶ πᾶσαν ἐρημώσας ἀνατολὴν καὶ τὴν Ἱερουσαλὴμ δορυάλωτον λαβών, ἐλαφυραγώγησεν αὐτὴν πᾶσαν· οὐ μὴν δὲ ἀλλὰ καὶ πολλὴν ἀπανθρωπίαν καὶ ἀναίρεσιν ποιησάμενος καὶ τὸν τίμιον καὶ ἅγιον σταυρὸν σὺν τῷ π. Ζ. λαβὼν καὶ λαὸν ἄπειρον ἐξ Ἱερουσαλὴμ αἰχμαλωτεύσας καὶ εἰς Περσίδα πέμψας ἦλθε πρὸς τὴν Ἀσίαν καὶ τὴν γῆν τῶν Ῥωμαίων Vind. sed Z. δὲ τὸν π. Ἰ. καὶ τὰ τ. ξ. λαβόντες σὺν αἰχμαλωσίᾳ πολλῇ ἐν Η. ἀπ. Ced. 716,11—13. cf. 714,10—715,15: Τῷ β' ἔτει παρέλαβον οἱ Πέρσαι Καισάρειαν τῆς Καππαδοκίας κτλ. Τῷ ε' ἔτει—τὸν Ἰορδάνην καὶ τὴν Παλαιστίνην κτλ.—18. Τῷ ς' ἔτει π. οἱ Πέρσαι πᾶσαν τὴν Ἀ. καὶ Ἀλεξάνδρειαν καὶ Α. καὶ ἕως Ἀ. καὶ λαβόντες αἰχμαλωσίαν πολλὴν—ὑπέστρεψαν, τὴν δὲ Καρχηδόνα μὴ δυνηθέντες παραλαβεῖν Ced. 715,18—20, om. Vind. — 21. Ced. 717,18—22 — 21. Ὁ δὲ β. βουλόμενος πρὸς Περσίδα χωρεῖν. — γε et ἁγ. om. Leo, sed 150,6 Ὁ δέ γε β. Ἡ. ὡς εἴρηται π. Π. β. ἐκχωρῆσαι, ταῦτε κτλ.

τοῦ πάσχα τελέσας (κατὰ Περσίδος ἠβούλετο χωρῆσαν.

(10) Χρήματα δὲ τῶν ἐναγῶν οἴκων καὶ σκεύη τῶν ἐκκλησιῶν λαβών, ἐχάραξε νομίσματα. Καὶ μικρὸν ὅτε βουλόμενος ἀποκενῆσαι) τάδε πρὸς τὸν πατριάρχην ἔφη· «Εἰς χεῖρας τῆς θερμήτορος ἀφίημι τὴν πόλιν ταύτην καὶ τὸν υἱόν μου».

(11) Καὶ εἰσελθὼν εἰς τὴν μεγάλην ἐκκλησίαν μέλανα ὑποδήματα περιβαλόμενος [καὶ πρηνὴς πεσών] ηὔξατο *, ὃν ἰδὼν Γεώργιος ὁ Πισίδης μετὰ τοσαύτης ταπεινώσεως, ἔφη· «ὦ βασιλεῦ,

Μελαμβαφὲς πέδιλον εἱλιξας πόδας,
Βάψεις ἐρυθρὸν Περσικῶν ἐξ αἱμάτων».

(12) Λαβὼν οὖν τὴν θεανδρικὴν μετὰ χεῖρας ἀχειροποίητον μορφὴν κατὰ Περσῶν ἐστράτευσε **. Καὶ δὴ *** πλῆθος Τούρκων ἄρας, ἐξώρμησε κατὰ Περσῶν ἐν δυνάμει βαρείᾳ σφόδρα διὰ τοῦ Εὐξείνου πόντου.

(13) Προαπέστειλε δὲ ὁ βασιλεὺς Ἡράκλειος πρέσβεις πρὸς Χοσρόην αἰτούμενος εἰρήνην· ὁ δὲ τούτους ἀπεπέμψατο εἰρηκώς· «Εἰ ἀρνήσεται ὁ βασιλεὺς ὑμῶν τὸν ἐσταυρωμένον καὶ προσκυνήσει τῷ ἡλίῳ, ποιῶ εἰρήνην».

(14) Οἱ δὲ Ἄβαρεις τὰς σπονδὰς διαλύσαντες, ὥσπερ

---

1. κατὰ — ἀποκινῆσαι om. Vind. Slav. Ced. — χωρήσειν cod. — 3. δὲ om. Leo. — εὐαγ. cod. — 4. λ. καὶ χαράξας ν. καὶ μιλιαρήσια Leo, ceteris omissis. — 8. Ced. 718,24—719,5, om. Vind. — * οὕτως· «Δέσποτα, θεὲ καὶ κε ιῦ χε, μὴ παραδῷς ἡμᾶς εἰς ὄνειδος τοῖς ἐχθροῖς σου διὰ τὰς ἁμαρτίας ἡμῶν, ἀλλ' ἐπιβλέψας ἐλέησον καὶ τὴν κατὰ τῶν ἐχθρῶν σου νίκην δὸς ἡμῖν, ὅπως μὴ καυχήσωνται οἱ ἀλάστορες κατὰ τῆς σῆς κληρονομίας ἐπαιρόμενοι Leo, Ced. — 11. πόδα Ced. — 13. Καὶ ταῦτα εἰπὼν, λ. τὴν Vind. Λ. δὲ μ. χ. τὴν θ. ἀχ. μ. τοῦ κῦ καὶ θῦ ἡμῶν κ. Π. ἐ. Ced. 719,5—9. — ** μετὰ πλοίων διὰ τοῦ Ἑ. π. προσλαβόμενος εἰς συμμαχίαν πλήθη Τ. καὶ ἄλλων ἐθνῶν· ἀπάρας τοίνυν κτλ. Ced. — *** προσκαλεσάμενος τὸν Τοῦρκον εἰς συμμαχίαν κατὰ πάροδον ἐξ οὗ καὶ φύλαρχον καὶ Vind. — 17. Ced. 716,1—5: Τῷ ἡ' ἔτει πάλιν Ἡ. ἀπ. ἐν Περσίδι πρ. κτλ. om. Vind. — 18. Ὁ δὲ Χ. καὶ πάλιν αὐτὸν ἀπ. εἰπὼν ὅτι Ced. — 19. οὐ φείσομαι, ὑ. ἕως ἂν ἀρνήσησθε τὸν ἐστ. ὃν λέγετε θ'ν εἶναι καὶ προσκυνήσητε τῷ ἡ. Ced. — 21. Τῷ ι' ἔτει Ἡρ. πρὸς χαγάνον πρέσβεις ἀπέστειλε — τῷ ια' ἔτει Ἡρ. κτλ. Ced. 716,17—717,5. — Ἄβαροι Vind.

Ἡράκλειος * δώροις πρὸς αὐτοὺς ἐβεβαίωσε — μετὰ γὰρ τὸ αἰχμαλωτῆσαι αὐτοὺς τὴν Θράκην καὶ λαβεῖν ὁ χιλιάδας κατωνείδισεν αὐτοὺς ὡς μὴ φυλάξαντας τὰς συνθήκας· οἱ δὲ αἰσχυνθέντες συνέθεντο φυλάττειν — μαθόντες δὲ τὴν τοῦ βασιλέως ἐκστρατείαν, κατέλαβον τὴν Θράκην καὶ χείρονα τῶν πρώην εἰργάσαντο.

(15) Ὅθεν διαπονηθέντες οἱ πολῖται καὶ ἀπελπίσαντες, πρὸς τοὺς βαρβάρους πόλεμον συνῆψαν ** καὶ πολλὰς χιλιάδας ἐξ αὐτῶν κατασφάξαντες *** πρὸς τὴν ἰδίαν γῆν αὐτοὺς ἐξήλασαν.

628 (16) Ὁ δὲ Χοσρόης μαθὼν τὴν Ἡρακλείου μεγίστην ἔφοδον **** καὶ ***** σατράπην ἕνα ἐν χιλιάσιν ὁπλιτῶν λ' κατ' αὐτοῦ ἐκπέμψας, καὶ συμβολῆς γεναμένης ἀνῃρέθησαν πάντες ******.

(17) Τῶν ὑπολειφθέντων δὲ Περσῶν (146[b]) κατὰ Χοσρόου μανέντων, ἐφ' ἑνὶ τῶν βασιλικῶν οἴκων τοῦτον κατέκλεισαν, (προύθηκάν τε αὐτῷ χρυσίον καὶ ἀργύριον καὶ λίθους, εἰπόντες πρὸς αὐτόν· «Ἀπόλαυε τούτων δι' ὧν τοὺς Ῥωμαίους καθ' ἡμῶν ἤγαγες».) Καὶ οὕτω λιμῷ καὶ δίψῃ τιμωρήσαντες αὐτόν, αἰσχρῶς ἀνεῖλον.

(18) Ἡράκλειος δὲ ὁ βασιλεὺς εἰς τὴν Περσίδα εἰσβαλὼν τάς τε πόλεις καθῄρει καὶ τὰ πυρεῖα διέστρεφεν, ἐφ' ὧν εὑρέθη Χοσρόου [τὸ] μυσαρὸν ἐκτύπωμα ἐν τῇ τοῦ οἴκου στέγῃ ὥσπερ ἐν οὐρανῷ καθήμενον· ἑαυτὸν γὰρ ὁ ἄθεος ἀποθεώσας,

---

* ὁ βασιλεὺς Vind. — 1. βεβαιώσας ἐκίνησε (ἐκαίνισε Tafel.) τῷ τείχει τοῦ Βυζαντίου προσπελάζουσιν, εὐθύς τε πάντα ἐνεπύριζον τὰ προάστεια· καὶ ὥσπερ ἀναμερισάμενοι Πέρσαι μὲν τὰ τῆς Ἀσιάτιδος γῆς κατεδῄουν, Ἄβαροι δὲ τὸν ἐπὶ Θράκης διέφθειρον τόπον Vind. — 6. Ced. 728,15—729.18? — πολ. καὶ πρ. τ. Ἀβάρους π. συνάψαντες Vind. — ** συνεργίᾳ Βόνου πατρικίου cod; Leo adjingit καὶ Σεργίου πατριάρχου, utrumque glossema, ut videtur.— *** καὶ τὰς ναῦς ἐμπρήσαντες Leo.— 8. γῆν ἐξ. Vind. αὐτῶν χώραν ἀ. ἐξ. Leo. — 10. Ced. 731,7—9? — **** πολλοὺς πολέμους συνῆψεν αὐτῷ Leo, — ***** τῇ τοῦ θῦ συνεργίᾳ — ἡττηθείς πλησιάζοντι δὲ τῷ βασιλεῖ τῇ αὐτοῦ πόλει Leo. — 12. γενομ. Vind. Leo, Ced. — ****** οἱ Πέρσαι cod. glossema. — 14. Ced. 734,12—18. — ὑποληφθ. Vind. — 15. οἴκων om. Vind. sed Leo: οἴκῳ τ. κ. — πρ. δὲ Vind. καὶ πρ. Leo. — 16. χρυσὸν καὶ ἄργυρον Vind. Leo. — 18. δίψᾳ Vind. — 20. Ced. 732,18—21? — ὁ om. Vind. — 21. τὰ π. δὲ Vind

οὕτως ἀνεστήλωσεν, ἐν ᾧ ἄστρα καὶ ἥλιον καὶ σελήνην κατασκευάσας, ἀγγέλους* περιεστῶτας αὐτῷ σκηπτούχους καὶ βροντὴν διὰ μηχανῆς γίνεσθαι καὶ βρέχειν ὁπότε θελήσειεν ἐτεχνάσατο, ὅπερ βδέλυγμα θεασάμενος ὁ [βασιλεὺς] Ἡράκλειος εἰς γῆν** κατέστρεφε καὶ εἰς κόνιν διέλυσε.

(19) Ταῦτα δὲ Σάρβαρος ἀκούσας γράφει πρὸς Ἡράκλειον ἀπολογίαν ὡς ὅτι οὐχ ἑκών, ἀλλὰ γνώμῃ Χοσρόου διέπραττεν ἅπερ εἰς τοὺς Ῥωμαίους πεποίηκεν. Ὃν ὁ βασιλεὺς διὰ γραμμάτων εἰρηνικῶν προσκαλεσάμενος, ἦκε πρὸς αὐτὸν ἐν Περσίδι.

(20) Ἀναζητήσας οὖν Ἡράκλειος τοὺς πρεσβευτὰς καὶ μαθὼν, ὡς ὑπὸ Χοσρόου δεινῶς ἀνηρέθησαν, θυμοῦ πλησθεὶς οὐκ ἐφείσατο πυρπολῶν καὶ καταστρέφων πᾶσαν τὴν Περσίδα ἐν ἔτεσιν ς'.

(21) Τῷ δὲ ζ' ἔτει τὰ ζωοποιὰ ξύλα τοῦ πανσέπτου σταυροῦ ἀναλαβὼν καὶ εἰς Ἱερουσαλὴμ παραγενόμενος καὶ ταῦτα ὑψώσας μετὰ χαρᾶς πολλῆς καὶ εἰρήνης ὑπέστρεψεν ἐν Κ. Π.

(22) Εἰς τὸ χρονικὸν βιβλίον τοῦ Ἀλεξανδρέως ἐξηγητοῦ πῶς 629
οἱ ἐνοικοῦντες Ἑβραῖοι ἐν Ἱερουσαλὴμ ζήλῳ φερόμενοι τοὺς κατοικοῦντας ἐν Ἱερουσαλὴμ χριστιανοὺς πάντας ἀπέκτειναν, καθὰ καὶ πρόσθεν εἴρηται, ὅτε ἡ ἅλωσις τῆς Ἱερουσαλὴμ ὑπὸ τῶν Περσῶν ἐγένετο καὶ τὰ τίμια ξύλα σὺν τῷ πατριάρχῃ εἰς Περσίδα ἤχθησαν. Μετὰ γοῦν τὸ ποιῆσαι Ἡράκλειον τῇ τοῦ θεοῦ βοηθείᾳ τὸ μέγα καὶ ἀξιοθαύμαστον νῖκος καὶ τὸν μὲν πατριάρχην εὗρε τελευτήσαντα, τὰ δὲ τίμια ξύλα ἀναλαβὼν, ὡς εἴρηται, εἰς Ἱερουσαλὴμ ἐπανῆκεν. Οἱ δὲ προλεχθέντες ἄθεοι Ἰουδαῖοι οἱ τοὺς χριστια-

---

* τε Vind. καὶ ἀγ. Leo. — 3. ὁπόταν ἐθ. Vind. ὅταν θελήσειαν Leo. — ** αὐτὸ Vind. — 5. καὶ ὡς κονιορτὸν δ. Vind. κ. ἀπετέλεσε Leo. — 13. ἐφ. κατασφάζων καὶ καταστ. π. τ. Vind. κατασφ. τὴν π. Leo, sed Ced. 730,9: Ὁ δὲ βασιλεὺς τάς τε πόλις καὶ κώμας Περσίδος ἐπυρπόλει καὶ τοὺς κρατουμένους Πέρσας ἀνεῖλεν ἐν βομφαίᾳ.— 16. καθυψώσας Vind. — 17. εἰς τὴν Κ. Π. ὑπ. Vind. seqq. usque ad μ. τ. θ. c. 23 om. ἐπὶ Κ. Π. ὑπ. Leo, omissis seqq. usque ad c. 26. — 19. Περὶ τῆς ἑβδομάδος τῆς τυροφάγου ἀπὸ ἄλλου χρονικοῦ. Rubrica marginalis cod. a prima manu cf. Ced. 735,14—19. — ἐξηγητ. cod.

νοὺς ἀνελόντες, φοβηθέντες καὶ δῶρα λαβόντες πρὸς ὑπαντὴν ἐξῆλθον τοῦ βασιλέως καὶ μετὰ δόλου τοῦτον εἰς ὅρκον κρατήσαντες· ἠρώτησε τούτους ὁ βασιλεὺς πόθεν καὶ τίνες εἰσί· οἱ δέ· «δοῦλοι τῆς βασιλείας, σου πένητες Ἑβραῖοι οἱ κατοικοῦντες Ἱερουσαλήμ» ἀπεκρίναντο. Ὁ δὲ ὤμωσεν μὴ ἀδικῆσαι αὐτούς, μὴ γνοὺς τὰ γενόμενα. Ἐλθὼν εἰς Ἱεροσόλυμα μόλις εὗρεν ὀλίγους χριστιανοὺς ἐν ὄρεσι καὶ σπηλαίοις κρυπτομένους. Ὁ δὲ βασιλεὺς ἐρωτώμενος αὐτοὺς εἰ ἄλλοι οὐκ εἰσι χριστιανοί, ἔμαθε τὰ παρὰ τῶν Ἑβραίων πραχθέντα εἰς τοὺς χριστιανούς. Γνοὺς οὖν ὁ βασιλεὺς τῶν Ἰουδαίων τὸν δόλον, λέγει τοῖς χριστιανοῖς· «Τί ἀρεστόν ἐστιν ὑμῖν ποιήσω;» Οἱ δὲ ἠτήσαντο παθεῖν αὐτοὺς ὡς αὐτοὶ ἔπραξαν. Ὁ δὲ βασιλεὺς τὸν ὅρκον φοβηθείς, οὐκ ἤθελε τοῦτο πρᾶξαι. Οἱ δὲ χριστιανοὶ θέλοντες τούτου τυχεῖν, ἐτύπωσαν τὴν ἑβδομάδα νηστεύειν ὑπὲρ τῆς τοῦ ὅρκου παραβάσεως· ἕως ὧδε περὶ τούτου.

(23) Ὁ δὲ βασιλεὺς πλησιάσας τῇ Κ. Π. μυστικήν τινα θεωρίαν ἐκ πληρώματος θεοῦ συνειργάσατο. Ὥσπερ γὰρ ὁ θεὸς ἐν ἡμέραις ς' τὴν πᾶσαν κτίσιν δημιουργήσας, τὴν ζ' ἀναπαύσεως ἡμέραν ἐκάλεσε, οὕτω δὴ καὶ οὗτος ἐν τοῖς ς' χρόνοις πολλοὺς διανύσας πολέμους καὶ κοπιάσας, ἐς τῷ ζ' ἔτει μετ' εἰρήνης ἀνεπαύσατο.

(24) Οἱ γοῦν τῆς πόλεως τὴν ἔλευσιν (147ᵃ) αὐτοῦ γνόντες ἀκατασχέτῳ πόθῳ* πάντες** ἐν τοῖς παλατίοις τῆς Ἱερείας ἐξῆλθον σὺν τῷ πατριάρχῃ καὶ Κωνσταντίνῳ τῷ υἱῷ Ἡρακλείου, βαστάζοντες κλάδους ἐλαιῶν καὶ λαμπάδας, εὐφημοῦντες αὐτὸν μετὰ πολλῆς εὐφροσύνης. Καὶ ὁ μὲν υἱὸς αὐτοῦ προσελθὼν ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ· ὁ δὲ

---

5. γιν. cod. — 14. τούτ. cod. — 15. Cod. 735,6—10: Τῷ ιη' ἔτει — μυστικὸν δέ τι ἐνταῦθα θεωρεῖται. Τὴν γὰρ κτ. π. ὁ θς ἐν ς' ἡ. ἐποίησε καὶ τῇ ζ' ἀνεπαύσατο; μ. τ. θ. ἐν τούτῳ πληρώσας ὥσπερ γὰρ ἐν ἡ. ς' ὁ θς π. τὴν Vind. — 18. καὶ ὁ βασιλεὺς ἐν ς' ἔτεσι τὴν Περσίδα καταπολεμήσας τῷ ζ' εἰρήνευσε καὶ μετὰ χαρᾶς τὴν Κ. Π. καταλαμβάνει Cod. — 21. Ὁ δὲ λαὸς τῆς πόλεως μετὰ τοῦ βασιλέως Κωνσταντίνου τοῦ ιῦ τοῦ Ἡ. καὶ τοῦ πατρίαρχου Σεργίου μετὰ κλάδων ἐ. καὶ λαμπάδων τοῦτον ὑποδεξάμενοι εὐχαριστοῦντες τῷ θεῷ εἰς τὰ βασίλεια εἰσήγαγον Cod. 735,10 13. οἱ δὲ Vind. Leo. — * περὶ αὐτὸν Leo. — 22. π. εἰς τὴν Ἱερείαν ἐξ. Vind. — ** οἱ Leo. — Ἠρίας Leo. — 23. Κ. τῷ βασιλεῖ καὶ υἱῷ αὐτοῦ Vind. Κ. β. τῷ ὑ, ἀ. Leo. — 26. ὁ δὲ πατὴρ π. τῷ υἱῷ κατ' Vind.

περιπλακεὶς αὐτῷ, κατέβρεξαν ἀμφότεροι τὴν γῆν τοῖς δάκρυσιν, ὅπερ θεασάμενος ὁ λαός, εὐχαριστηρίους ὕμνους τῷ θεῷ σὺν δάκρυσιν ἀνέπεμπον· καὶ οὕτω λαβόντες τὸν βασιλέα χαίροντες, κροτοῦντες, εὐφημοῦντες εἰσῆλθον εἰς τὸ παλάτιον.

(25) Τοῦ δὲ Ἡρακλείου ὑπὸ Ἀθανασίου ἀρχηγοῦ τῶν Ἰακωβιτῶν καὶ Σεργίου τοῦ Σύρου Κ. Π. ἀπατηθέντος εἰς τὴν αἵρεσιν τῶν μονοθελητῶν ἐξεκυλίσθη. Καὶ δὴ μετὰ ταῦτα *** νόσῳ περιπεσὼν ὑδερικῇ, δι' ἣς καὶ τέθνηκε, δεινῶς ἐτιμορεῖτο· ἐπὶ τοσοῦτον γὰρ τὸ πάθος ἐπεκτάθη ὡς ἡνίκα οὐρεῖν ἔμελλε, σανίδα κατὰ τοῦ ἴτρου ἐτίθει διὰ τὸ στρέφεσθαι τὸ αἰδοῖον αὐτοῦ καὶ κατὰ τοῦ προσώπου τὰ οὖρα ἐκπέμπειν. Ἔλεγχος δὲ, ἣν τοῦτο τῆς ἑαυτοῦ παρανομίας ἕνεκε τοῦ εἰς τὴν ἰδίαν ἀνεψιὰν ** παρανομωτάτου γάμου ***.

(26) Ἐπὶ τῆς αὐτῆς βασιλείας Μωάμεθ ὁ τῶν Σαρακηνῶν 630
ἀρχηγὸς ἐκ τῆς Αἰθρίβου ἐξελθὼν καὶ τῷ βασιλεῖ ὑπαντήσας μετὰ πλήθους, καὶ τόπον αἰτησάμενος εἰς κατοίκησιν, τούτου καὶ ἔτυχεν.

CCXXVIII. ΒΑΣΙΛΕΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΥΙΟΥ ΗΡΑΚΛΕΙΟΥ.

Μετὰ **** Ἡράκλειον ἐβασίλευσε Κωνσταντῖνος, ὁ υἱὸς αὐτοῦ ὁ λεγόμενος Ἡρακλονᾶς, μονοθελητὴς καὶ αὐτὸς, ἔτος α' καὶ φαρμάκῳ ὑπὸ τῶν οἰκείων ἀνῃρέθη.

---

3. χ. καὶ κρ. καὶ εὐφ. Vind. — 5. Τί πέπονθεν ὁ ἐλεεινὸς Ἡράκλειος αἱρετικὸς ἀπελθών. Rubrica cod. — Ἀθ. πατριάρχου τῶν Vind. Ced. 752,15—24 Leo. — * ἐφείσατο κατασφάζων τὴν πᾶσαν Περσίδα ἐν ἔτεσιν ἓξ, τῷ δὲ Vind. e c. 20. — 10. ἀπουρεῖν Vind. — σ. τίθεσθαι κ. τοῦ ἦ. διὰ Ced. σ. κ. τοῦ ἦ. ἐπετίθει Leo. ἴτρου cod. et Vind. — 16. τὸ οὖρον Ced. Leo. — 12. ἀναπ. Vind. Leo, Ced. — 13. ἀν. γ. Vind. — ** Μαρτῖναν Ced. Leo. — *** τελευτήσαντος δὲ τοῦ Ἡρακλείου κατετέθη ἐν λάρνακι καὶ ἔμενεν ἀσκεπὴς ἡμέρας δ' καὶ μετὰ ταῦτα ἐσκεπάσθη καὶ συνετάφη αὐτῷ στέμμα χρυσοῦν διὰ λίθων τιμῆς λιτρῶν ὀ' Leo, Ced. — 15. Deest in Vind. sed Leo. Ἐπὶ αὐτοῦ ἀνεφάνη Μ. ὁ τῶν Σ. ἀ. ἐκ τῆς Ἀ. ἀν. — κατ. τεύχηκε τῆς ἐφέσεως. Ἀναγκαῖον δὲ ἡγοῦμαι κτλ. c. CCXXXIV. — 20. **** δὲ Vind. K. ὧς ἀ. ἔτος ἓν κτλ. Vind.

CCXXIX. ΠΕΡΙ ΤΟΥ ΠΛΟΥΣΙΟΥ ΤΟΥ ΔΟΣΑΝΤΟΣ ΤΗΝ ΕΛΕΗΜΟΣΥΝΗΝ.

Ἐφ' οὗ πλούσιός τις ἐν Κ. Π. νοσήσας καὶ τὸν ϑάνατον δειλιάσας, ἔδωκε τοῖς πένησι χρυσίου λίτρας λ'· καὶ παρὰ προσδοκίαν ὑγιάνας *, μεταμεληϑεὶς ἐκ διαβολικῆς ἀπάτης, ϑαῤῥεῖ φίλῳ αὐτοῦ τοῦτο (ὄντι καὶ αὐτῷ) πλουσίῳ καὶ (πάνυ) γνησίῳ (φίλῳ). Ὁ δὲ λέγει αὐτῷ· «μηδαμῶς, ἀδελφὲ, παραδέξῃ τὸν λογισμὸν τοῦτον, δαιμονιώδης γάρ ἐστιν· καὶ λυπήσεις τὸν ϑεὸν τὸν ἐλεήσαντά σε διὰ τῆς τοιαύτης σου ἐλεημοσύνης καὶ ἀναστάσαντά σε (ἐκ ϑανάτου, μὴ καὶ αἰφνιδίως πάλιν ἐπάξει σοι τὸν ϑάνατον; καὶ ἀπέλϑῃς ἀμετανόητος. Τοῦ δὲ μὴ πειϑομένου ἀλλὰ μᾶλλον καὶ ἀποδυσπετοῦντος, ἔφη πρὸς αὐτὸν ὁ φίλος· «ἐπεὶ, συμβουλεύοντός μου, τὰ πρὸς σωτηρίαν σου οὐ καταδέχῃ, εἶπω σοι ἑτέραν βουλήν». Ὁ δέ φησι· «ποίαν ταύτην;» Ὁ δὲ ἀληϑῶς ἐλεήμων ἀπεκρίνατο· «δεῦρο εἰς τὴν ἐκκλησίαν καὶ εἰπέ· Οὐκ εἰμὶ ἐγὼ, κύριε, ὁ ποιήσας τὴν ἐλεημοσύνην ἐκείνην, ἀλλ' οὗτός ἐστι καὶ παρέξω σοι τὰς λ' λίτρας». Ὁ δὲ ταλαίπωρος ἐκεῖνος ἄνϑρωπος συνϑέμενος τοῦτο καὶ πρὸς τὴν ἐκκλησίαν ἀπελϑών, τὸ χρυσίον ἐν χερσὶ λαβὼν καὶ τὸ συμφωνηϑὲν λαλήσας, ἐν τῷ ἐξέρχεσϑαι αὐτὸν τὴν πύλην τῆς ἐκκλησίας πεσὼν ἀπέϑανεν. Πάντων οὖν τῶν εὑρεϑέντων τὸν δίκαιον κριτὴν καὶ ἀπαραλόγιστον ϑεὸν ὑμνολογησάντων, τῶν δὲ κληρικῶν προτρεπομένων τὸν κύριον τῶν νομισμάτων λαβεῖν τὰ ἴδια, οὐ κατεδέξατο εἰπών· (Μή μοι γένοιτο τοῦτο κἂν εἰς ἔννοιαν ἐλϑεῖν· ἐξότε γὰρ δέδωκα αὐτὰ κατ' ὄνομα δῶρα τῷ κυρίῳ, αὐτοῦ εἰσί καὶ εἰς τὰ ἄνω βραβεῖα ἐγράφη, καὶ οὐκ ἔχω αὐτῶν ἐξουσίαν, ὅπερ Ἀνα-

---

1. 2. Rubrica Mon. π. τοῦ τὴν ἐλ. δ. καὶ μεταμεληϑέντος Par. 1706, deest in cod. — 3. Ced. 671,15 — 672,17, Iustiniani a. 25°: Ἐν τούτοις τοῖς ἔτεσι πλ. — * καὶ Ced. — 5. ϑ. τ. γν. καὶ πλ. φ. ἀ. Ced. — 7. ὦ ἄνε π. τὸν πονηρὸν τ. λ. καὶ λ. ϑν τὸν ἐλ. σε καὶ ἀν. διὰ τὴν ἐλεημοσύνην σου καὶ ἐπ. σοι ϑ. αἰφνίδιον καὶ ἀπ. ἀμ. Ced. — 11. καὶ μ. Ced. — ἀποδυσσωποῦντος? — 14. Καὶ ὁ ἀληϑὴς Ced. Ὁ δὲ ἀληϑ. cod. — 18. καὶ τὸν λόγον εἰπὼν ἐν cod. — 19. ἀ. π. παρὰ τὴν π. τῆς ἐ. ἀπ. Τῶν κλ. δὲ ἐκπλαγέντων καὶ π. τῶν ἐ. προετρέποντο τὸν κ̄ν τῶν ν. λ. ἀ. Ὁ δὲ οὐκ ἐπείσϑη ἀλλὰ τοῖς πτωχοῖς πάντα διένειμεν εἰπών ὁ ϑς οὐ μ. ἡ γὰρ πρὸς τὸν ϑν ἐπαγγελία οὐ μόνον ἄχρι χρημάτων ἀλλὰ καὶ μέχρι λόγου φϑάνει κτλ.

νίας καὶ Σαμπφῆρα ἀγνοήσαντες καὶ ἐκ τῶν ἀφιερωϑέντων τῷ κυρίῳ πάλιν ὡς ἐξ οἰκείων λαβόντες, αἰφνιδίῳ ϑανάτῳ ὥσπερ καὶ οὗτος ὑπέστησαν)· «ϑεὸς γὰρ οὐ μυκτηρίζεται» — (Οἱ δὲ ἀκούσαντες ταῦτα μεγάλως ὠφελήϑησαν, κατανοήσαντες τοῦ ἀνδρὸς τὸ σταϑερόν καὶ βέβαιον καὶ τὸ πρὸς τὴν πίστιν ἀσάλευτον. Ἐκρίϑησαν οὖν αἱ λ' λίτραι δοϑῆναι πτωχοῖς. Εἰκότως οὖν ἔλεγεν ὁ μέγας Ἀϑανάσιος (147[b]) ὅτι περ πᾶν ὅπερ ἐπαγγελλόμεϑα τῷ ϑεῷ, οὐκέτι λοιπὸν ἡμῶν ἐστιν ἀλλὰ τοῦ ϑεοῦ· διὸ τοίνυν ἐκ τούτων ὑποσυρόμενοι, οὐχ ὡς τὰ ἑαυτῶν ἐσμὲν λαμβάνοντες, ἀλλ' ὡς παρὰ τοῦ ϑεοῦ ἱεροσυλοῦντες κριϑησόμεϑα· ἐπὶ μικρῷ γὰρ καὶ μείζονι πταίσματι ἡ παράβασις κρίνεται· καὶ γοῦν οἱ προπάτορες ξύλου γεύσει ϑανάτῳ καὶ φϑορᾷ κατεδικάσϑησαν καὶ ὁ ἐν σαββάτῳ ξύλα συλλέξας λιϑοβοληϑήσεται). Ἡ δὲ ἐπαγγελία οὐ μέχρι μόνον χρημάτων, ἀλλὰ μέχρι καὶ λόγου φϑάνει καὶ προαιρέσεως· (ἀμέλει· τὸ μέγα καὶ ϑεῖον ὄντως μυστήριον ἡμῶν οὐκ ἐπὶ χρήμασιν ἔχει τὴν κατὰ ϑεὸν πίστιν καὶ ὑπόσχεσιν, ἀλλ' ἐπὶ πηοαιρέσει τελείᾳ καὶ τῇ κατὰ ϑεὸν πίστει. Πάντες γὰρ ἐπηγγειλάμεϑα καὶ πάντες ἐπαγγελίας ἐσμὲν ὑπεύϑυνοι). Ἀνάγκη τοίνυν ἀποδιδόναι τὴν μὲν παρϑένον τὴν παρϑενίαν ὁποῖαν ἐπηγγείλατο, τὸν δὲ ἐγκρατῆ τὴν ἐγκράτειαν, τοὺς δὲ ἐν γάμῳ τὴν σωφροσύνην καὶ τὴν πρὸς ἀλλήλους τιμήν τε καὶ ἀγάπην· καὶ τέλος πάντας τὴν εἰς ϑεὸν πίστιν καὶ εὐλάβειαν καὶ δικαιοσύνην καὶ ἀνδρείαν.

΄CCXXX. ΠΕΡΙ ΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΑΙ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ΄.

Ἐγένετο δὲ καὶ ἐν Ἀλεξανδρείᾳ τι τοιοῦτον· Ἐπίσκοπός τις εὐλαβὴς πάνυ, πλησίον ἔχων τινὰ φιλόσοφον Εὐάγριον καλούμενον, ἑταῖρον** αὐτοῦ γενόμενον ἐν τοῖς παιδευτηρίοις, Ἕλληνα δὲ τὴν ϑρησκείαν, ὃν ἐπίσκοπος μεταϑεῖναι βουλόμενος [ἐκ τῆς εἰδωλομανίας] πρὸς τὴν πίστιν τοῦ χριστοῦ, συνεχῶς προσεκαλεῖτο καὶ δι-

---

3. Gal. VI. 7. — 7. Locus, ut videtur ineditus. — 23. π. Εὐαγρίου τοῦ φ. M. 2. π. ἐλεημοσύνης P. 1706. — * τοῦ τὰς τ' λίτρας δόντος ὑπὲρ τῆς ψυχῆς αὐτοῦ καὶ τοῦ χάρτους cod. — 24. Ced. 672,18—674,11: Καὶ ἐν Ἀλ. δὲ ἐγ. τι τ. — 25. πλη. cod. — ** μὲν Ced. — 28. τὴν τοῦ χῦ π. Ced.

λέγετο. Τοῦ δὲ μὴ πειθομένου, ἀλλὰ καὶ σφόδρα δυσχεραίνοντος, εἰπεῖν λέγεται ἐν μιᾷ πρὸς τὸν ἐπίσκοπον· «Ὄντως, κύριε ἐπίσκοπε, μετὰ πάντων, καὶ τοῦτό μοι ἀπαρέσκει, ὃ λέγετε οἱ χριστιανοί, ὅτι συντέλεια τοῦ κόσμου γίνεται καὶ τῶν σωμάτων ἀνάστασις καὶ ἀνταπόδοσις τῶν βεβιωμένων καὶ * ὁ ἐλεῶν πτωχὸν δανείζει θεῷ καὶ «ἑκατονταπλασίονα μετὰ ζωῆς αἰωνίου ἀπολήψεται», (ἅπερ ἅπαντά μοι χλεύη καὶ μύθος τὰ λεγόμενα φαίνεται). Καὶ τοῦ ἐπισκόπου διαβεβαιουμένου μηδὲν ψεῦδος ἢ χλεύην ἐν τοῖς χριστιανῶν δόγμασιν εἶναι, ἀνεχώρει Εὐάγριος πολλὴν συζήτησιν ἐν ἑαυτῷ ἔχων· Μετὰ δέ τινα χρόνον, θεοῦ συνεργοῦντος τῇ τοῦ ἐπισκόπου διδασκαλίᾳ, πιστεύσας ὁ φιλόσοφος ἐβαπτίσθη, ὃς αὐτίκα παραschὼν τῷ ἐπισκόπῳ χρυσίου λίτρας τ' — ἦν γὰρ πλούσιος σφόδρα — λέγει· «δέξαι ταῦτα, ὦ ἐπίσκοπε· καὶ διαδοὺς πτωχοῖς ποίησόν μοι (ἔγγραφον) ἰδιόχειρον, ὅτι λήψομαι αὐτὰ παρὰ τοῦ θεοῦ». Τοῦ δὲ ἐπισκόπου δεξαμένου προθύμως καὶ τὸ γράμμα ποιήσαντος, διένειμε πάντα τοῖς πένησιν. Ἐπιζήσας οὖν χρόνον τινὰ ὁ φιλόσοφος ἐν εὐσεβείᾳ καὶ ἀρετῇ μεγάλῃ, παρήγγειλε τοῖς τέκνοις αὐτοῦ τελευτῶν ἐνθεῖναι τὸν χάρτην ** τῇ χειρὶ αὐτοῦ καὶ οὕτως ταφῆναι. Καὶ τούτου γενομένου, μετὰ τρίτην ἡμέραν ἐπιφαίνεται κατ' ὄναρ ὁ φιλόσοφος τῷ ἐπισκόπῳ λέγων· «ἐλθὲ εἰς τὸν τάφον μου, ὦ ἐπίσκοπε, καὶ λάβε τὸ ἰδιόχειρόν σου· ἀπέλαβον γὰρ τὸ χρέος ἑκατονταπλάσιον καὶ οὐδένα λόγον ἔχω πρός σε· ἀλλὰ πρὸς τελείαν σου πληροφορίαν καὶ ἰδιόχειρον ἐν αὐτῇ καθυπέγραψα». Τοῦ δὲ ἐπισκόπου (ἀγνοοῦντος, ὅτι συνεταφη αὐτῷ φιλοσόφῳ τὸ ἰδιόχειρον), πρωὶ μεταστέλλεται τοὺς υἱοὺς τοῦ φιλοσόφου. Καὶ τοῦτο μαθὼν ἀπέρχεται εἰς τὸν τάφον μετὰ τῶν κληρικῶν τῆς πόλεως. Καὶ τοῦτον ἀνοίξαντες εὑρίσκουσι (148ᵃ) τὸν φιλόσοφον καθήμενον καὶ τὴν

---

1. σφοδῶς Ced. — 2. κύρι ὁ ἐπίσκοπ. cod. — 3. καὶ τ. μ. π. ἀπ. μοι Ced. — * ὅτι Ced. — 5. θεῷ δ. Ced. — 6. Mt. XIX. 29, M. X. 30. — 8. τ. τῶν χ. ἐ. δ. ἀνεχώρησεν Ἐ. π. ἐ. σ. ἐν ἑ. Ced. — 14. Τοῦ δὲ ταῦτα δ. Ced. — 15. διεδόθη παρ' αὐτοῦ τοῖς π. π. — 16. χρόνους τινὰς Ced. — 17. ἀρεταῖς μεγάλαις Ced. — ἑαυτοῦ τ. Ced. — ** ἐν Ced. — 19. γιν. cod. — 22. ἐ. λ. Ced. — πλ. σου ἰδιοχείρως Ced.— 25. μεταστειλαμένου — καὶ μαθόντος παρ' αὐτῶν ὡς σ. ἀ. τὸ ἰ. ἀπ. μ. τῶν κλ. τῆς π. καὶ ἀν. τὸν τ. ἐ. Ced.

χεῖρα μετὰ τοῦ γράμματος προτείνοντα. Τῶν δὲ κληρικῶν βουλομένων τὸν χάρτην λαβεῖν, οὐδεὶς ἴσχυσεν ἀποσπᾶσαι ἐκ τῆς χειρὸς αὐτοῦ ἕως ἂν ἦλθεν ἡ χεὶρ τοῦ ἐπισκόπου. Καὶ παραχρῆμα τὸν χάρτην ἐπιδοὺς ἀπέπεσε πάλιν, ὅν τινα (χάρτην) ἀνοίξας ὁ ἐπίσκοπος, εὗρε νεωστὶ ἐπιγεγραμμένον τῇ χειρὶ τοῦ φιλοσόφου οὕτως· «Ἐγὼ, Εὐάγριος φιλόσοφος, σοὶ, τῷ ὁσιωτάτῳ ἐπισκόπῳ ἐν Κυρίῳ χαίρειν. Ἴσθι, πάτερ, ὡς ἔλαβον τὸ χρέος ἑκατονταπλάσιον καὶ οὐδένα πρός σε λόγον ἔχω». Τούτων ἀναγνωσθέντων καὶ πάντων ἀκουσάντων τῶν γραμμάτων καταπλαγέντων σφόδρα καὶ ἐπὶ ὥραν ἱκανὴν κραξάντων τό· «Κύριε ἐλέησον» (καὶ τό· «Δόξα τῷ θεῷ ἡμῶν κυρίῳ Ἰησοῦ χριστῷ»), ἐκέλευσεν ὁ ἐπίσκοπος τὸ ἰδιόχειρον ἐν τῷ σκευοφυλακίῳ τηρεῖσθαι.

CCXXXI. ΠΕΡΙ ΣΤΡΑΤΙΩΤΟΥ ΤΟΥ ΕΜΠΕΣΟΝΤΟΣ ΕΙΣ ΓΕΩΡΓΟΥ ΓΥΝΑΙΚΑ.

Καὶ ἐν Καρθαγένῃ τῆς Ἀφρικῆς ὑπῆρχέ τις στρατιώτης ἄσωτος λίαν, ὃς ἐκ λοιμικῆς νόσου τῆς πόλεως διαφθειρόμενος, ἐλθὼν εἰς κατάνυξιν, καταλείψας τὴν πόλιν, ἰδίασε μετὰ τῆς γυναικὸς αὐτοῦ ἐν προαστείῳ, ἐν ᾧ πάλιν ἐκ δαιμονικῆς ἐνεργείας, ἔπεσεν εἰς τὴν γυναῖκα τοῦ γεωργοῦ. Οὗτος ἄφνω τελευτήσας θάπτεται πλησίον τοῦ προαστείου ἐν μοναστηρίῳ. Τῷ δὲ ἐπαύριον, τῶν μοναχῶν ψαλλόντων τὴν γ' ὥραν, φωνὴ γέγονεν ἐκ βάθους τοῦ τάφου· «ἐλεήσατέ», λέγουσα» δοῦλοι τοῦ θεοῦ, ἐλεήσατε». Οἱ δὲ τὸν τάφον εὐθέως ἀνοίξαντες εὗρον τὸν στρατιώτην καθεζόμενον καὶ κράζοντα, καὶ θᾶττον ἐξαγαγόντες αὐτὸν καὶ τὰ δεσμὰ διαλύσαντες, ἠρώτησαν τὴν αἰτίαν τοῦ τοιούτου θαύματος. Ὁ δὲ παρακαλέσας αὐτοὺς

---

1. πειρωμένων λ. τὸν χ. οὐδενὶ τοῦτον ἔδωκεν τοῦ δὲ ἐπ. τὴν χεῖρα ἁπλώσαντος, π. τὸν χ. ἐπ. ἀν. π. ὅνπερ ἀν. ἐπὶ πάντων ἐ. ν. ὑπογ. Ced. — 8. ἐ. περὶ τούτου. Πάντων οὖν τῶν ἀκ. — 9. καταπλαγέντες — κράξαντες cod. — ἐπὶ πολὺ κρ. Ced. — * τοῦ φιλοσόφου Ced. — 11. τ. ἐν τῷ σκ. Ced. — 14. Rubrica M. 2, κ. παρενύσαντός τὴν γυν. γ. Par. 1706; hujus rubricae loco cod. in margine a prima manu habet: Ἀνάγνωθι ἐπιμελῶς καὶ ὠφεληθήσῃ μεγάλως εἴπερ χρήζεις ψυχικῆς ὠφελείας. — 15. Glyc. 513,11—20. — 19. γ. τινὸς? — 25. παρεκάλεσεν?

ἀπενεγκεῖν αὐτὸν πρὸς τὸν δοῦλον τοῦ θεοῦ Θαλάσσιον τὸν ἐπίσκοπον. * Παρακαλέσας αὐτὸν λέγει· «Διήγησον ἡμῖν τί τὸ συμβὰν εἰς σὲ, ἀδελφὲ, ὅπως καὶ ἡμεῖς δοξάσωμεν τὸν θεόν;» Ὁ δὲ διηγήσατο αὐτῷ πάντα μετὰ πολλῶν δακρύων, λέγων· «Ἐγὼ, ὁ ταπεινὸς καὶ ἄθλιος καὶ ταλαίπωρος ὧδε, πάτερ, ἐν ἁμαρτίᾳ τελευτῶν ἐθεώρουν τινὰς Αἰθίοπας ἑστῶτας πλησίον μου, ὧν καὶ αὐτὴ ἡ θεωρία μόνη χαλεπωτέρα πάσης ὑπάρχει κολάσεως, οὓς τινας ὁρῶν, ἡ ἁμαρτωλός μου ψυχὴ ταράττεται πρὸς ἑαυτὴν καὶ συστέλλεται. Παρισταμένων δέ μοι τῶν τοιούτων φοβερῶν Αἰθιόπων, θεωρῶ νεανίσκους δύο λευχειμονοῦντας εὐειδεῖς ἄγαν, οἵτινες τὴν ψυχήν μου παραλαβόντες καὶ ἀπὸ τῆς γῆς αὐτίκα πρὸς οὐρανὸν ἀνυψούμενοι, εὑρίσκομεν τελώνια τέλωνια φυλάττοντα μετὰ πολλῆς ἀκριβείας τὴν ἄνοδον καὶ κωλύοντα τὰς ἀνερχομένας ψυχὰς, καὶ λογοθετοῦντα καθ' ἕκαστον τελώνιον τὴν οἰκείαν ἁμαρτίαν, τὸ μὲν γὰρ τοῦ ψεύδους, τὸ δὲ τοῦ φθόνου, τὸ δὲ τῆς λοιδορίας· καὶ ἁπλῶς οὕτως καθ' ἑξῆς ἕκαστον πάθος ἰδίους ἔχει τελωνάρχας καὶ δικολόγους, ὑφ' ὧν κρατούμενος ἐθεώρουν τοὺς ὁδηγοῦντάς με νεανίσκους βαστάζοντας ὡς ἐν βαλαντίῳ τινὶ τὰς καλάς μου πράξεις, ἀφ' οὗ λαμβάνοντες καὶ ἀντισταθμίζοντες τοῖς πονηροῖς ἔργοις μου, οἷς προσέφερον ἀκριβολογοῦντες οἱ πονηροὶ ζυγοστάται καὶ τῆς ἀεροπορίας ὁδοστάται, μόλις ἀπελυόμεθα· ἐκδαπανηθέντων δὲ πάντων τῶν ἀγαθῶν μου ἔργων καὶ πρὸς τὴν πύλην τοῦ οὐρανοῦ φθάσαντες ἐν ᾗ τὸ τελώνιον τῆς πορνείας ἦν, συσχεθεὶς ὑπὸ τῶν ζοφερῶν ἐκείνων Αἰθιόπων, προσέφερον πᾶσάν μου πορνείαν (148[b]) καὶ σωματικὴν ἁμαρτίαν, ἣν ἀπὸ δεκαετοῦς χρόνου τῆς ἡλικίας μου διεπραξάμην ὁ ἄθλιος. Ἀπολογουμένων δὲ τῶν νεανίσκων ἐκείνων ὑπὲρ ἐμοῦ καὶ λεγόντων, ὅτι τὰ ἐν τῇ πόλει ἁμαρτήματα συγκεχώρημαι μετανοήσας, «ἀλλὰ», φασὶν οἱ δεινοὶ κατήγοροι, «μετανοήσας ἔπεσε πάλιν εἰς μοιχείαν ἔξω τῆς πόλεως καὶ οὕτως ἀπέθανεν», ὅπερ ἀκούσαντες οἱ ἄγγελοι ἀνεχώρησαν ἐάσαντές με ἀνεπολογήτον ὡς μηδὲν ἔργον ἀγαθὸν ἔχοντα. Καὶ ἁρπάσαντές με οἱ Αἰθίοπες ἐκεῖνοι, τύπτοντές με κατηγαγόν με εἰς τὴν γῆς αὖθις.

---

* ὁ δὲ? — 14. τελώνι cod. — 27. συγκεχωρητ. cod. — 28. φὴ cod.

Καὶ κατῆλθον διά τινων στενώπων καὶ σκοτεινῶν, δυσωδεστάτων πάνυ καὶ φρικοδεστάτων καταδύσεων μέχρι τῶν καταχθονίων ἐν τοῖς δεσμωτηρίοις τοῦ ᾅδου, ἔνθα εἰσὶν αἱ ψυχαὶ τῶν ἁμαρτωλῶν ἀποκεκλεισμέναι εἰς γῆν σκοτεινὴν καὶ φοβερὰν, εἰς γῆν σκότους αἰωνίου, οὗ οὐκέτι φέγγος οὐδὲ ὁρᾷν βροτῶν ζωὴν, ὡς γέγραπται, ἀλλ' ὀδύνη καὶ θλῖψις αἰώνιος καὶ ἀπαραμύθητος καὶ στεναγμὸς ἀσίγητος· ἕκαστος γὰρ τῶν ἐκεῖσε μνημονεύων τὰς πονηρὰς αὐτοῦ πράξεις καὶ ἐννοῶν πῶς ἀπολογήσηται τῷ ἀδεκάστῳ κριτῇ, καὶ πῶς τὴν ἀπέραντον κόλασιν ὑποστήσηται, δεινῶς τῷ συνειδότι προβασανίζεται καὶ πρὸς τοῦτο ἀναλογιζόμενος τὸν ἀπὸ θεοῦ χωρισμὸν καὶ τῆς δόξης τῶν ἁγίων αὐτοῦ καὶ τὴν μετὰ τοῦ διαβόλου καταδίκην καὶ τῶν δαιμόνων ἄπαυστον καὶ ἀπαρηγόρητον, λυπεῖται καὶ στενάζει. Μεθ' ὧν γέ τοι κἀγὼ συγκατακλεισθεὶς καὶ πενθῶν ὁρῶ τοὺς δύο νεανίσκους ἐκείνους ἐλθόντας ἐκεῖσε πάλιν, οὓς παρακαλέσας ἐξαγαγεῖν τῆς φοβερᾶς ἐκείνης φυλακῆς τε καὶ ἀνάγκης ὅπως μετανοήσω, οἱ καὶ φασὶν πρός με· «μάτην παρακαλεῖς· οὐδεὶς γὰρ ἐξέρχεται τῶν ἐνταῦθα μέχρι τῆς κοινῆς ἀναστάσεως». Ἐπιμένοντος δέ μου τῇ δεήσει καὶ βοῶντος· «ἐλεήσατέ με· οὐ γὰρ ᾔδειν, ὅτι ταῦτά μοι συμβήσεται καὶ διὰ τοῦτο γνησίως ἀπὸ τοῦ νῦν μετανοῶ καὶ γενήσομαι πρὸς ὠφέλειαν πολλῶν, εἰ πρὸς τὴν ἐπὶ γῆς ζωὴν αὖθις ἐπανήξω». Καὶ δυσωπηθέντες οἱ ἄγγελοι ἄγουσί με πρὸς τὸ σῶμα καὶ τὴν μὲν ἰδίαν φύσιν τῆς ψυχῆς ἔβλεπον ὥσπερ μαργαρίτην ἀστράπτουσαν, τὸ δὲ σῶμα δυσῶδες καὶ ἠμαυρωμένον, ὅθεν δυσχεραίνοντός μου καὶ λέγοντος μὴ δύνασθαι εἰσελθεῖν ἐν αὐτῷ διὰ τὴν ζόφωσιν αὐτοῦ καὶ τὴν δυσωδίαν, οἱ δὲ προσηπείλησάν μοι λέγοντες· «Εἰ μὴ εἰσέλθῃς, πάλιν ἀπάγομέν σε εἰς ἐκείνην τὴν καταδίκην· οὐκοῦν εἰσέλθῃς, ἵνα καὶ αὐτὸς σωθῇς καὶ ἄλλους ὠφελήσῃς, ὡς τῷ Κυρίῳ ἔδοξεν;» Τότε εἶδον ὡς διὰ τοῦ στόματος εἰσελθὼν καὶ τὸ σῶμα διαναστήσας ἠρξάμην κράζειν· «ἐλεήσατέ με». Πάντων δὲ ὠφεληθέντων λίαν καὶ μᾶλλον φοβηθέντων ἐπὶ τῇ φοβερᾷ ταύτῃ διηγήσει, ἕκαστος τὰ ἑαυτοῦ ἐθρήνει πλημμελήματα· τὸν δὲ ἄνθρωπον βλέποντες καταπεπονημένον καὶ πολύδακρυν παρεκάλουν γεύσασθαι τροφῆς. Ὁ δὲ παντελῶς οὐχ ὑπήκουσεν, ἀλλὰ ἀποταξάμενος αὐτοῖς, διήρχετο τὰς ἐκκλησίας

καὶ ῥίπτων ἑαυτὸν ἐπὶ τοῦ ἐδάφους ἐβόα μετὰ φωνῆς ἰσχυρᾶς καὶ δακρύων πολλῶν· «Οὐαὶ, οὐαὶ τοῖς ἁμαρτάνουσιν ἀμετανοήτως· ποία φοβερὰ κόλασις καὶ ἐξέτασις ἀκριβὴς αὐτοὺς περιμένει». Ποιήσας οὖν (149ᵃ) οὕτως ἡμέρας μ' νηστεύων καὶ ἀγρυπνῶν καὶ κηρύσσων καὶ πολλοὺς ἐπιστρέφων πρὸς μετάνοιαν, ἐτελειώθη ἐν Κυρίῳ προγνοὺς τὸν ἑαυτοῦ θάνατον πρὸ ιβ' ἡμερῶν.

ΣΛΒ'. ΠΕΡΙ ΤΩΝ ΚΕΚΟΙΜΗΜΕΝΩΝ ΔΙΑΦΟΡΩΝ ΑΓΙΩΝ.

Συμφωνεῖ δὲ τῷ θαύματι τούτῳ, λέγω δὴ τὸ περὶ τῆς τῶν ψυχῶν πρὸς τὴν τῶν οὐρανῶν ἄνοδον μετὰ τὴν ἐνθένδε μεταχώρησιν, καὶ ὁ θεομύστης Χρυσόστομος διεξιὼν περὶ τῶν κεκοιμημένων οὕτως· «Ταῦτα καὶ τὰ τούτων ἀποῤῥητότερα προθεωροῦντες οἱ τελευτῶντες, οἱ μὲν ἐν τῇ κλίνῃ ταράσσονται φυγεῖν βουλόμενοι, μὴ δυνάμενοι δὲ, οἱ δὲ τοὺς ὀδόντας βρύχουσι καὶ ἄλλοι τοὺς σιαγόνας κόπτουσι καὶ ἕτεροι τοὺς ὀφθαλμοὺς ἐλεεινῶς περιστρέφουσι καὶ τὰς χεῖρας συστέλλουσι, κατὰ μικρὸν τῆς δυνάμεως τοῦ σώματος ληγούσης καὶ τῆς γλώττης δεινῶς φλεγομένης· ὁρῶσι γὰρ τότε τοὺς μὲν θείους ἀγγέλους φοβερῶς τε καὶ ὀξέως τὴν ψυχὴν ἀπαιτοῦντας, τοὺς δὲ πονηροὺς δαίμονας παρισταμένους καὶ λογοθετοῦντας καὶ κατηγοροῦντας εὐτόνως καὶ ἁρπάσαι πρὸς ἑαυτοὺς ἐπιχειροῦντας· εἶτα καὶ τὸν κλέπτην αἰφνιδίως εἰσελθόντα καὶ τὴν ψυχὴν τοῦ σώματος ἀποῤῥήξαντος, πορεύεται μετὰ σκυθρωπότητος πολλῆς εἰς τόπους ξένους καὶ πάμπαν ἀγνοουμένους. Πολλῶν οὖν ἡμῶν, ἀδελφοὶ, τότε δεῖ τῶν εὐχῶν, πολλῶν τῶν ἀγαθῶν ἔργων, πολλῆς ἡμῖν τότε χρείας τῆς τῶν ἀγγέλων βοηθείας, πολλῆς ἡμῖν τότε τῆς ἐν τῇ τοῦ ἀέρος ἀναβάσει χειραγωγίας καὶ συμμαχίας. Εἰ γὰρ εἰς μακρὰν χώραν καὶ ξένην πόλιν ἐνταῦθα πορευόμενοι δεόμεθα τοῦ χειραγωγοῦντος καὶ ὁδηγοῦντος, πόσων ἡμῖν δεῖ τῶν βοηθῶν μᾶλλον καὶ χειραγωγῶν τοῦ διασῶσαι καὶ διαπεράσαι τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας καὶ τοὺς ὁδοστάτας τοῦ ἀέρος καὶ δικαιολόγους, οὓς τελώνας καὶ φορολόγους ἡ θεία προσαγορεύει γραφή; Διὸ δὴ προφθάσωμεν τὸ πρόσωπον τοῦ θεοῦ ἐν ἐξομολογήσει, προφθάσωμεν πρὸ

7. Rubrica M. 2, om. cod. et Par. 1706. — 8. Τοῦ Χρυσοστόμου? cf. Raderi Syntagma p.18. — 19. τοῦ κλέπτου ἀ. εἰσελθόντος?

τοῦ φθασθῆναι· δράμωμεν πρὸ τοῦ καταληφθῆναι· ὁ γὰρ βίος βραχύς, ἡ δὲ κρίσις μακρά· τὸ δὲ τέλος ἐγγὺς καὶ ὁ φόβος πολὺς καὶ ὁ ἐλεῶν οὐδείς· ἐννόησον γὰρ ὅπως εἰσὶν αἱ ψυχαὶ διότι κατεφρόνησαν τοῦ φόβου τοῦ θεοῦ καὶ τῶν ἐντολῶν αὐτοῦ, μικρᾶς ἀνέσεως παρακαλοῦσαι τυχεῖν καὶ μὴ τυγχάνουσαι, ἀλλ' εἰς τὰ καταχθόνια τῆς γῆς θρηνοῦσαι τὰς ῥαθυμίας καὶ τὰς τρυφὰς καὶ τὰς πορνείας αὐτῶν καὶ τὰς λοιπὰς κακουργίας, ἀνόνητα μετανοοῦσιν ἐφ' οἷς κακοῖς διεπράξαντο καὶ πενθοῦσιν ἀπαρηγόρητοι. Διά τοι τοῦτο μᾶλιστα μακαρίζομεν τοὺς δικαίους καὶ τοὺς νηπίους ἀποθνήσκοντας, ἐπειδὴ τὸ παρ' ἡμῖν ποτήριον τοῦ θανάτου ἐπικίνδυνον, παρ' ἐκείνοις ἐστὶ σωτήριον καὶ τὸ παρὰ πᾶσι φρικτόν, παρ' ἐκείνοις ἐπιθυμητόν· καὶ ὅπερ ἡμεῖς ἔχομεν ἐκεῖθεν ἀρχὴν τιμωρίας, παρ' ἐκείνοις ἐστὶν ἀρχὴ σωτηρίας· μόνον οὐχὶ λέγοντες· «Ἡμᾶς ἄγγελοι εἰρηνικοὶ διεχώρισαν ἐκ τοῦ σώματος· ἡμεῖς ἀλύπως καὶ ἀνεμποδίστως παρήλθομεν τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας τοῦ ἀέρος, ἀγαθοὺς ὁδηγοὺς ἔχοντες· οὐ γὰρ εὗρον ἐν ἡμῖν ὅπερ ἐζήτουν ἢ ἤλπιζον· εἶδον ἀμίαντον καὶ καθαρὸν τὸ σῶμα καὶ ἠσχύνθησαν· εἶδον ἄφθορον καὶ λαμπρὰν τὴν ψυχὴν καὶ ἐνετράπησαν· εἶδον τὴν γλῶσσαν ἄσπιλον καὶ ἄδολον καὶ ἐφιμώθησαν· παρήλθομεν καὶ ηὐτελίσαμεν αὐτούς· διέβημεν δὲ αὐτῶν καὶ κατεψάλομεν αὐτῶν φάσκοντες· «Εὐλογητὸς Κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν»· «ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐῤῥύσθημεν»· ὅθεν καὶ οἱ προσαπατῶντες ἄγγελοι ἐχαιρον (149b), δίκαιοι κατησπάζοντο, ὅσοι συνετέρποντο λέγοντες· «Καλῶς ἦλθον οἱ φίλοι τοῦ Χριστοῦ καὶ τῶν αἰωνίων ἀγαθῶν κληρονόμοι».

(2) Καὶ μέντοι καὶ ὁ τῆς θεολογίας ἐπώνυμος Γρηγόριος ἐν τῷ ἐπιταφίῳ τοῦ ἀδελφοῦ Καισαρείου φάσκει· «Πείθομαι σοφῶν λόγοις, ὅτι πᾶσα ψυχὴ καλή τε καὶ θεοφιλὴς, ἐπειδὰν τοῦ συνδεδεμένου λυθεῖσα σώματος, (τῶν) ἐνθένδε ἀπαλλαγῇ, εὐθὺς ἐν συναισθήσει καὶ θεωρίᾳ τοῦ μένοντος αὐτὴν καλοῦ γίνεται, ἅτε τοῦ ἐπισκοτοῦντος ἀνακαθαρθέντος ἢ ἀποτεθέντος * — οὐκ οἶδ' ὅτι καὶ λέγειν χρὴ — θαυμασίαν τινὰ ἡδονὴν ἥδεται καὶ ἀγάλλεται καὶ ἵλεως

13. λέγοντ. cod. λέγουσι? — 21. Ps. CXXIV. 7. — 26. Τοῦ θεολόγου ed. Coloniensis 1690, I. p. 173 C. — 30. γενομένη Gr. — * ἢ Gr.

χωρεῖ πρὸς τὸν ἑαυτῆς δεσπότην, ὥσπέρ τι δεσμωτήριον χαλεπὸν τὸν ἐνταῦθα βίον ἀπολιποῦσα καὶ τὰς περικειμένας ἀποσεισαμένη πέδας, ὑφ' ὧν τὸ τῆς διανοίας πτερὸν καθείλκετο, καὶ οἷον ἤδη τῇ φαντασίᾳ καρποῦται τὴν ἀποκειμένην μακαριότητα».

(3) Ὁμοίως δὲ καὶ ὁ μέγας Ἀθανάσιος ἐν τῷ βίῳ τοῦ ἁγίου Ἀντωνίου λέγει· «Ἀναστὰς εἰς προσευχὴν περὶ ὥραν θ' ἤσθετο ἑαυτὸν ἁρπαγέντα τῇ διανοίᾳ· καὶ παραδόξως ἑστὼς ἔβλεπεν ἑαυτὸν ὥσπερ ἔξωθεν ἑαυτοῦ γενόμενον καὶ ὡς εἰς τὸν ἀέρα ἀφοδηγούμενον ὑπό τινων, εἶτα πικροὺς καὶ δεινοὺς ἑστῶτας ἐν τῷ ἀέρι καὶ θέλοντας αὐτὸν κωλῦσαι ὥστε μὴ διαβῆναι. Τῶν δὲ ὁδηγούντων διαμαχομένων, ἀπῄτουν ἐκεῖνοι λόγον, εἰ μὴ ὑπεύθυνος αὐτοῖς εἴη· βουλομένων οὖν αὐτῶν συναίρει λόγον ἀπὸ τῆς γεννήσεως αὐτοῦ, οὐ συνεχώρουν οἱ τὸν Ἀντώνιον ὁδηγοῦντες· «τὰ μὲν ἀπὸ τῆς γεννήσεως αὐτοῦ, λέγοντες, ὁ Κύριος ἀπήλειψεν· ἀφ' οὗ δὲ γέγονε μοναχὸς καὶ τῷ θεῷ συνέθετο, ἐξέστω ποιῆσαι λόγον». (Καὶ δὴ) τότε κατηγορούντων (αὐτοῦ) καὶ μὴ ἐλεγχόντων, ἐλεύθερα γέγονεν ὁδὸς αὐτῷ καὶ ἀκώλυτος. Καὶ εὐθὺς εἶδεν ἑαυτὸν ὥσπερ ἐρχόμενον εἰς ἑαυτὸν καὶ τοῦ μὲν φαγεῖν ἐπελάθετο, ἔμεινε (δὲ) τὸ λοιπὸν τῆς ἡμέρας καὶ ὅλης τῆς νυκτὸς εὐχόμενος καὶ στενάζων. Ἐθαύμαζε δὲ λογιζόμενος πρὸς ποίους ἐστὶν ἡ πάλη καὶ διὰ πόσων πόνων ἔχει τις διαβῆναι τὸν ἀέρα καὶ ἐμνημόνευσεν ὅτι τοῦτό ἐστιν, ὃ ἔλεγεν ἀπόστολος «κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος»· ἐν τούτῳ γὰρ ὁ ἐχθρὸς ἔχει τὴν ἐξουσίαν ἐν τῷ μάχεσθαι καὶ πειράσθαι διακωλύειν τοὺς διερχομένους, ὅθεν μάλιστα παρῄνει λέγων· «Ἀναλάβετε τὴν πανοπλίαν τοῦ θεοῦ, ἵνα (δυνηθῆτε ἀντιστῆναι τῇ ἡμέρᾳ τῇ πονηρᾷ», ὅπως) μηδὲν ἔχων ὁ ἐχθρὸς λέγειν περὶ ἡμῶν φαῦλον καταισχυνθῇ· — Διὸ τοίνυν ἀνενδότως ἐπιμένωμεν τῇ ἀσκήσει γινώσκοντες, ὅτι, ἐὰν μίαν ἡμέραν ἀμελήσωμεν, οὐ διὰ τὸν παρελθόντα χρόνον ἡμῖν συγχωρήσει, ἀλλὰ διὰ τὴν ἀμέλειαν

---

4. Τοῦ ἁγίου Ἀθανασίου ed. Col. 1686. II 488 D. — 5. Μέλλων δὲ εἰσθίειν καὶ ἀν. εὔξασθαι ποτὲ περὶ τὴν θ' ὥ Ath. — 6. τὸ παράδοξον Ath. — 7. ὁδηγ. Ath. ἀποδηγ. cod. — 11. θελόντων τοίνυν Ath. — 13. λ. ἐκείνοις ante τὰ μὲν Ath. — ἐξ Ath. — 14. ἐπηγγείλατο τῷ θεῷ Ath. — 16. καὶ πρὸς ἑ. ἑστῶτα· καὶ πάλιν ἦν ὅλως Ἀντώνιος τότε τῷ μὲν φ. αὐτὸς ἐπιλαθόμενος Ath. — 18. καὶ δὴ ὁ. ν. Ath. — Ἐ. γὰρ βλέπων π. πόσους Ath. — 21. Eph. II. 2. — 23. δὴ ὃ καὶ Ath. — Eph VI. 13. — 25. ἔχ. π. ἡ. φ. ὁ ἑ. Ath.

καθ' ἡμῶν ὁ θεὸς ἀγανακτήσει μᾶλλον. Οὕτω γὰρ ἐν τῷ Ἰεζεκιὴλ ἠκούσαμεν· οὕτω καὶ Ἰούδας ἀπώλεσε διὰ νύκτα μίαν ὅλου τοῦ παρελθόντος χρόνου τὸν κάματον· οὐδὲ γὰρ ὁ ἐχθρὸς ἡμῶν ἀμελεῖ τῆς καθ' ἡμέραν φροντίζων ἀπωλείας πάντοτε, καὶ ἐὰν ἀμελοῦντας ἡμᾶς εὑρήσει, σφοδροτέρως ἐπιτίθεται· εἰς δὲ τὸ μὴ ὀλιγωρεῖν ἡμᾶς, καλὸν τὸ ἀποστολικὸν ῥητὸν ἀεὶ μελετᾶν· «Καθ' ἡμέραν ἀποθνήσκω». Ἂν γὰρ ἡμεῖς ὡς ἀποθνήσκοντες καθ' ἡμέραν οὕτως ζῶμεν, οὐχ ἁμαρτήσομεν, ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον, ἵνα καθ' ἡμέραν ἐγειρόμενοι μὴ νομίζωμεν φθάνειν τὴν ἑσπέραν καὶ πάλιν μέλλοντες ἀνακλίνεσθαι (150ᵃ) μὴ ἐγείρεσθαι — «Μετὰ δὲ ταῦτα, διαλέξεως αὐτῷ ποτε γενομένης πρός τινας περὶ τῆς διαγωγῆς τῆς ψυχῆς καὶ ποῖος μετὰ τὴν ἀναχώρησιν ἔσται αὐτῇ τόπος, τῇ ἑξῆς νυκτί καλεῖ τις αὐτὸν ἄνωθεν λέγων· «Ἔξελθε Ἀντώνιε, καὶ βλέπε». Καὶ δὴ ἐξελθὼν καὶ ἀναβλέψας εἶδε τινὰ μακρὸν τῷ εἴδει καὶ φοβερὸν ἑστῶτα, ἀναβαίνοντας δέ τινας ὥσπερ ἐπτερωμένους, κἀκεῖνον ἐκτείνοντα τὰς χεῖρας καὶ τοὺς μὲν κωλυομένους παρ' αὐτοῦ, τοὺς δὲ ὑπεριπτωμένους καὶ ἀμερίμνως λοιπὸν ἀναγομένους· καὶ ἐπὶ μὲν τοῖς τοιούτοις ἔτριζε τοὺς ὀδόντας ὁ μακρὸς ἐκεῖνος, ἐπὶ δὲ τοῖς ἀποπίπτουσιν ἔχαιρεν· καὶ ἐγένετο φωνὴ λέγουσα· «Νέει τὸ βλεπόμενον (Ἀντώνιε)». Καὶ διανοιχθείσης αὐτῷ τῆς διανοίας, ἔγνω ψυχῶν εἶναι τὴν πάροδον, καὶ τὸν ἑστῶτα μακρὸν τὸν ἐχθρὸν τοῦ γένους ἡμῶν διάβολον καὶ τοὺς μὲν ὑπευθύνους αὐτῷ κρατοῦντα καὶ κωλύοντα διελθεῖν, τοὺς δὲ ἀνευθύνους μὴ δυνάμενον κατέχειν».

(4) Διὰ δὴ τοῦτο καὶ ὁ μέγας καὶ πολύαθλος Εὐστράτιος μέλλων, καίπερ διὰ μαρτυρίου, τελειοῦσθαι, προσηύξατο λέγων· «Μεγαλύνων μεγαλυνῶ σε, Κύριε, ὅτι ἐπείδες ἐπὶ τὴν ταπείνωσίν μου

1. Ez. III. 20.—2. Gen. XXXVIII.—5. 1 Cor. XV. 31. — 10. συνελθόντας πρὸς αὐτὸν Ath. — 11. ταῦτα Ath. — 13. Ἐξ. τοίνυν (ᾔδει γὰρ τίσιν ὑπακούειν ὀφείλει) καὶ ἐθεώρησε Ath. — μ. ἀειδῆ καὶ φ. ἑ. καὶ φθάνοντα μέχρι τῶν νεφελῶν καὶ ἀν. Ath. — 16. καὶ διελθόντας λ. ἀ. ἀνάγεσθαι· ἐπὶ οὖν Ath. — · πρὸς Ἀντώνιον Ath. om. Ἀντώνιε. — 20. ἐνενόει τῶν ψ. Ath. — τὴν — ἐχθρὸν non habet Ath. — 21. τὸν φθονοῦντα τοῖς πιστοῖς καὶ Ath. — 22. μὴ πεισθέντας αὐτῷ μὴ δ. κρατεῖν Ath. — 24. Τοῦ ἁγίου Εὐστρατίου, non presbyteri illius C. P. cujus «refutatio eorum qui dicunt mortuos a viventibus haud juvari» in Bibl. M. XXVII. 362 legitur, sed martyris ejus nominis oratio, quae exstat latina apud Surium Dec. 13. c. 32.

καὶ οὐ συνεκλεισάς με εἰς χεῖρας ἐχθρῶν καὶ ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου· καὶ νῦν σκεπασάτω με ἡ χεῖρ σου, καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου, ὅτι τετάραχται ἡ ψυχή μου καὶ κατώδυνός ἐστιν ἐν τῷ ἐκπορεύεσθαι αὐτὴν ἐκ τοῦ σώματος τούτου, μήποτε ἡ πονηρὰ τοῦ ἀντικειμένου βούλησις συναντήσῃ αὐτῇ καὶ παρεμποδίσῃ ἐν σκότει διὰ τὰς ἐν ἀγνοίᾳ ἐν τῷ βίῳ τούτῳ γενομένας μοι ἁμαρτίας· ἵλεός μοι γένου, δέσποτα, καὶ μὴ ἴδοι ἡ ψυχή μου τὴν ζεζωφωμένην ὄψιν τῶν πονηρῶν δαιμόνων, ἀλλὰ παραλαμβάνωσιν αὐτὴν ἄγγελοί σου φαιδροὶ καὶ φωτεινοί. Δὸς δόξαν τῷ ὀνόματί σου τῷ ἁγίῳ, καὶ τῇ σῇ δυνάμει ἀνάγαγέ με εἰς τὸ θεῖόν σου βῆμα· ἐν τῷ κρίνεσθαί με μὴ καταλάβῃ με ἡ χεὶρ τοῦ ἄρχοντος τοῦ κόσμου τούτου εἰς τὸ κατασπᾶσαί με τὸν ἁμαρτωλὸν εἰς βύθος Ἅιδου».

(5) Τοι γάρ τοι καὶ ὁ μέγας ἀπόστολος Ἰούδας ἐν τῇ καθολικῇ αὐτοῦ ἐπιστολῇ ταῦτα παραδηλοῖ λέγων· «Ὁ δὲ ἀρχάγγελος Μιχαήλ, ὅτε τῷ διαβόλῳ, φησίν, διακρινόμενος διελέγετο περὶ τοῦ Μωσέως σώματος, οὐκ ἐτόλμησε κρίσιν ἐπενεγκεῖν βλασφημίας, ἀλλ' εἶπεν· «Ἐπιτιμήσει σοι Κύριος» διάβολος· βουλόμενος γὰρ παραστῆσαι τὴν ἐν τῷ ἀφανεῖ τοῦ διαβόλου περὶ τῶν ἀνθρωπίνων ψυχῶν τυραννίδα, ἣν ἔσχεν εἰς τὴν ταφὴν τοῦ σώματος Μωϋσέως ἀντιστῆναι, ἵνα μάθωμεν, ὅτι πρὸς τοὺς τόπους τῆς ἀναπαύσεως ὁ διάβολος μετὰ τῶν σὺν αὐτῷ πονηρῶν καὶ ἀποστατικῶν δυνάμεων, εἴργει πορεύεσθαι τὰς ψυχὰς τῆς ἄνω πορείας, διὸ καὶ ἄγγελοι παραλαμβάνουσιν αὐτὰς ἐξιούσας ἀπὸ τοῦ σώματος.

(6) Οὕτω δὲ καὶ ὁ Μαρτύριος Ἀντιοχείας ἐν τῇ αὐτῇ ἐπιστολῇ φησίν· «Ἐπειδὴ, γὰρ τῆς ψυχῆς ἀπὸ σώματος χωριζομένης μετὰ τὴν ἐντεῦθεν ἀπαλλαγήν, εὐθὺς προσαπαντῶσιν αὐτῇ ἀγγελικαὶ δυνάμεις ἀγαθαὶ καὶ δαιμόνων στῖφος πονηροτάτων, ἵνα πρὸς τὴν ποιότητα τῶν ἔργων ὧν ἔπραξαν πονηρῶν καὶ ἀγαθῶν, ἐπὶ τοὺς ἀξίους τόπους ἢ οὗτοι ἢ ἐκεῖνοι, ταύτην ἀποκομίσωσιν φυλαχθησόμενοι ἕως τῆς τελευταίας κρίσεως, καθ' ἣν εἰς κρίσιν παραστη-

---

15. Iudae, non Cyrilli, ut in codd. Monacensibus Raderus legebat, ep. 9. Ὁ δὲ M. ὁ ἀ. — 19. * κατὰ cod. — 20. ἐκ τὴν cod. — 23. ταῖς — πορείας cod. — 25. Martyrius in Iudae ep. a. 459—471. — 30. φυλαχθησώμ(εθα) cod. φυλαχθησομένην? custodiendam Mon.

σόμεθα πάντες, εἰς τὴν αἰώνιον ζωήν τε καὶ ἀνάπαυσιν ἢ εἰς τὴν ἀπέραντον φλόγα (150[b]) τοῦ πυρὸς ἀπαχθησόμεθα, ὅπερ ὁ θεὸς βουλόμενος ὑποδεῖξαι διά τινος τύπου σωματικοῦ, παρεσκεύασεν ἐν τῇ τοῦ Μωϋσέως τελευτῇ φανῆναι τὸν ἀρχάγγελον Μιχαὴλ διακρινόμενον περὶ τοῦ σώματος αὐτοῦ καὶ τὸν πονηρὸν ἀντιπράττοντα δαίμονα καὶ τούτῳ τὸν Μιχαὴλ ἀγαθὸν ἄγγελον ὄντα προσυπαντῆσαι καὶ ἀποσοβῆσαι, ἀλλὰ τῷ κυρίῳ τῶν ὅλων παραχωρῆσαι τῆς κατ' ἐκείνου κρίσεως· ὅπως διὰ τούτου μάθωμεν, ὡς ἔστι τις ἀγωνία τῆς ψυχῆς μετὰ τὴν ἔξοδον καὶ ὅτι χρὴ διὰ τῶν ἀγαθῶν ἔργων ἑτοιμαζέσθαι πρὸς τὸ τῆς εὐαγγελικῆς ἡμᾶς ἐπιτυχεῖν συμμαχίας, τῶν δαιμόνων κατ' ἡμῶν ἐπιτριζόντων φθονερῶς καὶ πικρῶς εἰς ἅπαν».

(7) Λέγει οὖν καὶ ὁ μέγας ὁμολογητὴς Μάξιμος πρὸς Ἰωάννην κουβικουλάριον· «Τίς, ἀγαπητέ, τῶν κατ' ἐμὲ ῥύποις ἁμαρτημάτων κατεστιγμένος οὐ φοβεῖται τὴν τῶν ἁγίων ἀγγέλων ἐπίστασιν, ὑφ' ὧν κατὰ θείαν ψῆφον τῆς * ζωῆς τὸ πέρας δεχόμενος, βίᾳ τοῦ σώματος μετ' ὀργῆς ἐξωθεῖται καὶ μὴ βουλόμενος; τίς κεκηληδωμένην ἑαυτῷ συνεπισταμένος τὴν συνείδησιν, οὐ δέδοικε τὴν ὠμοτάτην τῶν πονηρῶν δαιμόνων βαρβαρώδη ὑπάντησιν, ἑκάστου τούτων κατὰ τὸν ἀέρα μετὰ τὴν ἔξοδον πρὸς ἑαυτὸν ἀφειδῶς τὴν ἀθλίαν ψυχὴν ἕλκοντος καὶ τῷ ἐλέγχῳ τῶν αὐτῇ πεπραγμένων καταισχύνοντος καὶ πάσης ἐμποιοῦντος αὐτῇ τοῖς ἐπὶ τοῖς μέλλουσιν ἀγαθοῖς ἐλπίδος ἐλεεινὴν ἀπόγνωσιν;» — «Μετὰ δὲ τὴν γινομένην κατὰ τὸν ἀέρα πρὸς τὰ πνευματικὰ τῆς πονηρίας διάγνωσίν τε καὶ λογοθέτησιν ἡ πρὸς τὸν Ἅιδην καταπτωσις διαδέχεται καὶ παροίκησις, ἐν ᾧ σκότῳ βαθεῖ [διάγουσι] καὶ βαρυτάτῃ σιγῇ, τροφὴν ἔχουσαι αἱ ἐκεῖσε καταδεδικασμέναι ψυχαὶ τοὺς δριμυτάτους στεναγμοὺς καὶ τὰ πικρότατα δάκρυα καὶ τὴν ἐπὶ τοῖς δεινοῖς κατήφειαν, ἐκδεχόμεναι διὰ παντὸς οὐδὲν ἄλλο ἢ μόνην τὴν ἐπὶ

---

13. Τοῦ ἁγίου Μαξίμου ad Io. 7. II. p. 232 ed. Parisinae 1675. — 14. ἠγαπημένε M. — 15. ἐπιστασίαν M. — * παρούσης M. — 18. συνεπαγ. M. — 19. δ. καὶ βάρβαρον ἔμπτωσιν M. — ἑ. κατὰ τὸν ἀ. τοῦτον μ. M. — 20. ἑ. διασπῶντος τὴν ἀ. ψ. M. — 23. ἐλ. om. M. — 24. δ. τῆς τῶν ἐν Ἅιδῃ ψυχῶν καταστάσεως ἀκριβὴς ἀνατύποσις ὅπως ἐν σχ. M. — 26. βαθὺ cod. — διάγωσιν M. — 27. αἱ ἑ. κ. ψ. et πικ. om. M. — 28. ἐπὶ τούτοις κ. M. — 29. ἀ. μὲν ὁ. μ. δὲ M.

τῇ δικαίᾳ ψήφῳ δικαίαν ἀνταπόδοσιν. Ταύτην οὖν συνίστησιν αὐτοῖς τὴν ἄπαυστον λύπην καὶ ὀδύνην ἡ τῆς ἀναστάσεως ἐλπὶς, ἡ τῆς φοβερᾶς ἡμέρας χριστοῦ παρουσίας ἡμέρα, ἡ φρικωδεστάτη παράστασις. Καὶ περὶ τῶν βεβιωμένων πάντων ἀπολογία, καθ' ἣν οἱ μὲν ἐκ δεξιῶν τοῦ κριτοῦ σταθήσονται καὶ λήψονται τῶν ἀποῤῥήτων ἀγαθῶν τὰς ἐπαγγελίας, οἱ δὲ τὴν ἀριστερὰν στάσιν λαχόντες, τὸ πῦρ τὸ αἰώνιον, τὸ ἐξώτερον σκότος [καὶ τὸν ἀκοίμητον σκώληκα] τόν τε βρυγμὸν τῶν ὀδόντων καὶ τὸ διηνεκὲς δάκρυον καὶ τὴν ἀπέραντον αἰσχύνην τε καὶ κόλασιν. Ταῦτα δὴ ταῦτα προεννοοῦσαι καὶ διαλογιζόμεναι, εἰκότως πενθοῦσι καὶ ἀποδύρονται ὡς κατακεκριμέναι καὶ ἀναπολόγητοι καὶ μηδὲ τοῦ σοφοῦ τὴν διδασκαλίαν ἀκούσαντες λέγοντος· «Πάντα ὅσα ἂν εὕρῃ ἡ χείρ σου τοῦ ποιῆσαι, ὅση σοι δύναμις, ποίησον, ὅτι οὐκ ἐστι ποίημα καὶ λογισμὸς καὶ γνῶσις καὶ σοφία ἐν Ἅιδῃ, ὅπου σὺ πορεύῃ ἐκεῖ»· ἐπείπερ «οὐκ ἐστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ Ἅιδῃ τίς ἐξομολογήσεταί σοι;» Καὶ γὰρ οὐκ ἐστιν ἐκεῖ ὁ μνημονεύων τοῦ θεοῦ καὶ λέγων μετ' εὐφροσύνης· «Ἐμνήσθην τοῦ θεοῦ καὶ ηὐφράνθην», οὔτε ἐξομολογούμενος καὶ σωζόμενος, διότι ἀπέκλεισε Κύριος κατ' αὐτῶν πᾶσαν ἐξομολόγησιν καὶ διόρθωσιν.

(8) Ὅθεν καὶ ὁ μακάριος Νεῖλος παρεγγυᾷ φάσκων· «Μνήσθητι δὲ καὶ τῆς ἐν Ἅιδῃ καταστάσεως καὶ λογίζου πῶς ἄρα εἰσὶν ἐκεῖ αἱ ψυχαὶ, ἐν ποίᾳ πικρότητι σιωπῆς, ἐν ποίᾳ δεινότητι στεναγμοῦ, ἡλίκῳ φόβῳ ἢ ἀγωνίᾳ ἢ τίνι προσδοκίᾳ τὴν ἄπαυστον ὀδύνην ἐκδεχόμεναι καὶ τὸ ψύχος ἔχουσαι καὶ ἀπέραντον ἐκεῖνο δάκρυον».

(9) Οὐ μὴν δὲ, ἀλλὰ Γρηγόριος ὁ κλεινὸς πάπας Ῥώμης ἐν τῷ πρὸς Πέτρον διαλόγῳ φησίν· «Εἰ γὰρ τὰς τῶν ἁγίων ψυχὰς ἐν οὐρανῷ πιστεύομεν εἶναι, πάντως καὶ τὰς τῶν ἁμαρτωλῶν ἐν τῷ

---

1. θείᾳ M. — κατάκρισιν M. — T. σ. τὴν λ. ἡ M. — 3. φ. καὶ πανενδόξου π. τοῦ χῦ μεγαλειότης ἡ φρ. τῆς κρίσεως ἡμέρα — ῇς ἑαυτῶν συνειδήσεως καθ' M. — 5. σταθέντες λ. M. — 8. ἄπαυστον M. — 9. τε καὶ κ. om. M. — 12. Ecclesiast. IX. 10. — 13. ὡς ἡ δ. σου Ecc. — 15. Ps. VI. 5. — 17. Ps. LXXVI. 3. — 20. Τοῦ ἁγίου Νείλου? — 26. Τοῦ Διαλόγου, IV. 28. — 27. Ἐὰν τὰς Gr. — ἐν τῷ ὁ. ἐ. ἐπίστευσας τῇ τῆς ἱερᾶς συντυχίας πληροφορίᾳ, δέον ἐστὶν ἵνα, *oportet ut per omnia esse credas* Gr. — 28. ἀδίκων ψυχὰς Gr.

Ἅιδῃ τυγχάνειν * ὁμολογήσομεν».—«Καὶ καθάπερ τοὺς ἁγίους ἡ μακαριότης ** εὐφραίνει καὶ θυμηδίας ἀποπληροῖ διηνεκοῦς, οὕτω πιστεύειν χρὴ, ὅτι *** τοὺς ἁμαρτωλοὺς ἐν Ἅιδῃ λύπη καὶ στενοχωρία τε καὶ ὀδύνη συνέχει διαπαντὸς ὥσπερ καμίνου φλὸξ τὰς ψυχὰς αὐτῶν φλογίζουσα, οἷα δὴ καὶ τὰ κατὰ τὸν πλούσιον καὶ τὸν Λάζαρον».

(10) Ὅτι δὲ τελευτῶν ἕκαστος αἰσθήσίν τινα καὶ πληροφορίαν ἀπ' ἐντεῦθεν ἤδη λαμβάνει τῶν μελλόντων ὑφ' ὧν ἔπραξε, φησὶν ὁ ἀποστολικὸς Διονύσιος ἐν τοῖς περὶ τῶν ἱερῶς κεκοιμημένων· «Ὅταν ἐπὶ τὸ πέρας ἔλθωσι τοῦ τῇδε βίου, τὴν [εἰς] ἀφθαρσίαν αὐτῶν ὁδὸν ὡς ἐγγυτέραν ἤδη γεγεννημένην ἐμφανέστερον ὁρῶσι καὶ τὰς δωρεὰς τῆς θείας χάριτος καὶ θεαρχίας ὑμνοῦσι καὶ θείας ἡδονῆς ἀποπληροῦνται, τὴν ἐπὶ τὰ χείρω τροπὴν οὐκ ἔτι δεδοικότες, ἀλλ' εὖ εἰδότες, ὅτι τὰ κτισθέντα καλὰ βεβαίως καὶ αἰωνίως ἔξουσιν· οἱ δὲ μολυσμοῦ ἀνάπλεοι καὶ ἀνιέρων κηλίδων, εἴπερ ἱερᾶς τινὸς τετυχήκασι μυήσεως, αὐτοὶ δὲ ταύτην ἐκ τοῦ οἰκείου νοὸς ὀλεθρίως ἀποῤῥαπίσαντες ἐπὶ τὰς φθοροποιοὺς ηὐτομόλησαν ἐπιθυμίας, ὅταν ἐπὶ τὸ τέλος ἔρχωνται τῆς ἔνθαδε ζωῆς, οὐκέτι ὁμοίως αὐτοῖς εὐκαταφρόνητος φανεῖται τῶν θείων λογίων ἡ θεσμοθεσία, τὰς ὀλλυμένας δὲ τῶν οἰκείων παθῶν ἡδονὰς ἑτέροις ὀφθαλμοῖς ἐπισκοπήσαντες [καὶ τὴν ἱερὰν ζωὴν ἧς ἀνοήτως ἐκπεπτώκασι, μακαρίσαντες] ἐλεεινῶς καὶ ἀβουλήτως ἀποχωρίζονται τοῦ τῇδε βίου, πρὸς οὐδεμίαν ἱερὰν ἐλπίδα χειραγωγούμενοι διὰ τὴν χειρίστην ζωήν. Τούτων δὲ οὐδενὸς γενομένου κατὰ τὰς κοιμήσεις τῶν ἱερῶν ἀνδρῶν, ἀφ' ὧν ὁ πρὸς τὸ πέρας ἐρχόμενος, τῶν οἰκείων ἀγώνων εὐφροσύνης ἱερᾶς ἀποπληροῦνται καὶ σὺν ἡδονῇ πολλῇ πρὸς τὴν ὁδὸν ἐπιβαίνει τῆς ἱερᾶς παλιγγενεσίας».

(11) Ὅπερ οὖν καὶ ὁ θεῖος Διάδοχος δηλῶν φάσκει· «Ἐὰν οὖν μὴ πρεπόντως μετανοήσωμεν καὶ περὶ τῶν ἁμαρτιῶν ἡμῶν πάντων

---

1. Ἅιδῃ εἶναι ἐκ παντὸς πιστεύσῃς Gr. — * ἀδιαστάκτως Mon.—Καθ. γὰρ τοὺς ἐκλεκτοὺς ἡ μ. ἐ. ὁ. Gr.— ** ἐν οὐνοις Mon.— *** Gr.—3. ἀδίκους ἀπὸ τῆς ἡμέρας τῆς ἐξόδου αὐτῶν τὸ πῦρ καταφλέγει Gr. — 4. φλοξὶ Mon. — 5. δὴ καὶ τὴν κ. Δ. καὶ πλ. Mon. — 7. Τοῦ Ἀρεοπαγίτου, de eccl. hier. 7. p. 407. — 10. τοῦ δὲ β. cod. bis. — 11. γεγυμνασμένην cod. — 17. ἀποῤῥαπήσ. cod. quam — referunt Rader. — 22. ἀποσχιζ. D. — 24. ἀν. αὐτὸς μὲν ὁ D.—25. Τοῦ Διαδόχου, episcopi Photices de perfectione spirituali. Bibl. Max. V. 884?

ἐξομολογησώμεθα, δειλίαν τινὰ ἄδηλον ἐν τῷ καιρῷ τῆς ἐξόδου ἐν ἑαυτοῖς εὑρήσομεν. Χρὴ δὲ ἡμᾶς εὔχεσθαι τοὺς ἀγαπῶντας τὸν Κύριον καὶ ἐκτὸς παντὸς εὑρίσκεσθαι φόβου· ὁ γὰρ ἐν φόβῳ εὑρισκόμενος, εὔδηλος ὅτι πρὸς ταρταρίους ἄρχοντας ἀπελεύσεται· ἡ δὲ ἐν τῇ ἀγάπῃ τοῦ θεοῦ ἀγαλλιωμένη ψυχὴ ἐν τῇ ὥρᾳ τῆς ἀναλύσεως, ἐπάνω τῶν σκοτεινῶν πράξεων πάντων εὑρισκομένη πρὸς τοὺς ἀγγέλους τῆς εἰρήνης ἔσπευδε μετὰ χαρᾶς καὶ φέρεται».

(12) Καί γε Νείλος αὖθις ἱερὸς φησίν· «Ὄντως φοβερώτατον τὸ τοῦ θανάτου μυστήριον, ὅτε τῶν ἀπαιτούντων τὴν ψυχὴν ἐπιστασία φοβερὰ συνέχει φρίττουσαν αὐτὴν πρὸς τὴν ἔξοδον, καὶ δείματα καὶ σχήματα φοβερώτατα, ὅτε δαίμονες ὀνειδίζοντες τὴν ἁμαρτίαν καὶ πρὸς ἑαυτοὺς ἕλκουσιν ἀπειλοῦντες εἰς ἀνηδῆ καὶ σκυθρωπὰ χωρία, ὡς πρὸ τῆς βασάνου τὴν κατάπληξιν ἱκανὴν εἶναι πρὸς κόλασιν, ὅτε ἡ συνείδησις ἐπιτρέφουσα (151[b]) πρὸς τὰ πλημμελήματα τρέμει τὴν πρὸς ἀξίαν τῶν ἡμαρτημένων παραμένουσαν κόλασιν. Ἔνθεν γὰρ ἰδρῶτι κεῖται τὸ σῶμα διάβροχον, σημεῖα δεικνῦν τοῦ ἔνδον καμάτου, καὶ τῆς ἀδήλου ταραχῆς τὰ ὁρώμενα παρέχεται πρόδηλα τεκμήρια. Ἐντεῦθεν, καθάπερ οἱ τῶν πικρῶν ἀπογευόμενοι φαρμάκων ἀποστύφουσι τῇ ἀειδείᾳ τὸ πρόσωπον τῆς ψυχῆς, πρὸς ἣν ἔσχον ἐκ τῶν ὀφθέντων ἐκεῖ χαλεπὴν διάθεσιν, τυπωσάσης τὸν χαρακτῆρα τῆς ὄψεως τῷ σχήματι τοῦ φαινομένου τὴν ἑαυτῆς φανερώσασαν κεκρυμμένην ἀνίαν».

(13) Οὕτω γε μὴν καὶ ὁ Χρυσόστομος ἔφη πάλιν· «Οὐκ ἴστε πῶς ἐν τῇ τελευταίᾳ ἡμέρᾳ συστρέφει ψυχὴν ἁμαρτήματα; πῶς κάτωθεν τὴν καρδίαν ἀνακινεῖ; Ὅθεν δείματα πολλά ἐστιν ἀκούειν τότε διηγουμένη καὶ ὄψεις φοβερὰς, ὧν οὐδὲ τὴν θεωρίαν λοιπὸν φέροντες οἱ ἀπιόντες, καὶ τὴν κλίνην αὐτὴν μετὰ πολλῆς τῆς ῥύμης τινάσσουσι καὶ φοβερὸν ἐνορῶσι τοῖς παροῦσιν, τῆς ψυχῆς ἔνδον ἑαυτῆς ὠθούσης καὶ μὴ θελούσης ἀποῤῥαγῆναι τοῦ σώματος· εἰ γὰρ ἀνθρώπους φοβεροὺς ἐνορῶντες δεδιττόμεθα, ἀγγέλους ἀπειληφόρους καὶ δυνάμεις ἀποτόμους τῶν παραπεμπομένων βλέποντες,

---

2. αὐτοῖς cod.— 8. Τοῦ ἁγίου Νείλου? — 12. ὡς ἀμηδῆ cod.—13. χώρα cod. χοιρία? — 17. δήλου cod. — 20. ἔσχε cod.— χαλεπῶν? — 23. Τοῦ Χρυσοστόμου?

τί οὐ πεισόμεθα, ἐλκομένων ἡμῶν ἀπὸ τοῦ σωμάτος καὶ χοριζομένης τῆς ψυχῆς, πολλὰ ἀποδυρομένης ἐκεῖ καὶ μάτην;»

(18) Καὶ μέντοι καὶ ὁ μέγας Βασίλειος παραινεῖ λέγων· «Μὴ τοίνυν ἀνάβαλλε ἡμέραν ἐξ ἡμέρας, ἵνα μὴ ἐμπέσῃς εἰς ἣν οὐ προσδοκᾷς ἡμέραν, ἡνίκα μὲν ἀπολείπωσί σε αἱ τοῦ ζῆν ἀφορμαί, ἀπορία δὲ πάντοθεν καὶ θλῖψις ἀπαραμύθητος, ἀπειρηκότων μὲν ἰατρῶν, ἀπειρηκότων δὲ τῶν οἰκείων, ὅτε πυκνῷ ἄσθματι καὶ ξηρῷ συνεχόμενος, πυρετοῦ τὰ ἔνδον μυχῶντος, στενάξῃς μὲν ἀπὸ μέσης καρδίας, τὸν δὲ συλλυπούμενον οὐχ εὑρήσῃς καὶ φθέγξῃ μέντοι γε λεπτὸν καὶ ἀδρανὲς, ὁ δὲ ἀκούων οὐκ ἔστιν· πᾶν δὲ τὸ λαλούμενον παρά σου ὡς παραφροσύνη καταφρονεῖται· Μηδεὶς οὖν ἐξαπατάτω σε κενοῖς λόγοις καὶ ματαίοις· ἐπιστήσεται γάρ σοι ἀφνίδιος ὄλεθρος καὶ ἡ καταστροφὴ ὁμοίως καταιγίδι παρεῖ· ἥξει γὰρ ἄγγελος κατηφὴς ἀπάγων βιαίως καὶ σύρων σου τὴν ψυχὴν δεδεμένην ταῖς ἁμαρτίαις, πυκνὰ μεταστρεφομένην πρὸς τὰ ὧδε καὶ ὀδυρομένην ἄνευ φωνῆς, τοῦ ὀργάνου λοιπὸν τῶν θρήνων ἀποκλεισθέντος· ὦ πόσα σπαράξεις σεαυτὸν, ὦ πόσα στενάξεις ἄπρακτα, μετανοῶν ἐπὶ τοῖς κακῶς βουλευθεῖσι καὶ πραχθεῖσιν. Οἷα ἐρεῖς ἐν τῇ ὀδύνῃ τῆς καρδίας σου· «Αἴ, αἴ με, μὴ ἀποῤῥίψαι τὸ βαρὺ τοῦτο φορτίον τῆς ἁμαρτίας, αἴ με τὰς κηλίδας μὴ ἀποπλύνασθαι, ὦ τῶν πονηρῶν βουλευμάτων καὶ συναλλαγμάτων· διὰ γὰρ πρόσκαιρον ἁμαρτίας ἀπόλαυσιν, αἰώνιον βασανίζομαι· διὰ σαρκὸς ἡδωνὴν καὶ πύρωσιν τῷ αἰωνίῳ πυρὶ παραδίδομαι· δικαία ἡ κρίσις τοῦ θεοῦ· ἐκαλούμην καὶ οὐχ ὑπήκουον· διεμαρτύραντό μοι, ἐγὼ δὲ κατεγέλων». — Ταῦτα καὶ τὰ τοιαῦτα ἐρεῖς ἀποκλαιόμενος σεαυτὸν ἂν, προαναρπασθεὶς τῆς μετανοίας. — Οὐκοῦν ἐλέησον σεαυτὸν καὶ λάβε δὴ εἰς ἔννοιαν τὴν ἐσχάτην ἡμέραν, τὴν ὄντως φρικωδεστάτην καὶ ἐλεεινοτέραν τῆς ἐξόδου (152[a]) καὶ συνοχὴν καὶ πνιγμὸν καὶ ψυχορῥαγίας ὥραν καὶ ἀπόφασιν θεοῦ κατεπείγουσαν καὶ ἀγγέλους ἐπισπεύδοντας καὶ ψυχὴν τούτοις δεινῶς θορυβουμένην καὶ ἠλιγγιῶσαν καὶ τρέμουσαν σφόδρα καὶ ἀποροῦσαν καὶ ἀνόνητον μετανοοῦσαν ὅτε ὄφελος οὐδέν».

---

2. ἀποδυρωμένην cod. — 3. Τοῦ ἁγίου Βασιλείου?. — 8. μοιχ. cod.?

CCXXXIII. ΒΑΣΙΛΕΙΑ ΗΡΑΚΛΩΝΑ.

641 Μετὰ Κωνσταντῖνον, υἱὸν Ἡρακλείου, ἐβασίλευσεν Ἡρακλωνᾶς ἅμα Μαρτίνῃ μητρὶ αὐτοῦ μῆνας δ'.

(2) Ἡ δὲ σύγκλητος ἀπώσατο. Ἡρακλῶναν, βινοκοπήσαντες αὐτὸν καὶ Μαρτῖναν γλωσσοτομήσαντες καὶ ἐξώρισαν αὐτούς.

(3) Ἀνεβίβασαν δὲ (ἐπὶ τὴν βασιλείαν) Κώνσταν, υἱὸν Κωνσταντίνου, ἔγγονον Ἡρακλείου.

CCXXXIV. ΒΑΣΙΛΕΙΑ ΚΩΝΣΤΑ ΕΓΓΟΝΟΥ ΗΡΑΚΛΕΙΟΥ.

Μετὰ δὲ Ἡρακλωνᾶν ἐβασίλευσε Κώνστας ἔτη κζ', ὃς ἔφη ἐπὶ σιλεντίου πρὸς τὴν σύγκλητον· «Τοῦ ἐμοῦ πατρὸς Κωνσταντίνου, ἐπὶ ζωῆς τοῦ ἰδίου πατρός, ἐμοῦ δὲ πάππου Ἡρακλείου, ἱκανὸν σὺν τῷ πατρὶ βασιλεύσαντος, μετὰ δὲ τοῦτον λίαν βραχύ — ὁ γὰρ Μαρτίνης φθόνος τῆς αὐτοῦ μητρυιᾶς τοῦ ζῆν αὐτὸν ἀπήλλαξε διὰ Ἡρακλωνᾶν τὸν ἐξ αὐτῆς ἀθέσμως γεγεννημένον — ταύτην μετὰ τέκνου ἡ ὑμετέρα σὺν θεῷ ψῆφος ἐξήγαγε πρὸς τὸ μὴ τὸν ἀθέσμως καὶ ἐκνόμως γεννηθέντα βασιλεύεσθαι τὴν βασιλείαν Ῥωμαίων. Ἐγὼ δὲ παρακαλῶ συμβούλους ἔχειν ὑμᾶς καὶ φίλους καὶ γνώμονας τῆς ἐμῆς βασιλείας». Καὶ φιλοτιμησάμενος αὐτοὺς δώροις ἀπέλυσεν.

647 (2) Ἐφ' οὗ γέγονε βίαιος ἄνεμος καὶ πολλὰ δένδρα ἀνέσπασε καὶ κίονας μοναχῶν κατέβαλε καὶ πλοῖα συνέτριψε.

---

1. Rubrica haec deest in cod. et in Mon. et Par. 1706. — 2. Ced. 753,16: Βασιλεύει δὲ Ἡ. σὺν μ. Μ. μ. ς'. — 4. Ced. 753,22,23. — 7. Καὶ ἀν. Κώνσταντα τὸν ὖν Κ. ἐ. Ἡ. Ced. 754,2. — 10. Μ. δὲ Κωνστ. cod. Κόσμου ἔτος, ϛρλδ' (immo ϛρμϑ') τῆς θείας σαρκώσεως ἔτος χμ' (χμα') Ῥωμαίων βασιλεὺς Κ. ὁ υἱὸς Κωνσταντίνου, υἱοῦ Ἡρακλείου αἱρετικὸς ἐ. κζ', ὃς παρακλητικοῖς λόγοις πρὸς τὴν σύγκλητον ἐχρήσατο ἐπαινέσας αὐτὴν ὑπὲρ τοῦ μίσους Ἡρακλωνᾶ καὶ Μαρτίνης ὡς φονέων γεγονότων τοῦ πατρὸς αὐτοῦ καὶ δωρεαῖς φ. ἀπ. Ced. 754,9—14. — 17. ἐξαϑ. Leo. — 22. Τῷ ς' ἔτει γ. ἀν. β. καὶ π. δ. παμμεγέθη ἔπεσον καὶ στύλους ἔβριψε Ced. 754,22.

(3) Ἀλλά καὶ Μαυΐας (ὁ τῶν Ἀρράβων ἀρχηγὸς) τὴν Ῥό- 653
δον καταλαβὼν (καὶ παραλαβὼν) τὸν κολοσσὸν (Ῥόδου) με-
τὰ ατξ' ἔτη τῆς * ἱδρύσεως καθεῖλεν· (Ἰουδαῖός τις) ἔμπο-
ρος ὠνησάμενος ἑπτακοσίους καμήλους ἐφόρτωσε τῷ χαλ-
κῷ** (κολοσσοῦ)***.

(4) Μαυΐας δὲ μετὰ πλοίων ἦλθεν ἐν Φοινίκῃ, ἔνθα ἦν 654
ὁ βασιλεὺς (Κώνστας) μετὰ τοῦ Ῥωμαϊκοῦ στόλου ναυμα-
χεῖν μέλλων μετ' αὐτοῦ. Τῇ δὲ νυκτὶ εἶδε κατ' ὄναρ ὁ βα-
σιλεὺς ἑαυτὸν ὑπάρχοντα ἐν Θεσσαλονίκῃ. Καὶ τοῦτο παραυ-
τίκα γνωστικῷ τινι διηγησάμενος, ἔφη· «ὦ βασιλεῦ· εἶθε μὴ
ὕπνωσας τῇ νυκτὶ ταύτῃ μήτε ὄνειρον ἐθεάσω· τὸ γὰρ
εἶναί σε ἐν Θεσσαλονίκῃ θὲς ἄλλῳ τὴν νίκην παρασημαίνει
τούτεστι, σοῦ ἡττηθέντος, ἡ νίκη πρὸς τὸν ἐχθρὸν τεθήσεται.
Ἡμέρας οὖν γενομένης καὶ ἀλλήλοις συμβαλόντων, ἡττᾶται
ὁ βασιλεὺς καὶ συγκιρνᾶται ἡ θάλασσα τῷ αἵματι τῶν Ῥωμαίων.

(5) Ἐπιβουλῆς δὲ μηνυθείσης τῷ βασιλεῖ, ἀνακοινοῦνται ταύ-
την γνησίῳ τινὶ τῶν ὑπηκόων φίλῳ αὐτοῦ, ᾧ καὶ τὴν ἰδίαν ἐσθῆτα
κατὰ τὴν ἐκείνου συμβουλὴν ἐνδύσας καὶ εἰς πενιχρὸν πλοῖον εἰσ-
ελθὼν σὺν ὀλίγοις ἀπέπλευσε διὰ τῆς νυκτὸς ἐν Κ. Π. σωθεὶς
παραδόξως. Τῇ δὲ ἐπαύριον τὴν βασιλικὴν ἐσθῆτα περιβεβλημένος
ὁ φίλος τοῦ βασιλέως, ἐπιστὰς τῇ βασιλικῇ νηῒ συνάπτεται πόλε-
μον, ὃν οἱ πολέμιοι περικυκλώσαντες, δοκοῦντες αὐτὸν εἶναι τὸν
βασιλέα, ἰσχυρῶς ἐπολέμουν. Ὁ δὲ πολλοὺς ἐξ αὐτῶν ἀνδρείως
ἀνελών, Μαυΐα καὶ αὐτοῦ καιρίως πληγέντος, ἐτελεύτησε, πλη-
ρώσας τὸ γεγραμμένον· «Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει ἵνα
τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τοῦ φίλου αὐτοῦ».

---

1. Περὶ τοῦ κολοσσοῦ τοῦ ἐν Ῥόδῳ; Ced. 755,8—10: Τῷ ιβ' Μ. κ. τὴν Ῥ. καθ. τὸν κ. μετὰ ατξε' ἔτη. — * αὐτοῦ Ced. — 3. ὃν ὠν. ἐμπ. ἐννακόσια καμήλια ἐφ. Ced.—4. τὸν χαλκὸν Leo, Ced.— ** τοῦ?— *** καὶ γὰρ οἱ Ῥόδιοι θαλασσοκρατήσοντες ἀνέστησαν ἀνδριάντα χαλκοῦν τῷ ἡλίῳ κτλ. Ced. — 6. ὃς παραγενόμενος εἰς τὸν Φοίνικα τῆς Δυκίας ἔνθα Ced. 756,2 (τῷ ιγ'). — 7. ναυμαχεῖ μετ' ἀ. τῇ οὖν πρὸ τοῦ πολέμου ἑσπέρᾳ θεωρεῖ κ. ὁ ὁ β. ὅτι ἦν ἐν Θ. Διυπνισθεὶς δὲ διηγήσατο τῷ ὀνειροκρίτῃ ὁ δὲ ἐ. Ced. — 12. ν. κρίνεται· π. τὸν ἐ. σου ἡ νίκη τρέπεται καὶ δὴ τοῦτο ἀπέβη· Συμβαλόντες γὰρ πόλεμον (καὶ Ced.) ἡττῶνται Ῥωμαῖοι Ced. Leo. — 16. ὁ δὲ βασιλεὺς μόλις διασωθεὶς ὑπεστράφη μετ' αἰσχύνης ἐν Κ. Π. Leo, ἐνδύει δὲ ὁ βασιλεὺς ἄλλον τὴν ἐσθῆτα αὐτοῦ — ὁ δὲ β. κτλ. Ced. 756,10—16. — 24. Μαυίας καὶ αὐτὸς κ. πληγὰς cod. — 25. Io. XV. 13.

659— (6) Ὁ δέ γε Κώνστας ἐν τῇ πόλει τὸν ἴδιον ἀδελφὸν Θεο-
661 δόσιον ἀνεῖλε. Καὶ ἀπῆλθεν ἐν Σικελίᾳ, βουλόμενος ἐν Ῥώμῃ τὴν βασιλείαν μεταστῆσαι.

(7) Σφόδρα γὰρ ἐμισήθη παρὰ τῶν πολιτῶν οὐ μόνον διὰ τὴν ἀναίρεσιν τοῦ ἀδελφοῦ αὐτοῦ, ἀλλ' ὅτι καὶ Μαρτῖνον τὸν πάπαν Ῥώμης ἀγαγὼν ἀτίμως ἐν Κ. Π. ἐξώρισεν εἰς Χερσῶνα. Καὶ Μαξίμου τοῦ σοφωτάτου καὶ τῶν β' μαθητῶν αὐτοῦ τὰς ἱερὰς γλώσσας καὶ τὰς δεξιὰς ἀπέτεμε χεῖρας. Καὶ μέντοι καὶ πολλοὺς ὀρθοδόξους αἰκίαις καὶ δημεύσεσι καὶ ἐξορίαις κατεδίκαζε διὰ τὸ μὴ θέλειν αὐτοὺς τῇ τῶν μονοθελητῶν αἱρέσει συνθέσθαι.

(8) Εἶτα πέμψας ἀγαγεῖν τὴν γυναῖκα καὶ τοὺς (γ') υἱοὺς αὐτοῦ (Κωνσταντῖνον καὶ Ἡράκλειον καὶ Τιβέριον), οἱ Βυζάντιοι τούτους οὐκ ἀπέστειλαν.

668 (9) Ποιήσας οὖν ἐν Σικελίᾳ ἔτη ς', ἀναιρεῖται ἐν Συρακούσῃ λουόμενος, κατὰ κεφαλῆς λαβὼν μετὰ κάδου καιρίως πληγὴν ὑπό τινος τῶν παρισταμένων.

(10) Ὁ δὲ λαὸς ἰδὼν τὸν βασιλέα τελευτήσαντα, πορευθεὶς ἀναγορεύουσι βασιλέα Νίζιζον τινὰ οὕτω λεγόμενον, Ἀρμενογενῆ εὐπρεπῆ ὄντα καὶ ὡραιότατον.

(11) Ὅπερ ἀκούσας Κωνσταντῖνος, ὁ υἱὸς αὐτοῦ, κατέλαβε τὴν Σικελίαν μετὰ πλείστης ναυμαχίας καὶ χειρωσάμενος Νίζιζον, τὸν φονέα τοῦ πατρὸς αὐτοῦ, ἀνεῖλε σὺν τοῖς στασιάσασι. Καὶ οὕτως ἀνελθὼν ἐν Κ. Π. ἐδέχθη παρὰ πάντων εὐφημούμενος. Ἀλλ'

---

1. Τῷ ιη' ἔτει ἀν. Κ. ὁ βασιλεὺς τὸν ἰ. ἀ. Θ. ὅθεν ἐκκακήσας ὁ ἄθυμος ταῦτα ὁρᾷν ἐσκέψατο κατελθεῖν ἐν Σ. — βουλόμενος ἐν Ῥ. τὴν β. μ. Ced. 762,8—20. — 4. διὰ τὸ μισηθῆναι αὐτὸν ὑπὸ τῶν Βυζαντίων ὡς μονοθελήτην καὶ κακόδοξον Ced. 762,21. — 9. δημεύσεις cod. — 11. Πέμπει οὖν ἀγ. Ced. 762,21—763,3. — 12. οἱ δὲ Β. οὐκ ἀπέλυσαν αὐτούς Ced. — 14. Τῷ κζ' ἔτει ἐδολοφονήθη ὁ βασιλεὺς Κώνστας ἐν Σ. τῆς Σικελίας ἐν τῷ βαλανείῳ, ὃ λέγεται Δάφνη· συνεισῆλθε γάρ τις αὐτῷ Ἀνδρέας, καὶ ὡς ἤρξατο σμήχεσθαι ὁ βασιλεύς, δέδωκεν αὐτὸν μ. τοῦ κ. κατὰ τῆς κορυφῆς καὶ ἀπέκτεινε Ced. 763,11—16. — 17. Τὸν δὲ θάνατον αὐθημερὸν ἤκουσαν ἐν τῇ πόλει, φωνῆς ἐκ τοῦ ἀέρος ἐνεχθείσης· καὶ προβάλλονται οἱ Συρακούσιοι Μιζίζιον Ἀρμένιον β. βιασάμενοι αὐτὸν ὁ. λίαν ἐ. καὶ ὠ. Ced. 762,17—19. — 20. Ἀκ. δὲ Κ. τὴν τοῦ πατρὸς ἀποβίωσιν μ. π. ναυστολίας καταλαμβάνει τὴν Σ. καὶ Μ. ἀναιρεῖ σὺν τῷ φονεῖ τοῦ ἰδίου πατρός Ced. 763,19—21. — 22. Καὶ καταστήσας τὰ ἑσπέρια ἐπὶ Κ. Π. ἔρχεται κτλ. Ced. 763,22—764,5.

ὁ περὶ τούτου λόγος ἀναμεινάτω· ἔτι δὲ περὶ τῶν γεγενημένων ἐπὶ τῶν ἡμερῶν τοῦ πατρὸς αὐτοῦ τοῦ ἀναιρεθέντος ἐν Σικελίᾳ ἐνδιατρίψομαι.

CCXXXV. ΠΕΡΙ ΤΟΥ ΑΡΧΗΓΟΥ ΤΩΝ ΣΑΡΑΚΗΝΩΝ ΜΩΑΜΕΘ ΤΟΥ ΚΑΙ ΜΟΥΧΟΥΜΕΤ.

Καὶ γὰρ ἐπὶ αὐτοῦ ὁ τῶν Σαρακηνῶν ἀρχηγὸς καὶ ψευδοπροφήτης Μουχούμετ ἐκ μιᾶς φυλῆς γενικωτάτης Ἰσμαὴλ, υἱοῦ Ἀβραάμ, καταγόμενος ἀνεφάνη. Ἀναγκαῖον δὲ ἡγοῦμαι τῆς περὶ τούτου μυσαρᾶς καὶ παμμιαρᾶς αἱρέσεως διηγήσασθαι.

(2) Νίζαρος γὰρ ὁ τοῦ Ἰσμαὴλ ἀπόγονος, πατὴρ αὐτῶν ἀναγορεύεται πάντων. Οὗτος οὖν γεννᾷ υἱοὺς δύο, Μούνδαρον καὶ Ἀραβίαν· ὁ δὲ Μούνδαρος τίκτει Κούσαρον καὶ Καΐτον καὶ Θεμίμην καὶ Ἄσαδον καὶ ἄλλους τινὰς ἀνωνύμους, οἳ τὴν Μαδιανίτην ἔρημον κληρωσάμενοι ἐκτηνοτρόφουν ἐν σκηναῖς κατοικοῦντες· εἰσὶ δὲ καὶ ἐνδότεροι τούτων, οὐκ ἐκ τῆς φυλῆς αὐτῶν ἀλλ' ἐκ τοῦ Ἰεκτὰν, ὃ λεγόμενοι Ὁμηρῖται τουτέστιν Ἀμμανῆται.

(3) Ἀπόρου δὲ ὄντος τοῦ (προλεχθέντος Μουχούμετ ἤτοι) Μωάμεθ, εἰσῆλθέ πρός τινα γυναῖκα πλουσίαν (μισθωτεῦσαι αὐτῇ), συγγενίδα αὐτοῦ οὖσαν καλουμένην Χαδιγᾶ, πρὸς τὸ καμηλεύειν καὶ πραγματεύεσθαι (μετὰ τῶν ὁμοφύλων αὐτοῦ. Εἶτα) κατὰ μικρὸν παῤῥησιασάμενος καὶ ἐπελθὼν τῇ γυναικὶ χήρᾳ οὔσῃ, λαμβάνει αὐτὴν (εἰς) γυναῖκα καὶ ἔσχε τὰς καμήλους αὐτῆς καὶ τὴν ὕπαρξιν ταύτης· καὶ ἐπιχωριάζων ἐν Παλαιστίνῃ συνανεστρέφετο Ἰουδαίοις καὶ χριστιανοῖς καὶ

---

6. Ced. 738,11, *Her.* 21 ut et Leo, — 11. Ced. 738,13—20. — ἀπ. παρὰ πάντων ἀ. Ced. — 12. Μόνδαρον καὶ Ῥαβίαν Ced. — 13. Θεμίνην Ced. — 14. Ἀσσαδὸν Ced. — Μαδιὰμ καὶ τὴν ἐρ. Ced. — καὶ οἱ ἐνδ. αὐτῶν ἐκ τῆς φ. τοῦ Ἰ. οἱ λ. Ἀμανῖται τ. Ὁμ. οἱ καὶ ἔμποροι Ced. — 18. Ced. 738,20—739,8. — 20. ἀ. ὀνόματι Χαδιχᾶ μισθωτὸς ἐπὶ τῷ κ. καὶ πρ. Κατ' ὀλίγον δὲ π. ὑπεισῆλθε τῇ Ced. — 23. ὁ. καὶ ἔλαβεν ἀ. γ. ἐρχόμενος δὲ ἐν Π. Ced. — 25. ἐθήρα ἐξ αὐτῶν τινὰ γραφικά· ἐπεὶ δὲ δαιμονιῶν ἦν, ἐνόησε δὲ καὶ ἐπιληψίαν, ἐθεράπευσε δὲ τὴν γυναῖκα λυπουμένην σφ. ὅτι ἦν εὐγενὴς καὶ ὅτι συνῴδη τ. ἀπ. καὶ δαιμονιῶντι, λέγων· Ἀ. ὁ. λεγόμενον Γ. θ. καὶ π. Ced.

ἐθήρᾶτο λόγους καὶ γραφικὰς τινὰς ῥήσεις. Ἔσχε δὲ τὸ πάθος τῆς ἐπιληψίας. Ἡ οὖν γυνὴ αὐτοῦ διὰ τοῦτο ἐλυπεῖτο σφόδρα ὡς περιφανὴς καὶ πλουσία καὶ τοιούτῳ ἀνδρὶ συναφθεῖσα, οὐ μόνον ἀπόρῳ, ἀλλὰ καὶ ἐπιληπτικῷ. Ἣν τροπωσάμενος ἔφασκε· αὕτι (φοβερὰν) ὀπτασίαν ἀγγέλου θεωρῶ Γαβριὴλ ὄνομα (καὶ μὴ ὑποφέρων αὐτοῦ τὴν θεωρίαν ὀλιγωρῶ) καὶ πίπτω».

(4) Ἐπισταθεὶς δὲ ἀπὸ ψευδομαρτυροῦντος αὐτῷ μοναχοῦ τινὸς Ἀρειανοῦ ψευδωνύμου, διὰ τὴν κακοπιστίαν αὐτοῦ ἐξορισθέντος ἀπὸ Κ. Π. ἐκ τῆς μονῆς τῶν Καλλιστράτου, οὗτος ὁ μιαρὸς ἀπεπλάνησεν αὐτὴν καὶ τὰς λοιπὰς γυναῖκας οὕτω λέγων, ὅτι ὀπτασίᾳ τινὰ ἄγγελον λεγόμενον Γαβριὴλ θεωρεῖ καὶ μὴ φέρων τὴν θέαν καταπίπτει. Οὗτος γὰρ ὁ ἄγγελος εἰς πάντας τοὺς προφήτας ἀποστέλλεται. Αὕτη οὖν ἡ γυνὴ καὶ αἱ λοιπαὶ τοῖς λόγοις τοῦ ψευδαββᾶ πεισθεῖσαι προφήτην αὐτὸν εἶναι ἐκήρυξαν πανταχοῦ προφήτην αὐτὸν ὑπάρχειν.

(5) Καὶ ἐκράτησεν ἡ αἵρεσις αὕτη τὰ μέρη τῆς Αἰθρίβου. Προῆλθεν δὲ ὁ λόγος τῆς πλάνης ταύτης καὶ εἰς ἄνδρα φύλαρχον τοὔνομα Βουβάχαρ. Ἡ οὖν γυνὴ (153ᵃ) θανοῦσα τοῦτον διάδοχον καὶ κληρονόμον κατέλιπεν. Ἐκ τούτου οὖν ἐγένετο περιφανὴς ἄγαν ὡς περιούσιος.

(6) Οὗτος ὁ θεομισὴς καὶ ἄθεος περιτυχὼν Ἑβραίοις καὶ (χριστιανοῖς δῆθεν) Ἀρειανοῖς (τε) καὶ Νεστοριανοῖς καὶ παντ(αχόθεν ἐρανισάμενος, ἐξ Ἰουδαίων μὲν μοναρχίαν, ἐξ Ἀρειανῶν δὲ λόγον καὶ πνεῦμα κτιστὰ, ἀπὸ δὲ Νεστοριανῶν ἀνθρωπολατρείαν, ἑαυτῷ θρησκείαν περιποιεῖται, καὶ προφάσει θεογνωσίας εἰσποιησάμενος τὸ ἔθνος ἐδίδαξεν αὐτοὺς περιτέμνεσθαι, καὶ ἄνδρας καὶ γυναῖκας, καὶ ἕνα μόνον προσκυνεῖν θεὸν καὶ τὸν Χριστὸν τιμᾷν ὡς

---

8. Αὕτη δὲ ἔχουσα μοναχὸν διὰ κ. ἐξόριστον ἐκεῖσε ὄντα φίλον αὐτῆς, ἀνήγγειλεν αὐτῷ πάντα καὶ τὸ ὄνομα τοῦ ἀγγέλου· κἀκεῖνος θέλων πληροφορῆσαι αὐτὴν εἶπεν ὅτι ἀληθῶς λέγει· οὗτος γὰρ ἄγγελος πέμπεται πρὸς πάντα προφήτην· καὶ αὐτὴ πιστεύσασα τῷ λόγῳ τοῦ ψ. ἐκήρυξε καὶ ἄλλαις γυναιξὶν ὁμοφύλοις αὐτῆς· καὶ οὕτως ἐκ γυναικῶν ἦλθεν εἰς ἄνδρας Ced. 739,8—14. cf. narrationem de vita Moh. in cod. Rehdigerano. — 17. Καὶ πρῶτον Ἀβουβ. διάδοχον κ. καὶ ἐκρ. — τοῦ Αἰθρίβου κτλ. Ced. 739,14—17. — 22. Ced. 739,18—740,11. — καὶ ἐμβρόντητος π. Ced.

λόγον (τοῦ) θεοῦ (μὲν), οὐχ * υἱὸν δὲ **, καὶ πνεῦμα προφορικὸν καὶ εἰς ἀέρα χεόμενον ὑπονοεῖν, οὐχ ἐνυπόστατα, οὐδὲ τῷ πατρὶ ὁμοούσια, τὴν δὲ ἁγίαν παρθένον Μαρίαν μὴ λέγειν θεοτόκον, ἀλλὰ τὴν Ἀαρὼν καὶ Μωσέως ἀδελφήν (ὑπολαμβάνειν εἶναι), μηδὲ βαπτίζεσθαι μηδὲ σαβατίζειν (αὐτοὺς ἐδίδαξεν) μηδὲ τοῖς νομικοῖς ἢ εὐαγγελικοῖς ἔθεσιν ἑπακολουθεῖν, ἀλλὰ βδελύττεσθαι τὸν σταυρὸν καὶ τὴν σκιὰν ἐσταυρῶσθαι τοῦ σωτῆρος ὁμολογεῖν. Παρηγγυήσατο δὲ αὐτοῖς καὶ [τῶν] καθόλου τῷ νόμῳ ἀπηγορευμένων μετασχεῖν πλὴν ὑῶν κρεῶν, οἴνῳ δὲ παντάπασι μὴ χρῆσθαι.

(7) Τοιοῦτόν τι μυθευσάμενος ἑαυτὸν κλειδοῦχον φησὶ γεγενῆσθαι τοῦ παραδείσου, διόπερ κατὰ τὴν ἡμέραν τῆς κρίσεως μετὰ τὸ παραστῆναι τὸν Μωϋσέα σὺν τοῖς Ἰσραηλίταις καὶ ὡς παραβάτας τοῦ νόμου τῇ κολάσει τοῦ πυρὸς παραδοθῆναι, αὖθίς (τε) Ἰησοῦν παραστῆναι *** ἔμπροσθεν (τοῦ) θεοῦ ****, τοὺς δὲ χριστιανοὺς ὡς τοιοῦτον τολμήσαντας προστρῖψαι τῷ Χριστῷ ὄνομα καὶ θεὸν αὐτὸν καὶ υἱὸν θεοῦ καὶ λόγον σεσαρκωμένον καὶ σταυρωθέντα δογματίσαντας, τῇ τοῦ πυρὸς γεέννῃ παραδοθῆναι· εἶτα ἑαυτὸν φησιν ὑπὸ τοῦ θεοῦ κεκλῆσθαι μάλα θεοσεβῆ ὡς τοῦ παντὸς αὐτῶν ἔθνους αἴτιον θεοσεβείας ὑπάρξαντα ἐπαινεῖσθαι καὶ τούτου χάριν κλειδοῦχον τοῦ παραδείσου γεγενῆσθαι· καί γε μετὰ τὸ ὑπ' αὐτοῦ τὸν παραδεῖσον ἀνεῳχθῆναι, συν[εις]ελθεῖν αὐτῷ (πάντως καὶ ἀναντιῤῥήτως) ὁ' χιλιάδας (φησὶν) τοὺς δυναμένους ἐφορμῆσαι πρὸς τοῦτο, τοὺς δὲ λοιποὺς κριθήσεσθαι φάσκει, καὶ τοὺς μὲν δικαίους ἀμφιβόλως τῆς τρυφῆς ἀπολαῦσαι, τοὺς δὲ εὑρισκομένους ἁμαρτωλοὺς, πιττάκια ἐν τοῖς τραχήλοις περιέχοντας δεδεμένα, εἰς τὸν παράδεισον αὐτοὺς εἰσελθεῖν καὶ τούτους ἐπονομάζεσθαι ἀπελευθέρους τοῦ θεοῦ καὶ τοῦ Μουχούμετ, εἶναι δὲ γ' ποταμοὺς ἐν

---

* ὡς Ced. — ** ἀλλ' ὡς ἐκ πμς ἁγίου γεγεννημένον· λόγον δὲ Ced. — 2. ἐνυποστατ. cod. — γεννήτορι Ced. — 5. μήτε δὲ Ced. — 7. τοῦ χῦ ὁμ. Ced. cf. evangelii quod dicitur Barnabae fragmenta a nobis edita. — 8. καὶ κ. τῶν cod. — ἀπ. τῶν μετέχειν πλ. κρ. χοιρείων Ced. — 10. Ced. 740,11—741,14. — ἑ. φ. κλ. Ced. — 11. π. καὶ κ. Ced. — *** καὶ ἀρνησάμενον Ced. — **** ὅτι οὐκ εἶπεν ἑαυτὸν εἶναι ὢν τοῦ θεοῦ Ced. — 18. θ. καὶ τοῦ cod. — αὐτὸν Ced. — 19. αἰτίῳ θ. ὑπάρξαντι cod. — 27. γ' παραδείσους ἐν τῷ π. φλυαρεῖ ἑ. μ. καὶ ἕτερον γ. καὶ ἕτερον ὁ. π. τὸ μετ' ἐξουσίας ἐμπ. αὐτῶν Ced.

τῷ παραδείσῳ φησίν, ἕνα μέλιτος καὶ ἄλλον γάλακτος καὶ ὕστερον οἴνου, πρὸς τὸ ἐπ' ἐξουσίαν (ἔχειν ἕκαστον ὅθεν βούλεται μετέχειν καὶ) ἐμπιμπλᾶσθαι, τὰς δὲ γυναῖκας αὐτοῖς συνεῖναι καὶ φιλοκαλεῖν αὐτῶν τὰς κόμας καὶ (παντοίως) θεραπεύειν (αὐτῶν) τὰ φιλήδονα σώματα (ὁ σαρκόφρων καὶ ἐμπαθὴς καὶ δοῦλος τῆς ἁμαρτίας)· τοὺς δὲ Ἰουδαίους καὶ χριστιανοὺς ξύλα τοῦ πυρὸς γενομένους, ὑπολειφθῆναι· τοὺς Σαμαρείτας ἔφη πρὸς τὰ ἐκφόρια καὶ τὴν κόπρον αὐτῶν τοῦ παραδείσου ἐκβάλλειν, ὅπως ἂν μὴ ἐποζέσειεν ὁ παράδεισος, ἕκαστον δὲ ὡς ἂν ἐνταῦθα βιώσειεν, εἴτε ἐν πλούτῳ, εἴτε ἐν πενίᾳ καὶ ἀδοξίᾳ, τὸν αὐτὸν τρόπον ἐκεῖσε διάγειν.

(8) Οὗτος οὖν ὁ θεοστυγὴς καὶ ἐμβρόντητος (πρὸς τούτοις πᾶσιν)* παντὸς ἀγαθοῦ καὶ πονηροῦ τὸν θεὸν (153[b]) αἴτιον ὑπάρχειν ἑτερατολόγησε καὶ τοὺς λῃστὰς καὶ φαρμακοὺς καὶ ὅσους ἂν ἀπηγορευμέναις ἁλόντας πράξεσιν ἀναιρουμένους ἴδοιεν, οὕτω φησίν, ἔγραψεν ὁ θεὸς καὶ προώρισε γενέσθαι καὶ οὕτως ἀποθανεῖν αὐτοὺς ἠβουλήθη.

(9) Ἀγάσαιτο δ' ἄν τις μᾶλα (δὴ οὖν εἰκότως) τὴν τοσαύτην καὶ τηλικαύτην (ἰσχύν τε καὶ) διαρκῆ τῆς ἀπάτης τοῦ θεομάχου καὶ ματαιόφρονος, μᾶλιστα δὲ ἐσχάτην παράνοιαν (τε) καὶ κτηνωδίαν τῶν μέχρι νῦν τῇ τούτου πλάνῃ δεδουλωμένων καὶ ὡς ἰσχυρὰν (θρησκείαν) καὶ θείαν ταύτην ἀφρόνως ἡγουμένων. Πρὸς γὰρ τὴν ὄντως τριαληθῆ τε καὶ ἱερὰν καὶ θεοβράβευτον πίστιν ἐναργῶς ἀποτυφλώττουσιν οἱ ἐσκοτισμένοι καὶ ἀσύνετοι, πρὸς δὲ τὴν ψευδώνυμον λατρείαν καὶ πλαστολογίαν τοῦ φέναξος προσέχουσιν οἱ δείλαιοι καὶ βαρυκάρδιοι, (πρὸς μὲν τοὺς ὕθλους** καὶ λήρους καὶ βεβήλους κενοφωνίας οἱ χαιρεπίκακοι καταθέλγοντες, πρὸς τοὺς θεοπαραδόχους καὶ σωτηριώδους λόγους οὐδὲ τὴν ἀκοὴν ὑποθεῖναι τοπαράπαν ἀνέχοντες)· τὸν γὰρ ὄντως ὄντα θεὸν, τὸν διὰ νόμου καὶ

---

3. τὰς κ. ἀ. Ced. — 7. τοῖς Σαμαρείταις cod. λέγων π. τὸ ἐκφέρειν τὴν κ. ἀ. ἐκ τοῦ π. ὁ. μὴ ἐποζέσῃ ὁ π. Ced. — 9. ἐβίω Ced. — 10. κἀκεῖσε δ. τρ. Ced. — 11. Ced. 741,14—18. — καὶ παμμίαρος. — * καὶ ἐκ? cod. — 13. καὶ τοὺς ἄλλας ἀπ. πρ. ἀ. οὕτω φλυαρεῖ ὁ ἄθεος ἐγ. αὐτὸς ὁ Ὃς καὶ πρ. ἀπ. ἀ. Ced. — ἀπηγορωμένας ἁλῶντας cod. 19 Ced. 741,19—742,6. — 17. θαυμάσειε δ' ἂν Ced. 741,19—742,6. — 18. τ. δ. ἀπάτην τοῦ Ced. — 19. μᾶλλον Ced. — 21. ἀφ. τ. Ced. — 22. ἀληθῆ Ced. — ** φλυαρίας Scholion.

προφητῶν ἐκδήλως κηρυττόμενόν τε καὶ πιστευόμενον, ἀπωθούμενοι καὶ καταψηφιζόμενοι, τὸν ἀντίθεον καὶ μεμηνότα [καὶ] φανερῶς ὑπὸ τῶν Ἐρινύων * ἐνεργούμενον καὶ φθεγγόμενον οἱ κακόφρονες καὶ λυσσώδεις ἐρασμίως γεγηθότες προσίενται.

(10) Ποία γὰρ θεόπνευστος γραφὴ περὶ τοῦ δυσσεβοῦς καὶ παραπαίοντος Μουχούμετ προδιεστείλατο; ἢ ποῖος θεσπέσιος αὐτὸν προφήτης ὡς διδάσκαλον εὐσεβείας προανήγγειλεν; οὐκοῦν εἰπάτωσαν οἱ ἀμέτοχοι πάσης ἱερᾶς ἐπιπνοίας καὶ μνήσεως πῶς τοὺς ἀπὸ Ἀδὰμ καὶ μέχρι τῆς Χριστοῦ παρουσίας προφήτας ἀσμένως δῆθεν ἀποδεχόμενοι, τὸν μὲν ὑπ' αὐτῶν διαῤῥήδην προαναφωνούμενον Χριστὸν καὶ θεὸν ἐξαρνοῦνται, τὸν δὲ κάκιστον καὶ μοχθηρὸν καὶ μηδὲ τὸ σύνολον πρὸς αὐτῶν ὀνομαζόμενον καὶ προσημαινόμενον ὡς θεομύστην ** ἐξοχώτατον καὶ ἀληθέστατον πίστεως διδάσκαλον ἀποδέχονται καὶ ὡς εὐεργέτην ἐκθειάζουσιν οἱ ἀνόσιοι καὶ δυσώνυμοι (ἢ μᾶλλον εἰπωμεν ἀνώνυμοι).

(11) Ἀνακρινέτωσαν δὲ οἱ ἀδιάκριτοι καὶ μανιώδεις καὶ τὰ ὑπ' αὐτοῦ μανιωδῶς καὶ δυσσεβῶς ῥηθέντα ληρήματα καὶ λεγέτωσαν ποίαν σωμφωνίαν ἔχουσι (πρὸς) τὰ θεοπαράδοτα λόγια. Ὁ μὲν γὰρ θεῖος λόγος ἀναφανδὸν (ἐκ)διδάσκει (καὶ διαπρυσίως χρησμοδοτεῖ σαφέστατα) τὸν θεὸν ὑπάρχειν ἀναίτιον παντὸς κακοῦ καὶ τὸν ἄνθρωπον αὐτεξούσιον εἶναι τῆς ἑαυτοῦ σωτηρίας ἢ ἀπωλείας. Ὁ δὲ τρισάθλιος καὶ τρισκατάρατος καὶ τοῦ θεοῦ καὶ τῶν ἀνθρώπων ἄσπονδος ἐχθρὸς ἐκ σκαιοτέρου *** πλάνου δαίμονος ἐνηχούμενος καὶ ἐνεργούμενος (καὶ μέντοι καὶ ἐξ ἀκολάστου γλώσσης καὶ γνώμης ἀγνώμονος φθεγγόμενος) παντὸς ἀγαθοῦ καὶ πονηροῦ τὸν θεὸν αἴτιον τολμηρῶς τερατεύεται καὶ πᾶν ὅπερ [ἂν] ἐπέλθῃ τῷ ἀνθρώπῳ, κἂν (τε) ἐξ οἰκείας ῥαθυμίας καὶ ἀδιακρισίας, τῆς θείας τοῦτο τυγχάνειν προνοίας ὁ ἀλητήριος ἀποφαίνεται. Καὶ ὁ μὲν περιφρονεῖν πλούτου καὶ ταπεινοφρονεῖν (154ᵃ) καὶ τὴν ἐνήδονον βίου ἀποσείεσθαι καὶ μὴ (ἀντ)αποδοῦναι κακὸν ἀντὶ κακοῦ παρακελεύ-

---

* μαινομένων Scholion. — 4. γεγηθότ. cod. καὶ γεγηθότως Ced. — 5. Ced. 742, 6—16. — 11. χν τὸν θ'ν Ced. — 12. σ. ὑπ' ἀ. μνημονευόμενον ὡς Ced. — * καὶ Ced. — 16. Ced. 742,16 — 743,9. — 21. σ. καὶ ἀπ. Ced. — *** ἀγριωτέρου Scholion, καὶ λαοπλ. Ced. — 26. τ. ἀποφθέγγεται καὶ Ced.

εται. Ὁ δὲ πλουτεῖν καὶ ὑψηλοφρονεῖν καὶ πᾶσαν ἡδονὴν ἐκ περιουσίας ἀσπάζεσθαι καὶ ἀντεπεξιέναι σφόδρα τοῖς ἀντιπίπτουσιν ὡς ψυχικὸν (καὶ) σωτήριον καὶ τοῦ παραδείσου πρόξενον.

(12) Ἀλλ' ὦ τῆς ἀπονοίας καὶ παραπληξίας καὶ χλεύης τοῦ γόητος καὶ παλαμναίου καὶ τῆς παραφροσύνης καὶ ἀπωλείας τῶν παρ' αὐτοῦ δεινῶς ἐξανδραποδισθέντων [καὶ μέχρι δεῦρο παρασυρομένων καὶ ἀπατωμένων] — οὐδὲ γὰρ συνιοῦσι (πάμπαν) οἱ ἄγαν μοχθηροὶ καὶ θηριώδεις καὶ λίαν ἀσύνετοι εἰς ποῖον χαλεπὸν (καὶ ζοφερὸν) χάος καὶ σατανικὴν Χάρυβδιν * κατεποντίσθησαν καὶ τέλειον κατεπόθησαν καὶ εἰς οἵους ἀφύκτους καὶ ἀδιεξοδεύτους λαβυρίνθους καὶ δυσβάτους ἀτραποὺς καὶ ψυχοφθόρους φενακισθέντες ἐλεεινῶς ἐξεκυλίσθησαν καὶ συνεσχέθησαν ὑποφθαρέντες εἰς τέλος· διὸ τοίνυν θαυμάζειν λίαν ἔπεισί μοι τὴν τοσαύτην ἀλογίαν καὶ ἀναισθησίαν αὐτῶν, καίπερ οἰομένων ἐντρεχεστάτους ἑαυτοὺς εἶναι καὶ λογιωτάτους, πῶς οὐ κατανοοῦσι τῆς κενῆς ἀπάτης αὐτῶν τὸν ὄλισθον; Ἔδει γάρ, ἔδει τοὺς ὄντως ἄφρονας καὶ βοσκηματώδεις ἐπιγνῶναι τὸν περὶ τῆς ἀναστάσεως αὐτῶν πρόδηλον καὶ μυσαρὸν βρόχον, ὅτιπερ διὰ βρώσεως καὶ πόσεως (αἰσθητήν τε καὶ φθαρτὴν ἔξουσι τηνικαῦτα τὴν ζωὴν καὶ ἀνάγκη πάλιν αὐτοὺς τῇ φθορᾷ δουλεύειν καὶ θνήσκειν κατὰ τούτοις ἀκόλουθον λόγον· ἀμήχανον γὰρ τὸν φθαρτόν, βρώσεως καὶ πόσεως) ἐν μετουσίᾳ τυγχάνοντα, ἄφθαρτον καθόλου καὶ ἀθάνατον διαμεῖναι· καὶ πότε καὶ ποῦ λοιπὸν τὴν ἀποκαραδοκουμένην ζωὴν αἰώνιον καὶ ἀκήραιον τοῖς πιστοῖς κατὰ τὰς θείας γραφὰς οἱ θνητοὶ ** ψυχῇ καὶ σώματι τεύξονται;

(13) Καὶ πρὸς τούτῳ ἱστωσαν οἱ ὀλιγόπιστοι καὶ τάλανες ὡς οὐδέπω μέχρι τῆς σήμερον τῆς παλαιᾶς αὐτῶν καὶ ἀθέου πλάνης ἀπηλλάγησαν, ἀλλ' ἐν προσχήματι θεοσεβείας εἰδωλολατροῦσι λεληθότως καὶ τὸν ἐγκεκρυμμένον τῆς θρησκείας αὐτῶν δόλον τοῦ

---

4. Cod. 743,9—744,4. — 6. in margine a secunda manu. — νῦν Cod. — 8. οἷον Cod. — * καὶ χάος ὀλέθριον Scholion. — 13. διὸ καὶ θ. Cod. ἔπεισί με cod. — 21. τυγχάντ. cod. τυγχάνοντες ἄφθαρτοι κα. καὶ ἀθάνατοι διαμένουσι Cod. — ** καὶ Cod. — 26. Cod. 744,4—14. — 27. μ. καὶ τήμερον Cod. — 29. τῇ θρησκείᾳ Cod.

ἀρχεκάκου δαίμονος οὐδ' ὅλως οἱ ἀνούστατοι καὶ ἀπόπληκτοι ἐπιγινώσκουσιν· πάλαι μὲν * εἰδολολατροῦντες καὶ τῇ παρ' Ἕλλησιν Ἀφροδίτῃ λεγομένῃ τουτέστι τῇ ἡδονῇ προσκυνοῦντες καὶ τὸν ἀστέρα ταύτης (γὰρ) εἶναι τὸν ἑωσφόρον μυθολογοῦσιν, ἣν δὴ καὶ Κούβαρον τῇ ἑαυτῶν κακεμφάτῳ ἐπονομάσαντες γλώσσῃ, ὅπερ ἐστὶ μεγάλη, διέμειναν ἕως ἄρτι τὴν Ἀφροδίτην θεὸν ὀνομάζοντες.

(14) Καὶ ἵνα μὴ δόξωμέν τισι ψευδολογεῖν, σαφηνίσωμεν αὐτῶν τὸ μέγα μυστήριον· ἔχει δὲ ἡ λέξις τῆς μυσαρᾶς αὐτῶν καὶ παμβεβήλου προσευχῆς οὕτως· «Ἀλλᾶ, Ἀλλᾶ, Οὐά, Κουβάρ, Ἀλλᾶ». Καὶ τὸ μὲν Ἀλλᾶ, [Ἀλλᾶ] ἑρμηνεύεται ὁ θεὸς, ὁ θεὸς, τὸ δὲ Οὐά, μεῖζων, τὸ δὲ Κουβάρ, μεγάλη ἤτοι σελήνη καὶ Ἀφροδίτη, ὅπερ ἐστὶν οὕτως· «Ὁ θεὸς, ὁ θεὸς μεῖζων καὶ ἡ μεγάλη—εἴτ' οὖν (σελήνη καὶ) Ἀφροδίτη—θεός»· καὶ τοῦτο σαφηνίζει ἡ ἐπαγωγὴ τοῦ τελευταίου Ἀλλᾶ· ἅπερ πάντα ἀποκεκρυμμένως τῇ ἰδιότητι τῆς ἑαυτῶν γλώσσης λαλοῦσιν (οὕτω φύσεως ἐχούσης, ἃ καὶ φανερῶς δημοσιεύειν οὐ θέλουσιν εἰς λογικοὺς ἀνθρώπους καὶ ἐχέφρονας διὰ τὸ τῆς γνώσεως πρόδηλον)· ἀλλὰ τοὺς μὲν χοιρώδεις (τούτους) καὶ τελματώδεις, μηδὲν περαιτέρω τῆς ἡδονῆς καὶ βαστώνης εἰδότας ἀφέμενος ὁ λόγος ὡς ἀνεπαισθήτως (καὶ ἀναικέστως) νοσοῦντας πρὸς τὰ ἑξῆς τῆς ἱστορίας χωρήσωμεν.

(15) Μετὰ δέ γε τὸν θάνατον τοῦ θεηλάτου Μαχούμετ ἐφάνη 632
κατὰ μεσημβρίαν ἀστὴρ ** λεγόμενος Δοκίτης προμηνύων τὴν τῶν Ἀράβων ἐπικράτειαν καὶ ἔμεινεν ἡμέρας λ', διατείνων ἀπὸ μεσημβρίας ἕως ἄρκτου ξιφοειδῶς.

---

* γὰρ Ced.—2. Ἀφροδίτιδι λεγ. cod.—4. ταύτης τὸν ἑωσφόρον εἶναι Ced.—Κουβὰρ Ced.—5. γλώσσῃ ἐπονομάσαν Ced. cf. כְּבַר diu et כְּבִרָה magnitudo nec non כַּבִּיר magnus et כַּבָּר magnus esse. — 7. Εὐχὴ τῶν Σαρακηνῶν. Ἵνα δὲ μὴ Ced. 744,14—24. — τὸ μ. ἀ. Ced. — 9. δυὰ = Vav hebr. et? — 14. ἐπικεκρυμμένως Ced. — 17. τελμ. καὶ μ. πλέον τῆς Ced. — 20. χωρείτω Ced. — 21. περὶ Ἀράβων στρατείας M. 2, om. Par. 1706. — Ced. 745,1 — 4. — ** ὁ Ced. — 23. ἐπ. ἐμ. δὲ ἐπὶ ἡ. Ced. — 24. ἀ. ἦν δὲ ξιφοειδὴς Ced.

635 (2) Ἐν ᾧ χρόνῳ ἐπιστρατεύσαντες (οὗτοι πάλαι μὲν λεγόμενοι Ἄῤῥαβες, νῦν δὲ) Σαῤῥακηνοὶ (καὶ τὴν Ἀραβίαν καταλιπόντες, ἦλθον ἐπὶ τὰ μέρη τῆς Δαμασκοῦ πλῆθος ἄπειρον, ὅπερ μαθόντες Βάνης καὶ Βασιλίσκος, οἱ στρατηγοὶ τῆς ἀνατολῆς, κατ' αὐτῶν ἐξόρμησαν)· εἶτα συμβολῆς γενομένης, ἡττῶνται λίαν οἱ χριστιανοί· ἀνέμου γὰρ πνεύσαντος κατὰ Ῥωμαίων βιαίου νότου, καὶ μὴ δυνάμενοι τοῖς ἐχθροῖς ἀντωπῆσαι διὰ τὸν πολὺν κονιορτὸν, δεινῶς τρέπονται· (καὶ οὕτως νικήσαντες οἱ Σαρακηνοὶ κατὰ κράτος καὶ λαμπρῶς ἐπὶ τὴν Δαμασκὸν ἦλθον), ἣν καὶ δορυάλωτον λαβόντες, ὡσαύτως καὶ τὰς χώρας πάσας τῆς Φοινίκης, οἰκίζονται ἐν αὐταῖς (οἱ ἐναγεῖς καὶ βέβηλοι τοῖς ἀθήλοις τοῦ θεοῦ κρίμασιν).

CCXXXVI. ΠΕΡΙ ΤΗΣ ΑΓΙΑΣ ΓΗΣ.

Περὶ ἧς ἁγίας γῆς ὁ θεσπέσιος ἔλεγε Μωϋσῆς πρὸς τὸν Ἰσραήλ· «Ἰδοὺ κύριος ὁ θεός σου εἰσάξει σε εἰς γῆν ἀγαθὴν καὶ πολλὴν, ἧς χείμαῤῥοι ὑδάτων καὶ πηγαὶ ἀβύσσων ἐκπορευόμεναι διὰ τῶν πεδίων καὶ * τῶν ὀρέων, γῆ πυροῦ καὶ κριθῆς, ἄμπελοι καὶ συκαῖ **, ῥοαὶ καὶ φοίνικες, γῆ (ἐλαίας), ἐλαίου καὶ μέλιτος, γῆ ἐν ᾗ οὐ μετὰ πτωχείας φάγῃ τὸν ἄρτον [σου] (καὶ οὐ δεηθήσῃ ἐπ' αὐτῆς οὐδὲν, γῆ ἧς οἱ λίθοι σίδηρος, καὶ ἐκ τῶν ὀρέων αὐτῆς μεταλλεύσεις χρυσόν», γῆ ῥέουσα γάλα καὶ μέλι, καὶ κηρίον ἐστὶ παρὰ πᾶσαν τὴν γῆν καὶ τῷ παραδείσῳ τοῦ θεοῦ παρεικαζόμενη.

---

1. Ced. 745,19—746,5: τῷ κε' ἔτει ἐπιστρατεύουσιν οἱ Σ. μετὰ πλήθους Ἀράβων καὶ σ. γ. ἡ. Ῥωμαῖοι. Στασιάσαντες δὲ οἱ περὶ Βάνην Ἡράκλειον ἀποκηρύττουσι καὶ Βαάνην ἀναγορεύουσι βασιλέα· ἐν τούτοις ὑποχωροῦσιν οἱ περὶ τὸν σακελλάριον καὶ οἱ Σαρακηνοὶ εὑρόντες ἄδειαν συμβάλλουσι μετὰ Βαάνους πόλεμον καὶ ἡττῶσιν αὐτόν· ἀν. γὰρ — 6. β. ν. κ. Ῥ. καὶ μὴ δυναμένων τοὺς ἐχθροὺς Ced. — 7. τρ. καὶ βίπτοντες ἑαυτοὺς εἰς τοὺς στενωποὺς τοῦ ποταμοῦ Ἱερμοχθὰ διεφθάρησαν αἱ μ' χιλιάδες παρέλαβον δὲ καὶ τὴν Δ. καὶ τὰς χ. τῆς Φ. καὶ ὁ. ἐκεῖ Ced. — 12. Περὶ τῆς ἀραβίτιδος M. 2, om. Par. 1706.—13. Ced. 747,1—10: περὶ δέ γε τῆς ἁγ.— 14. ὁ γὰρ κς Deut. VIII. 7. — 15. οὗ Deut. — πηγὴ ἀ. ἐκπορευομένη cod. ἀβύσσου Ced. — 16. πεδιάδων Ced. — * διὰ Deut. — ἀ. σ. β. γῆ Deut. — ** καὶ Ced. — 18. ἐφ' ἧς Deut. ἐφ' ἣν Ced. — οὐκ ἐνδ. Deut. — 20. χαλκὸν Deut. Ced.

(2) «Ἐπάρας, γάρ φησι, Λὼτ τοὺς ὀφθαλμοὺς αὐτοῦ, εἶδε πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, ὅτι πᾶσα ἦν ποτιζομένη — ὡς * παράδεισος Κυρίου καὶ ὡς ἡ γῆ Αἰγύπτου, καὶ ἐξελέξατο αὐτήν».

(3) Προσμαρτυρεῖ δὲ τούτοις καὶ ὁ σοφώτατος Ἀριστοτέλης λέγων· «Καὶ γὰρ πολυάνθρωπός ἐστιν ἡ γῆ τῆς ἐπαγγελίας (καὶ σύνδενδρος) καὶ παντοίοις καρποῖς εὐθηνοῦσα, ἀμπέλων τε καὶ ἀκροδρύων καὶ φοινίκων πλῆθος ἄπλετος καὶ κτήνη πάμπολλα καὶ διάφορα καὶ δαψιλὴς ἡ τούτων νομὴ δι' ὅλου τοῦ χρόνου γίνεται διὰ τὴν πολλὴν εὐκρασίαν τῆς γῆς καὶ πιότητα· πολὺ δὲ πλῆθος καὶ τῶν ἀρωμάτων καὶ λίθων πολυτελῶν καὶ χρυσοῦ παρακομιζομένου διὰ τῶν Ἀράβων (εἰς τὸν τόπον).

(4) Ὡσαύτως ** καὶ Ἰώσηπος ἔφη· «πάμφορος γὰρ οὖσα ἡ γῆ δι' εὔκρατον ἀέρα καὶ πολλὴν πιότητα, χειμῶνος ὥρᾳ ἐκφέρει κάρυα καὶ ἐν καύμασι φοίνικας, καὶ πλεῖστον (μὲν) γεωργεῖ ἔλαιον, σταφυλὰς δὲ καὶ σῦκα διὰ μηνῶν ι' ἐσθίουσιν οἱ ἐκεῖσε, τοὺς δὲ λοιποὺς καρποὺς δὶς τοῦ ἐνιαυτοῦ τρυγῶσιν».

(5) Τὸ δὲ μέγεθος τῆς σταφυλῆς τῶν βοτρύων ἐκείνης ἐδήλωσεν ἡ γραφὴ λέγουσα περὶ τῶν κατασκόπων ὧν ἀπέστειλε Μωϋσῆς, ὅτι «ἦλθον ἕως φάραγγος βότρυος, καὶ — κόψαντες ἐκεῖθεν κλῆμα καὶ βότρυν σταφυλῆς ἕνα ***, ᾖραν αὐτὸν ἐπ' ἀναφορεῦσιν»· ἐν ξύλῳ γὰρ ἐσχηματισμένῳ πλαγίως μέσον κρεμασθεὶς καὶ ὑπὸ ἀνδρῶν β' βασταζόμενος πᾶσιν ἐδήλωσε τῆς ἁγίας γῆς ἐκείνης τὴν εὐκαρπίαν, δι' ἧς Ἀλέξανδρος ὁ μέγας διαπορευόμενος καὶ ξύλα καρποφόρα, ἐν οἷς καὶ πήγανον, θεασάμενος (καὶ) τὸ ὕψος καὶ πάχος ἐφάμιλλον συκῆς, ἐθαύμασε σφόδρα τῆς γῆς τὴν εὐκαρπίαν τε καὶ πιότητα.

(6) Καὶ γοῦν ἐν τῇ Παλαιστίνῃ πηγή ἐστι παντοίων παθῶν (155ᵃ) ἀνθρώπων τε καὶ ἀλόγων ἴασιν παρέχουσα, ἐν ᾗ λόγος τὸν Κύριον ἐξ ὁδοιπορίας τοὺς πόδας νίψασθαι.

---

1. ἐπεῖδε Gen. XIII. 10. — * ὁ Gen. — 3. ἑαυτῷ Λὼτ πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου Gen. — 5. Ced. 747,10—17. — ** οὖν Ced. 747,17—22. — 15. καὶ σταφυλὴν μὲν κάι Ced. — 18. Ced. 747,22 — 748,7. — τῶν β. τῆς στ. Ced. — 20. ἦλθοσαν Num. XIII. 23. — ἔκοψαν Num — *** ἐπ' αὐτοῦ καὶ Num. — 25. καὶ πλάτος Ced.

(7) Καὶ δένδρον ἵσταται πάσης ἀῤῥωστίας ἀλεξίκακον, ἐν ᾧ τόπῳ φασὶν Ἰωσὴφ τὸν Χριστὸν λαβόντα μετὰ τῆς παναγίας Θεοτόκου Μαρίας πρὸς τὴν Αἴγυπτον ποιούμενον τὴν πορείαν, εἰς γῆν ἐκλίθη τὸ δένδρον καὶ προσεκύνησεν.

(8) Πρὸς δὲ τὴν ἀρκτῴαν τῆς φάραγγος ῥίζα γίνεται φλεγγοειδὴς ὀνόματι βατταρίτης, ἀφ' ἧσπερ τὴν ἑσπέραν ἐξαστράπτον φῶς, οὐδεὶς ἀνθρώπων θίγειν αὐτὴν δύναται διὰ τὸ παραχρῆμα θανατοῦν αὐτὴν, εἴτις ῥίζης ἐκείνης περιάψηται τὴν χεῖρα· κυκλόθεν οὖν περιορύξαντες καὶ κύνα δεσμεύσαντες, ἀνασπᾷ τὴν ῥίζαν ὁ κύων ἐπακολουθεῖν τῷ ἀνθρώπῳ βούλομενος καὶ παραυτίκα ἀποθνήσκει, τὴν δὲ ῥίζαν περιάπτουσι δαιμονιζομένῳ καὶ ἀπολύουσι τοῦ δαίμονος ἐξ αὐτοῦ φυγαδευομένου.

(9) Καὶ ἄλλη δέ τις πόλις ἐστι τῆς Γαλιλαίας παράλιος ἀπὸ σταδίων β' ποταμὸν ἔχουσα καὶ νησοειδῆ τόπον ἐν αὐτῷ, πηχῶν ἔχοντα τὸ περίμετρον ρ', ἐν ᾧ γίνεται φυσικὸν πρᾶγμα θαύματος ἄξιον· οἱ γὰρ ἄνεμοι τὴν ἔξωθεν ἀργὴν ψάμμον εἰς αὐτὸν κατασύραντες, εὐθέως ὁ τόπος ταύτην εἰς ὕαλον μεταβάλλει, ἐπειδὰν ἱκανὰ πλοῖα περιστάντα καὶ τὴν ὑαλίτην ἐκείνην ψάμμον ἐκφωρήσωσιν, πάλιν οἱ ἄνεμοι καταπνεύσαντες γεμίζουσι τὸν τόπον.

(10) Ἀλλὰ μὴν καὶ ὀποβάλσαμον γεωργεῖ(ται) πλεῖστον καὶ ἕτερα (τινὰ πάμ)πολλα (καὶ) δυσπόριστα καὶ ἀνθρώποις ἐπέραστα. Κἀντεῦθεν τοίνυν, ὡς ἐξαίρετον καὶ διαφέρουσαν ἀσυγκρίτως πάσης τῆς γῆς, εἰκότως ἔδωκεν αὐτὴν ὁ Θεὸς τῷ ἠγαπημένῳ καὶ πρωτοτόκῳ υἱῷ αὐτοῦ (Ἰσραὴλ) εἰς κληρονομίαν τε καὶ ἀπόλαυσιν. «Εἰσήγαγε γὰρ», φησὶν, «αὐτοὺς εἰς ὄρος ἁγιάσματος αὐτοῦ, ὄρος τοῦτο, ὃ ἐκτήσατο ἡ δεξιὰ αὐτοῦ».

(11) Τοιγαροῦν ἐν τῇ ἁγίᾳ ταύτῃ καὶ μακαρίᾳ καὶ ἀγαθῇ γῇ τῆς ἐπαγγελίας, «πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς» λόγος τοῖς προφήταις ὁραθεὶς (ἐπὶ χερουβικοῦ καὶ ἐπηρμένου θρόνου [χρη]ματισθεὶς καὶ μέντοι καὶ διαφόρως τε καὶ) θεοπρεπῶς * τὰς θεοφανίας ποιησάμενος, ἔλεγεν· «ἐγὼ ὁράσεις ἐπλήθυνα καὶ ἐν χερσὶ

---

6. בֵּתְרוֹם? — 14. ἔχων cod. — 20. Ced. 748,7—1. — 24. Καὶ ἐ. ἀ. Ps. LXXVIII. 54. ἐ. γ. ἀ. φ. Ced. — 27. Ced. 748,13—749,3. — 28. Hebr. I. 1. — * τε Ced. — Hos. XII. 10.

προφητῶν ὡμοιώθην» — «ἐπ' ἐσχάτου» αὖθις (ἐπὶ τῆς αὐτῆς ἱερᾶς γῆς) ὤφθη σαρκούμενος καὶ τοῖς ἀνθρώποις συναναστρεφόμενος (κατὰ τὴν θείαν πρόρρησιν) πληρώσας τό· «Μήτηρ Σιὼν, ἐρεῖ ἄνθρωπος, καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ ὕψιστος»· ἐν ᾗ καὶ τὸ σωτήριον πάθος ὑπομείνας τὴν παγκόσμιον εἰργάσατο σωτηρίαν (ἐν μέσῳ αὐτῆς ὡς καί τινες τῶν ἐξηγητῶν ὀμφαλὸν τῆς γῆς αὐτὴν προσηγορεύκασιν). Καὶ μήν γε καὶ Χριστὸς αὐτὸς καρδίαν ἔφησε λέγων· «Ὥσπερ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους γ' ἡμέρας καὶ γ' νύκτας, οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς».

(12) Ὅθεν καὶ ὁ θεῖος Χρυσόστομος εἰς τὸ φάσκον ῥητόν· «ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ», φησίν· «Καὶ γὰρ ἐπὶ τῆς παλαιᾶς ἐκεῖθεν τοῦ θεοῦ γέγονεν ἐμπρέπεια, οἷον ὁ βωμὸς, τὰ ἅγια τῶν ἁγίων, ἡ λατρεία πᾶσα καὶ ἡ πολιτεία τῆς παλαιᾶς νομοθεσίας *, ἱερέων πλῆθος **, θυσίαι καὶ ὁλοκαύτωσις καὶ ὕμνοι ἱεροὶ καὶ ψαλμῳδίαι καὶ πάντα τὰ ἐκεῖθεν καὶ τῶν μελλόντων προδιεγέγραπτο. Ἐπειδὴ δὲ *** ἡ ἀλήθεια παραγέγονεν, ἐκεῖθεν τὴν ἀρχὴν ἔλαβεν, ἐκεῖθεν ὁ σταυρὸς ἔλαμψεν, ἐκεῖθεν τὰ μυρία κατορθώματα. Διὰ δὴ τοῦτο καὶ περὶ τῆς Χριστοῦ δευτέρας νομοθεσίας ὁ μέγας Ἡσαΐας φησίν· «ἐκ (155[b]) Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἰερουσαλὴμ, καὶ κρινεῖ ἀναμέσον τῶν ἐθνῶν». Σιὼν γὰρ ἐνταῦθα ὁλόκληρον λέγει τὸ χωρίον καὶ τὴν παρακειμένην αὐτῷ μητρόπολιν τῶν Ἰουδαίων. Ἐκεῖθεν γὰρ ὥσπερ ἐκ βαλβῖδός τινος εὐδρομοι ἵπποι εὐσταλεῖς οἱ ἀπόστολοι εἰς τὴν οἰκουμένην ἅπασαν ἐξεπέμφθησαν· ἐκεῖθεν τὰ σημεῖα ποιεῖν ἤρξαντο· ἐκεῖ γέγονε τὸ σωτήριον πάθος ****, ἡ ἀνάστασις *****, ἡ ἀνάληψις· ἐκεῖ τὰ προοίμια τῆς ἡμετέρας σωτηρίας· ἐκεῖ τὰ ἀπόῤῥητα

---

1. ἐμυήθην Ced. sed סַרְמָה· — Heb. I. 1, ἐπ' ἐσχάτων δὲ σαρκοφόρος ὤφθη καὶ Ced. — 2. συνανεστράφη, πλ. καὶ τὸ Ced. — 3. Ps. XLIX. 5. — 5. ὑπ. π. Ced. — 7. αὐτὸς γὰρ ὁ Κύριος κ. τῆς γῆς ἐκάλεσε τὴν Ἱερουσαλήμ ὡ. Ced.—8. Mt. XII. 39.— 11. Ced. 749,3—750,7. — Ps. L. 2. — 13. γ. ἡ τοῦ θῦ Ced. — * καὶ Ced. — ** καὶ Ced. — 15. θυσία Ced. — 16. καὶ τὰ μέλλοντα Ced. — *** καὶ Ced. — 20. λέγει Ced. Ies. II. 3. — 23. Ἐκ. τοίνυν Ced. — 24. ἐ. καὶ εὐστ. ἱ. Ced. — εἰς τὴν ὀ. ἁ. οἱ ἀπ. Ced. — **** καὶ Ced. — ***** καὶ Ced.

δόγματα κηρύττεσθαι τὴν ἀρχὴν ἔλαβον· ἐκεῖ πρῶτον ἀπεκαλύφθη πατὴρ καὶ ἐγνωρίσθη μονογενὴς υἱὸς καὶ ἐδόθη τοσαύτη πνεύματος χάρις καὶ τὸν περὶ τῶν ἀσωμάτων ἐκεῖ λόγον ἐγύμναζον καὶ δωρεῶν καὶ δυνάμεων καὶ τῶν μελλόντων ἀγαθῶν τὰς ἐπαγγελίας, ἅπερ ἅπαντα αὐτοῦ ὡραιότητας λέγει· κάλλος γὰρ θεοῦ καὶ ὡραιότης ἡ ἀγαθότης καὶ (ἡ) φιλανθρωπία καὶ ἡ εἰς πάντας εὐεργεσία· ἐκεῖ τοίνυν τὸ πταῖσμα καὶ τὸ πτῶμα τοῦ Ἀδὰμ θεραπεύσας καὶ τὴν ταχίστην ὥσπερ ὑπόπτερον συνέλευσιν τῶν ἁγίων καὶ ὑπάντησιν ἐν τῇ β' παρουσίᾳ αὐτοῦ προϋποφαίνων ἔλεγεν· «ὅπου τὸ πτῶμα, ἐκεῖ συναχθήσονται (καὶ) οἱ ἀετοί».

(13) Ἐκεῖ δὲ μηδὲ τοῦ Νῶε, τοῦ πάντων ἀρχηγοῦ ἀνθρώπων, τὸν τάφον ἀγνοῆσαι, ὡς μετὰ τὸν κατακλυσμὸν ἀπ' αὐτῆς διαδοθῆναι τὴν φήμην· διόπερ ὁ Κύριος τὰς ἀρχὰς τοῦ ἀνθρωπίνου θανάτου ἐρευνήσας εἰς τὸν λεγόμενον κρανίου τόπον τὸ πάθος ἐδέξατο, ἵνα ἐν ᾧ τόπῳ ἡ φθορὰ τῶν ἀνθρώπων τὴν ἀρχὴν ἔλαβε, ἐκεῖθεν καὶ ἡ ζωὴ καὶ τὸ θεοκήρυκτον κήρυγμα τῆς βασιλείας τῶν οὐρανῶν ἄρξηται.

(14) Ὡσαύτως καὶ ὁ θεορρήμων Ἀθανάσιος εἰς * πάθος ** Χριστοῦ λέγει· «διόπερ οὐκ ἀλλαχόσε πάσχει Χριστὸς οὔτε μὴν εἰς ἄλλον σταυροῦται τόπον ἢ εἰς τὸν κρανίου τόπον, ἐν ᾧ δὴ Ἑβραίων οἱ διδάσκαλοι τοῦ Ἀδὰμ φασὶν εἶναι τὸν τάφον—ἐκεῖ γὰρ αὐτὸν μετὰ τὴν καταράν τετάφθαι διαβεβαιοῦνται — διὰ τοῦτο θαυμάζω τοῦ τόπου τὴν οἰκειότητα· ἔδει γὰρ τὸν Κύριον ἀνανεῶσαι θέλοντα τὸν α' ἄνθρωπον, ἐν ἐκείνῳ παθεῖν τῷ τόπῳ» — «Καὶ ἐπειδή(περ) ἤκουσεν Ἀδὰμ, (ὅτι) γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ», ταύτῃ (τοι) πάλιν ἐκεῖθεν τίθεται, ἵνα ἐν ᾧ τόπῳ τὴν καταράν ἔλαβεν, ἐκεῖ καὶ τὴν λύσιν ταύτης δέξηται».

---

1. ἔλαβεν Ced. — 3. λ. ἐ. Ced. — 5. ὡ. τοῦ θεοῦ Ced. — κάλλη Ced. — 7. πτῶμα καὶ πτ. Ced.— 8. ὡ. καὶ ὑπ. τῶν ἁ. σ. Ced.— 9. ἀ. προϋπεμφ. Ced. Mt. XXIV. 28.— 11. Ἀδὰμ? — 18. Ced. 750,8—17. Ὡ. δὲ καὶ ὁ μέγας Ἀθ. — * τὸ Ced. — ** τοῦ Ced. — 19. ed. Par. 1698 III. 90 C: ὅθεν οὐδὲ ἁ. π. οὐδὲ εἰς τ. στ. — 20. εἰς τοῦ κρ. Ced. — ὃν Ἑ. οἱ δ. φ. τοῦ Ἀ. ἐ. τ. Ath. ἐν ᾧ δὴ τῶν Ἑ. οἱ δ. φ. τοῦ Ἀ. ἐ. τὸν τ. Ced. — 22. ὅπερ εἰ οὕτως ἔχει θ. Ath. — 24. τῷ τ. π. ἵνα ἐκείνου λύσῃ τὴν ἁμαρτίαν, ἀπὸ παντὸς αὐτὴν ἄρῃ τοῦ γένους καὶ ἐπειδὴ ἠκ. ὁ Ἀ. ὅτι γῆ Gen. III. 19. διὰ τοῦτο π. ἐκεῖ τ. ἵνα τὸν Ἀ. εὑρὼν, ἐκεῖ λύσῃ μὲν τὴν καταράν Ath. — 26. ἐκεῖ τίθειται Ced.

(15) Καὶ μέντοι γε ὁ μέγας Ἐφραῒμ ἐν τοῖς κατὰ Κάϊν φησί· «Καὶ ὁ Κάϊν στένειν καὶ τρέμειν ἐκρίθη ὑπὸ τῆς συνειδήσεως περιεχόμενος· ὑποστήσεται δὲ τοῦτο ὑπὸ τῆς αἰωνίου κολάσεως· τὸ γὰρ στένων καὶ τρέμων ἔτη ἐπὶ τῆς γῆς ταύτης ὁ τόπος τῆς κρίσεως εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, κατὰ τὰς ἱερὰς γραφὰς, οὐχ ἡ γῆ διὰ τὴν κρίσιν, οὐδὲ ἡ κρίσις διὰ τὴν γῆν· οὐ γὰρ ἡ γῆ ἥμαρτεν ἀλλ' ὁ ἄνθρωπος· ἡ γὰρ γῆ τῆς τοῦ θεοῦ δίκης γίνεται ἀμυντήριος ὡς τῶν κριτῶν τὸ ῥῆμα καὶ τῶν δημίων ὁ σίδηρος, καὶ δύναται, φησὶν, ἐν προσκαίροις αἰώνιος γενέσθαι κρίσις· καὶ ἡ σὰρξ τῶν ἀνθρώπων νῦν θνητή ἐστιν, ἀλλὰ τότε γενήσεται ἀθάνατος, καὶ ὁ παράδεισος δι' αἰσθητῶν συνεστὼς αἰώνιον ἔχει τὴν ἀπόλαυσιν. Οὐκ ἐν παραβολῇ εἴρηται περὶ τοῦ παραδείσου, οὐκ ἐν σχήματι ἐφυτεύθη τῷ πράγματι ἀνύπαρκτος ὤν. Παῦλος δὲ αὐτὸν μετὰ ε̅φ̅ ἔτη ἐθεάσατο· ἐκεῖ ἀπεδήμησεν καὶ ἤκουσε τὰ τῆς ἐκκλησίας μυστήρια, «ἀνέβη εἰς τρίτον οὐρανὸν καὶ ἤκουσε (156ᵃ), τὰ τοῦ μέλλοντος αἴδια ῥήματα». Οὐρανὸν καὶ γῆν τὴν αὐτὴν χάριν ὁ θεὸς ἐνέδυσεν καὶ τὸν παράδεισον ἐν ἀϊδίοις ἐπαγγελίαις συστησάμενος· σοὶ μὲν τῷ ἀπίστῳ δοκεῖ τὸ αἰσθητὸν πρόσκαιρον, ἐμοὶ δὲ τῷ πιστῷ καὶ τὸ πρόσκαιρον αἰώνιον. Οὐ νοεῖς τὴν δύναμιν, ἐπειδὴ οὐ πιστεύεις τῇ χάριτι· οὐχ εὑρεῖς τὴν κατάληψιν, ὅτι οὐ γινώσκεις βουλὴν θεότητος. Ἀπαιτεῖς με λόγον πῶς τὸ πρόσκαιρον αἰώνιον· ἀπαίτησον καὶ Παῦλον διὰ τί εἶπεν εἶναι διήγησιν, ἣν οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι· εἰ δὲ λόγος ἀνέφικτος, πολλῷ μᾶλλον ἡ τοῦ θεοῦ δύναμις ἀνεκδιήγητος, καὶ ὁ παράδεισος τοίνυν αἰσθητὸς, ἀλλ' οὐ πρόσκαιρος, καὶ ἡ ἐν αὐτῷ ἐπαγγελία ἐν ξύλοις, ἀλλ' οὐ προσκαίροις· καὶ δὴ ἡ μητρόπολις Ἱερουσαλὴμ πρόσκαιρος νῦν καὶ φθαρτὴ, ἀλλ' εἰς κατοικητήριον ἐξελέχθη τοῦ ἀφθάρτου φύσει καὶ αἰωνίου θεοῦ, ἥτις γε πάντως μικρὸν ὕστερον ἄφθαρτος καὶ θεοφώτιστος ἐν τῇ παλιγγενεσίᾳ γενήσεται καὶ δικαίων ἐνδιαίτημα κατὰ τὴν βροντόφωνον φωνὴν τοῦ υἱοῦ τῆς βροντῆς Ἰωάννου ἐν τῇ ἀποκαλύψει «Ἱερουσαλὴμ», Ἱερουσαλὴμ, ἡ ὄντως θεόδμητος καὶ

---

4. στένειν καὶ τρέμειν ἔτι? — 15. 2 Cor. XII. 2—4. — 16. δημάτα cod. — 20. ὁρεῖς cod. — 31. XXI. 10.

Θεοφρούρητος καὶ Θεοκόσμητος καὶ Θεοπόθητος· «ἀγαπᾷ γὰρ Κύριος τὰς πύλας σου ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ», ἣν δὴ καὶ ὡς ἔνδοξον καὶ Θεούπολιν σεμνύνων φάσκει· «Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ» καὶ καθάπερ ἠκούσαμεν, οὕτως καὶ ἴδομεν, ἐν πόλει Κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ Θεοῦ Ἰακώβ, «ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα».

(16) Ταύτην δὴ τὴν ἁγίαν καὶ ἐπιθυμητὴν γῆν καὶ παγγέραστον καὶ πανεπέραστον, ἐξ ἧς ὁ πρῶτος ἄνθρωπος γέγονεν καὶ οἱ προφῆται πάντες καὶ οἱ ἀπόστολοι ἀνεφύησαν, καὶ μέντοι καὶ αὐτὴ ἡ πάντων οὐρανίων καὶ ἐπιγείων κτισμάτων ὑπερτέρα ἡ ὑπεραγία Θεοτόκος ἐβλάστησε καὶ τὸν τούτου παντὸς κύριον καὶ δεσπότην ἀπέτεκε καὶ τῆς τοῦ κόσμου σωτηρίας γέγονε πρόξενος, καὶ τὸ θεῖον ὄρος Σιὼν ἀεὶ περιβόητον, τὴν ἱερὰν μητρόπολιν τοῦ βασιλέως τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν, τὴν Ἱερουσαλὴμ κατέσχον οἱ ἄγαν πονηροὶ καὶ ἀκάθαρτοι Σαρακηνοί. Ἐπεὶ οὖν περικρατεῖς ἐγένοντο τῆς ἁγίας ἐκείνης, σφόδρα πλεονάσαντες ὑπερίσχυσαν, συγχωρήσαντος Θεοῦ διὰ τὰς ἁμαρτίας τῶν κατοικούντων ἐν αὐτῇ, καὶ πάσας τὰς χώρας καὶ τὰς πόλεις κατεκράτησαν. Ὅτε δὴ καὶ ὁ βασιλεὺς Κώνστας, ὁ ἔγγονος Ἡρακλείου, συνῆψε μετ' αὐτῶν πόλεμον καὶ ἡττηθεὶς φυγῇ τὴν σωτηρίαν ἐπραγματεύσατο καθὼς προλέλεκται.

CCXXXVII. ΒΑΣΙΛΕΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΠΩΓΩΝΑΤΟΥ.

668 Μετὰ τὸν ῥηθέντα Κώνσταντα ἀναιρεθέντα ἐν Σικελίᾳ ἐβασίλευσε Κωνσταντῖνος, ὁ υἱὸς αὐτοῦ, ὃς μαθὼν τὴν τοῦ πατρὸς τελευτήν, μετὰ πλείστης ναυστολίας τὴν Σικελίαν κατέλαβε καὶ χειρωσάμενος Νίζιζον τὸν βασιλεύσαντα καὶ τοῦ πατρὸς αὐτοῦ φονέας, πάντας ἀπέκτεινεν, ὡσαύτως καὶ Ἰουστινιανὸν

1. Ps. LXXXVII. 2. — 3. Ps. 3. — 5. καὶ αὐτὸς ἐθ. ἀ. ὁ ὕψιστος Ps. 5. — 24. Cod. 763,19—764,4: ἀκούσας δὲ Κ. τὴν τοῦ πρ̄ς ἀποβίωσιν μ. π. ν. καταλαμβάνει τὴν. — 27. καὶ Μιζίζιον ἀναιρεῖ σὺν τῷ φονεῖ τοῦ ἰδίου π. καὶ καταστήσας τὰ ἑσπέρα ἐπὶ Κ. Π. ἔρχεται κτλ. ἀπέτεμε δὲ καὶ Ἰ. π. τὸν π. Cod.

πατρίκιον, τὸν πατέρα τοῦ ἁγίου Γερμανοῦ τοῦ πατριάρχου, τὸν δὲ Γερμανὸν, τραχύτατον ὄντα, εὐνούχισεν.

(2) Οὗτος ἐκλήθη πωγώνατος, ὡς ἀγένειος ἀπελθὼν τῇ τοῦ πατρὸς ἐκδικήσει, ἐπανῆλθε μετὰ πώγωνος ἐν τῇ πόλει.

(3) Ἐβασίλευσεν ἅμα τοῖς ἀδελφοῖς, ἐπιβουλευθεὶς δὲ παρ' αὐτῶν καὶ κατισχύσας, πάντας βινοτμήτους ἐποίησεν, καὶ ἐξώρισεν Ἡράκλειον καὶ Τιβέριον, ὃς καὶ ἐβασίλευσεν ἔτη ιζ'. 669

CCXXXVIII. ΠΕΡΙ ΤΗΣ ΑΙΡΕΣΕΩΣ ΤΩΝ ΠΑΥΛΙΚΙΑΝΩΝ.

Δεῖ δὲ καὶ περὶ τῆς αἱρέσεως τῶν Παυλικιανῶν μερικῶν διαλαβεῖν. Ἐπὶ τῶν χρόνων (156[b]) Κώνσταντος, τοῦ πατρὸς Κωνσταντίνου, τοῦ ἀναιρεθέντος ἐν Σικελίᾳ, ἀνεφάνη Κωνσταντῖνος ὁ καὶ Σιλουανὸν ἑαυτὸν ὀνομάσας. Ἔστι δὲ ἡ τοιαύτη αἵρεσις οὕτως· Παυλικιανοί, οἱ καὶ Μανιχαῖοι, μετωνομάσθησαν ἀντὶ Μανιχαίων Παυλικιανοί, ἀπὸ Παύλου τινὸς Σαμοσατέως, υἱοῦ γυναικὸς Μανιχαίας Καλλινίκης τοὔνομα, ἥτις δύο υἱοὺς ἔσχε, τοῦτον τὸν Παῦλον καὶ Ἰωάννην. Τούτους οὖν τὴν μανιχαϊκὴν αἵρεσιν διδάξασα ἐκ τοῦ Σαμοσάτου εἰς Ἀρμενιακοὺς κήρυκας τῆς αἱρέσεως αὐτῆς ἀπέστειλεν, οἵτινες ἐλθόντες εἰς κώμην τινὰ τῆς Φαναρρόίας, ἐκεῖσε τὴν αἵρεσιν αὐτῶν ἐγκατέσπειραν. Ἔκτοτε οὖν ἡ * κώμη μενωνομάσθη Ἐπίσπαρις, οἱ δὲ μαθηταὶ αὐτῶν Παυλικιανοὶ ἐκλήθησαν.

---

2. βράχ. cod. — 6. Ced. 765,6—14. — 10. π. Π. M. 2 et Par. 1706 ante regnum Pogonati. — 12. Ced. 756,17—757,5 sub Constante confer Petrum Siculum p. 36: Γυνὴ γάρ τις ἐκ τοῦ Σαμωσάτου Καλλινίκη τοὔνομα δύο υἱοὺς ἔσχε Π. καὶ Ἰω. Τούτους οὖν — τὴν παμμιαρὰν διδάξασα αἵρεσιν κήρυκας τῆς πλάνης ἀπ. ἐκ τοῦ Σ. οἱ δὲ καταλαβόντες τὴν ἐνορίαν Φαναροίας ἦλθον εἰς τινα κώμην — ἐκεῖσε τὸν ἰὸν — ἐνέσπειραν, διὸ — ἡ κώμη Ἐπ. μετωνομάσθη — ἐκ Μανιχαίων ἐπεκλήθησαν Π. — 14. ἡ αἱ. ἀ. ὁ. Ced. — 19. αὐτ. cod. αὐτοὺς Ced. compendio male soluto. — 21. ἑαυτ. αἱ. ἐνεσπ. Ced. — * μὲν Ced.

(2) Οὗτοι μετὰ χρόνους τινὰς τῆς διδαχῆς * τοῦ Παύλου πολλοὺς ἑτέρους εἶχον διδασκάλους, Κωνσταντῖνον καλούμενον, ὅστις ἑαυτὸν Σιλουανὸν μετωνόμασε. Τοῦτον (οὖν) ἔχουσιν ἀρχηγὸν τῶν διδασκάλων αὐτῶν καὶ οὐχὶ τὸν Παῦλον· οὗτος γὰρ παρέδωκεν αὐτοῦ τὰς αἱρέσεις αὐτοῖς, (οὐκ ἐγγράφως, ἀλλ') ἀγράφως κατὰ παράδοσιν, τὸ εὐαγγέλιον δὲ καὶ τὸν ἀπόστολον ἐγγράφως, ἀπαράλλακτα μὲν τῇ γραφῇ καὶ τοῖς λόγοις ὡς καὶ τὰ παρ' ἡμῖν ὄντα παραδοὺς, διαστρέψας δὲ ἕκαστον κεφάλαιον πρὸς τὰς ἑαυτοῦ αἱρέσεις, νομοθετήσας αὐτοῖς καὶ τοῦτο, μὴ δεῖν ἑτέραν βίβλον (τὴν) οἱανοῦν ἀναγινώσκειν εἰ μὴ τὸ εὐαγγέλιον καὶ τὸν ἀπόστολον.

(3) Μετὰ δὲ Κωνσταντῖνον (τὸν) καὶ Σιλουανὸν δεύτερον ἔσχον διδάσκαλον Συμεῶνα καλούμενον (ὃν μετωνόμασαν Τίτον, γ' Γενέσιον) μετονομάσαντα δὲ αὐτὸν Τιμόθεον, δ' δὲ Ἰωσὴφ μετονομάσαντα (καὶ) αὐτὸν Ἐπαφρόδιτον **, μετὰ τοῦτον Ζαχαρίαν, ἀλλὰ τοῦτον ὡς μισθωτὸν καὶ οὐκ ἀληθῆ ποιμένα ἀποβάλλονται (αὐτὸν) ἔνιοι ἐξ αὐτῶν, ς' τὸν Βαάνην τὸν βυπαρὸν καὶ ἕβδομον (ἔσχον) τὸν Σέργιον, τὸν καὶ Τυχικὸν ἑαυτὸν μετονομάσαντα. Μάνεντα τοίνυν καὶ Παῦλον καὶ Ἰωάννην καὶ ἄλλους (πολλούς), οὓς ἄν τις εἴπῃ αὐτοῖς, προθύμως ἀναθεματίζουσι, Κωνσταντῖνον δὲ τὸν καὶ Σιλουανὸν ἐπικληθέντα καὶ Συμεὼν τὸν καὶ Τίτον καὶ Γενέσιον τὸν καὶ Τιμό-

---

1. Cod. 757,5—15 cf. Petrum S. Μάνεντα καὶ τοὺς σὺν αὐτῷ μιαροὺς αἱρετικούς, ἔτι δὲ καὶ Παῦλον τὸν Σαμοσατέα ἀναθεματίζουσι προθύμως p. 40 Ἐν ταῖς ἡμέραις Κωνσταντίνου — τοῦ ἐγγόνου Ἡρακλείου γέγονέ τις Ἀρμένιος ὀνόματι Κ. ἐν τῷ Σαμοσάτῳ — Κ. δὲ τοῦτον τὸν καὶ Σ. ἑαυτὸν ὀνομάσαντα — Συμεὼν — Τίτον ἑαυτὸν ὀνομάζει — Ὁ δὲ ἐπίσκοπος — ἀνήγαγε περὶ τούτων βασιλεῖ Ἰουστινιανῷ — ὁ βασιλεὺς ἐκέλευσε — πυρὶ παραδοθῆναι — Παῦλος — ἔχων δύο υἱοὺς ὧν τὰ ὀνόματα Γεγνέσιος καὶ Θεόδωρος — ἀποδιδράσκει· προβάλλεται — Γεγνέσιον — ὃν καὶ Τ. μετονομάζει, Αἐων ὁ Ἴσαυρος — τὸν Γεγνέσιον παραπέμπει — πρὸς τὸν πατριάρχην Κ. Π. — Λαβὼν παρὰ τοῦ βασιλέως σιγίλλιον, ἦλθε πάλιν εἰς Ἐπίσπαριν — τὸν βίον κατέστρεψε — λ' ἔτεσι — γενόμενος προστάτης· Ζαχαρίας — μόνος ἐξέφυγεν — ὡς μισθωτός — Ἰωσὴφ δὲ κατῴκησε εἰς Ἀντιόχειαν τῆς Πισιδίας ἐν ἔτεσι λ' — ἔλεγε — εἶναι ὁ Ἐπαφρόδιτος. — βυπαρὸς Βαάνης — Σέργιος· — μετὰ δὲ θάνατον Σεργίου — ἰδὼν Μιχαὴχ — βασιλεὺς ὁ ἀββᾶς καὶ Αἐων — ἀπέκτανον — ἔτει ,στγ' — μηκέτι ἕνα διδάσκαλον ἀνακηρύξαντες. — χ. πολλοὺς Ced. — * τοῦδε Ced. — Π. ἕτερον ἔσχον διδάσκαλον Κ. τὸν προρρηθέντα Σ. Ced. — 3. διδασκάλ. cod. διδασκαλιῶν Ced. — 4. αὐτοῖς π. τὰς αἱ. ἀ. Ced. — 6. τὸ ἐ. μὲν κατὰ παράδοσιν, τὸν δὲ ἀπ. ἐγ. Ced. — 11. Ced. 757,15—758,5. — 12. κ. μετονομάσαντα δὲ ἑαυτὸν Τιμ. Ced. — ** καὶ Ced.

θεον, καὶ Ἰωσὴφ τὸν καὶ Ἐπαφρόδιτον καὶ Βαάνην τὸν ῥυπαρὸν καὶ Σέργιον (τὸν) καὶ Τυχικὸν ὡς διδασκάλους αὐτῶν οὐδαμῶς ἀναθεματίζουσιν, ἀλλ' ἔχουσιν αὐτοὺς ὥς [περ] ἀποστόλους Χριστοῦ.

(4) Ἔχουσι δὲ καὶ ς' ἐκκλησίας ἐν τῇ ὁμολογίᾳ αὐτῶν, (α') τὴν Μακεδονίαν, ἥτις ἐστιν Κάστρον κολωνίας, (β') ἡ Κίβωσσα, ἣν ἐμαθήτευσε Κωνσταντῖνος ὁ καὶ Σιλουανὸς, καὶ Συμεὼν ὁ καὶ Τίτος, [γ' τὴν Ἀχαΐαν], ἥτις ἐστὶ κώμη Σαμοσάτου, (δ') ἡ Μαναάλις ἣν ἐμαθήτευσε Γενέσιος ὁ καὶ Τιμόθεος (ε'), τὴν τῶν Φιλιππησίων, τοὺς μαθητὰς λέγοντες Ἰωσὴφ τοῦ * Ἐπαφροδίτου καὶ Ζαχαρίου τοῦ μισθωτοῦ ποιμένος παρ' αὐτῶν λεγομένου, (ς') τὴν τῶν Λαοδικέων, λέγουσι δὲ τοὺς Ἀργαούτας, καὶ τὴν τῶν Ἐφεσίων, τοὺς ἐν Μόψου ἑστίᾳ, καὶ τὴν τῶν Κολασσαέων λέγουσι (τοὺς Κοινοχωρίτας, ἅσπερ γ' ἐκκλησίας, φησὶν) Σέργιος ὁ καὶ Τυχικὸς ἀνεθεμάτισεν. Τούτους οὖν τοὺς ζ' αὐτῶν διδασκάλους καὶ τὰς ς' αὐτῶν) ἐκκλησίας ἔχουσιν ἐντίμους, οὓς καὶ σέβονται· πάντας δὲ τοὺς λοιποὺς, οὓς ἐὰν εἴπῃ τις αὐτοῖς, καὶ ἀναθεματίζουσι καὶ ἀποβάλλονται.

(5) Ἔχουσι δὲ πρώτην αἵρεσιν τὴν τῶν Μανιχαίων, δύο ἀρχὰς ὁμολογοῦντες ὡς κἀκεῖνοι· λέγουσι δὲ οὗτοι, ὅτι ἓν ἐστι μόνον τὸ διαχωρίζον ἡμᾶς ἐκ τῶν Ῥωμαίων, ὅτι ἡμεῖς μὲν ἕτερον θεὸν λέγομεν ὑπάρχειν τὸν πατέρα τὸν ἐπουράνιον, ὃς ἐν τούτῳ τῷ κόσμῳ οὐκ ἔχει ἐξουσίαν, ἀλλ' ἐν τῷ μέλλοντι, καὶ ἕτερον θεὸν τὸν κόσμου ποιητὴν, ὅτι ἔχει τοῦδε τοῦ παρόντος (κόσμου) τὴν ἐξουσίαν. Οἱ

---

4. Ced. 758,5—17 Λέγουσι δὲ. — 5. τὴν Κίβωσαν Ced. — 7. τὴν Μάναλιν Ced. — * καὶ Ced. — 11. λ. δὲ Κυνοχωρίτας· τὴν μέντοι τῶν Ἐφ. Ced. — λ. ὡς Σ. Ced. — 13. δ. ἀ. Ced.—17. Ced. 758,18—759,12 cf. Petrum Siculum p. 6: Τὴν ἁγίαν Τριάδα θεὸν ὁμολογεῖν λέγουσι καὶ ἀναθεματίζουσι τοὺς μὴ οὕτως ὁμολογοῦντας — Πρῶτον μὲν γάρ ἐστιν τὸ κατ' αὐτοὺς γνώρισμα τὸ δύο ἀρχὰς ῥμολογεῖν — εἰπέ ἡμῖν τί ἐστι τὸ χωρίζον ἡμᾶς ἐκ τῶν Ῥ., — ἄλλον θεὸν λέγουσιν εἶναι τὸν τοῦ κόσμου ποιητὴν καὶ ἕτερον θεὸν, ὃν καὶ πατέρα ἐπουράνιον λέγουσιν, μὴ ἔχοντα δὲ ἐξουσίαν ἐν τούτῳ τῷ κόσμῳ, ἀλλ' ἐν τῷ μέλλοντι αἰῶνι· ἡμεῖς δὲ τὸν αὐτὸν ἕνα θεὸν ὁμολογοῦμεν καὶ πανουργὸν κτλ. p. 38 τῆς κακίας — Θριαμβευθείσης ἐν ταῖς ἡμέραις Βασιλείου καὶ Κωνσταντίνου καὶ Λέοντος, τῶν εὐσεβῶν καὶ ὀρθοδόξων βασιλέων ἡμῶν — τοὺς κατὰ τόπους εὑρισκομένους — ἀποκτένουσι cf. 40 τῶν βασιλέων ἡμῶν Κωνσταντίνου καὶ Λέοντος (869 cf. p. 73); p. 66. τὴν ἐν Κορίνθῳ ᾠκοδόμησε Παῦλος, τὴν δὲ Μ. Σ. καὶ Τ. λέγει δὲ Μ. τὸ συνέδριον τὸ εἰς Κίβοσσαν καὶ Κ. δὲ καὶ Σ. Σ. καὶ Τ. καὶ Ἀχ τὸν Γ. τὴν Φ. Ἰ. τὴν Κ. τοὺς Ἀργαούτας, Ἐφ. δὲ τοὺς ἐν Μ. Λ. κυνὸς χώραν. — 21. μ. ἐτ. δὲ Ced. — 22. ὅστις Ced.

δὲ Ῥωμαῖοι, φασίν, ἕνα καὶ τὸν αὐτὸν θεὸν ὁμολογοῦσιν (157ᵃ) εἶναι *, πατέρα τὸν αὐτὸν ἐπουράνιον καὶ τοῦ κόσμου παντὸς ποιητήν, καλοῦσι δὲ ἑαυτοὺς μὲν χριστιανούς, ἡμᾶς δὲ Ῥωμαίους. Λέγουσι ** πρὸς τοὺς ἀγνοοῦντας αὐτοὺς προθύμως· «πιστεύομεν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, τὸν ἐπουράνιον πατέρα», καὶ «ἀνάθεμα, φασί, τῷ οὕτως μὴ πιστεύοντι», μεμελετημένως λίαν τὴν ἑαυτῶν κακίαν μεθοδεύοντες· [οὐ γὰρ προστιθέασιν, ὅτε λέγουσι τὸν πατέρα τὸν ἐπουράνιον], ὅτι τὸν μόνον ἀληθινὸν ***, τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς ****· χρὴ δὲ τὸν προσδιαλεγόμενον ὀρθόδοξον αἰτεῖν τὸν Μανιχαῖον τοῦ εἰπεῖν τὸ (α') σύμβολον τῆς ἡμῶν πίστεως, ὅ ἐστι· «πιστεύω (εἰς) ἕνα θεόν, πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε (καὶ) πάντων καὶ ἀοράτων» καὶ τὰ ἑξῆς.

(6) Ἔπειτα βλασφημοῦσι μὲν εἰς τὴν ἁγίαν θεοτόκον ἄμετρα· ἐὰν δὲ βιασθῶσι παρ' ἡμῶν ὁμολογῆσαι αὐτήν, ἀλληγορικῶς λέγουσι· «πιστεύω εἰς τὴν παναγίαν θεοτόκον, ἐν ᾗ εἰσῆλθε καὶ ἐξῆλθεν ὁ Κύριος», λέγουσι δὲ (αὐτὴν) τὴν ἄνω Ἱερουσαλήμ, «ἐν ᾗ πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθε Χριστὸς», καθὰ φησὶν (ὁ) ἀπόστολος. Καὶ οὐ λέγουσι κατὰ ἀλήθειαν τὴν ἁγίαν Μαρίαν (τὴν) θεοτόκον οὐδὲ ἐξ αὐτῆς σαρκωθῆναι τὸν Κύριον.

(7) Βλασφημοῦσι δὲ καὶ εἰς τὰ θεῖα μυστήρια τῆς ἁγίας κοινωνίας τοῦ τιμίου σώματος καὶ αἵματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, λέγοντες ὅτι τὰ ῥήματα αὐτοῦ ὁ Κύριος διδοὺς τοῖς ἀποστόλοις ἔλεγε· «Λάβετε, φάγετε *****, πίετε οὐκ ἄρτον καὶ οἶνον», καὶ οὐχὶ φασὶ προσάγεσθαι ἄρτον καὶ οἶνον.

---

* καὶ Ced. — ** δὲ Ced. — *** θεὸν Ced. — **** h. l. codex lacunam habet illorum IX vocabulorum loco respondentem. — 11. π. τὸ πιστεύω Ced. — 14. Ced. 759, 12—18 Ἐπ. δὲ β. cf. Petrum Siculum 2. Δεύτερον, τὸ τὴν — θεοτόκον μηδὲ κἂν ἐν ψιλῇ τῶν ἀγαθῶν ἀνθρώπων τάττειν — ἀπαριθμῆσαι, μηδὲ ἐξ αὐτῆς γεννηθῆναι τὸν Κύριον ἀλλ' οὐρανόθεν τὸ σῶμα κατενεγκεῖν — 50 Γεγνέσιος ἀνάθεμα τὸν μὴ προσκυνοῦντα τὴν π. Θ. ἐν ᾗ εἰσῆλθεν ὁ Κύριος — ἔλεγε δὲ ταύτην εἶναι τὴν ἄνω Ἰ. ἐν ᾗ πρ. ὑ. ἡ. ἐ. ὁ χ̄ς. — παναγίαν Ced. sed infra ἁγ. — 17. ὅπου πρ. Hebr. VI. 20. — 21. Ced. 759,18—23 φασὶ δὲ, Petrus Siculus: Τέταρτον. — ***** καὶ Ced. — 24. οὐ χρὴ φησὶ Ced. οὐχὶ φη. cod.

(8) Βλασφημοῦσιν* εἰς τὸν τίμιον σταυρόν, λέγοντες, ὅτι σταυρὸς ὁ Χριστός ἐστιν, οὐ χρὴ δὲ προσκυνεῖσθαι τὸ ξύλον ὡς κεκατηραμένον ὄργανον.

(9) Τοὺς** προφήτας καὶ (τοὺς) λοιποὺς ἁγίους ἀποβάλλονται, ἔτι δὲ (καὶ) τὸν ἅγιον Πέτρον, τὸν μέγαν πρωταπόστολον, πλέον πάντων καὶ δυσφημοῦσι καὶ ἀποβάλλονται, ἐξ αὐτῶν μηδένα τινὰ ἐν μέρει τῶν σωζομένων εἶναι λέγοντες, καθολικὴν ἐκκλησίαν τὰ ἑαυτῶν συνέδρια πρὸς ἡμᾶς ἐν τῇ ἀλληγορίᾳ αὐτῶν λέγοντες· πρὸς ἑαυτοὺς γὰρ ἐκεῖνοι προσευχὰς αὐτῶν λέγουσι, βάπτισμα δὲ τὰ ῥήματα τοῦ εὐαγγελίου, καθὼς φησιν ὁ Κύριος· «ἐγώ εἰμι τὸ ὕδωρ τὸ ζῶν».

(10) Ταῦτα πάντα καὶ πλεῖον τούτων, ὅτε φωραθῶσιν, ἀλληγοροῦσιν· ἀλλὰ χρὴ νουνεχῶς καὶ διωρισμένως αὐτοῖς εἰς πάντα διαλέγεσθαι. Καὶ γὰρ καὶ τὸ ψεῦδος προχείρως ἔχουσιν ὡς νόμον οἰκεῖον πάντοτε***, μᾶλισθ' ****, ὅτε βιασθῶσι, διαψευδόμενοι ***** λέγοντες, καθὼς ἐὰν προσταχθῶσιν ἢ προτραπῶσι ******, ἀνέγκλητοι ὄντες παρ' ἑαυτοῖς. Οὕτως γὰρ αὐτοῖς ὁ Μάνης παρέδωκεν, ὅτι οὐκ εἰμι ἐγὼ ἄσπλαχνος, φησίν, ὡς Χριστὸς ὁ εἰπών· «ὅστις με ἀρνήσηται ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι αὐτὸν κἀγώ»· ἀλλ' ἐγὼ ******* τοῦ ἀρνουμένου με ἔμπροσθεν τῶν ἀνθρώπων καὶ τὴν οἰκείαν σωτηρίαν ποριζομένου, ὡς μὴ ἀρνουμένου με, μετὰ χαρᾶς προσδέξομαι καὶ τὴν ἀνάκλησιν καὶ τὸ ψεῦδος ὡς τὴν πρὸς ἐμὲ ὁμολογίαν ἀνεύθυνον.

(11) Ὁμοίως μέντοι καὶ ******** πρεσβυτέρους καὶ λοιποὺς ἱερεῖς τοὺς παρ' ἡμῖν ἀποβάλλονται· ἐκεῖνοι δὲ ********* τοὺς ἱερεῖς αὐτῶν συνεκδήμους λέγουσι καὶ νοταρίους, ἀδιαφόρους πᾶσιν αὐτοῖς ὄντας

---

1. Ced. 759,24—760,2. Petrus Siculus. — * δὲ καὶ Ced. — 4. Ced. 760,2—9. Petrus Siculus: Πέμπτον cf. p. 50. — ** δὲ Ced. — 6. ἀποστρέφονται ἐξ Ced. — 9. πρ. αὐτὰ λ. Ced. — 10. Io. IV. 14,27, VII, 38 cf. VI. 51. — 12. Ced. 760, 9—20. — πλείω Ced. — *** μὲν Ced. — **** δὲ Ced. — ***** καὶ Ced. — ****** καὶ Ced. — 17. ὁ M. ἀ. π. Ced. — 18. Mt. X. 33. — ******* λέγω Ced. — 21. δέχομαι Ced. — 22. ἀνευθύνως Ced. ἀνευθυνῶ. — 24. Ced. 760,20—761,1. — ******** τοὺς Ced. — τῶν παρ' Ced. — ********* καὶ Ced. — 25. αὐτοὺς Ced. αὐτ. cod. — 26 ἀδιαφόροις cod. Petrus Siculus: Ἕκτον conf. p. 72.

καὶ τοῖς σχήμασι καὶ ταῖς διαίταις καὶ πάσῃ τῇ τοῦ λοιποῦ βίου κατασκευῇ.

(12) Ἔχουσι δὲ πάντα τὰ τοῦ εὐαγγελίου καὶ τοῦ ἀποστόλου ῥητὰ διάστροφα, [πρὸς] τὰ παρ' ἡμῖν ὄντα ἐναντία, παρ' αὐτῶν δὲ συντεθέντα ὡς δῆθεν ἁρμόζοντα ταῖς οἰκείαις αὐτῶν αἱρέσεσιν· ὡς γὰρ εἴρηται τῇ γραφῇ καὶ τοῖς λόγοις, οὕτως εἰσὶν [ὡς] καὶ [τὰ] παρ' ἡμῖν ἀπαράλλακτα, τὰ δὲ νοήματα διαστρέφουσιν, καθὼς περὶ τούτων σαφέστερον ἐν τοῖς διὰ πλάτους μοι λέλεκται.

(13) Προσκυνοῦσι δὲ τὸ παρ' ἡμῖν εὐαγγέλιον ὅτε τύχῃ, οὐκ ἐν τῷ σταυρῷ, ἀλλ' ἐν τῷ βιβλίῳ, λέγοντες, ὅτι λόγοι τοῦ Χριστοῦ εἰσὶ καὶ διὰ τοῦτο αὐτοὺς προσκυνῶ. Ἐν ἀσθενείᾳ δὲ καὶ πόνῳ τινὲς ἐξ αὐτῶν ὅτε περιπέσωσι, τὸν σταυρὸν ἐπιτιθέασιν ἑαυτοῖς· καὶ ὑγιείας τυγχάνοντες, πάλιν αὐτὸν συγκλῶσι καὶ εἰς πῦρ βάλλουσι πρὸς τὸ κατακαῦσαι.

(14) Τινὲς δὲ ἐξ αὐτῶν καὶ τὰ παιδία αὐτῶν βαπτίζουσιν ὑπὸ τῶν πρεσβυτέρων (αἰχμαλώτων αὐτῶν παρ' αὐτοῖς)· ἕτεροι δὲ εἰσερχόμενοι ἐν τῇ ἐκκλησίᾳ τῇ ἡμετέρᾳ τῶν ὀρθοδόξων, λεληθότως (τῶν θείων μυστηρίων) μεταλαμβάνουσι πρὸς πλείονα ἐξαπάτην τῶν ἁπλουστέρων.

(15) Ταῖς τοιαύταις μεθοδείαις καὶ ὑποκρίσεσι χρώμενοι πάσῃ (τε) ἀκολασίᾳ καὶ μιασμῷ ἑκατέρας ἀνθρώπων φύσεως ἀδιαφόρως καὶ ἀδεῶς χρῶνται, τινὰς δὲ ἐξ αὐτῶν πρὸς τοὺς γονεῖς καὶ μόνον ἑαυτῶν διαφέρεσθαι λέγουσιν.

680 (16) Ἕως ὧδε τὰ περὶ τῆς τοιαύτης αἱρέσεως. Ἐπανέτειλε δὲ πρὸς τὸν βασιλέα Κωνσταντῖνον τὸν πωγωνάτον, τὸν ἔγγονον Ἡρακλείου, ὃς βασιλεύσας ἔτη ιζ', ὡς εἴρηται, ἀπέθανε δυσεντερικός.

---

3. Ced. 761,1—7. — 4. ὑμῖν Ced. — 7. κ. ἐν τοῖς διὰ πλάτος μοι λ. π. τ. σ. Ced. — 9. Ced. 761,7—19· Τινὰς cod. cf. Petrum Siculum 48: Παῦλος Ἀρμένιος ἔρχεται εἰς Ἐπίσπαριν τὴν προλεχθεῖσαν ἡμῖν ἐν τοῖς κατὰ πλάτους. — 11. αὐτοῖς προσκυνοῦμεν Ced. — 13. β. καὶ καίουσιν ἢ καταπατοῦσιν αὐτόν Ced. — 15. Ced. 761,13—16. — · ἡμετέρων Ced. — 17. ἐν τῇ ἡμ. ἐκ Ced. — 18. ἐξαπάτησιν Ced.— 20. Ced. 761,16—19. — 22. τινὲς Ced.

CCXXXIX. ΣΥΝΟΔΟΣ ς'.

Ἐφ' οὗ γέγονεν ἡ ς' σύνοδος ἐν Κ. Π. τὸ γ' συνελϑοῦσα τῶν σκζ' ἁγίων πατέρων ἔτει τῆς βασιλείας Κωνσταντίνου, υἱοῦ Κώνσταντος, τοῦ πατρὸς Ἰουστινιανοῦ, ἑπτὰ καὶ δεκάτῳ, ἧς ἡγοῦντο Θεόδωρος καὶ Γεώργιος πρεσβύτεροι καὶ Ἰωάννης διάκονος τοποτηρηταὶ Ἀγάϑωνος πάπα Ῥώμης, Γεώργιος Κ. Π., Θεοφάνης Ἀντιοχείας, ὑπ' αὐτῆς χειροτονηϑεὶς τῆς συνόδου, διὰ τὸ τὸν προηγησάμενον Μακάριον καϑαιρεϑῆναι τότε ὡς ἀντενεχϑέντα τοῖς ὑπ' αὐτῆς ὀρϑοδόξως δογματισϑεῖσιν. Τῆς δὲ διοικήσεως Ἀλεξανδρείας Πέτρος μοναχὸς, τῆς δὲ [τῶν] Ἱεροσολύμων οὐδεὶς διὰ τὸ τοὺς ϑρόνους χηρεύειν τῶν πατριαρχῶν κατασχεϑέντας τηνικαῦτα ὑπὸ τοῦ Σαρακηνῶν ἔϑνους, κατὰ Θεοδώρου τοῦ τῆς Φαρὰν ἐπισκόπου, Ὀνωρίου Ῥώμης, Κύρου Ἀλεξανδρείας, Σεργίου τε καὶ Πύῤῥου καὶ Πέτρου καὶ Παύλου Κ. Π. γεγονότων ἐπισκόπων, ἔτι δὲ καὶ [κατὰ] τῶν ἀνακαινισάντων τὴν αἵρεσιν τούτων (ἐν ταύτῃ ἁγίᾳ συνόδῳ αἱρετικῶν, τουτέστιν) Μακαρίου τοῦ ὀνομασϑέντος Ἀντιοχείας πρεσβύτου (καὶ) Στεφάνου τοῦ αὐτοῦ μαϑητοῦ, (ἔτι δὲ) καὶ Πολυχρονίου τοῦ νηπιόφρονος γέροντος, λεγόντων ἓν ϑέλημα καὶ μίαν ἐνεργειαν ἐπὶ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ (καὶ ϑεοῦ), οὓς ἀναϑεματίσασα ἐξεφώνησε δύο ϑελήματα φυσικὰ ἤγουν ϑελήσεις (δύο) καὶ δύο φυσικὰς ἐνεργείας ἐπὶ τοῦ ἑνὸς * Χριστοῦ καὶ ϑεοῦ ἡμῶν **.

(2) Ἐπὶ τῆς αὐτοῦ βασιλείας ἦλϑον οἱ Σαρακηνοὶ ἐν στόλῳ μεγάλῳ κατὰ τῆς Κ. Π. προσορμήσαντες κατὰ τὴν παραλιον τοῦ

---

1. Εἰσὶν ἀπὸ τῆς πέμπτης συνόδου ἕως τῆς ς' ἔτη ρκϑ'. Glossa marginalis. — 2. Ced. 766,16—767,14: ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ ς' σ. γ. ἐν Κ. Π. συνελϑόντων σκϑ' ἁ. π. ἐν τῷ· γ' ἔτει τῆς β. Κ. τοῦ π. Ἰ. — 4. ἧς ἡ. τ. Ἀγ. π. Ῥ. Θ. καὶ Γ. πρ. καὶ Ἰω. ϑ. ἀρχιεπίσκοπος Κ. Π. Γ. Ced. — 9. δογματιζομένοις Ced. — 11. ὑπὸ Σ. συνηϑροίσϑησαν δὲ κ. Θ. Ced. — 13. Σ. δὲ Ced. — 14. Παύλου καὶ Πέτρου ἐπ. Κ. Π. γ. Ced. — 17. Στ. μ. ἀ. Ced. — 19. τοῦ κῦ ἡ· Ced. — * δείκνυσϑαι Ced. — ** ὡσαύτως καὶ περὶ τῶν ἱερῶν τῆς χῦ τοῦ ϑῦ ἡμῶν οἰκονομίας συμβόλων ἐξέϑετο οὕτως ἓν τισι τῶν σεπτῶν εἰκόνων γραφαῖς κτλ. Ced. 767,13—769,10. — 23. Ced. 764,21—765,3 τῷ δὲ ἑ. ἔτει.

*

Ἑβδόμου. Ἀντιπαρατάσσεται αὐτοῖς Κωνσταντῖνος, ὑφ᾽ ὧν πλεῖσται ναυμαχίαι καϑ᾽ ἑκάστην ἡμέραν ἐγίνοντο ἀπὸ ἐαρινοῦ καιροῦ μέχρι τοῦ φϑινοπωρινοῦ.

(3) Τοῦ δὲ χειμῶνος ἔτι γινομένου, διαπερῶν ὁ τῶν Σαρακηνῶν στόλος ἐχείμαζεν ἐν Κυζίκῳ.

674 (4) Καὶ πάλιν ἔαρος ἀρχομένου ἐκεῖϑεν ἀναχϑεὶς, ὁμοίως τοῦ διὰ ϑαλασσαν εἶχετο πολέμου. Ἑπτὰ οὖν ἔτεσι τοῦ πολέμου διαρκέσαντος, οὐδὲν πλέον ὁ τῶν Σαρακηνῶν ἤνυε στόλος, ἀλλὰ πολλοὺς καὶ ἀναριϑμήτους μαχίμους ἄνδρας ἀποβαλόντες, ὑπέστρεψαν πρὸς τὰ ἴδια.

678 (5) Ἐν δὲ τοῖς μέρεσι τοῦ Συλαίου γενόμενοι καὶ ὑπὸ σκληρῶν καὶ ῥαγδαίων ἀνέμων καὶ ϑαλασσίου κλύδωνος κατασχεϑέντες, ἄρδην ἀπώλοντο.

(6) Ὅτε καὶ (158ᵃ) ἡ ἀκάϑιστος ἐτυπώϑη καὶ τὸ κοντάκιον τῆς ὑπεραγίας Θεοτόκου· «τῇ ὑπερμαχούσῃ στρατηγῷ» καὶ τό· «πρόσταγμα χριστιανῶν» καὶ τό· «πρεσβεία ϑερμή».

669 (7) Μετὰ δὲ ταῦτα οἱ τοῦ ϑέματος τῶν Ἀνατολικῶν ἐλϑόντες ἐν Χρυσοπόλει (ἔκραζον) λέγοντες· * «εἰς τριάδα πιστεύομεν· τοὺς γ΄ (ἀναγορεύσωμεν καὶ) στέψωμεν»· ἐφ᾽ οἷς ϑυμωϑεὶς Κωνσταντῖνος διότι μόνος ἦν ἐστεμμένος, οἱ δὲ δύο αὐτοῦ ἀδελφοὶ οὐδεμίαν ἀξίαν εἶχον, ἀποστέλλει (πρὸς αὐτοὺς πατρίκιον ὡς δῆϑεν ἀποδεχόμενος τοῦτο καὶ προσκαλούμενον αὐτοὺς τὰ πρωτεῖα βουλεύσασϑαι μετὰ τῆς συγκλήτου). καὶ δὴ εἰσελϑόντων ἐν τῇ πόλει, τούτους ἀνεσκολόπισε καὶ τοὺς ἀδελφοὺς αὐτοῦ ἐῤῥινοτόμησεν.

---

2. ἀπὸ μηνὸς Ἀπριλλίου εἰς Σεπτέμβριον Ced. — 4. Καὶ ὑποστρέψαντες ἐν Κυζίκῳ ταύτην παραλαμβάνουσι καὶ χειμάζουσιν ἐκεῖ Ced. 765,3,4. — 6. Καὶ κατὰ ἔαρ ὁμοίως ἐπολέμουν κατὰ τῶν χριστιανῶν ἐπὶ ζ΄ ἔτη τῇ βοηϑείᾳ δὲ τοῦ ϑεοῦ καὶ τῆς ϑεοτόκου πλῆϑος πολὺ ἀποβαλόντες μετ᾽ αἰσχύνης μεγάλης ὑπ. Ced. 765,4—7.— 11. Ἐκπορίζων δὲ ὁ τοιοῦτος στόλος ἐπὶ τὰ μέρη τοῦ Σ. ὑπὸ χειμερίου ζάλης καὶ καταιγίδος συντριβεῖ ἐλοκλήρως ὥλετο Ced. 765,7—9. — 17. Ced. 764,8—14. τῷ α΄ ἔτει οἱ τοῦ Θ. τῶν Ἀ. ἦλϑον.— * ὅτι Ced.— 19. στ. ἐταράχϑη δὲ Κ. μ. γὰρ αὐτὸς ἦν ἐστ. οἱ δὲ ἀδ. α. ὁ. ἐ. ἀ. καὶ ἀποστείλας ἐκράτησε τοὺς πρώτους αὐτῶν καὶ ἐφούλκισεν ἐν Συκαῖς· οἱ δὲ λοιποὶ ἔφυγον. Ὁ δὲ βασιλεὺς τ. ἀ. ἐ. Ced. — 23. εἰσελϑόντων cod.

(8) Καϑ' ὃν χρόνον τὸ τῶν Βουλγάρων ἔϑνος (ἐπὶ τοῖς ἀρκ- 677
τῳοις καὶ περατικοῖς μέρεσι τοῦ Εὐξείνου πόντου ἐκ τῆς λεγομένης 679
Μαιώτιδος λίμνης) ἐπῆλϑον τῇ Θράκῃ (μετὰ πολλῆς πτωχείας καὶ ἀπορίας, ὅπερ μαϑὼν Κωνσταντῖνος καὶ σφόδρα λυπηϑείς) ἐξώρμησε κατ' αὐτῶν μετὰ πολλῆς ναυμαχίας καὶ πεζομαχίας, καὶ διὰ μέσης τῆς ἠπείρου τοῦ ποταμοῦ Δανούβη τὰς πεζικὰς παρατάξεις, διὰ δὲ τῆς πλησιαζούσης ἀκτῆς τὰς ναῦς προσορμίσας, οἱ Βούλγαροι λίαν φοβηϑέντες εἰς ὀχυρώματα δυσάλωτα ἑαυτοὺς ἐσφαλίσαντο.

(9) Τοῦ δὲ βασιλέως ὀξυπαϑήσαντος ἐν ποδαλγίᾳ καὶ ἐπὶ Μεσημβρίαν ἐκβιασϑέντος ἐπιστρέψαι χάριν βαλανείου μετὰ δρομόνων ε', κατέλειπε τὸν λαὸν καὶ τοὺς στρατηγοὺς κελεύσας περικαϑέζεσϑαι καὶ πολεμεῖν τὸ ἔϑνος. Ὁ δὲ λαὸς τὸν βασιλέα φεύγειν νομίσαντες, εἰς τροπὴν ἔδωκαν, μηδενὸς διώκοντος.

(10) Οἱ δὲ Βούλγαροι ϑεασάμενοι (καὶ τοῦ ὀχυρώματος ὑπεξελϑόντες), ἐπεδίωξαν ὀπίσω αὐτῶν καὶ πολλοὺς ἀνελόντες καὶ λαφυραγωγήσαντες τὰ ἑαυτῶν ἐκράτησαν ἔκτοτε καὶ κατεκυρίευσαν τὴν τῶν χριστιανῶν χώραν.

(11) Ὅϑεν * ἀναγκασϑεὶς ὁ βασιλεὺς εἰρήνευσε μετ' αὐτῶν, πάκτα δοὺς ἐπ' αἰσχύνῃ τῶν Ῥωμαίων, (ὡς ληῒζομένων πᾶσαν τὴν Θράκην καὶ τὰ ἐπέκεινα ταύτης).

(12) Ἐπὶ αὐτοῦ, καϑὰ προλέλεκται, ὁ τῶν Σαρακηνῶν ϑεοβύ- 678
ϑιστος στόλος ὑποστρέψας, καὶ οἱ μὲν ἐν τῷ Συλαίῳ κατεποντίσϑησαν, οἱ δὲ ὑπὸ τοῦ στρατηγοῦ τῶν Κιβυῤῥαιωτῶν αὖϑις πολεμηϑέντες ἡττήϑησαν ἐμπρησϑέντων καὶ τῶν πλοίων αὐ-

---

1. Τῷ ι' ἔτει οἱ Βούλγαροι ἐπ. τῇ Θ. καὶ τοῦ βασιλέως κατ' αὐτῶν στρατεύσαντος, ἡττῶνται Ῥωμαῖοι καὶ πολλοὶ πίπτουσι Ced. 766,11—13· τῷ ια' ἔτει τὸ τῶν Β. ἐ. διαπεράσαν τὸν Δάνουβιν καὶ ἀποχωρισϑὲν τῶν ἐμοφύλων αὐτοῦ, ἐσκήνωσεν ἐν Βάρναις ἔν τισιν ὀχμαῖς καὶ ὄρεσι· τοῦ δὲ βασιλέως ἐξελϑόντος σὺν ναυσὶ καὶ στρατῷ κτλ. 770,3—11. — ἀπὸ τοῖς cod. — 5. διὰ μ. ood. — 10. Συνέβη δὲ καὶ τὸν βασιλέα φεύγειν διαφημίσαντες φυγῇ ἐχρήσαντο μ. δ. Ced. 770,11,12. — 15. Ὅπερ ϑ. οἱ Β. ἐϑ. ὅπισϑεν ἀ. καὶ π. ἀνεῖλον καὶ ἐκτ. διαπεράσαντες πάντες καὶ ἐμπλατυνϑέντες τὴν Ῥωμαϊκὴν χ. ᾐχμαλώτιζον Ced. 770,12—15. — 19. Ced. 770,15,1.— * καὶ Ced. — μ. ἀ. ὡς λέλεκται: 766,13—15. Βουλόμενος δὲ ὁ β. ἔχειν εἰρήνην μετὰ πάντων στοιχεῖ π. καὶ ὑποχωρεῖ εἰς αἰσχύνην τὰ τῶν χριστιανῶν τῇ τούτου αβελτηρίᾳ. — 21. Περὶ τοῦ ὑγροῦ πυρός.

τῶν ὑπὸ τοῦ ὑδατώδους πυρός· Καλλίνικός γάρ τις ἀρχιτέκτων ἀπὸ Ἡλιουπόλεως Συρίας προσφυγὼν τοῖς Ῥωμαίοις πῦρ ὑγρὸν ἀρχῆϑεν αὐτοῖς κατεσκεύασεν, καὶ τὰ τῶν Ἀράβων σκάφη καταπρήσας σύμψυχα ἀπώλεσεν. (Καὶ οὕτως οἱ Ῥωμαῖοι μετὰ νίκης μεγάλης ὑπέστρεψαν) ἔκτοτε τὸ ὑγρὸν πῦρ ἐφευρόντες.

677 (13) Εἰσῆλϑον δὲ οἱ Μαρδαΐται εἰς τὸν Λίβανον (Συρίας) καὶ ἐκράτησαν αὐτόν.

678 (14) Καὶ Μαυΐας φοβηϑεὶς ἀποστέλλει πρέσβεις πρὸς τὸν βασιλέα ζητῶν εἰρήνην (ὑποσχόμενος καὶ ἐτήσια πάκτα). Ὁ δὲ (βασιλεὺς τοὺς πρέσβεις δεξάμενος) ἀποστέλλει (σὺν αὐτοῖς Ἰωάννην πατρίκιον) τὸν Πιτζιγαύδην (ὡς πολυπειρίᾳ καὶ φρονήσει κεκοσμημένον, διαλεχϑῆναι τοῖς Ἄραψι. Τῶν δὲ Ἀράβων ϑαυμασάντων τὴν φρόνησιν καὶ ἀγχίνοιαν αὐτοῦ), συνεφώνησαν παρέχειν Ῥωμαίοις κατ' ἔτος χρυσοῦ χιλιάδας γ' καὶ αἰχμαλώτων χιλιάδας ν' καὶ ἵππους εὐγενεῖς ν'. (Ταῦτα ἐστοιχήϑη δίδοσϑαι) ἐπὶ χρόνους λ' (ὥστε εἶναι πλατεῖαν εἰρήνην ἀναμεταξὺ Ἀράβων καὶ Ῥωμαίων).

(15) Ὡσαύτως καὶ οἱ τὰ ἑσπέρια οἰκοῦντες (Σκύϑαι ὅ τε χαγάνος καὶ οἱ ἐπέκεινα ῥῆγες καὶ κάσταλδοι δῶρα τῷ βασιλεῖ στείλαντες εἰρήνην ἠτήσαντο. Εἶξεν οὖν ὁ βασιλεὺς καὶ ἐκύρωσεν εἰρήνην, καὶ ἐγένετο γαλήνη ἔν τε τῇ ἀνατολῇ καὶ δύσει.

---

1. Τότε Κ. ἀ. ἀ. Ἡ. τῆς Αἰγύπτου πρ. Cod. 765,12—15. — 2. πῦρ ϑαλάσσιον κατασκευάσας τὰ γῶν Ἀ. σ. κατέπρησεν ἐν Κυζίκῳ σ. καταποντίσας αὐτά· αὐτὸς οὖν ἐστιν ὁ τὸ ϑαλάσσιον πῦρ ἐφευρών. — 7. Cod. 765,19—24: τῷ η' καὶ ϑ' ἔτει. — 8. ἐκρ. ἀπὸ τοῦ Μαύρου ὄρους κτλ. Cod. — 9. Περὶ τοῦ Πιτζιγαύδη. Cod. 765,24—766,7: ταῦτα μαϑὼν ὁ Μ. καὶ οἱ σὺν αὐτῷ ἐφοβήϑησαν καὶ συλλογισάμενοι ὡς τὸ τῶν Ῥωμαίων βασίλειον ὑπὸ ϑεοῦ φρουρεῖται πέμπουσι πρ. πρ. τὸν αὐτοκράτορα Κωνσταντῖνον ὑπὲρ εἰρήνης. — 12. Πιτζικαύδην καὶ ποιεῖ ἐγγράφως εἰρήνην μετὰ τῶν Σαρακηνῶν ἐτησίως πρ. αὐτοὺς πρὸς τοὺς Ῥωμαίους Cod. — 16. χ. ι' καὶ ἄνδρας αἰχμαλώτους ρ' Cod. — 20. Ταῦτα μαϑόντες οἱ τὰ ἑ. ὁ. δ. στ. τῷ β. ἑ. ᾔτησαν οἷς εἶξας ὁ β. ἐκ. ταύτην· καὶ γέγονεν ἀμεριμνία μεγάλη ἐν τῇ τε ἀ. καὶ τῇ δ. Cod. 766,7—10.

(16) Ἡρεμήσας δὲ ἐκ πάντων, ἥνωσε τὰς ἐκκλησίας καὶ * σύνοδον οἰκουμενικὴν (158[b]) ποιήσας ἐν Κ. Π. ἐβεβαίωσε τὰ δόγματα τῶν προλαβουσῶν ἁγίων ε' συνόδων, καϑὰ καὶ προλέλεκται.

(17) Ἔστεψε δὲ Ἰουστινιανὸν υἱὸν αὐτοῦ συμβασιλεύειν 681
αὐτῷ.

(18) Μαυΐου δὲ τοῦ Ἄραβος τελευτήσαντος, Ἀβιμέλεχ 684
ἐκράτησε, καὶ ἀποστείλας πρέσβεις πρὸς τὸν βασιλέα ἠτήσατο εἰρήνη, τοῦ παρέχειν τξε' χιλιάδας χρυσίου νομίσματα καὶ τξε' δούλους καὶ εὐγενεῖς ἵππους τξε' καϑ' ἕκαστον χρόνον, ὅπως παυϑῇ τῶν Μαρϑαϊτῶν τὸ τάγμα ἐκ τοῦ Λιβάνου.

(19) Ἀπεβίω δὲ ὁ αὐτὸς εὐσεβὴς βασιλεὺς Κωνστα- 685
τῖνος βασιλεύσας ἔτη ιζ'.

CCXL. ΒΑΣΙΛΕΙΑ ΙΟΥΣΤΙΝΙΑΝΟΥ ΤΟΥ ΡΙΝΟΤΜΗΘΕΝΤΟΣ.

Ἰουστινιανὸς ὁ υἱὸς αὐτοῦ ἐβασίλευσεν ἔτη ις'. Οὗτος 686
ἀπέστειλε πρὸς Ἀβιμέλεχ ἀσφαλίσασϑαι τὰ στοιχηϑέντα ἐγγράφως ἐπὶ τοῦ πατρὸς αὐτοῦ καὶ πέμψας παρέστειλε τοὺς Μαρδαΐτας, χιλιάδας ιβ' (ὢ τῆς ἀνοίας) τὴν ῥωμαϊκὴν δυναστείαν ἀκρωτηριάσας ** πάνδεινα γὰρ κακὰ ἔκτοτε

---

1. Cod. 710,16—19. — * τὴν προλεχϑεῖσαν ἁγίαν ἕκτην Cod. — 3. ο. συναϑροίσας ἐν Κ. Π. τὴν τῶν μοναϑελητῶν αἵρεσιν ἀνεϑεμάτισε Cod. — 5. Τῷ δὲ ιγ' ἔτει ἀπώσατο τοὺς ἀδελφοὺς αὐτοῦ τῆς βασιλείας καὶ μόνος ἐβασίλευσε σὺν Ἰουστινιανῷ τῷ υἱῷ αὐτοῦ Cod. 770,20,21. — 7. Cod. 771,4—8: Τούτῳ τῷ ἔτει (Ἰουστ. α') ἀποστέλλει Ἀβ. πρὸς αὐτὸν βεβαιῶσαι εἰρ. Καὶ ἐστοιχήϑη ἵνα παύσῃ ὁ βασιλεὺς τὸ τῶν Μ. τ. ἐκ τοῦ Λ. καὶ κωλύσῃ τὰς ἐπιδρομὰς αὐτοῦ καὶ παρέχῃ καϑ' ἑκάστην ἡμέραν ν. φ καὶ ἵππον καὶ δοῦλον. — 13. Cod. 770,22,23: Τῷ ζ' ἐτελεύτησεν ὁ ἐ. Κ. κρατήσας ἐ. ιζ'. — 14. ιϑ' cod. — 16. καὶ ἔπεμψεν ὁ βασιλεὺς τὸν μαγιστριανὸν Παῦλον π. Ἀ. ἀ. τὰ στ. καὶ γεγόνασιν ἔγγραφα ἐμμάρτυρα π. οὖν ὁ βασιλεὺς ἀνελάβετο τ. Μ. χ. ιβ' Cod. 771,3—17.— ** πᾶσαι γὰρ αἱ νῦν οἰκούμεναι παρὰ τῶν Ἀράβων ἀπὸ Μόψου ἑστίας ἕως τεταρτης Ἀρμενίας ἀνίσχυροι καὶ ἀνοίκητοι ἐτύγχανον διὰ τὴν ἔφοδον τῶν Μαρδαϊτῶν Cod. — 20. ὧν π. π. κ. π. ἡ Ῥ. ὑπὸ τῶν Ἀ. μέχρι τοῦ νῦν νεώτερος γὰρ ὢν Ἰ. ὡς ἐτῶν ις' ἀβούλως τὰ κατ' αὐτὸν διῴκει. Τῷ β' ἔτει ἐλϑὼν ὁ βασιλεὺς εἰς Ἀρμενίαν ἐϑέβατο τοὺς ἐν τῷ Λ. Μ. χάλκειον τεῖχος διαλύσας.

πέπονθεν ἡ Ῥωμανία ὑπὸ τῶν Ἀράβων καὶ ἕως τοῦ νυνί, τούτων παρασταλέντων.

(2) Ἔλυσε δὲ καὶ τὴν * τῶν Βουλγάρων εἰρήνην **.

688 (3) Ἐπιστρατεύσας δὲ ἐπὶ τὰ δυτικὰ μέρη, πολλὰ τῶν Σκλάβων πλήθη, τὰ μὲν πολέμῳ, τὰ δὲ λόγῳ παραλαβών, ὑπέστρεψε, ἀφ' ὧν ἐπιλεξάμενος καὶ στρατεύσας χιλιάδας λ', λαὸν περιούσιον τούτους ἐπωνόμασεν.

691 (4) Οὓς δὴ καθοπλίσας καὶ ἰδιοποιησάμενος καὶ τῇ τούτων συμμαχίᾳ πεποιθὼς λύει τὴν (μεταξὺ Ῥωμαίων καὶ) Ἀγαρηνῶν εἰρήνην (ἐξ ἀνοίας) καὶ λαβὼν τὸν περίουσιον (ἢ μᾶλλον εἰπεῖν ἀνόσιον) λαὸν αὐτοῦ καὶ τὰ λοιπὰ στρατεύματα, πρὸς τὴν Σεβαστόπολιν ἀπῆρεν, ἐν ᾗ καὶ οἱ Ἀγαρηνοὶ παραγενόμενοι καὶ προμαρτυρόμενοι αὐτὸν τὰ μεθ' ὅρκων συμφωνηθέντα μὴ διαστρέψαι, ἐπεί τοιγε κριτὴς ὁ θεὸς καὶ ἔκδικος γενήσεται, οὐ κατεδέξατο τὰ τῆς εἰρήνης ὁ βασιλεύς, ἀλλὰ πρὸς πόλεμον πατετάσσετο· καὶ δὴ παραυτίκα ἁπλώσαντες οἱ Ἀγαρηνοὶ τὸν τῆς εἰρήνης ἔγγραφον χάρτην καὶ ἐπὶ δόρατος ἀναρτήσαντες, ὥρμησαν κατὰ τῶν Ῥωμαίων· καὶ συμβολῆς γενομένης, ἠτομόλησαν ἐκ τῶν Σκλάβων πρὸς τοὺς Ἀγαρηνοὺς χιλιάδες κ', καὶ οὕτως τῶν Ῥωμαίων δεινῶς τραπέντων (καὶ ἀναριθμήτων

---

3. Cod. 771,19—22. Παρελ. — * μετὰ Cod. — ** διαταράξας τοὺς τοῦ πατρὸς αὐτοῦ τύπους καὶ διαβιβάζει ἐπὶ τὴν Θράκην τὰ καβαλλαρικὰ θέματα Cod. — 4. Τῷ γ' ἔτει ἐπεστράτευσε Ἰ. κατὰ Σθλαβίνων καὶ Βουλγάρων· καὶ τοὺς μὲν Βουλγάρους προσηπαντηκότας ὤθησε, μέχρι δὲ Θεσσαλονίκης ἐκδραμὼν π. πλ. τῶν Σθλαβίνων τὰ μὲν προσρυέντα, τὰ δὲ π. παρέλαβε καὶ εἰς τὰ τοῦ Ὀψικίου κατῴκισε μέρη Cod. 771,23—772,4. — 6. τῷ ζ' ἔτει Ἰ. ἐπελέξατο ἐκ τῶν μετοικισθέντων ὑπ' αὐτοῦ Σθλαβίνων καὶ ἐστράτευσε χ. λ', οὓς ἐπ. λ. π. Cod. 772,13—15. — 8. Cod. 772,15 — 773,7: Τούτοις θαῤῥήσας λύει τὴν Ἀράβων συμφωνίαν· παρελ. γὰρ τὸν π. λ. καὶ τὰ καβαλλαρικὰ θ. ἐπορεύθη ἐν Σεβαστοπόλει τῷ παρὰ θάλασσαν. — 12. Τῶν δὲ Ἀράβων μὴ βουλομένων λύειν τὴν εἰρήνην, ἀλλὰ τῇ βασιλικῇ αἰτίᾳ καὶ προπετείᾳ τοῦτο πρᾶξαι ἀναγκαζομένων, ὁπλισθέντες καὶ αὐτοὶ πάλιν παρεγένοντο τῷ βασιλεῖ Cod. — 13. μαρτ. καὶ τὸν θ'ν ἐκδικητὴν τούτων παρακαλούμενοι, τοῦ δὲ βασιλέως μηδὲ ἀκοῆ δέξασθαι ταῦτα ἀνεσχομένου, ἀλλὰ π. μάχην μᾶλλον κατεπείγοντος, τὸν τῆς ἑ. ἐ. χ. ἐπὶ φλαμουλίου κρεμάσαντες καὶ προάγοντες κ. τ. Ῥ. ὡ. Cod. — 20. καὶ ὁ. Ῥωμαίοις τὴν τροπὴν περιεποιήσατο· ὅθεν Ἰ. τὸ τούτων ἐγκατάλειμμα ἀ. σὺν γυναιξὶ καὶ τέκνοις ἐν τῷ πρὸς Νικομήδειαν Λευκάκτῃ Cod.

σφαγέντων, ἡ δικαιοκρισία καὶ νίκη πρὸς τοὺς ἐναντίους ἐχώρησεν, διδάσκουσα μὴ παραβαίνειν θεῖον ὅρκον πώποτε, κἂν πρὸς ἐναντίους καὶ ἀπίστους γίνηται. Πεφευγότος δὲ τοῦ βασιλέως) καὶ φθάσαντος ἐν τῷ παρὰ θάλασσαν τόπῳ τοῦ Λευκάτου (μετ' αἰσχύνης πολλῆς καὶ ἥττης), ἀνεῖλε τὰς περιλειφθέντας ι' χιλιάδας τῶν Σκλάβων.

(5) Καὶ ἔκτοτε πλεῖον θρασυνθέντες οἱ Ἀγαρηνοί, σφοδρότερον ἐληΐζοντο τὴν Ῥωμανίαν, ἔχοντες εἰς βοήθειαν καὶ τοὺς πρόσφυγας Σκλάβους.

(6) (Τοῦ δὲ βασιλέως εἰσελθόντος ἐν τῇ πόλει, γέγονεν 693 ἡλιακὴ ἔκλειψις ὥσ(τε καὶ τοὺς) ἀστέρας φανῆναι.

(7) Ἰουστινιανὸς δὲ τὰ τοῦ παλατίου κτίσματα ἐπεμελεῖτο, τὸν Ἰουστινιανοῦ λεγόμενον τρικλίνιον κτίσας καὶ τὰ πέριξ τοῦ παλατίου, ἔχων Στέφανον σακελλάριον αὐτοῦ καὶ πρωτευνοῦχον, αἱμοβόρον ὄντα καὶ ἀπηνῆ, αἰκίζοντα ἀνηλεῶς τοὺς ἐργολάβους ὡς καὶ τὴν μητέρα τοῦ βασιλέως τυπτῆσαι, ὃς εἰς τὸ πολιτικὸν κακῶς ἐνδεικνύμενος καὶ ἐκ τῶν οἰκητόρων τῆς πόλεως ἀπαιτήσεις καὶ ἐκταγὰς ἀποφασίστως ποιούμενος, ἐκ τούτου μισητὸν τὸν βασιλέα πεποίηκεν.

(8) Ὁ δὲ βασιλεὺς βουλόμενος κτίσαι τῷ δήμῳ βάθρα καὶ στάσιν *, ἀπῄτει Καλλίνικον τὸν πατριάρχην εὐχὴν ποιῆσαι τοῦ καταλυθῆναι τὴν ἐκκλησίαν τῆς ὑπεραγίας θεοτόκου τὴν οὖσαν πλησίον τοῦ παλατίου (159ᵃ), βουλόμενος στῆσαι φιάλην καὶ βάθρα κτίσαι τῷ δήμῳ τῶν Βενέτων

---

7. Τῷ αὐτῷ (ϛ') ἔτει ἐπεστράτευσε Μωάμεθ τῇ Ρωμαίων γῇ ἔχων μεθ' ἑαυτοῦ τ. π. Σθ. ὡς ἐμπείρους τῆς χώρας καὶ πολλοὺς ᾐχμαλώτευσε Ced. 773,11—14. — 10. Ced. 773,11: Τῷ ϛ' ἔτει γ. ἐ. ἡ. ὡς ἀ. φ. — 12. Ἰ. δὲ τῶν κτισμάτων ἐπιμελούμενος κτίζει τὸ Ἰ. λ. τρ. καὶ τὰ τοῦ π. περιτειχίσματα, ἐπέστησε δὲ τούτοις Στ. τὸν Πέρσην ο. ὄντα καὶ πρ. κύριον καὶ ἐξουσιαστήν, λίαν ὀ. ἀ. καὶ ἀπ. καὶ ἀν. ἔτυπτε τοὺς ἐρ. καὶ ἐλιθοβόλει· τοῦ δὲ βασιλέως ἀποδημήσαντος καὶ τὴν μ. αὐτοῦ Ἀναστασίαν τὴν Αὐγοῦσταν δι' ἀβηνῶν ἐμαστίγωσε κτλ. Ced. 773,14 — 774,3. — 21. Ced. 774,3—12: πλησίον δὲ τοῦ παλατίου βουλ. β. τῶν Βενέτων καὶ φιάλην κτ.— * εἰς τὸ τελειωθῆναι ἐκεῖ τὸ Σαξ. ἐπεὶ ναὸς ἦν τῆς ὑ. θ. τῶν μητροπολιτῶν Ced. — 22. π. ἐ. ἵνα καταλύσῃ τὴν τοιαύτην ἐ. Ὁ δὲ π. Ced.

πρὸς τὸ ἐκεῖσε γενέσθαι τὸ λεγόμενον Σαξιμοδέξιμον. Ὁ δὲ πατριάρχης ἔλεγεν, ὅτι «εὐχὴν ἐπὶ συστάσει ἐκκλησίας ἔχομεν, ἐπὶ δὲ καταλύσει οὐ παρελάβομεν». Βιασθεὶς δὲ καὶ ἀπαιτούμενος τὴν εὐχὴν ἔφη· «δόξα τῷ θεῷ τῷ ἀνεχομένῳ πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων». Ὅπερ ἀκούσας ὁ βασιλεὺς καὶ ὁ ἀγυρτώδης ὄχλος καὶ τὸ ἀμὴν ἐπιβοήσαντες, κατέλυσαν παραχρῆμα τὴν ἐκκλησίαν καὶ ἐποίησαν τὴν φιάλην.

(9) Ἔκτισε δὲ ἑτέραν ἐκκλησίαν εἰς τὸ Πετρὶν καὶ ἐκάλεσεν αὐτὴν τὰ Μητροπολιτῶν.

695 (10) Λεόντιος δὲ (ὁ) πατρίκιος ἐν ὑπολήψει ὢν τῆς βασιλείας καὶ διὰ τοῦτο ἐναπόκλειστος γεγονὼς ἐπὶ ἔτη β', τότε ἐκπεμφθεὶς παρὰ Ἰουστινιανοῦ στρατηγὸς ἐν Ἑλλάδι καὶ φίλῳ αὐτοῦ ἀστρονόμῳ Παύλῳ μοναχῷ ἐντυχὼν προεῖπέ τι αὐτῷ τῆς βασιλείας κρατῆσαι, πρὸς αὐτὸν καὶ τοὺς λοιποὺς ἰδίᾳ ἀντέφη· «ἰδοὺ ὄπισθέν μου ἀποστέλλει ὁ βασιλεὺς καὶ αἴρει τὴν κεφαλήν μου καὶ ψευδῆ εἰσιν ἃ μοι λέγετε περὶ βασιλείας». Οἱ δὲ εἶπον· «αὐτὸς μὴ ὀκνήσῃς καὶ τοῦτο εὐθέως πληροῦται».

(11) Καὶ λαβὼν αὐτοὺς ἦλθε καὶ ἔκλασε τὰς φυλακὰς καὶ συλλαβόμενος ὄχλον πολὺν, μετ' αὐτοῦ ἐξῆλθεν εἰς τὸν

---

3. Β. δὲ εἶπεν ὁ πατρίαρχης μετὰ δακρύων Cod. — 4. πάντα Cod. Leon. — 6. Τοῦτο ἀκούσαντες κατ. τὴν ἐ. καὶ ἐπ. τὴν φ. Cod. — 7. καὶ ἐπ. τὴν φ. κτλ. in codice a prima manu super paginam inserta. — 9. Ἐποίησε δὲ εἰς τὸ Π. ἐ. ἣν ἔλεγε τῶν μ. Cod. 774,12,13. — 11. Cod. 774,19—775,9. — ' καὶ στρατηγὸς τῶν ἀνατολικῶν γενόμενος ἐν πολέμῳ εὐδοκιμήσας καὶ κατηγορηθεὶς ἐν φρουρᾷ κατεκλείσθη ἐπὶ τριετῆ χρόνον· ἐξάπινα δὲ ἀνακληθεὶς στ. Ἑλλάδος προεβλήθη, ἐκελεύσθη δὲ ἐμβληθῆναι δρόμωνας καὶ αὐθημερὸν ἀποκινῆσαι τῆς πόλεως. Ταύτῃ δὲ τῇ νυκτὶ ἐν τῷ τῶν Σοφιῶν λιμένι πρὸς τὸ ἐκπλωΐσαι προσορμίσας συνετάσσετο τοῖς φίλοις αὐτοῦ, ἐν οἷς καὶ γνησίως αὐτὸν φιλοῦντες χρησμῳδίαν αὐτῷ ἐδίδουν, ὅτε Παῦλος μοναχὸς καὶ ἀστρονόμος τῶν Καλλιστράτων καὶ Γρηγόριος Καππαδόκης ὁ κλεισουριάρχης, μοναχὸς καὶ ἡγούμενος τῶν Φλώρου· λέγει οὖν ὁ Λ. πρὸς αὐτούς· «Ὑμεῖς διαβεβαιοῦσθέ με ἐν τῇ φυλακῇ περὶ βασιλείας, καὶ νῦν ἡ ζωή μου ἐν κακοῖς τελειοῦται· καθ' ὥραν γὰρ τὸν θάνατόν μου ἐκδέχομαι». Οἱ δὲ εἶπον· «σὺ μὴ ὀκνήσῃς, καὶ τοῦτο ἰδοὺ πληροῦνται» Cod. — 15. προειπ. cod. — 16. τοῖς λοιποῖς ἴδια ἔφη, δὲ Λέων ἀντέφη cod. — 20. Cod. 775,9—776,6. — τοὺς ανους αὐτοῦ μετὰ ἁρμάτων ἐνῆλθον εἰς τὸ πραιτώριον μετὰ σιγῆς καὶ κρούσαντες τὴν πύλην προεφασίσαντο τὸν βασιλέα παραγενέσθαι ἐπὶ τῷ διοικῆσαι τινὰς τῶν ἐκεῖσε

φόρον.* Ἐκήρυξαν παντὶ τῷ λαῷ βοῶντες· «ὅσοι χριστιανοὶ εἰς τὴν ἁγίαν Σοφίαν». Καὶ συναχθέντος πλήθους ἔκραζον· «ἀνασκαφείη τὰ ὀστᾶ Ἰουστινιανοῦ». Καὶ ἐλθὼν ἐν τῷ ἱπποδρόμῳ νυκτὸς ἀναγορεύεται βασιλεύς, καὶ ἡμέρας γενομένης ἐξαγαγὼν Ἰουστινιανὸν εἰς τὸ ἱππικὸν καὶ βινότμητον ποιήσας ἐν τῇ σφενδόνῃ, ἐξώρισεν ἐν Χερσῶνι.

(12) Ὁ δὲ ὄχλος συλλαβόμενοι Στέφανον σακελλάριον τὸν καὶ εὐνοῦχον καὶ Θεόδοτον γενικόν, σχοινίοις τε δήσαντες ἐκ ποδῶν, ἔσυραν διὰ τῆς μέσης καὶ εἰς Βοῦν ἔκαυσαν.

CXXLI. ΒΑΣΙΛΕΙΑ ΛΕΟΝΤΙΟΥ.

Μετὰ δὲ Ἰουστινιανὸν ἐβασίλευσε Λεόντιος ἔτη γ'. 693

(2) Ἐφ' οὗ οἱ Ἄραβες κατέλαβον τὴν Ἀφρικὴν ἐπιστρατεύσαντες κατ' αὐτῆς. Ὁ δὲ Λεόντιος (ταῦτα μαθὼν) ἀποστέλλει [τὸν] πατρίκιον Ἰωάννην, ἄνδρα ἱκανὸν μετὰ τοῦ Ῥωμαϊκοῦ στόλου, ὃς τοὺς ἐχθροὺς κατατροπωσάμενος ἠλευθέρωσε τὴν Ἀφρικὴν καὶ ταῦτα ἀναγαγὼν τῷ βασιλεῖ, ἐκεῖσε παρεχείμασε. 697

ὄντων. Μηνυθέντος δὲ τοῦ ἐπάρχου καὶ συντόμως ἐλθόντος καὶ ἀνοίξαντος, εὐθὺς δεσμεῖται ὑπὸ Λεοντίου. Ἀνοίξας δὲ ὁ Λεόντιος τὰς φυλακὰς, τοὺς ἀποκεκλεισμένους χρόνοις πολλοῖς στρατιώτας ἔλυσε καὶ ὥπλισε καὶ σὺν αὐτοῖς εἰς τὸν φόρον κράζων ἐξῆλθε Ced.

* καὶ?—2. Καὶ πέμψας καθ' ἕκαστον ῥιγεῶνα τὴν αὐτὴν φωνὴν ἀνέκραζον· τὸ δὲ πλῆθος τῆς πόλεως θορυβηθὲν σπουδῇ εἰς τὸν λουτῆρα τῆς μεγάλης ἐκκλησίας συνηθροίσθη, καὶ ὁ πατριάρχης τούτοις συνὼν ἐφώνει· «αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κς»· τὸ δὲ πλῆθος ᾖραν φωνήν· ἀν. Ced. — 3. Καὶ οὕτως ἐν τῷ ἱπ. ἐξέδραμε πᾶς ὁ λαός· ἡμ. δὲ γ. ἐξαγουσι τὸν Ἰ. εἰς τὸ Ἱπποδρόμιον διὰ τῆς σφενδόνης καὶ βινοκοπήσαντες αὐτὸν ἐξώρισαν ἐν Χ. Ced. — 7. Θεόδοτον δὲ τὸν μοναχὸν καὶ Στ. τὸν σ. σχοίνοις ἐκ π. δ. σύρουσι διὰ τῆς λεωφόρου καὶ εἰς τὸν βουνὸν καταγαγόντες κατακαίουσι Ced. 776,1—3. — 12. Ced. 776,6: Κόσμου ἔτος ,ϛρπη', τῆς χῦ παρουσίας ἐ. χϛδ'. — 13. Τῷ γ' ἔτει ἐπεστράτευσαν οἱ Ἀ. τὴν Ἀφ. καὶ ταύτην παρέλαβον· ὁ δὲ Λ. Ced. 776,12—17. — 15. Ἰω. ἰκ. ὄντα μ. πάντων τῶν Ῥωμαϊκῶν πλοΐμων Ced. — 16. τρέψας ἐδίωξε καὶ ἅπαντα τῆς Ἀφρικῆς τὰ κάστρα ἠλ. καὶ καταλιπὼν ταξατίωνα ἴδιον τῷ βασιλεῖ ταῦτα ἐδήλωσε καὶ ἐκεῖ ἐχ. Ced.

698 (3) Ὁ δὲ πρωτοσύμβουλος * ταῦτα μαθών, δύναμιν πολλὴν Ἀγαρηνῶν ἀπέστειλε κατὰ Ἰωάννου καὶ τοῦτον ἐξεδίωξεν. (Ὁ δὲ Ἰωάννης ἐπὶ Ῥωμανίαν ἀνέκαμψε δύναμιν πλείονα βουλόμενος ἀναλαβεῖν.

(4) Ἐλθόντος δὲ ἕως Κρήτης, ἐπὶ τὸν βασιλέα πορευομένου), ὁ στρατὸς ὑπὸ τῶν ἰδίων ἀρχόντων ἀνατραπεὶς (εἰς βουλὴν πονηρὰν ἐξετράπη καὶ φονεύσαντες Ἰωάννην τὸν πατρίκιον καὶ τὸν βασιλέα ἀναθεματίσαντες) Ἀψίμαρον δρουγγάριον τῶν Κιβυρραιωτῶν ** βασιλέα ἀνηγόρευσαν, Τιβέριον ὀνομάσαντες.

(5) Τοῦ δὲ Λεοντίου τὸν τοῦ νεωρίου λιμένα ἐκκαθαίροντος, ἡ τοῦ βουβῶνος νόσος ἐνέσκηψε (τῇ πόλει) καὶ πλῆθος λαοῦ διέφθειρε.

(6) Κατέλαβε δὲ Ἀψίμαρος ἅμα τῷ *** στόλῳ καὶ προσώρμησεν ἐν Συκαῖς. (Τῆς δὲ πόλεως Λεόντιον προδοῦναι μὴ βουλομένης), προδοσίᾳ γέγονε (διὰ τῆς τῶν Βλαχερνῶν πόρτης)· καὶ τὸν Λεόντιον (χειρωσάμενος Ἀψίμαρος καὶ) ῥινοκοπήσας ἐν τῇ μονῇ τοῦ Δαλμάτου περιώρισεν καὶ (πάντας) τοὺς φίλους αὐτοῦ (τύψας καὶ) δημεύσας ἐξώρισεν.

CCXLII. ΒΑΣΙΛΕΙΑ ΑΥΙΜΑΡΟΥ.

(Μετὰ Λεόντιον ἐβασίλευσεν) Ἀψίμαρος ὁ καὶ Τιβέριος ἔτη γ', (διώνυμος γὰρ ἦν ὡς Ἰακὼβ καὶ Ἰσραήλ, ὡς Ἰωθὼρ καὶ Ῥαγουήλ, ὁ πενθερὸς Μωϋσέως, ὡς Σίμων καὶ Πέτρος, ὡς Θωμᾶς καὶ Δίδυμος, ὡς Θαδδαῖος καὶ Λεβαῖος).

---

1. Cod. 776,17—19. — * τῶν Ἀράβων Cod. — τοῦτο Cod. — πολλῷ πλείω καὶ δυνατώτερον τοῦ πρώτου στόλον ἀποστείλας τὸν Ἰω. ἐκδιωκεῖ καὶ ἐκεῖ φοσσατικῶς ἀπληκεύει Cod. — 6. Cod. 776,20—22· Ὁ δὲ στρ. εἰς σύστασιν ἐλθὼν Ἀψ. ἀναγορεύουσι β. δ. τῶν Κ. — ** ὄντα καὶ ἐκεῖσε ὑπάρχοντα Cod. — 10. αὐτὸν μετονομάσας Cod. — 12. Cod. 776,22—24. — καὶ ἐν δ' μησὶν ἀπώλετο πλ. πολύ. Cod. — 14. Καταλαμβάνει Cod. 777,1—3. — *** συνόντι αὐτῷ Cod. — 16. Καὶ προδοσίας γενομένης εἰσῆλθεν εἰς τὴν πόλιν καὶ τὸν μὲν Λ. β. ἐν τῇ τοῦ Δ. μ. φυλάσσεσθαι προσέταξε, τοὺς δὲ φ. ἀ. δ. ἐξ. Cod. — 21. Rubrica M. 2 et Par. 1706, in codice a secunda manu.

(159[b]) (2) Ἐφ' οὗ γέγονε θανατικὸν μέγα. Καὶ Συρίαν οἱ 700
(159[b]) Ῥωμαῖοι ληϊσάμενοι κατέσφαξαν ἄχρι χιλιάδων σ'.

(3) Ἀψίμαρος δὲ Φιλιππικὸν*, υἱὸν Νικηφόρου πατρι- 702
κίου, (εἰς Κεφαλήνιαν) ἐξώρισεν ὡς ὀνειροπολούμενον βασι-
λεῦσαι· κατ' ὄναρ γὰρ ἔλεγεν ἑωρακέναι τὴν κεφαλὴν αὐ-
τοῦ ὑπὸ ἀετοῦ σκιάζεσθαι. (Καὶ ταῦτα ἀκούσας ὁ βασιλεὺς
τοῦτον ἐξώρισε).

(4) Ὁ δὲ Ἰουστινιανὸς ἐν Χερσῶνι ἐφήμιζεν ὡς πάλιν 704
τὴν βασιλείαν ἀπολήψεσθαι. Οἱ δὲ οἰκήτορες φοβηθέντες
ἐβουλεύσαντο ἢ φονεῦσαι αὐτὸν ἢ τῷ βασιλεῖ παραπέμψαι.

(5) Τοῦτο δὲ γνοὺς Ἰουστινιανὸς ἐν Χαζαρίᾳ φεύγει.
Καὶ ἐξέδοτο αὐτῷ εἰς γυναῖκα (ὁ Χάζαρος) τὴν ἑαυτοῦ
ἀδελφὴν Θεοδώραν**. Ταῦτα μαθὼν Ἀψίμαρος πέμπει πρὸς***
χαγάνον, πολλὰ δῶρα ὑπισχνούμενος αὐτῷ ἢ τὸν Ἰουστι-
νιανὸν ζῶντα ἢ κἂν τὴν κεφαλὴν αὐτοῦ ἀποστεῖλαι αὐτῷ
Ὁ δὲ Ἰουστινιανὸς ταῦτα μαθὼν κατελθὼν ἐν Χερσῶνι
λάθρα καὶ τινὰς ἀναλαβόμενος, ἀπέπλευσεν ἐπὶ τὸ στό-
μιον τοῦ Ἴστρου.

(6) Καὶ κλύδωνος γενομένου καὶ πάντων ἀπογνόντων

---

1. Ced. 777,13—21: τῷ β. ἔτη γ. — καὶ ἐπεστράτευσε Μωάμεθ — κατὰ τοῦ Ἀβδεραχμὰν — οἱ δὲ Ῥ. κατέδραμον Συρίας — ἀπέκτειναν — χ. σ' Ἀράβων κτλ. — 3. Ced. 778,2—5 τῷ δ' ἔτει. — * τὸν Ced. — πατρίκιον Ced. — 5. ἔφασκε γὰρ ἑ. κατ' ὀ. ὅτι ἡ κεφαλὴ ἀ. ἐσκιάζετο ὑπὸ ἀ. Ced. — 8. Τοῦ Ἰουστινιανοῦ δὲ ἐν Χ. διά-γοντος καὶ λέγοντος π. ἑαυτὸν βασιλεύειν, οἱ τῶν ἐκεῖσε ὀ. τὸν ἐν τοῦ βασιλέως κίν-δυνον φ. ἐβ. τοῦτον ἀνελεῖν ἢ τῷ β. π. Ced. 778,19—22 (τῷ ς' ἔτει). — 11. Αὐτὸς δὲ τ. διεγνωκὼς ἠδυνήθη ἐκφυγεῖν καὶ εἰς τὸ Δαρὰς ἐλθὼν ᾐτήσατο τὸν τῶν Χαζάρων χαγάνον ἰδεῖν· καὶ ὃς ἐδέξατο αὐτὸν μετὰ τιμῆς καὶ ἐξ. Ced. 778,22—779,17. — 12. Θ. τὴν ἀδ. ἀ. Ced. — ** καὶ μετ' ὀλίγον χρόνον προτροπῇ τοῦ χαγάνου κατῆλθεν εἰς Φαναγουρίαν, κἀκεῖ διέτριβε μετὰ Θεοδώρας Ced. — 13. Τ. ἀκούσας Ced. — *** τὸν Ced. — 14. ὑπ. ἀ. δ. π. εἰ τὸν Ἰ. ζ. ἀ. παραπέμψει ἢ κἂν τὴν κ. ἀ. Ἐξ-ελθόντος δὲ τοῦ χαγάνου, παραφυλακὴν αὐτῷ δῆθεν ἔπεμψε διὰ τὸ μὴ ὑπὸ τῶν ὁμοφύλων ἐπιβουλευθῆναι, ἐντειλάμενος τοῖς αὐτοῦ ἵνα ὅταν δηλωθῇ αὐτοῖς, ἀνέλωσι Ἰουστινιανόν Ced. — 16. Τούτων δὲ δι' οἰκέτου τοῦ χαγάνου τῇ Θεοδώρᾳ μηνυθέντων καὶ τῷ Ἰουστινιανῷ γνωσθέντων, προσκαλεσάμενος τοὺς ἐκ χαγάνου φύλακας τούτους ἐφόνευσε, εὐθέως δὲ ἀποστέλλει Θεοδώραν εἰς Χαζαρίαν· ἀπὸ δὲ Φαναγουρίας αὐτὸς δραπετεύσας εἰς τὸ στ. κατῆλθε καὶ πλοίῳ ἐμβὰς ἔρχεται μέχρι Συμβόλου κτλ. Ced. — 19. Ced. 779,17—780,3. — ἀπέγνωσαν πάντες τὴν ἑαυτῶν σωτηρίαν, Μαυάκης δὲ, ὁ οἰκειακὸς αὐτοῦ ανος ἑ. ἀ. ἰδοὺ ἀποθνήσκομεν δ. τάξαι τῷ θεῷ περὶ τῆς σωτηρίας σου, ἵνα ἐάν ὁ Θς ἀποδώσει σοι τὴν β. σου μηδὲν ἀμύνῃ τῷ

διὰ τὸν κλύδωνα, οἰκεῖος αὐτῷ τις ἔφη· «εἰ περισωθείης, ὦ δέσποτα, καὶ σοὶ τὴν βασιλείαν ὁ θεὸς ἀποδῷ, δὸς λόγον μηδένα τῶν ἐχθρῶν ἀμύνασθαι». Ὁ δὲ ἐν θυμῷ καὶ ὀργῇ ἔφη· «ἐνταῦθά με καταποντίσαι Κύριος, εἰ φείσομαι τινὸς ἐξ αὐτῶν». Διασωθεὶς δὲ ἐκ τοῦ κλύδωνος ἀπέστειλε πρὸς Τέρβελιν τὸν Βούλγαρον δοῦναι αὐτῷ συμμαχίαν τοῦ κρατῆσαι τὴν προγονικὴν βασιλείαν καὶ δῶρα πλεῖστα παρασχεῖν αὐτῷ.

(7) Ὁ δὲ οὐ μόνον συμμαχίαν, ἀλλὰ καὶ ἑαυτὸν ἐπιδέδωκεν. Ἅμα γὰρ αὐτῷ μετὰ πλείστης δυνάμεως ἐπὶ τὴν βασιλεύουσαν παρεγένετο· εἰσῆλθε δὲ Ἰουστινιανὸς σὺν ὀλίγοις ὁμοφύλοις διὰ τοῦ ἀγωγοῦ (κατὰ προδοσίαν τινῶν τῶν ἐν τῇ πόλει. Καὶ ἐξῆλθεν ἐν τῇ ἁγίᾳ Ἄννῃ, τὸ λεγόμενον ἔκτοτε δὶ αὐτὸν τὸ δεύτερον) καὶ κατεσκήνωσεν ἐν τῷ παλατίῳ Βλαχερνῶν (ἀπολαβὼν τὴν αὐτοῦ βασιλείαν), ὅπερ μαθὼν Ἀψίμαρος εἰς Ἀπολλωνιάδα φεύγει.

CCXLIII. ΒΑΣΙΛΕΙΑ ΙΟΥΣΤΙΝΙΑΝΟΥ ΤΟ Β'.

705 Ἰουστινιανὸς τὴν βασιλείαν τὸ δεύτερον ἀπολαβών, δῶρα πολλὰ τῷ Τέρβελι δοὺς καὶ χώραν τῶν Ῥωμαίων ἐκκόψας δίδωσιν αὐτῷ, τὰ λεγόμενα νῦν Ζαγόρια.

ἐχθρῷ συνα. Ὁ δὲ καταποντίσει ἀποκριθεὶς αὐτῷ λέγει ἐν 2. «Ἐὰν φ. τ. ἐξ ἀ. ὁ Θς ἐνταῦθά με καταποντίσει κς. Καὶ εἰσελθὼν εἰς τὸν Δάνουβιν ποταμὸν ἀποστέλλει Στέφανον πρ. T. Ced.

4. μοι cod.—6. ἄρχοντα Βουλγαρίας ἐπὶ τῷ δ. Ced.—σύναρσιν ὅπως κρατήσῃ τῆς προγονικῆς α βασιλείας ὑποσχόμενος δ. πολλὰ Ced. — 9. Ced. 780,3—11. Αὐτοῦ δὲ πάντα ποιεῖν μεθ' ὅρκου ὑποσχομένου, συγκινεῖ πάντα τὸν λαὸν τῶν Βουλγάρων καὶ Σθλάβων καὶ ὁπλισθέντες. — 10. ἐπὶ τὴν βασιλίδα ἔρχονται ἅμα τῷ Ἰουστινιανῷ ἠπλήκευσαν δὲ εἰς τὴν Χαρσίου πόρταν καὶ ἕως τῶν Βλαχερνῶν καὶ ἐπὶ γ' ἡμέραις προσλαλῶν τοῖς ἐν τῇ πόλει μᾶλλον ὑβρίζετο Ced. — 11. Ὁ δὲ Ἰ. μετ' ὀλίγων Ρωμαίων διὰ τοῦ ἀ. ε. εἰς τὴν πόλιν καὶ θόρυβον ἀνασκαφῆς βαλὼν πρὸς βραχὺ ἐσκήνωσεν ἐν τῷ π. βλ. Ced. — 13. τῇ λεγομένῃ? — 16. ἀφίκετο ἄγων μεθ' ἑαυτοῦ χρήματα πάμπολλα. Ἰ. δὲ ἀπ. τὴν β. τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον κατεῖχε Καλλίνικος Ced.—17. π. τῆς βασιλείας Ἰ. πάλιν τοῦ βιν. M. 2, om. Par. 1706 et cod.—18. Ced. 780,14—17 Ἰ. τὸ β' ἔτη ς' παραλαβὼν τὴν β. δ. τῷ T. — ' καὶ βασιλικὰ σκεύη Ced. — 19. τῆς Ῥ. γῆς κόψας τὰ νῦν λ. Ζ. ἀπέλυσεν αὐτὸν ἐν εἰρήνῃ Ced.

(2) Ἀψίμαρον δὲ ἀποστείλας καὶ χειρωσάμενος καὶ κατὰ τὴν πόλιν θριαμβεύσας, καὶ Ἡράκλειον δὲ τὸν ἀδελφὸν αὐτοῦ σὺν πᾶσι τοῖς συνασπιζομένοις αὐτῷ ἄρχουσι ἐν τῷ τάχει ἀνεσκολόπισεν, Ἀψίμαρον δὲ καὶ Ἀεόντιον (τοὺς βασιλεῖς) ἀλύσεσι δεσμεύσας, ἤγαγεν ἐν τῷ καθίσματι τοῦ ἱπποδρομίου καὶ τοὺς αὐχένας αὐτῶν πατοῦντος ἄχρις ἀπολύσεως τοῦ α' βαΐου, ὁ δῆμος ἐβόα· «ἐπὶ ἀσπίδα καὶ βασίλισκον ἐπέβης καὶ κατεπάτησας λεόντα καὶ δράκοντα», καὶ (οὕτως) ἀποστείλας αὐτοὺς ἐν τῷ κυνηγίῳ ἀπεκεφάλισεν.

(3) Καλλίνικον δὲ τὸν πατριάρχην τυφλώσας ἐξώρισεν (καὶ πολλοὺς τῶν πολιτῶν ἀπώλεσε θανάτῳ). Κυριακὸν δὲ τὸν ἐν τῇ νήσῳ Ἀμάστριδος ἔγκλειστον (ὄντα) ὡς προαγορεύσαντα αὐτῷ τὴν τῆς δευτέρας βασιλείας ἀποκατάστασιν, προεβάλετο πατριάρχην.

(4) Καὶ κατὰ πάντων οὖν μανεὶς καὶ λυττήσας ἀναρίθμητον πλῆθος ἐκ τοῦ πολιτικοῦ καὶ στρατιωτικοῦ συλλόγου διέφθειρεν· (τοὺς μὲν γὰρ προφανῶς ἔσφαξεν, τοὺς δὲ νυκτὸς ἐσάκιζεν, καὶ τοὺς μὲν πρὸς ἀριστόδειπνα κλητορεύων, φαρμάκῳ (160ᵃ) δεινῶς τῆς παρούσης ζωῆς ἀπεστέρει, τοὺς δὲ πρὸς ἐξορίαν δῆθεν ἐφυλακισεν), ὅθεν τοσοῦτον δέος κατεῖχε τὴν πόλιν (ὡς καὶ τινὰς αὐτομολῆσαι πρὸς τοὺς βαρβάρους).

(5) Ἀποστείλας δὲ ἤγαγε Θεοδώραν τὴν ἐκ Χαζαρίας καὶ Τιβέριον υἱὸν αὐτῆς, καὶ συνεβασίλευσεν αὐτῷ.

---

1. Ἀψίμαρος δὲ φυγὼν εἰς Ἀπολλωνιάδα συλλαμβάνεται καὶ πρὸς Ἰουστινιανὸν ἄγεται, ὡσαύτως δὲ καὶ Ἡράκλειος ἀπὸ Θράκης μετά τινων ἑτέρων ἀρχόντων καὶ ἐν τῷ τείχει (χειμῶνι Leo) πάντας ἐφούλκισεν· ἀποστείλας δὲ καὶ εἰς τὰ μεσόγαια πάντα πλείους ἐξ αὐτῶν εὑρὼν ἕως ψ' πάντας ἀπέκτεινε, τὸν δὲ Ἀψ. καὶ τοὺς A. Ced. 780,17—781,3. — 8. καὶ πᾶσι cod. — 4. πομπεύσας δεδεμένους ἐν τῇ πόλει, ἱππικοῦ γενομένου, ἤγαγον δεδεμένους καὶ ἔβριψαν εἰς τοὺς πόδας αὐτοῦ, πατήσαντος δὲ εἰς τοὺς τραχήλους ἀ. ἀχ. ἀπ. τοῦ α' β. ἑπεβόα ὁ δ. Ced. — 8. ἐπιβήσῃ καὶ τὰ ἑξῆς Ced. ut Ps. XCI. 13 καταπατήσεις. — 11. Ced. 781,3—6. — ἐκτ. Ced. — 12. ἐν Κ. Π. δὲ Κῦρον τὸν ἐν τῇ ν. Ἀμάστριδι ἐ. ὡς πρ. Ced. 14. π. πρ. ἀν. δὲ πλ. ἐκ τε τοῦ π. καὶ τοῦ στ. καταλ. ἀπώλεσεν Ced. 781,5—8.— 20. πρὸ ἐξωρί. δ. ἐφούλκιζε cod. — 21. ἐντεῦθεν φόβος μέγας συνεῖχε πάντας Ced. — 23. Ἀπέστειλε δὲ

707 (6) Λύσας δὲ τὴν εἰρήνην τῶν Βουλγάρων, ἐπεστράτευσε κατ' αὐτῶν καὶ ἡττηθεὶς καὶ ἐν φρουρίῳ καταφυγὼν καὶ τοὺς ἵππους νευροκοπήσας, εἰς τὰ σκάφη ἐπιβὰς, μετ' αἰσχύνης ἦλθεν ἐν Κ. Π.

710 (7) Χερσωνίταις δὲ μνησικακῶν ἀπὸ τῆς ἐξορίας αὐτοῦ ἀποστείλας Μαῦρον πατρίκιον μετὰ στόλου πάντας ἀπέκτεινε καὶ τὰ νήπια αὐτῶν κατηδάφισε.

711 (8) Οἱ δὲ τὸν Ἰουστινιανὸν καθυβρίσαντες καὶ τὸν ἐκεῖσε ἐξόριστον ὑπὸ Ἀψιμάρου Φιλιππικὸν, υἱὸν Νικηφόρου τοῦ πατρικίου, τοῦτον ἀετὸν ὁρῶντα ἐν ὁράματι σκέπτοντα αὐτὸν, τὸν καὶ Βαρδάνην λεγόμενον, τινὰς τῶν στρατιωτῶν ὑπονοθεύσαντα καὶ πρὸς τὴν αὐτοῦ εὔνοιαν ἑλκύσαντα διὰ τὴν Ἰουστινιανοῦ ἀπήνειαν καὶ ὠμότητα, τοῦτον βασιλέα εὐφήμησαν καὶ μετὰ στόλου ἐξέπεμψαν πρὸς τὴν πόλιν.

(9) Ὅπερ γνοὺς Ἰουστινιανὸς καὶ πλεῖον φοβηθεὶς ἅμα καὶ θυμωθεὶς, ἀνῆλθε μέχρι Σινώπης ἀκριβέστερον περὶ τούτου μαθησόμενος. Τοῦ δὲ Φιλιππικοῦ τὴν πόλιν σὺν τῷ στόλῳ καταλαβόντος, Ἰουστινιανὸς πρὸς τὸν Δαματρὺν ἀπέδρα, καταλειφθεὶς ὑπὸ πάντων. Ὃν αὐτίκα Φιλιππικὸς χειρωσάμενος, τὴν κεφαλὴν ἀφείλετο καὶ τοῖς Σκύθαις ἐξέπεμψε.

CCXLIV. ΒΑΣΙΛΕΙΑ ΦΙΛΙΠΠΙΚΟΥ.

712 Μετὰ δὲ Ἰουστινιανὸν τὸ β' ἐβασίλευσε Φιλιππικὸς ὁ καὶ Βαρδάνης ἔτη β', ὃς ἐν ταῖς διαλαλιαῖς αὐτοῦ λόγιος καὶ

στολον μέγαν πρὸς τὸ ἀγαγεῖν τὴν γυναῖκα αὐτοῦ ἀπὸ Χ. κτλ. καὶ ἀπ. ἡγ. τὴν Θ. καὶ Τ. τὸν ὕν αὐτοῦ καὶ ἔστεψεν αὐτούς Ced. 781,8—15.

1. Τῷ γ' αὐτοῦ ἔτει Ἰ. τὴν μεταξὺ Ῥωμαίων καὶ Β. ἐ. διέστρεψε — κατὰ τοῦ Τέρβελι ἐχώρησε, καταλαβὼν τὴν Ἀγχίαλον· καὶ ἀφυλάκτως τοῦ στρατοῦ ἀπληκεύσαντος, ὡς εἶδον αὐτὸν οἱ Βούλγαροι ἀσυντάκτως διασκορπιζόμενον ἐπιβρίψαντες πολλὴν αἰχμαλωσίαν καὶ φόνον ἐπίσησαν· ὁ δὲ Ἰ. σὺν ὀλίγοις τισὶ ἐν τῷ κάστρῳ κατ.—τ. ἰ. αὐτοῦ ν. διὰ τῆς νυκτὸς τοῖς πλοίοις ἐπ. λαθραίως ἔφυγε καὶ μετ' ὀ. ἐν τῇ πόλει παρεγένετο Ced. 781,16—782,3. — 5. Ced. 782,3—19 variat et plura habet.— 8. Ced. 782,19 — 783,3 ampliora. — 11. ὑπονοθεύσας — ἑλκύσας cod. — 15. Ced. 783,3 — 784,10. — 20. τὴν — ἐξ. om. Slav. Ἠλίας τῷ παραμηρίῳ τὴν κ. αὐτοῦ ἐξέτεμε καὶ πρὸς Φιλιππικὸν ἀπέστειλε· αὐτὸς δὲ ἄχρι Ῥώμης ταύτην ἐξ. Ced. — 23. Οὗτος ὁ Φ. ὁ καὶ Β. ἐν μὲν ταῖς Ced. 784,21—785,1.

ἐχέφρων ἐλογίζετο, ἐν δὲ ταῖς πράξεσιν αὐτοῦ* αἰσχρῶς τὸν βίον διατελῶν, πάντῃ ἀδόκιμος ἐδείκνυτο**.

(2) Ἦν δὲ καὶ κακόδοξος, μὴ αἰσχυνθεὶς κινηθῆναι κατὰ τῆς ἁγίας [ς'] συνόδου, ταύτην ἀνατρέψαι σπεύδων.

(3) Ἐφ' οὗ καὶ οἱ Βούλγαροι*** μέχρι τῆς χρυσῆς πόρτης αἰχμαλωσίαν ποιήσαντες ὑπέστρεψαν.

(4) Ὁ δὲ ἱππικοῦ τελουμένου καὶ τῶν πρασίνων νικησάντων, ἔδοξεν αὐτῷ μετὰ δοχῆς καὶ ὀργάνων εἰσελθεῖν καὶ λούσασθαι εἰς τὸ λουτρὸν τοῦ Ζευξίππου καὶ μετὰ πολιτῶν αἰσχρῶν ἑστιασθῆναι. 713

(5) Ἐν δὲ τῷ μερεντίζειν αὐτὸν ἤγουν μεσημβρίζειν, αἴφνης Γεώργιος πατρίκιος, ᾧ καὶ ἐπίκλην Βόραφος, ἐξ ἐπιτροπῆς Θεοδώρου πατρικίου τοῦ Μυάκη, μετὰ ταξεωτῶν ἐκ τῆς Θράκης εἰσδραμόντες καὶ ἁρπάσαντες τὸν Φιλιππικὸν καὶ ἀνενεγκόντες εἰς τὸν ὀρνατούριον τῶν πρασίνων, ἐτύφλωσαν.

(6) Καὶ ἐπισυναχθέντος τοῦ λαοῦ τῇ ἐπαύριον εἰς τὴν μεγάλην ἐκκλησίαν, ἔστεψαν Ἀρτέμιον πρωτασεκρήτην.

---

* ἀσέμνως καὶ ἀνικάνως καὶ Ced. Leo. — ** εὗρε γὰρ ὁμόφρονας αὐτοῦ αὐτόν τε τὸν Ἰω. ὃν ἐποίησε πατριάρχην καὶ ἄλλους ὁμ. αὐτοῦ, καὶ ἐγγράφως ἀνεθεμάτισεν αὐτήν Ced. 785,3—5. Leo. — 3. Ἐμμανῶς γὰρ κινηθεὶς κ. τῆς ἁ. ς' σ. ἀνατρέπειν ἔσπευδε τὰ ὑπ. αὐτῆς δογματισθέντα Ced. 785,1—3. — 5. Ced. 785,5—9; Τῷ δ' αὐτῷ χρόνῳ οἱ B. — *** διὰ τοῦ Φιλέα λάθρᾳ τῷ στενῷ ἐπιβρίψαντες Ced.— ἕως Ced. — π. διέδραμον τὸν δὲ ἀριθμὸν τῶν σφαγέντων καὶ αἰχμαλωτισθέντων ὑπὲρ ἀριθμὸν ὄντα, λέγειν οὐκ ἔχομεν· αὐτοὶ δὲ ἀβλαβεῖς εἰς τὴν χώραν αὐτῶν ὑπ. Ced. — 7. Τῷ β' ἔτει ἐδ. τῷ Φιλιππικῷ μ. τινων π. ἀριστῆσαι Ced. 785,10. — 11. Ἐν δὲ τῷ σαββάτῳ τῆς πεντηκοστῆς μεσημβριάζων ἐξάπινα διὰ τῆς χρυσῆς πόρτης εἰσελθὼν Ῥοῦφος πρωτοστράτηγος τοῦ Ὀψικίου μεθ' ὧν εἶχεν ἐν τῇ Θράκῃ καὶ εἰσδραμὼν εἰς τὸ παλάτιον ἥρπασε τὸν Φ. καὶ ἤγαγεν εἰς τὸ ἁρματώριον τῶν Πρ. καὶ ἐτ. αὐτὸν μηδενὸν γνόντος Ced. 785,11—15. — 17. Τῇ δὲ ἐπ. ἤγουν τῇ κυριακῇ τῆς πεντηκοστῆς συν. Ced. 785,15—19. — ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἐστέφθη Ἀρτέμιος ὁ πρωτασεκρῆτις μετονομασθεὶς Ἀναστάσιος ὑπὸ Ἰω. πατριάρχου αἱρετικοῦ Ced.

CCXLV. ΒΑΣΙΛΕΙΑ ΑΡΤΕΜΙΟΥ.

Μετὰ δὲ Φιλιππικὸν ἐβασίλευσεν Ἀρτέμιος ὁ καὶ Ἀναστάσιος ἔτη β' λογιώτατος ὢν, ὃς προεβάλετο στρατηγοὺς εἴς τε τὰ καβαλλαρικὰ ϑέματα καὶ εἰς τὰ πολιτικὰ λογιωτάτους καὶ ἱκανωτάτους, ὥστε τὰ πολιτικὰ ἐν ἀδείᾳ διατελεῖν.

(2) Οὗτος Γεώργιον καὶ Θεόδωρον τοὺς πατρικίους ἐκτυφλώσας ἐξώρισεν ἐν Θεσσαλονίκῃ.

(3) Τῶν δὲ Ἀράβων ὁπλιζομένων κατὰ Ῥωμανίας διά τε γῆς καὶ ϑαλάσσης, ἀπηγγέλη τῷ βασιλεῖ κατὰ τῆς πόλεως τούτους παραγίνεσϑαι. Ὁ δὲ ἤρξατο κτίζειν δρόμωνάς τε διήρεις καὶ τὰ παράλια τείχη ἀνακαινίζειν (ὡσαύτως) καὶ τὰ χερσαῖα (160[b]) (τοξοβολίστραις τε καὶ λοιπαῖς ὁπλίσεσι τὴν πόλιν κατωχύρωκε) καὶ γεννημάτων τὰ ὡρεῖα ἐπλήρωσεν.

715 (4) Ἐπὶ τούτου (καὶ) Γερμανὸς ἐκ Κυζίκου μετατίϑεται εἰς Κ. Π. καὶ κιτατόριον (δὲ) μεταϑεσίμου ἐκπεφώνηται ψήφῳ καὶ δοκιμασίᾳ τῶν ϑεοφιλεστάτων πρεσβυτέρων καὶ διακόνων καὶ τῆς ἱερᾶς συγκλήτου ἐκφωνηϑέν· «ἡ ϑεία χάρις ἡ πάντοτε τὰ ἀσϑενῆ ϑεραπεύουσα καὶ τὰ [ἐλ]λείποντα ἀναπληροῦσα μετατίϑεται Γερμανὸν τὸν ὁσιώτατον πρόεδρον τῆς Κυζικηνῶν πόλεως εἰς ἐπίσκοπον ταύτης τῆς ϑεοφυλάκτου καὶ βασιλίδος τῶν πόλεων ἐπὶ Ἀρτεμίου βασιλέως».

(7) Μαϑὼν δὲ ὁ βασιλεὺς, ὅτι στόλος ἐξῆλϑε τῶν Ἀγα-

---

3. Ἀρ. ὁ καὶ Ἀν. ἑ. β.' οὗτος λ. ὢν πρ. στρατηγὸν ἱκανώτατον εἰς τὰ κ. Λέοντα τὸν Ἰσαυρὸν καὶ ἕτερον λογιώτατον εἰς τὰ π. Ced. 785,20—24. — 3. λογ.—διατ. om. Slav. — 5. κἀκ τούτου ἐν ἀδ. διετέλει Ced. — 7. Ὁ. Θ. καὶ Γ. Ced. 785,24—786,1.— 8. εἰς Θεσσαλονίκην ἐξ. Ced. — 9. Ced. 786,1—5. — 11. δρ. καὶ δ. Ced. — 16. Ced. 786,5—12. — ' μητροπόλεως Ced. Leo. — 18. τῶν ϑ. ἐπισκόπων ἡ Ced. τοῦ ϑεοφιλεστάτου πρεσβυτέρου καὶ διακόνου καὶ τῆς ἱ. σ. ἑ. ἡ Leo. — 22. Κ. μητροπ. Ced. Leo. — ἀρχιεπ. Ced. — 23. β. πόλεως Ced. Leo. — 25. Ced. 786,12—14. — ἐξ. Σαρακηνικὸς πρ. Ced.

ρηνῶν πρὸς τὸ κόψαι ξύλα ἐπὶ τὸν Φοίνικα', ἀπέστειλε στόλον (μετὰ κληρικοῦ Ἰωάννου ὀνόματι, ὃν καὶ Ἰωαννάκιν ἐπίκλησκον) πρὸς τὸ καῦσαι τὴν ξυλὴν εἰς τὸν Φοίνικα καὶ τὴν ἐξάρτησιν τῶν Ἀγαρηνῶν.

(6) Ὁ δὲ στόλος στασιάσας, τὸν μὲν βασιλέα ἀνέσκαψαν, τὸν δὲ Ἰωαννάκιν βομφαίᾳ ἀνεῖλον. Οἱ δὲ τοῦτο ποιήσαντες ἀντάραντες ἀνήρχοντο κατὰ τῆς βασιλίδος πόλεως.

(7) Ἐλθόντες δὲ ἐν τῷ Ἀδραμυτίῳ εὗρον ἐκεῖ Θεοδόσιον ἐκλήπτορα τῶν δημοσίων φόρων, εὐσεβῆ καὶ ἀπράγμονα καὶ ἀνηγόρευσαν αὐτὸν βασιλέα (ὡς μή τινα ἔχοντες ἄρχοντα. Ὁ δὲ φυγῇ χρησάμενος εἰς τὸ ὄρος ἐκρύβη. Εὑρόντες δὲ αὐτὸν εὐφήμησαν βασιλέα πολλὰ τοῦτον βιασάμενοι).

(8) Ὅπερ μαθὼν Ἀρτέμιος τὴν πόλιν ὀχυρώσας, ἐν Νικαίᾳ τῇ πόλει κατέφυγεν· ὁ δὲ τῆς πόλεως στόλος καὶ ὁ τοῦ Θεοδοσίου μέχρι μηνῶν ἓξ ἀλλήλους κατεπολέμουν.

(9) Περάσας δὲ Θεοδόσιος ἐπὶ τὰ Θρακῶα μέρη ἐν ὄχλῳ 716
βαρεῖ τὴν πόλιν καταλαμβάνει καὶ διὰ τῆς τῶν Βλαχερνῶν πόρτης τοῦ μονοτείχους εἰσῆει, τήν τε πόλιν (καὶ [τοὺς] ἄρχοντας) οἱ πλώϊμοι πραιδεύσαντες, μεγίστην εἰργάσαντο ἅλωσιν, μηδενὸς φεισάμενοι· τὸν δὲ πατριάρχην Γερμανὸν καὶ τοὺς ἄρχοντας Ἀρτεμίου συλλαβόμενοι ἐν Νικαίᾳ ἀπήγαγον. Ὁ δὲ Ἀρτέμιος τούτους θεασάμενος, λόγον τε ἀπαθείας λαβὼν τὸ μοναδικὸν περιεβάλετο σχῆμα, ὃν Θεοδόσιος ἐν Θεσσαλονίκῃ ἐξώρισεν.

---

1. εἰς τὸν Ced. — ἐξαρτύσας στόλον ἐξαπέστειλε Ced. — 3. τὴν τοιαύτην ξ. Ced. — 5. Ἐλθόντος δὲ τοῦ στόλου ἐν τῇ Ῥόδῳ ἐστασίασε καὶ τὸν μὲν β. ἀν. τὸν δὲ στρατηγὸν αὐτὸν Ἰω. β. ἀν. καὶ εὐθέως κ. τῆς β. ἀνέπλευσαν Ced. 786,15—17. — 9. Ced. 786,17—19: Ἐλθόντων δὲ αὐτῶν ἐν Ced. ἐ. δὲ ἐν Leo. — Δραμυτίῳ cod. — ἐκεῖσε Ced. — 9. διοικητὴν ἐν Ced. — 15. Ced. 786,19—22. — 17. ἀλλήλοις Ced. — 18. Ced. 786,22—787,6: Ὁ δὲ Θ. διαβὰς ἐπὶ. — 19. καὶ τοὺς ἐν τῷ τείχει τῶν Βλ. φύλακας δώροις διαφθείρας τὴν εἴσοδον ἔσχε, τὴν δὲ π. Ced. — 24. οὓς Ἀρ. Ced. — 25. καὶ εἰς Θεσσαλονίκην ἐξορίζεται Ced.

*

CCXLVI. ΠΕΡΙ ΛΕΟΝΤΟΣ ΤΟΥ ΙΣΑΥΡΟΥ.

Λέων δὲ ὁ Ἴσαυρος, τῶν ἀνατολικῶν στρατηγὸς ὤν, Ἀρτεμίου ὑπερμαχῶν, οὐχ ὑπετάγη Θεοδοσίῳ ἔχων συναγωνιζόμενον Ἀρτάβασδον Ἀρμένιον στρατηγὸν* Ἀρμενιάκων, ᾧ δοῦναι συνέθετο καὶ τὴν ἰδίαν θυγατέρα.

CCXLVII. ΠΕΡΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΘΕΟΔΟΣΙΟΥ ΑΔΡΑΜΥΤΙΝΟΥ.

Θεοδόσιος ἐβασίλευσεν ἔτη β' (Ἀδραμυτινὸς τῷ γένει)· ἐφ' ὧν χρόνων ἐπιστρατεύσας Μασαλμᾶς ὁ τῶν Σαρακηνῶν ἀρχηγὸς, κατὰ Ῥωμαίων καὶ πρὸς τὰ μέρη τοῦ Ἀμωρίου γενόμενος γράφει πρὸς Λέοντα τὸν Ἀρμένιον, στρατηγὸν ὄντα τῶν Ἀνατολικῶν· «ἡ βασιλεία τῶν Ῥωμαίων σή ἐστιν, ἐλθὲ οὖν καὶ λαλήσωμεν τὰ πρὸς εἰρήνην (καὶ ποιῶ πάντα ὅσα θέλεις»).

(2) Ὁ δὲ πρὸς αὐτὸν ἀποστείλας ὑπάτους καὶ λόγον εἰρήνης ποιησάμενος ὑπὸ πάντων ὡς βασιλεὺς εὐφημίσθη καὶ ἐπὶ τὴν Νικομήδειαν ἔρχεται μετὰ πολυοχλίας, ἐν ᾗ τῷ τοῦ Θεοδοσίου υἱῷ περιτυχὼν [ἐν πολέμῳ] καὶ** χειρωσάμενος μετὰ τῆς βασιλικῆς ὑπηρεσίας [πάσης] καὶ τῶν ἐν τέλει (ἐπισήμων ἀνδρῶν) τοῦ παλατίου, καταλαμβάνει τὴν Χρυσόπολιν.

(3) Ὁ δὲ Θεοδόσιος λόγον ἀπαθείας παρ' αὐτοῦ λαβών,

---

1. Rubrica quae in codice fuerat, evanuit, M. 2, π. τῆς βασιλείας Ἀρτεμίου repetitum, Par 1706 om. — 2. Ced. 787,6—10. — Ἀρτεμίῳ cod. — * τῶν Ced. — 5. καὶ δ. σ. Ced. — 16. Rubrica M. 2, Par. 1706, in codice evanuit. — 8. Ced. 787, 11—15. Θ. βασιλεὺς Ῥωμαίων ἔτη β'. — ἐφ' οὗ M. ὁ τῶν Σ. ἀ. ἐπεστράτευσε κ. Ced. — 11. Λ. τῶν ἀν. στρ. Ced. — 12. σοὶ ἁρμόζει Ced. — 15. Ced. 787,15—20.— 16. π. καὶ ὡς β. φημισθεὶς ἐπὶ Ced. π. καὶ ὡς β. εὐφ. ἐπὶ Leo. — 17. πλείστου στρατοῦ Ced. Leo. — τὸν — ὑν cod. — ** τοῦτον Leo. — 20. καταλιμπάνει Leo. — 22. Ced. 787,20—22. — λογ. cod. λόγον Leo, λόγους Ced. sed supra λόγον.

παρεχώρησεν αὐτῷ τὴν βασιλείαν, σὺν τῷ υἱῷ αὐτοῦ κληρικὸς γενόμενος.

(161ª) CCXLVIII. ΒΑΣΙΛΕΙΑ ΛΕΟΝΤΟΣ ΤΟΥ ΚΑΙ ΚΟΝΩΝΟΣ.

Μετὰ Θεοδόσιον ἐβασίλευσε Λέων ὁ Ἴσαυρος ὁ καὶ Κόνων ἔτη κε'. Θεοδοσίου γὰρ τοῦ πρὸ αὐτοῦ βασιλεύοντος, Ἰαζηὲ τοῦ τῆς Ἀράβων ἡγεμονεύοντος ἐξουσίας, δύο τινὲς θεομάχοι Ἑβραίων παῖδες (οἱ ἀεὶ καὶ πάντοτε τραχηλιῶντες κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ φρυαττόμενοι τερατείαις καὶ βωμαλοχίαις καὶ δαιμονιώδεσιν οἰωνίσμασι σχολάζοντες, ὡς δῆθεν ἀστρολογικήν τινα μεταδιώκοντες ἐπιστήμην, καταλαμβάνουσι τὴν τῶν Ἀράβων βασιλικὴν αὐλὴν καὶ δὴ καταμηνύοντες τῷ προρηθέντι Ἰαζηὲ καὶ τούτῳ χρησμῳδίας πολυζῳΐας καὶ πολυχρονίου διαμονῆς μυοῦνται, εἴγε ἄρα τὴν θεανδρικὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῆς θεομήτορος ἐκ πασῶν τῶν ἐκκλησιῶν τῶν ὑπ' αὐτῷ οὐσῶν ἀπαλείψειεν. Καὶ δὴ ὁ φιλόζῳος ἐκεῖνος καὶ χοιρόβιος ὑπακούσας τῇ συμβουλῇ τῶν ἀπατεώνων πάσας τὰς ἐκκλησίας τὰς ὑπὸ τῆς ἐξουσίας αὐτοῦ οὔσας διεσάλευσεν, ἀλλ' ἠπατήθη ὁ δείλαιος· 683
μετῆλθε γὰρ αὐτὸν ἡ θεία δίκη, οὔπω διελθόντος ἐνιαυτοῦ· οὗ ὁ υἱὸς διαδεξάμενος τὴν ἡγεμονίαν ὡς ψευδομάντεις

---

1. τῆς βασιλείας Ced. — κλ. σὺν τῷ υἱῷ γ. Ced. — 4. Ced. 788,10—22: Κόσμου ἔτος ,ςσθ', τῆς θείας σαρκώσεως ψγ' Λ. ὁ καὶ Κ. ὁ Ἰ. καὶ εἰκονομάχος ἐβ. ἐ. κδ'· πρὸ ὀλίγων τινῶν χρόνων τῆς βασιλείας Λέοντος Ἑβραῖοί τινες ἐκ Λαοδικείας τῆς Φοινίκης ἦλθον πρὸς Ἰζηὲ τὸν ἀρχηγὸν Ἀράβων. — 8. Βωμολόχος ἐστὶν ὁ πανοῦργος καὶ ἀπατεὼν ἀσεβὴς καὶ ἱεροσυλος· τινὲς γὰρ ἐν τοῖς βωμοῖς λοχῶντες τουτέστιν ἐνεδρεύοντες τὰ τοῖς εἰδώλοις προσαγόμενα ἐσύλουν (Σχόλιον). — 21. ἐπαγγελόμενοι αὐτῷ ἔτη μ' κρατῆσαι τῆς τῶν Ἀράβων ἀρχῆς εἰ τὰς ἐν ταῖς ἐκκλησίαις τῶν χριστιανῶν τιμωμένας σεπτὰς εἰκόνας ἐν πάσῃ τῇ ἀρχῇ αὐτοῦ καταλύσει Ced. — 16. Τούτοις πεισθεὶς ὁ ἀνόητος Ἰζηὲ δόγμα καθολικὸν ἐψηφίσατο κατὰ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων· ἀλλὰ χάριτι χῦ καὶ ταῖς πρεσβείαις τῆς παναγνου θεοτόκου καὶ πάντων τῶς ἁγίων συντόμως τεθνηκὼς οὐ διαπέμψαι αὐτὸ ἠδυνήθη εἰς τὴν ἐπικράτειαν αὐτοῦ ὁ. γὰρ διῆλθεν ἐνιαυτὸς καὶ ἡ θ. δ. μ. ἀ. Ced. — 20. τὴν ἡγ. δεξ. Ced.

αὐτοὺς ἠβουλήθη ἀποκτεῖναι, ὃ καὶ μαθόντες οὗτοι ἀνέκαμψαν ἐν τοῖς Ἰσαυρικοῖς μέρεσιν.

(2) Εἰς πηγὴν δέ τινα ἀποψυχόντων αὐτῶν, ἰδού, οὗτος ὁ Λέων, νεανίσκος ἔτι ὤν, καλὸς τῷ εἴδει καὶ εὐμήκης τῷ σώματι, βάναυσος τὴν τέχνην καὶ ἐξ αὐτῆς τὴν ζωὴν πορι-
ζόμενος καὶ (δὴ) ἐκ τοῦ ὑποζυγίου τὸν φόρτον περιελόμενος, ἐκάθισε καὶ αὐτὸς ἐπὶ τῇ πηγῇ ὡς ἀριστήσων· εἶτα οἱ τῶν ἐγγαστριμύθων μύσται μυοῦνται αὐτῷ τοῦ κατάρξαι τῆς Ῥωμαϊκῆς βασιλείας τῶν σκήπτρων. Καὶ δὴ τοῦ Λέοντος ἀναβαλλομένου, (ἐπὶ τῇ εὐτελείᾳ αὐτοῦ ἀφορῶντες, ὅρκοις),
πληροφορεῖται ὑπὸ τῶν ἀθέων (ὅτι ταῦτα οὕτως εἶχε γενέσθαι). Καὶ δὴ αἰτούντων αὐτῶν ὁμόσαι αὐτοῖς, εἰ (ἄρα) εἰς πέρας ἔλθοι τοῦτο, εἴτι ἂν αἰτηθῇ παρ' αὐτῶν, ἀνυπερθέντως δοθῆναι αὐτοῖς· Ἦν δὲ πλησίον ναὸς τοῦ ἁγίου Θεοδώρου· (καὶ εὐθὺς εἰσελθὼν ὁ βάναυσος Λέων καὶ τῶν ἱερῶν
καγκέλων τοῦ θυσιαστηρίου ἁψάμενος) δέδωκεν ἐγγυητὴν τὸν μεγαλομάρτυρα τοῦ Χριστοῦ Θεόδωρον, ἑστώτων τῶν Ἰουδαίων ἐν τοῖς πυλῶσι τοῦ ναοῦ καὶ δεχομένων τὸν ὅρκον παρ' αὐτοῦ. Καὶ αὖθις ᾤχετο ἕκαστος εἰς τὰ ἴδια.

(3) Ἦν δὲ τῶν ἀνατολικῶν στρατηγὸς τῷ τότε Σισίνιος
πατρίκιος, ἐφ' οὗ καὶ Λέων στρατολογηθεὶς ἐν ὀλίγῳ (χρόνῳ εἰς προκοπὴν μεγίστην ἀναβιβάζεται) σπαθάριος προχειρισθεὶς ὑπὸ Ἰουστινιανοῦ τοῦ ῥινοτμήτου.

713 (4) Καὶ εἰς τὰ ἑσπέρια (μέρη) ἐκπεμφθεὶς καὶ μετὰ μεγάλης νίκης ἀνελθών, προεχειρίσθη παρὰ Θεοδοσίου στρα-
τηγὸς ἀνατολῆς.

(5) Καὶ δὴ Καμπανίαν καὶ Ἀμάλφην καὶ Νεάπολιν τηνικαῦτα βαρβαρησάντων, καταλαβὼν δὲ ἐκεῖσε ἐν πλοτῆρσι δρόμωσι τὸν

---

1. ὅπερ μ. Ced. — 3. Ced. 788,22—789,9. — 8. μύσται τοῦ — σκήπτρων τούτῳ προλέγουσι τοῦ δὲ Δ. πλ. ὑπ' αὐτῶν, οἳ καὶ αἰτοῦσιν ὅρκον εἰ εἰς π. ἔλθῃ τ. ὅπερ ἂν αἰτήσηνται ποιήσειν. Πλησιάζοντος δὲ ἐκεῖσε ναοῦ τοῦ ἁ. Θ. ὄμνυσιν αὐτοῖς· ὑποχωρησάντων οὖν ἀμφοτέρων Ced. — 20. Ced. 789,9—11 ὑπὸ Σισινίου πατρικίου στρατολογεῖται ὁ Δ. καὶ ἐν.—21. ὁλ. ὑπὸ Ἰουστίνου τοῦ β. σπ. γενόμενος Ced.—24. Ced. 789,11—13 εἰς τὰ ἑ. πέμπεται καὶ νικήσας ὑπὸ Θ. (Ἀρτεμίου) στ. ἀν. γίνεται.

ἀριθμὸν ρκ' καὶ τροπαιοφόρος νικητὴν εἰρήνην βραβεύσας, καταλαμβάνει τὰ βασίλεια.

(6) Καὶ αὖθις ὑπὸ τῶν στρατιωτῶν ἀναγορεύεται βασιλεύς, 716
καὶ δῆθεν ὁ Θεοδόσιος ὁ βασιλεὺς προσυπαντᾷ αὐτῷ καὶ ἄρας τὸν στέφανον ἐκ τῆς ἑαυτοῦ κεφαλῆς, περιτίθησι τῷ Λέοντι.

(7) Περιβοήτου δὲ ἐπ' εὐφημίᾳ γενομένου τοῦ Λέοντος, ἰδοὺ οἱ 723
φαρμακοὶ Ἰουδαῖοι δειλαιοι εἰσελαύνουσιν εἰς τὰ βασίλεια· εἶτα ὑπὸ τοῦ (161[b]) νέου ἄνακτος δεξιολαβηθέντες τὴν ὀφειλὴν ἀποτινύουσιν ἀσυγχωρήτως· τοῦ δὲ ἑτοίμως ἐπαγγειλαμένου ἀποδιδόναι αὐτοῖς, εἶπον οἱ θεομάχοι· «τοῦτο αἰτούμεθα παρά σου, κράτιστε βασιλεῦ ἵνα τὸν χαρακτῆρα τοῦ Ναζωραίου Χριστοῦ καὶ τῆς μητρὸς αὐτοῦ ἐκ πάσης ἐκκλησιαστικῆς ἱστορίας ἀπαλείψῃς. Καὶ τοῦτο ποιῶν μέλλεις βασιλεύειν ἄχρι χρόνων ρ' ἐν τῇ γενεᾷ σου». Ὁ δὲ εὐηθὴς καὶ ἀστήρικτος τῇ πίστει, ἑτοιμώτατα τὸ αἰτηθὲν ἐπαγγέλλεται· ὡς τῆς ἀνοΐας, ὁ χριστιανώτατος βασιλεὺς Ἑβραίοις ὑπόσπονδος ὤφθη, ὁ τὰ σκῆπτρα τῆς βασιλικῆς δυναστείας ὑπὸ θεοῦ ἐγκεχειρισμένος ὑπὸ θεομάχων ἀνδρῶν τερατεύεται.

(8) Ἐτέχθη δὲ τῷ (δυσσεβεῖ) βασιλεῖ * υἱὸς ὀνόματι 718
Κωνσταντῖνος (ὃν ἐν τῇ ἁγία κολυμβήθρᾳ φασὶν ἀφοδεῦσαι ἐν τῷ βαπτίζεσθαι, δεινὸν καὶ δυσῳδες προσημαίνων τεκμήριον).

(9) Ἐκμανεὶς οὖν κατὰ τῆς ὀρθῆς καὶ ἀρχαιοτάτης πίστεως 729
μεταστειλάμενος τὸν ἀοίδιμον Γερμανὸν τὸν πατριάρχην ἤρξατο λόγους ** κινεῖν μεθ' ὑπουλείας καὶ καταγινώσκειν πάντων τῶν πρὸ αὐτοῦ βασιλέων καὶ πατριαρχῶν καὶ πάντας

---

3. καὶ τῆς βασιλείας κρατεῖ τῷ προειρημένῳ τρόπῳ Ced. 789,12,13, paecedentia cum Leone gram. omittens. — 6. Τῷ ζ' ἔτει ἦλθον, καθὼς προείρηται, οἱ μάντεις οἱ χρησμοδοτήσαντες τῷ Λέοντι τὴν βασιλείαν καὶ ἀπαιτοῦσι παρ' αὐτοῦ τὴν ὑπόσχεσιν ἤγουν τὴν τῶν ἁγίων εἰκόνων καθαίρεσιν, ὑποσχόμενοι τῷ ἀσεβεῖ ποιήσαντι οὕτως · βιώσειν χρόνους ρ' κτλ. Ced. 793,18—794,1. — 19. Ced. 792,2—14 τῷ γ'. ἔτει ἐτ. τῷ. — * Λέοντι Ced. — ὃς δυσσεβέστατος καὶ τοῦ ἀντιχρίστου πρόδρομος Κ. ὁ καβαλλῖνος Ced. — 21. προσημαίνοντος cod. — 23. Ced. 797,9—12: ἀναιδῶς τῷ μακαρίῳ Γερμανῷ προσετρίβετο, ὃν καὶ μ. ἠρ. — ** τινὰς. Ced. — 25. πάντας τοὺς — βασιλ. καὶ πατριάρχ. cod. — 26. β. καὶ ἱερέων ὡς εἰδωλολατρησάντων ἐν Ced. Leo.

εἰδωλολάτρας ἀποκαλῶν ἐν τῇ προσκυνήσει τῶν ἁγίων εἰκόνων. (10) Ὁ δὲ μέγας Γερμανὸς (ταῦτα ἀκούσας) ἔφη (πρὸς αὐτόν)· «Ἄκουσον, (ὦ) βασιλεῦ, τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ διὰ σαρκὸς ἐπιφανέντος, πᾶσα εἰδωλολατρία ἐκποδὼν γέγονε καὶ πᾶν ἄγαλμα εἰδωλικὸν ἐξεφάνισται*, ὥς φησιν ὁ προ- 5
φήτης Ζαχαρίας· «Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος Σαβαὼθ, ἐξολοθρεύσω τὰ ὀνόματα τῶν εἰδώλων ἀπὸ τῆς γῆς καὶ οὐκέτι αὐτῶν ἔσται μνεία».

(11) Ἀπὸ δὲ τῆς αὐτοῦ πρὸς ἡμᾶς ἀναστροφῆς καὶ τῶν ἁγίων ἀποστόλων αὐτοῦ διδασκαλίας ἕως τοῦ νῦν παρῆλθεν ἔτη ψλ' καὶ 10
οἱ ἐν τοσούτοις ἔτεσι διατρίψαντες πατέρες καὶ διδάσκαλοι τῆς ἐκκλησίας ὀρθόδοξοι, οὐδὲν τοιοῦτον περὶ τῶν ἁγίων εἰκόνων ἐνενόησαν ἢ ἐλάλησαν· ἐξ ἀρχῆθεν γὰρ μετὰ τὴν Χριστοῦ εἰς οὐρανοὺς ἀνάληψιν ἡ εἰκονικὴ προσκύνησις ἀνετυπώθη· παρά τε γὰρ τῆς αἱμαρρόουσης εἰς τὴν ἐπ' αὐτῇ γεγονυῖαν θαυματουργίαν ἡ 15
τοῦ Χριστοῦ εἰκὼν ἐστηλογραφήθη, περὶ ἧς εἰκόνος Εὐσέβιος ἐν τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ ἐν βιβλίῳ ζ' οὕτως ἔφη· «ἐπειδὴ τῆσδε τῆς πόλεως Φιλίππου Καισαρείας, ἣν Πανιάδα Φοίνικες προσαγορεύουσιν, εἰς μνῆμα ἤλθον, οὐκ ἄξιον ἡγησάμην παρελθεῖν τὴν διήγησιν καὶ τοῖς μεθ' ἡμᾶς μνημονεύεσθαι ἀξίαν· τὴν γὰρ αἱμαῤῥοοῦσαν, 20
ἣν ἐκ τῶν ἱερῶν εὐαγγελίων πρὸς τοῦ σωτῆρος ἡμῶν τοῦ πάθους ἀπαλλαγὴν εὕρασθαι μεμαθήκαμεν, ἐνθένδεν ἔλεγον ὁρμᾶσθαι, τόν τε οἶκον αὐτῆς ἐπὶ τῆς πόλεως δείκνυσθαι [καὶ] τῆς ὑπὸ τοῦ σωτῆρος εἰς αὐτὴν θαυματουργίας θαυμαστὰ τρόπαια παραμένειν, ἑστάναι γὰρ ἐφ' ὑψηλοῦ λίθου πρὸς μὲν ταῖς πύλαις τοῦ ἑαυτῆς 25
οἴκου γυναικὸς ἐκτύπωμα χαλκοῦν ἐπὶ γόνυ κεκλιμένον καὶ τεταμέναις ἐπὶ τὸ πρόσθεν ταῖς χερσὶ δεομένῃ ἐοικὸς, τούτου δὲ ἄντικρυς ἄλλο τῆς αὐτῆς ὕλης ἀνδρὸς ὄρθιον σχῆμα, διπλοΐδα κοσμίως περιβεβλημένον καὶ τὴν χεῖρα τῇ γυναικὶ προστεῖνον, οὗ παρὰ τοῖς ποσὶν [ἐπὶ] τῆς στήλης αὐτῆς (162ᵃ) ξένον τι βοτάνης εἶδος 30

---

2. Ced. 797,12—17 μ. ἐ. Γ. Ced. Leo. — 5. ἠφαν. Ced. Leo. — * καὶ ἐξωστράκισται Leo, Ced.—6. Ζ. ὅτι λ. Ced. Leo. — XIII. 2. Reliqua usque ad §. 12 om. Ced. Leo. — 16. ἐστειλογραφήθ. cod. — 18. Eus VII. 18 om. Φ. Κ. ἣν Π. Φ. πρ. e c. 17 petita. — 19. ἐλήλυθα Eus. — ἡγοῦμαι Eus. — τὴν om. Eus. — 24. εὐεργεσίας Eus. — 27. ἱκετεούσῃ Eus. δεομένης cod..

[φύειν, ὃ μέχρι τοῦ κρασπέδου καὶ τοῦ χαλκοῦ διπλοΐδος] ἀνιὸν, ἀλεξιφάρμακόν τι παντοίων νοσημάτων τυγχάνει. Τοῦτον δὲ τὸν ἀνδριάντα εἰκόνα τοῦ Ἰησοῦ φέρειν ἔλεγον, ἔμεινε δὲ καὶ εἰς ἡμᾶς, ὡς καὶ ὄψει παραλαβεῖν ἐπιδημάσαντας αὐτοὺς τῇ πόλει· καὶ θαυμαστὸν οὐδὲν, τοὺς πάλαι ἐξ ἐθνῶν εὐεργετηθέντας πρὸς τοῦ σωτῆρος ἡμῶν ταῦτα πεποιηκέναι, ὅτε καὶ τῶν ἀποστόλων αὐτοῦ τὰς εἰκόνας Πέτρου καὶ Παύλου καὶ αὐτοῦ δὴ τοῦ Χριστοῦ διὰ χρωμάτων ἐν γραφαῖς σωζομένας ἱστορήσαμεν». Ἔστι δὲ καὶ ἐν Ἐδέσῃ τῇ πόλει ἡ ἀχειροποίητος εἰκὼν τοῦ Χριστοῦ παράδοξα ἐργαζομένη θαύματα, ἣν αὐτὸς ὁ Κύριος ἐν σουδαρίῳ τῆς οἰκείας μορφῆς τὸ εἶδος ἐναπομαξάμενος διὰ Θαδδαίου τοῦ ἀποστόλου σώζουσαν τὸν χαρακτῆρα τῆς ἀνθρωπίνης μορφῆς αὐτοῦ Αὐγάρῳ τοπάρχῳ τῆς Ἐδεσηνῶν πόλεως ἀπέστειλε καὶ τὴν νόσον αὐτοῦ ἰάσατο. Καὶ μέντοι καὶ ἡ παρὰ τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ Λουκᾶ ἱστορηθεῖσα τῆς πανάγνου καὶ θεομήτορος ἔτι ζώσης αὐτῆς ἁγία εἰκὼν καὶ πεμφθεῖσα ἐν Ῥώμῃ πρὸς Θεόφιλον, πρὸς ὃν καὶ τὸ εὐαγγέλιον ἔγραφε καὶ τὰς πράξεις τῶν ἀποστόλων ἀπέστειλε, ἥτις καὶ ἕως τοῦ νῦν θαυματουργεῖ, διὸ δὴ καὶ ἐξ οἰκουμενικαὶ σύνοδοι ταύτας εὑροῦσαι προσκυνουμένας καὶ τιμωμένας ἀπεδέξαντο καὶ οὐδὲν περὶ αὐτῶν ἐλάλησαν ἐναντίον.

(12) Πλὴν (οὖν) τὴν (μὲν) καθαίρεσιν τῶν ἁγίων εἰκόνων ἀκούομεν μέλλειν ἔσεσθαι, ἀλλ' οὐκ ἐπὶ τῆς βασιλείας σου». Τοῦ δὲ καταναγκάσαντος ἐπὶ ποίας βασιλείας εἰπεῖν, εἶπεν ὁ ἅγιος· «ἐπὶ Κόνωνος». Ἀποκριθεὶς εἶπε· «ὄντως ἐγώ εἰμι· οὕτως γὰρ παιδιόθεν ἐκλήθην». Ὁ δὲ μέγας Γερμανὸς ὑπολαβὼν ἔφη· «μὴ γένοιτο, δέσποτα, ὑπὸ τῆς σῆς βασιλείας πραχθῆναι τὸ κακὸν τοῦτο (καὶ) θεοστυγές· (ἀντιχρίστου γάρ ἐστι πρόδρομος ὁ τοῦτο πληρῶν καὶ τῆς ἐν σαρκὶ τοῦ θεοῦ λόγου ἐπιδημήσεως ἀνατροπεὺς καὶ ἀντίδικος). Ὁ δὲ θεομάχος τύραννος ταῦτα ἀκούσας καὶ ὡς λέων βρύξας (αὐτίκα

---

7. Παύλου καὶ Πέτρου Eus. — 21. Ced. 797,18—798,3. — ἱερῶν Ced. — 22. σῆς β. Ced. — 23. βιασαμένου ἐ. ἐπὶ π. ἔφη ὁ Ced. — 24. ὁ δὲ ἀπ. ἔφη Ced. — 25. τοῦτο γάρ ἐστι τὸ βαπτιστικόν μου· καὶ ὁ μ. Ced. — 26. ἐπὶ Ced. — 27. τὸ θ. τ. κ. Ced. — 30. τοῦτο ἀκ. — σφ. χ. καὶ λεόντειον βρ. ἐ. τε ἀπ. Ced.

καὶ) σφόδρα χαλεπήνας, (ἀτίμως τ'ν δίκαιον ἐξήλασεν) εἰδωλολάτρην ἀποκαλέσας καὶ ταῖς ἰδίαις χερσὶ ῥαπίσας τῶν βασιλείων ἐξελαύνει.

(13) Φασὶ δέ τινες πιστότατοι ἄνδρες, ὅτι πρὸς τῇ βασιλικῇ (καλουμένῃ) κινστέρνῃ (τῇ οὔσῃ πλησίον τῶν χαλκοπρατείων) παλάτιον ἦν σεμνόν, ἐν ᾧ ὑπῆρχε κατὰ τύπον ἀρχαῖον οἰκουμενικὸς διδάσκαλος ἔχων (μεθ' ἑαυτοῦ ἑτέρους) μαθητὰς αὐτοῦ καὶ συλλήπτορας ιβ', πᾶσαν ἐπιστήμην μετερχομένους καὶ τὰ ἐκκλησιαστικὰ κρατύνοντας δόγματα, βασιλικὰς διαίτας καὶ βίβλους ὡσαύτως ἔχωντας, ὧν ἄνευ οἱ βασιλεῖς γνώμης καὶ βουλῆς οὐκ ἐθέσπιζον. Τούτους ὁ ἀγριώτατος θὴρ καὶ δυσώνυμος βάναυσος προσκαλεσάμενος ἐπειρᾶτο πείθειν αὐτοῦ τῇ ἀθείᾳ. Τῶν δὲ τοῦτο μὴ καταδεξαμένων, ἀλλὰ μᾶλλον ἐλεγξάντων αὐτοῦ τὴν ἀσέβειαν, προσέταξε συρομένους αὐτοὺς ἀτίμως ἐν τῷ αὐτῷ τόπῳ τοῦ διδασκαλίου αὐτῶν ἐγκλεισθῆναι· τούτου δὲ γενομένου, τῇ νυκτὶ πάλιν ἀποστείλας ὁ ἀνήμερος λέων ἢ δράκων νυκτεπάρχους τινὰς καὶ ἀπηνεῖς ἄνδρας προσέταξε συναχθῆναι πλῆθος ξύλων καὶ τούτων ὑπαναφθέντων κατακαῆναι τοὺς ἄνδρας μετὰ τῶν οἰκήματων καὶ τῶν βιβλίων καὶ τῶν λοιπῶν τῶν αὐτοῖς ὑπαρχόντων· οὗ γενομένου, ἄρδην πάντες κατεφλέχθησαν. Ἔκτοτε οὖν ἡ τῶν ἐπιστημόνων (162[b]) γνῶσις ἐν Ῥωμανίᾳ ἔπαυσεν τῇ τῶν βασιλευόντων γνωσιμάχων ἀπονοίᾳ μειουμένη, ἕως τῶν ἡμερῶν Μιχαὴλ καὶ Θεοδώρας τῶν εὐσεβῶν καὶ πιστοτάτων βασιλέων.

(14) (Ἐξουσιαστικῶς οὖν ἅμα καὶ δυσσεβῶς ἔκτοτε ὁ θὴρ τῆς αἱρέσεως ἄρχεται καὶ) τὴν ἐπὶ τῆς χαλκῆς πύλης

---

4. Ced. 795,19—796,6 πρὸς γὰρ τῇ β. κ. π. ἦν. — 6. ᾧ κ. τ. ἀ. ὁ. ἐκάθητο δ. Ced. — 7. μ. λόγῳ καὶ βίῳ σεμνοὺς τὸν ἀριθμὸν ιβ'. οὗτοι π. λογικὴν ἐπ. τάχει τε καὶ μεγέθει φύσεως μετερχόμενοι, οὐχ ἥκιστα τὴν ἐκκλησιαστικὴν μετήεσαν θεοσοφίαν, ὧν τῆς γ. χωρὶς οὐ θεμιτόν τι ποιεῖν ἐδόκει οὐδὲ τοῖς βασιλεῦσιν αὐτοῖς Ced. — 11. Τ. ὁ Κόνων συχνῶς προσκαλούμενος ἐπείραζε πεῖσαι τῇ ἀ. αἱρέσει. Καταθέσθαι δὲ μὴ καταδεχομένους ἀλλ' ἀντιπίπτοντας ἀτίμως κατακλεισθῆναι διεκελεύσατο ἐκεῖσε διὰ δὲ τῆς νυκτὸς πῦρ κυκλόθεν ὑφάψας, αὐταῖς ἑστίαις καὶ βίβλοις πολλαῖς καὶ καλαῖς καὶ σκεύεσι ἱεροῖς ὁ μιαρὸς κατέκαυσεν Ced. — 19. σὺν cod. — 26. Ced. 795,15,798,3—799,20. — · μεγάλης Ced.

(τοῦ παλατίου) εἰκόνα τοῦ κυρίου (ἡμῶν Ἰησοῦ Χριστοῦ) κατεάξας καὶ σιλέντιον (ἀσεβείας) κατὰ τῶν ἁγίων εἰκόνων ποιήσας προσκαλεῖται πάλιν τὸν ἅγιον Γερμανόν, οἰόμενος πεῖσαι αὐτὸν ὑπογράψαι (κατὰ τῶν ἱερῶν εἰκόνων). Ὁ δὲ μηδ' ὅλως εἴξας τῇ ϑωπείᾳ (αὐτοῦ) ἢ τῇ ἀπάτῃ τοῦ ἀλαστηρίου, ϑεὶς τὸ ὠμόφορον αὐτοῦ ἐπὶ τῆς ἁγίας τραπέζης τῆς μεγάλης ἐκκλησίας, ἀπεταξατο τὴν ἱερωσύνην καὶ ὑπεχώρησεν.

(15) Ὅτε καὶ τὴν ἁγίαν εἰκόνα τοῦ σωτῆρος, ἣν ἔσχεν παρ' ἑαυτῷ, ἀναλαβόμενος καὶ γράψας χαρτίον ἔχον οὕτως· «ὦ σῶτερ, σῶσον σεαυτὸν καὶ ἡμᾶς» εἰς τὴν ϑάλασσαν ἔϑηκε· ἡ δὲ ϑεία δύναμις ὁδηγουμένη ἀβρόχως καὶ ὄρϑιος διαπλεύσασα κατῆλϑεν εἰς Ῥώμην. Ἀποκαλυφϑεὶς οὖν ὁ ἐκεῖ πατριάρχης ἐξῆλϑε μετὰ παντὸς τοῦ κλήρου μετὰ κηρῶν καὶ ϑυμιαμάτων καὶ ὁρᾷ αὐτὴν ἐρχομένην ἐπὶ τῶν ὑδάτων, ἥτις καὶ ἐξελϑοῦσα ἀφ' ἑαυτῆς, εἰσῆλϑεν εἰς τὰς χεῖρας τοῦ πατριάρχου ἐν τῷ πλοίῳ, μηδὲ πλησίον ἄλλου πλοίου πλησιάσασα, ἣν καὶ κατασπασάμενος ὁ ἀρχιερεὺς μετὰ ψαλμῶν καὶ ὕμνων ἀπήγαγεν ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, ἄβροχος ὅλη διαμείνασα, εἰ μὴ μόνον ἄχρι τριῶν δακτύλων διανοτισϑεῖσα. Καὶ τοῦτο πρὸς μείζονα δόξαν ϑεοῦ.

(16) Ὁ δὲ ϑεομάχος χειροτονεῖ ἀντ' αὐτοῦ Ἀναστάσιον 730
πρεσβύτερον τῆς μεγάλης ἐκκλησίας, συνϑέμενον κατὰ τὴν ἀσεβῆ αὐτοῦ βουλὴν πάντα ποιεῖν.

(17) Πᾶσαν οὖν εἰκονικὴν ἀνατύπωσιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ϑεοῦ καὶ τῆς ϑεομήτορος καὶ πάντων τῶν ἁγίων κατέστρεψε καὶ κατέκαυσε καὶ διωγμὸν μέγαν

---

1. τοῦ κῦ ἐ. (τοὺς καϑελόντας ἀνεῖλον οἱ ὄχλοι) Ced. — 2. σ. τε π. κ. τῶν ἁ. ἐ. πρ. Ced. — 3. οὐδ' ὁ. εἴξε τῇ ϑ. ἢ τῇ ἀπειλῇ τοῦ τυράννου μᾶλλον, μὲν οὖν ἀνέμνησεν αὐτὸν ὁ μακάριος τῶν πρὸ τῆς αὐτοκρατορίας συνϑηκῶν — τὸ ὠ. ἐν τῇ ἁγίᾳ τραπέζῃ τῆς μ. ἐ. ϑεὶς ἀπ. τῇ ἱερωσύνῃ καὶ ὑπ. Ced. qui historiolae sequentis de Christi imagine Romam transvecta loco relationem habet de Gregorio Dialogo vel potius Gregorio II Francorum auxilio tributa Leoni denegante, quae apud Georgium § 18 rectius legitur. — 10. Luc. XXIII. 37. — 21. Ced. 799,20—22: Ὁ δὲ ϑ. ἀντ' ἀ. χ. Ἀ. τὸν προλεχϑέντα σύγκελλον σ. τῇ ἀσεβεῖ ἀ. βουλῇ καὶ αἱρέσει.

ἐγείρας, πολλοὺς ἱερεῖς καὶ μονάζοντας καὶ λαϊκοὺς διαφόροις τιμωρίαις καὶ θανάτοις ὑπέβαλεν.

725 — 729 (18) Διὰ ταῦτα οὖν ὁ τῆς μεγάλης Ῥώμης πρόεδρος Γρηγόριος τὴν τῆς αὐτοῦ βασιλείας ὑποταγὴν ἀπωσάμενος, τὸ αἱρετικὸν αἶσχος ἀποδιδράσκει, σπονδὰς εἰρηνικὰς εἰς τὴν τῶν Φράγγων ὑποταγὴν εἰσδεξάμενος σὺν πάσῃ τῇ Ἰταλίᾳ, καὶ τοὺς φόρους εὐθὺς κωλύει, τὸν Ἀναστάσιον δὲ καὶ τοὺς σὺν αὐτῷ ἀναθέματι καθυποβαλών.

740 (19) Ἐφ' ὧν χρόνων καὶ σεισμὸς ἐγένετο μέγας καὶ φοβερώτατος, καὶ ἐπτώθησαν ἐκκλησίαι πολλαὶ καὶ οἶκοι καὶ τὰ χερσαῖα τείχη τῆς πόλεως καὶ φρούρια πολλὰ καὶ χωρία τῆς Θρᾴκης, καὶ τέθνηκε λαὸς ἀναρίθμητος· ἔπεσε δὲ καὶ ἡ στήλη Ἀρκαδίου (ἡ) ἐν τῷ ξηρολόφῳ καὶ Νικομήδεια καὶ Νίκαια, καὶ ἡ γῆ ἐσείετο ἐπὶ χρόνους δύο, ὥστε καὶ τὴν θάλασσαν τῶν ἰδίων ὅρων ἔν τισι τόποις ὑποχωρῆσαι.

(20) Εἰδὼς δὲ ὁ βασιλεὺς τὰ τείχη καταπτωθέντα διελάλησε λέγων· «ὅτι ὑμεῖς, οἱ τῆς πόλεως, ἀδυνατεῖτε τὰ τείχη κτίσαι· ἀλλὰ προσετάξαμεν τοῖς διοικηταῖς· εἰς τὸν κανόνα ἀπαντῆσαι κατὰ νόμισμα μιλιαρίσιον ἕν»· καὶ λαμβάνει αὐτὸ ἡ βασιλεία καὶ κτίζει τὰ τείχη». Ἔκτοτε ἐκράτησεν ἡ συνήθεια παρέχειν τὰ δικέρατα τοῖς διοικηταῖς.

---

3. Ἐν δὲ τῇ πρεσβυτέρᾳ Ῥώμῃ Γρ. ἀποστολικὸς ἀνὴρ καὶ Πέτρου τοῦ κορυφαίου σύνθρονος, ὃς διὰ τὰ ὑπ' αὐτοῦ γενόμενα θεῖα ποιήματα Διάλογος ἐκλήθη, οὗτις ὁ ἅγιος διὰ τὰς ἀνοσιουργίας Λέοντος ἀφηνίασε καὶ πρὸς τὸν Φράγγον σπονδὴν εἰρηνικὴν ποιησάμενος, τούς τε φ. ἐκώλυσε καὶ τὸν Ἀ. καὶ τ. σὺν ἀνεθεμάτισε Ced. 799,2—9. — 9. Τῷ κδ' ἔτει — τῇ κς' τοῦ Ὀκτωβρίου μηνός, τοῦ ἁγίου Δημητρίου ἡμέρᾳ δ', ὥρᾳ η', σ. μ. γέγονε καὶ φοβερὸς ἐν Κ. Π. καὶ ἐπτ. Ced. 801,9—17. — 10. ἐκκλ. καὶ μοναστήρια καὶ ὁ. καὶ λ. πολὺς ἀπέθανεν Ced. — 12. ἐπ. — Νίκαια om. Slav. sed habent Ced. et Leo. — 13. ξ. καὶ ἄλλαι πολλαὶ καὶ τὰ χ. τῆς π. τ. καὶ πόλεις καὶ χ. ἐν τῇ Θρᾴκῃ ἥ τε Νίκαια καὶ Νικομ. καὶ Πραίνετος· ἀπέφυγε δὲ καὶ ἡ θάλασσα τῶν ἰ. ὁ. ἐν τ. τ. ἐκράτει δὲ καὶ ὁ σεισμὸς μῆνας ια' Ced. — 16. Ced. 801,17—22 Ἰδὼν δὲ κτλ., om. Slav. — τ. τῆς πόλεως πτ. Ced. — 18. κτίζειν Ced. — τῶν θεμάτων Ced. — ἀπ. εἰς τὸν κ. Ced. — 20. κτ. αὐτά· κἀντεῦθεν ἀπεκρ. Ced.

CCXLIX. ΠΕΡΙ ΤΟΥ ΜΑΣΑΛΜΑ.

Ὁ δὲ Μάσαλμας ἐξεδέχετο τὰς τοῦ Λέοντος ὑποσχέσεις, μηδὲν δὲ δεξάμενος, ἀλλὰ γνοὺς, ὅτι ἐνεπαίχϑη ὑπ' αὐτοῦ, ἐπὶ τὴν βασιλεύουσαν πόλιν ἐκίνησε καὶ τὴν Ἄβυδον καταλαβὼν καὶ ἀντιπεράσας λαὸν ἄπειρον καὶ πρὸς τὴν πόλιν ἐξορμήσας γράφει πρὸς Σουλειμὰν, τὸν πρωτοσύμβουλον, ἐλϑεῖν ἐν τάχει μετὰ στόλου.

(2) Καὶ τῷ Αὐγούστῳ μηνὶ παρακαϑίσας τῇ πόλει καὶ τὸ χερσαῖον τεῖχος περιχαρακώσας, ἐλυμαίνετο σφόδρα τὰ Θρᾳκῶα μέρη.

(3) Τῇ δὲ πρώτῃ τοῦ Σεπτεμβρίου μηνὸς ἀνέλαβεν ὁ Σουλειμᾶς ἔχων εὐμεγέϑεις ναῦς τριήρεις καὶ δρόμωνας μεγάλους πάνυ χιλίους ὀκτακοσίους.

(4) Ὁ δὲ βασιλεὺς τὰς ἐμπυρίους ναῦς κατ' αὐτῶν ἐκπέμ- 718
ψας μετὰ τοῦ ὑγροῦ πυρὸς, πυριαλώτους ἐποίησε τὰς πλείστας ναῦς ἐκείνας· αὐτίκα γοῦν αἱ μὲν εἰς τὰ παράλια τείχη πυρπολούμεναι προσαπερρίφησαν, αἱ δὲ εἰς τὸν βυϑὸν αὖτανδρα συνωϑούμεναι κατεποντίσϑησαν, αἱ δὲ μέχρι τῆς Ὀξείας νήσου καὶ τῆς Πλάτης ἀπηνέχϑησαν καταφλεγόμεναι. Κἀντεῦϑεν τοίνυν οἱ μὲν τῆς πόλεως ϑάρσος λαβόντες τῶν πολεμίων μεγάλως καταπτοηϑέντων.

CCL. ΠΕΡΙ ΤΗΣ ΝΟΣΟΥ ΕΑΡΙΝΗΣ.

Παραχειμάσαντες δὲ τῇ πόλει, τῷ ἐαρινῷ καιρῷ λοιμικὴ νόσος αὐτοῖς ἐνσκήψασα μετὰ καὶ λιμοῦ, πλῆϑος ἀναρίϑμητον ἐξ αὐτῶν διέφϑειρε.

---

1. Rubrica M. 2 et Par. 1706, in codice evanuit. — 4. πάλ. cod. — 5. καταλαμβάνει cod. — 8. Τῷ β' ἔτει κατέλαβε Σ. μ. στ. καὶ ἀμηράδων καὶ διεπέρασεν ἐξ Ἀβύδου ἐν τῇ Θράκῃ Cod. 789,14,15. — 14. Ταῦτα πάντα, διὰ τῆς βοηϑείας τοῦ εὐσπλάγχνου ϑεοῦ καὶ τῶν πρεσβειῶν τῆς ϑεοτόκου κατὰ τὸν τόπον, τὰ μὲν ἐβυϑίσϑησαν ὑπὸ ἀνέμων, τὰ δὲ ἐνεπρήσϑησαν, καὶ πάντες μετὰ τῶν πλοίων αὐτῶν ἄρδην ἀπώλοντο, πολεμοῦντες τὴν πόλιν ἐπὶ ἔτη β' Cod. 790,4—8. — 18. συνωϑούμενοι cod. — 20. ἔλαβον? — 22. Rubrica M. 2 et Par. 1706? in codice evanuit. — 23. Ἐνέσκηψε δὲ ἀ. καὶ λ. ν. καὶ ἀναρίϑμητα πλήϑη ἐξ ἀ. ὤλεσε. Cod. 790,15,16. Παραχειμασάντων?

(2) Ἐξ ὧν οἱ περιλειφθέντες πόλεμον μετὰ Βουλγάρων ἐν τῇ Θράκῃ συνάψαντες, ἀνηρέθησαν χιλιάδες κβ'.

(3) Τῇ δὲ ιε' τοῦ Αὐγούστου μηνὸς ἐκ τῆς πόλεως ἀπάραντες καὶ ἀνέμου σφοδροτάτου πνεύσαντος, οἱ μὲν ἐν Προικοννήσῳ καὶ ταῖς ἄλλαις ἀκταῖς ἀπώλοντο, οἱ δὲ ἐξαβυδίσαντες ἀθρόως, ἐπελθὸν νέφος χαλάζης πλῆρες τετριγὸς ὀλέθριον μετὰ βιαίου ἀνέμου, ὑποβρύχιοι πάντες ἐγένοντο· διεσώθησαν δὲ παραδόξως ἐκ τῶν ϛω' ε' μόνα πλοῖα, ἃ καὶ ἀγήγγειλαν εἰς τὰ ἴδια τὴν τῶν Ῥωμαίων νίκην καὶ τὴν ἑαυτῶν πανολέθριον κατάπτωσιν.

(4) Σέργιος δὲ στρατηγὸς Σικελίας, ἀκούσας ὅτι οἱ Ἀγαρηνοὶ ἐκπορθοῦσι τὴν πόλιν, ἔστεψε* βασιλέα ἐκ τῶν ἀνθρώπων αὐτοῦ, (ὀνόματι) Βασίλειον, ᾧ ἐπώνυμον Ὀνομαγούλου, ποιήσας καὶ προβολὰς ἀρχόντων. Ὁ δὲ βασιλεὺς ταῦτα ἀκηκοὼς, ἀπέστειλεν (ἐκεῖσε) Παῦλον μετὰ κελεύσεων καὶ στόλου. Μαθόντες οὖν οἱ Σικελιῶται, ὅτι κατετροπώθησαν οἱ Σαρακηνοὶ καὶ Λέων βασιλεύει, τόν τε Βασίλειον καὶ τοὺς λοιποὺς ἄρχοντας παραδεδώκασι τῷ Παύλῳ, καὶ πάντας ὁμοῦ ἐπὶ τὸ αὐτὸ ἀπεκεφάλισεν ὡς ἀντάρτας.

---

1. Συνῆψαν δὲ πρὸς αὐτοὺς καὶ οἱ Βούλγαροι π. καὶ κατέσφαξαν χιλιάδας κβ' Ἀράβων Ced. 790,17,16. — 3. Τὰ δὲ ἐναπομείναντα πλοῖα τῶν Ἀράβων καὶ Οὐμάρου τῇ ιε' τοῦ Ἀ. μ. μετ' αἰσχύνης πολλῆς ἀνακάμψαι βουληθέντα λαίλαψ ἐκ θεοῦ ἐνσκήψας τὰ μὲν ἐν Π. τὰ δὲ ἐν τοῖς ἀποστρόφοις καὶ ταῖς λοιπαῖς ἀ. κατεπόντισε· τοῖς δὲ περιλειφθεῖσιν ἐν τῷ Αἰγείῳ πελάγει χάλαζα πυρίνη ἐνσκήψασα ἀναβράσαι τὴν θάλασσαν πεποίηκε, καὶ τῆς πίσσης λυθείσης, αὐτάνδρα ἀπώλοντο, μόνων ε' εἰς Συρίαν διασωθέντων, τὴν τοῦ θεοῦ δυναστείαν ἀπαγγέλλοντα Ced. 791,12—19. — 6. ἐπελθόντος νέφους χ. ὀλέθρου Leo. — πλήρης — τετριγὼς cod. — 10. πανωλεθρον Leo. — 11. Ced. 790,23—791,12: Τούτῳ τῷ ἔτει Σ. πρωτοσπαθάριος καὶ στ.— * ἴδιον Ced. — Σαρακηνοὶ παρακαθέζουσι τὴν π. Ced. — 13. Β. πολίτην, τὸν υἱὸν Ὀν. μετονομάσας αὐτὸν Τιβέριον, ἐποίησε δὲ πρ. καὶ ἰδίους ἄρχοντας μετὰ βουλαῖς Σεργίου Ced. — 15. ἀκούσας Ced. Leo. ἀποστέλλει Π. τὸν οἰκεῖον αὐτοῦ μ. δυνάμεως, ὃς καταλαβὼν τὴν Σικελίαν καὶ τὰς βασιλικὰς προστάξεις ὑπαναγνοὺς τῷ λαῷ, εὐθὺς τὸν μὲν Λέοντα βασιλέα εὐφήμησαν Ced. — 17. Β. δὲ τὸν Ὀνομάγουλον καὶ τ. σὺν αὐτῷ δεσμίους τῷ Π. π. οὓς καρατομήσας τὰς κεφαλὰς αὐτῶν τῷ βασιλεῖ ἐξαπέστειλεν. Ὁ δὲ Σέργιος λόγους ἀπαθείας λαβὼν ἐξῆλθε πρὸς τὸν Παῦλον καὶ οὕτως εἰρήνευσαν τὰ ἑσπέρια Ced.

(5) Νικήτας δὲ (ὁ πατρίκιος) ὁ ξυλινίτης μετὰ καὶ 719
ἑτέρων πατρικίων τὸν Τέρβελιν διὰ γραμμάτων καὶ πολλῶν
χρημάτων καὶ δώρων δεξιωσάμενοι, παρώρμησαν ἐλθεῖν
κατὰ Λέοντος, οὓς τινὲς τῶν Βουλγάρων παραδεδώκασιν
καταμηνύσαντες τῷ βασιλεῖ, καὶ πάντας ἐν φόνῳ μαχαί-
ρας ἀνεῖλε.

(6) Ἔστεψε δὲ Λέων Κωνσταντῖνον, τὸν υἱὸν αὐτοῦ, ἐν 720
τῷ τριβουναλίῳ τῶν ιθ' ἀκουβιτόρων.

(7) Ἐβάπτισε δὲ καὶ τοὺς Ἑβραίους ἀναγκαστῶς, 722
ὥστε λέγεσθαι ἔκτοτε τοὺς Ἑβραίους καὶ Μοντανούς.

(8) Ἰωάννην τε τὸν Δαμασκηνόν, ὃν καὶ Χρυσορρόαν
ἐκάλουν διὰ τὴν ἐνοῦσαν αὐτῷ σοφίαν, ἑξορίσας Μανσοὺρ
ἐπωνόμασε, ὅ ἐστι βλάσφημος.

(9) Ἐνυμφεύσατο δὲ εἰς τὸν υἱὸν Κωνσταντῖνον τὴν 732
θυγατέρα τοῦ χαγάνου τῶν Σκυθῶν δυνάστου, χριστιανὴν
ποιήσας καὶ Εἰρήνην ἐπονομάσας, ἥτις μαθοῦσα τὰ ἱερὰ
γράμματα, διέπρεπεν ἐν εὐσεβείᾳ τὴν τούτων δυσσέβειαν
ἐλέγχουσα.

(10) Πολλὰ δὲ τῇ Ῥώμῃ κακὰ ἐνεδείξατο διὰ τὸν
πάπαν καὶ πάκτα ἐτήσια ταῖς ἐκκλησίαις διετάξατο
τελεῖν.

---

1. Cod. 792,14—22 Τῷ δ' αὐτῷ (γ') ἔτει Ν. — Ξ. γράφει πρὸς Ἀρτέμιον ἐν Θεσσαλονίκῃ ἀπελθεῖν πρὸς Σ. τοῦ ἀναλαβέσθαι συμμαχίαν Βουλγαρικὴν καὶ ἐ. κ. Λ. Τοῦ δὲ ἀπελθόντος, δίδωσιν αὐτῷ στρατὸν ὁ Τ. καὶ ν' κεντηνάρια χρυσίου — μὴ δεξαμένης δὲ αὐτὸν τῆς πόλεως, οἱ Βούλγαροι τοῦτον τῷ Λέοντι π. — ὁ δὲ βασιλεὺς τὸν Ἀρτέμιον σὺν τῷ Ξυλινίτῃ ἀ. — καὶ τὸν ἀρχιεπίσκοπον Θεσσαλονίκης καὶ ἄλλους πλείστους κτλ. — 7. Cod. 793,3—5: Τῷ δ' ἔτει τῇ ἡμέρα τοῦ πάσχα ἐστέφθη Κωνσταντῖνος ὁ Καβαλλῖνος ὑπὸ Λέοντος τοῦ πατρὸς αὐτοῦ ἐν τῷ τρ. ὑπὸ τοῦ ἁγίου Γερμανοῦ — 9. Τῷ ς' ἔτει ἠνάγκασεν ὁ βασιλεὺς τοὺς Ἑ. καὶ τοὺς Μ. βαπτίζεσθαι κτλ. Cod. 793,12—17.— 11. Ἐν δὲ τῇ κατὰ Συρίαν Δαμασκῷ Ἰω. μοναχὸς καὶ πρεσβύτερος ὁ Χρ. ὁ τοῦ Λεντράβος (a נָצַר servare) ὅνπερ ὁ δυσσεβὴς Μανζὴρ (מַמְזֵר ἐκ πόρνης Deuteron. XXIII. 2, ἀλλογενὴς Zach. IX 6) μετων. Cod. 799,9—12. — 14. Τῷ ις' ἔτει Δέων ὁ βασιλεὺς τὴν θυγατέρα χαγάνου τοῦ τῶν Σ. δ. τῷ υἱῷ Κωνσταντίνῳ ἐν π. ἀ. χ. καὶ ὀν. Ἑ. ἥτις ἐκμ. διέπρεψεν ἐν ἐ. τὴν τῶν ἀθέων δ. ἐ. Cod. 800,7—11. — 19. Cod. 800,11—20?

640 Δ'. σν'. π. τῆς νόσου καὶ τῶν Ἀγαρηνῶν. σνα' π. τοῦ ἐλεήμ.

(11) Ἐστράτευσαν δὲ καὶ οἱ Ἀγαρηνοὶ κατὰ πάσης Ῥωμανίας (163[b]) καὶ πολλὴν αἰχμαλωσίαν λαβόντες ὑπέστρεψαν.

741 (12) Ἐν τούτοις ὁ παμμίαρος τελευτᾷ, νόσῳ δυσεντερίας τὴν ψυχὴν ἀποῤῥήξας.

CCLI. ΠΕΡΙ ΤΟΥ ΕΛΕΗΜΟΝΟΣ ΑΝΔΡΟΣ ΚΑΙ ΠΟΡΝΟΥ.

Ἐφ' ὧν χρόνων ὑπῆρχεν ἐν Κ. Π. ἄνθρωπός τις διαβόητος καὶ περιφανὴς ἄγαν καὶ πλούσιος σφόδρα, φιλόπτωχος καὶ ἐλεήμων ἄκρως· εἶχε δὲ ἐξ ἐνεργείας τοῦ πονηροῦ τὸ πάθος τῆς πορνείας. Εἰς γῆρας οὖν ἐλθὼν καὶ μήτε τῆς πολλῆς καὶ καθ' ὑπερβολὴν ἐλεημοσύνης σχολάσας, μήτε μὴν ἐκ τῆς πορνείας διὰ τὴν χρόνιον καὶ κακίστην συνήθειαν ἐκκόψας, ἐτελεύτησεν αἰφνίδιον. Ζητήσεως δὲ γενομένης περὶ αὐτοῦ παρά τε τοῦ πατριάρχου Γερμανοῦ καὶ τῶν ἐπισήμων ἐπισκόπων καὶ τῶν μὲν λεγόντων εὐθέως διὰ τὸ γεγράφθαι· «λύτρον ψυχῆς ἀνδρὸς ὁ ἴδιος πλοῦτος» — ἐξ ἰδίων γὰρ καὶ δικαίων πόνων καὶ οὐκ ἐξ ἀλλοτρίων καὶ ἀδίκων ἐποίει τὴν ἐλεημοσύνην —, τῶν δὲ μὴ παραδεχομένων, ἀλλ' ἀντιλεγόντων ὡς ἄμωμον εἶναι χρὴ τὸν δοῦλον τοῦ θεοῦ καὶ τέλειον· γέγραπται γὰρ· «ἐάν τις ὅλον τὸν νόμον πληρώσῃ, πταίσῃ δὲ ἐν ἑνί, γέγονε πάντων ἔνοχος», καί· «ἐν ᾧ εὕρω σε, κρινῶ σε, φησὶν ὁ θεός». Καὶ ἐκηρύχθη νηστεία καὶ προσευχὴ ὑπὸ τοῦ πατριάρχου, καὶ ἐδήλωσεν εἰς ὅλα τὰ μοναστήρια καὶ ἡσυχαστήρια δεηθῆναι τοῦ θεοῦ τοῦ γνωρίσαι αὐτοῖς διά τινος ἀποκαλύψεως τὰ περὶ τοῦ ἀνθρώπου τούτου· ὅπερ γενομένου ἀπεκάλυψεν ἐγκλείστῳ τινὶ μεγάλῳ καὶ θεοφόρῳ πῶς καὶ τυγχάνει ὁ ἄνθρωπος. Καὶ δὴ μεταστειλάμενος αὐτίκα τὸν πατριάρχην διηγήσατο μετὰ πολλῶν δακρύων ἐνώπιον παντὸς τοῦ λαοῦ λέγων οὕτως· «θεωρῆσαί μοι * τῇ νυκτὶ ταύτῃ προσευχομένῳ κατὰ θείαν ἔκστασιν τόπον τινά, ἐκ δεξιῶν μὲν ἔχοντα παράδεισον ἀνεξέγητον καλλος περικείμενον, ἐξ εὐωνύ-

4. Ced. 802,11. ν. δ. βληθείς. — 6. π. τοῦ Φιλεντόλου Ὀλύμπου τοῦ πορνοῦντος καὶ ποιοῦντος ἐλεημοσύνην M. 2. — 7. Glyc. 522,19—523,11. — 14. διὰ δὲ τοῦ cod. — 15. Prov. XIII. 8. — 19. Jac. II. 10. — 20. Iustinus M. Dial. 47 cf. Mt. XXIV. 46, 50 et Hiob. XXXIV. 11? — * ἔτυχε?

μων δὲ κάμινον, ἧς ἡ φλὸξ μέχρι τῶν νεφελῶν ἀνήρχετο, καὶ τὸν τελευτήσαντα πλούσιον τοῦτον μέσον τοῦ παραδείσου καὶ τῆς φοβερᾶς ἱστάμενον καμίνου καὶ πολλὰ στενάζοντα καὶ πυκνὰ πρὸς τὸν παράδεισον ἀποβλέποντα· ἐν τῷ οὖν στενάζειν αὐτὸν καὶ ὀδύρεσθαι, ὁρῶ τινα λαμπροφόρον ἐπιστάντα καὶ λέγοντα πρὸς αὐτόν· «τί μάτην στενάζεις, ἄνθρωπε; ἰδοὺ γὰρ διὰ τὴν ἐλεημοσύνην σου ἐλυτρώθης τῆς γεέννης, διὰ δὲ τὸ μὴ ἀποστῆναί σε τῆς ἀκαθάρτου καὶ βδελυρᾶς πορνείας, ἐστερήθης τοῦ παραδείσου». — Καὶ ταῦτα ὅ τε πατριάρχης καὶ οἱ σὺν αὐτῷ ἀκούσαντες, φόβῳ μεγάλῳ συσχεθέντες, πρὸς ἀλλήλους ἔλεγον· «δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου»· δικαίως οὖν καὶ ὁ ἀπόστολος ἔλεγε· «φεύγετε τὴν πορνείαν· πᾶν ἁμάρτημα ὃ ἐὰν ποιῇ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν· ὁ δὲ πορνεύων, εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει». Καὶ γὰρ ὁ θεὸς ἐν τῷ νόμῳ παρεγγυᾷ φάσκων· «γίνεσθε ἅγιοι ὅτι ἐγὼ ἅγιός εἰμι»· καί· οὐ πορνεύσῃς «οὐ μοιχεύσῃς» καί· «οὐκ ἔσται πορνεία ἀπὸ θυγατέρων Ἰσραὴλ, καὶ οὐκ ἔσται πορνεία ἀπὸ υἱῶν Ἰσραήλ». — Ποῦ νὺν εἰσιν οἱ λέγοντες, ὅτι κἂν πορνεύσω, ποιῶ ἐλεημοσύνην καὶ σώζομαι; ὁ γὰρ ὄντως ἐλεήμων, ἑαυτὸν ὀφείλει πρῶτον ἐλεῆσαι· γέγραπται γάρ· «διώκετε τὴν ἐλεημοσύνην καὶ τὸν ἁγιασμόν, ὧν χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον». Οὐκοῦν οὐδὲν ὀφελήσει τὸ ἀργύριον διδόμενον ἐκ χειρῶν ῥυπαρῶν καὶ ψυχῆς ἀμετανοήτου (164[a]) καὶ μεμολυσμένης καὶ διεφθαρμένης ὑπὸ τῶν ἀκαθάρτων ἔργων.

CCLII. ΠΕΡΙ ΔΕΣΜΟΥ.

Ἐγένετο δὲ καὶ ἐν τῇ μεγάλῃ Ῥώμῃ κατὰ ταύτας τὰς ἡμέρας τι τοιοῦτον· Μοναχός τις ἀφωρισμένος * ὑπὸ Γρηγορίου τοῦ πά-

---

10. δίκαιος — σου Ps. CXIX. 136, om. Slav. — 1 Cor. VI. 18. — 14. Lev. XI. 44, XX. 7,26, ἁ. ἔσεσθε vel ἐ. ἁ. vel ἐ. μοι ὁ.—15. Ex. XX. 13, Deut. V. 18.—Deut. XXIII. 17 πόρνη, קְדֵשָׁה — πορνεύων קָדֵשׁ. — 19. γεγρ. — ἁγιασμόν om. Slav. εἰρήνην δ. μετὰ πάντων καὶ τὸν ἁ. οὗ χ. Heb. XII. 14. — 23. π. τοῦ ἀφορισμοῦ τοῦ παππᾶ M. 2, π. τ. μοναχοῦ τοῦ ἀφορισθέντος ὑπὸ Γρηγορίου πάπα Ῥώμης Par. 1706. — 26. Glyc. 523,19—524,15. — * ἦν?

πα ὡς παρὰ γνώμην τοῦ ἡγούμενου αὐτοῦ καὶ παρὰ τὸν θεσμὸν τοῦ μοναστηρίου τοῦ αὐτοῦ Γρηγορίου ποιήσας. Μετ' ὀλίγας οὖν ἡμέρας ἐτελεύτησεν ὁ ἀφωρισμένος μοναχὸς, ὅπερ ἀκούσας ὁ πάπας μεγάλως ἐλυπήθη, ὅτι ἀπῆλθε δεδεμένος· καὶ γράψας ἐν χάρτῃ εὐχὴν λύουσαν αὐτὸν τοῦ δεσμοῦ, ἔδωκέ τινι τῶν διακόνων εἰπών· «ἄπελθε καὶ ἀνάγνωθι αὐτὴν ἐν τῷ τάφῳ τοῦ τεθνεῶτος ἀδελφοῦ». Καὶ τούτου γενομένου θεωρεῖ ὁ ἡγούμενος κατ' ὄναρ τὸν ἀδελφὸν καὶ λέγει αὐτῷ· «λύπην ἔχομεν περὶ σοῦ, ἀδελφὲ, ὅτι δεδεμένος ἐτελεύτησας· εἰπὲ οὖν ἡμῖν πῶς ὑπάρχεις». Ὁ δὲ ἀποκριθεὶς εἶπε· «ὄντως, πάτερ, εἰς φυλακὴν ἦμην ἕως τῆς χθές· σήμερον δὲ διὰ τοῦ Χριστοῦ ἐλύθην»· ὅπερ ἐξηγησάμενος ὁ ἡγούμενος τῷ πάπᾳ, ἐγνώσθη πᾶσιν, ὅτι καθ' ἣν ὥραν ὁ διάκονος ἀνέγνω τὴν εὐχὴν ἐπὶ τοῦ τάφου, τότε καὶ τοῦ δεσμοῦ ὁ ἀδελφὸς ἐλύθη· καὶ πάντες οἱ ἀκούσαντες «ἔδωκαν δόξαν τῷ θεῷ τῷ διδόντι τοιαύτην ἐξουσίαν τοῖς ἑαυτοῦ δούλοις».

(2) Διὰ δὴ τοῦτο ὁ μέγας Χρυσόστομος φησίν· «Ἡμεῖς μὲν κατὰ τὸν ἐκκλησιαστικὸν θεσμὸν, τὰ δεσμὰ περιβάλλομεν· εἰ δέ τις καταφρονείη τούτων, ἐπιστήσεται ὁ τοῦ θανάτου καὶ τῆς κρίσεως καιρὸς διδάσκων αὐτὸν ὡς ἀψευδὴς ὁ λόγος τοῦ Κυρίου καὶ ὁ νόμος τῆς αὐτοῦ ἐκκλησίας· ὅθεν λοιπὸν ἐγὼ μὲν ἀνεύθυνός εἰμι, τὸ γὰρ ἐμαυτοῦ πεποίηκα· ἐκεῖνος δὲ τὸν θεῖον ζυγὸν ἀποῤῥίψας καὶ τὰ ἱερὰ δεσμὰ διαῤῥήξας, ὁ λόγος αὐτῷ πρὸς τὸν ἐμοὶ κελεύσαντα δῆσαι· οὐδὲ γὰρ, βασιλέως προκαθημένου, [εἰ] τῶν παρεστώτων δορυφόρων τις ἐπετράπη δῆσαι* τῶν ὑπηκόων καὶ τὰ δεσμὰ περιβαλεῖν, ἐκεῖνος δὲ οὐ μόνον ἀπώσατο τοῦτον, ἀλλὰ καὶ τὰ δεσμὰ διαῤῥήξειεν, οὐχ ὁ δορυφόρος ἐστὶν ὁ τὴν ὕβριν ὑποίσας, ἀλλ' ὁ κελεύσας βασιλεύς· καὶ μάλα εἰκότως τὰ λοιπὰ εἰς τοὺς διδασκάλους γινόμενα προσοικειούμενος ὁ παμβασιλεὺς Κύριος, αὐτὸ ὡς τετιμημένος ἢ ὑβρισμένος διακείσεται».

---

2. ποιήσαντος cod. — 10. ἕως τὴν cod. — 14. Matth. IX. 8. ἐδόξασαν τὸν θν τὸν δόντα ἐ. τ. τοῖς ανοις. — 16. de sacerdotio III 5. sim illa. sed non plane eadem inveniuntur in Io. XX. 3, Mt. XVIII. 18. — * τινὰ?

CCLIII. ΒΑΣΙΛΕΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΚΟΠΡΩΝΥΜΟΥ.

Μετὰ δὲ Λέοντα τὸν Ἴσαυρον, ὅστις ἐβασίλευσεν ἔτη κδ', ἐβα- 741
σίλευσε Κωνσταντῖνος, ὁ Καβαλινὸς ὁ υἱὸς αὐτοῦ, ἔτη λδ',
ἐκ δεινοτάτου λέοντος φανεὶς ποικιλότροπος πάρδαλις*·
«ἐκ** σπέρματος ὄφεων ἀσπὶς (δεινὴ ἐξελεύσεται) καὶ ὄφεις
πετάμεναι (φησὶν ὁ προφήτης, οἷος αὐτὸς γέγονεν ὁ ἐκ Δὰν ἀν-
τίχριστος.) Οὗτος τὴν πατρῴαν βασιλείαν τε καὶ δυσσέ-
βειαν ἐκδεξάμενος, πλεῖον (καὶ μᾶλλον) ἐκ (τῆς) τοῦ θεοῦ
(καὶ τῆς θεομήτορος καὶ πάντων τῶν ἁγίων) διΐστατο·
καὶντεῦθεν λοιπὸν μαγείαις*** καὶ δαιμόνων ἐπικλήσεσι****
καὶ ἄλλοις πονηροῖς ἐπιτηδεύμασι χαίρων καὶ σχολάζων,
(ἐξαίρετον) ὄργανον (καὶ λίαν) ἐπιτήδειον τοῦ πατρὸς αὐτοῦ
καὶ διδασκάλου γέγονε διαβόλου· (καὶ γὰρ εἰς τοσαύτην ἀπό-
νοιαν καὶ παραπληξίαν ἐξώκειλεν) ὡς καὶ θεσμὸν καθολικὸν
(ἐπὶ λαοῦ) ἐκθέσθαι, μὴ λέγεσθαί τινα (τῶν θεραπόντων τοῦ
Κυρίου) τοπαράπαν ἅγιον, ἀλλὰ καὶ τὰ λείψανα τούτων εὑρισ-
κόμενα διαπτύεσθαι, καὶ μηδὲ πρεσβείαν αὐτῶν ἐξαιτεῖν·
οὐδὲν γὰρ***** ἰσχύουσιν· (εἶτα) προσθεὶς ὁ ἀνόσιος (164ᵃ)
(καὶ παμβέβηλος λέγει)· «μηδὲ τὴν τῆς Μαρίας ἐπικαλείσθω
τις πρεσβείαν—οὐ γὰρ δύναταί τι****** μηδὲ******* θεοτόκον
αὐτὴν ὀνομάζεσθαι· καὶ δὴ λαβὼν ἐν χειρὶ βαλάντιον πλῆ-

---

* ΚΑΒΑΛΛΙΝΟΥ ΚΑΙ Μ. 2. — 2. Ced. II. 3,1—4,5. Κόσμου ἔτος ,ϛολ', τῆς θείας σαρκώσεως ἔτος ψλθ' Κ. ὁ Κ. εἰκονομάχος ἐβ. — ὅστις ἐβ. ἔτη κδ' om. Mon. — ** καὶ Ced. — *** γὰρ cod. Ies. — 3. ἐξελεύσεται om. Mon. — ὄφις πετώμενος Mon. — 6. φησὶν — γέγονεν om. Mon. cf. Ies XIV. 29 ἐκ γὰρ σπ. ὄφεως (ita Ced. et Leo) ἐξ. ἔκγονα ἀσπίδων צֶפַע καὶ — ὀφ. π. — 8. διαδεξ. Mon. Ced. Leo. — πλείω Mon. — μ. κατὰ τοῦ θῦ Mon. — 9. διστατ. cod. διΐσταται Leo. — 10. λοιπὸν om. Mon. — **** ἀσελγείαις καὶ Mon. Leo. Ced. — ***** καὶ σπλάγχνων ἀνατομαῖς Ced. — 11. ἐπ. κυνηγεσίαις τε καὶ ἱπποδρομίαις σχ. Ced. Leo. — 12. τοῦ ἀντιχρίστου γ. Ced. τοῦ ἀντικειμένου γ. Leo. — ****** ἔλεγεν Ced. — 18. πρ. ὁ παμμίαρος μ. Ced. πρ. ὁ ἀν. μ. Leo. — 19. τὴν om. Mon. — 20. δύναται βοηθεῖν τινι Mon. — ******* ἀλλὰ Ced. — ******** αὖ πάλιν Mon. — 21. ὀν. λ. γὰρ ἐν. Ced. Leo. — πλ. χ. β. Ced.

ρες χρυσίου καὶ ὑποδείξας» αὐτὸ πᾶσιν, ἤρετο· «τίνος ἐστὶν ἄξιον;» τῶν δὲ «πολλοῦ εἰπόντων, κενώσας τὸ χρυσίον πάλιν ἤρετο· «τίνος ἐστὶν ἄξιον;» καὶ λέγουσιν· «οὐδενός». «Οὕτως», ἔφη, «καὶ ἡ Μαρία»—(οὐ γὰρ θεοτόκον ὁ ἄθλιος ἠξίου λέγειν)—«ἕως μὲν εἶχε τὸν Χριστὸν ἐν ἑαυτῇ, τετιμημένη ἦν· ἀφ' οὗ δὲ τοῦτον ἀπέτεκεν, οὐδὲν τῶν λοιπῶν γυναικῶν διενήνοχεν»· (ὦ τῆς βλασφημίας) φεῖσαι ἡμῶν, Κύριε.

(2) Φεῦ τῆς τολμηρᾶς δυσφημίας τοῦ σαρακηνοπίστου καὶ ἰουδαιόφρονος· οὐ γὰρ χριστιανὸς — μὴ γένοιτο — ἀλλὰ Παυλικιανὸς ἦ—τόγε ἀληθέστερον εἰπεῖν *— εἰδωλολάτρης καὶ δαιμόνων ὑρηρέτης καὶ ἀνθρωποθύτης· τὴν μὲν γὰρ πανάχραντον θεοτόκον καὶ τοὺς ἁγίους ** ὁ ἐναγὴς καὶ ἄθεος ἐκτροπώμενος, τὴν παρ' Ἕλλησι τιμωμένην Ἀφροδίτην καὶ τὸν Διόνυσον ἐθρήσκευεν ὁ νέος Ἰουλιανὸς καὶ ἀνθρωποθυσίας αὐτοῖς ἀνέφερε πέραν τῆς πόλεως, ἔνθα τῆς ἁγίας Μαύρας τῆς μάρτυρος ἦν ὁ ναός, ὅνπερ ὁ *** μισάγιος ἐκδαφήσας καὶ φονευτήριον ποιήσας, Μαῦραν ὠνόμασε τὸν τόπον, ἐν ᾧ καὶ τὰς πρὸς τοὺς δαίμονας τελετὰς νύκτωρ ποιούμενος, παῖδας καστέσφαττε· καὶ μαρτυρεῖ τὸ πρὸς θυσίαν σφαγισθὲν τοῦ Σουφλαμίου παιδάριον, ὅπερ ὁ δαιμονιώδης ἐν παραβύστῳ ποιήσας, ἔκδηλον ὁ θεὸς τοῖς πολλοῖς τοῦτο πεποίηκε.

742 (3) Ἐκ τούτων οὐ μικρά τις ἀθυμία τοὺς χριστιανοὺς κατέλαβεν, ὥστε πάντας μισῆσαι αὐτὸν καὶ Ἀρταβάσδῳ κουροπαλάτῃ καὶ γαμβρῷ ἐπὶ ἀδελφῇ αὐτοῦ προστεθῆναι (τῷ μίσει αὐτοῦ). Ἐξελθὼν γὰρ Κωνσταντῖνος ἐν τοῖς μέρεσι τοῦ Ὀψικίου κατὰ **** Ἀράβων, Ἀρταβάσδου μετ' αὐτοῦ ὄντος, ὑπεβλέποντο ἀλλήλους.

---

1. ἄξιόν ἐστι Mon. Ced. Leo.—2. π. τὸ χ. Ced.— 3. ἐστιν om. Mon.— 4. ἡ om. Mon.—λ. ἡ. ὁ ἄθεος Mon.—7. ὢ—κε om. Mon. — 9. Glyc. 526,17. — * καὶ οἰκειότερον Mon. — ** πάντας Mon. — 13. ἐν. καὶ δύστροπος Mon.—15. ἀντέφερε Mon.—16. μ. M. ἦν ὁ ναὸς Mon.— *** δύστηνος καὶ Mon.—16. μισαγίστης Mon.—18. παῖδα Mon. — 20. παραβύθῳ θύσας Mon. — 21. τότε πεπ. Mon. omissis seqq. usque ad § 19. — 22. Ced. 4,5—10. — 23. ὢ. παρὰ πάντων μισηθῆναι καὶ Ced. — 25. Ἐξ. δὲ ὁ Κ. Ced. — **** τῶν Ced. — 26. ὑπεβλέπετο κακῶσαι Ἀρτάβασδον ὄντα ἐν τῷ Δορυλαίῳ Ced.

(4) Καὶ συμβολῆς γενομένης μετ' ἀλλήλων καὶ τοῦ Βισὴρ καὶ τοῦ συμμύστου Κωνσταντίνου σφαγέντος παρὰ Ἀρταβάσδου, Κωνσταντῖνος φοβηθεὶς ἔφυγεν εἰς τὸ Ἀμωριον.

(5) Ἐντεῦθεν μάχαι μεταξὺ αὐτῶν δεινόταται γεγόνασι· Ἀρτάβασδος δὲ Θεοφάνην μάγιστρον, φίλον αὐτοῦ ὄντα καὶ τότε ἐκπροσωποῦντα ἐν τῇ πόλει, ἔγραψε δέξασθαι αὐτόν. Καὶ δεχθεὶς ὑπὸ τῶν θεμάτων ἀνηγορεύθη βασιλεύς· εἰσελθὼν δὲ ἐν τῇ πόλει πᾶς ὁ λαὸς σὺν τῷ ψευδωνύμῳ πατριάρχῃ Ἀναστασίῳ ἀνεθεμάτισαν Κωνσταντῖνον, Ἀρτάβασδον δὲ ὀρθόδοξον βασιλέα ἀνεκήρυξαν.

(6) Καταλαβὼν καὶ Κωνστατῖνος ἐν Χρυσοπόλει** καὶ μηδὲν ἀνύσας, ἀνέστρεψε πάλιν εἰς τὸ Ἀμώριον.

(7) Ὁ δὲ Ἀρτάβασδος τὰς ἱερὰς εἰκόνας πανταχοῦ ἀνεστήλωσε καὶ τὸν πρὶν αὐτῆς κόσμον ἡ ἐκκλησία ἀπέλαβεν. Ἀναστάσιος δὲ ὁ πατριάρχης κρατήσας τὰ τίμια ξύλα ὤμοσεν ἐν τῷ ἄμβωνι ἑστὼς, ὅτι «μὰ τὸν προσηλωθέντα ἐν ταύτοις, οὕτως μοι εἶπε Κωνσταντῖνος ὁ βασιλεὺς, ὅτι μὴ λογίσῃ υἱὸν θεοῦ εἶναι (τὸν Χριστὸν), ὃν ἔτεκεν (ἡ) Μαρία*** εἰ μὴ ψιλὸν ἄνθρωπον****, ὡς ἔτεκέ με ἡ μήτηρ μου Μαρία». Καὶ τοῦτο ἀκούσαντες οἱ λαοὶ ἀνεθεμάτισαν αὐτόν.

(8) Ὁ δὲ Ἀρτάβασδος ἐξελθὼν ἐστρατολόγει. Κωνσταντῖνος δὲ τοῦτο μαθὼν, ἐκίνησε κατ' αὐτοῦ καὶ συμβαλὼν 743
μετ' αὐτοῦ πόλεμον τρέπει αὐτόν*****· καὶ καταλαβὼν τὴν Κύζικον ἐν τῇ πόλει διασώζεται.

---

1. Ὁ δὲ τοῦτο γνοὺς κινεῖ κατ' αὐτοῦ καὶ τὸν μὲν πατρίκιον Βίσηρον τὸν συμμύστην Κ. βομφαίᾳ ἀνεῖλεν· ὁ δὲ Κοπρώνυμος φ. ἐπηβὰς παριππίου φεύγει εἰς τὸ Ἀ. κτλ. Ced. 4,11—15. — 12. Ced. 4,15—19. Ἐ. μ. δ. τοῖς ὑπηκόοις, ἑκατέρων βασιλέων ἀναγορευομένων· εἰσῆλθε δὲ Ἀ. ἐν τῇ πόλει καὶ παρευθὺ κατὰ πᾶσαν αὐτὴν τὰς ἱερὰς ἀνεστήλωσεν εἰκόνας, ἀν. δὲ παρὰ τῶν θ. β. Ἀναστάσιος δὲ ὁ ψευδώνυμος πατριάρχης κρατήσας τὰ τίμια καὶ ζῳοποιὰ ξύλα ὤμοσε τῷ λαῷ ὅτι κτλ. §. 7. — * πρὸς? — ** μετὰ λαοῦ Leo. — 13. ὑπεστρ. Leo. — 14. Ced. 4,17—5,2. — 17. ἐν αὐτοῖς Ced. — *** τὸν λεγόμενον χν Ced. — 20. ἀλλὰ ψ. Ced. — **** ἡ γὰρ Μαρία οὕτως αὐτὸν ἔτεκεν Ced. — ὡς καὶ ἐμὲ ἡ μ. Ced. — 23. Ὁ δὲ Ἀ. ἐξ. τῆς πόλεως καὶ σ. π. ἡττήθη κατὰ κράτος Ced. 6,6 cf. §. 10. — ***** Κωνσταντῖνος? Misc. C. 2: *Constantinus vertit eum.*

(9) Ὁ δὲ Κωνσταντῖνος ἐν Χαλκηδόνι ἐλθὼν, ἀντεπέρασεν ἐν τοῖς Θρᾳκώοις μέρεσι καὶ τῷ χερσαίῳ τείχει παρακαθίσας, διέδραμεν ἕως τῆς χρυσῆς πόρτης (165ᵃ) ἐπιδεικνύων ἑαυτὸν τοῖς ὄχλοις.

(10) Ὁ δὲ Ἀρτάβασδος ἀνοίξας τὰς πόρτας καὶ συμβαλὼν πάλιν πόλεμον ἡττήθη κατὰ κράτος.

(11) Τοῦ δὲ Κωνσταντίνου τὰ πλοῖα κρατήσαντος, ἐγένετο λιμὸς ἰσχυρὸς ἐν τῇ πόλει, ὥστε πραθῆναι τὸν μόδιον τῆς κριθῆς νομισμάτων ιβ' καὶ τὰ λοιπὰ (εἴδη) ὁμοίως. Τοῦ δὲ λαοῦ θνήσκοντος καὶ ἀπολλυμένου, ἠναγκάσθη Ἀρτάβασδος ἀπολύειν καὶ ἐξέρχεσθαι (αὐτοὺς) ἐκ τῆς πόλεως.

(12) Νικήτας δὲ, ὁ υἱὸς Ἀρταβάσδου, ἐπισυνάξας λαὸν ἱκανὸν ἦλθεν ἕως Χρυσοπόλεως. Καὶ (διᾳ)περάσας ὁ βασιλεὺς ἐδίωξεν αὐτὸν καὶ καταλαβὼν ἐχειρώσατο. Καὶ τοῦτον πεδήσας ἦλθε διὰ τάχους καὶ τῷ πατρὶ ὑπεδείκυσεν.

(13) Ἄφνω δὲ παραταξάμενος διὰ τοῦ χερσαίου τείχους τὴν πόλιν παρέλαβε καὶ Ἀρτάβασδον χειρωσάμενος* καὶ τὸν πατρίκιον Βακτάγιον, τὸν μὲν Ἀρτάβασδον σὺν τοῖς δυσὶν υἱοῖς αὐτοῦ ἐτύφλωσε, τοῦ δὲ Βακταγίου χεῖρας καὶ πόδας ἐκκόψας ἐν τῷ κυνηγίῳ ἀπεκεφάλισε, πολλοὺς δὲ καὶ ἄλλους τῶν προυχόντων ἀνεῖλε καὶ τὰς οὐσίας αὐτῶν ἐδήμευσεν.

(14) Ἱππικὸν δὲ ποιήσας εἰσήγαγε τὸν Ἀρτάβασδον σὺν τοῖς υἱοῖς αὐτοῦ ἅμα τῷ πατριάρχῃ Ἀναστασίῳ καὶ τοῖς φίλοις αὐτοῦ, τοῦ πατριάρχου ἐπὶ ὄνου ἀντιστρόφως καθεζομένου (καὶ πομπευομένου).

(15) Οὗτος γὰρ περιπατῶν ὄπισθε Γερμανοῦ τοῦ πατριάρχου σύγκελλος ὢν, ἐπάτησε τὸ ὠμόφορον αὐτοῦ. Ὁ

---

9. εἰς νομίσματα Ced. — 11. ἀπὸ Ced. — 12. Ced. 6,11—15 Νικήτ. cod.; νικήσας Leo. e compendio male lecto cf. Misc. *Nicetas monostrategus.* — 15. ἐλθὼν διὰ τοῦ τείχους τῷ Ced. Leo. Misc. cf. *vinctum per murum* — ὑπεδείκνυεν. Ced. — 16. Ced. 6,15—20. — 17. χ. Ἀ. Ced. Leo. — * σὺν τοῖς δυσὶν υἱοῖς Leo. — καὶ τοὺς σὺν αὐτῷ Ced. — 18. Βακουγίου Leo. *Bagranus* Misc. — τοῦτον μὲν σὺν Ced. — 19. ἀ. υἱοῖς Ced. — τοῦ δὲ B. χ. καὶ π. κόψας ἐν Leo. — 23. Ced. 6,20—23. — 25 αὐτοῦ καὶ τ. φ. δεθεμένοις ἅμα Ἀ. τῷ ψευδωνύμῳ π. τυφθέντι δημοσίως καὶ ἐπὶ ὁ. ἀ. καθεζομένῳ

δὲ ἐπιστραφεὶς ἔφη αὐτῷ· «μὴ σπεῦδε, τὸ διΐππιον ἐκδέχεταί σε».

(16) Πάλιν δὲ Κωνσταντῖνος ὡς ὁμόφρονα αὐτοῦ ἐν τούτοις ἐκφοβήσας, ἐν τῷ θρόνῳ τῆς ἱερωσύνης ἐκάθισε.

(17) Ἐφ' οὗ ἤρξαντο ἀθρόως καὶ ἀοράτως σημεῖα ἔν 747
τε τοῖς ἀνθρώπων ἱματίοις γίνεσθαι καὶ εἰς τὰ τῶν ἐκκλησιῶν ἱερὰ ἐνδύματα, σταυροὶ ἐλαιώδεις πλεῖστοι. Καὶ οὕτω κατέλαβεν ἡ θεομηνία τοῦ βουβῶνος λοιμικὴ νόσος, οὐ μόνον τοὺς ἐν τῇ πόλει, ἀλλὰ καὶ τοὺς ἐν τῇ περιχώρῳ δεινῶς ὁλοθρεύουσα. Καὶ πρὸς τούτοις ἐγίνοντο φαντασίαι τινὲς εἰς πολλοὺς τῶν ἀνθρώπων καὶ δείματά τινα ἐξαίσια, ἃ οἱ ὁρῶντες ἐτελεύτων· γινόμενοι γὰρ ἐν ἐκστάσει ἐνόμιζον ξένοις τισὶ καὶ βριαροῖς προσώποις [συν]οδεύειν (ἦ) καὶ τοὺς ἀπαντῶντας· ὡς φίλους δῆθεν προσαγορεύοντες διελέγοντο· (καὶ ταῦτα μὲν ἐν τῷ χειμῶνι γέγονε).

(18) Ἐν δὲ τῷ ἐαρινῷ τοσοῦτον ἐπέτεινεν ἡ νόσος, ὥστε καὶ 748
ὁλοκλήρους οἴκους τέλειον κλεισθῆναι, (ὅθεν ἐκ πολλῆς περιστάσεως εἰς ἄλογα καὶ ἀμάξας ἐπιστοιβάζοντες αὐτοὺς ἐξεκόμιζον. Ἐν δὲ τῷ πληρωθῆναι τὰ ἐν τῇ πόλει ἅπαντα καὶ ἀμπελῶνας κατασκαφῆναι, συνέβη καὶ τοὺς ἔνδον τῶν παλαιῶν τειχῶν κήπους εἰς τὴν τοιαύτην προσχωρῆσαι ταφὴν τῶν ἀνθρώπων) καὶ μὴ εἶναι τοὺς ὀφείλοντας θάπτειν τοὺς νεκρούς. Παντὸς δὲ οἴκου διαφθαρέντος διὰ τὴν ἀσέβειαν τοῦ τυράννου, πάντα τὸν πλοῦτον τῶν οἰκητόρων τῆς πόλεως εἰσκομίσας ἐν τῷ πα-

---

κτλ. Ced. — 27. καί ποτε εἰσερχομένου πρὸς τὰ βασίλεια ἐπ. ὁ Ἀ. τὰ ὀπίσθια τῆς στολῆς τοῦ ἁγίου, πρὸς ὃν ὁ ὅσιος ἔφη· «μὴ σ. τὸ διΐππον ἐ. σε Ced. I. 798, 14—17.

3. Τὸν δὲ ψευδώνυμον πατριάρχην ὡς ὁ. ἀ. ἐκφ. καὶ δουλώσας, π. ἐν τῷ θ. τῆς ἱ. ἀποκατέστηκε Ced. 7,2—4. — 5. Ced. 8,1—14: τῇ ιε' (ἐνδικτιῶνι) ἡ. ἐν τῇ βασιλίδι πόλει αἴφνης ἀ. γ. ἔν τε τ. τῶν ἀ. ἱ. καὶ ἐν τοῖς τῶν ἐ. ἐπιπέπλοις σταυρία ἐλαιώη πλεῖστα κτλ. ἐγένετο δὲ καὶ θ. ποικίλων παθῶν ἀφειδῶς τοὺς λαοὺς ὀλ. οὐ μ. τ. ἐν τῇ π. ἀ. καὶ πάσῃ τῇ π. Ἐγεν. δὲ καὶ φ. ὡς π. τῶν ἀ. ἐν ἐκ. γινομένους νομίζειν ξ. — 13. κρυβεροῖς cod. — ' αὐτοῖς Ced. — 14. δ. φ. προσαγορεύοντας καὶ διαλεγομένους κτλ. Ced. — 16. Τῷ δὲ ἐ. καιρῷ τῆς α' ἰνδικτιῶνος ἐπ. μειζόνως, τῷ δὲ θερινῷ ἐξεκαύθη εἰσάπαξ ὡ. καὶ ὁ. ὀ. κ. παντελῶς καὶ μὴ ἐ. τ. ὀ. θ. τ. ν. ὥστε μὴ ἐξαρκεῖν τοὺς κραββάτους — τοὺς κήπους διέσκαπτον καὶ μόλις τούτους ἴσχυσαν ἐπικαλύψαι· παντὸς δὲ ὀ. δ. διὰ τὴν ἀ. τοῦ Κοπρωνύμου — ἀπέθετο Ced. 8,14—9,1.

λατίῳ ἀπέθετο. Ἔφθασε δὲ καὶ ἡ ὀργὴ εἰς Ἀναστάσιον τὸν ἀνίερον· καὶ οἰκτίστῳ πάθει, τῷ λεγομένῳ χορδαψῷ, καταλύει τὸν βίον)..

746 (19) Ὁ δέ γε τύραννος τὴν πόλιν ἐάσας, τὴν Νικομήδειαν καταλαμβάνει καὶ ἐκεῖσε διέτριβε μέχρι πολλοῦ· καὶ ἀκούσας τῶν Σαρακηνῶν κατ' ἀλλήλων μαχομένων, ἐκστρατεύει πρὸς τὰ μέρη τῆς Συρίας καὶ Γερμανίκειαν παρέλαβε καὶ Θεοδοσιούπολιν καὶ Μελιτηνήν, αἰχμαλωτίσας πάντας τοὺς ἐκεῖσε.

(20) Καὶ διὰ τὴν τοιαύτην πρόφασιν τοῦ θα(165[b])νατικοῦ προσλαβόμενος τοὺς συγγενεῖς αὐτοῦ Ἀρμενίους καὶ Σύρους αἱρετικοὺς εἰς τὸ Βυζάντιον μετῴκισε (καὶ ἐν τῇ Θρᾴκῃ καὶ ἐν τῇ δύσει, οἱ μέχρι τοῦ νῦν τὴν αἵρεσιν τοῦ τυράννου διακρατοῦσι. Θεοπασχῖται κατὰ Πέτρον εἰσίν).

750 (21) Ἐτέχθη δὲ τῷ τυράννῳ υἱὸς ἐκ τῆς τοῦ χαγάνου Χαζαρίας θυγατρὸς, ὃν ἐπωνόμασε Λέοντα.

754 (22) Ἐπαρθεὶς δὲ τῷ φρονήματι ὁ ἄθεος διὰ τὴν παρ' αὐτοῦ γενομένην νίκην, ἐπανελθὼν ἐν τῇ πόλει, σύνοδον συναθροίζει κατὰ τῶν ἁγίων εἰκόνων ἐν Βλαχέρναις, ἐν ᾗ πολλὰ κατὰ τοῦ Κυρίου κενολογήσαντες οἱ ἱερεῖς τῆς αἰσχύνης καὶ τὰς μιαρὰς αὐτῶν χεῖρας εἰς ὕψος ἄραντες καὶ ἀλαλάξαντες, ἐῤῥηξαν τὴν ἐλεεινὴν ἐκείνην φωνὴν λέγοντες· «σήμερον σωτηρία τῷ κόσμῳ γέγονε, ὅτι σὺ, βασιλεῦ, ἐλυτρώσω ἡμᾶς ἐκ τῶν εἰδώλων».

---

1. cf. §. 27.— 4. Τῷ ε' ἔτει ἄθεσιαν εὑρὼν ὁ Κοπρώνυμος ἐν τῇ ἀνατολῇ ὡς τῶν Ἀράβων πρὸς ἀλλήλους μ. Γ. παραλαμβάνει καὶ ἐπιστρατεύει Δουλιχίᾳ καὶ Ἀσσυρίᾳ Ced. 7,11—13. — 10. Προσελάβετο δὲ καὶ τοὺς πρὸς μητρὸς σ. καὶ ἐν Βυζαντίῳ μ. σὺν αὐτοῖς δὲ καὶ πολλοὺς Σ. μονοφυσίτας Ced. 7.13—15.—14. Misc. C. 5 *juxta Petrum Cnaphea.*—15. Τῇ δὲ κε' τοῦ Ἰανουαρίου (τῷ θ' ἔτει) γεννᾶται τῷ ἀσεβεῖ Κωνσταντίνῳ υἱὸς ἐκ τῆς χ. Εἰρήνης ὃν ἐπ. Λ. Ced. 9,8—10. χαζάρας cod.τῆς χ. Leo. sed Misc. *Cazariae.* — ' ἐγένετο? — 17. Τῷ ιγ' ἔτει Κωνσταντῖνος ὁ δυσσεβὴς κ. τῶν ἁ. καὶ σεπτῶν ἐ. παράνομον συνέδριον τλη' ἐπισκόπων συνέλεξεν ἐν τῷ τῆς Συρίας παλατίῳ, ὧν ἐξῆρχε Θεοδόσιος, ὁ υἱὸς Ἀψιμάρου ὁ Ἐφέσου, καὶ Παστηλᾶς ὁ Πέργης— μηθενὸς παρόντος ἐκ τῶν καθολικῶν θρόνων, Ῥώμης φημὶ καὶ Ἀλεξανδρείας καὶ Ἀντιοχείας καὶ Ἱεροσολύμων καὶ ἀπὸ ι' τοῦ φεβρ. — ἕως η' Αὐγούστου — καθ' ἣν ἐν Βλ. ἐλθόντες οἱ τῆς θεοτόκου πολέμιοι Ced. 10,13—1. — 19. πολλῶν κενολογησάντων Ced.

(23) Ὦ τῆς ἐσχάτης καὶ τολμηρᾶς αὐθαδείας καὶ ἀπονοίας καὶ βλασφημίας τῶν χριστομάχων ἱεροκαπήλων καὶ τῆς ἀκολάστου γνώμης αὐτῶν καὶ γλώσσης· εἰ γὰρ ὁ τῆς ἀσεβείας αἴτιος καὶ πρόμαχος οὗτος αἴτιος τῆς τῶν εἰδώλων καθαιρέσεως, μάτην ἄρα γέγονεν ἡ τοῦ Χριστοῦ ἐνανθρώπησις, κενὴ δὲ καὶ ἡ τῶν ἀποστόλων διδασκαλία.

(25) Φυσηθεὶς οὖν ὁ δείλαιος ἐπὶ τῇ ἀπηχεστάτῃ φωνῇ ταύτῃ, προσέθετο καὶ ἕτερον παράνομον εἶδος· ἀνελθὼν (γὰρ ἀθέσμως καὶ ἀνιέρως) ἐν τῷ ἄμβωνι χειροκρατῶν Κωνσταντῖνον, ἐπίσκοπον Συλαίου γενόμενον, ἐξεφώνησε μετὰ κραυγῆς μεγάλης· «Κωνσταντίνου οἰκουμενικοῦ πατριάρχου πολλὰ τὰ ἔτη». (ποιήσας αὐτὸν δῆθεν πατριάρχην ὁ πεφενακισμένος καὶ ματαιόφρων ἐξ ὑποβολῆς τῶν ἀνιέρων χριστεμπόρων).

(26) Περὶ ὧν δικαίως λέξειεν ὁ μὲν Ἰεζεκιὴλ τάδε· λέγει Κύριος· «οἱ ἱερεῖς * ἠθέτησαν νόμον μου καὶ ἐβεβήλωσαν· τὰ ἁγιά μου ** οὐ διέστειλαν, καὶ ἀναμέσον ἀκαθάρτου καὶ *** καθαροῦ οὐ διέκριναν». Ὁ δέ γε Δανιὴλ ἐμβριθέστερον στηλιτεύει αὐτοὺς φάσκων· «ἐξῆλθεν ἐκ πρεσβυτέρων κριτῶν ἀνόμων, οἳ ἐδόκουν τὸν λαὸν κυβερνᾶν»· ὄντως γὰρ ἀληθῶς οὗτοι «συνέλαβον πόνον καὶ ἔτεκον ἀνομίαν», ἐπειδὴ τὰ τῆς ἱερωσύνης καὶ τοῖς θείοις κανόσιν ἀνακείμενα λαϊκοῖς χαριζόμενοι, ἐπέτρεπον ἐπὶ τέλος. Καὶ θαυμαστόν γε οὐδέν· οἱ γὰρ τὸν υἱὸν τοῦ θεοῦ καταπατήσαντες διὰ τὴν πρὸς τὴν ἱερὰν αὐτοῦ εἰκόνα ὕβριν καὶ καθαίρεσιν οὐ πεφρίκασι, πῶς ἂν τῆς ἱερωσύνης αὐτοῦ ἐφείσαντο; Τίς οὖν οὐκ ἐκπλαγείη ἐν τούτῳ καὶ φρίξειεν, ἀκούων καὶ βλέπων τὸν ἀσπιδοφόρον ἱεροθέτην καὶ τὸν πολέμοις ἐσχολακότα καὶ φόνοις ἱεροτελετήν;

(27) Ἀλλ' οὐ πολὺ τὸ ἐν μέσῳ καὶ ἄξιον (τῆς χειροτονίας) 767
εἰς τὸν χειροτονηθέντα ὑπ' αὐτοῦ διεπράξατο ἔργον. Μα-

---

8. Cod. 10,21—11,1: ἀνῆλθε καὶ Κωνσταντῖνος ὁ Καβαλλῖνος ἐν τῷ ἀ. κρ. Κ. μοναχὸν, ἐπ. γ. τοῦ Σ. καὶ ἐπευξάμενος ἔφη μεγάλῃ τῇ φωνῇ Κ. ὁ. π. π. τὰ ἔ. — * αὐτῆς (τῆς γῆς Ez. XXII 26. — 15. ἐβεβήλουν Ez. — ** ἀναμέσον ἁγίου καὶ βεβήλου Ez. — 16. διέστελλον Ez. — *** τοῦ Ez. — διέστελλον Ez. — 18. Susanna 5: Ἐξῆλθεν ἀνομία ἐκ Βαβυλῶνος ἐκ πρ. κρ. οἳ ἔ. τὸν λ. κ. — 19. Ps. VII. 14. — 17. Cod. 13,5—7: Οὐ π. τὸ ἐν μ. καὶ ἄξια (ἀνάξια Leo.) εἰς τὸν χ. ὑπ' ἀ. πατριάρχην δ. ἅτινα μετ' ὀλίγον ἐροῦμεν.

θεὸν γὰρ ἀκριβῶς ὁ ἀλάστωρ ὅτι (κρατήσας) ὁ πατριάρχης (τὰ τίμια ξύλα) πολλοὺς ἐπληροφόρησεν λέγων· «μὰ τὸν προσηλωθέντα εἰς ταῦτα Κύριον, οὕτως μοι εἶπεν ὁ βασιλεύς, ὅτι οὐκ ἔστι θεὸς ὁ Χριστὸς *, οὐδὲ Μαρίαν ἔχω θεοτόκον», ἐξεμάνη (σφόδρα) κατ' αὐτοῦ ὡς τὸ μυστήριον (τῆς βασιλείας) αὐτοῦ θριαμβεύσας. Καὶ ἐπιθεὶς αὐτῷ πολλὰς πληγάς, ἐθριάμβευσεν (αὐτὸν) ἐπὶ λαοῦ καὶ ἱπποδρομίου (ἐμπαιζόνενον), ἐμπτυόμενον **, συρόμενον.

(28) Εἶτα ἀσφαλισάμενος (166ᵃ) αὐτὸν (ἔν τινι τόπῳ) ἀποστέλλει πρὸς αὐτὸν πατρικίους καὶ φησί· «τί λέγεις ἄρτι περὶ τῆς πίστεως ἡμῶν καὶ τῆς συνόδου, ἣν ἐποιήσαμεν»; Ὁ δὲ ματαιωθεὶς ταῖς φρεσὶ (καὶ) οἰόμενος αὐτὸν πάλιν ἐξευμενίσασθαι, ἀποκριθεὶς εἶπε, καλῶς πιστεύεις καὶ καλῶς τὴν σύνοδον ἐποίησας». Οἱ δὲ ἐπιγελάσαντες (τῇ αὐτοῦ ἀνοίᾳ) εἶπον ***· ἡμεῖς τοῦτο (καὶ) μόνον ἠθέλομεν (παρά σου) ἀκοῦσαι ἐκ τοῦ μιαροῦ σου στόματος· (ἀπὸ δὲ τοῦ νῦν ἄπελθε εἰς τὸ ἀνάθεμα καὶ εἰς τὸ σκότος»·) παραχρῆμα δὲ ἐξαγαγόντες αὐτὸν ἀπεκεφάλισαν καὶ (τὴν κεφαλὴν αὐτοῦ ἐν τῷ φόρῳ ἐκρέμασαν), τὸ (δὲ) σῶμα **** ἔῤῥιψαν εἰς τὰ Πελαγίου (σύροντες αὐτό), ἔνθα πρώην μὲν ὑπῆρχε ὁ τῆς ἁγίας (μάρτυρος) Πελαγίας ναός, ὃν ὁ θεομισὴς καταλύσας καὶ ταφον καταδίκων ποίησας, τὰ Πελαγίου ἐκάλεσε), (οὕτως οὖν τὸν ὑπ' αὐτοῦ χειροτονηθέντα καὶ δοξασθέντα πατριάρχην τιμήσας· φασὶ δὲ ὅτι καὶ ἀνέτεμον αὐτὸν οἱ ἰατροὶ πρὸς τὸ γνῶναι τὴν διάθεσιν καὶ κατασκευὴν τῶν ἀνθρώπων.)

766 (29) Ὁ δὲ τύραννος χειροτονεῖ ἀντ' αὐτοῦ Νικήταν εὐνοῦχον Σκλάβον.

---

1. ἀκριβεῖς cod. om. Ced. 14,4—9. — 2. ἐπλ. εἰπεῖν τὸν βασιλέα πρὸς αὐτὸν ὅτι Ced. — * καὶ διὰ τοῦτο Ced. — ὁ. τὴν μητέρα αὐτοῦ ἐ. θ. Ced. — 5. θριαμβεύσαντος? — 7. ἐν τῷ ἱπποδρόμῳ Ced. — ** καὶ Ced. — 9. Ced. 14,9—18. — 13. κ. ἐπ. τὴν σ. καὶ κ. π. Ced. — *** πρὸς αὐτὸν Ced. — 16. παρὰ τοῦ Ced. — **** αὐτοῦ Ced. — 19. τὸ πέλαγος ἐ. πρῶτον ὑπ. Ced. — 21. κατακλύσας Ced. — 22. ἐκ. τὸ Πελάγιον Ced. — 23. φασὶ — ανων om. Slav. — 26. Ced. 14,18 Ἀντιχ. δέ πατριάρχην N, ἐ. καὶ Σ.

(30) Οὕτως δὲ Πέτρον τὸν ἱερὸν Στυλίτην μὴ πεισθέντα τοῖς αὐτοῦ πονηροῖς δόγμασι πολλὰ βασανίσας εἰς τὰ Πελαγίου συρόμενον ζῶντα ῥιφῆναι προσέταξε.

(31) Ἰωάννην δὲ τὸν Δαμασκηνόν, ὃν Χρυσορόαν ἐκάλουν διὰ τὴν ἐνυπάρχουσαν αὐτῷ σοφίαν, Μανσοὺρ ἐπώνομασε βλάσφημος, καὶ τὴν τῆς χειρὸς αὐτοῦ ἐκκοπὴν αὐτὸς κατεσκεύασεν, ἣν ἡ ἁγία Θεοτόκος ἀοράτως ἰάσατο.

(32) Καὶ τὸν θεῖον Στέφανον, τὸν νέον, τὸν ἐν τῇ ἀκρωρείᾳ 765
τοῦ ὄρους Αὐξεντίου τοῦ θεοφόρου ποιήσαντα μ' ἔτη ἐν οἰκίσκῳ σμικρῷ, πολλὰ τιμωρήσας, ἐπέτρεψε καὶ αὐτὸν ζῶντα συρέντα ῥιφῆναι εἰς τὰ Πελαγίου (ὡς οὐ μόνον ἀντιπίπτοντα καὶ ἀντιμαχόμενον αὐτοῦ τῇ κακοδοξίᾳ, ἀλλὰ καὶ πολλοὺς μεταφέροντα πρὸς τὸν μονήρη βίον καὶ καταφρονεῖν πείθοντα τῶν βασιλικῶν ἀξιωμάτων καὶ χρημάτων. Καὶ ἦν ἰδεῖν κατὰ πᾶσαν πόλιν θρῆνον ἐπὶ θρῆνον καὶ οὐαὶ ἐπὶ οὐαὶ παρὰ τῶν εὐσεβούντων, παρὰ δὲ τῶν ἀσεβούντων ἱερὰ πατούμενα καὶ σκεύη μεταποιούμενα, ἐκκλησίας τε ἀνορυττομένας καὶ θείας εἰκόνας πατουμένας). Πολλῶν τοίνυν ἀρχόντων καὶ στρατιωτῶν διαβληθέντων εἰκόνας προσκυνεῖν, διαφόροις τιμωρίαις καὶ πικροτάταις αἰκίαις δεινῷ θανάτῳ παρέδωκεν.

(33) Ἐστράτευσε δὲ κατὰ Βουλγάρων πεζῇ τε καὶ 763
πλωΐ, (ἐξοπλίσας ἐκ τῶν θεμάτων) χελάνδια χίλια ἑξακόσια, ἐπὶ Ἀχελῶν ἀπέστειλε· (ἐν ταῖς ἀκταῖς προσορμισθέντα) καὶ τοῦ βορρᾶ (βιαίως) πνεύσαντος, ἅπαντα μικροῦ δεῖν, συνετρίβη· καὶ ἐπνίγη λαὸς ἀναρίθμητος. Ὅπερ μαθόντες οἱ Βούλγαροι πόλεμον πρὸς αὐτὸν συνάπτουσι· καὶ τὰ πλήθη αὐτῶν δεινῶς συγκοπέντα ὑπέστρεψαν μετ' αἰσχύνης μεγάλης καὶ ἥττης. Τροπωσάμενος οὖν τοὺς Βουλγάρους εἰσῆλθεν ἐν τῇ πόλει

---

1. Ced. 14,19. Ὡσαύτως δὲ καὶ Π. τὸν ἱ. καὶ τὸν θεοφόρον Στέφανον τὸν τοῦ Αὐξεντίου μετὰ πολλὰς αἰκίας φονεύσας εἰς τὸ πέλαγος συρέντας ρ. πρ. cf. §. 32 Οὗτος cod.—8. Ced. 13,13—19: Τῷ κε' ἔτει—Στ. τὸν θ. ξ' γὰρ χρόνους ἐποίησεν ἐν τῷ βουνῷ τοῦ ἁγίου Ἀ. ἔγκλειστος, ποικίλοις τιμωρησάμενος ἀπέκτεινε, π. δὲ ἀ. καὶ στρ. δ. πρ. τὰς ἑ. δ. τ. τούτους ἀνάλωσεν. — 13. πείθων cod. — 21. Ced. 15,5—7. — 22. πλωϊστὶ Ced. — καὶ ἀπ. ἐπὶ Ἀγχίαλον χελ. βχ'. β. δὲ πν. ἀπώλοντο π. πλὴν ὀλίγων, ὑπέστρεφε δὲ ἐν τῇ πόλει ἀδόξως Ced.—26. αἰτ. cod.—27. συγκόψαντες cod.

καθωπλισμένος τοῖς πολεμικοῖς ὅπλοις, θριαμβεύων δεδεμένους τοὺς Βουλγάρους.

763 (34) Ἐφ' οὗ χρόνου γέγονε (χειμὼν μέγας καὶ) ψύχος πικρὸν καὶ ἀνυπόϊστον, ὥστε (καὶ) τὴν ἀρκτῴαν τοῦ πόντου θάλασσαν ἐπὶ μίλια ρ' ἀπολιθωθῆναι καὶ πήχεις λ' τὸ βάθος, οὗπερ χιονισθέντος ηὐξήθη ἐπὶ ἄλλας κ' πήχεις τὸ ὕψος, ὥστε συναρμοσθῆναι τὴν θάλασσαν τῇ ξηρᾷ καὶ πεζοπορεῖσθαι ὕπερθεν τοῦ κρύους ὑπὸ ἀγρίων τε καὶ ἡμερῶν ζῴων.

764 (35) (166[b]) Τῷ δὲ φεβρουαρίῳ μηνὶ κατὰ θεοῦ κέλευσιν τοῦ τοιούτου πάγους εἰς πλεῖστα ὀρεοφανῆ τμήματα διαιρεθέντος καὶ τῇ τῶν ἀνέμων βίᾳ ἐπὶ (Δαφνουσίου καὶ) τοῦ Ἱεροῦ κατενεχθέντος, (οὕτω) διὰ τοῦ στενοῦ ἐπὶ τὴν πόλιν ἔφθασαν κἀκεῖθεν μέχρι τῶν νήσων καὶ Ἀβύδου πᾶσαν τὴν παράλιον γῆν ἐπλήρωσαν, ἔχοντα καὶ ζῷα διάφορα προσπεπηγμένα, ἥμερα τε καὶ ἄγρια. (Διὸ) πᾶς ὁ βουλόμενος ἀπὸ Σοφιανῶν εἰς τὸν ἅγιον Μάμαντα καὶ εἰς τὴν πόλιν καὶ εἰς Χρυσόπολιν ὡς διὰ ξηρᾶς ἐβάδιζεν. Ἐκ τῶν μεγάλων τμημάτων ἐκείνων, δύο προσραγέντα, τὸ μὲν τῇ σκάλῃ τῆς Χρυσοπόλεως, τὸ δὲ τῷ τείχει (τῆς πόλεως) προσβαγὲν, ἐκ τῶν θεμελίων συνέσεισε καὶ συνεδόνησε μετὰ τῶν ἔνδοθεν πλησίον οἰκημάτων· ἅπερ οὖν τμήματα διαιρεθέντα εἰς τρία, ἀπὸ τῶν Μαγγάνων ἕως τοῦ Βοὸς φόρου τὴν πόλιν διαζώσαντα

---

3. Τῷ κγ' ἔτει γ. ψ. μ. καὶ πικρότατον κατὰ τὴν βασιλίδα καὶ τὴν ἀνατολὴν καὶ ἄρκτον καὶ δύσιν, ὥστε τὴν ἀ. τοῦ π. παραλίαν ἐπὶ ρ' μ. τὸ πέλαγος ἀ. καὶ ἐπὶ λ' π. τὸ β. παγῆναι Ced. 11,18—12,5. — 4. ἀκτώαν cod. — 7. συμμορφηθ. Ced. Leo. — 8. κρ. παρά τε ἀνθρώπων καὶ ζ. ἡ. τε καὶ ἀ. τὸ πέλαγος ἀπό τε Ζικχίας μέχρι Δανούβεως καὶ τοῦ Κούφη ποταμοῦ, τοῦ Δανάστρεώς τε καὶ Δανάπρεως καὶ τῶν Νεκροπύλων καὶ τῆς λοιπῆς ἀκτῆς μέχρι Μεσημβρίας καὶ Μηδείας Ced. — 10. Ced. 12,5—17. — τοῦ τ. π. α. κ. θῦ Ced. προνοίᾳ θῦ τὰ τοιαῦτα πελάγη Leo. — ἐπὶ τὸ Ἱερὸν Ced. Leo. — 13. μ. καὶ τῆς Προποντίδος καὶ τῶν Ced. — 14. παραλίαν ξ. Ceu. παράλιον ἑ. Leo. — 15. ἐν οἷς ὑπῆρχε καὶ ζ. ἀ. τε καὶ ἡ. τεθνεῶτα Ced. — 16. Σ. ἕως τῆς πόλεως καὶ ἀπὸ Χρυσουπόλεως ἕως τοῦ ἁγίου Μάμαντος καὶ τῶν Γαλατῶν ἀκωλύτως ὡς ἐπὶ ξ. ἐβάδιζον Ced. — 18. ἓν δὲ ἐξ αὐτῶν προσφάξαν τῇ τῆς Ἀκροπόλεως σκάλᾳ συνέτριψεν αὐτὴν, ἕτερον δὲ Ced. — 20. πρ. τοῦτο μεγίλως ἐδ. ὡς καὶ τοὺς ἑ. οἰκοῦντας τυμμετασχεῖν τοῦ σάλου εἰς τ. δὲ βαγὶν ἔζωσε τὴν πόλιν ἀ. τῶν Μ. ἑ. τοῦ Βοσπορίου οὔτινος τὸ ὑπ. τῆς πόλεως Ced.

ὑπερεῖχε πολὺ τῷ τείχει τὸ ὕψος. (Καὶ ταῦτα θεωροῦντες οἱ τῆς πόλεως καὶ διαποροῦντες, ἐθρήνουν ἀπανηγόρητα.)

(36) Ἐν οἷς καὶ πλάνη γέγονε περὶ τοῦ παρηλλαγμένως τῆς 760
ἀκριβείας τῶν ὀρθοδόξων οἱ παράφρονες πασχάσαντες· ὕστερον δὲ
5 ἐπιγνόντες τὴν ἑαυτῶν ἀπάτην καὶ πλάνην ἠσχύνοντο.

(37) Τῷ δὲ Ἀπριλλίῳ μηνὶ δρόμος ἀστέρων γέγονεν ἐν τῷ ἀέρι, καὶ κατέπιπτον πρὸς τὴν γῆν, ὥστε τοὺς ὁρῶντας νομίζειν εἶναι συντέλειαν.

(38) Αὐτίκα καὶ αὐχμὸς ἐγένετο πολὺς (καὶ λιμὸς μέγας) ὡς
10 ξηρανθῆναι πηγὰς καὶ ποταμούς (καὶ λιμὸν μέγαν γενέσθαι ὥστε τὸν μόδιον τῆς κριθῆς ἐν τῇ πόλει πιπράσκεσθαι εἰς νομίσματα ιβ'.)

(39) Ἐν δέ γε τῇ Συρίᾳ γέγονε σεισμὸς μέγιστος καὶ πόλεων 750
πτώσεις, ὥστε αἱ μὲν τῶν πόλεων ὁλόκληροι ἐδαφίσθησαν, αἱ δὲ
ἐξ ἡμισίας, ἕτεραι δὲ ἀπὸ τῶν ἀερίων εἰς τὰ ὑποκείμενα πεδία
15 μετὰ τῶν τοίχων καὶ τῶν οἰκημάτων ἄρδην μετέστησαν ἀβλαβεῖς ὡς ἀπὸ μιλίων β'· ἡ δὲ γῆ τῆς Μεσοποταμίας ἐπὶ μιλια γ' σχισθεῖσα καὶ ἑτέραν ἀναβράσασαν λευκὴν καὶ ἀμμώδη γῆν, ἀνῆλθε παραδόξως ἐκ μέσου ταύτης ἡμίονος ἀνθρωπίνῃ φωνῇ φθεγγομένη καὶ προμηνύουσα ἐπιδρομὴν ἐθνους *, ὅ(περ) καὶ γέγονε (μετ'
20 ὀλίγον).

(40) Ὁ δὲ τύραννος καὶ ἀλάστωρ ἐξελθὼν μετὰ ταῦτα παλιν 766
κατὰ Βουλγάρων πλωΐ τε καὶ πεζῇ, ἐπὶ Ἀχελῶν ἀπέστειλεν. Ἀνέμου δὲ βιαίου πνεύσαντος, τὰ πλοῖα συνετρίβη. Τοῦτο μαθόντες οἱ Βούλγαροι πόλεμον πρὸς αὐτὸν συνάπ-
25 τουσι. Δεινῶς οὖν ἡττηθεὶς ὁ τύραννος ἐπέστρεψε μετ' αἰσχύνης· μέχρι μὲν γὰρ καὶ τήμερον τὰ τῶν Ἀχελῶν κοῖλα καὶ

---

6. Τῷ δὲ Μαρτίῳ μ. ἀστέρες ἀθρόως ἐκ τοῦ οὐρανοῦ ἐπ. ὡς λέγειν πάντας σ. ἐ. Ced. 12,18,19. — 9. Αὐχμός τε π. γέγονεν ὡς Ced. 12,19,20, cetera e §. 11 repetita non habet. — 12. Τῷ θ' ἔτει γ. σ. ἐν Σ. καὶ μεγάλη καὶ φοβερὰ πτῶσις, ὅθεν αἱ μὲν τ. π. ὁλοκλήρως ἠφανίσθ. αἱ δὲ μέσως, ἑτ. ἀπὸ τῶν ὀρεινῶν Ced. — 14. σὺν τοῖς τείχεσι καὶ τοῖς οἰκήμασιν ὁλόκληροι σῶαι μ. σὺν τῶν κτλ. Ced. — 16. ἓξ. ἐν Μεσοποταμίᾳ δὲ εἰς μῆκος μ. δύο ἐβράγη ἡ γῆ, καὶ ἐκ τοῦ βυθοῦ αὐτῆς ἀνήχθη γῆ λευκοτάτη καὶ ἀμμώδης, ἧς ἐκ μέσου ἀν. ζῷον μυλικὸν ἄσπιλον λαλοῦν ἀ. φ. προμηνύον ἐ. ἐπ. Ced. — * ἐκ τῆς ἐρήμου κατὰ τῶν Ἀράβων Ced. — 21. cf. Ced. ad §. 33.

πεδιάσιμα χωρία τὰ τῶν ἀνῃρημένων κῶλα σαφῶς ὑποδεικνύουσι καὶ τὴν ἥτταν μαρτυροῦσι.

(41) Οὗτος ὁ Θεομισὴς πολλῶν ἁγίων λείψανα κατέκαυσεν, ἄλλα δὲ τῇ θαλάσσῃ παρέδωκεν, ἐν ᾧ καὶ τῆς ἁγίας Εὐφημίας τὸ λείψανον, μὴ φέρων ὁρᾶν ὁ ἀλητήριος μῦρον ἀναβλύζον, σὺν τῇ λάρνακι τῷ βυθῷ παρέπεμψεν, ὅπερ ἐν τῇ Λέμνῳ νήσῳ σῶον διασωθὲν, (παρὰ τῶν οἰκητόρων ἐδέχθη, ἐκ θείας ἀποκαλύψεως, τὸν δὲ ναὸν τῆς ἁγίας πανευφήμου ἁρμάμεντον καὶ κοπροθέσιον ἐποίησεν). Ἐπὶ δὲ Κωνσταντίνου καὶ Εἰρήνης τὸ αὐτὸ λείψανον τῆς παν- 10
ευφήμου πάλιν μετὰ τιμῆς πολλῆς ἐν τῇ πόλει ἀνεκομίσθη.

(42) Οὗτος τῶν υἱῶν αὐτοῦ τοὺς μὲν δύο προβάλλεται καίσαρας Νικηφόρον καὶ Χριστοφόρον, τὸν δὲ Νικήταν νουβελίσιμον. 15

769 (43) Εἰσελθούσης δὲ τῆς Εἰρήνης τῆς ἐξ Ἀθηνῶν ἐν τῇ πόλει μετὰ δρομώνων (167[a]), ἔζευξεν αὐτὴν Λέοντι τῷ υἱῷ αὐτοῦ, στέψας αὐτοὺς ἐν τῷ ναῷ τοῦ ἁγίου Στεφάνου τῷ τῆς βασιλείας στέφει καὶ τοῦ γάμου.

770 (44) Δεξιωσάμενος δὲ φίλους κρυπτοὺς ἐν Βουλγαρίᾳ, 20
οἱ κατεμήνυον αὐτῷ ἅπαντα τὰ τῷ ἄρχοντι αὐτῶν βουλευόμενα, οἱ καὶ δηλοῦσι τῷ βασιλεῖ, ὅτι ἀποστέλλει ὁ κύριος Βουλγάρων λαὸν πρὸς τὸ αἰχμαλωτίσαι τὴν Βερζη-

---

3. Ἀλλὰ καὶ τὸ τίμιον λ. τῆς ἁ. καὶ πανευφήμου Ε. ἐβύθισε σὺν τῇ λ. ὅπερ θεοῦ χάριτι ἐν τῇ ν. τῇ Λ. εὐπλοήσαν ἐγένετο καὶ πάλιν ἐπὶ Κ. καὶ Ε. τῶν εὐσεβῶν βασιλέων μ. τῆς πρεπούσης τ. ἐπανῆλθεν ἐν τῷ τεμένει αὐτῆς ὅπερ, ὁ τῶν ἐκκλησιῶν ἐχθρὸς, μᾶλλον δὲ τῆς ἑαυτοῦ ψυχῆς, ἁρμάμεντον καὶ κοπροθέσιον ἐποίησεν, αὐτοὶ δὲ ἀνακαθάραντες πάλιν καθιέρωσαν Ced. 15,1—14. — 13. Ced. 16,21—23: Τῷ κη' ἔτει ἔστεψε τὴν αὐτοῦ γυναῖκα Εὐδοκίαν, τρίτην οὖσαν, Αὐγοῦσταν καὶ τοὺς δύο ἀ. υ. Χρ. καὶ Ν. ἐποίησε Κ. τοῦ πατριάρχου ποίησαντος εὐχήν. — 16. Τῷ κδ' ἔτει— ἦλθεν Εἰρήνη ἐξ Ἀ. καὶ ἐστέφθη ἐν τῷ ἁγίῳ Στεφάνῳ πρὸς γάμον Λ. βασιλεῖ τῷ υ. τοῦ Κοπρωνύμου Ced. 18,1—4. — 20. Τῷ λγ' ἔτει ἐκίνησε Κωνσταντῖνος στόλον κατὰ Βουλγάρων καὶ ποιήσας εἰρήνην ὑπέστρεψε· καὶ τῶν Βουλγάρων ιβ' χιλιάδας πεμπόντων εἰς Β. ἀκούσας ὁ βασιλεὺς καὶ ἐξελθὼν εἰς τὴν λεγομένην Λιθοσωραίαν ἐπ. αὐτοῖς καὶ πάντας ἀνελὼν ὑπέστρεψεν εἰς τὴν πόλιν τ. τὸν π. ὠν. ἐ. ὡς μ. σφαγέντος χριστιανοῦ Ced. 17,8—43.

τίαν. Ὁ δὲ βασιλεὺς μετασχηματισάμενος κατὰ Ἀράβων κινεῖν, ἀποστέλλει τοὺς ἀποκρισιαρίους τοὺς διὰ εἰρήνην παραγενομένους ἐπὶ Βουλγαρίαν καὶ ἐπισυνάξας πάντα τὸν στρατὸν, ἅμα τῶν ταγμάτων ἐπέπεσε τοῖς Βουλγάροις ἀσαλπιγκτὶ καὶ τρέψας αὐτοὺς ἐποίησε νῖκος μέγα. Καὶ ὑποστρέψας ἐν τῇ πόλει καὶ θριαμβεύσας τεθωρακισμένος, τὸν πόλεμον τοῦτον ἐπωνόμασεν εὐγενῆ, ὡς μηδενὸς αὐτῷ ἀντιστάντος μηδὲ σφαγῆς Ῥωμαίων γενομένης.

(45) Ὁ δὲ ἄρχων Βουλγάρων Τελέριχος γνοὺς, ὅτι ἐκ τῶν οἰκείων αὐτοῦ τὰς βουλὰς ὁ βασιλεὺς μανθάνει, γράφει αὐτῷ (ἐν δολιότητι, ὅτι «βουλόμενος) φυγεῖν καὶ ἐλθεῖν πρός σε (ἵνα δὶ ἐμοῦ ὑποτάξῃς πᾶσαν τὴν Βουλγαρίαν)· ἀλλὰ πέμψον λόγον ἀπαθείας καὶ τίνας ἔχεις φίλους ἐνταῦθα, ἵνα θαῤῥήσω αὐτοῖς ἐλθεῖν σὺν ἐμοί.» Ὁ δὲ κουφότητι γνώμης καὶ ἀνοίᾳ κρατηθεὶς, ἔγραψε τοὺς καταμηνύοντας αὐτῷ, ὅπερ κἀκεῖνος μαθὼν, πάντας δεινῷ θανάτῳ παρέδωκεν, ὃ καὶ μαθὼν ὁ ἀλάστωρ τὴν γενεάδα αὐτοῦ ἀπέτιλε.

(46) Ἐκστρατεύσας δὲ πάλιν κατὰ Βουλγάρων καὶ 775
δεινῶς κατὰ τῶν σκελῶν ἀνθρακωθεὶς καὶ πυρετῷ λάβρῳ καὶ διακαεῖ συσχεθεὶς κατὰ τὴν Ἀρκαδιούπολιν, ἀνέστρεψεν ἐγκλίνιος.

(47) Καὶ ἐλθὼν ἐν Σηλυμβρίᾳ καὶ ἐκπλωΐσας μέχρι τοῦ Στρογγύλου καστέλλου, θνήσκει ψυχῇ καὶ σώματι, βοῶν καὶ λέγων· «ὅτι ζῶν πυρὶ ἀσβέστῳ παρεδόθην διὰ τὴν θεοτόκον Μαρίαν· ἀλλ' ἀπὸ τοῦ νῦν τιμάσθω καὶ ἀνυμνείσθω ὡς θεοτόκος ἀληθὴς οὖσα».

---

9. Ced. 17,13—20: Ὁ δὲ τῆς Βουλγαρίας κῆς Ἐλέριχος. — 10. ἀ. προδίδοται γρ. αὐτῷ· βουλὴν ἔχω τοῦ φ. Ced. — 12. π. οὖν μοι λ. Ced. — 13. φ. ὧδε Ced. — 14. ἀ. καὶ συνδράμωσί μοι Ced. — Ὁ δὲ κοῦφος ὢν καὶ ἀνόητος συνυπήχθη τῇ ἀπάτῃ τοῦ Βουλγάρου καὶ γράφει ἀ. κ. μ. π. ἀπώλεσεν, ὅπερ ὁ Κοπρώνυμος ἀκούσας τὴν γ. ἀ. ἐξέτειλε Ced. — 15. καὶ ἀνοίας Ced. — 18. Ced. 17,21—18,2: Τῷ λε' ἔτει ἐκστρατεύει Κωνσταντῖνος. — καὶ θεηλάτῳ ὀργῇ κ. Ced. — 20. ὑπεστρ. Ced. — 22. Ἐξομολόγησις τοῦ κοπρώνου καὶ κοπρωνύμου· Ced. 18,2—11. — διαπλωΐσάμενος Ced.

(48) Ταῦτα αὐτοῦ ἐπιβοωμένου καὶ τὴν Θεοτόκον Μαρίαν ἐπικαλουμένου καὶ πᾶσι παρακελευομένου καὶ δογματίζοντος ὡς χρὴ τιμᾶσθαι καὶ προσκυνεῖσθαι ὡς κυρίως Θεοτόκον τὴν ἀειπαρθένον, δεινῶς καὶ χαλεπῶς τὴν ἀθλίαν αὐτοῦ ψυχὴν ἀπέρρηξε.

(46) Περὶ οὗ καὶ ὁ θεῖος Νικηφόρος πατριάρχης Κ. Π. τοιάδε φησίν· «ἐπειδή τε τινὰ παρὰ τοῖς χριστομάχοις περιθρυλλεῖται, ἅπερ αὐτοῖς ὁ τοῦ ψεύδους πατὴρ ἐμπνεύσειεν, φέρε καὶ ταῦτα διασκεψώμεθα. Καταψεύδονται γὰρ διὰ τὴν εἰς Χριστὸν καὶ τὴν ἐκκλησίαν αὐτοῦ ὕβριν χρόνους μηκίστους καὶ παρατεταμένην ζωὴν καὶ βίον εὐπαθῆ μεμετρῆσθαι τῷ μαμωνᾷ καὶ εὐημερίας εἰς ἄκρον ἐλάσαι, νίκας τε κατὰ βαρβάρων αὐτῷ καὶ ἀνδραγαθήματα ὡς πλεῖστα ἐπιγράφονται αὐτοῖς σώφροσιν, ἃ οὐδὲ εἰς ἀκρόασιν ἔρχεσθαι δίκαιον· ὡς δ' ἂν τῶν ἁπλουστέρων ἢ ἀμαθεστέρων τινὰς τοῖς ἐκ τῆς ἀπάτης ἀναπλασμοῖς μὴ βλάπτοιεν, τούτους διευθύνοντες, ἕκαστον [πῶς] κενοῖς λόγοις ἑαυτοὺς φενακίζοντες, ἀποφαίνωμεν τοῖς ματαιόφροσιν, ὅτι μὲν γὰρ οὖν ἐκείνοις πᾶν αἰσχρὸν γέγονε, βδελυκτόν τε θεῷ καὶ ἀγγέλοις καὶ ἀνθρώποις τοῖς εὐσεβέσιν ὑπῆρχεν οὐκ ἀσυμφανές. Καὶ γὰρ εἰς τὰ τῆς σαρκὸς πάθη κατασυρόμενος καὶ τοῖς ἀπηγορευμένοις βαρβάροις καὶ Ἕλλησι σῶμα καὶ ψυχὴν ὁ δείλαιος ἐμμολυνόμενος, τὴν τῶν ἀλόγων ζῴων παρείληφε κτηνωδίαν. Καὶ ταῦτα οὐκ ὀλίγοι τῶν παραιτησαμένων αὐτῷ μέχρι δεῦρο περιόντες ἐπαγγελλέτωσαν, μεθ' ὧν καὶ τἄλλα δι' ἃ περὶ τὸ σῶμα αὐτῷ κατήντησε· πόνοις γὰρ καὶ ἀλγηδόσιν ἀῤῥήτοις, οἷα εἰκὼς τοὺς εἱλκωμένους πάσχειν, βαλλόμενος πονηρῶς ἄγαν καὶ ἀναικέστως διέκειτο· καί τινα (167[b]) τῶν μελῶν ὑπὸ τῆς ἕλκώσεως καὶ διαβρώσεως ἀπεῤῥυηκότα αὐτῷ, ἐλεεινῶς κατετρύχετο· συνεχέστατα ὑπὸ τῶν Ἐρινύων ἐκδειματούμενος, πικρῶς τε καὶ ἀΰπνως πολλάκις τὸν νυκτερινὸν διήνυε χρόνον. Παρείσθω τὰ νῦν λέγειν τὸ τῆς διαίτης ἀειδές τε καὶ αἴσχιστον· ὅπερ γὰρ ἂν πρὸς ἄριστον βρώσεως οὐ τέλειον καταποθὲν παρὰ τοὺς ἐμετοὺς ἔφθανε κρινό-

6. Nicephori breviarium editum similia habet 80,1—82,5, sed haud prorsus eadem sunt; igitur haec ex alio Nicephori libro petita; nam chronographia nil nisi nomina et numeros exhibet. — 15. τοὺς cod. — 16. ἕκαστα κεν. Coisl. 310. — 20. ἔγκλησιν cod. — 22. ὀλίγοις cod. — 23. ἀπαγγ. Coisl. 310. — 26. ἔφθασε ἐνκρ. Cois. 310.

μενον, τὸ δὲ περὶ τοὺς ὑπηρετουμένους Ἰταλιῶτας καὶ θηριώδεις τοῦ τρόπου καὶ τῆς ὑπηρεσίας τὸ δυσαχθέστατον, πῶς ἄν τις εἴποι τὰ φέροντα σώματα; μάστιξι γὰρ ἑκάστης ἡμέρας πολλαῖς πολλῶν κατεξαίνοντο σώματα καὶ τὰς ὄψεις παίων πυγμαῖς καὶ λαὲξ ἐναλλόμενος οὐδὲ τῶν σαρκοβόρων θηρίων φιλανθρωπότερον ἔπραττεν, ἐκ στόματος δὲ μελῶν καὶ ὀφθαλμῶν πηρώσεις καὶ τἆλλα ὅσα δεινὰ κολαστήρια καὶ σφαγὰς ἀδίκους ἀνδρῶν ἀθώων καὶ τοὺς διὰ πυρὸς πικρωτάτους θανάτους, μάλιστα δὲ κατὰ τῶν ὀρθοδοξούντων ἐπιδεικνύμενος, τί χρὴ καὶ λέγειν; Οἱ γὰρ τῆς μανίας αὐτοῦ δυσμενεῖς ὑπασπισταὶ καὶ δορυφόροι, βῖνας μὲν ὡς πλείστας ἀνθρώπων ὁσίων ἀποτεμόντες, ὥσπερ τὴν τοῦ προδρόμου πάλαι κεφαλὴν Ἡρῴδῃ προσέφερον, οὕτω καὶ τῷ ἐφ' ἡμῶν Ἡρῴδῃ οἷον δῶρον ἡδὺ καὶ ἐπέραστον ἐκόμιζον ἐπὶ πίνακος· ὀφθαλμῶν ἐξορύξεις καὶ γενειαδῶν ἐμπυρισμοὺς καὶ αἱμάτων ἐκχύσεις καὶ μαρτυροῦσιν οἱ μέχρι καὶ νῦν τὰ σύμβολα περιφέροντες, θανάτους δὲ βιαίους τῶν τοιούτων καὶ ἐξαισίους ὁ τῆς θαλάσσης βυθὸς ἐπίσταται, οἱ λίθοι κράζουσιν. Ἃς δὲ περιπλάττουσιν αὐτῷ νίκας οἱ ἐμβρόντητοι καὶ λυσσώδεις ὁμόφρονες αὐτοῦ, ἵνα μιᾶς τῶν κρατίστων αὐτῶν ἐπιμνησθῶμαι, τοιαῦταί εἰσιν· ἐπεὶ παρεσκεύαστο πρὸς τὸ ἐν δυσμαῖς ᾠκισμένον Σκυθικὸν ἔθνος ἀμύνασθαι, συναθροίζει πᾶν τὸ ὑπ' αὐτὸν στράτευμα· εἰς χεῖράς τε τοῖς πολεμίοις ἰών, ὁποῖα αὐτῷ τὸ τοῦ πολέμου κράτος κατώρθοτο μαρτυρεῖ τὰ φαινόμενα· μέχρι γὰρ καὶ τήμερον τὰ κατὰ τὴν Ἀχελῶν καλουμένην πόλιν κοῖλα καὶ πεδιάσιμα χωρία, ἃ τῶν ἀνηρημένων ἐδέξαντο τὰ κῶλα, σαφῶς ὑποδεικνύουσιν· ἔργον γὰρ τῆς Σκυθικῆς μαχαίρας ἅπαν σχεδὸν τὸ στράτευμα τῶν Ῥωμαίων γέγονεν· εἰ δέ τι μικρὸν καὶ οὐ πάνυ ἄξιον λόγου ἔδρασαν, τοῦτό ἐστι· τοὺς γὰρ πρὸς ἀνατολὴν οἰκοῦντας βαρβάρους ἀκηκοὼς πρὸς τοὺς οἰκείους ἡγεμόνας διαστασιάζοντας, πρὸς τὸν ἐμφύλιον πόλεμον ἀσχολουμένους, ληστρικώτερόν πως μᾶλλον ἢ στρατηγικώτερον ὡς λυσσῶν ἐπιὼν τοῖς τῆς Ἀρμενίας καὶ Συρίας χωρίοις, τῶν ἐκείνοις φρουρίων αἵρει ὁμολογίᾳ τῶν προσοικούντων καὶ ἐπὶ τὴν Θρᾴκην αὐτοὺς μετήγαγεν. Τοιαῦτα μὲν τὰ ἐκείνου ἀνδραγαθήματα καὶ τὰ κατ' ἐχθρῶν σχεδιαζόμενα τρό-

14. μ. γὰρ οἱ μ. νῦν Coisl. 310.

παια, τοιαῦτα δὲ τὰ κατὰ τῆς ἀληθείας καὶ εὐσεβείας νεανεύματα· ἀπηναισχύντητο γὰρ κατὰ τοῦ θεοῦ μανεὶς καὶ κατὰ τῶν ἱερῶν ἀνδρῶν τῶν ὥσπερ αὐτῷ ἀναθήματα προσηκόντων· καὶ τὸ ἀγγελικὸν δὴ τοῦτο καὶ ἀποστολικὸν τοῦ μοναχικοῦ βίου σχῆμα βδελυττόμενος ὁ θεομισὴς καὶ βέβηλος ἐπώνυμον τῆς θεοσεβείας τὸ ἀμνημόνευτον ἐπέγραψεν ὄνομα· βδέλυγμα γὰρ ἁμαρτωλῶν θεοσέβεια καὶ ὅσιον ἀκάθαρτον παρὰ κακούργοις. Οἷα δὲ πρὸς αὐτοὺς τυραννίδα ἐπιὼν ὁ τύραννος ἔδρασε, τίς ἂν, ὡς ἔφην, ἀξίως διηγήσεται; τάς τε γὰρ παρὰ θεῷ ἐπηγγελμένας αὐτοῖς (168ᵃ) ὁμολογίας καὶ συνθήκας ἀθετεῖν ἐκβιαζόμενος καὶ ἱερὸν σχῆμα ἀποῤῥίψαντας, τὸ τῶν λαϊκῶν ὁ παράνομος ἐνομόθητο μεταμφιέννυσθαι· τὰ δὲ εἰς δόξαν θεοῦ ἱδρυμένα μοναστήρια, στρατιωτῶν οἰκητήρια καὶ ἱπποστάσια καὶ κοπρῶνας ὁ κοπρόνους καὶ κοπρώνυμος πεποίηκεν· εἶτα πρὸς τὸ τέλος τῶν κακῶν καὶ τοῦ θεοστυγοῦς αὐτοῦ βίου γενόμενος καὶ πυρετῶν ὀξυτήσεσι καὶ φλογώσεσι κατεπιπραμένος, τῆς ἐκδεξομένης αὐτὸν γεέννης προδήλως τὴν φλόγα προθεώμενος κατωπτρίζετο καὶ τοῦ ἀκοιμήτου σκώληκος τὰ δείγματα σύντονόν τε καὶ γεγονότερον ἐκβοῶν ἐνδελεχέστατα τῆς γεέννης ταῦτα τὰ προαύλια καὶ προοίμια· ταύταις καὶ τοσαύταις εὐπαθείαις ἐναναπαυσάμενος, ὑφ' ὧν δὴ καὶ ὁ Διοκλητιανὸς καὶ Μαξιμιανὸς συντελεσθῆναι ἀκούομεν, οὕτω κακῶς ἀπολλύμενος ὁ κακὸς καταστρέφει τὸν βίον, αἴσχιστόν τε καὶ κάκιστον ὁ ἄσπονδος τοῦ Χριστοῦ καὶ τῶν ἁγίων αὐτοῦ πάντων ἐχθρὸς καὶ πολέμιος δυσμενέστατος».

CCLIV. ΒΑΣΙΛΕΙΑ ΛΕΟΝΤΟΣ ΥΙΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΚΟΠΡΩΝΥΜΟΥ.

775 (Μετὰ δὲ Κωνσταντῖνον τὸν κοπρώνυμον) ἐβασίλευσεν ὁ υἱὸς αὐτοῦ ὁ ἐκ τῆς Χαζάρας ἔτη ε'. (Οὗτος ἤρξατο ἐφαπλοῦσθαι ἐπὶ τοῖς καταλειφθεῖσιν ὑπὸ τοῦ πατρὸς αὐτοῦ, πολλοῖς χρήμασιν ἐξευμενισάμενος τοὺς ἐν τέλει, καὶ τῷ λαῷ εὐσε

3. αὐτῷ ὥσπερ ἀναθημάτ. cod. — 17. γεγονότρ. ἐκβ. cod. γέγονεν ἐμβοῶν Coisl. 310. — 26. Ccd. 12,4—6: Λέων ὁ ἐκ τῆς Χ. ἐβ. ἐ. ἔτη.

βὴς εἶναι προσποιησάμενος καὶ φίλος τῆς θεοτόκου καὶ τῶν μοναχῶν, προχειρισάμενος καὶ μητροπολίτας τινὰς μοναχοὺς ἐν θρόνοις τισί.)

(2) Εἰσελθόντες οὖν οἱ τῶν θεμάτων ἄρχοντες σὺν πολ- 776
λῷ πλήθει ἐν τῇ πόλει, ἠτοῦντο Κωνσταντῖνον, τὸν υἱὸν αὐτοῦ, βασιλέα· ὁ δὲ διὰ τοὺς ἀδελφοὺς δεδιὼς, ἀντεδήλωσεν αὐτοῖς, ὅτι ὁ υἱός μου μονογενής μοί ἐστιν, καὶ φοβοῦμαι τοῦτο ποιῆσαι, μήπως συμβῇ μοι θάνατος καὶ νηπίου αὐτοῦ ὄντος, θανατώσητε αὐτὸν καὶ ἄλλον ἀντ' αὐτοῦ προβάλησθε. Οἱ δὲ μεθ' ὅρκων φρικτῶν ἐπληροφόρουν αὐτὸν μὴ δέξασθαι ἄλλον βασιλέα ἐκτὸς αὐτοῦ. Ἀπὸ δὲ τῆς βαιοφόρου ἕως τῆς μεγάλης ε', τοῦτο ἠτοῦντο· τῇ δὲ ἁγίᾳ παρασκευῇ ἐκέλευσεν ὀμόσαι αὐτοὺς εἰς τὰ τίμια ξύλα. Καὶ ὤμοσαν οἵ τε τῶν θεμάτων ἄρχοντες καὶ τῶν ἔσω ταγμάτων καὶ τῶν πολιτῶν πάντων, μὴ δέξασθαι βασιλέα ἐκτὸς Λεόντος καὶ Κωνσταντίνου καὶ τοῦ σπερμάτος αὐτῶν.

(3) Καὶ τῷ μεγάλῳ σαββάτῳ προεβάλλετο Εὐδόκιμον, ἀδελφὸν αὐτοῦ, νουβελήσιμον καὶ προῆλθε σὺν δυσὶ καίσαρσι καὶ τρισὶ νουβελησίμοις καὶ τῷ νέῳ Κωνσταντίνῳ εἰς τὴν μεγάλην ἐκκλησίαν καὶ τὰ ἐξ ἔθους ποιήσας σὺν τῷ πατριάρχῃ καὶ τῷ υἱῷ αὐτοῦ ἀνῆλθεν εἰς τὸν ἄμβωνα. Εἰσελθόντος δὲ παντὸς τοῦ λαοῦ καὶ ἀποθεμένων τὰ ἔγγραφα αὐτῶν ἐν τῇ ἁγίᾳ τραπέζῃ, εἶπεν ὁ βασιλεύς· «Ἰδού, ἐκ τῆς χειρὸς τοῦ Χριστοῦ καὶ τῆς ἁγίας ἐκκλησίας τὸν υἱόν μου παραλαμβάνετε». Οἱ δὲ ἐβόησαν· «Υἱὲ τοῦ θεοῦ, ἐγγύησον ἡμᾶς, ὅτι ἐκ τῆς χειρός σου παραλαμβάνομεν τὸν κύριον Κωνσταντῖνον εἰς βασιλέα τοῦ διαφυλάττειν αὐτὸν καὶ ὑπεραποθνήσκειν αὐτοῦ».

(4) Καὶ τῇ ἐπαύριον, τῇ μεγάλῃ κυριακῇ ἐστέφθη ἐν τῷ ἱπποδρόμῳ παρὰ τοῦ πατρὸς αὐτοῦ καὶ τοῦ πατριάρχου ἐνώπιον παντὸς τοῦ λαοῦ, καὶ προῆλθον ἐν τῇ ἐκκλησίᾳ οἱ δύο βασιλεῖς σὺν τοῖς δυσὶ καίσαρσι καὶ τρισὶ νουβελησίμοις.

---

4. Ced. 19,6,7: στέφει δὲ Κ. τὸν υ. α. τῇ αἰτήσει τοῦ στρατοῦ.

778 (5) Τῶν δὲ Ἀράβων ἐξελθόντων, ἀποστείλας ὁ βασιλεὺς τὰ στρατεύματα ἐποίησε νίκην μεγίστην· ἐν Σοφιαναῖς δὲ ἐξελθὼν καὶ ποιήσας μαϊουμᾶν, ἐθριάμβευσε τὰ ἐπινίκια· ἐκεῖ γὰρ ἦν ἔθος τοὺς βασιλεῖς δέχεσθαι τὰ λάφυρα.

780 (6) Τοῦ δὲ Νικήτα πατριάρχου τοῦ ἀπὸ Σκλάβων τεθ- 5
νηκότος, προ(168b)χειρίζεται (πατριάρχης) Παῦλος ὁ τίμιος, ὁ λόγῳ καὶ πράξει τετιμημένος, Κύπριος τῷ γένει.

(7) Κατεμηνύθη δὲ τῷ βασιλεῖ, ὡς ὅτι Θεοφάνης ὁ παπίας τοῦ παλατίου, καὶ κουβικουλάριοι τρεῖς σὺν αὐτῷ σέβονται καὶ προσκυνοῦνται τὰς ἁγίας εἰκόνας. Ὁ δὲ βα- 10
σιλεὺς ταῦτα ἀκούσας καὶ τὴν ἐν αὐτῷ ἐγκεκρυμμένην κακίαν ἀπογυμνώσας, τούτους ἀνηλεῶς ἔτυψε καὶ λαθραίως φονεύσας ὁμολογητὰς ἐποίησεν.

(8) Ὁ δὲ Ἀαρὼν, ὁ τῶν Ἀράβων βασιλεὺς ἐξελθὼν ἐν τοῖς θέμασι καὶ κάστρα πολλὰ παραλαβὼν καὶ αἰχμαλω- 15
σίαν ποιήσας, ὑπέστρεψε.

(9) Λιθομανὴς ὑπάρχων λίαν, ἠράσθη τοῦ στέμματος Μαυρικίου καὶ λαβὼν ἐφόρεσεν αὐτὸ καὶ προῆλθεν. Ὑποστρέψαντος δὲ ἀπηνθρακώθη δεινῶς ἡ κεφαλὴ αὐτοῦ καὶ οὕτω σφοδροτάτῳ πυρετῷ συνεχόμενος καὶ φθειρόμενος 20
ἀπέδωκε τὴν ψυχὴν αὐτοῦ, τῆς ἱεροσυλίας τὰ ἐπίχειρα κομισάμενος.

CCLV. ΠΕΡΙ ΤΟΥ ΚΥΝΟΣ ΚΑΙ ΤΟΥ ΚΥΡΙΟΥ ΑΥΤΟΥ.

Ἐπὶ τῆς βασιλείας αὐτοῦ ἀνθρώπῳ τινὶ μόνῳ ὁδεύοντι κύων ἠκολούθει· ληστὴς δὲ ἐνόδιος τὸν ἄνθρωπον ἀποκτείνας ἀπέδρα. 25

---

1. Ced. 19,12: τῷ γ' ἔτει? — 3. μ. πανήγυρις ἐν Ῥώμῃ κατὰ τὸν Μάϊον μῆνα (Suidas) — 5. Ced. 19,15: τῷ δ' ἔτει τέθνηκε Νικήτας Κ. π. ὁ ἀπὸ Σ. εὐνοῦχος καὶ πρ. — 6. τ. ἀναγνώστης Κ. Ced. — 8. Ced. 19,17—21: τῇ δὲ μέσῃ ἡμέρᾳ τῶν νηστειῶν. — 17. Ced. 20,3—8 λ. δὲ λ. ὑπ. ἠρ. τοῦ στ. τῆς μεγάλης ἐκκλησίας ὅπερ ἦν Ἡρακλείου καί — 18. ὑποστραφέντος δὲ Ced. — 20. συν. κακὴν κακῶς τὴν ψ. ἀπέρβηξε, τῆς ἱ. κ. τὰ ἐ. Ced. — 23. Θαυμαστὸν περὶ τοῦ κυνὸς καὶ τοῦ φονέως rubrica cod., π. τοῦ κ. τοῦ ἐπιγνόντος τὸν φονέα τοῦ κῦ αὐτοῦ Par. 1706. — Ced. I. 769,11—772,2: ἐν τούτοις τοῖς χρόνοις (τῷ ι' ἔτει Κωνσταντίνου τοῦ πωγωνάτου) ἀ.— 24. ὁδ. μ. Ced. — 25. ἀπέδρασεν Ced.

Τοῦ (δὲ) κυνὸς (ἀπο)μείναντος ἐν τῷ τόπῳ καὶ φυλάσσοντος τὸ σῶμα τοῦ δεσπότου αὐτοῦ, ἕτερός* τις ἄνθρωπος κατὰ τὴν ὁδὸν ἐλθὼν καὶ τὸ σῶμα ἰδὼν καὶ σπλαγχνισθείς, ὀρύξας ἔθαψεν αὐτὸ ἐν τῇ γῇ. Τοῦτο ἰδὼν ὁ κύων καὶ ἀποδεξάμενος ἠκολούθησε τῷ θάψαντι (τὸ σῶμα τοῦ κυρίου αὐτοῦ) εὐνοϊκὴν δουλείαν (αὐτῷ) ἀποκληρῶν—ἦν δὲ τὸ ἐπιτήδευμα τοῦ ἀνθρώπου κάπηλος—πάντας δὲ τοὺς εἰσιόντας καὶ ἐξιόντας (εἰς τὸ ἐργαστήριον) ἔσαινεν ὁ κύων. Χρόνῳ δέ ποτε συνέβη τὸν φονέα εἰς τὸ καπηλεῖον εἰσελθεῖν, ὃν ἐπιγνοὺς ὁ κύων, ὑλάκτει καὶ ἐπεπήδα εἰς τὸ πρόσωπον αὐτοῦ (καὶ εἰσελθεῖν οὐκ εἶα τὸν ἄνθρωπον). Τοῦτο δὲ πολλάκις γενόμενον εἰς ὑποψίαν πολλοὺς θείου τινὸς κινήματος ἤγαγε· (διὸ) καὶ συσχεθείς, εἰς κρίσιν παρεδόθη καὶ τὸ πραχθὲν ὁμολογήσας μετὰ πάσης ἀληθείας, ἀνῃρέθη**.

CCLVI. ΒΑΣΙΛΕΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΚΑΙ ΕΙΡΗΝΗΣ ΤΗΣ ΜΗΤΡΟΣ ΑΥΤΟΥ ΤΗΣ ΕΞ ΑΘΗΝΩΝ.

Μετὰ δὲ Λεόντα ἐβασίλευσε Κωνσταντῖνος, ὁ υἱὸς αὐτοῦ, 780
σὺν τῇ μητρὶ αὐτοῦ Εἰρήνῃ ἔτη ιζ΄, ἐφ᾽ οὗ τὸ τῆς εὐσεβείας δόγμα ἔλαχεν ἀρχὴν παῤῥησιάζεσθαι καὶ ὁ λόγος τοῦ θεοῦ πλατύνεσθαι καὶ τὰ μοναστήρια μετὰ πάσης ἀδείας καὶ σπουδῆς ἀνοικοδομεῖσθαι, ἐπ᾽ αὐτοῦ ἀναλαμψάσης πάσης ἐκκλησιαστικῆς καταστάσεως.

(2) Μετὰ δὲ μ΄ ἡμέρας (τοῦ κρατῆσαι αὐτὸν τῆς βασιλείας μετὰ τῆς αὐτοῦ μητρὸς) συμβούλιον ποιήσαντες τινὲς τῶν ἐν τέλει, εὐφήμισαν εἰς βασιλέα Νικηφόρον τὸν Καίσαρα, ἀνδράδελφον αὐτῆς.

---

* δὲ Ced. — 2. ἀ. κατὰ συγκυρίαν ἀνὰ ὁ. ἐκείνην διερχόμενος, τὸ σ. ἰ. νεκρὸν ἐῤῥιμένον καὶ σπ. Ced. — 4. ἠκολούθη cod. ἠκολούθει Ced. — 8. χρόνου δὲ παρωχηκότος σ. καὶ τὸν φ. ἐ. τοῦ πιεῖν εἰς τὸ κ. Ced. — 10. γιν. Ced. — 11. θείῳ κινήματι Ced.— ** τῆς θείας δίκης ἀμυναμένης αὐτόν Ced.— 16. Ced. 20,8—12: Κόσμου ἔτος ,ϛοϑ΄, τῆς θείας σαρκώσεως ψοϑ΄ Κ. σὺν. τῇ μ. ἀ. Ἐ. ὀρθόδοξοι ἐβασίλευσαν ἐ. ι΄. Τούτῳ τῷ ἔτει ἡ εὐσεβεστάτη Εἰρήνη ἅμα τῷ υἱῷ Κωνσταντίνῳ θεόθεν παραδόξως τὴν βασιλείαν ἐγχειρίζεται. — 24. Ced. 20,12—14. — 23. τ. τῆς συγκλήτου ἠθέλησαν βαλέσθαι Ν. τὸν ἀπὸ Καισάρων εἰς β. Ced.

(3) Οὓς δείρασα καὶ δημεύσασα ἐξώρισεν (ἐν διαφόροις τόποις). Τοὺς * ἀνδραδέλφους αὐτῆς καίσαράς (τε) καὶ νουβελησίμους ὄντας ἀποκείρασα ἱερατεῦσαι καὶ μεταδοῦναι τῷ λαῷ πεποίηκεν (ἐν) τῇ ἑορτῇ τῆς Χριστοῦ γεννήσεως, ἐν ᾗ καὶ προελθοῦσα (βασιλικῶς δημοσίᾳ) σὺν τῷ υἱῷ** προσήνεγκε τῇ ἐκκλησίᾳ τὸ ὑπὸ τοῦ ἀνδρὸς αὐτῆς ἀρθὲν στέμμα ἐπικαλλωπισθὲν διὰ μαργαριτῶν.

(4) Ἐν δὲ τῷ μακρῷ τείχει*** ἄνθρωπός τις ὀρύττων εὗρε λάρνακα, καὶ ταύτην**** ἀποσκεπάσας εἶδεν ἄνδρα κείμενον μέγαν***** καὶ γράμματα κεκολαμμένα ἐν τῇ λάρνακι γράφοντα τάδε· «Χριστὸς μέλλει γεννᾶσθαι ἐκ παρθένου (Μαρίας), καὶ πιστεύω εἰς αὐτόν. Ἐπὶ δὲ Κωνσταντίνου καὶ Εἰρήνης (τῶν βασιλέων) πάλιν, ὡ ἥλιε, ὄψει με».

(5) Καὶ τῆς πανευφήμου Εὐφημίας τὸ λείψανον****** (προβυθισθὲν ἐν τῇ θαλάσσῃ σὺν τῇ λάρνακι ὑπὸ τοῦ κοπρωνύμου), εὑρέθη ἐν Λήμνῳ τῇ νήσῳ διὰ νυκτερινῆς ὄψεως καὶ (169ᵃ) ἀνακομισθὲν μετὰ τῆς προσηκούσης τιμῆς ἀπετέθη πάλιν ἐν τῷ ἰδίῳ τεμένει, ὅπερ αὐτὸς μὲν ὁ κοπρώνυμος καὶ κοπρόνους ἁρμαμεντάριον καὶ κοπροθέσιον ἐποίησεν, ὁ δὲ Κωνσταντῖνος ἅμα τῇ μητρὶ αὐτοῦ Εἰρήνῃ ἀνακαθάρας, αὖθις τοῦτον καθιέρωσε.

781 (6) Ἀπέστειλε δὲ Εἰρήνη πρὸς Κάρουλον τὸν ῥῆγα τῶν Φράγγων, ὅπως τὴν αὐτοῦ θυγατέραν νυμφεύσηται εἰς τὸν υἱὸν αὐτῆς.

788 (7) Ἀλλὰ******* διασκεδασθέντος φθόνῳ, ἤγαγε κόρην ἐκ

---

1. Ced. 20,14—19. Οὓς κρατήσασα ἡ βασιλὶς ἔτυψε καὶ ἐξ. — * δὲ Ced. — ** δεκαετεῖ ὑπάρχοντι Ced. — 7. ἐπικαλλωπίσασα διὰ μαργάρων Ced. — 8. Ced. 21,6—11· τούτῳ τῷ ἔτει (α') ἐν τοῖς μακροῖς τείχεσι. — *** τῆς Θράκης Ced. — **** ἀποκαθάρας καὶ Ced. — 9. εὗρεν Ced. — ***** Οὗτος Διοσκορίδης ἦν ὁ φιλόσοφος καὶ ταῦτα προεφήτευσε (Scholion). — 10. ἐγκεκ. Ced. — λ. περιέχοντα· χ͞ς Ced. — ****** ὅπερ ἀένναον μύρον βλύζον διετέλει Ced. — 14. Ced. 20,22—21,3. τότε καὶ τῆς π. μάρτυρος Ἐ. τὸ λ. Ced. — 15. ἀπὸ τῆς Λήμνου ἡ θεοφιλὴς Εἰρήνη ἐκόμισε καὶ τὸν πλησίον τοῦ ἱπποδρόμου ναὸν αὐτῆς περικαθάρασα ἐκεῖ αὐτὸ κατέθετε Ced. — 21. Ced. 21,12—17 τῷ β' ἔτει ἀπ. Ἐ. πρ. — βῖγαν cod. — Φραγγίας καὶ ἐνυμφεύσατο τὴν θυγατέρα αὐτοῦ Ἐρυθρὼ λεγομένην Κωνσταντίνῳ τῷ υἱῷ αὐτῆς Ced. — 24. Ced. 23,20—22 τῷ θ' ἔτει λύσασα ἡ βασιλὶς τὴν πρὸς τοὺς Φράγγους συναλλαγὴν ἡγ. κ. ἐκ τῶν Ἀρμενιακῶν ἀπὸ Ἀμνείας ἐ. Μαρῖναν καὶ ἐζ. Ced. — ******* τούτου Leo.

τῶν Παφλαγόνων ὀνόματι Μαρίαν (τὴν τοῦ ἁγίου Φιλαρέτου ἐγγόνην) καὶ συνέζευξεν αὐτὴν Κωνσταντίνῳ τῷ υἱῷ αὐτῆς, ἄκοντος καὶ μὴ βουλομένου διὰ τὴν σχέσιν, ἣν εἶχε πρὸς τὴν τοῦ Καρούλου θυγατέραν.

(8) Ἀαρὼν δὲ, ὁ τῶν Ἀράβων ἀρχηγὸς, κατὰ τῆς πό- 782
λεως ἦλθεν ἐν δυνάμει μεγάλῃ καὶ περιεκάθισεν ἐν Χρυσοπόλει.

(9) Ὁ δὲ βασιλεὺς πέμψας λαὸν καὶ τὴν λίμνην Βανῆς κρατήσας, εἰρήνην Ἀαρὼν ἐξαιτεῖται μεταξὺ αὐτῶν γενέσθαι. Συναρπασθέντες οὖν ἐπὶ τούτου Σταυράκιος ὁ λογοθέτης καὶ Πέτρος ὁ μάγιστρος καὶ Ἀντώνιος ὁ δομέστικος καὶ τέκνα τῶν πρωτευόντων καὶ ἄνευ λόγου πρὸς αὐτὸν ἐξελθόντες, δέσμιοι ἐκρατήθησαν παρ' αὐτοῦ· διόπερ ἀναγκασθέντες οἱ τῆς πόλεως καὶ δῶρα πλεῖστα δόντες ἐρρύσαντο τούτους καὶ εἰρήνην ἐποίησαν καὶ ἀνεχώρησαν οἱ Ἄραβες.

(10) Σταυράκιον δὲ τὸν λογοθέτην ἀποστείλασα Εἰρήνη 783
μετὰ δυνάμεως πολλῆς κατὰ τῶν Σκλαβηνῶν ἐθνῶν ὑπέταξε πάντας καὶ ὑποφόρους ἐποίησε τῇ βασιλείᾳ τῶν Ῥωμαίων.

(11) Ἐξῆλθε δὲ καὶ ὁ βασιλεὺς σὺν τῇ μητρὶ πρὸς τὰ 784
μέρη τῆς Θράκης μετ' ὀργάνων μουσικῶν καὶ λαοῦ πλείστου καὶ ἀπῆλθεν ἕως Βερώης· καὶ ταύτην κτίσας Εἰρηνόπολιν ἐκάλεσε, ἔκτισε δὲ καὶ τὴν Ἀγχίαλον καὶ ὑπέστρεψε μετὰ πολλῆς χαρᾶς καὶ εὐφροσύνης.

(12) Ὁ δὲ πατριάρχης Παῦλος ὁ Κύπριος ἀῤῥωστήσας (καὶ τὴν ἐνθένδε μετάστασιν αὐτοῦ προγνοὺς ἐκ θείας ἀποκαλύψεως), τὸν θρόνον καταλιπὼν (ἀπελθὼν) ἀπεκείρατο ἐν

---

2. αὐτῆς μὴ θέλοντι καὶ ἐποίησε τοὺς γάμους Ced. — 5. *Mady filius Aaron* Hist. misc. scl. Harun. — 8. *Imperatrix misso Antonio domestico suo cum ordinibus obtinuit Barim* Hist. misc. — 9. τῷ γ' ἔτει εἰρηνεύσασα Εἰρήνη μετὰ τῶν Ἀράβων Ced. 21,18. — 10. ἐπὶ τοῦτ. cod. ὑπὸ τ.? — 16. Ced. 21,18—22: Ἀποστέλλει Στ. πατρίκιον καὶ λ. κ. τῶν Σθλαβίνων ὃς καὶ κατελθὼν ὑπ. — 18. ἐπ. τῆς βασιλίδος· ἐλθὼν δὲ ἐν Πελοποννήσῳ καὶ πολλὴν αἰχμαλωσίαν καὶ λάφυρα λαβὼν ἤγαγε τῇ βασιλίδι Ced. — 21. Βεροίας Leo. — 25. Περὶ τοῦ ἁγιωτάτου Παύλου τοῦ πατριάρχου. Ced. 22,1 — 15: Τῷ δ' ἔτει Π. ο ὅσιος καὶ ἁγιώτατος π. ἀσθενήσας κατέλιπε τὸν θ. καὶ ἐν τῇ μ. τῶν Φ. ἀπεκάρη· ἐρχ. οὖν π. ἀ. βασίλισσα λυπουμένη καὶ φησί· τί τοῦτο ἐποίησας; Ὁ δὲ μ. θρήνων ἔφη.

τῇ μονῇ τῶν Φλώρου. Ἀπέρχεται οὖν πρὸς αὐτὸν ὁ βασιλεὺς σὺν τῇ μητρὶ αὐτοῦ, βουλόμενος μαθεῖν τῆς ὑποχωρήσεως τὴν αἰτίαν. Ὁ δὲ μετὰ πολλῶν δακρύων ἔφη· «εἴθε μήδ' (ὅλως) ἐκάθισα ἐν τῷ θρόνῳ τῆς ἐκκλησίας, ἀπεσχισμένης ὑπαρχούσης ἐκ τῶν λοιπῶν ἁγίων θρόνων καὶ ἀναθεματιζομένης». (Ταῦτα ἀκούσαντες οἱ βασιλεῖς μετὰ σκυθρωπότητος καὶ κατηφείας ἀνεχώρησαν. Καὶ ἀποστέλλουσι πρὸς αὐτὸν πατρικίους ἀκοῦσαι τὰ παρ' αὐτοῦ λεγόμενα, πρὸς οὓς μετὰ παῤῥησίας ἐν τῷ τέλει τῆς διδασκαλίας εἶπε)· «ἐὰν οὖν μὴ σύνοδος οἰκουμενικὴ γένηται καὶ τὸ σφάλμα διορθωθῇ τῆς πίστεως ἡμῶν, οὐκ ἔχετε σωτηρίαν». Οἱ δὲ πρὸς αὐτόν· «καὶ ἵνα τί (καθ)υπέγραψας ἐν τῷ χειροτονεῖσθαί σε τοῦ μὴ προσκυνεῖν (τὰς ἁγίας) εἰκόνας;» Ὁ δὲ ἀπεκρίνατο· «καὶ διὰ τοῦτο (κἀγὼ) θρηνῶ καὶ πρὸς (τὴν) μετάνοιαν καταφεύγω, δεόμενος· ἵνα μὴ ὡς ἀρχιερέα κολάσῃ με (ὁ θεὸς καὶ ποιμένα) σιγήσαντα μέχρι νῦν καὶ μὴ κηρύξαντα τὴν ἀλήθειαν τῷ φόβῳ τῆς μανίας ὑμῶν (καὶ μιαιφονίας». Ταῦτα δὲ ἀκούσαντες ἀπῆλθον, ἔχοντες ἐν ἑαυτοῖς πολλὴν ἀπόκρισιν καὶ συζήτησιν.) Ἐν τούτοις (οὖν ἅπασι τὴν μυσαρὰν διαπτύων αἵρεσιν καὶ τὸν λόγον τῆς ἀληθείας κηρύττων), ἐκοιμήθη ἐν εἰρήνῃ (τε καὶ ὀρθοδοξίᾳ, μέγα πένθος καταλιπὼν τοῖς τε βασιλεῦσι καὶ τοῖς εὐσεβέσι πᾶσι τῆς πόλεως· ἦν γὰρ σεβάσμιος ἀνὴρ καὶ πάσῃ ἀρετῇ κεκοσμημένος, ὅθεν καὶ πολλὴν πίστιν εἰς αὐτὸν ἐκέκτηντο πάντες).

(13) Ἀντ' αὐτοῦ χειροτονεῖται Ταράσιος ὁ (ἀπὸ) ἀσηκρῆτις.

786 (14) Διὰ [οὖν] βασιλικῆς παρακλήσεως (ἀπό τε Ῥώμης

---

4. ἐν τῷ τῆς ἱερωσύνης θ. τῆς ἐ. τοῦ θῦ τυραννουμένης καὶ ἐσχ. ἐκ τῶν λ. καθολικῶν θρ. Ced. — 10. καὶ ἐὰν μὴ σχ. οἰκ. καὶ τὰ ἐν μέσῳ σφάλματα δ. οὐκ ἔ. σ. ἡ δὲ εἶπεν αὐτῷ Ced. — 14. ἔφη Ced. — ' τοῦ θῦ Ced. — 15. ὡς ἱ. μ. κ. σ. ἕως τοῦ νῦν Ced. — 21. εἰρ. ἔκτοτε οὖν ἤρξατο λαλεῖσθαι ὁ περὶ τῶν ἁγίων εἰκόνων λόγος παῤῥησίᾳ ὑπὸ πάντων Ced. — 26. Ced. 22,16—24 τῷ ε' ἔτει. — 28. Ced. 23, 1—3: Τῷ ς' ἔτει συνόδου κηρυχθείσης ἐν τῷ ν. τῶν ἁ. ἀ. συνηθροίσθησαν καὶ ὑπηρέται τοῦ διαβόλου. Σύνοδος ζ' cod. περὶ τῆς ζ' συνόδου Mon. Par. 1706.

καὶ τῶν λοιπῶν ἁγίων θρόνων καὶ τῶν ὑπὸ τὴν βασιλεύουσαν πόλιν πάντων ἐπισκόπων) ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων ἐπισυναχθέντων (τῇ βουλῇ καὶ παραινέσει (169b) Ταρασίου πατριάρχου ὡς γενέσθαι σύνοδον προσκυνεῖσθαι τὰς ἁγίας εἰκόνας· τὰς περὶ συνόδου δὲ θείας γραφὰς εἰς ἐπήκοον πάντων τῶν τε βασιλέων καὶ τοῦ λαοῦ παντὸς ἀρξαμένων ὑπαναγινώσκειν καὶ ἀντιβάλλειν), οἱ τοῦ κοπρωνύμου σχολάριοι γυμνώσαντες τὰ ξίφη αὐτῶν τὸν σύλλογον διέλυσαν.

(15) Οὓς οἱ βασιλεῖς αὐτίκα τῆς πόλεως ὑπεξαγαγόντες ἀόπλους προφάσει εὐωχίας εἰς τὰ Μαλαγίνα πρὸς τὰς ἰδίας χώρας ἀτίμως ἐξήλασαν.

(16) Τὸν δὲ θεῖον Ταράσιον σὺν τοῖς προῤῥηθεῖσιν ἐπισκόποις ἐν Νικαίᾳ ἀποστέλλουσι.

(17) Καὶ γενομένης τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, 787 ἀπέλαβε πάλιν ἡ ἐκκλησία τὸν ἀρχαῖον αὐτῆς κόσμον*. Ἡ οὖν ζ' αὕτη σύνοδος τῶν ἐν Νικαίᾳ τὸ β' συνελθόντων τνξ' πατέρων ἐν ἔτει τῆς βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης τῆς μητρὸς αὐτοῦ ὀγδόῳ.

(18) Ταύτης ἡγοῦντο Πέτρος πρεσβύτερος καὶ ἡγούμενος τοῦ ἁγίου Σάβα, τὸν τόπον ἐπέχων Ἀδριανοῦ πάπα Ῥώμης, Ταράσιος Κ. Π. Ἰωάννης, Γεώργιος καὶ Θωμᾶς μοναχοὶ καὶ πρεσβύτεροι, τοποτηρηταὶ τῶν ἀποστολικῶν θρόνων τῆς ἀνατολικῆς διοικήσεως, τοῦ τε Πολιτιανοῦ Ἀλεξανδρείας καὶ Θεοδωρήτου Ἀντιοχείας, Ἡλία Ἱεροσολύμων, κατὰ τῆς πρώην ἀθέσμως συναθροισθείσης παρὰ Κωνσταντίνου τοῦ τηνικαῦτα βασιλεύοντος, τῆς ἀνόμως καὶ ἀθέσμως συναθροισθείσης καὶ ὀνομασθείσης ζ' συνόδου ἐφ' ὕβρει καὶ κατα-

---

7. καὶ μετὰ ξιφῶν εἰσελθόντων σὺν αὐτῷ ἐταράχθησαν καὶ ὑπέστρεψαν Ced. — 13. Τῷ ζ' ἔτει ἠνοίχθη ἐν Νικαίᾳ ἡ καθολικὴ Ced. 23,4. τῷ δὲ η' ἔτει — γέγονεν ἐν N. οἰκουμενικὴ ζ' σύνοδος καὶ ἀπ. ἡ καθολικὴ ἐ. διὰ Ταρασίου — τὸν ἀ. κ. ἀ. 6—9. — * Γερμανὸς δὲ μητροπολίτης Κυζίκου καὶ Ἀνδρέας ἐπίσκοπος Κρήτης ὑπέγραψαν ἀπατηθέντες, ὕστερον συνεφώνησαν τῇ ὀρθοδόξῳ πίστει cod., om. Slav. Ced. et Leo. — 17. συνελθ. π. ἐν N. τὸ β' τν' Ced. 23,9. — 20. οἱ τὰς εἰκόνας σὺν τῷ στ. διορίσαντες πρ. — τοὺς γ' ψευδωνύμους πατριάρχας ἀνεθεμάτισαν, Ἀναστάσιον φημὶ καὶ Κωνσταντῖνον καὶ τὸν Νικήταν εὐνοῦχον Ced. 23,10—15.

στροφῇ τῶν σεβασμίων καὶ ἁγίων εἰκόνων, κενολεγησάσης ὅτι ὡς θεοῖς οἱ χριστιανοὶ τὰς ἁγίας εἰκόνας προσεκύνησαν, οὓς καὶ ἀναθεματίσασα ἡ ἁγία σύνοδος καὶ τοὺς ἐξάρχους αὐτῶν, Θεοδόσιον τὸν Ἐφέσου, Σισίνιον τὸν Πέργης, οὗ τὸ ἐπίκλην Παστιλλᾶς, Βασίλειον Ἀντιοχείας Πισιδίας τὸν λεγόμενον Τρικάκαβον. Τὴν δὲ τῶν σεπτῶν εἰκόνων ἀρχῆθεν παραδεδομένην τῇ ἐκκλησίᾳ προσκύνησιν ἀνανεώσασα, ὥρισε παραπλησίως ταύτας τῷ σταυρῷ προσκυνεῖσθαι.

CCLVII. ΒΑΣΙΛΕΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΜΟΝΟΥ.

790 Φθόνῳ δέ τινες φερόμενοι τῶν οἰκείων τῆς βασιλίσσης Εἰρήνης, βουλόμενοι τὰ πράγματα οὗτοι διοικεῖν, συνέβαλον τὴν μητέρα κατὰ τοῦ υἱοῦ, πείσαντες αὐτὴν ὡς οὐκ ἔστιν ὡρισμένον παρὰ θεῷ (τὸ) κρατῆσαι τὸν υἱόν σου, ἀλλὰ σή ἐστιν ἡ βασιλεία. Αὕτη δὲ ὡς ἅτε γυνὴ ἐξαπατηθεῖσα καὶ στέργουσα τὸ φίλαρχον, ἐβεβαιώθη τῷ νοῒ οὕτως εἶναι. Ὁ οὖν βασιλεὺς εἰκοσαετὴς ὢν καὶ ῥωμαλεώτατος πάνυ καὶ ἱκανὸς ἐν τοῖς πολέμοις, ἐλυπεῖτο μηδὲν ἐξουσιάζων καὶ ἐμελήτησε κατὰ τῆς μητρὸς αὐτοῦ. Ἡ δὲ τοῦτο γνοῦσα παρὰ Σταυρακίου, τοὺς μὲν οἰκείους ἀνθρώπους αὐτοῦ πάντας τύψασα ἐξώρισε, τὸν δὲ μάγιστρον (Πέτρον) καὶ Θεόδωρον πατρίκιον τὸν Καμουλιανὸν καὶ ἑτέρους τῶν ἐν τέλει ἐν κάστροις ἐξώρισεν, τὸν δὲ υἱὸν αὐτῆς πολλὰ λοιδορήσασα ἀπρόϊτον ἐποίησε*, πάντα δὲ τὸν στρατὸν καὶ πάντας τοὺς ἐν τέλει ὁμόσαι πεποίηκεν, ὅτι «ἕως οὗ ζῇς, οὐ καταδεξόμεθα τὸν υἱόν σου κρατῆσαι».

(2) Ἀρμενιακοὶ δὲ μόνοι τοῦτο οὐ κατεδέξαντο, ἀλλὰ Κωνσταντῖνον καὶ Εἰρήνην ὡς ἐξ ἀρχῆς εὐφήμουν.

---

2. θεοὺς?—9. Rubrica haec in codice evanuit, nec in Mon. nec in Par. 1706 invenienda. — 10. Ced. 23,23—24,13: Τῷ ι' ἔτει. — τῶν προσφιλῶν. Ἐ καὶ β. οὗτοι τὰ πρ. δ. — 13. σὴ γάρ ἐ. Ced. — 14. ἐξ. στ. δὲ καὶ τὸ φ. Ced. — 17. μηδενὸς Ced. — 18. ἐμελέτα Ced. — μαθοῦσα π. τοῦ Στ. Ced. 20. Ced. 24,19—16. — 21 ἐξ. ἐν Καϊστορίᾳ Ced. — * ἐφ' ἡμέρας ἱκανάς Ced. — 26. 24,13—16.

(3) Ἡ δὲ ἀπέστειλεν Ἀλέξιον δρουγγάριον τῆς βίγλης, ᾧ ἐπίκλην Μωσηλὲ πρὸς τὸ πεῖσαι αὐτούς. Οἱ δὲ τοῦτον κρατήσαντες, ἄρχειν αὐτῶν προεβάλλοντο, τὸν ἴδιον στρατηγὸν φρουρήσαντες καὶ Κωνσταντῖνον μόνον εὐφήμουν.

(170a) (3) Τοῦτο μαθόντες οἱ τῶν λοιπῶν θεμάτων λαοὶ ὁμοίως εὐφήμουν, τοῦ διαβόλου τοιαύτην ἄρνησιν καὶ ἐπιορκίαν τοῖς ἀνθρώποις ὑποβάλλοντος. Φοβηθεῖσα δὲ ἡ Εἰρήνη τὸ τοῦ λαοῦ ὅρμημα, ἐξαπέστειλε τὸν υἱὸν αὐτῆς πρὸς τὸ στράτευμα· αὐτοὶ δὲ τοῦτον αὐτοκράτορα εὐφήμησαν, τὴν μητέρα αὐτοῦ ἀπεκήρυξαν.

(5) Τὸν δὲ Ἀλέξιον ἐκύρωσε στρατηγὸν τῶν Ἀρμενιακῶν· ὑποστρέψας δὲ ἐν τῇ πόλει Σταυράκιον καὶ Ἀέτιον πρωτοσπαθαρίους καὶ οἰκείους αὐτῆς ἀνθρώπους ἀνηλεῶς τύψας ἐξώρισεν, ὡσαύτως καὶ τοὺς λοιποὺς καὶ οἰκείους αὐτῆς εὐνούχους, αὐτὴν δὲ μετὰ ἀπαθειῶν ἐκάθισεν ἐν τῷ οἴκῳ τοῦ Ἐλευθερίου, ὃν αὐτὴ ᾠκοδόμησεν, ἐν ᾧ καὶ τὰ πλεῖστα χρήματα κατέκρυψεν.

(6) Ἐγένετο δὲ (καὶ) ἐμπρησμὸς καὶ ἐκάη ὁ τρίκλινος τοῦ πατριαρχείου, ὁ λεγόμενος Θωμαΐτης, καὶ αἱ κάμαραι αἱ ὑποκάτω, ἔνθα ἀπέκειντο καὶ τὰ σχέδη πάσης γραφῆς, ἃ ἡρμήνευσεν ὁ μέγας Χρυσόστομος· καὶ διῆλθεν ἡ φλὸξ ἕως τοῦ μιλίου καὶ τοῦ κοιαιστωρείου πανταχόσε ἐπινεμομένη, ἕως οὗ πάντα κατέκαυσε.

(7) Ὁ δὲ βασιλεὺς ἐξῆλθε κατὰ Βουλγάρων καὶ τούτους 791
ληϊσάμενος ὑπέστρεψε μετὰ νίκης.

(8) Ὡσαύτως καὶ ἐν Ταρσῷ μετὰ στρατοῦ πολλοῦ

---

5. τοῦ δ. τὴν τ. ἐπ. καὶ ἄρ. ὑπ. τ. ἀ. Συναχθέντες δὲ οἱ θεματικοὶ ἐν τῷ Ἀτρῴᾳ, πάντες κοινῇ γνώμῃ ἐζήτησαν Κωνσταντῖνον βασιλέα, φ. δὲ ἡ Ἐ. τὸ ὅρ. τοῦ λ. ἀπέλυσεν αὐτόν· καὶ αὐτοὶ μὲν τὴν μ. ἀ. ἀπ. τὸν δὲ Κωνσταντῖνον ἀ. ἐ. Cod. 24,15—20. — 9. εὐφήμη cod. εὐφημήσαντες? — 11. Εἰσελθὼν δὲ ὁ βασιλεὺς ἐν τῇ π. πάντας τοὺς οἰκειακοὺς τοῦ πατρὸς αὐτοῦ, ἀλλὰ καὶ τὸν Στ. θείρας καὶ κουρεύσας ἐξ. τὴν θ. μητέρα αὐτοῦ μ. τῆς ἀποθείας αὐτῆς ἐκ. ἐν τῷ παλατίῳ τοῦ Ἐ. ὃ ἀ. ὠ. ἐν ᾧ τὰ π. χ. κ. Cod. 24,20—25,2. — 18. Cod. 25,2—7. — ἐκαύθη Cod. ἐκάει cod. — 19. ὑπ. ἀ. κ. Cod. — 20. ἀπέκειτο τὰ Cod. — 21. ὁ ἅγιος Ἰω. ὁ Χρ. Cod. — 24. τ. νικήσας ὑπ. Cod. 25,7,8, τ. λ. καὶ ν. ὑπ. Leo. — 26. Cod. 25,8—10.

ἀπελθὼν κατὰ Ἀράβων καὶ πολλοὺς αἰχμαλωτίσας ὑπέστρεψεν.

792 (9) Παρακληθεὶς δὲ ὁ βασιλεὺς ὑπὸ τῆς ἰδίας μητρὸς καὶ πολλῶν τῶν ἐν τέλει, αὖθις ἀναγορεύει αὐτὴν καὶ εὐφημεῖσθαι ὡς ἐξ ἀρχῆς (Κωνσταντῖνον καὶ Εἰρήνην τοῖς πᾶσι) διεκελεύσατο. Καὶ πάντες μὲν πειθαρχοῦσιν, Ἀρμενιακοὶ δὲ μόνοι στασιάζουσι καὶ ἐπιζητοῦσι Ἀλέξιον τὸν Μωσηλὲ (ὃν ἐτίμησεν πατρίκιον καὶ μεθ' ἑαυτοῦ εἶχεν ὁ βασιλεύς). Τοῦτον οὖν διὰ τὴν τοιαύτην ἐπιζήτησιν καὶ διά τινας λόγους, οὓς ἤκουσεν, ὡς μέλλειν αὐτὸν βασιλεύειν, δείρας καὶ κουρεύσας, ἐν εἱρκτῇ ἀπέκλεισεν.

(10) Τῶν δὲ ταγμάτων καὶ θεμάτων ἐν τῇ πόλει ἐπισυναχθέντων, ἐβούλοντο ποιῆσαι Νικηφόρον, τὸν ἀπὸ καισάρων, εἰς βασιλέα. Τοῦτο γνοὺς, ἀποστείλας ἐξήγαγεν ἀμφοτέρους υἱοὺς Κωνσταντίνου τοῦ πάππου αὐτοῦ ἐν τῷ ἁγίῳ Μάμαντι, καὶ τὸν μὲν Νικηφόρον δεινῶς ἐτύφλωσε, Χριστοφόρον δὲ καὶ Νικήταν, Ἀνθιμόν τε καὶ Εὐδόκιμον ἐγλωσσοκόπησε, (σὺν αὐτοῖς δὲ) καὶ Ἀλέξιον τὸν Μωσηλὲ ἐτύφλωσε, πεισθεὶς ταῖς μητρικαῖς εἰσηγήσεσιν.

793 (11) Τοὺς δὲ Ἀρμενιακοὺς χειρωσάμενος καὶ πολέμῳ τροπωσάμενος, τοὺς ἄρχοντας αὐτῶν ἐποινάλισεν, ἐπιγράψας εἰς τὰ πρόσωπα αὐτῶν μέλανι κεντητῷ· «Ἀρμενιακὸς ἐπίβουλος», ἐξορίσας αὐτοὺς ἐν Σικελίᾳ καὶ (ἐν) ταῖς λοιπαῖς νήσοις.

795 (12) Μισήσας δὲ ὁ βασιλεὺς τὴν ἑαυτοῦ γυναῖκα Μαρίαν ὑποβολῇ τῆς ἑαυτοῦ μητρὸς ἐφιεμένης τῆς ἀρχῆς

---

1. ἀπῆλθε Ced. Leo. — ἀ. π. Ced. — 3. Ced. 26,10—15. — 6. Πάντων δὲ πειθαρχούντων μόνοι οἱ Ἀ. στ. Ced. — 9. οὖν καὶ διὰ ταύτην τὴν ζητ. καὶ διὰ τὸ λέγειν τ. ὡς μέλλει αὐτὸς Ced. — 11. κουρ. ἐφυλάκισε Ced. — 12. Τῷ δ' αὐτῷ μηνὶ (τῷ β' ἔτει) ἐκ συκοφαντίας τινῶν ἐξελθὼν ὁ βασιλεὺς ἐν τῷ ἁ. M. ἐκτυφλοῖ N. καὶ Χρ. τοὺς θείους αὐτοῦ, ὑ. Κ. τ. π. ἀ. Χρ. δὲ ἄλλον καὶ N. Ἀ. καὶ Ἐ. ἐγ. καὶ Ἀ. τὸν M. ἐτ. ἀλλ' οὐκ εἰς μακρὰν ἡ τοῦ θεοῦ δίκη ἀνεκδικήτους αὐτοὺς εἴασε Ced 25,19 — 26,3. — 20. Ὑποταξας δὲ καὶ τ. Ἀ. πολέμῳ, τοὺς ἀ. Ced. 26,3—6. — 22. τὸ πρόσωπον Ced. — 23. οὓς καὶ ἐξώρισεν Ced. — τε Ced. — 25. Ced. 26,6—10. — Μαρῖναν Ced.

πρὸς τὸ μισηθῆναι αὐτὸν *, ἐξεβιάσατο τοῦ αὐτὴν ἀποκεῖραι.

(13) Ἐμνηστεύθη δὲ παρανόμως Θεοδότῃ κοβικουλα- 796
ρίᾳ καὶ ἔστεψεν αὐτήν.

(14) Ἀπέσχισε δὲ τῆς κοινωνίας Ταρασίου Πλάτων, ὁ τοῦ Σακουδίωνος ἡγούμενος, καὶ λοιποὶ διὰ τὸ ἐπιτρέψαι τὸν πατριάρχην ἀποκαρεῖν Μαρίαν καὶ λαβεῖν Θεοδότην (ἥτις Θεοδότῃ συγγενὴς ἐτύγχανε τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου ἡγουμένου τοῦ Στουδίου), εἰς οὓς καὶ πολλὰς θλίψεις (καὶ μάστιγας) ἐνεδείξατο ὁ βασιλεύς.

(15) Καὶ τὸν πρεσβύτερον Ἰωσὴφ τὸν Καθαρὸν, προτρέψαντος φασὶ τοῦ πατριάρχου, στεφανῶσαι τοῦτον μετὰ Θεοδότης καὶ τὸν αὐτὸν Κωνσταντῖνον εἰς κοινωνίαν δεξάμενον. Κἀντεῦθεν ὁ βασιλεὺς τὸν μὲν Πλάτωνα ἐν τῷ παλατίῳ καθεῖρξεν, τοὺς δὲ λοιποὺς μοναχοὺς μαστιγώσας σὺν τοῖς ἀνεψιοῖς, ἐξώρισεν ἐν Θεσσαλονίκῃ οὓς ἡ μήτηρ αὐτοῦ ὑπερασπιζομένη ὡς τὴν παρα(170^{b})νομίαν αὐτοῦ ἐλέγχοντας, ἐκίνησεν αὐτὸν κατ' αὐτοὺς εἰς μῖσος.

(16) Μαθὼν δὲ, ὅτι λαὸς ἀπέχθεται κατ' αὐτοῦ καὶ δυσχεραίνει, ἐξέπλευσεν εἰς Πύλας, βουλόμενος πρὸς τὸ θέμα τῶν Ἀνατολικῶν γενέσθαι. Οἱ δὲ συνόντες αὐτῷ μεγιστᾶνες ὑφορώμενοι τὴν ἐπανάστασιν τοῦ λαοῦ καὶ τὴν τῆς πόλεως σύγχυσιν, πείθουσιν αὐτὸν διὰ παρακλήσεως ὑποστρέψαι πάλιν εἰς τὴν πόλιν.

(17) Ὁ δὲ Κάρδαμος, ὁ κύριος Βουλγάρων, ἔγραψε τῷ 796
βασιλεῖ (ὅτι) «ἢ τέλεσόν μοι πάκτα ἢ ἔρχομαι ἕως τῆς χρυσῆς πόρτης». Ὁ δὲ βασιλεὺς (βαλὼν καβαλίνας ἐν μανδηλίῳ) ἔπεμψεν αὐτῷ δηλώσας αὐτῷ, ὅτι «οἷα δή σοι πρέπει πάκτα ἀπέστειλα· γέρων δὲ εἶ καὶ οὐ θέλω κοπωθῆναί σε ἕως τῶν ὧδε, ἀλλ' ἐγὼ ἔρχομαι πρός σε» **. Καὶ λαὸν συνα-

---

* ἔσχε γὰρ ὁ βασιλεὺς πονηρὰς ὑπολήψεις κατὰ τῆς Μαρίνης Ced. — 1. πείθει αὐτὴν γενέσθαι μοναχὴν Ced. — 3. Ced. 26,10,11: Ἔ. δὲ Θεοδότην κουβικουλαρίαν ᾗ καὶ ἐ. π. — 5. Ced. 26,17—20: Ἀπέσχισαν δὲ τοῦ πατριάρχου τῆς κ. ὁ τοῦ Στουδίου. — 6. διὰ τὸν παράνομον γάμον τοῦ βασιλέως Ced. — 9 εἰργάζετο Ced. — 12. διὰ τὸν πατριάρχην cod. — 16. ἡ δὲ μ. ἀ. ὑπερησπίζετο αὐτῶν Ced. 26,19. — 23. Τῷ ς' ἔτει Καρδάμης ὁ κῆς Ced. 26,21—27,4. — 25. β. ἀπέστειλεν ἀ. εἰπὼν ὅτι Ced. — 26. πρ. σοι Ced. — ** καὶ εἴ τι κρίνει ὁ θς Ced.

θροίσας καὶ ἐξελθὼν ὁ βασιλεὺς ἐδίωξεν αὐτὸν ἕως· τὰ ἴδια.

797 (18) Ἡ δὲ μήτηρ αὐτοῦ θωπεύουσα πάντας καὶ δωρεῶν ὑπόσχεσιν ἑλκύσασα πρὸς ἑαυτὴν, ἐτήρει ἡμέραν ἐπιτηδείαν πρὸς τὸ μοναρχῆσαι. Τοῦ οὖν βασιλέως ἐξελθόντος κατὰ Ἀράβων, τοῦ λαοῦ παρητοιμασμένου ὄντος τοῦ κρατῆσαι αὐτὸν ἐπί τε ταῖς ὑποθήκαις τῆς μητρὸς διὰ τὴν παρανομίαν δῆθεν τῆς γυναικὸς, δι' ἣν καὶ μισητὸς πᾶσι γέγονε, πείθουσιν αὐτὸν οἱ μεγιστᾶνες αὐτοῦ ὑποστρέψαι ἐν τῇ πόλει εἰσηγήσεσι τῆς μητρός· καὶ δὴ παραγενόμενον ἐν τῷ παλατίῳ, τῆς μητρὸς αὐτοῦ μὴ παρούσης, ἀπέκλεισαν αὐτὸν οἱ μεγιστᾶνες, οἱ σύμβουλοι τῆς μητρὸς αὐτοῦ, ἔνθα ἐγεννήθη, ἐν τῇ πορφύρᾳ, ἐκτυφλοῦσιν αὐτὸν δεινῶς καὶ ἀκάτως πρὸς τὸ τεθνάναι αὐτόν· ἐσκοτίσθη δὲ τότε ὁ ἥλιος ἐπὶ ἡμέρας ιζ΄,** ὥστε καὶ τὰ πλοῖα πλανᾶσθαι καὶ λέγειν πάντας, ὅτι διὰ τὴν τοῦ βασιλέως ἐκτύφλωσιν ἐσκοτίσθη ὁ ἥλιος. Ἀλλ' ὅρα*** τοῦ θεοῦ (τὰ) ἀνεξερεύνητα κρίματα· μετὰ γὰρ ε΄ ἔτη τῷ αὐτῷ μηνὶ,**** τῇ αὐτῇ ἡμέρᾳ, ἐν ᾗ ἀπετύφλωσε τοὺς ἰδίους θείους (καὶ Ἀλέξιον τὸν Μωσηλὲ), τυφλοῦται καὶ (ὁ) αὐτὸς (Κωνσταντῖνος).

CCLVIII. ΒΑΣΙΛΕΙΑ ΕΙΡΗΝΗΣ ΜΟΝΗΣ

Ἐκράτησε δὲ Εἰρήνη***** μόνη ἔτη ιε΄.

---

* εἰς Ced. — 3. Περὶ τῆς τυφλώσεως Κωνσταντίνου. Εὐροῦσα δὲ ἄδειαν ἡ τούτου μ. π. ὑποσύρει τοὺς τῶν ταγμάτων ἄρχοντας πρ. τὸ καθελεῖν τὸν ὑν αὐτῆς καὶ μονοκρατῆσαι Ced. 27,9—11. — 5. Τῷ ς΄ ἔτει ἐξῆλθεν ὁ βασιλεὺς σὺν τῇ μητρὶ αὐτοῦ ἐν τῇ Προύσῃ θερμῆσαι, καὶ μεθ' ἡμέρας ὀλίγας ἐτέχθη τῷ βασιλεῖ υἱὸς, ὃν ἐπωνόμασε Λέοντα, ὅπερ μαθὼν ὁ βασιλεὺς καταλιμπάνει τὴν μητέρα αὐτοῦ σὺν τῇ βασιλικῇ πάσῃ τάξει καὶ τοῖς ἄρχουσι καὶ ὑποστρέφει δρομαῖος ἐπὶ τὴν πόλιν Ced. 27,5—9. — 10. Ced. 27,11—21. — 12. ἐκ συμβουλῆς Ced. — ἐν τῇ π. ἐν ᾗ ἐγ. καὶ ἐκτ. Ced. — 14. π. τὸ τεθ. τῇ γνώμῃ τῆς μητὸς αὐτοῦ Ced. τῆς μ. α΄, τουτο βουλευσαμένης Leo. — ὁ ἡ. τ. Ced. — ** καὶ οὐκ ἔδωκε τὰς ἀκτῖνας αὐτοῦ Ced. — 15. ὡς π. λ. ὅτι διὰ τὴν τοῦ β. τ. τοῦτο ἐγένετο τοιοῦτον γὰρ σκότος ἐγένετο ὥστε καὶ τὰ πλ. ἀλλ' Ced. — *** καὶ τὰ Ced. — **** καὶ Ced. — 19. θ. αὐτοῦ Ced. — 21. π. τῆς βασιλείας Ἐ. μητρὸς Κωνσταντίνου M. Par. 1706, in codice evanuit rubrica vel ejus loccum praecedens tenet. — ***** ἡ μήτηρ αὐτοῦ Ced. 27,21.

(2) Ἐστασίασαν δὲ οἱ αὐτῆς ἀνδράδελφοι, καὶ ἐξώρισεν αὐτοὺς ἐν Ἀθήναις.

(3) Οἱ κἀκεῖ βουλευσάμενοι περὶ βασιλείας, ὑπὸ τῶν 799
ἐντοπίων ἀνῃρέθησαν, καὶ ἠφανίσθη τοῦ μιαροῦ κοπρωνύμου τὸ γένος *.

(4) Τῇ δὲ β' τοῦ ἁγίου πάσχα ἀπελθοῦσα ἡ βασίλισσα ἐν τῇ κατὰ τύπον γενομένῃ προελεύσει εἰς τοὺς ἁγίους ἀποστόλους, δείλης προῆλθεν ἐπὶ ὀχήματος χρυσοῦ, ἐποχουμένη τέσσαρσιν ἵπποις λευκοῖς, κρατουμένοις ὑπὸ πατρικίων, βίψασα ὑπατείαν ἐν τῇ μέσῃ πολλήν.

(5) Νοσησάσης δὲ τῆς βασιλίσσης, ἐδηλώθη αὐτῇ, ὅτι 800
Σταυράκιος στάσιν κατὰ σοῦ μελετᾷ. Ἡ δὲ ἐν τῷ Ἰουστινιανοῦ τρικλίνῳ σελέντιον ποιήσασα, ἐξεφώνησε μὴ προέρχεσθαί τινα τῶν ἀρχόντων.

(6) Ἀέτιος δὲ ὁ σὺν αὐτῷ παραδυναστεύων, φθονῶν Σταυράκιον, εἰς ἑαυτὸν τὸ κράτος μετεχειρίζετο.

(7) Τούτων δὲ οὕτως ὄντων, Νικηφόρος πατρίκιος καὶ 802
γενικὸς ἐτυράννησε κατ' αὐτῆς μετὰ βουλῆς Νικήτα πατρικίου καὶ Σισινίου, τῶν αὐταδέλφων τῶν ἐπιόρκων καὶ δολερῶν Τριφυλίων, καὶ Λέοντος πατρικίου (171ª) τοῦ τεσσαρακονταπήχεος, καὶ Γρηγορίου πατρικίου τοῦ Μουσουλακίου καὶ ἑτέρων τινῶν τῶν ἐν τέλει.

(8) Καὶ ἐλθόντες ἐν τῇ χαλκῇ ὥρᾳ τετάρτῃ τῆς νυκ-

---

1. οἱ ἀν. ἀ. οὓς καὶ ἐξ. ἐν Ced. 27,22. — 3. Οἱ κἀκεῖσε Ced. 27,23—28,2. — παρὰ Ced. — 4. τὸ τοῦ μ. Κ. γ. Ced. — * Φρουρουμένων γὰρ αὐτῶν πρότερον ἐν τῷ παλατίῳ τῶν Θεραπίου, Κωνσταντῖνος καὶ Νικηφόρος οἱ αὐτάδελφοι, ἔπεισαν αὐτοὺς τινὲς προσφυγεῖν τῇ μεγάλῃ ἐκκλησίᾳ καὶ λόγον ἀπαθείας αἰτήσαι. Τῇ οὖν προφάσει ταυτῃ ὡς βασιλεῖς αὐτοὺς εὐφημίσαντες καὶ λαὸν πολὺν συγκινήσαντες, ἐξάγει τούτους ἡ Εἰρήνη ἐκ τῆς ἐκκλησίας καὶ μηδενὸς αὐτοῖς προσχόντος, ἐξώρισεν εἰς Ἀθήνας. Καὶ ἠφανίσθη τὸ μιαρὸν τοῦ Κοπρωνύμου γένος, ὡς εἴρηται. In textu codicis, sed nec apud Cedrenum nec apud Leonem legitur. — 5. Ced. 28,1—5. — 6. ἐπὶ Ced.—7. ἐν σ. ὀχήματι χρυσῷ Ced.—10. Τῷ γ' ἔτει Στ. τυραννίδα ἐμελέτησεν, ὅπερ μαθοῦσα ἡ βασιλὶς ἐθέσπισε μὴ προσπελάζειν τ. Σταυρακίῳ. Ὁ δὲ τῇ λύπῃ καταπονηθείς, αἷμα ἐκ τοῦ πνεύμονος ἀναγαγὼν τέθνηκε Ced. 28,6—9. — 16. Ἐκβάλλει τοίνυν Εἰρήνην ὁ Ν. σπουδῇ Δ. τοῦ Κλόκα καὶ Ν. π. καὶ Σ. τῶν ἀ. καὶ τῶν ἐπ. καὶ δ. Τρ. καὶ Δ. π. τοῦ τ. καὶ Γρ. π. τοῦ Μουσιλάκη Ced. 29,11—15.—22. Οἵτινες ἐ. Ced. 29,15—30,1.

τὸς, ἀπατήσαντες τοὺς φυλάσσοντας ὡς παρ' αὐτῆς ἀπεσταλμένοι, εἰσῆλϑον ἐν τῷ παλατίῳ καὶ διὰ τῆς νυκτὸς κατὰ πάσης τῆς πόλεως τὴν ἀναγόρευσιν αὐτοῦ ἐποιήσαντο, φύλακας περιστήσαντες ἐν τῷ παλατίῳ τῶν Ἐλευϑερίου φυλάττειν Εἰρήνην. Ὄρϑρου δὲ μεταστειλάμενοις ἀπέκλεισαν αὐτὴν ἐν τῷ παλατίῳ.

(9) Καὶ οὕτως προῆλϑεν ἐν τῇ ἐκκλησίᾳ καὶ ἐστέφϑη ὑπὸ Ταρασίου.

CCLIX. ΒΑΣΙΛΕΙΑ ΝΙΚΗΦΟΡΟΥ.

Οὗτος ὁ Νικηφόρος * ἐβασίλευσεν ἔτη ζ'.

(2) Οἱ δὲ ὄχλοι ἐπηρῶντο καὶ τὸν στέφοντα καὶ τὸν στεφομένον **.

(3) Χρηστότητα δὲ ὑποκρινόμενος παρηγόρει τὴν βασίλισσαν ὡς πᾶσαν αὐτῆς τὴν ἀνάπαυσιν ποιήσειεν, εἰ τοὺς ϑησαυροὺς αὐτῆς καταμηνύσειεν αὐτῷ. Ἡ δὲ συνετῷ (μὲν) τῷ φρονήματι πρὸς τὸν ϑῆς μὲν δοῦλον ἐπίορκον, σήμερον δὲ τύραννον ἔφη· «ἐγὼ μὲν, ὦ ἄνϑρωπε, ϑεὸν *** ἡγοῦμαι τὸν ὑψώσαντά με εἰς ταύτην τὴν βασιλείαν, ταῖς δὲ ἐμαῖς ἁμαρτίαις τὴν καϑαίρεσιν ἐμαυτῇ προσάπτω· ἐν πᾶσι δὲ τούτοις εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον. Οὐ μὴ δὲ ἀγνοῇς τὰς κατὰ σοῦ μηνυϑείσας μοι ἐπιβουλάς, αἷς εἰ συναπήχϑην, ἀκολύτως εἶχον τοῦ ἀνελεῖν σε. Ἀλλὰ τὸ μὲν τοῖς σοῖς ὅρκοις πειϑομένη, τὸ δὲ φειδομένη σου, πάν-

---

1. καὶ τοὺς φύλακας ἐξαπ. ἔπεισαν ὅτι παρὰ τῆς Αὐγούστης ἀπεστάλησαν ἀναγρεῦσαι βασιλέα τὸν Νικηφόρον· οἱ δὲ πιστεύσαντες τῷ τηλικούτῳ ψεύματι συνανηγόρευσαν καὶ αὐτοὶ βασιλέα τὸν τύραννον κτλ. Ced. — 4. φ. τοίνυν ἐν τῷ π. τοῦ Ἐ. περιστήσας· ἐκεῖσε γὰρ ἔτυχε τυγχάνουσα ἡ βασιλὶς, ὄρϑρου ἀγαγὼν αὐτὴν ἐν τῷ παλατίῳ ἀπέκλεισε Ced. — 7. ἐκ. ἐπὶ τὸ στεφϑῆναι, T. ἔτι τὸν ϑρόνον κατέχοντος κτλ. Ced. 30,2—5. — 10. Ced. 30,6. — * πατρίκιος καὶ γενικὸς λογοϑέτης Ced. — ἡμέρας ϑ' Ced. — 11. Ced. 30,2—7. — κατηρ. Ced. — ** τύραννον καὶ ἀπεκάλουν ἀλιτήριον Ced. — 13. Τῇ ἐπαύριον δὲ παραλαβών τινας τῶν πατρικίων ἀνῆλϑε πρὸς τὴν β. φρουρουμένην καὶ χρ. ὑποκριϑεὶς π. αὐτὴν λέγων, π. σου ἀ. ποιήσω εἴ τ. ϑ. σου καταμηνύσεις μοι Ced. 30,7—31,4. — *** εὐεργέτην Leo. — 19. ἐμαυτῆς Ced. — 20. οὐ μὴν δὲ ἀγνοεῖς Ced.

τα παρελογισάμην, τῷ δεῷ ἀποδοῦσά σε, δι' οὗ βασιλεῖς βασιλεύουσι καὶ δυνάσται κατεξουσιάζουσι. Καὶ τὰ νῦν ὡς εὐσεβῆ καὶ ἐκ δεοῦ προβληδέντα (εἰς) βασιλέα προσκυνῶ (καὶ τιμῶ) καὶ αἰτοῦμαι φείσασδαί μου τῆς ἀσδενείας καὶ συγχωρῆσαί μοι τὸν ὑπ' ἐμοῦ κτισδέντα τὸν Ἐλευδερίου οἶκον εἰς ψυχαγωγίαν τῆς ἀσυγκρίτου μου συμφορᾶς». Ὁ δὲ ἔφη· «Καὶ εἰ τοῦτο δέλεις σοι γενέσδαι, ὅμοσόν μοι μὴ ἀποκρύψαι τι τῶν δησαυρῶν, καὶ πᾶσάν σου δεραπείαν ποιῶ». Ἡ δὲ ὤμοσεν αὐτῷ, ὑποδείξασα καὶ πλοῦτον πολύν. Ὁ δὲ τοῦ ποδουμένου τυχών, παρευδὺ ἐξώρισεν αὐτὴν ἐν τῇ Πριγκήπῳ, ἣν αὐτὴ ᾠκοδόμησεν εἰς μονήν.

(4) Ἰδὼν δὲ πάντας τοὺς ἐν τέλει λυπουμένους ἐπ' αὐτῇ διὰ τὴν ἀπληστίαν αὐτοῦ (καὶ) φοβηδείς,* καίπερ βαρυτάτου χειμῶνος ὄντος, ἐξώρισε τὴν αὐτὴν Εἰρήνην ἐν Λέσβῳ τῇ νήσῳ φρουρεῖσδαι.

(5) Προσελάβετο δὲ καὶ Κωνσταντῖνον υἱὸν αὐτῆς, ὃς καὶ ὑπέδειξεν αὐτῷ τὸν** ἀνακτισδέντα πλοῦτον ὑπὸ ὀρδομαρμαρώσεως τὸν νῦν ἐν τῷ σίγματι ὄντα.

(6) Νικήταν δὲ τὸν Τριφύλιον*** ὁ αὐτὸς Νικηφόρος 803
φαρμάκῳ ἀνεῖλε.

(7) Βαρδάνης δὲ ὁ πατρίκιος καὶ στρατηγὸς τῶν ἀνατολικῶν, (τὸ ἐπίκλην Τοῦρκος) ἀνηγορεύδη βασιλεὺς ὑπὸ τῶν περατικῶν δεμάτων, ὅς γε πολλὰ τοῦτο παρητήσατο.

---

5. με εἰς τὸν Ced. — 11. εἰς ὃ αὐτὴ ᾠ. μοναστήριον Ced. — 12. Ced. 31,4 — 9. — * μήποτε οἱ λαοὶ μεμνημένοι τῶν εὐεργεσιῶν αὐτῆς μέλλωσι πάλιν αὐτὴν ἀναγορεύειν. Ced. — 13. χ. ἐπικειμένου β. οὐκ ᾤκτειρεν αὐτὴν ἀλλ' ἐξ. εἰς Μιτυλήνην φ. ἀ. προστάξας Ced. — 16. Κ. δὲ τὸν ὕν ἀ. φιλαργυρίᾳ μᾶλλον ἀγόμενος ἢ οἴκτῳ πρ. συνέστιον αὐτῷ, οἰόμενος πλοῦτον ἐγκεκρυμμένον φανερῶσαι αὐτῷ. Ὁ δὲ φιλοφρονούμενος ὑπ' αὐτοῦ κουφότητι γνώμης ὑπ. Ced. 31,14—20. — ** ἐν τῷ ἡμικυκλίῳ ὃ νῦν λέγεται Σ. Ced. — 17. δησαυρὸν ἀν. δι' ὃ. καὶ τοῦτον ἀφελόμενος καὶ αὐτὸν ἀφελόμενος καὶ αὐτὸν ὁμοίως τῇ μητρὶ αὐτοῦ παρεῖδε Ced. — 19. Ced. 31,20—24. — *** ἀξίως τῆς ἑαυτοῦ γνώμης ἀμειβόμενος ὡς συναγωνισδέντα αὐτῷ εἰς τὸ κατασχεῖν τὴν βασιλείαν Ced. — φ. ἀ. εὖγε τῆς ἀξίας ἀνταποδιδούς Ced. — 21. Ced. 32, 1—33,1: Βαρδάνιος δὲ τῆς ἀνατολῆς στρ. ὢν ἐν ἑαυτῷ ἐφρόντιζε τῆς βασιλείας ἐπιλαβέσδαι—ἀνηγόρευσαν βασιλέα Βαρδάνιον ᾧ ἐπ. Τ.

(8) Διαδράσαι δὲ μὴ δυνηϑεὶς, βίᾳ κατελϑὼν ἐν Χρυσοπόλει, εἶτα φοβηϑεὶς τὸν ϑεὸν, μήπως δί αὐτοῦ γένηται σφαγὴ χριστιανῶν, λαβὼν παρὰ Νικηφόρου λόγον ἀπαϑείας, νυκτὸς λάϑρᾳ τοῦ λαοῦ ἦλϑε πρὸς τὴν μονὴν Ἡρακλείου ἐν τῷ Καταβολίῳ καὶ εὐϑὺς γέγονε μοναχός*.

(9) Ἐρχομένου δὲ αὐτοῦ διὰ τοῦ σταλέντος βασιλικοῦ χελανδίου ἐν τῇ Πρώτῃ νήσῳ εἰς τὸ μοναστήριον αὐτοῦ, ὃ ἦν αὐτὸς κατασκευάσας, Λυκάονες τινὲς ἄνδρες ἢ μᾶλλον εἰπεῖν λυκάνϑρωποι ἐκτυφλοῦσιν αὐτὸν παρὰ γνώμην τοῦ βασιλέως, διὸ καὶ λύπῃ πολλῇ συσχεϑεὶς (ὁ Νικηφόρος), πάντας μεϑ' ὅρκων ἐπληροφόρει ἀναίτιον εἶναι αὐτὸν τοῦ τοιούτου δράματος· τεκμήριον δὲ ἐπὶ τοῖς λεγομένοις, ὅτι οὐδέποτε τινὰ χριστιανὸν φαίνεται φονεύσας ἢ μέλος αὐτοῦ παντάπασιν ἀκρωτηριάσας, εὐσεβὴς ὑπάρχων ἄγαν καὶ χριστιανόφιλος πάνυ.

806 (10) Ἐφ' οὗ ἐν τῷ γ' ἔτει τῆς αὐτοῦ βασιλείας ὁ τῶν Σαρακηνῶν φύλαρχος παρεγένετο ἐν τῷ Ἀμορίῳ μετὰ δυνάμεως πολλῆς.

(11) Ἐξῆλϑε δὲ καὶ** Νικηφόρος (πρὸς τὸ Δορύλαιον) δηλώσας τῷ πρωτοσυμβούλῳ ταῦτα· Ἵνα τί ἐπιχαίρεις ταῖς ἀδικίαις καὶ ταῖς αἱματεκχυσίαις, μὴ ἀρκούμενος εἰς τὰ ἴδια, ἀλλὰ παραβαίνεις ὅρους (171[b]) ἀρχαίους καὶ πατρῴους; Ποῖος γάρ σε προφήτης ϑεῖος ταῦτα ποιεῖν ἐδίδαξε; Οὐχὶ Μουχούμετ ὁ προφήτης [σου] παρήγγειλε

1. Μὴ δυν. δὲ διαδρᾶναι βιαζόμενος ὑπ' αὐτῶν κατῆλϑεν ἐν Χρ. εὐφημούμενος κτλ. Ced. 33,1—11. — 2. ἐ. τὸν τοῦ ϑῦ φόβον ἐν καρδίᾳ κεκτημένος ὁ Βαρδάνιος καὶ δεδιὼς μήπως δί αὐτὸν ἐμφύλιος γ. πόλεμος λ. πρὸς τὸν βασιλέα ἐκπέμπει λόγους ἀπ. ζητῶν καὶ λ. ναυσιπόρος διέδρα ν. καὶ ἀπελϑὼν ἐν τῷ Κ. εἰς τὴν τοῦ Ἡ. μ. γ. μ. Ced. 33,6—10. — * ὁ δὲ μετ' αὐτοῦ λαὸς οἴκαδε ᾤχετο· σχηματισάμενος δὲ ὁ βασιλεὺς ἀγαγεῖν Βαρδάνιον ἐν τῇ πόλει δρόμωνα ἐξαπέστειλε Ced. — 6. Τοῦ δὲ παραγενομένου ἐν τῇ Π. ν. πρὸς τὴν μονὴν ἣν αὐτὸς κατεσκεύασε προάστειον οὖσαν αὐτοῦ, ἐκτυφλοῦται ὑπὸ Λυκαόνων τινῶν γνώμῃ τοῦ β. διὸ ἐπὶ τῇ τοιαύτῃ ὑποκρίσει δῆϑεν λυπηϑεὶς π. μ. ὁ. ἐπληροφόρησεν ἀν. ἀ. ἐ. τοῦ τ. δρ. ὁ μηδέποτε εὐορκήσας. Ced. 33,12—17. — 15. Τούτῳ τῷ ἔτει (δ') Ἀαρὼν ὁ τῶν Ἀράβων ἀρχηγὸς ἐπεστράτευσε κατὰ Ῥωμανίας μ. χιλιάδων τ' κτλ. Ced. 34,15—19. — 18. Ced. 34,19—35,16. — ** ὁ Ced. — 18. N. ἐν ἀπογνώσει τὰ γενναῖα τῆς ταλαιπωρίας ἐπιδεικνύμενος καὶ δὴ σκεψάμενος πέμπει πρὸς αὐτὸν εἰρήνην γενέσϑαι, δ. οὕτω: Ced. — 21. ὅρκους Ced. — 22. σοι — εἴρηκεν Ced. — 23. ὡς ἀϑ. ἐ. χ. πάντα καὶ Ced.

χριστιανὸν ὡς ἀδελφὸν ἔχειν καὶ λέγειν; Μὴ γὰρ ὁ πάντων δημιουργὸς ϑεὸς καὶ προνοητὴς ἀμφοτέρων αἱμασιν ἀνϑρώπων ἀδίκως ἐκχυννομένοις χαίρει; Μὴ γένοιτο. Ἢ ἀργυρίου καὶ χρυσίου καὶ τῶν λοιπῶν ὑστερούμενος ἐξῆλϑες ἀδικῆσαι τοὺς μηδὲν ἀδικήσαντάς σε; κατοίγε τὰ κάλλιστα καὶ δυσπόριστα καὶ ἡμῖν ἐπέραστα κατακόρως ἔχεις. Εἰ δέ τινος τῶν ἡμετέρων ἐνδεῶς ἔχεις, αὐτίκα σοι παρέξομεν φιλοξενίας τρόπῳ. Μὴ τοίνυν ὡς ἀϑάνατοι καὶ ἄϑεοι κατ' ἀλλήλων (ἀντι)στρατευώμεϑα καὶ τὸν ἐκ δαιμόνων πόλεμον ἐκ φϑόνου μιμώμεϑα· γίνωσκε, ὅτι μικρὸν ὕστερον τελευτήσομεν καὶ πρὸς κριτὴν ἀδέκαστον ἀπελευσόμεϑα, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ». Ταῦτα τοῦ βασιλέως Νικηφόρου ἀποστείλαντος μετὰ δώρων τινῶν, ὁ Ἄραψ ἀγαϑυνϑεὶς καὶ ἀνταποστείλας δῶρα πλεῖστά τε καὶ ϑαυμαστὰ, μετ' εἰρήνης ὑπέστρεψε, τὴν Νικηφόρου σύνεσιν ὑπερϑαυμάζων.

(12) Τῆς δὲ Εἰρήνης τῇ ἐξορίᾳ ἐκ λύπης καὶ ἀϑυμίας 803
τελευτησάσης ἐν Λέσβῳ τῇ νήσῳ, ὅπου ἦν φρουρουμένη, μετεκόμισε τὸ σῶμα αὐτῆς ὁ βασιλεὺς ἐν τῇ μονῇ τῆς Πριγκήπου, ἣν αὐτὴ ᾠκοδόμησε. Σφόδρα γὰρ εὐσεβὴς καὶ φιλάρετος οὖσα, πολλὰ ξενοδοχεῖα καὶ γηρωκομεῖα καὶ μοναστήρια κατεσκεύασε καὶ φόρων κουφισμὸν καὶ ἄλλα πλεῖστα κατορϑώματα.

(13) Ὁ δέ γε βασιλεὺς ἔστεψε τὸν υἱὸν αὐτοῦ Σταυράκιον δυσειδῆ καὶ ἀφελῆ ὄντα.

(14) Ἀπεβίω δὲ καὶ ὁ ἁγιώτατος ἐπίσκοπος Ταράσιος 806

---

1. π. ϑς, ὁ δ. καὶ Ced.—3. Εἰ ἀργυρίου cod.—6. καὶ ἡ. δ. καὶ ἐπ. Ced. εὐπόριστα cod.—7. ἐνδεὴς εἶ Ced.—8. σοι om. Ced. Leo.—φιλοστοργίας Ced. Leo.—' κατ' ἀνϑρώπων Ced. Leo. — 9. γινώσκοντες Ced. Leo. — 12. ἐπιστ. Ced. — 14. ϑαυμάσια Ced.— 16. Τῇ δὲ ϑ' τοῦ Αὐγούστου μηνὸς (τοῦ α' ἔτους) ἐκ λ. καὶ ἀ. ἐτελεύτησεν ἐν τῇ αὐτῇ Δ. μ. δὲ τὸ σ. Ced. 31,9 — 14. — τὴν ἐξορίαν Leo. ἐν τῇ ἐξ.? — 21. κουφισμοὺς Ced. — 22. κατωρϑώσατο Ced. — 23. Τῷ β' ἔτει ἐ. τὸν ὖν ἀ. Στ. ἀποίητον ὄντα τῇ τε ἰδέᾳ καὶ γνώμῃ καὶ ῥώμῃ Ced. 33,18,19. — 25. Τῷ δ' ἔτει Τ. ὁ ἁγ. πατριάρχης Κ. Π. ἀπ. ἐνδόξως — τῇ δ' τῆς α' ἑβδομάδος τῶν νηστείων καὶ τῇ μεγάλῃ κυριακῇ ἐχειροτονήϑη Ν. ὁ ἁγ. π. ἀπὸ ἀσ. Πλάτων δὲ καὶ Θ. ἡγ. τῶν Στ. οὐ συνηυδόκησαν τῇ χειροτονίᾳ Νικηφόρου, ἀλλὰ καὶ σχίσμα ἐποίησαν αἰτίαν σῆϑεν

καὶ χειροτονεῖται ἀντ' αὐτοῦ Νικηφόρος ὁ ἁγιώτατος πατριάρχης (ὁ) ἀπὸ σηκρῆτις. Τούτου δὲ χειροτονηϑέντος, Θεόδωρος ὁ ἡγούμενος τοῦ Στουδίου καὶ Ἰωσὴφ ὁ ἀδελφὸς αὐτοῦ, ὁ Θεσσαλονίκης ἐπίσκοπος, ἅμα Πλάτωνι τῷ ἐγκλείστῳ καὶ τοῖς λοιποῖς αὐτῶν μοναχοῖς, τῆς κοινωνίας ἀπέστησαν Νικηφόρου διὰ Ἰωσὴφ τὸν στεφανώσαντα Κωνσπαντῖνον καὶ ὑπ' αὐτοῦ δεχϑέντα εἰς ἱερωσύνην. Ὁ δὲ βασιλεὺς σύνοδον κατ' αὐτῶν συγκροτήσας, εἰς ἐξορίαν αὐτοὺς ἔπεμψεν.

811 (15) Ὁ δὲ βασιλεὺς κατὰ Βουλγάρων ἐκστρατεύσας, ἥττησεν αὐτοὺς κατὰ κράτος, ὥστε τὴν λεγομένην αὐλὴν τοῦ ἀρχηγοῦ αὐτῶν Κρούμου πυρπολῆσαι· ἐκείνου δὲ δηλώσαντος παρακλήσεως λόγους· «ἱκανούσϑω σοι, ὦ βασιλεῦ, ἕως τούτου», οὐ προσήκατο παντελῶς τῆς εἰρήνης τὰ ῥήματα διὰ πολλὴν ἀπληστίαν.

(16) Ἐφ' οἷς χαλεπήνας ὁ βάρβαρος τὰς τῆς χώρας εἰσόδους (τε) καὶ ἐξόδους περιέφραξεν ὀχυρώμασι ξυλίνοις*. Καὶ μεϑ' ἡμέρας β' συναϑροίσας λαὸν καὶ κατὰ τῆς τοῦ βασιλέως σκηνῆς ἐπελϑών, ἀναιρεῖ τοῦτον καὶ πάντας τοὺς σὺν αὐτῷ, τὴν δὲ Νικηφόρου κεφαλὴν ἐκκόψας καὶ ἐπὶ ξύλου ἀναρτήσας, εἶϑ' οὕτως γυμνώσας τὸ ὀστοῦν καὶ περιαργυρώσας ἔξωϑεν, ἐκέλευσε πίνειν εἰς αὐτὴν τοὺς Βουλγάρων ἄρχοντας, ἐγκαυχώμενος κατ' αὐτοῦ ὡς ἀπλήστου καὶ τὴν εἰρήνην μὴ ϑελήσαντος.

(17) Ὡς δέ τινες ἔφασαν, τινὰς χριστιανοὺς αὐτὸν πεφονευκέναι διὰ τὴν ἀπληστίαν καὶ φιλαργυρίαν αὐτοῦ· ἐπέτεινε γὰρ τούς τε φόρους τοῖς ὑπὸ χεῖρα καὶ τὰς δημοσίας ἀρχὰς ὠνητὰς χρυσίου τοῖς βουλομένοις προὔϑηκεν,

---

εὔλογον ἔχοντες τὸ μὴ δεῖν ἀπὸ λαϊκῶν ἀϑρόως εἰς ἐπίσκοπον ἀνατρέχειν, οὓς ὁ β. τῆς πόλεως ἀπελάσαι βουληϑεὶς ἀνετράπη παρὰ πάντων κτλ. Ced. 34,3—14.

9. Ced. 41,9—42,4 variat. — 15. Ced. 42,4—20. ἐφ' οἷς χ. ὁ Κροῦμος — * ὁ δὲ Νικηφόρος τοῦτο γνοὺς τοῖς συνοῦσι τὰ τῆς ἀπωλείας προέλεγε ὅτι κἂν πτερωτοὶ γενώμεϑα, οὐδεὶς ἐκφύγῃ τὸν ὄλεϑρον Ced. — 16. λ. ὁ βάρβαρος ἐπῆλϑε κ. τῆς τοῦ Νικηφόρου σκ. καὶ τοῦτον ἀναιροῦσιν οἰκτρῶς καὶ π. σὺν ἀ. ἄρχοντας καὶ τοῦ λαοῦ πλήϑη ἄπειρα καὶ πᾶσαν τὴν ἀποσκευὴν ἀνελάβοντο Ced. — 19. τὴν δὲ — ἐπενόησεν om. Bulg. τὴν δὲ κ. τοῦ N. ὁ Κροῦμος ἐ. ἐπὶ ξ. ἀνήρτησεν εἰς ἐπίδειξιν πάντων εἶϑ' Ced. — 20. π. πέριξ π. εἰς αὐτὸ τ. Β. ἀ. ἐκ. Ced. — 24. Ced. 40,3—11?

κἀκεῖνος ἄξιος ἦν εἰς ἀρχήν, ὃς πλείονα τὸν χρυσὸν κατεβάλλετο· καὶ ἃ δὲ φασὶ χαρτιατικὰ οὗτος ἐξεῦρε καὶ πᾶν πονηρὸν καὶ βαρὺ ὡς ἔπος εἰπεῖν αὐτὸς τοῖς χριστιανοῖς ἐπενόησεν, ὅθεν ἡ γραφὴ προασφαλιζομένη τὸν τοιοῦτον ἔλεγεν· «μὴ ἀποπληστεύου, ὅτι δὶ ἀπληστίαν πολλοὶ ἐτελεύτησαν· ὁ δὲ προσέχων ζωὴν προσϑήσει»· καὶ «πολλοὺς ἀπώλεσε τὸ χρυσίον καὶ καρδίαν βασιλέως ἐξέκλινεν»· πόσοι γὰρ τοῦ πλείον ἐπιϑυ-(172ᵃ)μοῦντες, τοῦ παντὸς ἐξέπεσον καὶ τὰ περιττὰ συναγαγόντες, προσαπώλεσαν εἰκότως καὶ τὰ ὀλίγα καὶ τὰ ἀναγκαῖα, καὶ τοὺς νενομισμένους ὅρους ὑπερβάντες καὶ τῶν μετρίων ἐγυμνώϑησαν. Χρὴ οὖν περικόπτειν ἐμφρόνως τὰ περιττά, ἵνα καλῶς ἐν τοῖς ἀναγκαίοις πλουτῶμεν. Οὐ γὰρ τὸ πλοῦτον ἔχειν, ἀλλὰ τὸ μὴ δεῖσϑαι πλούτου, πλοῦτός ἐστι μέγιστος. Τὸν δέ γε τρόπον τῆς τοῦ βασιλέως σφαγῆς οὐδεὶς τῶν περισωϑέντων σαφῶς διηγήσατο.

CCLX. ΒΑΣΙΛΕΙΑ ΣΤΑΥΡΑΚΙΟΥ.

Σταυράκιος, ὁ υἱὸς αὐτοῦ, ἐβασίλευσεν ἔτος α', μῆ- 811
νας β'.

(2) Οὗτος ἐν τῷ πολέμῳ ἐπλήγη κατὰ τοῦ δεξιοῦ μηροῦ καὶ φορείῳ τὴν πόλιν κατέλαβεν.

(3) Ὃς διὰ τὴν πληγὴν ἐν τῷ παλατίῳ κείμενος ἀπρέπτος ἦν (καὶ ἀφανής, διὰ τὴν πληγὴν τοῦ μηροῦ ὀρϑωϑῆναι μὴ δυνάμενος).

(4) Ἐβούλετο δὲ Μιχαὴλ τὸν γαμβρὸν αὐτοῦ καὶ κουροπαλάτην τυφλῶσαι καὶ τῇ γυναικὶ αὐτοῦ τὴν βασιλείαν καταλιπεῖν.

---

2. ἐκεῖνος in tectu; γρ. οὗτος in m. cod. 5. ἁπλ. Sir. XXXVII. 29,31. — 6. πρ. ζ. Sir. VIII. 2. — 18. Τιτρώσκεται δὲ καὶ Στ. ὁ ὗς ἀ. καιρίως κ. τοῦ σπονδύλου καὶ μόλις τῆς μάχης ἐξῆλϑε ζῶν καὶ καταλαβὼν τὴν Ἀδριανούπολιν ἀναγορεύεται· καὶ μὴ δυνάμενος ἐποχεῖσϑαι, φ. τὴν π. κ. Ced. 42,21—24, om. Mon. (Münchner G. A.) Dec. 1854 et Serb. — 20. Ced. 42,24—43,1: Ὃς ἐν τῷ π. κ. ἐν τῇ πληγῇ τοῦ μηροῦ καὶ ἀνορϑοῦσϑαι μὴ δυνάμενος ἀπ. ἦν τοῖς ἔξω τοῦ παλατίου. Mon.—23. Ἐβ. δὲ τὸν κ. Μ. τὸν γ. ἀ. ἐκτ. τῇ δὲ γαμετῇ Θεοφανοῖ τὴν β. κ. Ced. 43,1—3 om. Mon. et Slav.

(5) Ἐντεῦθεν Μιχαὴλ (ὁ γαμβρὸς αὐτοῦ) ἐξαίφνης ἀναγορεύεται βασιλεὺς ἐν τῷ ἱππικῷ παρὰ τῆς συγκλήτου καὶ τῶν ταγμάτων, ὡς ἤδη ἀπεγνωσμένου τοῦ Σταυρακίου*.

(6) Ὅπερ μαθὼν** Σταυράκιος***, τὸ μοναδικὸν αὐτίκα (σχῆμα) σὺν τῇ γυναικὶ**** Θεοφανοῖ περιθέμενος εἰς τὰ Σταυρακὰ (λεγόμενον) μοναστήριον ἐτελεύτησε, καὶ ἐτάφη ἐν τῇ μονῇ τοῦ Σατύρου.

CCLXI. ΒΑΣΙΛΕΙΑ ΜΙΧΑΗΛ.

Μιχαὴλ ὁ εὐσεβέστατος ἐβασίλευσεν ἔτη β', στεφθεὶς ὑπὸ Νικηφόρου πατριάρχου, δοὺς τῷ πατριάρχῃ χρυσίου λίτρας ν' καὶ τῷ κλήρῳ λίτρας κε'· ἀφιλάργυρος γὰρ ἦν καὶ μεγαλόψυχος, παραμυθησάμενος καὶ τοὺς ἐκ τῆς Νικηφόρου πλεονεξίας ἠδικημένους.

(2) Ἔστεψε δὲ καὶ Προκοπίαν, τὴν γυναῖκα αὐτοῦ, πολλαῖς δωρεαῖς τὴν σύγκλητον φιλοτιμησάμενος.

(3) Καὶ Θεοφύλακτον, τὸν υἱὸν αὐτοῦ, ὁμοίως ἔστεψεν ἐν τῷ ἄμβωνι τῆς ἐκκλησίας πάμπολλα προσενέγκας ἱερὰ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ.

(4) Κροῦμος δὲ, ὁ τῶν Βουλγάρων ἀρχηγὸς, ἔγραψε περὶ εἰρήνης ἐπιζητῶν καὶ πάμπολλα πάκτα· ὁ δὲ κακοσυμβουλίαις πεισθεὶς, οὐ προσήκατο τὴν εἰρήνην.

(5) Οὗτος εἰς πάντας μὲν χρηστὸς ἦν καὶ ἐπιεικὴς, εἰς δὲ τῶν πραγμάτων διοίκησιν ἀκυβέρνητος παντελῶς ὑπῆρχε καὶ δεδουλωμένος ματαίων ἀνθρώπων βουλαῖς καὶ

---

1. Γνοὺς δὲ τοῦτο ὁ M. ἐξ. Ced. 43,3—6. Κάντ. Mon. — 2. ἱπποδρομίῳ Ced. — * διὰ τὴν χρόνιον ἀῤῥωστίαν Mon. — 3. Ced. 43,6—8. — ** ὁ Mon. — *** καὶ Mon., τοῦ παλατίου ἐξελθὼν Ced. — σχ. ἀ. Mon. — **** αὐτοῦ Ced. — 6. περιθέμενοι cod. — εἰς τὰ Mon. — Σταυρακινὰ τὸ Mon. εἰς Σταυρακὰ Leo., εἰς τὰ Βρακὰ Ced. — 10. Ced. 43,10—48,22 variat. Μετὰ δὲ Σταυράκιον ἐβ. M. ὁ γαμβρὸς αὐτοῦ ἔτος ἓν καὶ μῆνας ς'. Mon. ceteris 1—4 cum Slav. om.—23. Ὃς Mon.—24. ὑπῆρχε δὲ Mon. — 25. ἀ. μ. Mon.

ἀπειροπόλεμος. Ὅθεν ἐκστρατεύσαντος αὐτοῦ κατὰ Βουλγάρων καὶ μετὰ μεγάλης ἥττης ὑποστρέψαντος, ἀναγορεύεται Λέων ὁ πατρίκιος καὶ στρατηγὸς τῶν Ἀνατολικῶν* ὑπὸ τοῦ λαοῦ καὶ τῶν ἀρχόντων ἐν τῷ κάμπῳ τοῦ τριβουναλίου.

(6) Καὶ δὴ τοῦτο Μιχαὴλ ἀκούσας καὶ τὸ μοναδικὸν σχῆμα σὺν γυναικὶ καὶ τέκνοις ἀμφιεσάμενος εἰς τὸ πλησίον τῆς πόλεως νησίον περιορίζεται, ἐν ᾧ καὶ ἐτελεύτησεν.

CCLXII. ΒΑΣΙΛΕΙΑ ΛΕΟΝΤΟΣ ΤΟΥ ΑΡΜΕΝΙΟΥ ΤΟΥ ΠΑΡΑΒΑΤΟΥ.

Μετὰ** Μιχαὴλ ἐβασίλευσε Λέων, ὁ Ἀρμένιος ὁ πατρίκιος καὶ παραβάτης ὕστερον ἀναφανείς, ἔτη ζ'*** μῆνας ε', στεφθεὶς ὑπὸ Νικηφόρου πατριάρχου, — μετὰ γὰρ δύο χρόνους ἀποστατήσας πρὸς τὴν ἀσέβειαν καὶ τὸ ἔγγραφον, ὅπερ ἐποίησε περὶ τῆς ὀρθοδοξίας, ἀθετήσας, ὥσπερ**** Σαοὺλ ἐξώκειλε—καὶ γὰρ κἀκεῖνος δύο ἔτη βασιλεύσας ἐννόμως, εἶτα παρατραπεὶς καὶ τῆς θείας χάριτος γυμνωθεὶς καὶ πονηρῷ πνεύματι παραδοθεὶς κατὰ τοῦ εὐεργέτου Δαυὶδ ἐξωπλίσθη καὶ τὰς τῶν ἱερέων εἰργάσατο μιαιφονίας. Ὡσαύτως καὶ ὁ δύστηνος***** οὗτος καὶ ἀντίθεος μετὰ δύο ἔτη κατὰ τῆς εὐσεβείας μανεὶς καὶ λυττήσας****** τὸν στέψαντα αὐτὸν θεῖον Νικηφόρον ἐξώρισεν.

(2) Θεόδοτον δῆθεν πατριάρχην ἀντιχειροτονεῖ ἄ(172[b])λογον ἄνδρα μᾶλλον καὶ ἀνδράποδον καὶ ἰχθύων ἀφωνέστερον καὶ μηδὲν πλέον τῆς ἀσεβείας ἐπιστάμενον. Καὶ ἔκτοτε διωγμὸν ἄσπονδον

---

1. ἀπειροπολέμων Mon. — αὐτοῦ om. Mon. — 2. ὑποστρέψας Mon. — * βασιλεὺς Mon. — 4. ἐν τῷ τριβουναλίῳ Mon. — 12. Τῷ ,στι' ἔτει τοῦ κόσμου, τῆς δὲ θείας σαρκώσεως ωι' ἐβ. Δ. Ἀ. ed. — ** δὲ Coisl. 310 et, 134. — ὁ πατρ. om. Coisl. 310.— *** καὶ Mon. ed. — 13. στ. ὑπὸ Ν. π. om. Mon. Coisl. 310. — 14. μετὰ δὲ Mon. — 15. καὶ τὸ ἐγ. — ἀθ. om. Coisl. 134,310. — **** καὶ Mon. Coisl. 234. — ***** εἰς ὕψος Mon. — ****** καὶ Mon. Coisl. — 22. ἐξορίσας Coisl. — 23. Καὶ Θ. π. δ. Coisl. 310. — ἀντιχειροτονήσας Mcn. — ἀ. ἀλ. μ. δὲ Mon. ἀλ. ἀ. μ. δὲ ed. — 24. ἀφ. τῶν ἰ. Mon. Coisl. — 25. Καὶ ἔκτοτε om. Mon. Coisl.

κατὰ τῆς ἐκκλησίας ἀνερρίπισεν. Εἰ οὖν χρὴ θαυμάζειν φαῦλον ἐπὶ φαύλῳ μετάθεσιν, τοῦτον δεῖ μᾶλλον καὶ τοὺς ἀμφ' αὐτὸν ἢ Γαλάτας θαυμάσαι τό· «οὕτω ταχέως μετατιθεμένους ἀπὸ τοῦ καλέσαντος αὐτοὺς ἐν χάριτι * Χριστοῦ εἰς ἕτερον εὐαγγέλιον, ὃ οὐκ ἔστιν ἄλλο, εἰ μή» τὸ παροργίσαι τὸν θεὸν καὶ τὴν θείαν ὀργὴν ἐπισπάσασθαι.

(3) Ὁ γὰρ νέος Σεναχερὶμ Κροῦμος ἐπαρθεὶς τῇ πρώτῃ νίκῃ, καταλιπὼν τὸν ἴδιον ἀδελφὸν πολιορκεῖν τὴν Ἀδριανούπολιν, μετὰ ἓξ ἡμέρας τῆς αὐτοκρατορίας Λέοντος ἐπελθὼν τῇ πόλει περιῆει τὰ τείχη ἀπὸ Βλαχερνῶν ἕως τῆς χρυσῆς πόρτης, ἐπιδεικνύων τὴν περὶ αὐτὸν δύναμιν, ἐπιτελέσας καὶ μιαρὰς θυσίας ἐν τῷ λιβαδίῳ τῆς χρυσῆς πόρτης· ἠτήσατο δὲ τὸν βασιλέα ποιῆσαι εἰρήνην ἢ τὸ δόρυ αὐτοῦ πήξειν ἐν τῇ χρυσῇ πόρτῃ. Τοῦ δὲ βασιλέως μὴ καταδεξαμένου, ὑπέστρεψεν εἰς τὴν ἰδίαν σκηνήν, ὑπερθαυμάσας τὰ τῆς πόλεως τείχη καὶ τὴν εὔτακτον τοῦ βασιλέως παράταξιν. Ἐπὶ σύμβασιν οὖν εἰρήνης τρέπεται πειραστικοὺς λόγους ποιούμενος.

(4) Ὁ δέ γε βασιλεὺς ἀφορμῆς δραξάμενος, ἐπειράθη τοῦτον λογχεῦσαι, ἀλλ' εἰς πέρας ἀγαγεῖν τοῦτο ἐκωλύθη τῇ τῶν ὑπουργησάντων ἀφυΐᾳ, πληξάντων μὲν τοῦτον, καιρίαν δὲ μὴ ἐπαγαγόντων πληγήν. Ἐπὶ τούτῳ μανεὶς ὁ ἀλάστωρ, ἀποστείλας ἱππεῖς ἐν τῷ ἁγίῳ Μάμαντι τὸ ἐκεῖσε ὂν παλάτιον ἐνέπρησε καὶ τὸν χαλκοῦν λέοντα τοῦ ἱππικοῦ σὺν τῇ ἄρκτῳ καὶ τῷ δράκοντι τοῦ ὑδρείου καὶ μαρμάροις καλλίστοις ἐν ἁμάξαις φορτώσας ὑπέστρεψε, παρακαθίσας τὴν Ἀδριανούπολιν καὶ ταύτην ἑλών· καὶ μετὰ λαοῦ πλείστου διαπεράσας τῶν τε εὐγενῶν Μακεδό-

---

2. μεταθέ. cod. μεταθέμενον? — δὴ cod. — 3. θαυμάσεται λίαν ὁ. Coisl. 310. — Gal. I. 6,7. — * ἐν Coisl. 310. — 5. τῷ cod., πρὸς τὸ Coisl. — 7. Ὁ γὰρ — πόλει om. Coisl. 310. — 13. ἠτ. καὶ ed. — ἐ. π. ed. σπεῖσαι ἐ. Leo. — εἰ—πῆξει cod. ἢ—πῆξαι Leo, ut *figeret* Misc. — 20. λογχῆσαι cod. sed cf. Michael. c. 8 λογχευθείς, λοχῆσαι Leo. — 22. τοῦτο Leo. cod. — 23. τὸ deest in ceteris cod. — 25. ὑδρίου cod., *lateribus* Misc.—καὶ μαρμάρων καλλίστων ceteri cod. sed σὺν dativum requirit, vel accs. a φορτώσας pendentem, *et marmoribus electis* Misc.

νων, κατεσκήνωσεν ἐν τῷ Δανουβίῳ ποταμῷ. Ὁ δὲ Λέων τὰ τῆς ἀσεβείας ἔργα διεπράττετο ἐν τῇ πόλει.

(5) Ἐφ' οὗ ἐφάνη ἀστὴρ κομήτης ἐν σχήματι δύο λαμ- 814
πρῶν σεληνῶν ἑνουμένων καὶ πάλιν διαιρουμένων εἰς διάφορα σχήματα ὡς καὶ εἰς ἀκεφάλου ἀνδρὸς διάπλασιν τυπωθῆναι, ὅπερ τὴν ἀκέφαλον κεφαλὴν τῶν μετὰ ταῦτα στασιασάντων κατὰ * χριστιανῶν καὶ τὸν μάταιον Θωμᾶν, κεφαλὴν καὶ ἀρχηγὸν τῆς ἐκ τῶν ἄλλων χριστιανῶν διαιρέσεως ἐσχηκότων προεμήνυσε. Καὶ μέντοι καὶ σεισμοὶ φοβεροί τε καὶ ἐπάλληλοι καὶ λιμοὶ καὶ αὐχμοὶ καὶ ἀέρος φλογώσεις γεγόνασι καὶ στάσεις ἐμφύλιοι κατὰ πᾶσαν πόλιν καὶ χώραν, ἐκ τῶν ἡμερῶν ἀρξαμέναι τοῦ θεοστυγοῦς καὶ ἀλάστορος· καὶ μέχρι πολλοῦ τὸ δεινὸν τῆς ἐμφυλίας συμφορᾶς ἐπικρατῆσαι συμβέβηκεν **.

(6) Ἐκμιμούμενος τοίνυν τὸν τῆς μυσαρᾶς ταύτης αἱρέσεως ἀρχηγὸν ὁμώνυμον αὐτοῦ καὶ ὁμότροπον, ἤρξατο τῆς αἱρέσεως· εἶτα συμμάχους καὶ συμμύστας *** ἐκζητήσας, εὗρεν Ἰωάννην τὸν λεγόμενον γραμματικὸν, μᾶλλον δὲ Ἰαννῆν ἄλλον ἢ Σίμωνα, ἐπί τε λεκομαντείαις καὶ φαρμακείαις καὶ αἰσχρουργίαις βεβοημένον, καὶ ἑτέρους τινὰς ὁμόφρονας αὐτοῦ Ἰαννίτας ****, Ἰαμβρίτας καὶ Σιμωνίτας, οὓς δὴ καὶ παρ' ἑαυτῷ κατέχων ἐν τῷ παλατίῳ προσκαλεῖται Νικηφόρον τὸν ἀοίδιμον πατριάρχην καὶ τοὺς σὺν αὐτῷ προὔχοντας ἐπισκόπους τε καὶ ἱερεῖς ἐνώπιον τῆς συγκλήτου ***** φησίν· Ἅτε σαφῶς ὡς ἀνέστησάν τινες λέγοντες μὴ δεῖν προσ-

---

1. Sequuntur in Leone quae Gec. 1 et 2 praemisit: Ὁ δὲ Λ. μετὰ δύο χρόνους τῆς αὐτοῦ βασιλείας μονεὶς καὶ τὸν στ. ἀ. Σ. Ν. ἐξορίσας, Θ. π. ἀ. ἀλ. ἀ. καὶ ἰ. ἀφ. — 3. Καὶ γοῦν ὤφθη τηνικαῦτα κ. Coisl. — 4. ἐνωθέντων — διαιρεθέντων Coisl. — 5. καὶ — χριστιανῶν om. Coisl. 310. — δ. ἀ. ceteri et Leo. — 7. * τῶν ceteri. — 9. προεμήνυε Coisl. — 10. στ. ἐμφυλίου Coisl. 310. στάσις ἐμφύλιος Coisl. 134. — 16. χ. καὶ π. Coisl. 310. — ἀρξάμενοι Coisl. 134, ἀρξαμένου P. — ** νόοιμα? Coisl. 310. — 14. Varians capp. 1 et 2. Τοίνυν ἐ. τὸν πάλαι τῆς Coisl. 310. — 15. ἡ. τῆς αὐτῆς ἔχεσθαι δυστροπίας· εἶτα Coisl. 310. — *** τῆς ἀσεβείας (εὐσ.) Coisl. 310. — 17. Ἰω. Leo, sed Ἰαννῆν Theodosius Melit. — 19. διαβεβ. Coisl. 310. — ὁμ. ἀ. om. Coisl. 310 sed post Σιμ. adjungit ὁμ. πάσης κακίας πεπληρωμένους. — **** καὶ ed. — 22. ἐπ. τε καὶ διδασκάλους Coisl. 310. — ***** καὶ ed. Leo. — 23. Ἰστέον ὡς Coisl. 310.

κυνεῖσθαι τὰς εἰκόνας· οὓς εἰ βούλεσθε παραστῆναι καὶ διαλεχθῆναι περὶ τούτου, καὶ ἐκδηλότερον τὸ ἀληθὲς φανήσεται».

(7) Πρὸς ὃν ὁ θεῖος Νικηφόρος οὐδὲν (173a) ἀπεκρίνατο, ἔφη δὲ πρὸς τοὺς παρισταμένους μεγιστᾶνας· «Εἴπατέ μοι, τὸ μὴ ὂν δύναται πεσεῖν»; Τῶν δὲ τῇ ἀσαφείᾳ τῆς πεύσεως ἀπορούντων καὶ μηδὲν ἀποκριθέντων, εἴρετο πάλιν ὁ πατριάρχης· «Ἔπεσον ἐπὶ Λέοντος καὶ Κωνσταντίνου τῶν Ἰσαύρων αἱ ἅγιαι εἰκόνες»; Τῶν δὲ κατανευσάντων καὶ τὸ ναὶ προσειπόντων· «Οὐκοῦν ἱσταντο πάντως ** καὶ *** ἀρχαϊκὸν αὐτῶν τὸ ἀνάστημα; τὸ γὰρ μὴ ὂν μηδ' ἱστάμενον πῶς δύναται πεσεῖν»;

(8) Εἶτα **** τῶν ἄλλων ἐπισκόπων τοιαῦτα ***** προτεινάντων εἰς ἀνατροπὴν τῆς αἱρέσεως, ὁ ἱερὸς****** Εὐθύμιος Σάρδης παῤῥησιασάμενος λέγει· «Πρόσεχε, ὦ βασιλεῦ, τοῖς ἐν ἐπιτομῇ ῥηθησομένοις· ἀφ' οὗ ἦλθε Χριστὸς ἐπὶ τῆς γῆς μέχρι νῦν ὀκτακόσια ἔτη παρῆλθον, καὶ πανταχοῦ στηλογραφεῖται Χριστὸς καὶ ἐν εἰκόνι προσκυνεῖται*******. Ποῖος οὖν αὐθάδης τολμήσειε τὴν τοσούτου χρόνου ἀποστολικήν τε καὶ πατρικὴν παράδοσιν ἀθετῆσαι ἢ μετασαλεῦσαι; μάλιστα τοῦ ἀποστόλου λέγοντος· «Ἄρα οὖν, ἀδελφοί, στήκετε καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς παρελάβετε, εἴτε διὰ λόγου εἴτε δι' ἐπιστολῆς». ******* «Κἂν ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω».

(9) Μεθ' ὃν ἀπεκρίθη καὶ Θεόδωρος ὁ ζηλωτὴς καὶ θερμὸς τῆς ὀρθοδοξίας πρόμαχος ὁ τῶν Στουδίου ἡγούμενος λέγων· «Μὴ παρασάλευε, βασιλεῦ, καταστασιν ἐκκλησιαστικήν· εἴρηκε γὰρ ὁ ἀπόστολος· «Καὶ οὓς μὲν ἔθετο ὁ θεὸς ἐν τῇ ἐκκλη-

---

4. μεγισταν. cod. μεγιστάνους ed.—5. ἀσφαλ. τῆς π. cod. ed.—ἀποκριθέντων καὶ μ. ἀπ. Coisl. 310, ἀποκρ. cod. ed.— * ἢ οὔ Coisl. 310.— ** ἔφη Coisl. 310.— *** ἦσαν cod. et ed. quae ἔχουσαι ante τὸ inserit.—9. ἀνάστημ. cod. ἀναστήλωμα Coisl. 310.—10. πῶς εἶναι δυνήσεται ἢ π. Coisl. 310.—**** καὶ Coisl. 310.—***** τινὰ Coisl. 310.—****** ἐπίσκοπος ed. — 11. Ἐπιθ. Σ. Coisl. 310, Εὐθ. Σ. ed. Εὐθ. Σάρδεων Leo. — 13. ὦ om. Coisl. 310. — δι' ἐπιτομῆς Coisl. 310. — 14. χῆς ἡ. Coisl. 310. — 15. π. ἔτη Coisl. 310.—σκιαγρ. Coisl. 310. — ******* χῆς Coisl. 310. — 6. τοσούτων χρόνων Coisl. 310.—19. 2 Th. II. 15 et Coisl. 310 15 ἐδιδάχθητε.— ******** ἡμῶν idem.—20. Gal. I. 8. ἐκ τῆς θείας γραφῆς ἐπετίμησεν τὸν ἀλιτήριον Leo. — 23. πρ. καὶ τῶν Coisl. 310, πρ. τῶν Leo. — 25. Eph. IV. 10: Καὶ αὐτὸς (χῆς) ἔδωκε τοὺς μὲν ἀπ. τοὺς δὲ πρ. τοὺς δὲ εὐαγγελιστὰς, τοὺς δὲ π. καὶ δ. τῇ om. ed.

σίᾳ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον ποιμένας καὶ διδασκάλους», οὐκ εἶπε βασιλεῖς· σοὶ μὲν γὰρ ἡ πολιτικὴ κατάστασις ἐπιστεύθη καὶ τὸ στρατόπεδον· τούτων φρόντιζε καὶ τὴν ἐκκλησίαν ἔασον ποιμέσι καὶ διδασκάλοις κατὰ τὸν θεῖον λόγον. Εἰ δὲ μὴ βούλει προσέχειν τούτοις καὶ εἶναι μετὰ τῆς πίστεως ἡμῶν, κἂν ἄγγελος ἐξ οὐρανοῦ κατελθὼν βουληθῇ παρατρέψαι ἡμᾶς, οὐκ ἀκουσόμεθα αὐτοῦ, μήτι γε * βασιλέως».

(10) Ὁ οὖν τύραννος ταῦτα ἀκούσας καὶ ὑπερζέσας τῷ θυμῷ καὶ λεόντειον ὁ πίθηκος βρύξας καὶ πάντας μεθ' ὕβρεως ἀπελάσας καὶ τὸν μέγαν Νικηφόρον τῆς πόλεως ἀπελάσας, ὡσαύτως καὶ ** Θεόδωρον τὸν Στουδίου ἐξορίσας ***, ἀντιχειροτονεῖ τὸν ἀπὸ σπαθαρίων Θεόδοτον τὸν Κασσιτηρᾶν καὶ τῆς θυμέλης τὴν προσηγορίαν ἐπειλημμένον. Καὶ οὕτως ὁ ἀλιτήριος καὶ θηριότροπος μᾶλλον ἢ θηριώνυμος, ἐπαρθεὶς κατὰ τῆς εὐσεβείας, μειζόνως ἐδίωκε τὴν ἐκκλησίαν τοῦ θεοῦ καὶ ἐπόρθει σφόδρα, μέχρι **** τοῦτον ἐνδίκως ἡ θεῖα δίκη μετῆλθεν, οὗ τὴν κακίστην γένεσιν καὶ μοχθηρίαν καὶ θεοστυγῆ προαίρεσιν καὶ δυσσέβειαν καὶ μέντοι καὶ χαλεπὴν τοῦ βίου καταστροφὴν ὁ θεσπέσιος Νικηφόρος διαῤῥήδην στηλιτεύων φάσκει·

(11) «Παροῤῥᾷ θεὸς καὶ ἦρξε καθ' ἡμῶν ἄνθρωπος· οὐκ οἶδα εἰ ἄνθρωπον λέγειν χρὴ, ἀλλὰ μὴ θηρίον καὶ θηρίων ἀγριώτερόν τε καὶ πικρότερον. Τί γὰρ τῆς συμφορᾶς ταύτης ἐλεεινότερον καὶ τῆς δυστυχίας ἀθλιώτερον; ἡλίκον κακὸν εἰς τὴν βασιλείαν εἰσεκώμασεν, διφυὴς μὲν τὸ γένος καὶ μιξοβάρβαρος, πολυειδὴς τε τὸν τρόπον καὶ ἀνελεύθερος καὶ τὴν γνώμην ἀστάθερος. Τὸ μὲν οὖν προσεχῶς αὐτῷ ὑπηργμένον καὶ πολυγνώριμον — ἐκ γὰρ τῆς Ἀρμενίων ὡρμᾶτο γῆς, ὅθεν εἰπεῖν τὸ δύστροπον καὶ κακόηθες — τὸ

---

5. τ. πρ. ἕνεκα τῆς Coisl. 310. — 6. ουρανῶν ed. — * σου Coisl. 310. — 7. βασιλεὺς cod. βασιλεῦ Coisl. 310. — 10. καὶ τὸν — ὡσαύτως om. Coisl. 310. — N. τὸν μ. ed. — ** τὸν Coisl. 310. — 11. τῶν Στ. ed. om. Coisl. 310. — *** εἶθ' οὕτως καὶ τὸν μ. N. τῆς π. ἐξεώσας καὶ περιορίσας Coisl. 310. — 12. Θ. τὸ ἐπίκλην K. Coisl. 310. — **** οὗ Coisl. — 16. θεία ed. — 18. καὶ μέν γε καὶ Coisl. 310 καὶ μέν γε τὴν 134. — 21. χρὴ λ. ἀ. θ. καὶ τῶν θ. π. τε καὶ ἀ. om. τί — ἀθλ. Coisl. 310. — 23. εἰσεκόμισεν Coisl. — 24. π. δὲ ed. — 25. ἀστάτερος P. — 26. Ἀρμηνίου Coisl. 310.

δὲ ὡς ποῤῥωτάτω καὶ παλαιὸν τυγχάνον, καθὰ τῶν πρεσβυτέρων ἐξιστοροῦσί τινες οἱ τὰ ἐκείνου καὶ τῶν ἐκείνου πατέρων ἐκ πολλοῦ παραδοθέντα ἴσασιν, οὐδ' ἐντεῦθεν καθαρός ποθεν ἐκπεφυκέναι εἴπερ ἐκ τῆς Ἀσσυρίων φυλῆς κακίστην παραφυάδα ἐκφῦναι, ἐξ ὧν τὸ πατρῷον ἐπεφήμιζεν αἷμα. Κατήχθη γὰρ ἐκ τῶν Σεναχερὶμ [παίδων], (173[b]) ὃς δὴ τῶν Ἀσσυρίων ἦρξέ ποτε, καὶ ὑπὸ πῶν φύντων καιρίαν τὴν πληγὴν ἐδέδεκτο· καὶ γὰρ οἵγε φονίας δεξιὰς τῷ γεννήτορι ἐπανετείνοντο τῷ πατραλῴᾳ λύθρῳ ἐμμολυνόμενοι, αὐτόχειρές τε [τῆς σφαγῆς] τοῦ τεκόντος γενόμενοι, αὐτίκα πρὸς τοῖς χωρίοις τῶν Ἀρμενίων φυγάδες οἰχόμενοι ἀνασώζονται. Τούτου δὲ τοῦ πατροφόνου σπόρου κατὰ τὴν ἡμετέραν γενεὰν πικρῶς τηρηθέντος παραβλαστήσας ἀνδροφόνος καρπὸς, οὐκ οἶδ' ὅθεν, Ῥωμαίων τοῦτο κατακριθέντων, τὸ δεινὸν ἐκεκλήρωτο· οἷς εἰς τόδε τὸ φῶς, ὡς οἶδεν ὁ ἀνασχόμενος κρίμασιν, προαχθεὶς πονηροῖς καὶ ὀλεθρίοις ἐντρέφεται καὶ συναύξεται ἤθεσί τε καὶ πράγμασιν.

Ἐκ τῆς Ἀσσυρίων γοῦν λεαίνης καὶ τῆς Ἀρμενίων παρδάλεως ἑτεροθαλὴς, σύνθετόν τε καὶ ἀλλόκοτον τίγριδος εἶδος ἐκ νόθου καὶ κιβδήλου ἐξέφυεν υἱὸς Ἀρμένιος ἢ Ἀσσύριος εἰδεχθέστερος, καὶ λέων μὲν τὴν προσηγορίαν, λέοντος δὲ τὸ [μὲν] ἁρπακτικὸν εἰς τὸ ἀσφαλὲς κεκτημένος, τὸ δὲ ἐλευθέριον οὐδαμῶς προϊέμενος, χαμαιλέων δὲ ὥσπερ οὖν τὸ εἶδος, οὕτως· καὶ τῆς ψυχῆς τὸ πολύμορφον διὰ τὸ τοῦ γένους ὕπουλόν τε καὶ ὕφαλον, ἐξ ὧν ἐμεγαλαύχει τῆς δυστροπίας καὶ τοῦ δόλου τὸ κεκρυμμένον καὶ ἀνεξαγόρευτον. Καὶ γὰρ ἐμηχανᾶτο λανθάνειν τὸ ἐνδομυχοῦν τῆς γνώμης σκοτεινὸν καὶ παλίμβουλον καὶ πρὸς τὸ βλάπτειν ἐπιῤῥιπές· καί πως ἦν ἐκπεπονημένον αὐτῷ καὶ ἐπιτετηδευμένον μήποτε συμφωνήσῃ καρδία

---

1. ὡς deest in ed. — 3. καθαρῶς ed. et Coisl. ἐκπέμφυκεν P. — 4. ὡς δὴ τῆς Ἀ. Coisl. 310. — 3. κακίστης παραφυάδος ἐκφῆναι P. κακίστην παραφυάδα ἐκδῦναι ed. κακιστ. παραφυάδ. ἐκφῦναι cod. — 5. ἐπευφ. cod. — 7. τὴν om. Coisl. 310. — 8. πατρῴῳ Coisl. — 10. ὠχόμενοι cod. — ἀνεσώζοντο Coisl. 310. — 11. τ. P. τ. καὶ cod. τηρηθεὶς καὶ ed. — 13. κατακριθ. cod. κατακριθεὶς P. — ἐκ. scl. ἡ ἡμετέρα γενεά. — ὃς — οἷς cod. ed. — τὸ om. Coisl. 310. — 14. προσαχ. Coisl. 310. — 15. αὐξ. Coisl. 310. — πρ. P. πράξεσιν ed. — 16. ἑτεροθαλὲς ed. — 31. καὶ ἀκιβδήλης P. — 18. ἐξέφυ γονῆς Ἀρμένιον ἢ Ἀσσύριον εἰδεχθεστέρας ed. ἐ. γ. εἰς Ἀρμενίαν ἢ Ἀ. ἐ. Coisl. 310. — 20. προσιεμ. ed. — · δὲ Coisl. 310. — ἐνδόμυχον Coisl. 310. — 26. συμφωνήσει κ. cod. et P. συμφωνήσειν καρδίαν ed.

τοῖς χείλεσιν, ὡς ἕτερα μὲν μελετᾷν κατὰ νοῦν, ἄλλα δὲ προσφέρειν ἐν τῷ στόματι*· ἐπὶ τοσοῦτον γὰρ ἀφιλοθεΐας καὶ πονηρίας ἐξώκειλεν ὁ βίος αὐτοῦ, ὥστε δυσφωρότατον καὶ δυσκατάληπτον αὐτοῦ τὴν δαιμονιώδη γνώμην καὶ πονηρίαν τοῖς πᾶσι γενέσθαι κατάδηλον».

(12) Ἐπεὶ οὖν τῆς βασιλείου ἀρχῆς, μᾶλλον δὲ τυραννίδος θεοῦ συγχωρήσει λαβόμενος, κατὰ τῆς ἀμωμήτου πίστεως ὅλον ἐκχέει τὸν θυμὸν καὶ τὸν δόλον καὶ ἀμιλλᾶται κατὰ πάντα τὸν πρὸ αὐτοῦ δυσσεβῆ Κοπρώνυμον καὶ ὡσαύτως μιαροῖς τισὶ καὶ παμπονήροις ἀνθρώποις τὸ πᾶν τῆς ζωῆς καταπιστεύει, ἀσελγέσι τε καὶ ἐπὶ βίου αἰσχρότητι βεβοημένοις καὶ κατεφθαρμένοις τὴν ψυχὴν καὶ τὸ σῶμα, γόησι καὶ φαρμακοῖς καὶ λαοπλάνοις καὶ πᾶν εἶδος κακίας ἀσκήσασι καὶ ἅπαξ ἁπλῶς τὴν χριστιανῶν ἠρνημένοις θεοσέβειαν.

(13) Καὶ δὴ τούτους ἀσπασίως εἰσοικίζεται καὶ περιπτύσσεται, καὶ ὑποκύπτει ταῖς ψυχοφθόροις αὐτῶν διδαχαῖς καὶ μυήσεσιν· καὶ οἷον τῆς ἁμαρτίας ἀνδράποδον ἐξανδραποδίζεται καὶ τῷ ἀγχίστρῳ τῆς ἀπάτης καὶ παρανομίας δελεασθεὶς ὁ παράπταιστος δεινῶς περιπείρεται. Τρία γὰρ αὐτῷ προὐθηκαν τὰ ὑπεσχημένα, τῆς ἀκριβοῦς πίστεως ἡμῶν καὶ ὀρθοδόξου τὴν ἄρνησιν, τῶν θείων εἰκόνων τὴν καθαίρεσιν, τῶν εὐσεβούντων τὴν δίωξιν. «Καὶ οὕτως εἰς ἄκρον εὐημερίας ἐλάσεις, φησίν, ὡς καὶ ἐπὶ πλεῖστον καὶ μείζονα χρόνον τὴν παροῦσαν ζωὴν διανύσῃς εἰ καί τις ἄλλος»*.

(14) Ταύταις οὖν καὶ ταῖς τοιαύταις ὀλεθρίοις ἀπάταις φενακισθεὶς ὁ ματαιόφρων καὶ πτενώδης, καὶ καθάπερ ἦν εἰδεχθὴς καὶ δυσέντευκτος καὶ τῇ ἰδέᾳ αἰσχρότερος — εἰ γὰρ λεόντιον

---

2. τῷ om. Coisl. 310. — * ἀλλ' cod. ed. ex ἄλλα? 4. αὐτοῖς cod., et Coisl. 131.— κατ. om. Coisl. 310. Hucusque in codice obelis notantur verba Nicephori a Georgio laudata. — 7. συγχώρησιν Coisl. 310. — 13. ἀσκήσαντες et ἠρνημένοι cod. ἀσκήσαντας — ἠρνημένοις Coisl. 310. — 15. τούτ. cod. τούτους ed. — 16. ματαίαις ἀ. καὶ ψ. δ. ed. Coisl. — 17. cod. ut οἷον P. οἷα ed. Coisl. — 18. παράπεστος cod. et ed. παράπτυστος margo P.? — 19. ὑπησχημένα cod. ὑποσχ. Leo. — 20. ἀκρ. καὶ ὁ. π. η. τὴν Coisl. 310, ὁ. π. ἡ. τὴν Leo. — 23. sic P. μείζων cod. μήκιστον C. — P. διανοίσῃς εἰ καὶ τις ἀ. cod. εἰ καὶ τις ἀδιανῦσαι ed. — 25. Τοιαύταις οὖν καὶ τ. τ. cod. — ὀλεθρίαις Coisl. 310. — 27. καὶ τὴν θέαν αἰσχίστερος Coisl.

τοὔνομα, πιθήκειον τὸ βλεπόμενον — γίνεται καὶ φαυλότερος τὸν τρόπιν, σοβαρώτερος τὸ ἦθος, θηριωδέστερος τὴν γνώμην, ἀτίθασσος τὴν ὁρμήν, (174ᵃ) ἀκάθαρτος καὶ ἀνυπόστατος καὶ ἀλογιστότερος καὶ ἐμβριθέστερος καὶ τυραννικώτερος.

(15) Ἀναπτερωθεὶς γὰρ ὁ δείλαιος καὶ ταλαίπωρος τῇ ψευδομαντείᾳ καὶ ἐπιβουλῇ τῶν ἀλιτηρίων ἐκείνων, οὕτως ἐπανατείνεται ταχὺ τὸν πόλεμον· καὶ πρότερον μὲν κινεῖ κατὰ τῶν θείων δογμάτων ἡμῶν τὴν θεομάχον αὐτοῦ γλῶσσαν· ἔπειτα δὲ ζηλοῖ κἀντεῦθα τὸν δυσσεβέστατον κοπρώνυμον Κόνωνα, καὶ συναθροίσας ὁμοίως ἐκείνῳ πονηρόν τε καὶ ἀγυρτῶδες συνακτήριον, μᾶλλον δὲ ἰουδαϊκὸν συνέδριον, ᾧ καὶ συνέδρος καὶ πρόεδρος ὁ ἐξάγιστος γινόμενος, ἐρᾶται πάλιν ἐν ναῷ Κυρίου τὸ βδέλυγμα τῆς ἐρημώσεως καὶ ἀνοίγεται * στόμα λαλοῦν μεγάλα κατὰ τῆς δόξης Κυρίου καὶ κατὰ τῆς θείας οἰκονομίας μεγαλορρημονοῦν καὶ ἀλαζονευόμενον. Καὶ οὕτως ὁ δεύτερος Καϊάφας μετὰ τῆς χριστομάχου σπείρας ἐκείνης πολλὰ καὶ μάταια κατὰ τῆς ἀληθείας κενολογήσας καθαρεῖ πᾶσαν ἱερὰν τῆς ἐκκλησίας ἀναστήλωσιν, μισεῖ τε Χριστὸν καὶ τοὺς αὐτοῦ θεραπόντας, ἐπειδὴ βαρὺς ἦν αὐτῷ Χριστὸς [καὶ] ἐν εἰκόνι βλεπόμενος καὶ ἐπὶ μνήμης ἐπιφερόμενος καὶ οἱ τούτου φίλοι τε καὶ δοῦλοι.

(16) Διὸ δὴ καὶ ἀνοηταίνων κατεφλυάρει πᾶσαν εἰκονικὴν ἀναστήλωσιν ἀπόβλητον εἶναι τῇ θείᾳ γραφῇ καὶ λίαν ἀγνώριστον. Τί οὖν πρὸς ταῦτα φήσειέν τις **; ὅτι σοφίας θεοῦ «ἀδιεξέταστοι λόγοι», καί «ὁ μωρὸς μωραλαλήσει»· ἀμαθὴς γὰρ σφόδρα καὶ ληρώδης ὑπάρχων οὐκ ἤδει πάντως τὰ χρυσότευκτα ἐκεῖνα χερουβίμ, ἅπερ ὁ ἱεροφάντης Μωϋσῆς θεοῦ προστεταχότος ἐτεκτήνατο καὶ ἡ

---

1. γ. καὶ cod. et P. καὶ post γὰρ ed. — φαυλότερον Coisl. φαυλοτρ. cod.—2. τῇ γνώμῃ, ἀντίθασσοςcod. — 3. sic cod. et P. ἀκάθεκτος ed. — 4. ἐμβριθέστατος cod.— 6. καὶ βουλῇ Coisl. 310.—7. κατὰ χῦ Coisl. 310.—πρῶτον ed., πρῶτα Leo. — 8. θείων cod. et P. ἱερῶν ed. — αὐτοῦ om. Coisl. 310. — δὲ καὶ ζ. τὸν Cois. 310? — 9. δ. Κωνσταντῖνον καὶ ὁμ. ἀθρ. Coisl. — 10. ἐργαστήριον Coisl. — 11. ὃς cod. et P. οὗ Coisl. 310, ὁ Coisl. 134. — * πάλιν Coisl. 310. — 14. ἀλαζευόμ. cod. ἀλαζευόμενος Coisl. 310. — 16. πείρας Coisl. 310. — 17. ἐκκλησιαστικῆς Coisl. 310. — 18. μ. τε cod. et P. μίσει τῷ εἰς ed. — εἰκόσι Coisl. 310. — 19. ἐπιφ. cod. et P. φερ. ed. ἐρχ. Coisl. 310. — ** ἢ Coisl. 310. — 23. σοφία μωροῦ Coisl. 310. — Sir. XXI. 20. — 24. Ies. XXXII. 6. — καὶ σφ. Coisl. 310.

παλαιὰ καὶ ἔννομος σκηνὴ καθύπερθε τῆς κιβωτοῦ ἔφερεν, ἃ δὴ οὐ παρὰ Ἰουδαίοις μόνον δεδόξασται, ἀλλὰ καὶ τῆς χάριτος ὁ κήρυξ Χερουβὶμ δόξης ἀποκαλεῖ σαφῶς ἤτοι τὰ δεδοξασμένα· ἔτι γε μὴν καὶ ὅσα ἡ Σολομῶντος κατεσκεύασε σοφία καὶ τῷ θεσπεσίῳ Ἰεζεκιὴλ ὤπται καὶ εἴ τι τοιοῦτον κατὰ τὰς ἱερὰς βίβλους ἱστόρηται καὶ τετίμηται, ἅπερ οὐκ ἔφριξεν ὁ * βέβηλος ἐν εἰδώλων μοίρᾳ θεῖναι, ὡς ἀθετεῖν μᾶλλον ἢ προσίεσθαι τὰς θείας γραφὰς προελόμενος, ἐξ ὧν λοιπὸν καὶ Ἰουδαίων ἀπιστότερος καὶ ἀγνωμονέστερος εἰκότως νομισθείη σὺν τοῖς ὁμόφροσιν αὐτοῦ· ἄξια γὰρ ** τῆς ἑαυτῶν βδελλυρίας, ἀπιστίας τε καὶ ἀλογίας φρονήσαντες καὶ ἐκφωνήσαντες.

(17) Καὶ γὰρ τῷ Χριστῷ κἀνταῦθα προφανῶς ἀπομάχονται, ὃς λαβὼν ὀθόνην λαμπρὰν [καὶ] τὸ ὑπέρλαμπρον καὶ ὑπέρκαλον ἐναπομαξάμενος θεῖον εἶδος ἐκπέμπει τῷ πιστῷ αἰτήσαντι τῷ τῶν Ἐδεσσηνῶν ἡγεμόνι Αὐγάρῳ· ἐξ ἐκείνου δὲ μέχρι καὶ τήμερον ἀποστολικῇ παραδόσει καὶ εἰσηγήσει, γνώσεώς τε καὶ μνήμης ἕνεκα ὧν ὑπὲρ [ἡμῶν] ἐδρασέ τε καὶ πέπονθε Χριστὸς, καθὰ δὴ καὶ ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ἀνιστορεῖται σεβασμίως, ἐκτυποῦμεν καὶ προσκυνοῦμεν, κἂν οἱ χριστομάχοι διαῤῥήγυνται.

(18) Καὶ μέντοι καὶ πρὸς τούτοις παράδοσις καὶ λόγος ἐχόμενος πειθοῦς καὶ μέχρις ἡμῶν καταντήσας τὸν θεῖον εὐαγγελιστὴν Λουκᾶν ἐν εἰκόνι διαγράψαι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, πρὸς δὲ καὶ τὴν ἄχραντον αὐτοῦ μητέρα καὶ τὰς ἱεροτυπίας ταύτας φυλάσσειν τὴν Ῥωμαίων πόλιν. Τί δὲ δεῖ λέγειν περὶ τῶν λοιπῶν ὧν ἐν Ἱεροσολύμοις, ὡς ἱστόρησάν τινες οἱ αὐτόθι γενόμενοι **,

---

2. δεδόξασθαι cod. et P. δεδόξαστο ed. — 3. τῷ δεδοξασμένῳ P. cod. — γε om. Cois. 310. — 4. σοφία τῷ Coisl. 310. — * ἄθλιος καὶ ed. — 7. ἀθετῶν P. cod. — προιέσθαι C. P. cod. — θείας cod. P. θεοπνεύστους ed. — ** ἀληθῶς Coisl. 310, ὡς ἀλ. ed. — 10. ἀπ. γὰρ καὶ Coisl. 310. — ἀναλογίας cod. — 11. ἐκφρονησ. Coisl. 310. — 13. τὸ om. Coisl. 310. — 14. ἐκπ. π. ed. — τὸ τῶν cod. τῷ Coisl. 310. — 15. ἡγ. om. Coisl. 310. — καὶ μ. τ. Coisl. 310. — 17. ὥνπερ ἐ. Coisl. 310. — 18. ἐν τ. ἱ. ἐ. ἀν. cod. P. ἐν ταῖς ἱεραῖς τῶν εὐαγγελίων δέλτοις ἀνιστόρηται ed. τὰ ἐν ταῖς κτλ. Coisl. 310. — 20. Καὶ μ. π. ed. — 21. π. μ. Coisl. 310. — ἡ. καταντήσας cod. P. κάτεισι τὸν ed. — 22. κἂν ἡ. ἴν om. Coisl. 310. — 24. φυλ. cod. P. διαφ. ed. — Τί δέ λ. π. γε τῆς Ἱεροσολυμιτῶν ὡς ἱστορήσαντες Coisl. 310. — τῶν? ** περιαγγέλλουσι Coisl. 310.

ὡς πλείστας μέχρι τῆς δεῦρο πιστῶς καὶ εὐλαβῶς ἱερογραφίας ἐκ παλαιοῦ δὲ ἀκριβείας ἀνεστηλωμένας, σεμνῶς περιέποντες προσκυνοῦσιν; (174[b]) Ὡσαύτως δὲ πάλιν ἀναγέγραπται, ὅτι Πέτρος καὶ Παῦλος οἱ κορυφαῖοι τῶν ἀποστόλων τὰ μεγαλεῖα τοῦ θεοῦ κηρύττοντες ἐν τῇ Ῥώμῃ καὶ ἃ πεποίηκεν ὁ Χριστὸς θαύματα, πρῶτον τὴν θείαν μεταμόρφωσιν ἐξεικονίσαντες Ῥωμαίοις παραδεδώκασι, καθὼς * ὤφθη Μωϋσεῖ καὶ Ἠλίᾳ ἐν μέσῳ, τοῖς ἁγίοις προφήταις· ἃ καὶ μέχρι τοῦ νῦν σώζεται.

(19) Πῶς οὖν ἀντιβλέψουσιν οἱ ἀπειθεῖς καὶ ἀγνώμονες πρὸς τὸ μέχρι τοῦ παρόντος ᾀδόμενον καὶ ὁρώμενον ἐν τῷ ναῷ τῆς θεομήτορος θαῦμα τὸ ἐν τῇ πόλει [τῇ] καλουμένῃ Λύδδῃ; ὅνπερ ναόν, ἔτι περιούσης ** κατὰ τόνδε τὸν βίον, οἱ ἀπόστολοι ἐδομήσαντο· πολλοὶ γὰρ τεθέανται προσκυνούμενον *** καὶ τιμώμενον τὸ ἀχειρότευκτον ἐκεῖνο καὶ σεβάσμιον ἀπεικόνισμα πλαξὶ τετυπωμένον λαμπραῖς καὶ διαυγέσι καὶ διὰ βάθους κεχωρηκὸς ὅλον, ὃ δὴ καί τινες τῶν δυσμενῶν Ἑλλήνων τε καὶ Ἰουδαίων ἀποξέσαι σπουδάσαντες, ἐματαιώθησαν ἀποτυχόντες τῆς ἀτόπου αὐτῶν ἐπιχειρήσεως· ὅσῳ γὰρ αὐτοὶ τὸ ἐκτύπωμα ἔξεσον, πλειοτέρως ἐξέλαμπεν· οὐδὲ γὰρ ἧττον ἐπὶ σχήματος ἔστηκεν ἡ μορφή, εἶδός τε καὶ στολὴν καὶ τἄλλα τῆς θείας ἀνεξάλειπτα καὶ ἀλώβητα διασώζουσα. Ἱστορεῖται γὰρ ὅτι οἱ ἅγιοι ἀπόστολοι ὑποσχέσει τῆς πανάγνου θεοτόκου ναὸν ἐπ' ὀνόματι αὐτῆς ἀνήγειραν· καὶ αὐτῆς εἰς θέαν τοῦ ναοῦ τῇ αἰτήσει αὐτῶν εἰσελθούσης καὶ εἰς ἕνα τῶν κιόνων σταθείσης, εὑρεθῆναι ἐν τῷ κίονι τὸ ἐκτύπωμα αὐτῆς, ὃ καὶ πολλὰ βιασάμενοι, ὡς εἴρηται, Ἕλληνες καὶ Ἰουδαῖοι οὐκ ἴσχυσαν ἀποξέσαι.

---

1. πλεῖστα cod. ed. sed πλείστας margo P. — τοῦ δ. Coisl. 310. — 2. αναστειλομ. Coisl. 310. — 5. ἐν τῇ πόλει Coisl. 310. — 6. πρῶτα τῆς θείας μεταμορφώσεως Coisl. 310. — * καὶ ed. — 7. ἐν μ. et — 8. τοῦ om. Coisl. 310. — 11. Αυδδίῃ Coisl. 310. — ** αὐτῆς. — 12. τόνδε τὸν cod. P. τὸν τῆδε ed. — *** εὐλαβῶς ed. — 15. ὅλων C. ὅλου ed. — ὃ δή τ. Coisl. 310. — 16. ἀπαχριοῦν πειραθέντες διέξεσαν μανικῶς, ἀλλὰ διήμαρτον μάλα τῆς ἀνοσίου ἐγχ. οὐδὲν γὰρ Coisl. 310. — 18. ἐξέλαμπον ed. — 19. ἔσχηκεν Coisl. 310. — 21. ὅτι οἱ ἁγ. ἀπ. om. Coisl. 310. — π. παρθένου τῇ πρὸς τοὺς ἀποστόλους αὐτόματον ἀναδοθῆναι τὸ σεβάσμιον τουτὶ χρῆμα· ὅτι δὲ Coisl. 310. — 22. ἀναγείραι cod. — 23. ἓν P. cod.

(20) [Ὅτι δὲ ἀρχαιοτάτη τούτων ἡ ποίησις καὶ παράδοσις], μάρτυς μὲν καὶ πρὸς τοῖς ἄλλοις ὁ θεῖος ἀνδριὰς, ὃν ἔστησεν ἡ αἱμόῤῥους γυνὴ τῷ θεραπευτῇ Χριστῷ παρὰ τῷ αὐτῆς οἴκῳ, στῆλην ἐναργεστάτην καὶ ἀπαράγραπτον κήρυκα τοῦ εἰς αὐτὴν γεγονότος θαύματος ταῖς μετέπειτα γενεαῖς τὸ κατ' αὐτὴν θαυματουργηθὲν παράδοξον δημοσιεύουσα· περὶ οὗ καὶ ὁ μέγας παρὰ τοῖς εἰκονοτύποις διδάσκαλος Εὐσέβιος ἐν τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ μνημονεύσας τὰ τελούμενα θαύματα παρὰ τῆς ἐκεῖθεν φυομένης ἱερᾶς καὶ θεοβλάστου πόας καὶ ὡς ἦν ἅπασιν ἀλεξίκακον ἐπικούρημα, ἐπάγει φάσκων· «ὅτι* τῶν ἀποστόλων** τὰς εἰκόνας Πέτρου καὶ Παύλου καὶ αὐτοῦ δὴ τοῦ Χριστοῦ διὰ χρωμάτων ἐν γραφαῖς σωζομένας ἱστορήσαμεν».

(21) Μάρτυς δὲ καὶ ἡ ὄψις, διδάσκαλος ἀψευδὴς, τό τε μῆκος τοῦ χρόνου σαφῶς δείκνυσι καὶ τῶν σεπτῶν ναῶν ἡ κτίσις, ἔτι δὲ καὶ τῶν ἀνέκαθεν ἱερῶν σκευῶν παρὰ τῶν εὐσεβούντων [ἡ] ποίησις καὶ ἀφιέρωσις ἄπειρος τῷ πλήθει τυγχάνουσα. Οὐ μὴν [δὲ] ἀλλὰ καὶ αὐταὶ αἱ πτυχαὶ τῶν ἁγίων εὐαγγελίων τοὺς ἱεροὺς τύπους ἔξωθεν φέρουσαι ὑπὸ πάντων πιστῶν σεπτῶς προσκυνούμεναι, οἵ τε θεῖοι κίονες καὶ οἱ σωλαῖαι καλούμεναι, αἳ τὸ σεβάσμιον τοῦ ἱεροῦ διατειχίζουσι θυσιαστηρίου· καὶ γὰρ οὐδενὶ ἑτέρῳ λόγῳ ἢ τοῦ προσκυνεῖσθαι πάντως ἕνεκα, [ἅμα] τῷ συμπαρακειμένῳ τοῦ σταυροῦ τύπῳ εὐσεβῶς ἀρχῆθεν ἐνταῦθα καθιστῶνται.

(22) Ἀλλ' ὅ γε θηριώνυμος καὶ λεοντότροπος ταῦτα παραγραψάμενος πάντα ἔσπευδεν ὅτι μάλιστα πᾶσαν θείαν εἰκόνα ἀποστρέφειν καὶ λήθῃ βαθείᾳ παραπέμπειν· ταύτῃ τοι θεομαχῶν ἐπὶ δήμου τοιαῦτα κατατολμήσας ὁ ἐμβρόντιστος παῤῥησιάζεται λέγων· «Ὥσπερ*** ἐκ τῶν ὄψεων ὑμῶν, ἀδελφοὶ, τὰς εἰκόνας ἐξολοθρεύσα-

---

1. deest in cod. nostro ut in codd. Paris. praeter Coisl. — 4. εἰς ἀ. γ. om. Coisl. 310. — 6. εἰκονομάχοις Coisl. 310. — 9. ἐπήγαγε Id. — * καὶ ed. ὅτε καὶ Eus. H. E. VII. 18. — ** αὐτοῦ Eus. — 11. ἀ. δὲ τοῦ Coisl. 310. — 13. μήκιστον τοῦ Id.— 14. ἔτι καὶ τῶν ἱ. Id.— 17. τῶν ἁγ. ἐ. om. Coisl. 310. — 18. φέρουσιν παρὰ χριστιανοῖς τῷ εὐαγγελίῳ προσκυνουμένους (ut ed. pro προσκυνουμένοις) Coisl. 310. — 19. ἃ Coisl. 310. — 20 ἢ τούτῳ πρ. P. cod. — 22. sic P. καθιστῶντες cod., καθιστόρηνται ed. — 23. π. τ. παρ. Coisl. 310. — 24. καταστ. Id. — *** οὖν Coisl. 310. — 27. ἡμῶν cod. bis, secundo loco Coisl. 310.

μεν, οὕτω δὴ καὶ ἐκ τῶν ψυχῶν ἡμῶν * ὡς θεοῦ ** δοῦλοι καὶ φίλοι σπουδάσατε». Καὶ γὰρ (175ª) «ὁ μωρὸς μωρὰ λαλήσει, καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει, τοῦ συντελεῖν ἄνομα καὶ λαλεῖν πρὸς Κύριον πλάνησιν». Κἀντεῦθεν τοίνυν τοὺς εὑρισκομένους ἔχοντας εἰκόνας Χριστοῦ ἢ τινος ἁγίου *** δειναῖς τιμωρίαις καὶ κολάσεσι κατεδίκαζεν ὁ ἀλάστωρ καὶ αἱμοβόρος. Καὶ οὕτω χρεωκοπούμενοι καθ' ἑκάστην ἡμέραν καὶ καταθυόμενοι διεφθείροντο πανταχοῦ οἱ θεοσεβεῖς, καὶ πολλοὺς ἐνδόξους καὶ περιφανεῖς πεφόνευκεν, μοναχούς τε ὁμοίως τῷ θανάτῳ παρέδωκεν.

(23) Καὶ ταῦτα μὲν κατὰ τῶν ὀρθοδοξούντων ἀφειδῶς καὶ ἀπανθρώπως διεπράττετο· κατὰ δὲ τῶν ἐν τέλει καὶ [τῶν] εὐπορωτέρων ἄλλην πονηρὰν ἐπίνοιαν ὁ πονηρὸς καὶ παμμιήχανος ἐξευρίσκει· βουλόμενος γὰρ αὐτοὺς ἐλεεινοὺς καὶ πένητας ἀπεργάσασθαι, τί ποιεῖ; αἰτίαις αὐτοὺς ἀφύκτοις καὶ ἐγκλήμασι περιβάλλει, προφασιζόμενος προφάσεις ἐν ἁμαρτίαις, ἵνα τῷ δέει τῶν ἐγκλημάτων πᾶσαν αὐτῶν τὴν οὐσίαν ἀναλογήσωσιν ὑπὲρ τῆς ἐκεῖθεν σωτηρίας. Ἔστιν ὅτε [δὲ] καὶ συνεβίαζε καθ' ὧν τινῶν ἀνδρικωτέρων ἢ [εὐφυεστέρων, βασκαίνων τῆς εὐανδρίας ἢ] εὐφυΐας αὐτῶν· τινῶν μὲν τοὺς ὀφθαλμοὺς ἐξώρυττεν, ἄλλων δὲ τὰ μέλη ἠκρωτηρίαζε ****, ἑτέρους δεσμοῖς κατέχων, μεθ' ἡμέρας τινὰς τῷ θανάτῳ παρέπεμψε, ἐξ ὧν ὑπῆρχε καὶ Μιχαὴλ ὁ τὴν τοῦ ἐξκουβίτου τάγματος ἀρχὴν διέπων· διεβλήθη γὰρ τῷ βασιλεῖ ὡς κατ' αὐτοῦ βουλευόμενος, ὃν εἱρκτῇ καὶ πέδαις εἶχε τηρούμενον.

---

* περιαιρήσειν ὑμεῖς ed. et Coisl. 310. — ** καὶ τοῦ βασιλέως ed. et Coisl. — φ. καὶ δ. Coisl. 310. — 2. Ies. XXXII. 6. — *** καὶ προσκυνοῦντας C. — 5. τ. καὶ θανάτῳ κ. Coisl 310. — 7. χρεονομούμενοι Id. — 8. θεοσ. ανοι. Καὶ ταῦτα Id.— ἐνδ. καὶ περιβλέπτους ed. — 12. ἀπαύστως ed. pro ἀπανως. — 13. ἐπ. τινὰ κ. Coisl. — 310. εὑρίσκει ed., ἐμηχανήσατο Coisl. 310. — 14. γὰρ post τί Id. — 15. αἰτίοις P. — προβ. cod. et P.—17. εἰκείας Coisl. 310.—18. Ἐσθ' ὅτε δὲ καὶ Id.—συνεσκίαζε cod. et C. συνεσκεύαζε κατὰ τινῶν?—19. καὶ εὐφ. Coisl. 310. 19. εὐφ.—ἢ om. P. et ex cod. homoioteleuto.— αὐτῶν cod. et P., αὐτοῖς ed. — **** καὶ Coisl. 310. — 21. τ. δεινῶς ἀναιρεῖ Coisl. 310. — 22. καὶ om. ed. — 24. διεβλ. — ὃν om. Id. simile propter initium.

(24) Τῆς δὲ γενεθλίου τοῦ σωτῆρος· ἡμέρας ἐνστάσης τοῦτον ἠβουλήθη νυκτὸς ἀνελεῖν. Κωλυθεὶς δὲ παρὰ τῆς ἰδίας γυναικὸς διὰ τὴν ἑορτήν, εἴασεν αὐτόν· ὁ δὲ Μιχαὴλ ἐν τῇ εἱρκτῇ ὢν, τοῦτο μαθὼν, πᾶσι τοῖς μετ' αὐτοῦ συμβούλοις ἐμήνυσεν, ὡς εἰ μὴ σπουδάσητε ἐξελεῖν με τῆς φρουρᾶς, πάντας ὑμᾶς καταμηνύσω τῷ βασιλεῖ· ἦν δὲ μετ' αὐτῶν καὶ ὁ τοῦ παλατίου παπίας, συγγενὴς ὢν τοῦ Μιχαήλ. Οὗτοι τῇ νυκτὶ ὁπλισθέντες ἐνδοθεν τὰ ξίφη φοροῦντες, τοῦ παπίου ἀνοίξαντος, ὡς ἱερεῖς μετὰ φελονίων εἰσῆλθον. Τοῦ δὲ βασιλέως εἰς τὴν ἐκκλησίαν εἰσελθόντος, εἰσπηδήσαντες (καὶ τοῦτον χειρωσάμενοι μεληδὸν κατέκοψαν, ἀποῤῥήξαντα) τὴν ἀνοσίαν αὐτοῦ ψυχὴν ἐν τῷ παλατίῳ, ἐν ᾧ οὐδεὶς τῶν πρὸ αὐτοῦ βεβασιλευκότων ἀνῄρητο.

(25) Αὐτῇ δὲ τῇ ὥρᾳ ἐν τῇ εἱρκτῇ ἀπελθόντες, ἐξάγουσι τὸν Μιχαὴλ καὶ εἰσάγουσιν ἐν τῇ ἑορτῇ ἀντὶ δεσμοφόρου στεφηφόρον, ὡς πληρωθῆναι ἐπ' αὐτὸν τὸ τοῦ ψαλμῳδοῦ λόγιον τό· «Ἑσπέρας αὐλισθήσεται κλαυθμὸς καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις». Μετὰ δὲ ταῦτα ῥακίοις εὐτελέσι περιβαλόντες τὰ τοῦ ἁλιτηρίου μέλη καὶ εἰς ἀκάτιον ἐμβαλόντες τὸ παμμίαρον αὐτοῦ σῶμα κατὰ τὴν καλουμέ-

---

1. Καὶ τὴν γενέθλιον τοῦ σωτῆρος ἐνστᾶσαν ἐκδεχόμενος διελθεῖν καὶ οὕτως αὐτὸν διαχειρίσασθαι, ἀλλά γε θείᾳ ψήφῳ καὶ δορυφόρων ξίφει κρεουργηθεὶς αὐτὸς ἐνδίκως, μέσον τοῦ θείου ναοῦ τὴν πολλοὺς ναοὺς καὶ ψυχὰς καὶ σώματα λίαν ἀτιμάσασαν ψ. ἀποῤῥήξας, εὐθὺς ἐπικοσμεῖται τῷ τῆς βασιλείας διαδήματι ὁ δεσμώτης ὡς ἐν ἐλπίσιν ὢν τῆς ζωῆς τὴν στέρησιν ὑπομεῖναι, στεφηφόρος ἀντὶ δεσμηφόρου καθίσταται. Οὕτως οὐ καταστρέφει τὸν βέβηλον αὐτοῦ καὶ βαρβαρώδη βίον καὶ τὴν ἀνόσιον καὶ παμπόνηρον ψ. ἀποῤῥήγνυσιν ἐν Coisl. 310 et 134. — ' ἡμῶν ed. sed om. etiam C, loco ἡμέρας Leo. — 4. σ. τοῖς μετ' αὐτοῦ ed. sed Leo. ut cod. — 11. καὶ—ἀποῤῥήξαντα om. ed.—13. ἀνῄρηται, γενόμενος πολυστόμου μαχαίρας ἔργον πικρὸν καὶ ὀλέθριον, τῆς αἰσχίστης καὶ βδελυρᾶς ζωῆς δέχεται τὴν περαίωσιν καὶ δίκην τῶν τετολμημένων εἰσπράττεται παράδοξον καὶ ἐξαίσιον ἐν τόποις οὓς καὶ ζῶν ὁ ἐξάγιστος καὶ τρισάθλιος κακῶς ἐβεβήλωσεν· καὶ σφραγιζόμενος αἰσχρῶς τῷ λουτρῷ (λύθρῳ) τῶν ἐναγῶν αἱμάτων ὁ πολλῶν αἱμάτων χριστιανῶν ἐμφορηθεὶς ἔχρανεν Coisl. — 18. Ps. XXIX. 6. — 20. περιβληθὲν καὶ ἀκατίῳ μικρῷ εἰς τοῦτο εὐτρεπισθέντι ἐμβάλλεται τὸ π. καὶ ἀκάθαρτον ἀ. σ. καὶ κ. τὴν (α') ἑ. ν. καὶ κατορύττεται, οὐκ Coisl. — τὸ — σῶμα — τὰ μέλη Leo.

νην Πρώτην νῆσον ἐκφέρουσιν καὶ κατορύττουσι, ἔνθα καὶ τοὺς παῖδας αὐτοῦ ἀποκείραντες μονάσαι πεποιήκασιν, οὐκ οἶδα ἀνθ' ὅτου ταύτην κριθεῖσαν τὴν συμφορὰν ἀντὶ τοσούτων κακῶν εἰσδέξασθαι.

(26) Προσεκτέον δὲ ὡς εἴγε τινὰ ἰσχὺν εἶχεν ὁ λόγος τῶν δυσσεβῶν τούτων καὶ δυσωνύμων καὶ ἀληθείας ἔμφασιν τὰ παρ' αὐτῶν δογματιζόμενα, κἂν ταῖς ἄλλαις ἱεραρχίαις ὑπῆρξέ που πάντως πεφυλαγμένα καὶ γινωσκόμενα· νῦν δὲ οὐδαμόθεν ἐπιγνῶναι τοῦτο πάρεστιν· ὁμοῦ τε γὰρ ἑῴα καὶ ἑσπερία λῆξις τὸ εὐαγγελικὸν καὶ ἀποστολικὸν τοῦτο περιέπονται (175[b]) καὶ διατελοῦσι κήρυγμα· καὶ οὔποτε ἐν ἄλλῃ ἐξουσίᾳ, ἔνθα χριστιανοὶ τὸ ἄθεσμον ἐκεῖνο καὶ παράνομον καὶ τῆς χριστιανῶν θεοσεβείας ἀλλότριον παραφυὲν καταλαμβάνεται θεοστυγὲς δόγμα, οὐδὲ, ὅσον εἰς μνήμην ἀφῖχθαι τῶν πονηρῶν καὶ μυσαρῶν συνταγμάτων, ἀλλ' ἢ μόνον κατὰ τὴν δούλην ταύτην καὶ ἠνδραποδισμένην καὶ τὰ θεῖα κατ' ἐξουσίαν παίζουσαν, ἐν ᾗ τὸ ἐμπαθὲς καὶ πρόσυλον τὸ περὶ γῆν στρεφόμενον καὶ ἱλυσπώμενον γήϊνον καὶ ἀλαζονικὸν καὶ ὑπερήφανον πρυτανεύει φρόνημα, ἔνθα τὸ φίλαυτον, τὸ φίλαρχον, τὸ φιλήδονον, τὸ φιλόδοξον*, ἡ πάντων καταθύμιος ἀπόλαυσις, τὸ πάντων ἐθέλειν ἄρχειν καὶ μηδὲ πρὸς αὐτοῦ θεοῦ ἄρχεσθαι καὶ ἡ τῆς ἀνθρωπίνης δόξης ἢ μᾶλλον εἰπεῖν αἰσχυνης κτῆσις καὶ περιποίησις· ἔνθεν ἡ κατὰ τοῦ θεοῦ καὶ τῶν ἁγίων ὕβρις καὶ τῆς ἐκκλησίας ὁ διωγμός· ἐντεῦθεν κατακυριευόμενον ἢ τυραννούμενον τὸ ὑπήκοον, τοῖς ἐκείνων δόγμασι καὶ θελήμασι ὑποκύπτειν ἐκβιάζεται, ὧν ἕνεκεν τὸ ἔμψυχον κεχάλκευται καὶ ἐσχεδίασται ὅπλον, σχήματι μὲν τοῦ σωματοφυλακτεῖν ἠθροϊσμένον, ταῖς δὲ ἀληθείαις τοῦ ἐκπορθεῖν τὴν ἐκκλησίαν [Χριστοῦ] καὶ ληΐζειν ἐπινενοημένον, προφάσει τοῦ συμπεριγράφεσθαι τὴν Χριστοῦ θεότητα ἐν τῇ εἰκόνι παραληροῦν-

3. κριθ. cod. et P. κατακρ. ed., κατακριθεῖσα Coisl. 310 sc. τὴν α'.—σ. ἀ. τ. κ. ἐ. P. et cod. σ. τοσ. κ. ὑποδ. ed. — 5. τ. ἰ. cod. et P. ἰ. τ. ed.— 6. δυσμενῶν Coisl. 310 — καὶ ἀλ. ἐναύγασμά τι ἐν τοῖς παρ' ἀ. δογματιζομένοις ἀμυδρῶς πως ἐφέρετο Coisl.—κτιζ. ed.—9. ἐ. δὴ τ. καὶ ἀπ. ed.—10. sic cod et P. περιέποντες δ. ed.—καὶ ὅπου τε ἐν P. cod.—11. sic cod. et P. ἐκ θ. ed.— 16. πρ. τῶν π. γὴν στρεφομένων καὶ ἱλυσπωμένων ed.—18. τὸ φίλαρχον, τὸ φίλαυτον C. 310.— * ἢ κενόδοξον C. 310.—19. καταθυμίων ed.—21 .δ. ἀ. μ. ἐ. C. 310.—ἐντεῦθεν Id.—23. τοῖς ἐκεῖθεν δ. Id.—25. ἐσχεδίαστο Id. — 26. σχηματοφυλακὴν P. cod. e praecedenti σχημ. — 26. δὲ om. Coisl. 310.

τες· ὡς εἴ τις καὶ τὸ ἡλιακὸν τοῦτο δὴ καὶ δισκοειδὲς σῶμα γεγραμμένον ἔν τινι τόπῳ, καθὼς ἔν τισιν ὁρᾶται γιγνόμενον, ὑποδείξειεν, ἐδογμάτισεν ἂν καὶ τὴν τοῦ φωτὸς οὐσίαν καὶ αὐγὴν συγγράφεσθαι καὶ περιγράφεσθαι ἢ πάντως ἐκ τοῦ ἡλίου τὸ φῶς ἀποτέμνεσθαι· ἢ πάλιν ἀκτῖνα ἡλίου πρὸς δένδρον προσβάλλουσαν ἴδοι, εἰ ἐκτμηθείη τὸ δένδρον, συνεκκοπήσεσθαι καὶ τὴν ἀκτῖνα παραφρόνως ἐνομίσθη. Καὶ μέντοι καὶ ἐπὶ πυρὸς καὶ ἄλλων τινῶν διανοηθήσονται, ἵνα ἐνδίκως παρὰ παίδων παιζόντων παιχθήσωνται φρονοῦντες ἀσυνετώτερα. Εἰ γὰρ ἐπὶ τῶν εἰρημένων οὔτε γίνεσθαι οὔτε ὁρᾶσθαι πέφυκεν οὔτε μὴν λέγεσθαι χώραν ἔξει, πόσῳ μᾶλλον ἐπὶ τῆς ἀποῤῥήτου καὶ θείας φύσεως ἢ ἐπὶ τῆς ἀφράστου καὶ ἀνερμηνεύτου Χριστοῦ οἰκονομίας ταῦτα λέγειν ἢ ἐννοεῖν ἀδύνατα καὶ ἀνεπιχείρητα· οὐδὲ * σαρκούμενος ἢ πάσχων ὑπὲρ ἡμῶν, τῷ σώματι τούτῳ πέπονθε· ἐπεὶ οὕτω γε καὶ εἰ ἄνθρωπος τὸ καθ' ἡμᾶς εἰκονίζοι τῷ σώματι, ἀνάγκη καὶ τὴν ψυχὴν συνεικονίζεσθαι ἢ πάντως τεθνήξεσθαι χωριζομένην· τί γὰρ ἕτερον θάνατος ἢ χωρισμὸς ψυχῆς ἀπὸ σώματος; Ὅθεν ἐν τούτοις φαίνονται προδήλως οὐδὲν ἧττον ἀσεβοῦντες ἢ ἁμαθαίνοντες· οὐ γὰρ ἴσασιν ὅσον γραπτοῦ καὶ περιγραπτοῦ τοῦ τε γράφειν καὶ περιγράφειν τὸ ἰδιάζον καὶ διαλλαγμένον, καὶ διὰ τοῦτο φενακιζόμενοι ματαιολογοῦσιν. Ποῦ δὲ ὅλως σῶμα ἄγραφον ἢ ἀπερίγραφον ἐκ τοῦ παντὸς αἰῶνος ἤκουσται; ἢ πῶς ὁ τοῦ σώματος ὅρος καὶ λόγος σωθήσεται εἰ μὴ ταῦτα ἔχοι; Ὁ τοίνυν μὴ δοξάζων γράφεσθαι ἢ περιγράφεσθαι τὸν Χριστὸν σώματι, ἢ ὅ τι ἐστὶ σῶμα οὐκ ἔγνω, ἐξ οὗ μηδὲ δόξαν ὀρθὴν κέκτηται, ἢ γνοὺς σῶμα καὶ ψυχὴν σώζεσθαι παραιτεῖται. Ὁ γοῦν ὁμολογῶν σῶμα τὸν Χριστὸν ἀνειληφέναι ὁποῖον τὸ ἡμέτερον, τοῦτο δὲ γραπτὸν καὶ περιγραπτόν, [ἐξ ἀνάγκης καὶ τὸ τοῦ Χριστοῦ σῶμα γραπτὸν καὶ περιγραπτόν] (176[a]) εἶναι συνομολογήσειεν· εἰ δὲ ** τὸ δεύτερον οὐ δίδωσιν, οὐδὲ τὸ πρῶτον ἄρα, ὃ

---

1. δὴ τ. ed. τουτοδὶ? διὰ τ. Coisl. 310. — 2. ὑποδείξας? — 4. καὶ π. om Coisl. 310. — 5. sic cod. et P. ἡ. εἴπου δένδρῳ ed. — 6. ἤδη ἐ. δὲ cod., ᾖδει εἰ ἐκτ. τὸ δ. σ. P. ἴδοι, ἐντ. δὲ τὸ θ. συνεγκ. ed. — 10. ἐξῆν cod., ἔξειν P. — * γὰρ ed. — 14. τοῦτο P. τούτων τι C. — χῶν κ. ἡ. εἰκονίζοι τὸ σ. ed. τὸ κ. ἡ. ἐ. σ. P. — 15. εἰκ Coisl. 310. — 16. χωριζομένων ed. χωριζόμ. cod. χωριζόμενον Coisl. 310. — 27. κἀκεῖνο γρ. — ** καὶ Coisl. 310. — 29. sic cod. et P. δώσει ed.

πάντῃ ἄλογον καὶ καταγέλαστον. Οὐ περιγράφομεν οὖν ἡμεῖς, ἀλλὰ γράφομεν.

(27) Κενολογοῦσι δὲ οἱ ἄθλιοι καὶ ἄλλο ἀτοπώτερον· ὃν γὰρ φασὶν ἀπερίγραπτον, οὐκ οἶδ' ὅπως ὑπ' εὐηθείας συμπεριγράφεσθαι τῇ εἰκόνι τερατεύονται. Εἰ δὲ δὴ μὴ χρῆναι τὸν Χριστὸν εἰκονίζεσθαι πάλιν κενολογήσουσιν, ἡ τῶν διδασκάλων αὐτῶν χάρυβδις αὐτοὺς μεγάλως περικέχηνε, Μάνεντος, Οὐαλεντίνου τε καὶ Μαρκίωνος· δοκήσει γὰρ [καὶ] φαντασίᾳ τὸν θεῖον σεσωματῶσθαι δοξάζοντες, οὐδὲν ἧττον τῇ προτέρᾳ τοῦ ψεύδους βλασφημίᾳ περιπαρήσονται, οἵγε πρὸς πᾶσαν τὴν οἰκονομίαν παραταττόμενοι δυσσεβῶς· καθεριθριῶσι· καὶ ταῦτα τίνες; οἱ κατήγοροι τῶν ἐπαινουμένων, οἱ σκοτεινοὶ περὶ τὸ φῶς, οἱ περὶ τὴν σοφίαν ἀπαίδευτοι, τὰ ἀχάριστα κτίσματα κατὰ τὴν θερλόγον φωνήν.

CCLXIII. ΒΑΣΙΛΕΙΑ ΜΙΧΑΗΛ ΤΟΥ ΑΜΟΡΑΙΟΥ.

820 Μετὰ δὲ τοῦτον δόλιον Λέοντα ἐβασίλευσε Μιχαὴλ ὁ Τραυλὸς ὁ Ἀμοραῖος ἔτη ἡ'**, μῆνας θ' καὶ ἀπέθανεν ἐκ δυσουρίας καὶ τῆς σφοδρωτάτης ἀλγηδόνος τῶν νεφρῶν, ὃς μικρόν τι τῆς προκατασχούσης κακίας ὑπενδοὺς ὅσον τοὺς ἐν εἱρκταῖς καὶ πόνοις καὶ ἐξορίαις ἐλευθερίαν τε καὶ ἄνεσιν ὀνειρώδη φαντάζεσθαι, τὸ τοῦ προηγησαμένου δυσωνύμου καὶ δυσσεβοῦς ὑπέθαλπε θεοστυγὲς φρόνημα, καὶ ὁμοίως τῷ αὐτῷ περιεπάρη τῆς δεινῆς αἱρέσεως ἀγκίστρῳ ἐξ ἀκροτάτης ἀλογίας καὶ ἀπαιδευσίας, ὅθεν ἐπὶ σελεντίου ἔφη· «Οἱ

---

1. παντὶ ἀλ. κατ. Coisl. 310.—περιγράφωμεν—γράφωμεν καὶ κ. οἱ Id. — 6. αὐτοῖς μέγα περὶ κεχηνέναι Il. — 8. sic cod. et C, σεσαρκῶσθαι ed. — 9. τῆς προτέρας ψευδοῦς βλασφημίας Coisl. 310. — 10. οἰκουμένην Id. — * οὐ C. — 13. θεολόγον γλῶτταν Coisl. 310. — 15. M. δὲ Δ. C, τῷ στις' ἀπὸ τοῦ κόσμου, ἀπὸ δὲ τῆς ἐνσάρκου οἰκονομίας ωις' ed. — ὁ Τρ. om. Coisl. 310. — ** καὶ Id. — 17. τῶν ν. ἀββωστίας τε καὶ ἀ. Id. τῶν ν. σ. ἀ. τῶν ν. ed. Leo. — 18. προκατεχ. Leo. C. — 19. ποιναῖς Leo. — 21. ἀ. ἀμφιβλήστρῳ περιπαρεὶς τῆς δ. ἀ. ἰχθύος δίκην τοῖς τῶν δ. σαθροῖς καὶ ἀσεβέσιν ἀπέθανεν ἐξ ἀκροτάτης ἀβελτερίας τε καὶ ἀλογίας· ἀμύητος γὰρ σοφόρα καὶ ἀπαίδευτος ἐτύγχανεν· ἀμαθίαν γὰρ ἐκ πατρείας ἀλογίας καὶ ἀπειροκακίας ὥσπερ ἱκανὴν οὐσίαν κληρωσάμενος, ὅθεν ἐπὶ λαοῦ δημηγορήσας φησὶν Coisl. 310.

μὲν* πρὸ ἡμῶν ἐρευνησάμενοι τῶν ἐκκλησιαστικῶν θεσμῶν τε καὶ κανόνων καὶ δογμάτων τὴν ἀκρίβειαν, τὸν περὶ αὐτῶν εἰσπραχθήσονται λόγον, εἰ καλῶς ἢ κακῶς ἐθέσπισαν· ἡμεῖς δὲ ἐν ᾧ εὕρομεν τὴν ἐκκλησίαν βαδίζουσαν, ἐν τούτῳ καὶ διαμένειν προκρίνομεν».

(2) Ἦν δὲ αὐτῷ παῖς ἐξ Εὐφροσύνης ὀνόματι Θεόφιλος ὃν καὶ ἔστεψεν ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ· ἐθέσπισε δὲ ὡς μὴ ἔχειν τινὰ ἐπ' ἀδείας κινεῖν λόγον περὶ εἰκόνων, ἀλλ' ἐκποδὼν γενέσθω καὶ οἰχέσθω καὶ ἡ Κωνσταντίνου σύνοδος καὶ ἡ Ταρασίου καὶ ἡ νῦν ἐπὶ Λέοντος γενομένη περὶ τῶν τοιούτων ζητημάτων καὶ σιγὴ βαθεῖα τῆς τῶν εἰκόνων μνήμης γενέσθω.

(3) Ἐφ' οὗ Θωμᾶς ὁ ἀντάρτης** τῶν ἀνατολικῶν μερῶν 822
ἀπάρας ἤδη καὶ λαὸν ἀγυρτώδη καὶ ἐπίμικτον συλλεξάμενος καὶ ἐπισυρόμενος ἐπὶ τὸ Βυζάντιον ἐκίνησε, τῆς βασιλείας*** παρ' ἀξίαν ἐφιέμενος· ἐκ γὰρ τῆς Ῥωμαίων γῆς ὁρμώμενος, δυσγενής τε καὶ ἀφανὴς ὤν, πρὸς τὰ μέρη τῆς Συρίας ἀφίκετο, Κωνσταντῖνον ἑαυτὸν μετονομάσας καὶ υἱὸν Εἰρήνης τῆς βασιλίσσης· κἀντεῦθεν**** πολλοὺς τῶν βαρβάρων καὶ χριστιανῶν ἀπατήσας καὶ λαὸν ἄπειρον ἐκ διαφόρων ἐθνῶν συναθροίσας ἐπὶ τὴν Κωνσταντίνου πόλιν ἐπῆει ἐν ὄχλῳ βαρεῖ καὶ στόλῳ μεγάλῳ. καθάπερ τι θηρίον ἀλλόκοτον καὶ πολύμορφον, ποικίλον τε καὶ πολυκέφαλον, τὰ πολυειδῆ γένη τῶν ἐθνῶν συναθροίσας***** καὶ οἷά τις ἄλλος Σεναχηρὶμ κατὰ τῆς νέας Ἱερουσαλὴμ καθοπλισάμενος ἐμεγαλαύχει τῶν ἑπομένων τῷ πλήθει καὶ κατηλαζονεύετο, μὴ πάμπαν, ὡς ἔοικε, νοήσας, ὅτι «οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ

---

* οὖν Id.—1. sic cod., C et Leo. τὸν ἐκκλ. θεσμόν; θ. τε καὶ κ. καὶ om. Coisl. 310. ἐ. θ. τε καὶ κ. καὶ om. ed. — 2. δ. αὐτοὶ π. Coisl. 310. — 2. ἢ καλῶς Id. — ἡμεῖς—βαδίζουσαν om. Id. — 5. διαφυλάττειν C. Leo. — 6. Τοῦτο δὲ ἀκριβοῦντες διαβεβαιοῦμεν ὡς μὴ θαῤῥεῖν τινὰ κατ' εἰκόνων ἢ ὑπὲρ εἰκόνων παῤῥησίᾳ κινεῖν τὴν γλῶτταν ἀλλ' ἐκποδὼν ἔστω καὶ οἰχέσθω καὶ ἡ C. — 10. κροτηθεῖσα Id. — ** ἐκ C. Leo. — 13. προσυλλ. ed. — *** πανούργως Coisl. 310. — **** γέτοι ed. γε τοὺς Coisl. 310. — 19. β. κατὰ Leo. — 20. ἐπὶ τῇ K. C. Leo. — 21. ἐπῄει om. Coisl. 310. — 23. ἀθροίσας ed. — ***** καὶ ἀνειλημμένος Coisl. 310. — 24. ἐξοπλ. Id. — τῷ πλ. τῶν ἐπ. Id. — 25. ἐν. κατὰ πολλὴν ἀβελτηρίαν ὃς οὐ Id. — 26. Ps. XXXIII. 16.

γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ, καὶ ψευδὴς ἵππος εἰς σωτηρίαν· καί «Κύριος διασκεδάζει βουλὰς ἐθνῶν» καὶ τὰ ἑξῆς. Εἰ γὰρ καὶ τὰ μάλιστα ἡ πόλις (176[b]) οὐκ εἶχεν Ἐζεκίαν, εὐσεβῆ φημὶ καὶ ἐνάρετον βασιλέα, ἀλλ' οὐ * παρεῖδεν ὁ τοῦ παντὸς πρύτανις καὶ φιλάνθρωπος Κύριος πολιορκουμένην τὴν πόλιν αὐτοῦ καὶ τὸν λαὸν αὐτοῦ· ἀλλ' ἕνεκε «τῆς ταλαιπωρίας τῶν πτωχῶν καὶ τοῦ στεναγμοῦ τῶν πενήτων» ἔφη καὶ τότε·» ** «Νῦν ἀναστήσομαι καὶ ὑπερασπιῶ *** τῆς πόλεώς μου καὶ τοῦ λαοῦ μου», οὐ «δι' ἐμὲ καὶ διὰ Δαυὶδ, τὸν δοῦλον μου», ὡς τότε καὶ νῦν φησὶ, ἀλλὰ «δι' ἐμὲ καὶ τὸν ἐκ σπέρματος Δαυὶδ φύντα υἱόν μου καὶ διὰ τὴν νέαν Ἱερουσαλὴμ, ἣν ἐξελεξάμην.

(4) Καὶ γὰρ ἐπὶ τοῦ δυσσεβοῦς Ἀχαὰβ, τοῦ Σύρου πολλὰς μυριάδας κατ' αὐτοῦ συνειληχότος καὶ βρενθυομένου καὶ λέγοντος· «Εἰ ἐκποιήσει Σαμάρεια **** παντὶ τῷ λαῷ, τοῖς πεζοῖς μου», διέλυσε ῥᾳδίως εὐθὺς τοῦ τρισαθλίου βασιλέως ὁ φιλοικτίρμων θεὸς τὸ δέος *****» ἰδού, λέγων, ἐγὼ δίδωμι αὐτὸν ****** εἰς τὰς χεῖράς σου, καὶ γνώσῃ ὅτι ἐγὼ κύριος»· ὅπερ καὶ γέγονε· καὶ δὴ παραυτίκα δέδειχε τοῖς οἰκείοις καὶ τοῖς ἀλλοτρίοις τὴν ἰδίαν ἰσχὺν καὶ τὸν Δαυὶδ ἀληθεύοντα· «Κύριος κραταιὸς καὶ δυνατὸς, Κύριος ἐν πολέμῳ». Τῆς γὰρ συμπλοκῆς γενομένης, δύο καὶ δέκα τῶν ἀντιπάλων μυριάδας ὁ Ἰσραὴλ κατηκόντισεν. Ἵνα δὲ κἀκεῖνοι καὶ οὗτοι μάθωσιν ὡς θεήλατος ἡ πληγὴ, τῶν διαπεφευγότων εἰς τινα πόλιν καταπεσὸν τὸ τεῖχος κατέχωσε χιλιάδας κζ'.

---

1. ἀ. ψ Coisl. 310. — 2. Ps. XXXIII. 10. σωτ. «ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται» καὶ κς Coisl. 310. — ἐθνῶν ἀθετεῖ δὲ λογισμοὺς λαῶν καὶ ἀθετεῖ βουλὰς ἀρχόντων· ἡ δὲ βουλὴ τοῦ κυ εἰς τὸν αἰῶνα μένει· εἰ Id. — 4. φημὶ om. Coisl. 310 — * τί που διὰ τῆς τοῦ κρατοῦντος πολλῆς ἀγνωσίας καὶ ἀπροσεξίας πεφενακισμένην τε καὶ διεφθαρμένην γνώμην τε καὶ πίστιν Id. — περιεῖδεν Id. — 5. πολιορκούμενον τὸν λ. — 6. Ps. VII. 5. — 7. 4 Regg. XX. 6. — ** που πάντως Coisl. 310.— *** ὑπὲρ Coisl. 310.—8. π. ταύτης Id.—λαοῦ, οὐ ed. διὰ om. P.—9. ὥσπερ τ. καὶ νῦν φ. ed. καθὼς εἰρηκεν τινὶ ταῦτα πρὸ τῆς ἐνσάρκου οἰκονομίας Coisl. 310.— κ. ἑ. τηνικαῦτα πρὸ τῆς ἑ. ὀ. 134. — 10. φυέντα Δ. Coisl. 310. — 13. 3 Regg. XX. 10. Εἰ ἑ. (יִשְׁפֹּק=ἀρκέσει, πληροφορήσει) ὁ χοῦς Σαμαρείας.— **** ταῖς δραξὶ C. et cod. LXX לִשְׁעָלִים, alii τ. ἀλώπεξι לְשֻׁעָלִים. — ***** φάσκων C. om. λέγων.— ****** σήμερον 3 Regg. XX. 13. om. τὰς.—17. δ. καὶ τοῖς ed. γέγηθεν καὶ τοῖς Coisl. 310.—18. ϐ. τοὺς κτλ. P. cod. τὸν ἱεροψάλτην ἀλ. C.—19. Ps. XXIV. 8.—20. γεγενημένης C. — 21. κατηκόντησαν C. 310, ἐπάταξεν — ρ' χιλιάδας. 3 Regg. XX. 29.

(5) Ταύτῃ τοίνυν τῇ ἀλαζονείᾳ τοῦ Σύρου καὶ τοῦ, Ἀσσυρίου χρησάμενος καὶ ὁ ματαιόφρων Θωμᾶς, τὴν Κωνσταντινουπόλιν, μᾶλλον δὲ Θεουπόλιν, ἐφ' ἕνα χρόνον ἐπόρθει, τῶν πολιτῶν γενναίως ἀντιπαραταττομένων καὶ τειχομαχούντων καὶ ναυμαχούντων· τὰς γὰρ πλείστας αὐτῶν ναῦς ἐπυρπόλησαν καὶ τοὺς λογάδας τῶν πολεμίων αὐτῶν ἐτροπώσαντο. Ὁ δὲ ἀμηχανίᾳ ληφθεὶς, τὴν πόλιν ἀφεὶς ἐπὶ τὴν Θράκην ἐχώρει, ταύτην ληϊζόμενος· λαφυραγωγήσας οὖν αὐτὴν μετρίως, ἀλλ' οὐχ ὡς ἤλπιζεν, ἀλλ' ὡς ἡ θεία πρόνοια παρεχώρει διὰ τὰς ἁμαρτίας ἡμῶν, οὐδὲν πλέον ἤνυσεν ὧν προσεδόκησεν· καὶ γοῦν οὐ μόνον εἰς ἐναντίωσιν αὐτῷ παρέστη καὶ περιετράπη* καὶ παρέβη τὸ σπούδασμα, ἀλλά γε καὶ ὅπερ ἔχειν ἐδόκει καὶ κατεφανταζετο κλέος καὶ σθένος ἀπεγυμνώθη μικροῦ δεῖν καὶ διόλωλεν.

(6) Οἱ γάρ τοι πολῖται, ὡς εἴρηται, γενναίως τε καὶ σφοδρῶς ἀντιπαραταξάμενοι τῇ βοπῇ καὶ συμμαχίᾳ τοῦ κρείττονος καὶ μετὰ τοιαύτης ἐλπίδος τειχομαχοῦντες καὶ πεζομαχοῦντες καὶ ναυμαχοῦντες ἀνδρικῶς καὶ καρτερῶς, ἅπαν σχεδὸν τὸ σαθρὸν αὐτοῦ φρύαγμα κατέλυσαν· τὰ γὰρ ὠχυρώματα, ἐφ' ὧν πεποιθὼς ἀνοήτως ἄγαν ἐναβρύνετο καὶ κατεθρασύνετο, τὰς ναῦς αὐτοῦ λέγω τὰς πλείστας πυρπολήσαντες καὶ τοὺς λογάδας τῶν πολεμίων καὶ στρατοπεδάρχας τροπωσάμενοι, σκοτοδινία πολλὴ καὶ ἀμηχανία περιέσχε τὸν εὐρίπιστον καὶ κουφώτατον Θωμᾶν· ναὶ μὲν ἀλλὰ καὶ τὰς πολυμηχάνους αὐτοῦ καὶ πολυτρόπως ἐξευρημένας ἑλεπόλεις πάσας, ἀκαταμαχήτους οὔσας, ὡς ᾤετο, καὶ δυσαλώτους, διέφθειραν

1. Ταύτην τ. τὴν ἀλαζονείαν ed. ταύτ. τ. ἀλαζονί. cod. Τὴν τοίνυν βαρβαρικὴν ὀφρὺν καὶ ἀλαζονείαν τοῦ τε Ἀσσυρίου καὶ τοῦ Σύρου χ. καὶ Θ. ὁ μ. καὶ τὴν Κ. μ. δὲ Θ. ἐφ' ἑ. χ. ἐκπορθήσας καὶ τὴν Θράκην δῃώσας καὶ λαφυραγωγήσας μετρίως καὶ οὐχ ὡς ὀνειροπολῶν ἀπεκαραδόκει, ἀλλ' ὡς C. — 4. ἀνδρείως ἀ. C, ἀνδρ. παρατ. ed. — 9. συνεχ. C. — 10. προσεχώρησεν Coisl. 310. — 11. περιέστη Id. — * τε C. — 12. ἀπέβη τὸ σπουδαζόμενον C. — ὃ C. 310. — ἐδ. ἐχ. C. 310. — 15. τοι om. ed. — ὡς ἐ. om. C. — 16. ἀντιπαραταττόμενοι C. — 17. τ. καὶ ν. καὶ μέντοι π. Coisl. 310, τ. καὶ ν. 130. — 18. καρτερικῶς P. — ἅπ. ἀ. σχ. τὸ σ. Coisl. 310. — 19. ἐφ' ἃ C. — 20. λ. δὲ τὰς πλ. ν. Coisl. 310, λ. δὴ τὰς πλείστας ν. 130. — 21. στρατοπεδάρχ. cod. — στρατοπεδάρχων P. — 23. Θωμᾶν om. C. — καὶ μὴν καὶ ἀλλὰ P. — 24. αὐτοῦ post ἑλ. Coisl. 310 et 130. — πολυτρόπους ed. — 25. ὁ. καὶ δ. ᾤετο Coisl. 310.

καὶ κατέλυσαν εὐπετῶς ἄρδην. Καὶ οὕτως «ὁ μὲν οἶκος Δαυὶδ ἤγουν ἡ τοῦ Χριστοῦ πόλις «ἐπορεύετο καὶ ἐκραταιοῦτο, ὁ δὲ οἶκος Σαοὺλ» ἤτοι τῶν πολεμίων τὸ στῖφος «ἐπορεύετο καὶ ἠσθένει» τῷ ὄντι, καὶ θεὸς ἐδοξάζετο, καὶ ἦν ἰδεῖν ἐναργῶς ὄντως ἐπ' αὐτῷ πληρούμενον τὸ ἱερὸν λόγιον· «Καθεῖλες πάντας τοὺς φραγμοὺς αὐτοῦ, ἔθου τὰ ὀχυρώματα αὐτοῦ δειλίαν» (177[a]) καὶ τὰ ἑξῆς τοῦ ψαλμοῦ· ἔνθεν τοι καὶ οἱ τῆς πόλεως ἔψαλλον· «Οὗτοι ἐν ἅρμασι καὶ οὗτοι ἐν ἵπποις» καὶ τὰ λοιπὰ τοῦ ψαλμοῦ.

(7) Ὁ δὲ θεῖος λόγος * παρεγγυώμενος καὶ προευαγγελιζόμενος αὐτοῖς εὖ μάλα τὴν ἀθρόαν καὶ ταχίστην κατάπτωσιν τοῦ ἐχθροῦ αὐτῶν, ἀπεκρίνατο μόνον οὐχὶ λέγων· «Τέκνα, μακροθυμήσατε τὴν παρὰ τοῦ θεοῦ ἐπελθοῦσαν ὑμῖν ὀργήν· κατεδίωξε γάρ σε ὁ ἐχθρός σου· καὶ ὄψει αὐτοῦ τὴν ἀπώλειαν ἐν τάχει καὶ ἐπὶ τραχήλους αὐτῶν ἐπιβήσῃ»· «θαρσεῖτε, τέκνα, καὶ βοήσατε πρὸς τὸν θεόν» **. «ὁ γὰρ ἐπαγαγὼν ὑμῖν τὰ κακὰ, ἐπάξει ὑμῖν τὴν αἰώνιον εὐφροσύνην μετὰ τῆς σωτηρίας ὑμῶν».

823 (8) Ἐπεὶ οὖν ἀποκαμὼν ὁ ταλας καὶ πεπλανημένος ἀνόνητα πολεμῶν καὶ ματαιοπονῶν καὶ μάλα δὴ ἀπογνοὺς, ὡς τοῦ σκοποῦ διαμαρτήσας ἐκ διαμέτρου, καὶ τῶν πραγμάτων αὐτῶν αὐτῷ κατόπιν προδήλως φερομένων ἡμέρᾳ καὶ ἡμέρᾳ, καὶ πρὸς τούτοις μαθὼν ὡς ὁ βασιλεὺς Μιχαὴλ τοὺς Βουλγάρους εἰς συμμαχίαν κατ' αὐτοῦ προσεκαλέσατο, παραχρῆμα τὴν πόλιν ἐάσας, κατ' αὐτῶν θᾶττον ᾤχετο, οὓς δὴ καὶ μαχεσάμενος καὶ πολλοὺς αὐτῶν διαφθείρας, εἰς Ἀρκαδίου πόλιν ἑαυτὸν ἀσφαλίζεται, δῆθεν τὴν κατὰ πρόσβασιν αὐτοῦ ἀσθένειαν καὶ ἐλάττωσιν ὑφορώμενος· ὅθεν οἱ περὶ

---

1. 2 Regg. III. 1.—ἤτοι χῦ π. C.—2. καὶ ἐκρ.—ἐπ. om. P. ex homoioteleuto.—ἤτοι om. ed.—3. τὸ θάτερον λ. ἰ. ed. καὶ τὸ θ. ἰ. λ. Coisl. 310.—Ps. LXXXIX. 40.—αὐτῶν — αὐτῶν δ. διήρπαζον (διήρπασαν LXX) πάντες et reliqua psalmi 42 — 44. C. — 7. ἐ. οὖν C. 130. — Ps. XX. 7. — * αὖθις C. — 11. ἀπεφήνατο Coisl. 310. — λέγω Coisl. 310. — τέκνα — ἐπιβήσῃ Baruch IV. 25, om. ed. — 12. ὁ om. Coisl. 310, γὰρ et σου om. Bar. — 13. τὸν τράχηλον Deut XXXIII. 29. — 14. θαρσήσατε Bar. 27. — ** ἔσται γὰρ ὑμῖν ὑπὸ τοῦ ἐπαγαγόντος μνεία (Scholion a secunda manu codicis, textui in P. e Barucho insertum ubi ἐπάγοντος ut in cod.)—15. ἡμῖν ed. sed ὑμῖν Bar. 29. — τὰ om. Coisl. 310. — 17. ἀνόητα C. ἀνονήτως ed. — 19. αὐτῶν om. ed. propter sequens αὐτῷ. — 20. μ. ὡς om. Coisl. 310. — 24. τὴν κ. πρ. ἀσθ. ἀ. C. κατὰ τὴν πρόβασιν ἀ. ἀσθ. ed.

αὐτὸν, αἰσθόμενοι σαφέστερον τήν τε δεινὴν οἰκείαν ἀπάτην καὶ τῆς κενῆς ἐλπίδος ἀποτυχίαν καὶ τὴν ἐκείνου πλησιάζουσαν παρωλεθρίαν, ἤρξαντο κατὰ μικρὸν ὑποχωρεῖν καὶ ὑποῤῥέειν καὶ καταλιμπάνειν αὐτὸν ὡς μάταιον καὶ λαοπλάνον.

(9) Ὁ δέ γε Μιχαὴλ ταῦτα μεμαθηκὼς, αὐτίκα τῆς πόλεως ὑπεξελθὼν μετὰ πλείστης δυνάμεως πρὸς αὐτὸν ἐξώρμησε· καὶ δὴ περικαθίσας βραχύν τινα καιρὸν καὶ τοῦτον ἀμογητὶ χειρωσάμενος καὶ τράχηλον αὐτοῦ κατὰ τὴν ἀρχαίαν συνήθειαν πεπατηκὼς καὶ ἀκρωτηριάσας αὐτοῦ χεῖρας καὶ πόδας καὶ οὕτως ἀνασκολοπίσας, κατέπαυσε τὸν ἐν τρισὶν ἔτεσι δι' αὐτοῦ κατάρξαντα καὶ διαρκέσαντα χαλεπὸν καὶ δύσοιστον ἐμφύλιον πόλεμον.

(10) Ἀσχολουμένου δὲ Μιχαὴλ πρὸς τὸν ἀντάρτην Θωμᾶν καὶ τῇ πρὸς τοῦτον φροντίδι παντὸς ἄλλου καταφρονήσαντος, Κρήτη καὶ Σικελία καὶ αἱ καλούμεναι Κυκλάδες νῆσοι τῆς τῶν Ῥωμαίων ἀρχῆς περιῃρέθησαν ἐξ Ἄφρων τε καὶ Ἀράβων λαβόντων ἀρχὴν ἄρτι πρῶτον διὰ τὰς τοῦ λαοῦ ἁμαρτίας καὶ τὴν τῶν κρατούντων δυσσέβειαν καὶ ταπεινοῦν καὶ ὑπὸ χεῖρα σφῶν ἄγειν τὰ τῶν χριστιανῶν πράγματα· 824

(11) Ἐν τούτοις οὖν ὄντων καὶ οὕτω τῶν πραγμάτων διακειμένων, Μιχαὴλ μὲν ἐκ δυσουρίας καὶ τῆς τῶν νεφρῶν ἀλγηδόνος κακῶς ἀπηλλάγη τοῦ ζῆν, διεδέξατο δὲ τὴν ἀρχὴν ἀντ' αὐτοῦ Θεόφιλος, ὁ υἱὸς αὐτοῦ, μετὰ τῆς μητρὸς αὐτοῦ Εὐφροσύνης. 829

CCLXIV. ΒΑΣΙΛΕΙΑ ΘΕΟΦΙΛΟΥ.

Θεόφιλος ἐβασίλευσεν ἔτη ιβ', ὁ νέος Βαλτάσορ καὶ παρα-

---

3. ὑποῤῥρέειν καταλιμπάνοντες Coisl. 310. — 5. Ὁ δὲ M. καὶ τ. Id. — ' ὑπὸ τῶν ἰδίων φίλων καὶ συγγενῶν προδοθέντα Scholion ab ed. in textum receptum, in C. ut codicis in textu et in Leone deest. — 8. οὗ καὶ τὸν τρ. κ. Coisl. 310. — ἀρχῆθεν Id. — 9. αὐτ. cod. αὐτὸν ed. — 12. δύσυστον cod. δύστηνον ed. — 13. Ἀσχ. — Εὐφροσύνης om. C. 310 et 130 quum in §. 1 et c. CCLXIV, 3 inveniantur, sed cf. praeter Leonem etiam Ced. 91,5 — 99,16. — 26. περὶ τῆς βασιλείας Θ. τοῦ εἰκονομάχου Mon. et Paris. 1706. — 27. Μετὰ δὲ M. ἐβ. Θ. υἱὸς αὐτοῦ C. τῷ ἑαυτῷ ἀπὸ τοῦ

βάτης καὶ θεομισὴς καὶ τῶν ἁγίων εἰκόνων ὑβριστὴς καὶ καθαιρέτης καὶ βέβηλος *.

(2) Ἡ δὲ μήτηρ αὐτοῦ Εὐφροσύνη ἀποστείλασα ἐν πᾶσι τοῖς θέμασιν ἤγαγε κόρας εὐπροσώπους πρὸς τὸ νυμφοστολῆσαι Θεόφιλον, τὸν υἱὸν αὐτῆς· ἀγαγοῦσα δὲ ** ταύτας ἐν τῷ παλατίῳ εἰς τὸν λεγόμενον μαργαρίτου τρίκλινον, δέδωκε τῷ Θεοφίλῳ χρυσοῦν μῆλον εἰποῦσα· «Εἰς ἣν ἂν ἀρεσθῇς, ἐπίδος τοῦτο αὐτῇ». Ἦν δέ τις ἐξ εὐγενῶν ἐν αὐταῖς κόρη ὀνόματι Εἰκασία ὡραιοτάτη πάνυ, ἣν ἰδὼν Θεόφιλος καὶ ὑπεραγασθεὶς αὐτὴν τοῦ κάλλους ἔφη· «Ὡς ἄρα διὰ γυναικὸς ἐῤῥύη τὰ φαῦλα». Ἡ δὲ μετ' αἰδοῦς πως ἀντέφησεν· «Ἀλλὰ καὶ διὰ γυναικὸς πηγάζει τὰ κρείττονα». Ὁ δὲ τῷ λόγῳ τὴν καρδίαν πληγεὶς, ταύτην μὲν εἴασεν, Θεοδώρᾳ δὲ τὸ μῆλον ἐπέδωκεν (177[b]) οὔσῃ ἐκ Παφλαγόνων. Στέφει *** Θεοδώραν ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου Στεφάνου, στεφθεὶς καὶ αὐτὸς ἅμα αὐτῇ ὑπὸ Ἀντωνίου καὶ τῷ τοῦ γάμου καὶ τῆς βασιλείας στέφει τῇ ἁγίᾳ ν'· κἀκεῖθεν προῆλθεν ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, φιλοτιμησάμενος χρήμασι πολλοῖς τὸν πατριάρχην ἅμα τῷ κλήρῳ καὶ τῇ συγκλήτῳ. Ἡ δὲ εἰρημένη Εἰκασία τῆς βασιλείας ἀποτυχοῦσα μονὴν κατεσκεύασεν, εἰς ἣν καὶ ἀποκειραμένη, ἀσκοῦσα καὶ φιλοσοφοῦσα, τῷ θεῷ μόνῳ ζῶσα διετέλεσε μέχρι τέλους ζωῆς αὐτῆς, ἣ καὶ συγγράμματα αὐτῆς πλεῖστα καταλέλοιπε, τό «Κύριε, ἡ ἐν πολλαῖς ἁμαρτίαις» **** καὶ τοῦ μεγάλου σαββάτου τὸ τετραῴδιον· «Ἄφρων γηραλέε» καὶ ἄλλα τινά. Ἡ δὲ τοῦ βασιλέως μήτηρ Εὐφροσύνη ἑκουσίως κατελθοῦσα τοῦ παλατίου ἐν τῇ μονῇ αὐτῆς, ᾗ ἐπώνυμον τὰ Γαστρία, ἡσύχαζεν. Ἐποίησε δὲ ἱππικὸν Θεόφιλος καὶ προσέταξε τῷ χαμαι-

---

κόσμου ,ςτκς' τῆς δὲ θείας σαρκώσεως ωκς' ἐβ. Θ. ἔτη ιβ' ed. — B. καὶ π. et εἰκόνων om. C. 310 et 130?

* ἔτη ιβ' καὶ μῆνας γ' καὶ ἀπέθανε δυσεντερικῶς C. om. §. 2. — 3. Περὶ Εἰκασίας cod. — ** πᾶσας ed. — 6. μαργαρίτ. cod., μαργαρίτην Leo, e compendio male lecto, хрисompuклинь Serb. — 7. ἂν om. ed. — *** δὲ Leo. — 13. χρ. om. ed. — 18. χρ. om. ed. — 19. τῆς συγκλήτου ed. — 21. φ. καὶ θεῷ Leo. — **** στίχους τῆς μεγάλης δ', Glossa cod.

δράκοντι Λέοντι τῷ πρωτοβεστιαρίῳ αὐτοῦ ἀγαγεῖν τὸ πολυκάνδηλον τὸ ἐν τῇ σφαγῇ τοῦ Ἀρμενίου Λέοντος ξίφει διακοπέν. Τοῦ ἱππικοῦ δὲ τελεσθέντος, προσεκαλέσατο πᾶσαν τὴν σύγκλητον ἐν τῷ λεγομένῳ καθίσματι καὶ τὸ πολυκάνδηλον ἐξαγαγὼν καὶ ὑποδείξας αὐτοῖς ἔφη· «Ὁ εἰς ναὸν Κυρίου εἰσερχόμενος καὶ χριστὸν Κυρίου φονεύων τίνος ἐστὶν ἄξιος»; Ἡ δὲ σύγκλητος ἀποκριθεῖσα ἔφη· «Ἄξιος θανάτου ἐστίν, ὦ δέσποτα». Καὶ εὐθὺς ἐκέλευσε τοὺς σὺν τῷ πατρὶ αὐτοῦ Μιχαὴλ τὸν Λέοντα ἀνελόντας τὸν ὕπαρχον κατασχεῖν καὶ τὰς κεφαλὰς αὐτῶν ἐν τῇ σφενδόνῃ ἀποτεμεῖν, πολλὰ προβαλλομένους καὶ λέγοντας ἄδικον εἶναι τὴν κρίσιν· «καὶ γὰρ εἰ μὴ τῷ πατρί σου συνηγωνισάμεθα, ὦ βασιλεῦ, οὐκ ἂν αὐτὸς νῦν ἦρξας». Καὶ* οὕτως ἐπ' ὄψεσι πάντων τὰς κεφαλὰς ἀπετμήθησαν, προσχήματι μὲν ὡς εἰς ναὸν Κυρίου τετολμηκότες ποιήσασθαι τὴν ἀναίρεσιν, τῇ ἀληθείᾳ δὲ ὡς τὸν συναιρεσιώτην αὐτοῦ καὶ ὁμόφρονα εἰς ἀσέβειαν ἀποκτείναντες· εἶχετο γὰρ ὁ ἀλιτήριος τῆς ἐκείνου θεοστυγοῦς αἱρέσεως καὶ τῆς εὐσεβείας ἀπείχετο, τῶν δὲ ἁγίων εἰκόνων τὰς μὲν κατασπῶν, τὰς δὲ ἀνορύττων καὶ τοὺς ἐπ' εὐλαβείᾳ μοναχοὺς ἐξορίζων καὶ αἰκιζόμενος.

(3) Ἐφ' οὗ καὶ πρὸς τὴν πατρίδα καὶ πόλιν αὐτοῦ τοῦ ἀλι- 838
τηρίου καὶ τυράννου μετὰ πολλῆς δυνάμεως** Σαρακηνοὶ παραγενόμενοι καρτερικῶς ὠχυρωμένην εὑρόντες καὶ κατησφαλισμένην πάνυ καὶ ὑπὸ στρατηγῶν ν' φρουρουμένην μετὰ τῶν λογάδων καὶ τῶν στρατευμάτων αὐτῶν καὶ ταύτην δὲ ἡμερῶν ιέ Αὐγούστου μηνὸς ἐκπορθήσαντες καὶ δορυάλωτον εἰληφότες, ᾐχμαλώτευσαν καὶ ἀπέκτειναν χριστιανῶν πλῆθος ἄπειρον, καὶ ἡ πόλις ἐκαύθη καὶ κατηρειπώθη. Ἀλλὰ μὴν καὶ πλήθη πλοίων αὐτῶν ἐξελθόντα, τὰς

---

13. sic Th. Melitenus, ed. et cod. βασιλεῦ Leo. — νῦν om. ed. — * δὴ ed. — 19. ἁγ. om. ed. — 20. καὶ — αἰκιζόμενος om. Serb. — 22. αὐτοῦ om. C. — ** οἱ ed. — 24. sic P. et cod., καρτερῶς ed.—εὗρον C. 310. — 25. στρ. η' C. — μ. τῶν λ. αὐ. καὶ στρ. φ. C. 310. — 26. Αὐγούστ. μη. cod. τοῦ A. μηνὸς C, Αὐγούστῳ μηνὶ ed. — 27. ᾐχμαλωτίσθη καὶ ἀνηρέθη χ. π. ἀ. C. — 28. καὶ — κατ. post παρέλαβον C. 310, om. ed. — 29. Ἀλλὰ μὴν καὶ om. C. 310.

Κυκλάδας νήσους ἠρήμωσαν καὶ τὴν Κρήτην καὶ τὴν Σικελίαν παρέλαβον. Καὶ ψῦχος πολὺ γέγονε καὶ χειμὼν ἀγριώτατον καὶ δριμύτατον καὶ λιμὸς ἰσχυρὸς καὶ ἀέρος αὐχμοὶ καὶ δυσκρασίαι καὶ ἀνωμαλίαι καὶ σεισμοὶ φοβεροὶ καὶ ἐπάλληλοι, τὴν ἄμετρον ἀπελέγχουσαι τοῦ κρατοῦντος μοχθηρίαν καὶ κακουργίαν· εἰς τοσαύτην γὰρ ἀφιλοθεΐαν καὶ ἀπόνοιαν ἐξώκειλεν ὁ ἄθεος, ὡς καὶ τὴν τοῦ Κοπρωνύμου καὶ θηριωνύμου χαλεπὴν καὶ μυσαρωτάτην αἵρεσιν διαδεξάμενος καὶ ἀναδεξάμενος καὶ ἀνακαινίσας, ὡς μηδὲν ἧττον ὀφθῆναι τῆς ἐκείνου δυσσεβείας καὶ παροινίας *, τυραννίδος τε καὶ ἐμβροντησίας ὁ πεφενακισμένος (178ᵃ) καὶ ματαιόφρων. Ἐπεὶ οὖν τῇ αὐτῇ συσχεθεὶς τῶν ἀσεβῶν ἐκείνων καὶ παλαμναίων ἀπάτῃ καὶ παραπληξίᾳ τε καὶ οἰστρηλασίᾳ, τῶν ἐκ Μανιχαϊκῆς μανίας καὶ Ἀρειανικῆς λύσσης ὁρμωμένων, πάλιν διωγμὸν καὶ αὐτὸς κατὰ τῆς ἐκκλησίας ὡσαύτως ἐπανετείνετο.

(4) Τούτῳ τῷ μισοθέῳ μᾶλλον εἰπεῖν ἢ Θεοφίλῳ προσέφυγε Θεόφοβος ὁ Πέρσης ἅμα τῷ πατρὶ αὐτοῦ μετὰ Περσῶν χιλιάδων ιδ', οὓς διένειμεν ἐν τοῖς θέμασι, κατασκηνώσας καὶ εἰς τούρμας ἀποκαταστήσας, αἳ μέχρι τοῦ νῦν λέγονται τοῦρμαι Περσῶν· αὐτὸν δὲ τὸν Θεόφοβον εἰς ἀδελφὴν Θεοδώρας Αὐγούστης γαμβρὸν ἐποιήσατο.

(5) Φιλόκοσμος δὲ ὢν ὁ αὐτὸς Θεόφιλος κατεσκεύασε διὰ τοῦ ἄρχοντος τοῦ χρυσοχοείου, λογιωτάτου πάνυ ὄντος καὶ συγγενοῦς Ἀντωνίου πατριάρχου, τό τε πενταπύργιον καὶ τὰ δύο μέγιστα ὄργανα ὁλόχρυσα διαφόροις λίθοις καὶ ὑελίοις καλλύνας αὐτά, δένδρον δὲ χρυσοῦν, ἐν ᾧ στρουθοὶ ἐφεζόμενοι διὰ μηχανῆς τινος μουσικῶς ἐκελάδουν. Ἐκαινούργησε δὲ καὶ τὰς βασιλικὰς στολὰς ὁ βασιλεύς, ἀνανεώ-

---

1. καὶ Σ. C. 310. — 2. Theophili a. 9. Ceterarum calamitatum quum nihil exhibeant reliqui scriptores videntur haec phantasmata monachi Theophilo infensi fuisse. — 6. ὁ ἀ. ὡς om. C. — 7. καὶ τῶν θηριωνύμων ed. — καὶ ἀναδ. om. ed. — * τῆς C. 310. — 13. sic C. et cod. ὡρμημένων ed. — πάλ. cod. πάλαι C. — 15. Τούτῳ 799,18 διὰ τοῦτο om. C. sed adsunt in Symeone, Leone, Glyca, Theodosio Meliteno. — 22. χρυσοχείου cod., Leo. χρυσοχόου ed. — 25. sic Leo et cod. ἑλίοις ed. — δ. τε Leo. — sic Melit. Sym. Glyc. στρουθίον ἐφεζόμενον Leo. — 26. μουσικ. cod. μουσικῆς?.

σας καὶ χρυσοϋφάντους κατασκευάσας, τοὺς λεγομένους λώρους καὶ τὰ λοιπὰ πάντα.

(6) Δικαιοσύνην τε κοσμικὴν προσποιούμενος ὁ τὴν πί- 834
στιν καὶ τὴν εὐσέβειαν πλέον ὑπὲρ τοὺς πρώην βασιλεύσαντας ἀδικήσας, προσελθούσης αὐτῷ γυναικὸς χήρας ἐν Βλαχέρναις — ἔθος γὰρ ἦν αὐτῷ ἐκεῖσε ἀπέρχεσθαι — καὶ βοησάσης ὡς ἀδικοῖτο παρὰ τοῦ τῆς Αὐγούστης ἀδελφοῦ Πετρωνᾶ, δρουγγαρίου τῆς βίγλης ὄντος· «ὑψοῖ γὰρ τὰ ἑαυτοῦ οἰκήματα τοῖς κτίσμασιν οἷς καινουργεῖ καὶ τὰ ἐμὰ σκοτίζει καὶ εἰς τὸ μηδὲν εἶναι ποιεῖ, ὡς ἅτε χήρας οὔσης καταπεφρονημένης»· καὶ παρευθὺ ἀπέστειλεν Εὐστάθιον κυαίστορα τὸν ἐπίκλην Μοναχὸν, ἐν τῇ Ὀξείᾳ οἰκοῦντα, σὺν Λέοντι τῷ Συμβατίῳ καὶ Δημητρίῳ τῷ Καμουλιανῷ ἰδεῖν εἰ τὴν γυναῖκα ἀδικεῖ τὸ καινουργηθὲν οἴκημα, οἳ καὶ ἀπελθόντες καὶ θεασάμενοι τὴν τοιαύτην ἀδικίαν καὶ βεβαιωθέντες ὡς ἀληθῆ εἰσι τὰ παρὰ τῆς γυναικὸς ῥηθέντα, ὑποστρέψαντες ἀνήγγειλαν τῷ βασιλεῖ. Καὶ ἐπ' ὄψεσι τοῦ βασιλέως ἐλεγχθεὶς παρ' αὐτῶν ὁ αὐτὸς Πετρωνᾶς, ἐκδυθεὶς ἐν τῷ μέσῳ τῆς ὁδοῦ τύπτεται τὰ νῶτα σφοδρῶς. Ὡρίσθησαν δὲ ὅ τε κυαίστωρ καὶ οἱ ἀντιγραφεῖς ἀπελθεῖν καὶ ἐκ θεμελίων ἐκδαφίσαι τὰ τοιαῦτα οἰκοδομήματα καὶ τῇ γυναικὶ παραδοῦναι.

(7) Οὗτος Ἀλέξιον τὸν Ἀρμένιον, ᾧ ἐπίκλην Μωσηλὲ, ἀν- 833
δρεῖον ὄντα καὶ ῥωμαλέον, εἰσεποιήσατο γαμβρὸν εἰς Μαρίαν, τὴν ἠγαπημένην αὐτῷ θυγατέρα, ποιήσας αὐτὸν πατρίκιον, μετ' ὀλίγον δὲ καὶ μάγιστρον. Εἶτα ὑπολήψεις τινὰς ἐπ' αὐτῷ σχὼν ὡς ὀρεγομένῳ τῆς βασιλείας, στρατηλάτην καὶ δοῦκα τῆς Σικελίας ἐξέπεμψε· οἷα δὲ τοῦ φθόνου ὠδίνοντος, Σικελοί τινες ἀνελθόντες διέβαλλον τοῦτον

---

1. sic Th. Mel. et Sym. κατακοσμήσας Leo. — 3. Δ. δὲ Leo. — 9. καὶ τ. κτ. κ. ἐ. τὰ καὶ Leo. τ. κτ. κ. τὰ ἐμὰ δὲ Th. Melit. — 10. ὡς om. ed. — τὸ Th. Melit? et cod. Monac. om. ed. — 12. ἐν Ὀ. Melit. et Monac. ἐν τῇ Ὀξείᾳ ed. — 19. ὡρίσθη ed. — 20. μέχρι Leo. — τὰ τ. οἰκήματα cod. a pr. manu sed in margine γρ. οἰκοδομήματα· τὰ αὐτοῦ οἰκήματα Leo. — 27. τοῦ, τῷ et τοῖς om. ed.

τῷ βασιλεῖ ὡς «τὰ μὲν τῶν χριστιανῶν τοῖς Σαρακηνοῖς προδίδωσι κατὰ δὲ τῆς βασιλείας σου μελετᾷ».

840 (8) Ἐν δὲ τῷ μεταξὺ τεθνηκυίας Μαρίας, τῆς πεποθημένης τῷ βασιλεῖ θυγατρὸς, τὴν μὲν λάρνακα ταύτης ἐξ ἀργύρου ἐκόσμησε καὶ τόμον ἐλευθερίας τοῖς προσφεύγουσιν ἐπ' ἐγκλήματί τινι τέθεικε, ὅνπερ ἄργυρον μετὰ ταῦτα Λέων ὁ βασιλεὺς ἀνείλετο ἐκ τοῦ τάφου. Ὁ δὲ Θεόφιλος Θεόδωρον τὸν ἐπίσκοπον (178[b]), τὸν λεγόμενον Κρίθινον, ἐν τῷ καιρῷ τῆς διαβολῆς Ἀλεξίου ἐν τῇ πόλει τυχόντα προσκαλεσάμενος καὶ δοὺς τὸ ἴδιον φυλακτὸν, ἀπέστειλεν εἰς Σικελίαν δοῦναι λόγον ἀπαθείας τῷ Ἀλεξίῳ καὶ ἀγαγεῖν ἐν τῇ πόλει πρὸς αὐτόν. Ὁ δὲ ἀπελθὼν καὶ τῇ προσούσῃ αὐτῷ συνέσει πείσας Ἀλέξιον ἤγαγε πρὸς τὸν βασιλέα, ὃν ὁ βασιλεὺς ὡς ἀντάρτην τύψας ἔθετο ἐν τῷ δεσμωτηρίῳ δημεύσας αὐτοῦ πᾶσαν τὴν περιουσίαν. Ὁ δὲ ἀρχιεπίσκοπος ταῦτα θεασάμενος εἰσῆλθεν ἐν τῷ δεσμωτηρίῳ καὶ πᾶσαν αὐτοῦ τὴν περιουσίαν ἀνέθηκεν Ἀλεξίῳ εἰπών· «ὅτι δί ἐμοῦ πάντα πέπονθας τὰ δεινά». Καὶ τοῦ βασιλέως κατὰ τὸ ἔθος εἰς Βλαχέρνας ἀπελθόντος, προλαβὼν ἔστη ἔνδοθεν τοῦ θυσιαστηρίου ὁ ἀρχιεπίσκοπος ἱερατικὴν στολὴν ἠμφιεσμένος, καὶ τοῦ βασιλέως τῇ σωλέᾳ πλησιάσαντος ἅμα τῇ συγκλήτῳ, φωνῇ μεγάλῃ ἐφώνησεν ὁ ἀρχιεπίσκοπος· «Ἔντεινε καὶ κατευοδοῦ καὶ βασίλευε, ἕνεκε» τίνος, ὦ βασιλεῦ»; Αἰδεσθεὶς οὖν ὁ βασιλεὺς τῇ συγκλήτῳ ἔφη· «ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης». Ὁ δέ· «Καὶ ποία δικαιοσύνη ἐν σοὶ, ὅτι δοὺς ἐνυπόγραφον λόγον Ἀλεξίῳ δί ἐμοῦ οὐκ ἐφύλαξας τοῦτον»; Ὁ δὲ βασιλεὺς, ὡς ἐλεγχθεὶς, θυμῷ τε καὶ ὀργῇ ἀκατασχέτῳ κινηθεὶς, τοῦτον τοῦ θυσιαστηρίου βιαίως ἐξήγαγεν καὶ πληγὰς αὐτῷ οὐ μετρίας ἐπιθεὶς ἐξώρισεν, οὐ διὰ τὸ ἐλεγχθῆναι ὑπ'

---

5. τόπον Mon. — 15. αὐτοῦ om. ed. — 15. ὁ δὲ — περιούσιον om. ed. Mon. et Leo. ex homoioteleuto, sed est in Mosq. et Melit. — 22. Ps. XLV. 4 ἔντεινον — ἕν. ἀληθείας καὶ πραΰτητος, καὶ δικαιοσύνης. — 24. τὴν σύγκλητον Melit. — 28. θ. τε καὶ ὀ. ἀ. κ. om. ed.

αὐτοῦ μόνον, ἀλλὰ διὰ τὸ καὶ μαθεῖν αὐτὸν τὰς ἁγίας εἰκόνας τιμᾶν καὶ σέβεσθαι καὶ τὴν αὐτοῦ δυσσέβειαν κρυφαίως διαβάλλειν. Μετ' οὐ πολὺ δὲ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ παραγινομένου καὶ τοῦ πατριάρχου αὐτὸν ὀνειδίσαντος διὰ τὸν ἀρχιεπίσκοπον, ἤγαγεν αὖθις αὐτὸν μετὰ παρακλήσεως. Τοῦ δὲ ἀνάξιον ἑαυτὸν τῆς ἱερωσύνης κρίναντος δι' ἃ πέπονθεν, ὁ βασιλεὺς οἰκονόμον τῆς μεγάλης πεποίηκεν ἐκκλησίας καὶ Ἀλέξιον τοῦ δεσμωτηρίου ἐξέβαλεν, ἀποδοὺς αὐτῷ καὶ πᾶσαν τὴν περιουσίαν αὐτοῦ, ἔχων αὐτὸν ἐν τιμῇ.

(9) Ἦν δὲ καὶ Μανουὴλ ὀνομαστότατος στρατηλάτης 836
πάντων τῶν ἐν τῇ ἀνατολῇ τιμώμενος παρὰ τοῦ βασιλέως. Οὗτος Μύρωνι συμβαλὼν λόγους τινάς, λογοθέτῃ τε ὄντι τοῦ δρόμου καὶ πενθερῷ τοῦ Πετρωνᾶ, διεβλήθη τῷ βασιλεῖ ὑποβολῇ Μύρωνος, ὡς τῆς βασιλείας ὀρέγεται καὶ ἐμελετᾶτο δεινὰ κατ' αὐτοῦ. Λέων δὲ ὁ προτοβεστιάριος ὑπὲρ τοῦ Μανουὴλ προϊστάμενος καὶ φροντίζων διεβεβαιοῦτο τῷ βασιλεῖ ὡς ψευδῆ εἰσι τὰ κατ' αὐτοῦ λεγόμενα· ἃ μαθὼν Μανουὴλ καὶ τὴν ὀργὴν τοῦ βασιλέως καὶ τὰς διαβολὰς ἐκκλίνων, λάθρα τῆς πόλεως ἐξελθὼν μέχρι Πυλῶν, καὶ τοῖς δημοσίοις ὀχήμασιν ἐπιβάς, ἀπῆλθε φυγὰς μέχρι τῶν κλεισούρων Συρίας, τὰς τῶν ἵππων ἰγνύας ἐκκόπτων, ἐδήλωσέ τε τοῖς Ἀγαρηνοῖς ταῦτα, ὡς «βασιλέως ὀργὴν ἐκφεύγω καὶ εἴγε μὴ καταναγκάσητέ με τὴν ἑαυτοῦ πίστιν καταλιπεῖν, προσφεύγω ὑμῖν. Εἰ οὖν οὕτω καὶ ἐπὶ τούτοις προσδέχεσθέ με, λόγον ἀπαθείας μοι ἀποστείλατε». Οἱ δὲ τοῦτο μεγάλην χαρὰν δεξάμενοι, λόγον ἀπαθείας ἀποστείλαντες, προσεδέξαντο ὡς βασιλέα Ῥωμαίων.

(10) Τοῦτο μαθὼν ὁ βασιλεύς, ἐν πολλῇ θλίψει καὶ ἀθυμίᾳ γέγονε, καὶ βουλὴν ἐποιεῖτο μετὰ Ἰωάννου συγκέλλου περὶ τούτου. Ὁ δὲ εἶπεν· «Εἰ πρωθύμως βούλει τὸν Μα-

---

1. καὶ διὰ τὸ ed. διὰ τὸ καὶ τὰ Leo.— 4. παραγεν. Leo.— διὰ τὸν ἐπ. Leo, om. ed. sed αὐτὸν τὸν ἀρχ. ἠγ. αὖθις ed. ἤγαγον αὖθις ἀ. Leo.—7. ἐκκλ. π. ed. Leo.— 21. καταναγκάσατε Leo.—27. μ. χάριν Leo, μεγάλῃ χαρᾷ ed. sed Melit. ut Mosq. cf. §. 12.

νευηλ πρός σε ἐλθεῖν, ὦ βασιλεῦ, αὐτὸς ἐγὼ ἕτοιμος τοῦτο ποιεῖν, χρήματα λαβὼν καὶ πρὸς τὸν ἀμερουμνῆν σταλεὶς ὡς δῆθεν τοὺς ἐν εἱρκτῇ καὶ δεσμοῖς ἐπισκεψόμενος, ἔχων καὶ ἐνυπόγραφον λόγον παρὰ τῆς σῆς βασιλείας, ᾧ πείσω τὸν Μανουὴλ εἰς ὄψιν ἐλθών· δοκῶ δὲ τοῦτο πρᾶξαι τῷ ἐνυπογράφῳ (179ᵃ) λόγῳ τῆς βασιλείας σου καὶ τῇ ἐμῇ πειθοῖ καὶ τῇ εὐσεβείᾳ ἐκείνου καὶ τῷ εἰκὸς εἶναι τῆς πατρίδος ἐρᾶν». Ὁ δὲ βασιλεὺς πάμπολλα χρήματα καὶ δῶρα πρὸς τὸν ἀμερουμνῆν δοὺς αὐτῷ ἀπέστειλεν.

(11) Ὁ δὲ εἰσελθὼν μετὰ πολλῶν χρημάτων καὶ κόσμου παντοίου, ὥστε καὶ τοὺς Ἀγαρηνοὺς ἐπὶ τῷ πλούτῳ αὐτοῦ ἐκπλαγῆναι, ὃς τὰ δεσμωτήρια ῥογεύσας καὶ τὸν πρωτοσύμβουλον θεασάμενος, ἠδυνήθη καὶ λάθρα συνομιλῆσαι τῷ Μανουὴλ καὶ δοῦναι αὐτῷ τὸν ἐνυπόγραφον λόγον καὶ τὸ φυλακτὸν τοῦ βασιλέως. Καὶ ὁ μὲν ταῦτα πράξας ὑπέστρεψεν, ἀναγγείλας τῷ βασιλεῖ ὅσα διεπράξατο. Ὁ δὲ Μανουὴλ ἐξαιτησάμενος τὸν ἀμερουμνῆν τοῦ ἐξελθεῖν κατὰ ἔθνους τινὸς πολεμίου αὐτοῖς, ἔτυχε τῆς αἰτήσεως· καὶ λαβὼν τὸν τοῦ ἀμερουμνῆ υἱὸν καὶ λαὸν πλεῖστον ἀπῆλθε καὶ νίκην μεγάλην εἰργάσατο· καὶ τούτῳ ἐν μείζονι τιμῇ ὑπὲρ τὸ πρῶτον καθίσταται καὶ πάντα ἦν αὐτὸς παρὰ τῷ ἀμερουμνῆ δυνάμενος.

(12) Ὅθεν ἔχων φροντίδα πολλὴν τοῦ ἐξελθεῖν ἐν Ῥωμανίᾳ, μετὰ καιρόν τινα εἶπε πρὸς τοὺς δυνάστας τοῦ ἀμερουμνῆ, ὅτι «ἐάν μοι τὸν υἱὸν τοῦ ἀμερουμνῆ καὶ λαὸν παρέξετε, ἐξελθὼν ὑποτάξω τὴν Ῥωμανίαν. Οἱ δὲ μεγίστην τοῦτο χαρὰν ἡγησάμενοι καὶ τῷ προτέρῳ πλεονεκτήματι καὶ τοῦτο ἤδη ἐλπίσαντες, εὐθὺς ἐξώπλισαν αὐτὸν καὶ κατὰ Ῥωμανίας ἀπέστειλαν. Ὁ δὲ ἐλθὼν πλησίον τοῦ θέματος τῆς Ἀνατολῆς, προσκαλεσάμενος τοὺς ὑποχειρίους αὐτοῦ καὶ τὸν υἱὸν τοῦ ἀμερουμνῆ, ὡς δῆθεν διακινήσων καὶ κυ-

---

1. προσελθεῖν ed. — 8. ἐλθεῖν ed. — πράξειν Leo. — 13. τοῦτο ed. — 26. οἱ δὲ τῷ ἀμερουμνῆ εἰπόντες αὐτὸν ἀπ. ed. — 28. ἐξώπλισε — ἀπέστειλε Leo, sed Theodosius Melit. ut Mosq.

νηγήσων, πόρρωθεν τῶν πολεμίων γενόμενος, περιπλακεὶς τῷ υἱῷ τοῦ ἀμερουμνῆ καὶ καταφιλήσας αὐτὸν εἶπεν, ὅτι «ἐγὼ μὲν ἀπέρχομαι πρὸς τὸν βασιλέα μου καὶ τὰ ἴδια, μηδὲν τῶν ἐν τῷ βίῳ προτιμήσας πίστεως καὶ συμφυλετῶν· σὺ δὲ μετὰ τῶν σῶν, ὡς μηδὲν δεινὸν πείσεσθαι ὑποπτεύοντες παρ' ἡμῶν, ἄπιθι πρὸς τοὺς σούς». Καὶ οὗτος μὲν οὕτω μετὰ δακρύων καὶ αἰσχύνης ὑπέστρεψεν· ὁ δὲ Μανουὴλ ἐχώρει πρὸς τὸν βασιλέα, προαποστείλας αὐτῷ τὸν μηνύσοντα.

(13) Ὁ δὲ βασιλεὺς καὶ τὸν μηνυτὴν ὡς μεγάλων ἀγαθῶν ἄγγελον ἀποδεξάμενος χρήμασί τε καὶ ἀξιώμασιν ἐφιλοτιμήσατο καὶ τὸν Μανουὴλ, ὡς ἄξιον ἦν, ὑπεδέξατο μάγιστρον εὐθὺς καὶ δομέστικον τῶν σχολῶν ποιησάμενος καὶ τοὺς αὐτοῦ παῖδας ἐκ τοῦ ἁγίου βαπτίσματος ἀναδεξάμενος.

(14) Τούτοις ἐπαρθεὶς ὁ βασιλεὺς ἐξῆλθε μετὰ Μανουὴλ καὶ τῆς συγκλήτου καὶ τοῦ στρατοῦ παντὸς κατὰ τῶν Ἀγαρηνῶν· καὶ εὐπετῶς τήν τε Ζάπετρον καὶ τὸ Σαμόσατον, πλούτῳ κομῶν καὶ δυνάμει τότε διὰ τὸ τὸν ἀμερουμνῆ ἐκεῖθεν εἶναι, παραλαβὼν ἐπάνεισι τῇ νίκῃ καὶ τοῖς λαφύροις γαυρούμενος. Καὶ ἐλθὼν μέχρι τοῦ Βρύαντος προσέταξεν οἰκοδομῆσαι παλάτιον καὶ παραδείσους φυτεῦσαι καὶ ὕδατα ἀγαγεῖν, ἃ καὶ γέγονεν. Ἐκεῖθεν δὲ ἀφικόμενος εἰς τὴν πόλιν τὰ λάφυρα ἐθριάμβευσεν, ἱππικὸν ποιήσας καὶ τὸ πρῶτον βαῖον παίξας, ἅρματι λευκῷ μὲν ἐποχησάμενος, χρώματι δὲ τῷ Βενέτῳ ἀμφιασάμενος καὶ νικήσας ἐστεφανίσθη, τῶν δήμων ἐπιβοώντων· «Καλῶς ἦλθες, ἀσύγκριτε φακτοναρη».

(15) Τοῦ δὲ πατριάρχου Ἀντωνίου τελευτήσαντος, ἀντ' 837
αὐτοῦ χειροτονεῖται Ἰωάννης ὁ σύγκελλος, ἵν' εἴπω ὁ νέος Ἰαννὴς καὶ Ἰαμβρὴς, βεβοημένος ἐπί τε μαγείαις καὶ λεκανομαντείαις καὶ πάσῃ ἀσεβείᾳ· ὃς ὄργανον ἐπιτήδειον εὑρηθεὶς τῆς τοῦ βασιλέως ἀσεβείας τε καὶ ῥοπῆς αὐτῷ

---

4. τρ. πατρίδος καὶ σ. ed. — 5. πείσεσθ. cod. πείσεσθε ed.? — 25. ' ἦλ? cod. — 29. Ἰαμαρὴς Leo, Ζαμβρὴς ed. sed Ἰαμβρῆς Mosq. Melit. — μαντείαις Leo. — 30. ἀσ. ὡς ὀργ. cod.

πάντα τὰ πρὸς ἀπώλειαν εἰργάζετο καὶ ὃν ὤδινε μὲν, κατεῖχε δὲ βασιλίσκον τῆς ἀσεβείας ὁ βασιλεὺς, ἐξέρρηξε καὶ ἀπέτεκε, τὰς ἁγίας εἰκόνας ἀναχρίεσθαι προστάξας ἢ ἀπαλείφεσθαι.

(16) Οὗτος ὁ Ἰαννὴς πρὸ τοῦ ἄστεος οἴκημα ἐκ λίθων (179[b]) λαξευτῶν κατασκευάσας, ὃ Τροῦλος μέχρι νῦν ὀνομάζεται, διά τινων θυσιῶν ὡμίλει τοῖς δαίμοσι καὶ τῷ βασιλεῖ τὰ μέλλοντα διεσήμαινεν, ὃ καὶ ἀοίκητον ἔμεινε διὰ τὰς ἐν αὐτῷ γενομένας τότε τῶν δαιμόνων ἐπιφοιτήσεις.

(17) Διὰ ταῦτα σύμμαχον τοῦτον καὶ συνίστορα ἔχων Θεόφιλος τῆς αὐτοῦ αἱρέσεως, ὁ δεύτερος Νεκτανεβώ, τὸν ῥηθέντα Ἰωάννην, μᾶλλον δὲ Ἰαννὴν τὸν φατριάρχην ἢ μανδριάρχην, τὸν νέον ὄντως Ἀπολλώνιον ἢ Βαλαὰμ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις κακῶς ἀναφανέντα λεκανόμαντιν καὶ πάσης θεοστυγοῦς πραίξεως καὶ τερατείας δεινὸν ὑποφήτην· ὑφ' οὗ καὶ τὰ γράμματα παιδευθεὶς ** ὁ εὐρίπιστος καὶ δόλιος, ὑπηρέτης δόκιμος [ἐχθίστων πραγμάτων] καὶ τοῦ διαβόλου ἐπιτήδειον ὄργανον γέγονεν, οὓς ἂν ἐνδίκως ὁ θεῖος λόγος ἐπαράσσεται σχετλιαστικῶς φάσκων· «Οὐαὶ αὐτοῖς, ὅτι τῇ ὁδῷ τοῦ Καΐν ἐπορεύθησαν καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ μισθοῦ χάριν ἐξεχύθησαν καὶ τῇ ἀντιλογίᾳ τοῦ Κωρὲ ἀπώλοντο» «Οὗτοι εἰσὶ γογγυσταὶ καὶ μεμψίμοροι, κατὰ τὰς ἐπιθυμίας αὐτῶν πορευόμενοι ἐν ταῖς ἀπάταις αὐτῶν». Ἐφαρμόσειεν αὐτοῖς μάλα εἰκότως καὶ τὰ *** τοῦ ὁμοτρόπου Ἰουλιανοῦ παρὰ τῇ θεολόγῳ στηλιτευόμενα γλώσσῃ· σφόδρα γὰρ ἐμφερὴς ἐναπέφηνε καὶ εἰς μηδὲν ἀπεοικὼς τῆς ἐκείνου κακουργίας καὶ δυστροπίας· ἔφη γοῦν· «Πῶς μὴ δακρύσω τὸν ἄθλιον; [πῶς] μὴ πλέον μὲν [τῶν] δεδιωγμένων τοὺς προσδραμόντας, πλέον δὲ τῶν αὐτομοληθέντων εἰς τὴν

---

1. τὰ om. ed. — ' δὴ ed. — 11. δ. τοῦτο ed., om. C. Συμμύστην καὶ συμμαχοῦντά τε καὶ σ. ἐ. τῆς ἁ. C. 134, τῆς ἁ. ἐ. 310. — 12. προρηθ. C. — 13. μ. δὲ Ἰ. τὸν om. C. — πατριάρχην ed. φ. μᾶλλον δὲ ματριάρχην καὶ δαιμονάρχην C. 134, φ. μ. δὲ μαντιάρχην καὶ δ. 310. — 15. θεοστυγῆ C. 134. — ** καὶ ὑπονοθευθεὶς C. — 17. δείλεος C. 310, δείλαιος 134. — ἀχθ. πρ. C. 134, om. cod. et ed. — 19. Iudae ep. 11,16. — 21. χ. om. C. — 22. γ. μ. C. — 23. αὐτῷ ed. δ' ἂν αὐτῷ C. 134. — *** κατὰ C. 134. — 27. Orat. 3, in Iul. I. p. 69 C. — μὴ πλ. C. πῶς μὴ πλ. ed. — μὲν τῶν δ. C. 310.

κακίαν θρηνήσω τὸν συναρπάσαντα; μᾶλλον δὲ, τοῖς μὲν μηδὲν δεινὸν τὸ ὑπὲρ Χριστοῦ παθεῖν, ἀλλὰ καὶ πάντων μακαριστότατον οὐκ ἐκεῖθεν μόνον, ἀλλὰ καὶ διὰ τὴν ἐντεῦθεν εὐδοξίαν καὶ παῤῥησίαν, ἣν διὰ τῶν κινδύνων ἑαυτοῖς ἐχαρίσαντο· τοῖς δὲ προοίμιον τῶν ἀπειλουμένων ἅπερ ἤδη πεπόνθασιν· καὶ βέλτιον ἦν αὐτοῖς, εἰ ἐνταῦθα μακρότερον ἐκολάσθησαν ἢ τοῖς ἐκεῖ δικαιοκριτηρίοις ἐταμιεύθησαν». — Καὶ γὰρ «ὥσπερ τὸν χαμαιλέοντα λόγος, παντοῖον γίνεσθαι ῥᾳδίως καὶ πάσας μεταβάλλειν χροιὰς πλὴν μιᾶς τῆς λευκότητος — οὕτω κἀκεῖνος πάντα ἦν καὶ ἐγίνετο χριστιανοῖς πλὴν ἡμερότητος· καὶ ἦν λίαν ἀπάνθρωπον αὐτῷ τὸ φιλάνθρωπον, καὶ τὸ πιθανὸν βίαιον, καὶ ἀπολογία τῆς ἀγριότητος ἡ χρηστότης»· ὅθεν λεκτέον πρὸς αὐτόν· «Εὐηθέστατε καὶ — ἀπαιδευτότατε τὰ μεγάλα, σὺ κατὰ τοσούτου κλήρου καὶ τῆς οἰκουμένης ἀνέστης — σὺ κατὰ τῆς τοῦ Χριστοῦ (ἐκκλησίας καὶ) θυσίας τοῖς σοῖς μιάσμασι, σὺ κατὰ τοῦ τὸν κόσμον καθαίροντος αἵματος τοῖς (σοῖς) (μιαροῖς) αἵμασι — σὺ μετὰ Ἡρῴδην διώκτης καὶ μετὰ Ἰούδα προδότης, πλὴν ὅσον οὐκ ἀγχόνῃ τὴν μετάνοιαν ἔδειξας ὥσπερ κἀκεῖνος, καὶ χριστοκτόνος μετὰ Πιλᾶτον καὶ μετὰ Ἰουδαίους μισόθεος».—Ὁ τῶν ἁγίων ὑβριστής,» Ἱεροβοὰμ (σε) εἰπεῖν οἰκειότερον ἢ Ἀχαὰβ τὸν Ἰσραηλίτην, τοὺς παρανομωτάτους, [ἢ] Φαραὼ τὸν Αἰγύπτιον ἢ Ναβουχοδονόσορ τὸν Ἀσσύριον, ἢ πάντα ταῦτα συνελόντες ἕνα καὶ τὸν αὐτὸν ὀνομάσωμεν, ἐπεὶ καὶ τὰς πάντων κακίας φαίνεσαι εἰς σεαυτὸν συλλεξάμενος, Ἱεροβοὰμ τὴν ἀποστασίαν, Ἀχαὰβ τὴν μιαιφονίαν, Φαραὼ τὴν σκληρότητα, Ναβουχοδονόσορ τὴν ἱεροσυλίαν, πάντων ὁμοῦ τὴν ἀσέβειαν».

(18) «Ποῦ (εἰσιν) αἱ θυσίαι καὶ τελεταὶ καὶ (τὰ) μυστήρια; ποῦ σφάγια φανερά τε καὶ ἀφανῆ;—(180ª) ποῦ τεράστια, προγνώσεις

---

1. μηδὲν P. et cod. οὐδὲν ed. Gr.— 3. οὐ διὰ τὰ ἐκ. Gr.— 4. ἑαυτοὺς ἐχρήσαντο cod.— 4. προίμιον Gr.— ' ἀποκειμένων καὶ Gr. — 6. ἐντεῦθεν Gr.—δικαιοτηρίοις Gr. C. 310. — 7. Ἀλλ' ὡ. Gr. 74 B. — 8. μεταβάλλει χρ. C. 310, μὲν ἀναλαμβάνειν χροιὰς Gr. — 12. Greg. p. 76 A. — 13. τῆς ἐκκλησίας ἀντίστης C. 310, τῆς οἰκουμενικῆς καρποφορίας κτλ. Gr. — 14. τῆς χῦ θ. Gr.—ἐ. καὶ om. C.—σοῖς com. ed.— 15. καθήραντος Gr. C.— 16. μιαροῖς om. Gr.— 17. ἐκεῖνος Gr. C. 310. — 18. Πιλατ. cod. Πιλάτου P. sed Ἰουδαίους ut Gr. — 19. Or. 4, 110 D. — σε om. Gr. C. 310.— 22. ὀνομάσομεν Gr. — 23. εἰς ἑαυτὸν φ. (φίνεσαι C. 310) C. εἰς ἑ. σ. φαίνεται Gr.— 25. ἅμα C. 130. — 26. Gr. 123 A, B. om. εἰσὶ et τὰ. — τελευταὶ ed. — καὶ μυστήριοι C. 310. — 27. τερατεῖα προγνώσεως Gr.

καὶ σημεῖα ἐγγαστριμύθων; — ποῦ αἱ κατὰ χριστιανῶν μαντεῖαι καὶ ἀπειλαί; — οἴχεται πάντα, διέψευσται, διεῤῥύη, ὄναρ ἐφάνη τῶν ἀσεβῶν τὰ κομπάσματα». «Ἔπεσε Βήλ», συνετρίβη Δαγών· — οὐκέτι (οὐ) μὴ εἴπωσι τῷ μωρῷ ἄρχειν· «Καὶ νῦν ταῦτα μικρὰ τοῖς ἀθλίοις ἴσως. Ἔσται δὲ καιρὸς ἡνίκα ὄψομαι τοὺς ἐμοὺς ὑβριστὰς καὶ τὸν μέγαν τοῦτον καθηγητὴν ἀποκλαιομένους τὴν ἑαυτοῦ κακίαν καὶ πονηρίαν.

838 (19) Τούτων δὲ οὕτως πραττομένων παρά τε τοῦ βασιλέως καὶ τοῦ συμμύστου αὐτοῦ φατριάρχου, Ἄραβες μετὰ δυνάμεως πολλῆς κατὰ Ῥωμανίας ἐξῆεσαν· ὁ δὲ βασιλεὺς ἅμα τοῖς πρόσφυξι Πέρσαις καὶ τοῖς τάγμασι καὶ Μανουὴλ δομεστίκῳ κατ' αὐτῶν ἐχώρει. Καὶ συμβολῆς γενομένης, ἡττήθη ὁ βασιλεὺς καὶ μέσον εἰσῆλθε τῶν Περσῶν, ὑπ' αὐτῶν περισωθῆναι ὑπολαβών. Μανουὴλ δὲ, ὡς ἔγνω περισκοπῶν μέσον τῶν Περσῶν τὸν βασιλέα ὄντα, αὐτοὺς δὲ βουλομένους τοῖς Ἄραψι τοῦτον προδοῦναι καὶ δι' αὐτοῦ καταλλαγῆναι αὐτοῖς, διασχίσας μέσον αὐτῶν καὶ τοῦ χαλινοῦ τοῦ ἵππου τοῦ βασιλέως λαβόμενος, ἐξείλκυσεν ἄκοντα τοῦτον ἐξάγων, αἰσχύνην ἡγούμενος οὐ καθεκτὴν Ῥωμαίοις, εἰ τὸν βασιλέα Ῥωμαίων Ἄραβες αἰχμάλωτον λάβωσιν. Ὁ δὲ βασιλεὺς τῷ δέει τοῦ καθεστηκότος ἑκστὰς, προσρυῆναι πάλιν τοῖς Πέρσαις ἠβούλετο. Ὁ δὲ Μανουὴλ τὸ ζίφος ἀνέτεινε ὡς πατάξων αὐτόν· ὁ δὲ φοβηθεὶς καὶ ἄκων συνείπετο, μόλις διασωθείς· κἀκεῖθεν ὑπεστράφη ἐν τῷ Δορυλαίῳ μετ' αἰσχύνης καὶ ἥττης πολλῆς· Ὁ δὲ Μανουὴλ ἐν τῷ πολέμῳ τρωθεὶς καὶ νοσήσας ἐτελεύτησε, πολλὰς ἀνδραγαθίας κατὰ τῶν Ἀγαρηνῶν ἐνστησάμενος· τὸ δὲ σῶμα αὐτοῦ ἀποκομισθὲν ἐτέθη ἐν τῇ ὑπ' αὐτοῦ κτισθείσῃ μονῇ, τῇ τοῦ Μανουὴλ, σύνεγγυς [τῆς] κινστέρνης τοῦ Ἄσπαρος.

---

2. διεῤῥύηκεν Gr. C. 310.— 3. Gr. Orat. 4,125 D.— ' καὶ C. 310.—οὐ om. Id.— 3. Gr. 131 D. Νῦν τ. καὶ ἰ. μ. τ. ἀ. ἐ. κ. τοὺς ὀθλίους cod.—5. τὸν ἑαυτῶν ἀπ. κ. ἡνίκα ἂν πᾶσα κρίνηται καὶ βασανίζηται πονηρία Gr. — 6. τούτων Gr. ed.— ἑαυτοῦ cod. — καὶ π.P. cod., ὅτε πᾶσα κρίνεται καὶ βασανίζεται κακία καὶ πονηρία ed. ὅτε — κακία C. — 7. Τούτων — 810,16 κατέθηκαν om. C. et Vat. sed habent P. Leo, Theodosius Melitenus, ut videtur, Symconis logothetae e breviario petita, quum verbotenus pleraque huic respondeant, interdum vero hoc ampliora sint. — 9. ἐξῆεσαν ed. et Melit. ἐξίεσαν cod., ἐδίωξαν Leo. — 14. αὐτοῖς δὲ β. cod. — 17. ἐξήλασεν ed. ἐξῆλθε Leo. — 23. ὑποστρέφει ed. — 27. μ. τοῦ ed. — 28. τῆς κ. ed. τῇ κ. τοῦ Leo.

(20) Καὶ εὐθὺς διαβολαὶ κατὰ Περσῶν πρὸς τὸν βασιλέα καὶ ἀπειλαὶ κατὰ Θεοφάβου ὡς ἀνταρτου καὶ προδότου καὶ δυσμενοῦς· ἃ μαθὼν (ὁ) Θέοφοβος τοὺς Πέρσας ἀναλαβὼν κατῆλθεν ἕως Σινώπης καὶ ταύτην παραλαβὼν κατεῖχε τυραννικῶς· ὅπερ γνοὺς ὁ βασιλεὺς καὶ ἐν μεγάλῃ λύπῃ γενόμενος — ἐδεδίει γὰρ μήπως προσρυῶσι τοῖς Ἄραψι — καὶ μέχρι Παφλαγονίας αὐτὸς ἀπῆει, καὶ λόγον αὐτοῖς ὡς οὐδὲν δεινὸν πείσονται δεδωκὼς καὶ τὸν Θεόφοβον ἀναλαβόμενος, ὑπέστρεψε μετ' αὐτοῦ ἐν τῇ πόλει, τῶν ἄλλων Περσῶν παραγενομένων οὗπερ κατεσκηνώθησαν ἐξ ἀρχῆς· ἠγαπᾶτο δὲ Θεόφοβος παρὰ τῶν πολιτῶν οὐχ ἧττον ἢ τῶν Περσῶν ὡς ὀρθόδοξος.

(21) Τότε δὴ (γίνεται τῷ βασιλεῖ παῖς ἐκ Θεοδώρας, ὃν ἐπωνόμασε Μιχαήλ.

CCLXV. ΠΕΡΙ ΤΟΥ ΙΠΠΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ.

Ἀπιόντι (δὲ) τῷ βασιλεῖ πρὸς Βλαχέρνας, καθὼς εἴθιστο, ὑπήντησεν αὐτῷ τις προσελθὼν καὶ λέγων, ὅτι «ὁ ἵππος, ᾧ ἐποχεῖται ἡ βασιλεία σου, ἐμός ἐστι». Τοῦ δὲ ἵππου σκιρτῶντος διὰ τὸ αἰφνιδίως προσιέναι καὶ τοῦ βασιλέως τοῦτον κατασχόντος, τὸν κόμητα τοῦ στάβλου ἐπηρώτησεν ὁ βασιλεύς· «Τίνος ἐστὶν ὁ ἵππος»; Ὁ δὲ ἔφη· «ὁ κόμης τοῦ Ὀψικίου ἀπέστειλεν αὐτὸν τῇ βασιλείᾳ σου». Τοῦ δὲ ἐν τῇ πόλει εὑρεθέντος, τῇ ἐπαύριον ἀγαγὼν αὐτὸν ὁ βασιλεὺς καὶ τὸν προσελθόντα αὐτῷ ἔφη· «Εἰπὲ τὸ ἀληθές· τίνος ἐστὶν ὁ ἵππος»; Ὁ δὲ ἀποκριθεὶς εἶπεν ὅτι, «ἐμὸς ἦν· καὶ ἀποστείλας ὁ στρατηγός, ἀνελάβετο αὐτὸν ἀπ' ἐμοῦ βιαίως, μήτε τίμημά μοι δοὺς μήτε ἀξίωμα». Εἶπε δὲ πρὸς τὸν κόμητα ὁ βασιλεύς. «Εἰπὲ εἰ οὕτως ἔχει καὶ διὰ τί μὴ

---

3. ὁ om. ed. — 6. παραββυῶσι ed. — 12. γινομένῳ τῷ β. π. Βλαχέρναις om. γίνεται — Μιχαήλ ed. ἀπερχόμενος δὲ ὁ β. ἐν Βλ. Leo. — 14. Rubrica Mon. deest in Par. 1706 et in margine codicis abscisso. — 25. ἀν. ἀ. β. ἀπ' ἐμοῦ ed. ἀνείλατο ἀ. ἐξ ἐ. β. Leo. ἀνελατ. ἀ. ἀπ' ἐ. β. cod. — ' ποιήσας Leo. — 712,1 ἀπέκοψας P. cod. Sym. cf. infra ἀποκοπὴν τελείαν, persoluto scl. pretio.

ἀποκόψας περὶ τοῦ ἵππου ἀπέστειλάς μοι αὐτόν»; Ὁ δὲ ἔφη· «ὅτι ἐπεζήτει γενέσθαι σχολάριος· ἐγὼ δὲ μὴ εἰδὼς, ὅτι ἀνδρεῖος ἐστὶ, παρεῖχον αὐτῷ νομίσματα ρ', ὁ δὲ οὐκ ἔλαβεν αὐτά». Ὁ δὲ βασιλεὺς ἔφη· «Καὶ διὰ τί μὴ ἀποκοπὴν τελείαν μετ' αὐτοῦ ποιησάμενος ἀπέστειλάς μοι τὸν ἵππον»; Καὶ ἐρευνήσαντος τοῦ βασιλέως καὶ πληροφορηθέντος ὡς βιαίως αὐτὸν ἀφείλατο, τὸν μὲν στρατηλάτην τοῖς προσήκουσι μαγγλαβίοις ἐσωφρόνησε, τῷ δὲ προσελθόντι αὐτῷ ἀπέστρεψε τὸν ἵππον. Ὁ δὲ τοῦτον οὐκ ἠβουλήθη λαβεῖν, ἔλαβε δὲ ὑπὲρ αὐτοῦ λίτρας β', ὁρισθέντος καὶ τοῦ στρατηγοῦ δοκιμάσαι αὐτὸν καὶ εἰ ἀνδρεῖός ἐστι, ποιῆσαι αὐτὸν σχολάριον· τοῦ δὲ εἰς πόλεμον ἀπελθόντος, ἐν τῇ συμβολῇ ὡς δειλὸς ἐν τοῖς φεύγουσιν εὑρεθεὶς κατεσφάγη ὑπὸ τῶν πολεμίων.

CCLXVI. ΠΕΡΙ ΛΕΟΝΤΟΣ ΤΟΥ ΣΟΦΟΥ.

(22) Γεγονότος δὲ τοῦ βασιλέως εἰς πρόκενσον ἐν τῷ Βρύαντι, ἦλθεν αὐτῷ μήνυμα παρὰ τοῦ στρατηγοῦ τῶν Ἀνατολικῶν, ὡς ὅτι ὁ πρωτοσύμβουλος ἐξελθὼν μετὰ πλήθους ἐκπορθήσων ἀπέρχεται τὸ Ἀμόριον. Ὁ δὲ τὰ νενομισμένα τῷ τε στρατῷ καὶ τοῖς ἄρχουσι ποιήσας συντόμως μέχρι Καππαδοκίας ἐξῆλθεν. Ὁ δὲ ἀμερουμνῆς ἀποχωρίσας ν' χιλιάδας λαοῦ καὶ τὸν Σουδεῆ, ὀνομαστότατον ἐν τοῖς Ἀγαρηνοῖς ὄντα ἐπί τε ἀνδρείᾳ καὶ φρονήσει, δοὺς αὐτοῖς κεφαλὴν, ἀπέστειλε κατὰ τοῦ βασιλέως. Συμβαλόντων δὲ πόλεμον, ἡττηθεὶς ὁ βασιλεὺς ἔφυγε καὶ μετ' αἰσχύνης ὑπέστρεψε, μόλις διασωθείς. Ὁ δὲ ἀμερουμνῆς ἀπελθὼν μετὰ δυνάμεως πολλῆς, περιεχαράκωσε τὸ Ἀμόριον καὶ πολέμους πολλοὺς ποιήσας, οὐκ ἴσχυσεν αὐτὸ ἐκπορθῆσαι, γενναίως καὶ σταθερῶς ἀγωνιζομένων τῶν ἔνδοθεν· μαθητὴς δέ τις Λέοντος τοῦ φιλοσόφου ἦν ἐν τῷ κάσ-

20. ποιῆ· cod. ποιῆσαι ed. — 21. ἐξήλασεν Sym., ἐξήλατο Leo. — 22. ἡ pro ν' Leo. — Σουδαῆ ed. Σουδὲμ Leo, Γουνδεῆ Sym. In continuatore de hac expeditione nihil, quae varians tantum videtur esse ejus quae §. 19 relata est. sed cf. Genesium 63,19—66,12. — 27. περιχαρακώσας Leo.

τρῳ καὶ, βουληθέντος ὑποχωρῆσαι τοῦ ἀμερουμνῆ, διά τινος ἐμήνυσεν αὐτῷ ὁ * ἀστρονόμος, ὅτι «εἰ προσκαρτερήσεις δύο ἡμέρας τῷ κάστρῳ, ἐκπορθήσεις ἡμᾶς», ὃ καὶ γέγονε· προεδόθη γὰρ ὑπό τε τοῦ λεγομένου Βοϊδίτζη καὶ τοῦ Μανικοφάγου· κατεσχέθησαν δὲ τῶν ὀνομαστῶν ἄνδρες οὐκ ἀγεννεῖς ἀπελθόντες ἐν Συρίᾳ αἰχμάλωτοι, Θεόφιλος ὁ πατρίκιος, καὶ στρατηγοὶ ὅ τε Μελισσηνὸς καὶ Ἀέτιος καὶ Θεόδωρος, πρωτοσπαθάριος εὐνοῦχος ὁ Κρατερὸς, καὶ Κάλλιστος τουρμάρχης καὶ Κωνσταντῖνος δρουγγάριος καὶ Βασσόης ὁ δρομεὺς καὶ ἄλλοι πολλοὶ καὶ ἄρχοντες τῶν ταγμάτων, οἳ παρὰ τοῦ τρωτοσυμβούλου ἀναγκασθέντες ἀρνήσασθαι τὴν αὐτῶν πίστιν καὶ τοῦτο μὴ πεισθέντες, ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν, ἀντὶ τῆς παρούσης ζωῆς τὴν αἰώνιον ἀνταλλαξάμενοι.

(23) Ὁ δὲ τὴν αἰσχρὰν σωτηρίαν τῆς καλλίστης ἀνταλλαξάμενος, ὁ τοῦ φιλοσόφου Λέοντος μαθητὴς, προσρυεὶς τῷ ἀμερουμνῆ ἐρωτήθη παρ' αὐτοῦ περὶ τῆς ἐπιστήμης αὐτοῦ. Ὁ δὲ εἶπε μαθητὴς εἶναι τοῦ φιλοσόφου Λέοντος. Οὗτός τε ὅστις ὁ Λέων ἐστὶν καὶ οἷος μαθὼν, αὐτὸν ἐπεθύμει ἐκεῖνον ἰδεῖν, καὶ δή τινι τῶν αἰχμαλώτων δοὺς γράμματα, πρὸς Λέοντα τὸν φιλόσοφον ἀπέστειλεν ἐν Κωνσταντινουπόλει, ὑποσχόμενος αὐτῷ, εἰ ἐξέλθοι ὁ αὐτὸς Λέων, ἀπ' ἐκείνου αὐτὸν εἶναι ἐν τιμῇ. Ὁ Λέων δὲ τὰ γράμματα ἀπολαβὼν καὶ φοβηθεὶς μήπως διαγνωσθῇ, ἀνήγαγε ταῦτα Θεοφίλῳ τῷ βασιλεῖ. Ὁ δὲ γνοὺς τὰ τῆς ἐπιστήμης αὐτοῦ καὶ ὅτι τοιοῦτον σοφὸν ἄνδρα ἐν τῇ πολιτείᾳ αὐτοῦ ἔχει, προσλαβόμενος αὐτὸν εἶχεν ἐν τῷ παλατίῳ τῆς Μαγναύρας, παραδοὺς αὐτῷ διδάσκειν καὶ μαθητὰς, παρέχων αὐτῷ τὰ πρὸς ὑπηρεσίαν ἅπαντα, ὃς καὶ μητροπολίτης ἐν Θεσσαλονίκῃ γέγονεν.

(24) Ὁ δ' αὐτὸς κτίζει τὸ (181ᵃ) Τρίκογχον ἐν τῷ παλατίῳ καὶ τὸ λεγόμενον Σίγμα καὶ τὰς ἀναβάθρας, ἔνθα οἱ

1. β. οὐ προσχ. ed.—* αὐτὸς Leo.—10. δρ.κ αἱ τινες Leo.—11. τούτου μὴ πεισθέντος (πείσαντος)? Leo.—22. ἐξέλθ. cod. ἐξέλθῃ ed.—26. τῆς Μαναύρας cod. Leo, τῷ Μαγ. ed.

δῆμοι ἵστανται, στήσας καὶ φιάλην, ἐν ᾗ γίνεται τὸ Σαξιμοδέξιμον λεγόμενον, τῶν ἵππων ἀμφοτέρων τῶν μερῶν διερχομένων, μετὰ χρυσῶν σαγισμάτων· ὑπὸ δὲ τὸ Τρίκογχον κάτωθεν διὰ μηχανῆς ἐποίησε τὸ λεγόμενον Μυστήριον, ἐν ᾧ τῇ μιᾷ γωνίᾳ ὃ ἐὰν εἴπῃ τις, ἐξακούεται ἐν τῇ ἑτέρᾳ.

CCLXVI. ΠΕΡΙ ΘΕΟΔΩΡΟΥ ΚΑΙ ΘΕΟΦΑΝΟΥΣ ΤΩΝ ΑΥΤΑΔΕΛΦΩΝ.

831 (25) Μαθὼν δὲ ὁ αὐτὸς Θεόφιλος, ὅτι Θεοφάνης ὁ ποιητὴς καὶ Θεόδωρος ὁ αὐτάδελφος αὐτοῦ, καθ' ἑαυτοὺς ζῶντες, τὴν ἀσέβειαν αὐτοῦ κωμῳδοῦσι καὶ διελέγχουσιν, ἀποστείλας μετ' ὀργῆς ἤγαγεν αὐτοὺς πρὸς ἑαυτὸν εἰπὼν τάδε· «Πόθεν ἐστε»; Οἱ δὲ εἶπον· «Ἐκ Παλαιστίνης». Ὁ δὲ ἀλιτήριος· «Καὶ διὰ τί τὴν γῆν ὑμῶν ἀφέντες καὶ εἰς τὴν ἡμετέραν ἐλθόντες οὐ πειθαρχεῖτε τῇ βασιλείᾳ ἡμῶν»; Τῶν δὲ μηδὲν ἀποκριναμένων, ἐπέτρεψε παίεσθαι τὰς ὄψεις αὐτῶν σφοδρῶς· εἶτα μετὰ τοῦτο βουνευρήσας αὐτοὺς μέχρι θανάτου, μετὰ θυμοῦ καὶ τραχείας φωνῆς πρὸς τὸν ὕπαρχον ἔφη· «Ἆρον αὐτοὺς εἰς τὸ πραιτώριον καὶ γράψον τὰ πρόσωπα αὐτῶν ἐγκολάψας τούσδε τοὺς στίχους·

[Πάντων ποθούντων προστρέχειν πρὸς τὴν πόλιν,
Ὅπου πάναγνοι τοῦ θεοῦ λόγου πόδες
Ἔστησαν εἰς σύστασιν τῆς οἰκουμένης,
Ὤφθησαν οὗτοι τῷ σεβασμίῳ τόπῳ
Σκεύη πονηρὰ δεισιδαίμονος πλάνης.
Ἐκεῖσε πολλὰ λοιπὸν ἐξ ἀτοπίας
Πράξαντες αἰσχρὰ δεινὰ δυσσεβοφρόνως,

---

5. εἶποι ed. — 7. Π. Θεοφ. καὶ Θεοδ. τῶν ἀ. cod. et Mon. om. Par. 1706. — 8. αὐτὸς ὁ ed. αὐτὸς Leo, quae indicia sunt narrationis insertae. — Θ. τε καὶ Θ. ed., Θ. π. καὶ Θ. Leo. — θ αὐτοῦ τοῦ Leo. — 21. Πάντων — πόλιν, Theophili versus om. codex Mosq. versio Serbica, Leo, Genesius; videntur inserta vel e Symeone vel e Continuatore.

Ἐκεῖθεν ἠλάθησαν ὡς ἀποστάται.
Πρὸς τὴν πόλιν δὲ τοῦ κράτους πεφευγότες
Οὐκ ἐξαφῆκαν τὰς ἀθεμίτους μωρίας.
Ὅθεν γραφέντες ὡς κακουργοὶ τὴν θέαν
Κατακρίνονται καὶ διώκονται πάλιν],

προσθεὶς ὅτι «κἂν μὴ ὦσι καλοί, μή σοι μελέτω». Τοῦτο δὲ εἶπεν εἰδὼς αὐτοὺς ὡς σοφωτάτους καὶ ἄριστα ἠσκημένους τῶν ποιητικῶν σχημάτων τὴν ἀκρίβειαν, ἐπειπόντος τινός· «Οὐδὲ ἄξιοί εἰσιν, ἵνα καλοὶ ὦσιν οἱ ἴαμβοι». Οἱ δὲ εἶπον· «Γράφε, γράφε, βασιλεῦ, τὸ δοκοῦν σοι, ὡς μέλλον τοῦτο ἀναγνωσθῆναι ἐνώπιον τοῦ δικαίου καὶ φοβεροῦ κριτοῦ». Ὁ δὲ ὕπαρχος τούτους ἀγαγὼν εἰς τὸ πραιτώριον, μετὰ δύο ἡμέρας ἁπλώσας ἐν σκάμνοις καὶ δήσας αὐτῶν χεῖρας καὶ πόδας κατακεντήσας τε καὶ ἐγκολάψας τοὺς στίχους εἰς τὰς ὄψεις αὐτῶν ἐξώρισεν.

(26) Καὶ ἐν μὲν τῇ ἐξορίᾳ τελευτᾷ ὁ ἐν ἁγίοις Θεόδωρος· ὁ δὲ ἀοίδιμος Θεοφάνης ὁ ποιητὴς διήρκησε μέχρι Μιχαὴλ καὶ Θεοδώρας, ἀγωνισάμενος πλεῖστα ἐν τῇ γενομένῃ ὀρθοδοξίᾳ, ὃς καὶ μητροπολίτης εἰς Νίκαιαν γέγονε, τῶν πραγμάτων ἀποκαταστάντων ἤδη πρὸς τὸ εὐσεβέστερον*.

(27) Ἐπὶ αὐτοῦ ἔπεσεν ἡ χρυσῆ τοῦφα Ἰουστινιανοῦ 340
τοῦ λεγομένου Αὐγουστέως· ἀμηχανούντων δὲ πάντων καὶ πῶς ἀνέλθοιεν διαλογιζομένων, εὑρέθη τις σκαλωτὴς τεχνίτης καὶ ἀνελθὼν ἐν τοῖς κεράμοις τῆς μεγάλης ἐκκλησίας, βέλος ἀφῆκε μετὰ σχοινίου εἰς τὸν ἱππότην Ἰουστινιανὸν τὸν ἐκ χαλκοῦ συνεστάμενον· καὶ τοῦ βέλους παγέντος ἐκεῖσε, αὐτὸς διὰ τοῦ σχοινίου διαδραμὼν, θάμβος μὲν τοῖς ὁρῶσι παρείχετο καὶ τὴν τοῦφαν προσήρμοσε καὶ τὴν τοῦ

---

8. εἰπόντος ed. Leo. — 10. μέλλων cod. et Leo, qui ἀναγνῶναι habet. — 20. ἀπ. om. ed. — * Ἐπὶ τῆς βασιλείας Θεοφίλου ἦν καὶ Ἰωσὴφ ὁ ὑμνογράφος, ὃς ἐξωρίσθη ὑπὸ Θεοδώρας τῆς βασιλίσσης· παρέτεινε δὲ ἡ ζωὴ αὐτοῦ ἕως τῆς βασιλείας Λέοντος τοῦ σοφοῦ· haec quae in ed. sequitur notitia de Iosepho hymnographo qui usque ad Leonem Sapientem vixerit, non Georgii, sed continuatoris est glossema ad Theophanis hymnographi historiam, in Leone haud inveniendum. — 24. κεραμίοις ed. — 25. Ἰουστινιανοῦ ed. Leo.

βασιλέως ἐπεσπάσατο εὔνοιαν καὶ τῇ τέχνῃ καὶ τῇ φύσει μέγα προσέσχηκέν ὄνομα, φιλοτιμηθεὶς παρὰ τοῦ βασιλέως νομίσματα ρ'.

(28) Στέφει δὲ Θεόφιλος Μιχαὴλ, τὸν υἱὸν αὐτοῦ, ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ· φιλοτιμησάμενος ἦν πάντας ἐν τοῖς στεψίμοις. Κατεσκεύασε δὲ καὶ ξενῶνα τὸν νῦν μὲν τὰ Θεοφίλου λεγόμενον, οἶκον μὲν γεγονότα Ἰσιδώρου πατρικίου ἀνελθόντος ἀπὸ Ῥώμης μετὰ Ὀλυβρίου ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου, μετὰ δὲ χρόνον ἐκδοθέντα κουρατώρια ὥστε κατοικεῖν ἐκεῖσε γυναῖκας τῶν εὐγενῶν μὴ εἰδυίας σωφρονεῖν. Ἐπὶ δὲ Λέοντος Ἰσαύρου ἐκπορνείου ξενοδοχεῖον ἐχρημάτισεν ἐπὶ αὐτοῦ. Ὕστερον δὲ γέγονεν οἶκος Κωνσταντίνου τοῦ τῆς Εἰρήνης μετὰ τὴν ὑπὸ τῆς μητρὸς γεγονυῖαν τύφλωσιν εἰς αὐτόν· τελευτήσαντος δὲ αὐτοῦ, ἡ γυνὴ αὐτοῦ τὸ μοναδικὸν σχῆμα περιβαλλομένη μοναστήριον κατεσκεύασε καὶ ἐκάλεσε τὰ Μετανοίας. Τοῦ δὲ αὐτοῦ οἴκου μεγίστου τε ὄντος καὶ θαυμαστοῦ, ξύλου ἐν τῷ τρικλινίῳ ἀποκλασθέντος, ἠπείλησε πτῶσιν· αἱ δὲ μονάζουσαι, ἀπερχομένου τοῦ βασιλέως ἐν Βλα-
(181[b])χέρναις ἐδεήθησαν αὐτοῦ περὶ τούτου. Ὁ δὲ ἐκνεύσας καὶ θεασάμενος τὸν οἶκον καὶ ἀρεσθεὶς εἰς αὐτὸν μετοικίζει τὰς αὐτὰς μοναζούσας ἐν ἑτέρᾳ μονῇ, αὐτὸν δὲ τὸν οἶκον κόσμῳ παντοίῳ καλλοπίσας, ξενῶνα πεποίηκεν, ἐπιδοὺς αὐτῷ χρήματα πάμπολλα καὶ ἀργύριον καὶ προαστεῖα, ἐπονομάσας αὐτὸν τὰ Θεοφίλου.

842 (29) Πρὸ δὲ τῆς αὐτοῦ τελευτῆς ὁ θεομισὴς οὗτος βασιλεὺς βουλὴν μυστικὴν ποιησάμενος μετὰ τῶν ὁμοφρόνων αὐτοῦ περὶ Θεοφόβου τοῦ Πέρσου, ὡς ὅτι «πολλὴν ἀγάπην καὶ πίστιν ἔχουσιν εἰς αὐτὸν οἵ τε ὑπ' αὐτὸν Πέρσαι καὶ τῶν ἐν τέλει σὺκ ὀλίγοι, καὶ μήπως, ἐμοῦ τελευτήσαντος, μελετήσωσι τυραννίδα κατά τε τοῦ ἐμοῦ παιδὸς νηπίου ὄντος καὶ τῆς γυναικός*, ἀνήγαγε Θεόφοβον εἰς τὸ παλάτιον καὶ εἶχε μετ' αὐτοῦ. Βαρηθεὶς δὲ ἐκ τῆς νόσου, καθεῖρξε Θεόφοβον ἐν ταῖς καμάραις τοῦ Βουκολέοντος. Τῶν δὲ Περσῶν

---

5. φ. ὧν π. ed., φ. π.? — 9. ἐκδοθεντ. κουρατρ. cod. — 11. храмъ! Serb. — 13. ἐκτυφ. ed. — 16. ἀποκλεισθ. cod. — 18. αὐτοῦ om. ed. — 24. β. μεγίστην π. Leo. — * ἀποστείλας Leo. — 30. Βαρυνθείσης δὲ τῆς Leo.

ἐπιζητούντων αὐτὸν τί ἄρα γέγονεν, ἀποστείλας τῇ νυκτὶ ὁ βασιλεὺς Πετρωνᾶν, τὸν τῆς Αὐγούστης ἀδελφὸν, σὺν τῷ λογοθέτῃ, ἀπέτεμε τὴν κεφαλὴν τοῦ Θεοφόβου. Ἔπεισαν δὲ οὗτοι τοὺς Πέρσας ὡς ὅτι μετὰ τοῦ βασιλέως ἐστὶν ἐν τῷ παλατίῳ. Τοῦ δὲ βασιλέως δυσεντερίας νόσῳ τὴν ψυχὴν κακῶς ἀποῤῥήξαντος, ἀπεκομίσθη τὸ δύστηνον αὐτοῦ σῶμα εἰς τοὺς ἁγίους ἀποστόλους· τὸ δὲ σῶμα τοῦ Θεοφόβου διὰ τοῦ Βουκολέοντος ἐξαγαγόντες λαθραίως διέσωσαν πλησίον τὰ Ναρσοῦ ἐν τῇ νῦν λεγομένῃ μονῇ τῆς Θεοφοβίας καὶ τοῦτο ἐκεῖσε κατέστησαν.

CCLXVIII. ΒΑΣΙΛΕΙΑ ΜΙΧΑΗΛ ΥΙΟΥ ΘΕΟΦΙΛΟΥ.

Μετὰ τοῦτον ἐβασίλευσε Μιχαὴλ σὺν τῇ μητρὶ αὐτοῦ 842
Θεοδώρᾳ ἔτη ιε', μόνος δὲ ἔτη ι' καὶ σὺν Βασιλείῳ ἔτος α' [μῆνας δ'] ὅστις τὴν πατρῴαν βασιλείαν διαδεξάμενος, τὴν θεοστυγῆ παρεισφρήσασαν τῇ ἐκκλησίᾳ καὶ δεινῶς ἐπικωμάσασαν νέαν θρησκείαν εὖ μάλα γνησίως ἀποσεισάμενος, τὴν ἐκπαλαι θεοβράβευτον, ἱεράν τε καὶ ὀρθοτάτην πίστιν ἀνεκήρυξε. Ἡ δὲ Θεοδώρα οὕτως ἦν πιστὴ καὶ ὀρθόδοξος, ὡς καὶ τοῦ ἀνδρὸς αὐτῆς ἔτι περιόντος λάθρα τὰς ἁγίας εἰκόνας τιμᾶν καὶ προσκυνεῖν· ἥτις γνώμῃ μὲν ἑαυτῆς, ὑποθήκῃ δὲ

---

3. δυσεντερίᾳ Leo, jota subscr pro ς. — 9. λ. νῦν Leo. — μονῇ om. ed. — 11. Μιχαὴλ καὶ Θεοδώρα Vat. 153 f. 198a. — 12. Μετὰ δὲ Θεόφιλον ἐβ. M. C, M. δὲ Θ. M. Vat. Τῷ ,στλθ' ἔτει τοῦ κόσμου, ἀπὸ δὲ τῆς θείας σαρκώσεως ,ωλθ' ed. — ὁ υἱὸς Θεοφίλου ed. ὃς αὐτοῦ C. 134, ὑ. ἀ. ἔτη κε' 310. ὁ ὃς ἀ. διεθύνων καταλιμπάνεται Vat — τῇ ἀ. μ. C, μ. Vat. — 13. κατέσχεν ἔτη ιθ' καὶ μ. αὐτοκρατόρησεν ἐ. ι' (ἔτη ιβ' 134) καὶ μ. γ' C, τὰ τῆς βασιλείας σκῆπτρα καὶ ἐβ. σὺν τῇ μ. ἀ. ἔτη δ[ι]' καὶ μ. ἔτη ι' καὶ μ. δ' Vat. — καὶ σὺν — δ' om. C., μ. δ' om. cod. et ed. — 14. ὅς γε τὴν μὲν π. β. σὺν τῇ μ. Θ. δ. C. 310, ὅς γε τὴν π. β. δ. 134, οὗ τὰ τῆς ἐπιτροπῆς ὅτε πατρίκιος Θεόκτιστος καὶ Μανουὴλ ὁ πρῶτος μαγίστωρ ἠξίωνται· καὶ οὐκ ἐπὶ πολὺ, διαφθαρείσης γὰρ αὐτῶν τῆς ὁμονοίας, κάτεισι μὲν M. ἐκ τοῦ παλατίου ἐν τοῖς κατὰ τὴν κινστέρναν χώροις τοῦ Ἄσπαρος τὴν οἴκησιν ἔχων, ἀποκαταστήσας τὸν ἑαυτοῦ οἶκον, μοναστὰς καταγώγηται, πλὴν ὡς συγκλητὸς προήρχετο. Ἡ δὲ Vat. — ** δὲ C. 134. — *** Θεοφιλῆ καὶ C. — 18. Ἡ — νηστειῶν om. C. — **** ταύτην Leo. — 20. τ. τε καὶ σέβεσθαι Leo., τ. τε καὶ σεβάζεσθαι Vat. — ἥτις τὸ μὲν ἀφ' ἑαυτοῦ (ἑαυτῆς) τό τε ὑπ. Θ. ἐπὶ τοῦ κ. καὶ λ. τῆς τε ἐ. καὶ τῆς π. τὸν π. Ἰω. ἐ. Vat.

καὶ παραινέσει Θεοκτίστου κανικλείου καὶ λογοθέτου ἐξελαύνει τε τῆς ἐκκλησίας καὶ τῆς πόλεως τὸν πατριάρχην Ἰωάννην σὺν τοῖς περὶ αὐτὸν σῦσιν περιορίσασα τοῦτον ἐν τῷ Στενῷ εἰς τὸ Κλείδιον οὕτω καλούμενον*· λέγεται δὲ καὶ σύντεκνος αὐτῆς εἶναι. Εἰσάγει δὲ τὸν ἐν ἁγίοις Μεθόδιον, μοναχὸν ὄντα, καὶ πατριάρχην ἀποκαθιστᾷ· καὶ πάντας τοὺς ὑπὸ Θεοφίλου ἐξορίστους μοναχοὺς καὶ ἐπισκόπους ἐνώσασα τὴν ὀρθόδοξον ἐβεβαίωσε πίστιν καὶ τὴν ἐκκλησίαν εἰρήνευσεν τῇ α' κυριακῇ τῶν ἁγίων νηστειῶν. — Εἰ γὰρ καὶ νήπιος ἐτύγχανεν ὁ βασιλεύς, ἀλλ ὁ «ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτισάμενος αἶνον», αὐτὸς καὶ τοῦτον παρεσκεύασε τὴν ἀλήθειαν τοῦ θείου δόγματος ἀνυμνῆσαι καὶ φανερῶσαι πρὸς δόξαν τοῦ δὶ ἄκραν εὐσπλαγχνίαν** σαρκωθέντος θείου λόγου καὶ τοῖς ἀνθρώποις ἐπὶ γῆς ὀφθέντος καὶ συναναστραφέντος κατὰ τὴν ἱερὰν χρησμολογίαν.

(2) Σύνοδον γὰρ ἁγίων καὶ θεηγόρων πατέρων ἐν Κ. Π. συναθροίσας, ὑφ' ὧν ἡ τῶν κακῶν καὶ δυσωνύμων εἰκονόμαχων κα-

---

3. Ἰω. καίπερ σύντεκνον αὐτῆς ὄντα Leo, Ἰω. σύντεκνα ἀ. ὁ. Vat. — ὄντας cod. et ed. — καὶ ἐν τῷ Σ. περιορίζει εἰς τὸ Κ. λεγόμενον ἔν τινι μοναστηρίῳ· κἀκεῖσε τὸν τοῦ σωτῆρος χῦ τοῦ θῦ ἡμῶν χαρακτῆρα, οὐ μὴν ἀλλὰ καὶ τῆς θεομήτορος καὶ τῶν στρατιαρχῶν κατιδὼν διωρίσατο τῷ ἑαυτοῦ ὑπηρέτῃ τὰ τούτου (τούτων) ὄμματα διορύξαι· οὗ γεγονότος μαθοῦσα Θεοδώρα ζήλῳ θείῳ κινηθεῖσα τοὺς αὐτοῦ ὀφθαλμοὺς ἐκτυφλῶσαι κεκίνητο. Τούτου δὲ κωλυθέντος, τινὰς τῶν δορυφόρων ἐκπέμψασα πρὸς αὐτὸν, διακοσίοις λώροις ἐμάστιζεν. Εἰσάγει Vat. ut Sym. 1. — * αὐτὸν περιορίσασα cod. — 6. ἀποκαθίστησι Vat. καθίστησι Leo. — π. δὲ τοὺς Vat. — 7. ἐν ἐξορίᾳ παραπεμφθέντας ἐπ. εἰσήγαγε καὶ πάντας ἐν. τήν τε ὀ. π. ἐκράτυνε καὶ τὴν τῶν ἁγίων εἰκόνων προσκύνησιν ἀνεκήρυξε τῇ α' κ. τῶν ἁ. ν. Αἱρετικοὶ δέ τινες διαπληκτιζόμενοι πρὸς τὸν πατριάρχην Μεθόδιον διὰ τὸν Ἰαννὴν τοῦ πατριαρχικοῦ θρόνου ἐξωσθῆναι, γυναῖκά τινα φρεναπατήσαντες δώροις σὺν Μητροφάνῃ, τῷ ταύτης υἱῷ προέδρῳ τῆς Σμυρναίων πόλει χρηματίσαντι, κρυψιγαμίας ἔγκλημα θριαμβεύουσιν. Ὁ δὲ πατριάρχης μὴ θέλων πέτρα σκανδάλου λογίζεσθαι, τὰ κρύφια αἴσχη ἀπογυμνοῖ· καὶ εὕρητο παρὰ τὸ εἰκὸς μαρασμῷ· καὶ τὸ αἴτιον καὶ ἀνδιενίστατο (ἀντ. ἐρωτηθεὶς Sym. ἀ. ἐρεῖν διενίστατο Gen. 84,3). Καὶ ὃς ἔφη, ὅτι «ἐν Ῥώμῃ διάγοντός μου, πλεῖστα τοῖς γαργαλισμοῖς κινούμενος καὶ τοῦ ἀποστόλου Πέτρου τῆς τυραννίδος ταύτης ἀλλοτριωθῆναι δεηθεὶς τὴν κορυφαίῳ (τὸν κορυφαῖον Gen. 84,9) δεξιᾷ τῇ χειρὶ καταπριέσαι τὰ αἰδοῖα (τὰ ἀ. καταπιέσαι Gen.) καὶ ἐπιφθέγξασθαι· «μὴ τοῦ λοιποῦ πτοεῖσθαι τὴν φιλησονίαν». Ἐγὼ δὲ διυπνισθεὶς μετὰ σφοδρᾶς ἀλγήσεως περιῆλθον ἐν σαρκικῇ τοιαύτῃ καθὼς ὁρᾶτε νεκρότητι Vat. = Gen. et Sym. 1, om. §§. 2 — 4. — 10. ὁ β. om. C. 310. — Ps. VIII. 2. — 11. παρεσκεύαζε C. 310. — ** καὶ φιλανθρωπίαν C. 310. — 16. ὁσίων C. 310. — 17. κἀκιστος cod. et ed. cf.

κίστη αἵρεσις * ἀκριβῶς ἐλεγχϑεῖσα καὶ τὰ βδελυρὰ ταύτης λῃρήματα διαῤῥήδην ἀνατραπέντα, φαιδρῶς ὁ τῆς ὀρϑοδοξίας λόγος ἀνέτειλεν ὥσπερ ἐκ τινῶν (182ᵃ) μυχαιτάτων καὶ δυσδιεξοδεύτων λαβυρίνϑων καὶ σκοτεινῶν βαράϑρων ** τῆς ἐξαγίστου καὶ πεφαυλισμένης αἱρέσεως. Καὶ οὕτως ὁ μὲν ταύτης *** ἔξαρχος **** καὶ διδάσκαλος ***** σὺν τοῖς ὁμόφροσιν αὐτοῦ διώκταις καὶ ὑβριστταῖς ὡς ****** τῆς ἀληϑείας ἀντίϑετοι καὶ (τοῦ) ψεύδους προστάται, ὡς λυσσώδεις λύκοι καὶ τῆς μυσαρᾶς καὶ δαιμονιώδους τῶν Μανιχαίων ϑρησκείας, ἀφ' ὧν ******* (καὶ τὴν μανίαν κατὰ τῆς ἐνσάρκου ϑείας οἰκονομίας) καὶ τὴν ἀφορμὴν καὶ ἀρχὴν εἰλήφασιν, ἐκδιώκεται, ἀντεισάγεται δὲ κοινῇ ψήφῳ καὶ ϑείᾳ προσβολῇ τε καὶ χάριτι Μεϑόδιος ὁ ἀοίδιμος καὶ (τῆς ὀρϑοτομίας καὶ) τῆς ὀρϑοδοξίας πρόμαχος, ὅς γε πάσας, ὡς ἔπος εἰπεῖν, τὰς διαβολὰς καὶ τὴν ὀλέϑριον κατὰ τῶν ἱερῶν εἰκόνων μεϑοδείαν καὶ τὴν βέβηλον κενοφωνίαν τῶν αἱρεσιάρχων καὶ φοιτητῶν τῆς ἐκείνων κενοφωνίας καὶ φρενοβλαβείας ἄριστα καὶ σαφέστατα ἐλέγξας καὶ ἀνατρέψας, εἰ καί τις ἄλλος· καὶ διὰ τοῦτο πολλοὺς (μὲν) προϋπέστη διωγμοὺς καὶ κινδύνους καὶ ϑλίψεις πολλὰς καὶ κακάς, ἐξ ἐπιμέτρου δὲ σφόδρα ὑπὸ τοῦ ϑεηλάτου Θεοφίλου.

(3) Τίς γὰρ ἀριϑμήσει τοὺς ποικίλους καὶ ἀλλεπαλλήλους διωγμοὺς καὶ πειρασμοὺς καὶ τὰς ἀφεγγεῖς κατακλείσεις καὶ τοὺς ζοφώδεις βόϑρους καὶ τὰς τῶν ἀναγκαίων περιστάσεις, φίλων τε καὶ ὁμοδόξων στερήσεις καὶ τὰς ἄλλας συμφορὰς, ἃς ἔτλη γεν-

---

participia nominativo posita, quum genitivus absolutus requiratur — τῆς ἐλεγχϑείσης καὶ τῶν — ἀνατραπέντων.

* τῶν εἰκονομάχων C. 310. — 2. ἐξαν. Id. — ** καὶ cod. et ed. vitiose, quum gen. τῆς αἱρεσεως ab altero λ. καὶ β. pendeat, non vero eidem parallelus sit. — 4. πεφενακισμένης C. 310. — *** προλεχϑεὶς ed. — **** τε C. — ***** καὶ συνϑικαίως καὶ ϑεοκρίτως πάνυ C. 134, καὶ συνίστωρ Ἰαννὴς ἐκβάλλονται καὶ ἀναϑεματίζεται δικαίως καὶ δ. 310. — ****** ἀνήκεστοι πάμπαν καὶ λυσσώδεις ἅμα C. — 7. ἀ. λίαν ὥσπερ δὴ καὶ οἱ τῆς μ. καὶ δ. ϑρ. τῶν μ. C. — τοῦ om. ed. — ******* καὶ τὴν μαίχην C.—9. καὶ τὴν μ.—οἰκονομίας om. ed. καὶ μ. C. 310.—10. οἰκ. τὴν C, sed om. ἐκλ. — 11. προβ. ed. — 12. τῆς ὀ. καὶ om. ed. — 13. ὡς γε καὶ C. 310. — πᾶσαν ὡς ἐ. ἰ. τοῦ τε διαβόλου τὴν ὀλέϑριον C.—15. κακονοίας καὶ φρ. ed.—16. προδιελέγξας C.— 17. μὲν om. ed. — 20 ἐπαλλήλους C. — 21. π. καὶ β. ἀ. καὶ ζ. κ. καὶ τῶν ἀναγκαίων C. — 22. ἀν. στερήσεις C. 310, omissis seqq. — 23. ὁμοφρόνων ed. ὁμοδόξων αἱρετικῶν γενν. C. 134.

ναίως καὶ προθύμως * παρὰ τῶν ἀνοσίων, ἀεὶ περιφέρων ἐναργῶς εἰς τύπον καὶ ὑπογραμμὸν ὑπομονῆς, τοῖς φερεπόνοις (καὶ φθεγγομένη) καὶ σιωπῶσα παραίνησις πρόδηλος γενόμενος. Καὶ οὕτως ὁ θεσπέσιος τὴν ἐκκλησίαν εὐδοκίᾳ θεοῦ παραλαβὼν καὶ συνεργείᾳ τῶν θεοφόρων πατέρων», «ὁ μὲν οἶκος τοῦ θεοῦ», τὸ σύστημα τῶν ὀρθοδόξων, «ἐπορεύετο καὶ» θείᾳ ῥώμῃ σαφῶς «ἐκραταιοῦτο» καὶ διέπρεπεν ἔργῳ καὶ λόγῳ, ὁ δὲ τῶν αἱρετιζόντων σύλλογος καὶ (ἡ) Ἰουδαϊκὴ τῷ ὄντι σπεῖρα καὶ συμμορία κατῃσχύνετο κομιδῇ «καὶ ἠσθένει», προφανῶς ἐπιστομιζομένη καὶ ἀνατρεπομένη καθ' ἑκάστην ἡμέραν. Καὶ δὴ λοιπὸν αὐτίκα διὰ βασιλικῆς κελεύσεως ἀνεκλήθησάν τε καὶ ἀνέθησαν οἱ ἐν ἐξορίαις τε καὶ πικραῖς φυλακαῖς πατέρες, ἅμα καὶ τὰ πλήθη τῶν μοναζόντων καὶ μέντοι καὶ τῶν εὐσεβῶν κοσμικῶν οὐκ ὀλίγοι, ὧν ὁ ταῖλας καὶ ἀλιτήριος ** τὰς ὑπάρξεις ἀφελόμενος καὶ τοὺς μὲν δυσθανατώσας, τοὺς δὲ μάστιξι πολυειδέσι *** παραδοὺς ἐξώρισεν (ὡς) μὴ πειθομένους παντελῶς μήτε ταῖς θωπείαις (αὐτοῦ) μήτε ταῖς ἀπειλαῖς τοῦ ἀλιτηρίου Θεοφίλου ****.

(4) Ἐν γοῦν τῇ αὐτοκρατορίᾳ Μιχαὴλ καὶ Θεοδώρας τῆς αὐτοῦ μητρὸς Ἀποδείναρ ὁ Σαρακηνῶν φύλαρχος ἐκ πολλῶν χρόνων ἑτοιμαζόμενος ἐν δυνάμει βαρείᾳ δρομώνων τετρακοσίων φοβερῶν καὶ καταπλήκτων, ἦρχετο κατὰ τῆς θεοφρουρήτου Κ. Π. Ἀλλὰ τοῦτον ἡ θεία δίκη ***** διώλεσε, πάντων τῶν πλοίων ****** αὐτάνδρων συντριβέντων ἐν τῷ ἀκτρωτηρίῳ τῶν Κιβυρραιωτῶν τῷ λε-

---

* καὶ τὰ σύμβολα τῆς κακουργίας ἧς ὑπέμεινε C. 134. — 2. καὶ φθ. om. Id. — 4. εὐθ. τοῦ κρείττονος καὶ σ. τῶν θεοσέφων π. π. C. — συνεργούντων ed. — 5. 2 Regg. III. 1. — 7. ἡ om. C. — 8. πεῖρα C. 310. — 10. β. ἐπιτροπῆς καὶ συνεργείας ἀν. ed. — 13. ὀλίγιστοι C. — ** τυραννικῶς C. 134. — *** καὶ πολυτρόποις καὶ δειναῖς τιμωρίαις C. 134. — 15. ὡς om. C. 310. — πειθομένων id. — 16. αὐτοῦ om. ed. — μ. τῇ θωπεία μ. μὴν τῇ ἀπειλῇ καὶ κακοδοξίᾳ τοῦ φένακος καὶ δυσμενοῦς ἀλάστορος C. 310. — **** μήτε μὴν τῇ πολῇ (sic) καὶ κακ. τοῦ φ. καὶ ἀλ. C. 134, qui, sicut 310, §. quartum primo § inseruerat, ubi ceteri codices narrationem de festo orthodoxiae institito exhibent. Hoc loco vero C. 134 recapitulationem affert chronologicam sequentem: Γίνεται οὖν ἀπὸ μὲν τοῦ Ἀδὰμ μέχρι τοῦ κατακλυσμοῦ ἔτη βομβ΄ κτλ. libri clausulam indicans, nonnullis in codicibus a continuatoribus sublatam. — 18. Ἐν τῇ οὖν ἀ. αὐτοῦ Ἀπ. C. 310 post μῆνας γ΄ §. 1, 134 post ἀνεκήρυξεν. — 19. ὁ Σαρακηνὸς ἐκ C. 310. — 20. φ. κατ. Id. — ***** προφθάσασα C. — ****** αὐτοῦ C. 134. — 23. τῷ om. Id. τὸ λεγόμενον cod. τῶν λ. C. 310.

γεμένῳ Χελιδονία, διασωθέντων ἐν Συρίᾳ ἑπτὰ καὶ μόνων ἐξ αὐτῶν.

(5) Ἕως ὧδε τὰ χρονικὰ Γεωργίου *· ἀπὸ τῶν ὧδε μόνον τοῦ Λογοθέτου.

Ε'

Α'. ΠΕΡΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΜΙΧΑΗΛ ΚΑΙ ΘΕΟΔΩΡΑΣ ΤΗΣ ΑΥΤΟΥ ΜΗΤΡΟΣ.

(6) Τῇ δὲ α' κυριακῇ τῶν ἁγίων νηστειῶν, μετὰ τὸ γε- 843
νέσθαι τὴν ὀρθοδοξίαν, ἀπέστειλε Θεόκτιστον τὸν λογοθέτην,
ὃς ἀπελθὼν μετὰ πολλοῦ πλήθους καὶ στόλου μεγάλου,
σφόδρα μὲν ἐπτόησε τοὺς Ἀγαρηνοὺς ἀδυνατοῦντας ἔτι πρὸς
τὴν στρατιὰν αὐτοῦ ἀνταγωνίζεσθαι (182[b]), σφοδρότερον δὲ καὶ
αὐτὸς ἐπτοήθη καὶ τὴν φυγαδείαν ἠσπάσατο, τὴν Αὐγού-
σταν μαθὼν ὡς ἄλλον βασιλέα προεχειρίσατο, ὅπερ μεθό-
δῳ Σαρακηνῶν καὶ δωροληψίᾳ τῶν μετ' αὐτοῦ ἐκπλῆξαν
αὐτὸν πέπεικε πρὸς τὴν πόλιν ἐπανελθεῖν καὶ καταλιπεῖν
τὸν στρατὸν μαχαίρας ἔργον τοῖς ἐν Κρήτῃ **. Οὕτω δὴ κα- 844
κὸς ἐν Κρήτῃ φανείς, χείρων ἐφάνη κσὶ δυστυχέστερος ἐκεῖθεν
ὑποστραφείς. Ὡς γὰρ ἐξελθὼν τότε κατὰ Ῥωμανίας ὁ Ἄμερ

1. μόνα cod. post διασωθεντ. = διασωθέντα, μόνον ὅς γε μὴν Vat. §. 2 glossematis varüs in locis inserti vestigium.—3. Τέλος ἐνταῦθα τοῦ χρονικοῦ βιβλίου C. 310. — τὸ χρονικὸν P. — * καὶ P. — ἀπὸ — τοῦ om. Par. 1706, μόνον om. P. — 6. Rubricam hanc in cod. Par. 1706 inveniendam, quum cetera capitularia h. l. deficiant, reponendam duximus.—8. τῷ β' ἔτει Sym. 7 neque numerum dominicae, quem ed. quoque omittit, neque ipsam dominicam nominans, τῇ — ὀρθοδοξίαν om. Vat.— 9. ἀποστέλλει δὲ Θεοδώρα κατὰ Κρήτης τὸν λ. Θ. Vat., ἀπεστ. Θ. λ. κατὰ τῆς K. Leo.—10. ὃς στόλῳ πολλῷ καὶ στρατῷ βαρεῖ ἐκεῖ κατελθὼν τὰ πρωτα μὲν τοὺς Ἀγκατεπτ. τῇ τούτου στρατιᾷ μὴ δυναμένους ἀντ. ἔπειτα δὲ φεύγει αὐτὸς, μηδενὸς τοῦ διώκοντος Vat. — 13. φυγάδα προεχειρίσατο Leo. e seq. linea. — ἠσπ. φήμης μὲν γὰρ ἀνὰ τὸν στρατὸν γεγονυίας ὡς Θεοδώρα ἀ. β. εἰς τὰ βασίλεια ἀνεβίβασεν, ἐκπλαγεὶς ἐπὶ τοῦτο γενόμενος, (ἐκπλαγῆς γενομένης cod.) πρύμναν ἔτρεψε καὶ πρὸς τὴν πόλιν ἔστρεφε, τὸν στρ. ἐν K. κ. ἐ. μ. γενόμενον Vat. — 14. μέθοδος cod. et ed. — 16. βασιλίδα ed. — ** γενομένοις Leo, γενόμενον Vat. ὁ δὲ στρατὸς μ. ἐ. τοῖς ἐν K. γέγονε Sym. ceteris omissis. — 17. Ἐν τῷ δὴ Vat. τοῖς τε ed. τοῖς cod. — κακῶς Leo. κακὸς Vat. Th. φαῦλος ed. om. cod. — 19. Ὡς γὰρ κ. Ῥωμαίων ἐξηλθεν ὁ Ἀ. ἐκεῖνος καὶ πάντα κατελήϊζετο Vat.

ἐληίζετο πᾶν τὸ ἐν ποσὶ καὶ κατέστρεφε, τὸν αὐτὸν πάλιν Θεόκτιστον ὡς πιστότατον· καὶ οἰκειότατον μετὰ δυνάμεως πολλῆς κατὰ τοῦ Ἄμερ Θεοδώρα καὶ Μιχαὴλ ἀπεστάλκασιν· ὃς καὶ παραγεγονὼς καὶ πόλεμον συνάψας τῷ Ἄμερ εἰς τὸ λεγόμενον Μαυροπόταμον, ἡττήθη τε καὶ ὑπέστρεψε, πολλῶν μὲν ἀναιρεθέντων, τινῶν δὲ καὶ προσφυγόντων τῷ Ἄμερ διὰ τὴν τοῦ λογοθέτου βαρύτητα καὶ ἐπάχθειαν, ὧν εἷς ἦν καὶ Θεοφάνης ὁ ἐκ Φαργάνων, ἀνδρείᾳ τε καὶ ῥώμῃ διαφέρων πολλῶν, ὃς ὕστερον χρόνοις τισὶ λόγον ἀπαθείας λαβὼν προσφεύγει τοῖς χριστιανοῖς. Θεόκτιστος δὲ ἐκεῖθεν ὑποστραφεὶς πρὸς τὴν πόλιν, εἶχετο τῆς αὐτῆς οἰκειότητος καὶ τῷ τῆς Αὐγούστης ἀδελφῷ Βάρδα εἴς τινας λόγους ἐλθών, τὴν ἦτταν τούτῳ προσήπτε· καὶ ἀνετίθετο, ὡς τῇ παραινέσει τούτου καὶ τῇ βουλῇ τὸ Ῥωμαϊκὸν ἐτράπη στρατόπεδον καὶ τοῦτον τῆς πόλεως ἐξωθεῖ βουλῇ Θεοδώρας Αὐγούστης.

(7) Ὁ δὲ αὐτὸς Θεόκτιστος παραδυναστεύων *** τῇ Αὐγούστῃ, οἰκήματα καὶ λουτρὰ καὶ παράδεισον ἐν τῇ νῦν καλουμένῃ Ἀψίδι πεποίηκεν πρὸς τὸ πλησίον αὐτὸν εἶναι τοῦ παλατίου· πρὸς δὲ φυλακὴν καὶ σωτηρίαν ἰδίαν καὶ πόρταν σιδηρᾶν ἐν τῇ Δάφνῃ κα-
848 τεσκεύασεν καὶ παπίαν φυλάττειν ἐκεῖσε διωρίσατο. — Ἤδη δὲ ὁ βασιλεὺς ἀνδρωθεὶς ἐσχόλαζε τοῖς τε κυνηγίοις καὶ ταῖς τῶν ἵππων ἀμέλλαις ἐν τῷ διαύλῳ τοῦ ἱππικοῦ καὶ ταῖς λοιπαῖς ἀκαθαρσίαις. Βουλὴν οὖν ποιήσασα Θεοδώρα Αὐγοῦστα μετὰ τοῦ λογοθέτου Θεοκτίστου δοῦναι γυναῖκα

---

1. τὸ πᾶν ἐν Leo. — ' τε Vat. — 3. πλείστης δ. κ. τούτου M. καὶ Θ. ἐξαπ. Vat. — 4. καὶ συμβαλὼν οὗτος εἰς τὸ M. λ. Vat. καὶ π. οὗτος καὶ π. προσβαλὼν τῷ Ἀ. Leo. — 5. εἰς — Ἄμερ propter homoioteleuton a Leone omissum, invenitur in Sym. 8. a. 3, qui τινῶν — χριστιανοῖς omittit, Theodosio et codice. — 6. διὰ τὸ τοῦ λ. βαρύ τε καὶ ἀπεχθές Vat. — 7. ἀπέχθειαν Leo. — 7. ὧν — χριστιανοῖς om. Vat. — 10. Θ. δὲ ἐν τῇ πόλει ὑποστρέψας. — 12. καὶ εἰς λ. ἐ. Β. τῷ τῆς Ἀ. ἀδ. τ. τὴν ἡ. πρ. καὶ παραίτιον ἔλεγε τῆς τοῦ Ῥωμαϊκοῦ στρατοῦ ἀπωλείας Vat. — ** τε vel το cod. — 14. καὶ — Αὐγ. om. Sym. — 15. ἐξῶσε ed. ἐξώθισε Vat. — τῇ τῆς Θ. Ἀ. β. Vat. — 16. Θ. οὗτος π. Vat. — *** ἐν cod., ὧν ed., om. Vat. — οἰκοι Vat. — 17. κ. Ἀψιδ. cod. κ. Ἀψίδα ed. Ἄψιδι κ. Vat. — 18. ὡς ἐγγύτατα τοῦ π. ὑπεριχείη sic Vat. 199a. — φ. ἰδίαν καὶ πύλην Vat. — 20. ἐκ. φ. ἐπέταξε· τοῦ δὲ βασιλέως ἀνδρωθέντος Vat. ἀνδρυνθ. Sym. 9. a. 7. — 21. τε om. ed. — ταῖς — λοιπαῖς om. Sym. — 22. τοῦ ἱ. δ. σχολάζοντος καὶ ταῖς ἄλλαις ἁπάσαις ἀκ. β. ποιεῖται Θ. μ. Θ. γυναικὶ συζεῦξαι M. Vat. — 23. Βουλὴν — αὐτῆς om. Sym.

Μιχαὴλ τῷ υἱῷ αὐτῆς — ἔγνω γὰρ ὡς συνεφιλιώθη Εὐδοκίᾳ τῇ τοῦ Ἰγγερος μισουμένῃ τῷ λογοθέτῃ καὶ τῇ δεσποίνῃ σφοδρῶς δι' ἀναίδειαν — διὸ συζευγνύουσιν αὐτῷ Εὐδοκίαν τὴν τοῦ Δεκαπολίτου, μεθ' ἧς στεφανοῦται ἐν τῷ ἁγίῳ Στεφάνῳ τῷ εἰς τὴν Δάφνην, γεγονότος τοῦ παστοῦ μὲν εἰς τὴν Μαγναύραν, τῆς δὲ συγκλήτου ἀνακλιθείσης ἐν τοῖς ιθ΄ ἀκουβίτοις.

(7) Μετὰ δὲ μικρὸν ὁ τῶν Βουκελλαρίων στρατηγὸς 850
ἤγαγεν ἵππον τῷ βασιλεῖ θυμοειδῆ καὶ γενναῖον. Ὁ δὲ τοῦτον τῷ ἱππικῷ βουλόμενος ὑποζεῦξαι, ἠβούλετο καταμαθεῖν τούς τε ὀδόντας, ἐξ ὧν ἡ τῶν ἐτῶν ποσότης διαγινώσκεται, τότε ἦθος ὁποῖόν ἐστιν· τοῦ δὲ ἵππου θρασυνομένου καὶ σκιρτῶντος, ἦν ἀχθόμενος ὁ βασιλεὺς διὰ τοῦτο, ὡς μηδενὸς ὄντος μηδὲ εὐποροῦντος γενναιότητι καὶ ἐπιστήμῃ τὸν ἵππον ἐξημερώσοντος ἢ μόνον κατακρατήσοντος. Ὡς οὖν ἤχθετο, παρὼν * ὁ Θεοφιλίτζης ** εἶπεν, ὅτι, «δέσποτα, ἔχω νεώτερον ἐμπειρότατον καὶ ἀνδρειότατον εἰς τοὺς ἵππους, οἷον ἐπιποθεῖ ἡ βασιλεία σου, τοὔνομα Βασίλειον». Τοῦ δὲ βασιλέως παρευθὺ *** ἐλθεῖν κελεύσαντος, ἀπεστάλη κοιτωνίτης ἐν τῇ σιδηρᾷ πύλῃ καὶ τὸν Βασίλειον εὑρὼν μετὰ σπουδῆς ἤγαγε πρὸς τὸν βασιλέα. Καὶ κελευσθεὶς τὸν ἵπ-

---

1. φιλιοῦται τῇ τοῦ Ἰ. Ἐ. ἦν καὶ αὐτὴ καὶ ὁ λογοθέτης διὰ τὸ ταύτης ἀναιδὲς ἐμυσάττοντο, σ. οὖν ἀ. Vat. — 4. Δ. ἐν τῷ τῆς νυμφεύσεως στεφάνῳ ἐν τῷ τοῦ ἁγίου Στεφάνου ναῷ τῷ ἐν τῇ Δάφνῃ ἐστέφθησαν· ἡ δὲ νυμφικὴ παστὰς ἐν τῇ Μαγναύρᾳ κατεσκευάσθη· ἡ δὲ σύγκλητος ἐν τ. ιθ΄ ἀκ. ἀνεκλίθη Vat. — 5. γεγ.—ἀκουβίτοις om. Sym. — 7. ἀκουβίτ. cod. ἀκουβίτου P. κουβίτοις Leo. — 8. Τῷ ι΄ αὐτοῦ ἔτει ὁ τῶν Sym. 10, ὁ δὲ τῶν Vat.—9. θαυμαστὸν Sym. cetera coarctans.—ἱ. μ. ταῦτα τῷ β. προσεκόμισε γ. τε καὶ θ. ὂν τοῖς αμιλλητηρίοις τῶν ἵππων παραζ. β. ὁ βασιλεὺς τό τε ἡ. διαγνῶναι ἠβ. ὁποῖός ἐ. τ. τε ὀ. διασκοπῆσαι, ἀφ' ὧν ἡ τῶν ἐ. π. δ. Vat. — 13. καὶ ἀναθρώσκοντος, ἤχθετο ὁ. β. ουκ ἔχων ἄνδρα ῥώμῃ τοῦ ἵππου περισσώμενον Vat. — ὡς — ἤχθετο om. Sym. — 14. εὐπορῶν (vel potius εὐπόρων) γενναιότητος τὸν ἱ. ἐξημερώσαντος Leo. — * δὲ ἐκεῖσε Vat. — ** ἐκεῖνος ὁ τῶν νουμέρων καὶ τοῦ τείχους κύμης ὢν Sym. ἐκ. κ. ὢν τοῦ τ. καὶ τῶν ν. Vat. — 16. ἔφη πρὸς τὸν βασιλέα ὡς ἐμοὶ, βασιλεῦ, ἀνήρ τις γενναῖος καὶ ῥωμαλέος ὑπάρχει καὶ περιδέξιος ἱπποκόμος τ. τούτῳ B. Vat. — 17. ἀνδρεῖν Sym. Leo. — 19. ἔ. πρὸς αὐτόν Leo.; sed Sym. τοῦ δὲ β. κ. παρευθὺ ἤχθη. — *** τοῦτον Vat. — 19. ἀπ. — κρατῆσαι om. Sym. — εἰς τῶν κοιτωνίτων ἐξελθὼν ἐν τῇ σ. π. τοῦτον εἰσήγαγε· ὁ δὲ βασιλεὺς προσέταξεν αὐτῷ τὸν ἵππον κατασχεῖν· ὁ δὲ τῇ Vat.

πον κρατῆσαι, τῇ μὲν μιᾷ χειρὶ τὸν χαλινὸν κρατήσας, τῇ δὲ ἑτέρᾳ τοῦ ὠτὸς δραξάμενος τοῦ ἵππου, εἰς ἡμερότητα προβάτου μετέβαλεν· ᾧ ἀρεσθεὶς καὶ θεραπευθεὶς ὁ βασιλεὺς παρέδωκεν αὐτὸν Ἀνδρέᾳ ὄντι ἑταιριάρχῃ τοῦ εἶναι εἰς τὴν ἑταιρίαν καὶ δουλεύειν ἐν τοῖς ἵπποις*.

Β'. ΠΕΡΙ ΤΗΣ ΜΑΚΕΔΟΝΟΣ ΒΑΣΙΛΕΙΟΥ ΑΝΑΤΡΟΦΗΣ.

(8) Ἀναγκαῖον δὲ ἡγησάμην διηγήσασθαι περὶ τοῦ αὐτοῦ βασιλέως τήν τε ἀνατροφὴν καὶ ὅθεν ἔστι, μέχρι τῆς τοιαύτης ὑποθέσεως. Ὁ αὐτὸς Βασίλειος γεννᾶται ἐν Μακεδονίᾳ ἐν τοῖς χωρίοις Ἀδριάνου πόλεως ἐπὶ τῆς βασιλείας Μιχαὴλ τοῦ Ῥαγγαβέ, πατρὸς Ἰγνατίου τοῦ πατριάρχου, γαμβροῦ δὲ Νικηφόρου τοῦ βασιλέως εἰς Προκοπίαν τὴν ἑαυτοῦ θυγατέρα. Ἐπὶ τούτου ἐξῆλθε Κροῦμμος, ἄρχων Βουλγαρίας, κατὰ χριστιανῶν. Καὶ τραπεὶς Μιχαήλ, καὶ Λέων ὁ Ἀρμένιος τυραννήσας αὐτὸν καὶ βασιλεύσας, ἐλθὼν ὄπισθεν αὐτοῦ ὁ Κροῦμμος, περιεκύκλωσε τὴν πόλιν. Λογχευθεὶς δὲ παρὰ Λέοντος τοῦ Ἀρμενίου καὶ ὑποστρέφων ἐν Βουλγαρίᾳ, ἔπεμψεν εἰς τὸν ἅγιον Μάμαντα ἀφελόμενος τὰ ἐκεῖσε χαλκᾶ ζῶδα. Ἀπελθὼν δὲ καὶ ἐν Ἀδριάνου πόλει, παρέλαβεν αὐτὴν καὶ μετέστησε χιλιάδας ἀνδρῶν δέκα χωρὶς γυναικῶν καὶ τούτους κατῴκησε μέχρι τοῦ Δανουβίου. Ἐν δὲ ταῖς ἡμέραις Θεοφίλου τοῦ βασιλέως ἦν στρατηλάτης ἐν Μακεδονίᾳ [ὁ] Κορδύλης προσαγορευόμενος· εἶχε δὲ καὶ υἱὸν Βάρδαν ὀνόματι, ἡνδριωμένον πάνυ, ὃν κατέλιπεν ἀντ' αὐτοῦ ἄρχειν τῶν Μακεδόνων τῶν ὄντων πέραν τοῦ ποταμοῦ Δανουβίου· αὐτὸς δὲ μετὰ μηχανῆς τινος εἰσῆλθεν εἰς

---

1. κρ. ὁ δὲ μιᾷ ed. — τοῦ χαλινοῦ λαβόμενος Vat. — 2. θρ. τοῦ ὠ. πρ. πραότου (πραότερον) τὸν ἵππον ἀπέδειξεν Vat. — 3. ἀρ. καὶ om. Sym., καὶ θ. om. Vat. — 4. ἐν τῇ ἑταιρίᾳ αὐτοῦ τοῦτον κατέταξεν Ἀ. ἑ. παραδοὺς ἀ. καὶ τῶν ἵππων αὐτοῦ ἐπιμελεῖσθαι διακελευσάμενος Vat. — τῷ Leo. αὐτὸν τῷ Ἀ. ἐτ. Sym. — * αὐτοῦ Leo. τ. βασιλέως Sym. — 6. Π. τῆς M. B. ἀν. Par. 1706 Περὶ Β. τοῦ M. cod. et Sym. 11. — 8. Γέγονε δὲ οὗτος ὁ Β. ἐκ Μακεδονίας ἐκ χωρίων τῆς Ἀ. π. καὶ πρ. τῷ στρ. M. τῷ Τζ. ἐκδουλεύειν· ἦν δὲ ἐτῶν κε' καὶ μηδὲν κτλ. §. 9. Sym. Ἦν δὲ ὁ αὐτὸς Β. γένος μὲν M. πόλιν δὲ Ἀ. κε' ἔτος τῆς ἡλικίας ἄγων Vat. — 19. τοῦ om. ed. — 21. δώδεκα Leo. nam Sym. μυριάδα scripsisset. — 26. πρὸς Θ. ed. sed cf. c. 12 εἰς τὴν Αὐγοῦσταν. — de hac re nihil in ed. Symeonis quae inde breviarium tantum Symeonis videtur esse.

Θεόφιλον, καθὼς ἐκεῖσε προεγράφη, ὃν ὑποδεξάμενος χαίρων καὶ γνοὺς ὃ θέλει, ἀπέστειλε πλοῖα ἀναλαβέσθαι αὐτοὺς καὶ ἀγαγεῖν ἐν τῇ πόλει. Ἦν δὲ ἄρχων Βουλγαρίας ὁ Βαλδίμερ, ἔγγονος Κρούμου, πατὴρ Συμεὼν τοῦ μετὰ ταῦτα κρατήσαντος.

(9) Ἐποίησεν οὖν βουλὴν ὁ λαὸς, σὺν γυναιξὶ καὶ τέκνοις ἐξελθεῖν ἐν Ῥωμανίᾳ· ἐξελθόντος δὲ τοῦ Μιχαὴλ Βουλγάρου ἐν Θεσσαλονίκῃ, ἤρξαντο διαπεραᾶν σὺν ταῖς ὑποστάσεσιν αὐτῶν. Μαθὼν δὲ ὁ κόμης τοῦτο ἀντεπέρασε πολεμήσων αὐτούς· ἀπογνῶντες οὖν οἱ Μακεδόνες ἐποίησαν κεφαλὴν αὐτῶν τόν τε Τζάντζην καὶ τὸν Κορδύλην καὶ συμβαλόντες πόλεμον, ἀπέκτειναν πολλοὺς, τινὰς δὲ ἐκράτησαν. Οἱ δὲ μὴ δυνηθέντες περᾶσαι Βούλγαροι, προσερρύησαν τοῖς Οὔγγροις [καὶ] ἀνήγγειλαν αὐτοῖς πάντα τὰ τῶν Μακεδόνων· ἦλθον δὲ καὶ τὰ πλοῖα τοῦ βασιλέως πρὸς τὸ ἀναλαβέσθαι αὐτοὺς πρὸς τὴν πόλιν. Παρευθὺ οὖν ἀνεφάνησαν Οὖννοι πλῆθος ἄπειρον· οἱ δὲ ἰδόντες αὐτοὺς μετὰ δακρύων ἐβόων λέγοντες· «Ὁ θεὸς τοῦ ἁγίου Ἀδριανοῦ, βοηθεῖ ἡμῖν», καὶ παρετάσσοντο πρὸς συμβολὴν πολέμου. Οἱ δὲ Τοῦρκοι εἶπον πρὸς αὐτούς· «Δότε ἡμῖν τὴν ὕπαρξιν ὑμῶν πᾶσαν καὶ ἀπέλθετε ὅπου καὶ βούλεσθε». Οἱ δὲ τοῦτο οὐ κατεδέξαντο, ἀλλὰ παρατεταγμένοι ὑπῆρχον ἐν τρισὶν ἡμέραις· τῇ δὲ τετάρτῃ ἤρξαντο εἰσέρχεσθαι εἰς τὰ πλοῖα αὐτῶν. Θεασάμενοι δὲ τοῦτο οἱ Τοῦρκοι συνέβαλον πόλεμον ἀπὸ ὥρας ε' μέχρι ἑσπέρας. Καὶ τραπὲν τὸ ἔθνος, κατεδίωκον αὐτοὺς οἱ Μακεδόνες. Καὶ τῇ ἐπιούσῃ ἡμέρᾳ, βουλομένων αὐτῶν ὑποχωρῆσαι, ἀνεφάνησαν πάλιν Οὖννοι πρὸς τὸ πολεμῆσαι αὐτούς. Ἀναστὰς δὲ Μακεδὼν νεώτερος, Λέων ὀνόματι, ἐκ γένους τῶν Γομοστῶν, ὃς μετὰ ταῦτα γέγονεν ἑταιρειάρχης, καὶ ἕτεροι ὀνομαστοὶ τῶν Μακεδόνων ἔτρεψαν αὐτοὺς καὶ ἐξήλασαν.

---

3. ἀναγ. ed. — 6. ἐξελθόντες ed. — 12. Βουλγαρίαν ed. Βουλγάρ. cod. — περιερρ. Leo. — 13. Οὔννοις? — και om. P. cod. et Leo. ἀναγγείλαντες Leo. — 20. ἀπ. ἔνθα καὶ ed. — 24. μέχρι ἑσπέραν ed. ut ὥραν πέμπτην Leo. — 29. Μακεδονων ἕτερος? Leo. — Γημοστῶν Leo, Γωμ. ed.

Καὶ ὑποστρέψαντες εἰσῆλθον εἰς τὰ πλοῖα καὶ ἀπεσώθησαν πρὸς τὸν βασιλέα καὶ φιλοτιμηθέντες παρ' αὐτοῦ ὑπέστρεψαν εἰς Μακεδονίαν, εἰς τὴν ἰδίαν χώραν*. Ἦν δὲ τότε Βασίλειος νεανίας ἐκ τῆς αἰχμαλωσίας ἐλθὼν** ἐπὶ Λέοντος καὶ Μιχαὴλ τοῦ Ἀμορβαίου καὶ εἰσῆλθεν ἐπὶ Θεοφίλου τοῦ βασιλέως, ὡς εἶναι τὰ ἔτη αὐτοῦ κε'. Ἀποκατασταθεὶς δὲ ἐν τῇ ἰδίᾳ χώρᾳ προσεκολλήθη δουλεύειν στρατηγῷ Μακεδονίας τῷ λεγομένῳ Τζάντζῃ· καὶ μηδὲν παρ' αὐτοῦ ὠφεληθείς, ἦλθεν ἐν τῇ πόλει*** μέχρι τῆς Χρυσῆς πόρτης εἰσελθὼν κεκοπωμένος ἐκ τῆς ὁδοιπορίας — κυριακὴ (183[b]) γὰρ ἦν καὶ ὁ ἥλιος πρὸς δυσμὸν — ἀνεκλίθη ἐν τοῖς πεζουλίοις τοῦ ἁγίου Διομήδους****· καθολικὴ γὰρ ἦν (τὸ τότε) ἡ ἐκκλησία, ἔχουσα προσμονάριον ὀνόματι Νικολάου. Τῇ δὲ νυκτὶ ἐκείνῃ ἐκάλεσε θεία φωνὴ τὸν προσμονάριον λέγουσα· «Ἐγερθεὶς***** εἰσάγαγε εἰς τὸ εὐκτήριον τὸν βασιλέα». Ὁ δὲ ἐγερθεὶς οὐδένα εὗρε πλὴν αὐτὸν τὸν Βασίλειον κείμενον ὡς πένητα. Καὶ ἐπιστραφεὶς ἔπεσεν εἰς τὴν ἑαυτοῦ κοίτην. Πάλιν οὖν ἐκ δευτέρου ἦλθεν αὐτῷ ἡ ταὐτη φωνή· ὁ δὲ ἐξελθὼν καὶ κατασκοπήσας καὶ μηδένα εὑρὼν ἐπιστραφεὶς ἔκλεισε τὸν πυλῶνα καὶ ἀνέπεσεν. Καὶ εὐθέως μετὰ βομφαίας τις δέδωκεν αὐτῷ εἰς τὴν πλευρὰν λέγων· «Ἐξελθὼν εἰσάγαγε ὃν βλέπεις ἔξωθεν τοῦ πυλῶ-

---

* αὐτῶν ed.,—3. Μετὰ τὴν τῆς αἰχμαλωσίας τῶν M. ἀποκατάστασιν ὑπὸ τοῦ ὑι γεγονήσας? Vat.—4. νεανίας—βασιλέως ex homoioteleuto om. ed.— ** ἐποίησε δὲ ἐν τῇ αἰχμαλωσίᾳ Leo.—7. πρ. τῷ στρ. ᾧ Τζάντζης ἐπώνυμον τοῦ δουλεύειν αὐτῷ Vat.—8. ἐπιλ. Leo.—καὶ μηδεμίαν ὠφέλειαν παρ' αὐτοῦ ἐσχηκὼς, τὴν πόλιν κατέλαβε καὶ μέχρι Vat.— *** καὶ εἰσελθὼν ἔκδον χ. π. ἐπὶ κ. ἦν Sym.—10. π. γενόμενος ἐσπέρας ἤδη καταλαβούσης αὐτὸν Vat.—ἀπὸ Sym. Leo.—11. ἐν τῷ προπυλαίῳ τῆς τοῦ ἁ. Δ. ἐκκλησίας ἀν. Vat.—ἀν. ἐν τῷ πεζουλίῳ τοῦ ἁ. Δ. Sym. Leo.— **** ὃς τὸ πρὶν Ἡλιοῦ ναὸς ἐχρημάτισε Sym.—13. οὔπω γὰρ εἰς μοναστηρίου τύπον αὕτη μετεσχημάτιστο, ἀλλὰ ἡ κ. ἐ. ἐτύγχανε Vat. —τὸ om. Leo et ed., τὸ τότε om. Sym.—14. Ταύτῃ οὖν τῇ ν. θ. τις φ. τὸν νεωκόρον περιήχησε· Νικολάος ἦν ὄνομα τούτῳ Vat.— ***** φησὶ Vat.—15. τὸν β. ἐν τῷ εὐκτηρίῳ ἐ. Vat.—16. Ὡς δὲ διανέστη τοῦ ὕπνου ὁ νεωκόρος καὶ ὁ ἐ. π. τὸν Β. κ. ὡς π. ἐπιστρέψας πάλιν πρὸς ὕπνον ἐτρέπετο. Καὶ δὴ δευτέρα φ. τὰ ἴσα τοῖς πρώτοις παρεκελεύετο. Ὡς δὲ πάλιν διαναστὰς οὐδένα εὗρεν, εἰς τὴν ἰδίαν κλίνην ὑπέστρεψεν Vat.—17. ἔπεσε — ἐπιστραφεὶς om. Leo. ex homoioteleuto.—18. Ὁμοίως δὲ τοῦτο καὶ ἐκ δ. ἐγένετο, εἰς δὲ τὸ τρίτον μ. β. ἔπληξέ τὴν πλ. αὐτοῦ, εἰπών· οὐ β. ἐ. τοῦ π. κ. Sym.—20. Ἔπειτα δέ τις ἀ. ἀνὴρ φοβερὸς βομφαίαν ἐσπαμένος καὶ ταύτῃ νύξας αὐτὸν κατὰ τῆς πλευρᾶς φησὶν Vat.—22. Ὃν β. ἔξω τοῦ π. κατακ. ὃ. ἐ. ἑ β. ἐ. αὐτὸν Vat.

νος κείμενον· οὗτός ἐστιν ὁ βασιλεύς». Ἐξελθὼν οὖν μετὰ σπουδῆς σύντρομος καὶ εὑρὼν Βασίλειον μετὰ πήρας καὶ ῥάβδου, εἰσήγαγεν ἔσωθεν τῆς ἐκκλησίας. Καὶ τῇ β' ἡμέρᾳ ἀπελθὼν μετ' αὐτοῦ εἰς τὸ λουτρὸν ἔλουσεν αὐτὸν καὶ ἠλλαξε καὶ ἐλθὼν ἐν τῇ ἐκκλησίᾳ ἐποίησεν ἀδελφοποίησιν, καὶ συνηυφραίνοντο ἐν ἀλλήλοις.

(10) Ὁ δὲ αὐτὸς Νικόλαος εἶχεν ἀδελφὸν ἰατρὸν, ὃς ἐδούλευε τῷ Θεοφιλίτζῃ· ἐλθὼν δὲ κατὰ τύχην ὁ ἰατρὸς πρὸς τὸν ἀδελφὸν αὐτοῦ, ἰδὼν τὸν Βασίλειον καὶ θαυμάσας τὸ μέγεθος καὶ τὴν ἀνδρείαν αὐτοῦ, εἶπε πρὸς τὸν ἀδελφὸν αὐτοῦ· «Πόθεν ἐστὶν οὗτος»; Ὁ δὲ ἀναγγέλει αὐτῷ πάντα καὶ παρήγγειλε φυλάξαι τὸ μυστήριον. Καθεζομένου δὲ τοῦ ἰατροῦ ἐπὶ τραπέζης μετὰ τοῦ Θεοφιλίτζη, καὶ τούτου καθ' ἑαυτὸν ἀναλογισαμένου καὶ εἰπόντος, ὅτι «ἤθελον εὑρεῖν ἄνθρωπον ἐπιτήδειον εἰς τοὺς ἐμοὺς ἵππους», (ἀναστὰς) ὁ ἰατρὸς εἶπεν αὐτῷ περὶ (τῆς ἀνδρείας) τοῦ Βασιλείου καὶ ὅτι «τοιοῦτός ἐστιν οἷον ἐπιποθεῖς καὶ ζητεῖς». Ἀποστείλας οὖν μετὰ σπουδῆς ἤγαγεν αὐτόν. Θεασάμενος οὖν αὐτὸν ἐπιάγουρον καὶ μεγάλην κεφαλὴν ἔχοντα ἐπέθηκεν αὐτὸν Κεφαλᾶν καὶ δέδωκε τοῦ δουλεύειν τοὺς ἵππους αὐτοῦ. Ὡς οὖν προείρηται, διὰ τοιαύτην αἰτίαν δέδωκεν αὐτὸν Θεοφιλίτζης Μιχαὴλ τῷ βασιλεῖ".

---

1. αὐτὸς Vat.—Ὁ δὲ σ. διαναστὰς τὸν Β. ἔνδον τῆς ἐ. ἐ. πήραν ἐνειμένον καὶ ῥάβδον κατέχοντα Vat.—3. Τῇ δὲ ἐπαύριον λούσας ἀ. καὶ ἱμάτιον περιβαλὼν, πνευματικὸν ἀδελφὸν ἐποιήσατο καὶ ὁμώροφον εἶχε καὶ ὁμοδίαιτον Vat.—6. ἀλλήλους ed. καὶ ἀδελφοποιητὸν ποιήσας συνευφραίνετο αὐτῷ Sym. — 7. Ἦν δὲ τῷ νεωκόρῳ ἀδελφὸς ἰατρὸς ὃς τῷ Θ. ὑπηρετεῖτο· οὗτος κ. τ. πρὸς αὐτὸν παραγεγονὼς καὶ τὸν Β. θεασάμενος καὶ τὸ μ. καὶ τὸ τοῦ ἀνδρὸς εὐειδὲς ἐκπλαγεὶς τὸν ἐ. ἀ. ἀνηρώτα τίς ἂν εἴη ὁ τοιοῦτος Vat. — ' καὶ ed. — 11. Ὡς δὲ τὸ ἀπόῤῥητον αὐτῷ ἐξεκάλυψε καὶ τὸ πρᾶγμα ἀνήγγειλεν, ἐπίσκηπτε φ. παρ' ἑαυτῷ τὸ μ. Vat. — 12. πάντα πλὴν τῆς ὁράσεως Sym. — Ἐπεὶ δὲ ἐπὶ τῆς τρ. τοῦ Θ. καθημένου, ὁ ἰατρὸς ἔτυχε συγκαθήμενος, ἐ. αὐτοῦ ὡς ἦν. Vat. — 14. ὅτι οὐ δύναμαι Leo.—15. εἰς τὸ τῶν ἵππων μου ἐπιμελεῖσθαι Vat. ἂν. et τῆς ἀ. omi. Vat.—16. ἐπισγουρον cod. sed. C. 11. ἀγ.—17. ὡς εἴη αὐτὸς ἀνὴρ περιδέξιος καὶ ὁ ἐ. δν εὐθὺς ἀπ. μετεκαλέσατο καὶ θ. ἀ. κομῶντα τὴν κ. καὶ ἐπιάγουρον, αὐτὴν δὲ τὴν κ. μ. ἐ. Κ. ἐπωνόμασε καὶ τῶν ἵππων ἀ. τὴν ἐπιμέλειαν κατεπίστευσεν· οὕτως τε τῷ βασιλεῖ Μ. κατέστη γνώριμος, ὡς προείρηται Vat. — 19. ἐπισγ. cod. sed §. 11 ἀγ. — 20. δεδ. αὐτῷ δ. Sym. — " ἕως ὧδε τὰ π. ἀν. τοῦ B. cod.

(11) Ὁ δὲ βασιλεὺς τὸν αὐτὸν Βασίλειον εἰσαγαγὼν εἶπε τῇ μητρὶ αὐτοῦ (ὡς χαιρόμενος)· «Δεῦρο, ἴδε, μῆτερ, οἷον ἄγαυρον νῦν ἐπελαβόμην». Ἡ δὲ ἐξελθοῦσα καὶ ἰδοῦσα· αὐτὸν ἀπεστράφη εἰποῦσα (τῷ υἱῷ αὐτῆς) «Οὗτός ἐστι, τέκνον μου, ὁ μέλλων ἀφανίσαι τὸ γένος ἡμῶν». Ὡς δὲ οὐδαμῶς ἐπείσθη τῇ μητρὶ αὐτοῦ ἢ ἤκουσεν αὐτῆ.

846 (11) Ἐτελεύτησε δὲ ὁ ἐν ἁγίοις πατριάρχης Μεθόδιος, καὶ χειροτονεῖται ἀντ' αὐτοῦ Ἰγνάτιος, ὁ υἱὸς Μιχαὴλ κουροπαλάτου.

Γ'. ΠΕΡΙ ΤΩΝ ΒΟΥΛΓΑΡΩΝ ΚΑΙ ΤΟΥ ΑΜΕΡ.

852 Τῶν δὲ Βουλγάρων ἐπιδρομὰς ποιούντων ἐν Θράκῃ καὶ Μακεδονίᾳ καὶ ληϊζομένων τὰ τοιαῦτα θέματα, ἡ Θεοδώρα ταξεώτας ἐποίησε, οἳ καὶ ἐκ τῶν κάστρων ἐπιτιθέμενοι Βουλγάροις σποράδην καὶ κατ' ὀλίγους κουρσεύοντες, ἐφόνευον τούτους καὶ ᾐχμαλώτιζον, ὥστε ὑποστα-
854 λῆναι τοὺς Βουλγάρους ἐν τῇ ἰδίᾳ χώρᾳ.

(12) Βάρδας δὲ ὁ Καῖσαρ ἐφιλιώθη Δαμιανῷ πατρικίῳ καὶ παρακοιμωμένῳ. Ὁ δὲ τὸν βασιλέα κρατήσας ἔπεισε τοῦ εἰσαγαγεῖν τ'ν Βάρδαν ἐν τῇ πόλει, ὃς διὰ δώρων τοὺς

---

1. Ὁ δὲ β. ἐπὶ τούτῳ γαυρούμενος καὶ καθ' ὑπερβολὴν γαννύμενος, πρὸς τὴν μητέρα τοῦτον εἰσήγαγε λέγων μ. μ. ὁ. ἄνδρα εὑπόρησα Vat. — 2. πρὸς τὴν μητέρα ἀ. ἰ. δ. ἰ. μ. ανον ὃν νῦν Sym. 11.—3. Ἡ δὲ τοῦτον ἰ. (ἰδὼν cod. ed.) εὐθὺς ἀπ. πρὸς τον βασιλέα ἐ. Vat.—4. τῷ ὑ. ἀ. om. Sym.—5. ἐμὸν Vat.—τὴν γενεὰν Sym. Leo. τὴν γ. ἡμ. ἀφανίζειν Vat. — Ὁ δὲ λῆρον τοὺς λόγους τῆς μητρὸς ἡγησάμενος οὐκ ἀπεπέμψατο τὸν Βασίλειον Vat.— 6. αὐτῆς Leo. Sym.— 7. Τῷ ια' ἔτει Sym. 12. —8. Ἰ. ἀντ' ἀ. ὁ M. κ. ὡς Vat.—11. π. τῶν Β. καὶ τοῦ Ἄ. Par. 1706.—13. ποιουμένων Vat— τε Vat.—14. τοὺς τοιούτους τόπους λ. Vat. — 15. ταξάτας Vat. ταξεῶνα cod. pro ταξατίωνα ed. Leo, Sym. (praesidium) vel ταξείδιον (expeditio) cf. §. 26,29. — κατασταθήσασα ἐν τοῖς κάστροις τὰς τοιαύτας ἐπιδρομὰς ἀνεχαίτισε σπ. γὰρ τούτους καταλαμβάνοντες ἀνῄρουν καὶ κατεφ. ὡ. φοβηθέντας τ. Β. μηδαμοῦ τολμᾶν τῆς οἰκείας χώρας ἐξέρχεσθαι Vat.—16. Βουλγαρίας ἐπ. Leo.—17. ὑποταγῆναι Leo.—19. Ὅπως ὁ καῖσαρ Βάρδας τὸν λογοθέτην Θεόκτιστον μελῃδὸν κατέκοψεν Vat. — συνεφ. Leo. Sym. 13 τῷ ιγ' ἔτει, τὸν πατρίκιον Δαμιανὸν καὶ παρακοιμώμενον δεξιωσάμενος φίλος αὐτῷ ἐγεγόνει ὁ δὲ τὸν β. δυσωπηθεὶς ἐπ. τὸν Β. ἐν τῇ π. ἐ. εἰσελθὼν δὲ τ. ὁ. τοὺς τῷ βασιλεῖ δώροις ὑποποιησαμένες Vat. — 21. εἰσελθεῖν Leo., Sym. qui adjungit καὶ εἰς τὸ παλάτιον ἔρχεσθαι pro ὃς — παλ.

[τοῦ] βασιλέως οἰκοίους διαδεξάμενος (ἅμα τῷ παρακοιμωμένῳ) ὡρίσθη προέρχεσθαι εἰς τὸ παλάτιον. Οἰκειωσάμενος δὲ καὶ Θεοφάνην προτοσπαθάριον (ὡς ἠνδρειωμένον) τὸν (ἐπιλεγόμενον) Φάργανον*, βουλὴν ποιοῦσι μετὰ Δαμιανοῦ τοῦ ἀνελεῖν** Θεόκτιστον τὸν οὕτω συνήθως ἐπὶ τοῦ κανικλείου λεγόμενον. Πεισθεὶς δὲ καὶ ὁ βασιλεὺς ὑπὸ [τοῦ] Δαμιανοῦ ἐπὶ τούτῳ, συνήνεσε καὶ αὐτὸς γενέσθαι τοῦτο· ἔλεγε γὰρ ὁ Βάρδας*** Δαμιανῷ, ὅτι «ἕως ἐστὶ (184ᵃ) Θεόκτιστος μετὰ τῆς Αὐγούστης, οὐκ ἄρξῃ οὐδὲ ἐξουσιάσει ποτὲ ὁ βασιλεύς». Ὁ δὲ Θεόκτιστος ἀπελθὼν ἐν τῷ λούσματι τῶν Ἀρεοβίνδου, ὡς ἔθος ἦν αὐτῷ, εἶτα ἐλθὼν εἰς τὰ ἀσηκρητεῖα κρατεῖν τὰς ἀναφορὰς, εἰσῆλθεν εἰς τὸ Λαυσιακόν. Καὶ περιβλεψάμενος εἶδε Βάρδαν καθεζόμενον ἔμπρακτον καὶ ταραχθεὶς σφοδρῶς ἔφη, ὅτι «ἐγὼ εἰσελθὼν εἰς τὴν Αὐγοῦσταν, πάλιν ἐκδιώκω αὐτόν». Εἰσελθόντος δὲ αὐτοῦ εἰς τὸ ὡρολόγιον, προϋπήντησεν αὐτῷ Μιχαὴλ ἅμα Δαμιανῷ, καὶ οὐκ εἴασαν εἰσελθεῖν πρὸς Θεοδώραν, ἀλλ' ἐκελεύσθη μετ' ὀργῆς ἀνοῖξαι τὰς ἀναφορὰς καὶ ἀναγνῶναι (ἔμπροσθεν αὐτοῦ)· ἄκοντα δὲ τοῦτο ποιήσαντα ἀντέστρεψαν αὐτὸν εἰς τοὐπίσω ἐξελθεῖν. Ὁ δὲ πικρῶς δακρύων καὶ ὀλοφυρόμενος ἐξῆλθε· συνήντησε δὲ αὐτῷ Βάρδας εἰς τὸ Λαυσιακὸν καὶ ἤρξατο κατὰ κόρρης παίειν αὐτὸν καὶ τίλλειν τὰς τρίχας αὐτοῦ. Ἰδὼν δὲ ὁ

---

1. τοῦ om. cod. ed. ἁ. τῷ π. om. Vat.—3. τὸν Θ. πρωτοβεστίαριον ed. τὸν πρωτοσπ. Θ. Sym. Vat.—ὡς ἠ. et ἐπ. om. Vat. sed * ἀνδρειότατον ὄντα Vat.—4. Φάλγανον Vat et Leo, Φαλγάνην Sym. καὶ ἄλλους τινὰς ἀποκτείνει κτλ.— * αὐτῶν Leo. om. Vat.— β. βουλεύσεται (βουλεύεται) Vat.— Δαμιανὸν Leo (sic).— ** τὸν λογοθέτην, om. τὸν— λεγόμενον Vat. vel τὸν κανίκλην Leo, qui canistri (nostratibus portofolü) claues gerit. — 6. Πείθουσι δὲ καὶ τὸν βασιλέα ἐπὶ τ. συναινέσαι· ὑπέκνιζον γὰρ αὐτὸν, ὅτι Vat.—τοῦ om. cod.— *** τῷ Leo.— 9. ἄρξῃ π. ὁ κατεξουσιάσῃ τῆς βασιλείας Vat.— 8. Τοῦ δὲ Θεοκτίστου κατὰ τὸ εἰωθὸς ἐν τῷ λ. τῶν Ἀ. λουσαμένου καὶ ὑποστρέψαντος καὶ εἰς τὸ Δ. διὰ τῶν ἀσηκρητίων μετὰ τῶν ἀναφορῶν εἰσεληλυθότος καὶ τὸν Β. θεασαμένου ἐν τῇ προελεύσει καθήμενον καὶ διαταραχθέντος οφ. καὶ εἰπόντος, ὅτι «ἐγὼ τοῦτον ἔνδεν ἐκβαλῶ ὡς τὴν Ἀ. εἰσεληλυθώς». Ἐπεὶ δὲ ἐν τῷ ὡρολογίῳ ἐγένετο, ὑπ. ἁ. Vat.—13. εἶασε Vat. Leo.—π. τὴν Θ. ἐ. Vat.— 18. ἐκέλευσε Vat.—τὰς ἀν. ἀναπτύξαι Vat. — 19. ἐ. αὐτῶν Leo, om. Vat. — καὶ τ. καὶ ἁ. πεποιηκότα εἰς τ. ἁ. ὁ. δὲ Vat. — 20. ἀντεστρεψ. cod. ἀντέστρεψεν Leo, Vat. — 22. Β. κατὰ τὸ Leo.

δρουγγάριος τῆς βίγλης ὁ Μανιάκης*, ἀναστὰς ἀντέλεγε τῷ Βάρδα μὴ τύπτειν τὸν λογοθέτην. Οἱ δὲ σφάζουσιν αὐτὸν καὶ μεληδὸν κατακόπτουσιν εἰς τὰ Σκύθη, θηρῶν ὠμότητα καὶ ἀγριότητα ἐνδειξάμενοι**.

(13) Τοῦτο μαθοῦσα (παρὰ τοῦ παπίου) Θεοδώρα (ἐξελθοῦσα), κατὰ τοῦ Μιχαὴλ (ὡς εἰκὼς) ἠγανάκτησε καὶ τῶν λοιπῶν, οἳ τὸν φόνον κατειργάσαντο***· καὶ τοῦ βασιλέως παντὶ τρόπῳ μηχανωμένου τὴν μητέρα ἐξιλεώσασθαι, αὐτὴ ἀπαρηγόρητος ἔμεινεν, (μήτε τὴν ὀργὴν ὑφιεμένη μήτε παραμυθουμένη****, παρηγορεῖτό τε καὶ κατεπείθετο)· ὅθεν μεταβαλὼν ὁ βασιλεὺς, ὥσπερ τὴν ψυχὴν καὶ τὴν γνώμην, οὕτω δὴ καὶ τὸ σχῆμα καὶ τὴν ἐνέργειαν, τοσούτοις τρόποις λυπεῖν αὐτὴν κατεπείγετο ὅσοις πρὸ τούτου θεραπεύειν ἐσχηματίζετο· καὶ (δὴ) τὰς μὲν ἀδελφὰς αὐτοῦ, Θέκλαν*****, Ἀναστασίαν καὶ Ἄνναν ἐξωθεῖ τοῦ παλατίου, καταγαγὼν εἰς τὰ Καριανοῦ, Πουλχερίαν δὲ ὡς ἠγαπημένην τῇ μητρὶ ἀπέστειλεν ἐν τῇ μονῇ τῶν Γαστρίων· εἶθ' οὕτως μετ' ὀλίγον ἑνώσας πάσας ἐν τῇ μονῇ τῶν Γαστρίων ἀπέκειρε, (περιβαλὼν αὐτὰς τὸ μοναδικὸν σχῆμα).

---

* καὶ λογοθέτης Vat. — 1. τῷ B. ἀ. ὡς μὴ τὸν λ. τ. Vat. — 2. Ὁ δὲ Βάρδας ἀπεκρίθη ὡς τῇ κελεύσει (ἀποκριθεὶς κ. Leo.) τοῦ βασιλέως τοῦτο ποιεῖν· ἀνεφάνη δὲ καὶ ὁ βασιλεὺς τῇ βουλῇ (τοῦ Leo.) Δαμιανοῦ· καὶ τοῦτον ὁ Βάρδας ἰδὼν (ἰ. B. Leo.) ἅμα (τῷ Leo.) Θεοφάνῃ τῷ Φαλγάνῳ, ἅραντες τὸν λογοθέτην σφ. Vat. et Leo.—3. τὰ Σκύθ. cod. τὰ Σκύθα Leo, τὸ Σκύθη ed. τὸ Σκυθῶν Scytharum more? τὰ Σκῦλα Vat. Cont. et Ced. 137,17. — ** Ἐντεῦθεν [φασὶν] εἰπεῖν τῷ Βάρδα τὸν Μανουὴλ σιβυλλαίνοντα· «σπάθην γυμνώσας, Βάρδα, [ἐν] τοῖς ἀνακτορ[ι']οις, σαυτῷ γυμνώσεις εἰς τομὴν τοῦ σαρκίου». Vat. et Ced. 138,2—6. — 5. T. μ. Θ. ἠγ. κ. τοῦ βασιλέως καὶ τῶν ἄ. Sym. — 6. M. καὶ τῶν ἄλλων, οἳ τὸν φόνον κατεπράξαντο ἠγανάκτει τε Vat.—*** καὶ κατεβοᾶτο (καταβοωμένη αὐτῶν Sym.) ἀλλὰ (καὶ Sym.) φωνῇ βριαρᾷ καταπτοηθεῖσα θρηνωδῶς θαλαμεύεται· τῶν ἀπὸ στρατηγῶν γάρ τις ἐκ Μελλισσηνῶν κατάγων τὸ γένος, καὶ ἀπεφθέγξατο αὐτῇ (γ. ἀ. ἀπ. Sym.) παλινδρομεῖν οἴκαδε, τὴν τοιαύτην ἡμέραν κρουόντων ἀποκαλῶν Vat. Sym. — 7. τοῦ δὲ β. πᾶσι τρόποις μ. τὴν παρηγορεῖν, ἀ. τῆς ὀργῆς οὐκ ἐνεδίδου Vat.—9. μήτε—κατεπείθετο om. Sym.—10. ὡς ed. — 11. τε om. ed. — **** οὐ P. marginalis. — 12. ὥσπερ — ἐνέργειαν om. Vat.—13. προσώποις Sym.—14. πρὸ τοῦ cod. ed.—14. δὴ om. Sym. — ***** τε καὶ Vat.—16. μεθιστᾷ Sym. τοῦ π. καταβιβάζει καὶ εἰς τὰ K. ἀποκαθιστᾷ Vat. — 17. ἐν τῇ μ. τῶν Γ. ἀπ. Vat. ἐν τῇ μ. τῶν Γ. Sym. — 18. μετ' ὀ. δὲ π. ἐν τῇ τοιαύτῃ ἑ. μ. Vat. εἶτα μετ' ὀ. καὶ π. ἑ. ἐν τῇ μ. τῶν Γ. Sym.—19. τὸ μ. σ. τ. π. Vat. om. Sym.

(14) Ὑπὸ δὲ τῆς συγκλήτου (πάσης) εὐφημισθεὶς μόνος αὐτοκρατορεῖ, καὶ προβάλλεται Βάρδαν μάγιστρον καὶ δομέστικον τῶν σχολῶν. Μὴ διαλλαττομένης δὲ τῆς μητρὸς αὐτοῦ δι' ἃ ἐλύπει αὐτὴν καὶ τὴν ἄδικον σφαγὴν Θεοκτίστου, ἔχθρα ὑπῆρχεν ἀναμεταξὺ αὐτῶν ἄσπονδος. Ὁ δὲ καὶ ταύτην τοῦ παλατίου καταγαγὼν, εἰς τὸ μοναστήριον τὰ Γαστρία καὶ αὐτὴν ἀποστέλλει. Ἥτις ἀθυμίᾳ μετεωρισθεῖσα τὸν νοῦν καὶ ὑπὸ ἐκπλήξεως ἀφαιρεθεῖσα τὸ φρονεῖν, ἀνάξια ἑαυτῆς συσκευάζει, βουλὴν κατὰ Βάρδα βουλευομένη σὺν πολλοῖς καὶ ἄλλοις, σχοῦσα κοινωνὸν καὶ τοῦ βασιλέως τὸν πρωτοστράτορα, ὅπως, ὑποστρέφοντος Βάρδα ἀπὸ τοῦ προαστείου αὐτοῦ τοῦ Κοσμιδίου, ἀναιρήσωσιν αὐτόν· ὧν ἡ μελέτη πρὸ τοῦ ἔργου φανερωθεῖσα κατ' ἐκείνων τῶν μελετησάντων τὸ κακὸν ἐξενενήνοχεν. (Φωραθέντες γὰρ καὶ) κατασχεθέντες, ἐν τῇ Σφενδόνῃ τὰς κεφαλὰς ἀπετμήθησαν. Καὶ προβάλλεται τὸν Βασίλειον Μιχαὴλ ἀντὶ τοῦ τελευτήσαντος πρωτοστράτορα, ὁμοίως καὶ Βάρδαν τὸν θεῖον αὐτοῦ κουροπαλάτην.

---

1. π. om. Vat. et ed. sed est in Leone et Sym. ὑπὸ τῆς σ. π. ἀναγορεύεται καὶ αὐτ. — μονοκράτωρ ἐ. πρ. Vat. — 3. καταλλ. δὲ αὐτῷ τῆς μ. διὰ τὴν ἀδ. Vat. — 4. Θ. καὶ δι' ἃ ἐλ. ἀ. τοῦ π. τ. κατήγαγε καὶ εἰς τὸ μ. τὰ Γ. ἀπέστειλε. Μέλλουσα δὲ τοῦ παλατίου ἐξιέναι προσκαλεσαμένη τὴν σύγκλητον καὶ τὸ ἐν τῷ ταμείῳ χρῆμα κατεμφανίσασα, τὸ τούτου ποσὸν διωρίζετο χιλίων κεντηναρίων πρὸς τοῖς ἐνενήκοντα διὰ χαράγματος χρυσοῦ, ὡσαύτως καὶ ἀργυρίου ὡσεὶ κεντηναρίων τριῶν, ὧν τὸ μὲν κατὰ διαθήκας παρῆκεν ὁ ταύτης ἀνήρ, τὸ δὲ κατὰ προσθήκην αὐτὴ συνέλεξε Vat. cf. Sym. 14. — 7. Περὶ τῆς βασιλίσσης Θεοδώρας καὶ τῆς γενομένης ἐπιβουλῆς τῷ Βάρδᾳ καὶ ὅπως οἱ ταῦτα μελετήσαντες τὰς κεφαλὰς ἀπετμήθησαν. Περιοριαθεῖσα δὲ ἐν τῇ μονῇ καὶ ἀθ. συσχεθεῖσα ὡς ὑπὸ ἐ. καὶ τὸ φ. ἀφ. Vat. — 8. ἀναξίαν ἑαυτὴν Leo, ἀναξίαν ἑαυτῆς Sym. ἀνάξιον ἑαυτῇ Vat. — κατὰ B. σ. β. Vat. κατασκ. β. κ. B. ed. — βουλομένη Leo., ἑλομ. κ. Sym κ. ἐλ. — 10. πολλῶν καὶ ἀ. Leo., π. ἀ. Vat. καὶ τὸν τοῦ β. πρ. Vat. — 11. ὃ δὲ ἦν προλοχίσαι τοῦτον ἐκ τοῦ πρ. ἀ. τοῦ Κ. ὑποστρέφοντα Vat. — ὑποστρέφοντ. cod. ὑποστρέφοντα ed. Leo, sed ὑποστρέφαντος τοῦ Sym. — 13. φωραθ. Vat. Vat. — ' αὐτῶν Vat. — 14. ἐξήνεγκε Vat. — Φ. γὰρ καὶ om. Vat. — 16. Ἡρ. δὲ τὸν B. ὁ M. Vat. — 17. πρωτοστρότωρ cod. πρωτοστράτορος Vat. Sym. — τὸν δὲ θ. ἀ. B. κ. Vat.

857 (15) Ἔπεσε * τότε κόνις ἐκ τοῦ οὐρανοῦ (κατενεχθεῖσα ἐπὶ τοὺς κεράμους) αἱματώδης πλήρης· (184[b]) καὶ πολλοὶ εὗρισκον λίθους (ἐν ταῖς ὁδοῖς ἢ κήποις) ἐρυθροὺς ὡς αἷμα.

858 Προβάλλεται δὲ Μιχαὴλ Ἀντίγονον, τὸν υἱὸν Βάρδα, δομέστικον τῶν σχολῶν, τὸν δὲ ἕτερον υἱὸν αὐτοῦ, δοὺς γυναῖκα, εἰς ἣν καὶ ἐλοιδορεῖτο **, προβάλλεται μονοστράτηγον *** εἰς τὰ δυτικὰ θέματα ****. Καὶ τελευτήσαντος αὐτοῦ ἐκεῖσε, μετ' ὀλίγον ***** τῇ δ' τῆς Διακινησίμον προβάλλεται Μιχαὴλ Βάρδαν τὸν θεῖον αὐτοῦ Καίσαρα (ὃς ἐπὶ ἅρματος πορευθεὶς ἔδωκεν ὑπατείαν τῇ μέσῃ).

(16) Ἐξῆλθε δὲ ****** ὁ Ἄμερ καὶ κατῆλθε μέχρι Σινώπης, ληϊσάμενος πάντα τὰ τῶν Ῥωμαίων· καὶ ὑπέστρεψε μὴ καταληφθεὶς ὑπὸ τοῦ Ῥωμαϊκοῦ στρατοῦ.

859 Ἐκστρατεύσας δὲ Μιχαὴλ ἅμα Βάρδᾳ Καίσαρι, κίνησιν ποιεῖ κατὰ Μιχαὴλ ἄρχοντος Βουλγαρίας διά τε γῆς καὶ θαλάσσης, μαθὼν τὸ τῶν Βουλγάρων ἔθνος λιμῷ τήκεσθαι. Οἱ δὲ Βούλγαροι τοῦτο μαθόντες ὡς ἦχῳ βροντῆς ὑπεκλίθησαν, καὶ πρὸ τῶν ἀγώνων καὶ τῆς μάχης περὶ

---

1. Περὶ τῆς ἐκ τοῦ οὐρανοῦ πεσούσης κόνεως αἵματι προσεοικυίας Vat. Τῷ β' αὐτοῦ ἔτει Sym. — * δὲ Vat. — κατ. om. Vat. κ. ἐπὶ τ. κ. om. Sym. — 2. αἵμασι προσεοικυῖα Vat. — π. δὲ Vat. — 3. λίθων — ἐρυθροῖς Leo. — ἐν τ. ὁ καὶ τοῖς κ. Vat. om. Sym. ὡς ἁ. ἐ. Vat. — 5. Τῷ γ' αὐτοῦ ἔτει Sym. 23. — τὸν ὑ. Β. Ἀ. Vat. — 6. τῷ δὲ ἑτέρῳ υἱῷ ἀ. γ. δ. Vat. — ** Βάρδας Vat. sed nec Sym. nec Leo. — *** τοῦτον Vat. — 8. τῶν δυτικῶν Sym. ed., ἐν τοῖς δυτικοῖς Vat. — Καὶ om. Leo. — **** προβάλλεται Vat. — ὃς καὶ τελευτήσας ἐ.... τῆς δ. τὸν θ. ἀ. Β. ὁ Μ. πρ. Κ. Vat. Συντόμως δὲ ἀ. τ. τῇ δ' τῶν διακαινισίμων πρ. Μ. Β. τὸν ἀ. θ Κ. Sym. Σ. δὲ ἀ. τ. τῇ δὲ (δ') τοῦ διακαινησίμου πρ. Μ. Β. τὸν θ. ἀ. Κ. ed. Τελ. ἀ. ἐ. μετ' ὀ. δὲ τῇ τετάρτῃ κτλ. Leo. ut cod. — ***** δὲ cod. e δ' repetitum. — 10. ὃς — μέσῃ om. Sym. — 11. ἐποχηθεὶς Vat. Leo. — 12. Ὁ δὲ Ἀ. ἐξελθὼν μ. Σ. κ. ἅπαντα τὰ ἐν ποσὶ λ. καὶ ὑπ. πρὶν τὸ Ῥωμαϊκὸν καταλάβῃ στράτευμα Vat. Τούτῳ τῷ ἔτει (γ') ἐ. Ἀ. μ. Σ. καὶ λ. π. τὰ Ῥ. ὑπ. ἀβλαβὴς Sym. 24. — ****** καὶ Leo. — 15. Ὁ δὲ Μ. ἅμα τῷ Κ. Β. μετὰ (κατὰ) τοῦ ἀ. Βουλγάρων Μ. ἐξεστράτευσε διά τε γῆς καὶ θ. Vat. Τῷ δ' αὐτοῦ ἔτει ἐκστρατεύει Μ. ἅμα Κ. διά τε γῆς καὶ θ. κ. Γόβορι ἄρχοντι (ἄρχοντος?) Βουλγάρων Sym. 25. — 17. λ. τ. τῶν Β. ἐ. ἀναμ. Vat. τ. μ. οἱ Β. ἅμα καὶ λ. τηκόμενοι Sym. — 18. τὴν τοιαύτην ἔφοδον ἐκμ. φόβῳ πολλῷ συνεσχέθησαν Vat. sed ὡς ἦχῳ βρ. ὑπ. Sym. Leo. ὡς ἦχον βρ. ὑπ. cod. ed.

τῆς νίκης ἀπέγνωσαν (καὶ χριστιανοὶ γενέσθαι καὶ ὑποτάττεσθαι τῷ βασιλεῖ καὶ Ῥωμαίοις ἠτήσαντο)*. Ὁ δὲ βασιλεὺς τὸν μὲν ἄρχοντα αὐτῶν βαπτίσας καὶ δεξάμενος ἐπέθηκεν αὐτῷ τὸ αὐτοῦ ὄνομα· τοὺς δὲ μεγιστᾶνας αὐτοῦ ἐν τῇ πόλει ἀγαγὼν ἐβάπτισεν αὐτούς, ἔκτοτε γενομένης εἰρήνης βαθείας **.

(17) Τὸν δὲ Ἄμερ ἐξελθόντα κατὰ Ῥωμανίας στρατηλάτης ὢν τῆς ἀνατολῆς Πετρωνᾶς καὶ Νάσαρ τῶν Βου- 860

---

1. καὶ χρ. — ἠτήσαντο om. Sym. — 2. τῷ β. καὶ om. Vat. — * ὧδε βαπτίζονται Βούλγαροι cod. in margine cum rubrica. — 2. Ὁ δὲ Μιχαὴλ ed.— 3. ἐκ τοῦ ἁγίου αὐτὸν ἀναδεξ. βαπτίσματος τὸ ἑαυτοῦ αὐτῷ ἐπιτέθεικε ὀ. Vat. δ. ἐπ. αὐτὸν τὸ ἀ. ὀ. ed. ὁ δὲ β. τούτους ἐν τῇ πόλει ἁγ. ἐβ. πάντας καὶ τὸν ἀ. ἀ. M. ἐπωνόμασε Sym. — 4. οὐ μὴν ἀλλὰ καὶ τ. μ. Vat. — 5. εἰσαγαγὼν Leo., Vat. — ἐβ. πάντας Leo, Sym. ἐβ. Vat. — καὶ εἰρήνην βαθείαν πεποίηκε Vat. om. Sym. — ** Τῶν δὲ δυσσεβῶν Ἰσμαηλιτῶν ἐπηρεαζόντων Ῥωμαίους, ἐξηγουμένου αὐτῶν κατὰ Μελιτηνὴν τοῦ Ἄμερ, εἰς τὰ Σαμόσατα τὴν πόλιν Ἰσμαηλίτιδα πολεμικῶς προβιβάζεται ὁ βασιλεύς, καθ' ἣν προσέδρευσεν ἐπὶ ἡμέραις γ'· ἐξαίφνης τὰς πύλας οἱ Ἀγαρηνοὶ τῆς πόλεως ἀνοίξαντες εἰς τροπὴν τὸν ἄνακτα διεκρούσαντο καὶ τοσοῦτον ἀπήλασαν ὡς καὶ τὰς σκηνὰς αὐτοῦ καὶ πᾶν ἄλλοτε (ἄλλο τι) τῶν πρὸς χρείαν σφετερίσασθαι (a. 858 cf. Cont. 23, Ced. 161,19—18). Εἶτα χρόνου (χρόνους) δύο παριππεύσαντες Ἄμερ καὶ ὁ βασιλεὺς κατ' ἀλλήλων ἐκστρατεύουσιν. Ὁ δὲ βασιλεὺς καταλαβὼν χῶρον, ᾧ ἐπώνυμον Δάξυμον (Δαξιμὼν Gen. 92,1) ἐκεῖσε σκηνοῦται. Ὁ δὲ Ἄμερ παρεκβατικώτερον (παρεκβατικώτερον Gen.) διελθὼν — πρὸς τὴν Ζέλισσαν, ἀπῄει πρὸς τὸ Χωνάριον· ἐν ᾧ πολέμου συγκροτηθέντος, τροποῦται ὁ βασιλεὺς καὶ (πρὸς φυγεῖν ἀναγκάζεται ἀπιδεῖν Ced. 163,2)· καὶ εἰς παντελῆ ἀπορίαν ἐλθών, ἔφη πρὸς αὐτὸν ὁ Μανουήλ». Τὰ μὲν φοινικίζοντα πέδιλα καὶ τὴν βασιλικὴν πανοπλίαν ἀπαμφιάσθητι, ὦ δέσποτα· ἐγὼ δὲ λογάδας ἀνδρῶν φ' συλλέξας εἰς (ἓν Gen.) μέρος ῥαδίως διελευσόμεθα· οὗ γεγονότος καὶ τὸ «σταυρὸς (σωτῆρος Gen.) νενίκηκεν» τοῦ Μανουὴλ κεκραγότος, ἀνδρείως διέκοψε καὶ ἐξέθορεν. Ὁ δὲ βασιλεὺς δειλίᾳ κατασχεθεὶς ὑπεστράφη. Ὁ δὲ Μανουὴλ τὸν βασιλέα μὴ ἐκβεβηκότα πυθόμενος εἰς ἕτερον μέρος καὶ αὐτὸς αὖθις διασχίσας εἰσῆλθε πρὸς τὸν βασιλέα, ἔτι δὲ διὰ τὸ τὸν τόπον ὑδάτων καὶ νομῆς σπανίζειν ὑπεχώρησεν ὁ Ἄμερ εἰς λιβάδιον, ὅπερ Δώρα κατονομάζεται. Ἐντεῦθεν ἄδειαν ἐχόμενος ὁ βασιλεὺς τὰς τῶν ἐχθρῶν μιαιφόνους χεῖρας διέθρασεν Vat. Cont. 24. Ced. 162,19—163,5, Gen. 91,7—93,22; sed in Sym. ed. nihil; videntur huc esse translata *Theophili e vita*.—7. Τοῦ δὲ Ἄμερ πάλιν κατὰ Ῥ. ἐξελθόντος Vat. Τῷ ἑ ἔτει τοῦ Ἀ. π. ἐπὶ Ῥωμανίαν ἐ. Sym. τὸν Ἀ. π. ἐ. κ. P. Leo.—συν. Π. καὶ Ν. εἰς τὸν Λ. Sym.—8. Π. παρὰ τοῦ βασιλέως προχειρίζεται ἡγεῖσθαι τοῦ τάγματος τῶν σχολῶν, ὃς εὐθὺς δρομήσας πρὸς τὸν πολέμιον Ἄμερ ὀλίγοις ἐπιλέκτοις καὶ οὐ πλήθει τοσούτῳ μεστωμένος (μεστούμενος Gen.), φυγάς τις τῶν Ῥωμαίων ἄπεισι πρὸς τὸν Ἄμερ καὶ φησί· «Γνωστὸν ἔστω σοι, ὦ Ἄμερ, ὅτι Πετρωνᾶς ἐκεῖνος ὁ πρὸς γένους τοῦ βασιλέως τὸ αἰδέσιμον ἔχων, ἐπηύχησε περιθέσθαι σοι πόλεμον, παρ' ᾧ συνηθροίσται πᾶς ὁ τῶν θεμάτων στρατὸς κατά σου μάχην πραγματευόμενος». Τότε ὁ Ἄμερ σὺν τοῖς ὑπ' αὐτοῦ πρὸς βουλὴν κινεῖται τὸ τί δρᾶν αὐτούς. Οἱ δὲ ἔφασαν ὑποστρέφειν αὐτοὺς εἰς

κελλαρίων, λοχήσαντες τὴν ὁδὸν τῆς ὑποστροφῆς αὐτοῦ συναντῶσιν αὐτῷ εἰς τὸν Λαλακαῶνα, καὶ συμβολῆς γενομένης τρέπουσιν Ἄμερ· καὶ φυγῇ χρησάμενον καταδιώκει αὐτόν τις τῶν κομήτων καὶ τούτου τὴν κεφαλὴν ἄρας ἤγαγε Πετρωνᾷ στρατηλάτῃ. Εἰσελθόντες δὲ οἱ στρατηγοὶ μετὰ ἐπινικίων, ἐθριάμβευσαν ταῦτα ἐν τῷ ἱππικῷ· καὶ ἔκτοτε ἐγένετο γαλήνη μεγάλη ἐν τῇ ἀνατολῇ (διὰ τὴν τοῦ Ἄμερ σφαγήν).

(18) Καὶ ἄλλων μὲν οἱ πόνοι καὶ τὰ [κατὰ] τῶν πολεμίων ἀνδραγαθήματα, ἡ δὲ τοῦ βασιλέως ἀγάπη πρὸς τὸν Βασίλειον ἐξέχυτο, καὶ τοῦτον μόνον [ἐνόμιζεν] εἶναι τὸν θεραπευτὴν αὐτοῦ.

Δ'. ΠΕΡΙ ΤΟΥ ΠΤΩΧΟΜΑΓΙΣΤΡΟΥ.

(19) Ἔκτισε δὲ Μιχαὴλ σταῦλον τοῖς ἵπποις αὐτοῦ, κοσμήσας μαρμάροις καὶ ὑδάτων ἐπιῤῥοαῖς, κατασκευάσας ὡραιότατον πάνυ· καὶ τούτου τελεσθέντος ἦν τις ἐν τῇ πόλει ὀνόματι Πέτρος, λόγιος καὶ σκωπτικὸς, ὃν καὶ

τὰ ἴδια, ὡς τῆς προτέρας νίκης ἱκανῆς οὔσης αὐτοῖς. Ὅς μὴ πεισθεὶς..... Πετρωνᾷ καὶ.... ὁ Ἄμερ μαχαίρᾳ πεπoινη[λάτητο], τοῦ υἱοῦ αὐτοῦ μόνου σὺν ἑκατονταέδι ἀνδρῶν διαπερατωσαμένουν] τὸν Ἅλυν ποταμὸν..... καὶ φεύγοντες (φεύγοντος?), ὃν κατὰ συνάντησιν ἐν τῷ τῶν Χαρσιανῶν θέματι ὁ Μαχαιρᾶς οὕτω καλούμενος [καθεστὼς] κατέσχε καὶ τοὺς σὺν αὐτῷ Vat. diversa a Cont. 25 et Cod. 163,6 — 165,3, sed = Gen. 95,6 — 97,3.

3. τρέπεται ὁ Sym. — χρησάμενος Leo. — 5. Οἱ δὲ στ. ἐν τῇ πόλει εἰσελη-λυθότες [μετὰ] ἐπινικίου ἐ. ἐν τῷ ἱπ. Vat. — 7. γ. ἔσχεται τῆς ἀνατολῆς Vat. ἐγ. εἰρήνη ἐν τῇ ἀ. ed. — διὰ — σφαγὴν om. Sym. — 9. Ὡς δέ τινες [λέγουσι] ὅτε καὶ Βάρδας σὺν τῷ ὁμαίμονι τοὺς ἐχθροὺς [τροπωσαίμενος?] τὴν τοῦ Καίσαρος κληροῦται ἀνάῤῥησιν ἐν ἡμέρᾳ τοῦ πάσχα (858?), ᾧ τινι ἡ φιλοσοφία πεφιλότιμητο· συνεθροίζετ γὰρ σοφοὺς κατὰ τὴν Μαγναύραν, ὧν τοὺς μὲν φιλοσοφίας καὶ γεωμετρίας, τοὺς δὲ ἀστρονομίας, ἄλλους γραμματικῆς ἀντιποιουμένους ἐγκαταστήσας προῖκα διδάσκειν παρεκελεύσατο, ὥστε κατὰ τὴν φιλοσοφίαν Λέοντα τὸν φιλόσοφον ἐκτάξαι καὶ τὸν αὐτοφυτητὴν ἐν γεωμετρίᾳ Θεόδωρον καὶ ἐν ἀστρονομίᾳ Θεοδηγήσιον καὶ γραμματικῆς Κομητᾶν Cont. 26—29, Ced. 165,11—171,14 sub Theophilo cf. Sym. Th. 10, sed Gen. 98,1. — 10. sub Michaele III. — 12. θεραπεύοντα αὐτόν Leo, Sym. 26. — 13. Π. τοῦ π. τ. cod. et Par. 1706. — 15. Sym. 27 τῷ ς' ἔτει. — στάβλον τῶν ἵππων Sym. — 16. μ. τοῦτον καλλοπίσας καὶ ὑδ. ἐπ. τ. οὗν τ. ὁ βασιλεὺς τὸν π. (πτωχομάχην Sym.) λεγόμενον Πέτρον, ὃς λ. τε καὶ σκ. ἦν, εἰς θέαν τοῦ ἔργου προσεκαλέσατο τὸν ἐξ αὐτοῦ θηρώμενος ἔπαινον· φησὶ δὲ πρὸς αὐτὸν· ὡς Vat.

πτωχομάγιστρον ἐκάλουν. Τοῦτον προσκαλεσάμενος Μιχαὴλ ἐν τῷ σταύλῳ, ὑπεδείκνυεν αὐτῷ τὴν ἄλογον τοῦ κατασκευασθέντος οἴκου εὐπρέπειαν, ὡς βουλόμενον ἐπαινεθῆναι παρ' αὐτοῦ, εἰπὼν καὶ ταῦτα· «ὡς ἀεὶ μνημονεύεσθαι μέλλω διὰ τὴν τοῦ ἔργου τούτου κατασκευήν». Ὁ δὲ ἔφη τῷ βασιλεῖ· «Ἰουστινιανὸς ἔκτισε τὴν μεγάλην ἐκκλησίαν κοσμήσας χρυσῷ καὶ ἀργύρῳ καὶ μαρμάροις πολυτίμοις, καὶ μνήμη αὐτοῦ νῦν οὐκ ἔστιν. Καὶ σύ, βασιλεῦ, κοπροθέσιον ποιήσας καὶ ἀλόγων ἀνάπαυσιν λέγεις μνημονεύεσθαι διὰ τοῦτο»; Ὁ δὲ ἀποτυχὼν τῶν (ἐξ αὐτοῦ) ἐπαίνων καὶ ὀργισθείς, τυπτομένος καὶ συρόμενος ἐξεβλήθη ὁ πτωχομάγιστρος.

(20) Φήμης δὲ διαθεούσης περὶ Βάρδα Καίσαρος, ὅτι 857
τῇ νύμφῃ αὐτοῦ συμφθείρεται, τοῦτο ἀκούσας Ἰγνάτιος ὁ πατριάρχης, πολλάκις παρήνεσεν αὐτὸν ἀποσχέσθαι τοῦ τοιούτου μύσους καὶ μὴ πρόσκομμα εἶναι πολλῶν, τὸν ἀρετῆς ὑπόδειγμα εἶναι ὀφείλοντα (καὶ σώφρονος βίου). Ὁ δὲ [μὴ πειθόμενος* ἐνεῖχε τῷ πατριάρχῃ συνεχῶς ἐγκαλοῦντι καὶ] σωφρονεῖν** κατεπείγοντι. Καὶ δήποτε μέλλοντα κοινωνεῖν τὸν Βάρδαν ὁ πατριάρχης ἀπώσατο (ὡς μὴ πειθόμενον (185ᵃ) κανόσιν ἢ παραινέσεσιν)· ὃς ὀργῇ πληγεὶς τὴν ψυχὴν τὸν παραινέτην, ὡς ἄνομόν (τινα) καὶ φθορέα τῆς ἐκκλησίας ἐξέωσε καὶ βασάνοις ἀπείροις καὶ ἀνημέροις

---

5. μέλλων Leo, ὀφείλω Sym. — τ. τοῦ ἔ. Vat. — 6. τῷ β. ἀπεκρίνατο· Ἰ. βασιλεὺς τοιοῦτον ἔργον κατεσκευακὼς τὴν μ. ταῦ θῦ ἐ. καὶ χ. καὶ ἀ. καὶ π. κατασκ. οὐδὲ μνήμης ἀξιοῦται· σὺ Vat. — 9. κοπρῶνα Sym. — κατασκευάσας Vat. — * καὶ ed. — 10. διὰ τ. μν. φῆς Vat. — Τοῦ δὲ — ἀποτυχόντος — καὶ ὀργισθέντος κτλ? — 11. τυπτόμενον καὶ συρόμενον ἠξήγαγε τὸν πτ. Leo, Sym. — 13. Ὁποῖα ὤφελε ἔδρασε Βάρδας ὁ Καῖσαρ εἰς τὸν πατριάρχην Ἰγνάτιον. Ὁ δὲ π. Ἰγ. φ. π. Β. τοῦ Κ. δ. ὡς τῇ ἀ. ν. σ. π. τούτῳ π. Vat. Τῷ ζ' ἔτει φ. ϑ. ὡς Β. ὁ Κ. τῇ ν ἀ. Εὐδοκίᾳ σ. ὁ π. Ἰγ. π. τ. παραινεῖ Sym. — 16. μιάσματος Leo, κακοῦ Sym. — καὶ—βίου om. Sym. — ἀρ. καὶ σωφροσύνης ὑπ. ἐ. ὀφ. Vat. — 17. Ὁ δὲ τοῖς λόγοις ὡς κέντροις πληττόμενος ἐνεκότει αὐτῷ· ἐπεὶ δὲ μ. Vat. — 18. μὴ — καὶ om. ed. — ** μᾶλλον Sym. om. σ. ἐ. καί. — 19. κατεπείγετο ed. αὐτὸν κατεπείγοντος Sym. — μέλλοντος κ. τὸν B. Leo? Sym. τοῦ Βάρδα μελλοντ. cod. — 20. ὡς — ὃς om. Vat. ex homoioteleuto? ὡς — παραινέσεσιν om. Sym. — 22. τινὰ om. ed. Sym. — 23. β. ἀνηκέστοις Vat. β. ἀπ. Sym.

ὑπέβαλεν ὡς ποιῆσαι παραίτησιν˙. Τοῦ δὲ μὴ πεισθέντος, Φώτιον πατριάρχην ἀντ' αὐτοῦ χειροτονεῖ πρωτασηκρῆτιν ὄντα (τῷ κατ' ἐκεῖνον καιρῷ) καὶ λογιώτατον πάνυ.

864 (21) Ὁ δὲ βασιλεὺς ἐξεστράτευσε κατὰ τῶν Ἀγαρηνῶν καταλιπὼν ἐν τῇ πόλει (ταύτην φυλάττειν) Ὡορύφανδ ὕπαρχον (ὄντα), ὅστις, οὔπω τοῦ βασιλέως μηδὲν ἐξ ὧν ἐμελέτα καὶ κατὰ νοῦν εἶχεν ἐργασαμένου, τὴν τῶν ἀθέων Ῥὼς ἐμήνυσεν ἄφιξιν, γεγηνεμένου ἤδη κατὰ τὸν Μαυροπόταμον. Καὶ ὁ μὲν βασιλεὺς καὶ τῆς ἐρχομένης μετεσχέθη ὁδοῦ καὶ δι' ἣν ταύτην ἀφῆκεν, οὐδὲν βασιλικὸν καὶ γενναῖον εἰργάσατο. — Οἱ δὲ Ῥῶς φθάσαντες ἔνδον τοῦ Ἱεροῦ γενέσθαι, πολὺν εἰργάσαντο φόνον χριστιανῶν καὶ ἀθῶον αἷμα ἐξέχεον· ὑπῆρχον δὲ πλοῖα σ', ἃ περιεκύκλωσαν τὴν πόλιν (καὶ πολὺν φόβον τοῖς ἔνδοθεν ἐνεποίησαν). Ὁ δὲ βασιλεὺς καταλαβὼν μόλις ἴσχυσε διεπερᾶσαι, καὶ

---

ϑεν ἐρωτήσων περὶ τῶν στρατηγῶν· καὶ εἰς τὸ μονόϑυρον ἀγαγὼν καὶ τὰ γράμματα ἄρας καὶ ἀποσφενδονήσας παραδέδωκε τοῖς ἐπιτυχοῦσιν ἐξαγαγεῖν τοῦ παλατίου διορισάμενος ἀποκεῖραι αὐτόν. Μαϑὼν δὲ τοῦτο ὁ Μουσικὸς ἐν ἀπογνώσει γέγονε· εἰσελϑὼν δὲ ὁ βασιλεὺς ἔνϑα ἵστατο ὁ Μουσικὸς παρεστὼς τῷ ζαύτζα, τοῦτον ἐπὶ τράχηλον ὠϑήσας ἐξήγαγε, παραδοὺς Χριστοφόρῳ κοιτωνίτῃ ἐν τοῖς Στουδίου ἀπαγαγεῖν καὶ μοναχὸν ποιῆσαι. Μετ' ὀλίγον δὲ τελευτᾷ ζαύτζας ἐν τῷ παλατίῳ, καὶ τοῦτον διὰ τοῦ Βουκολέοντος καταγαγόντες, ἀπήγαγον ἐν τῇ μονῇ τοῦ Καυλέα, ἐκεῖσε αὐτὸν ϑάψαντες.

(20) Μετὰ δὲ τὴν τελευτὴν ζαούτζα Βασίλειος ἐπείκτης ὑὸς Νικολάου ἑταιριάρχου συνεφιλιώϑη Σαμωνᾷ κουβικουλαρίῳ τῷ ἐξ Ἀγαρηνῶν, ὀρεγόμενος τοῦ τῆς βασιλείας ἀξιώματος. Ἐϑάρρησε δὲ τῷ Σαμωνᾷ, ὅτι «τῆς ϑείας ἡμῶν Ζωῆς τελευτησάσης, ὁ βασιλεὺς λαβεῖν ἔχει ἑτέραν γυναῖκα καὶ ἡμᾶς πάντας ἔχει ἀφανίσαι· ἀλλὰ δός μοι λόγον·· ἵνα σοι ϑαῤῥήσω πάντα τὰ βουλευόμενα»· καὶ δόντος αὐτοῦ λόγον τῷ Βασιλείῳ, ἐϑάῤῥησεν αὐτῷ πάντα. Ὁ δὲ Σαμωνᾶς εἰσελϑὼν εἰς τὸν βασιλέα εἶπεν αὐτῷ, ὅτι «δέσποτά μου, ϑέλω σοι εἰπεῖν τι ἰδίως, ὅπερ ἐὰν μὲν εἴπω, ἀποϑνήσκω, εἰ δὲ μὴ εἴπω, ἀποϑνήσκεις σύ»· καὶ διεξῆλϑε πρὸς τὸν βασιλέα πᾶσαν τὴν ἐπιβουλὴν τοῦ Βασιλείου. Ἀπιστήσαντος δὲ τοῦ βασιλέως τοῖς λαληϑεῖσι

---

2. ἐξάρας αὐτοῦ ἀπεσφενδόνησε τοῦτον καὶ τοῖς προστ. π. τοῦ π. ἐξαγαγεῖν μοναχὸν ἀπ. Vat.—παρέδωκε Leo, Vat.— 3. παρατυχοῦσι Leo.—5. ἐ. ὁ Μ. τῷ Ζ. παρίστατο Vat.— 7. διορισάμενος Χρ. κ. ἐν τοῖς τοῦ Στ. ἀποκεῖραι αὐτόν Vat.—8. Μετ' ὀ. Ζ. τ. καὶ διὰ τοῦ Β. κατενεγκόντες αὐτὸν ἐν τῇ μ. τοῦ Καυλέου κατέϑαψαν Vat.—12. Συμφιλιοῦται δὲ ὁ ἐπ. Β. τῷ κ. Σ. τῷ ἐξ Ἀ. τοῦ τῆς β. ὀ. ἀξ. Vat. Τῷ ϑ' αὐτοῦ ἔτει ἐπιβουλῆς γενομένης Δ. τῷ β. παρὰ τῶν συγγενῶν τοῦ Ζ. καὶ διαγνωσϑείσης Sym. 6.—· ὁ Leo.— 14. τῷ — ἀξίωματι Leo? — 16. τ. Ζ. ἑτέρᾳ γυναικὶ πάντως ὁ β. συζευχϑήσεται καὶ ἡ. ἐκποδὼν καταστήσει· δὸς οὖν μοι πίστεις ὡς φυλάξεις τὸ ἀπόῤῥητον κἀγώ σοι π. ϑ. τὰ ὑφ' ἡμῶν β. Vat.—17. ϑέλει ἀφ. ed. Leo. — ·· καὶ Leo? — 18. Ὁ δὲ τοῦτο πεποιηκὼς πᾶσαν παρ αὐτοῦ τὴν συσκευὴν ἐδιδάσκετο Vat.—20. ὡς β. ἐ. ἔφη ϑ. σοί τι δ. ἰδίᾳ ἐ. ὅπερ Vat.— 21. εἰ μὲν Leo, ἐμοὶ μὲν λεγόμενον ϑάνατον προξενεῖ, σοὶ δὲ σιωπώμενον Vat. — 23. διεξεῖπε Leo. — τὴν τοῦ Β. ἐπ. Leo, Vat.— 24. Τοῦ δὲ β. τοῖς βηϑεῖσι διαπ. καὶ εἰπ.όντος· Μήποτε ὡς ἐξ ὑποβολῆς τινὸς τ. εἰρήκει Vat.

παρ' αὐτοῦ καὶ εἰρηκότος· «Μήτίς σοι ὑπέβαλε ταῦτά μα εἶπεῖν καὶ ἐκ δωροδοκίας τοῦτο ἐποίησας»; Ὁ δὲ εἶπεν· «ἀπόστειλον πιστοὺς ἀνθρώπους οὓς κελεύεις ἐν τῷ (ἐμῷ) κελλίῳ, δέσποτά μου, καὶ ἵνα ὦσιν ἐγκεκρυμμένοι καὶ εἴτι ἂν ἀκούσωσι παρὰ Βασιλείου καὶ παρ' ἐμοῦ, γράφωσι ταῦτα». Παρευθὺ δὲ ὁ βασιλεὺς ἀποστέλλει Χριστοφόρον πρωτοβεστίαριον ἅμα Καλοκύρῳ κοιτωνίτῃ· καὶ ἀνελθόντες ἐκρύβησαν ἐν τῷ κελλίῳ αὐτοῦ. Βασίλειος οὖν δελεασθεὶς καὶ λαβὼν λόγον ἔνορκον παρὰ Σαμωνᾶ εἰς τὸ προσευχάδιον αὐτοῦ, ἐξεῖπεν αὐτῷ πάντα τὰ τῆς βουλῆς καὶ τοὺς συμβουλευομένους. Ἀριστώντων δὲ αὐτῶν κατελθόντες Χριστοφόρος καὶ Καλόκυρος διὰ γραφῆς ἀνέγνωσαν πάντα τῷ βασιλεῖ. Καὶ παρευθὺ μὲν Βασίλειον προσκαλεσάμενος δέδωκε μιλιαρήσια χιλιάδας κδ' ὡς δῆθεν ψυχικὰ τῆς αὐτοῦ θείας Ζωῆς (ὡς ὁρισθέντα παρ' αὐτῆς οὕτως) καὶ ἀπέστειλεν ἐν Μακεδονίᾳ καὶ τὸν μὲν Βασίλειον οὕτως τῆς πόλεως ἐξήγαγεν, τοὺς δὲ λοιποὺς τοὺς τῆς αὐτῆς βουλῆς μετεσχηκότας καὶ κοινωνήσαντας, Πάρδον μὲν δρούγγαριον τῆς βίγλης ἀποστέλλει πρὸς τὸν Στυπιώτην, δῆθεν ἀγαγεῖν αὐτὸν, προμηνυθέντος ἐκείνου διὰ βασιλικοῦ πιττακίου τοῦτον δεσμῆσαι. Προφασισάμενος δὲ ὁ βασιλεὺς ἀπελθεῖν καὶ δειπνῆσαι εἰς τὸν ἅγιον Λάζαρον, εἰς τὸ καταβάσιον τοῦ τζυκανιστηρίου, ἔστησε Ἰωάννην Γαριδᾶν μετὰ καὶ τῶν λοιπῶν τῆς ἑταιρίας ἐν τῷ κουβου-

---

1. ἐ. μοι Leo.—2. ὁ Σαμωνᾶς· Εἰ βούλει πληροφορηθῆναι, φησίν, οὓς βούλει, εἰς τὸ ἐμὸν κελλίον ἀπ. καὶ ἀποκρύψω τούτους ἐν ἀποκρύφῳ Vat. — 3. ἐμῷ om. Leo. — 4. εἰσὶ cod. Leo.—καὶ ὅσα π. Β. καὶ π. ἐ. λέγονται, γράψουσι καὶ τηνικαῦτα βεβαιωθήσῃ ὡς οὐδὲν ψεῦδός ἐστι τῶν ὑπ' ἐμοῦ σοὶ ῥηθέντων Sym.—5. ἀκούουρι ed.— ' τοῦ Leo.— 6. Ἀπ.οὖν ὁ β. Vat.—7. οἳ ἐν τῷ τοῦ Σαμωνᾶ κ. ἀν. ἐκ. Vat.—εἰσελθ. Leo.— 8. Ὁ δὲ Σαμῶνας τὸν Β. δελεάσας καὶ λ. ἐ. δοὺς, ἔπεισε πάλιν πᾶσαν αὐτοῦ τὴν ἐπιβουλὴν φανερῶς ἐξειπεῖν καὶ τ. μετ' αὐτοῦ βουλ. ἅπερ Χρ. καὶ Κ. Vat. — 12. Καλοκῦρις Leo. — ἀκούοντες δ. γ. ἐσημήναντο. Τούτων δὲ ἀριστευόντων οὗτι κατ. τῷ β. τὴν γραφὴν ὑπανέγνωσαν Vat. — 13. μὲν πρ. Β. Leo, Β. μὲν πρ. Vat. — 14. μ. χ. κδ' (sic) δ. δῆθεν Vat. μιλιαρίσια χ. εἴκοσι ὡς δ. Leo. — 15. ὡς — οὕτως om. Leo, Vat. — 16. καὶ ἐν Μ. ἀπ. Π. δὲ δρ. τῆς Vat. — 19. βίγλης αὐτῷ κεκοινωνηκότα π. τὸν Στ. ἀπ. δ. τοῦ ἁγ. ἀ. ὃς προμηνυθεὶς διὰ βασιλικῆς γραφῆς τ. ἐθέσμευσε. Ν. δὲ ἑτ. τῆς π. ὑπεξ. Vat. — 21. αὐτὸν Leo.

κλείω· καὶ ἐν τῷ κατέρχεσθαι τὸν βασιλέα, κρατήσαντες οἱ μετὰ Ἰωάννου Νικόλαον ἑταιριάρχην ἐξήγαγον τῆς πόλεως. Ἀγαγὼν δὲ ἐκ Μακεδονίας Βασίλειον καὶ ἀνακρίνας* καὶ τύψας καὶ τὰς τρίχας αὐτοῦ καταφλέξας καὶ ἐν (τῇ) μέσῃ θριαμβεύσας**, ἐξώρισεν ἐν Ἀθήναις· καὶ κακῶς ἐκεῖ τελευτᾷ· ὡσαύτως καὶ Νικόλαον ἑταιριάρχην καὶ Στυλιανὸν καὶ Ἰωάννην καὶ τὴν συγγένειαν πᾶσαν ζαύτζα, τοὺς μὲν ἀπέκειρε, τοὺς δὲ ἐξώρισε (δημεύσας τὰς οὐσίας αὐτῶν πάσας καὶ οὕτως πᾶσα ἡ συγγένεια ζαύτζα ἐξωλοθρεύθη διὰ Σαμωνᾶ).

(21) Πάντας δὲ τοὺς μαγίστρους καὶ τοὺς ἐν τέλει προσκαλεσάμενος ὁ βασιλεὺς ἀνέγνω κατενώπιον αὐτῶν τὰ μηνυθέντα παρὰ Σαμωνᾶ. (Οἱ δὲ τοῦτον ἐπῄνεσαν ὡς τῆς ζωῆς τοῦ βασιλέως προνοούμενον) καὶ εἰρήκασιν, ἄξιον εἶναι τιμῆς μεγάλης. Ὁ δὲ παρευθὺ τοῦτον τῇ τοῦ πρωτοσπαθαρίου ἀξίᾳ τετίμηκε καὶ προσῳκειώσατο ἑαυτῷ.

(22) Ἐτελεύτησε δὲ Ἀντώνιος ὁ πατριάρχης, καὶ (ἀντ' 896
αὐτοῦ) χειροτονεῖται Νικόλαος*** μυστικὸς ὢν τοῦ βασιλέως. Παρελήφθη δὲ τὸ κάστρον ἡ Δημητριὰς ἐν τῷ θέματι τῆς Ἑλλάδος ὑπὸ Δαμιανοῦ τοῦ Ἀγαρηνοῦ.

(23) Λέων δὲ ὁ βασιλεὺς στέφει Ἄνναν θυγατέρα Ζωῆς

---

2. ἐξήγαγε Leo, ὑπεξήγαγε Vat. — * αὐτὸν Vat. — 4. τ. σφοδρῶς καὶ τρ. Vat. — κατακαύσας Leo. — τῇ om. Vat. — ** τῇ πόλει Vat. — 5. ἐν Ἀ. ἐ. ἔνθα δὴ καὶ κ. ἐτελεύτησε Vat. — ἐκεῖσε τετελεύτηκε Leo. — 6. Στυλιάνην Vat. — 7. καὶ τοὺς συγγενεῖς πάντας Vat. καὶ σ. ed. πάντας κρατήσας ἐξ. καὶ ἐξωλόθρευσε τὴν σ. τοῦ Z. ἅπασαν Sym. 6. ceteris omissis. — 8. δημ. — Σαμωνᾶ om. Vat. Sym. — 11. ὁ β. πρ. ἐν. αὐτοῦ τὰ ὑπὸ Σ. μ. ἀν. Vat. — 13. οἱ — προν. om. ed. — ὑπερεπῄνεσαν Leo, Vat. — τῆς τοῦ β. παραίτιον καταστάντα ζ. καὶ ἀ. ἐ. μ. τ. προειρ. Vat.— 15. μεγίστης Leo, Vat. — Ὁ δὲ τ. π. Vat. — 17. καὶ οἰκεῖον ἑ. κατεστήσατο Vat.— ἑαυτοῦ ed. — 17. Τῷ ι' αὐτοῦ ἔτει τελευτᾷ Ἀ. π. Sym. 7. Ἐτ. δὲ Στέφανος Leo et ced. a prima manu ut videtur, quum Ἀντ. in loco eraso scriptus sit, ἐτ. δὲ ὁ π. Στ. Vat. — ἀντ' ἀ. om. Sym. — 18. ἐχειροτονήθη Leo, Vat. πατ. ὁ μ. ἐχ. Ν. ᾧ πολλὰ μὲν ἦν τὰ τῆς σοφίας πρωτερήματα σὺν εὐσχήμονι καταστάσει Vat.— *** ὁ πατριάρχης Leo, π. Sym. Vat.—19. Τότε καὶ ἡ Δ. παραλαμβάνεται ὑ. Δ. τοῦ Ἀ. Sym.— ἡ πόλις Δ. ἡ ἐν τῷ θ. Ἑ. ὑπὸ τῶν Ἀγαρηνῶν Vat. — 21. Στ. δὲ ὁ β. Sym. 7. — τὴν ἀπὸ Vat. τῆς Sym.

τῆς ἀπὸ τοῦ ζαύτζα, διὰ τὸ μὴ δύνασθαι ποιεῖν τὰ ἐκ τύπου κλητόρια, μὴ οὔσης Αὐγούστης.

897 (24) Ἠγάγετο δὲ ὁ βασιλεὺς κόρην ἐκ τοῦ θέματος Ὀψικίου, ὡραιοτάτην πάνυ, ὀνόματι Εὐδοκίαν, στέψας καὶ ἀναγορεύσας καὶ γήμας αὐτὴν, ἐξ ἧς παιδοποιήσας ἄρρενα παῖδα, ἐφ' ᾧ τετελεύτηκε καὶ αὐτὴ καὶ τὸ γεννηθέν.

(25) Ἐξωνήσατο δὲ οἰκήματα Λέων ὁ βασιλεὺς πλησίον τῶν ἁγίων ἀποστόλων καὶ ἔκτισεν ἐκεῖ ἐκκλησίαν περιφανῆ ἐπ' ὀνόματι τῆς προτέρας αὐτοῦ γυναικὸς τῆς ἁγίας Θεοφανῶ.

899 (26) Ὡσαύτως ἔκτισεν ἐκκλησίαν εἰς τοὺς λεγομένους Τόπους, τὸν ἅγιον Λάζαρον, κατασκευάσας αὐτὴν μονὴν ἀνδρείαν εὐνούχων, ἔνθα καὶ τὸ τοῦ ἁγίου Λαζάρου σῶμα (ἐκ Κύπρου) καὶ Μαρίας τῆς Μαγδαληνῆς (ἀπὸ Ἐφέσου ἀνακομίσας) ἀπέθετο (ποιήσας καὶ τὰ ἐγκαίνια τῆς αὐτῆς ἐκκλησίας). Ἀσχολουμένου δὲ τοῦ στόλου εἰς τὰ κτίσματα τῶν τοιούτων ἐκκλησιῶν, παρελήφθη ἐν Σικελίᾳ τὸ Ταυρομένιον ὑπὸ τῶν Ἄφρων (τῇ ἀμελείᾳ, μᾶλλον δὲ προδοσίᾳ Εὐσταθίου δρουγγαρίου τῶν πλωΐμων καὶ Καραμάλου ἐκεῖσε ὄντος καὶ Μιχαὴλ τοῦ Χαράκτου) γενομένης πολλῆς σφαγῆς τῶν Ῥωμαίων. Ἀνελθόντων δὲ αὐτῶν ἐν τῇ πόλει

---

1. κατὰ τύπον Vat. — 2. Ἀ. μὴ ὁ. Vat. — 3. Τῷ ια' αὐτοῦ ἔτει ἠγ. ὁ β. τρίτην ἑαυτοῦ γυναῖκα τὴν ἀπὸ τοῦ Ὀ. Ἐ. στ. ἀ. καὶ ἀν. ἥτις ἐξ αὐτοῦ ἀ. γεννήσασα π. ἐτελεύτησε, ἀπέθανε δὲ καὶ τὸ γ. παιδίον Sym. 8. — Ὀψ. θ. Vat. — 4. ὡραίαν τε καὶ περικαλλῆ, ὄνομα δὲ αὐτῇ Ἐ. ἔγημέ τε ταύτην καὶ ἔστεψε Vat.—5. ἐξ ἧς π. ποιήσας ἀ. ed. ἐξ ἧς π. ἐποίησεν ἀ. ἐφ' ᾧ καὶ ἀ. καὶ τὸ γ. ἐτελεύτησεν Vat.—8. Περὶ τοῦ ναοῦ τῆς ἁγίας Θεοφανοῦς καὶ τῆς μονῆς τοῦ ἁγίου Λαζάρου καὶ ὡς τότε τὸ Ταυρομένιον ἑλήφθη. Ἔκτισε δὲ π. τοῦ τῶν ἁγ. ἀπ. ναοῦ ἐ. ὁ β. ἐπ. ὁ. τῆς π. ἀ. γ. Θ. Vat. Τούτῳ τῷ ἔτει (ζ' ?)—πλ. τῶν ἁγ. ἀπ. ἐξωνησάμενος ὁ. Λ. ὁ β. κτίζει ἐκ. Sym. 8.—ὁ. ὁ β. Λέων ed. ὁ β. οἰκ. Leo.—9. περικαλλῆ Leo, Sym.—10. εἰς ὄνομα Θεοφανῶ τῆς πρώτης ἀ. γ. καὶ κατατίθησι καὶ ταύτην ἐκεῖ Sym. —11. Θεοφανοῦς Leo, Vat.—12. Ἐ. δὲ καὶ τὴν τοῦ ἁγίου Λαζάρου ἐ. ἐγγιστα τῶν λεγομένων Τόπων καὶ μ. ἀνδρῶν ἐ. ἐν αὐτῇ κατεσκεύασεν Vat. Τῷ ιγ' αὐτοῦ ἔτει κτίζει ὁ βασιλεὺς εἰς τ. λ. Τ. ναὸν ἁ. Λ. καὶ κατασκευαζει μ. ἀ. ἐ. Sym. — 14. ἐν ᾧ καὶ Sym. — 15. ἐκ Κ. et ὑπὸ Ἐ. om. Leo, Sym, Vat. — ἀναχ. om. Sym. — 16. ποιήσας—ἐκκλησίας om. Vat. Sym. — 17. Τούτῳ τῷ καιρῷ παραδίδοται Τ. τοῖς Ἀγαρηνοῖς Sym. Τοῦ δὲ στ. ἐν τοῖς τ. τ. ἐ. ἔργοις ἀ. τὸ ἐν Σ. Τ. π. καὶ πολὺς τῶν Ῥωμαίων φόνος ἐγένετο Vat. — 18. τῇ — Στουδίου om. Vat. Sym. — 19. Καραμάλλου cod.

παρατάξει τοῦ βασιλέως καὶ τοῦ πατριάρχου, ἐλεγχθέντες παρὰ Μιχαὴλ τοῦ Χαράκτου ὡς προδόται, κατεκρίθησαν θανάτῳ· παρακληθέντος δὲ τοῦ βασιλέως παρὰ Νικολάου τοῦ πατριάρχου, τὸν θάνατον συνεχωρήθησαν, (τυφθέντες δὲ μόνον καὶ δημευθέντες ἀπεκάρησαν) μοναχοί, ὁ μὲν Καράμαλος εἰς τὰ Πικριδίου, ὁ δὲ Εὐστάθιος εἰς τὰ Στουδίου) — Παρελήφθη δὲ καὶ Λῆμνος ἡ νῆσος ὑπὸ 900
τῶν (192[b]) Ἀγαρηνῶν αἰχμαλωσίαν πολλὴν πεποιηκότων.

(27) Ἐν τῇ προελεύσει δὲ τῆς μεσοπεντηκοστῆς τοῦ 902
βασιλέως Λέοντος ἀπελθόντος εἰς τὸν ἅγιον Μώκιον** καὶ εἰσοδεύοντος, ὅτε ἦλθε πλησίον τῆς σολέας, ἐξελθών τις ἐκ τοῦ ἄμβωνος δέδωκεν αὐτῷ κατὰ κεφαλῆς μετὰ ῥάβδου ἰσχυρᾶς καὶ παχείας· καὶ εἰ μὴ (ἡ) φορὰ τῆς ῥάβδου εἰς πολυκάνδηλον ἐμποδισθεῖσα διεχαυνώθη, παρευθὺ ἂν τοῦτον ἀπήλλαξε τοῦ ζῆν. Τοῦ δὲ αἵματος σφοδρῶς καταῤῥέοντος ἐκ τῆς τοῦ βασιλέως κεφαλῆς, ταραχή (τε) καὶ φυγὴ τῶν ἀρχόντων γέγονε, καὶ πολλοὶ ἐν ταύτῃ ἀπώλοντο. Ὁ δὲ ἀδελφὸς αὐτοῦ Ἀλέξανδρος προεφασίσατο νοσηλεύεσθαι καὶ οὐ κατῆλθεν ἐν τῇ εἰσόδῳ ὡς ἐκ τούτου ὕποπτον αὐτὸν γενέσθαι τὴν τοιαύτην ἐπιβουλὴν κατασκευά-

1. παρατ. cod. παρὰ τε τοῦ β. ed. Leo. — ἐλεγχθέντ. cod. ἐλεγχθέντων ed. Leo. — 2. προδότ. cod. προδοτῶν ed. Leo. — 3. τυφθ. — ὑπ. om. ed. — καὶ ἀποκαρέντες Leo. — 7. τὴν μονὴν τοῦ Leo. — Κατεσχέθη δὲ καὶ Λ. ὑπὸ τῶν Ἀγ. καὶ πλεῖστος ἡχμαλωτίσθη ναός Vat. — * ἡ Leo. Τῷ ιε' ἔτει π. ἡ ν. Λ. Sym. 10. — 8. πεποιηκότες ed. — 8. Περὶ τοῦ γενομένου ἐν τῷ ἁγίῳ Μωκίῳ εἰς Λέοντα τὸν βασιλέα cod. Περὶ Μάρκου μοναχοῦ Par. 1706. Περὶ τοῦ ἐν τῷ ἁγίῳ Μωκίῳ πραχθέντος τῇ ἡμέρᾳ τῆς Μεσοπεντηκοστῆς. Προέλευσιν δὲ τοῦ β. πεποιηκότος τῇ ἡμέρᾳ τῆς πεντηκοστῆς εἰς Vat. Τῷ ις' ἔτει ἐν τῇ πρ. τῆς ν' τοῦ β. ἐ. εἰς τὸν ἁ. M. Sym. 11. — 10. ἀνελθ. ed. — ** ὃν πρώην φασὶν Ἡρακλείους εἶναι ναὸν Sym. — ἐν τῷ εἰσοδεύειν αὐτὸν Vat. — 11. ἐπεὶ πλ. τῆς σ. ἦλθε Sym. καὶ πλ. τῶν ἁγίων γενέσθαι θυρῶν Vat. — ἐκπεπηδηκώς τις τοῦ ἄ. Vat. — 12. ῥάβδῳ παχείᾳ καὶ ἰσχυρᾷ τούτου (τοῦτον) ἔπαισε κ. κ. Vat. — ἐθ. Sym. — 13. καὶ δὴ ἂν ἐθανάτωσε π. εἰ μὴ προνοίᾳ τινὶ τὸ τῆς β. ἄκρον τῷ πολυκανδήλῳ προσκεκρουκὼς τῆς βιαίας μικρὸν ἀνεσχέθη φορᾶς Vat. — ἡ om. P. — εἰς π. ἡ ῥάβδος ἐνεποδίσθη Sym. — 14. τοῦ ζῆν αὐτὸν ἀπ. Sym. — 15. σφ. ἐκ τῆς τοῦ β. κ. κεφ. τ. τε καὶ φ. τῶν ἀ. ἐγένετο Vat. — 16. τε om. Sym. — 17. καὶ π. ἐν τ. ἁ. om. Vat. Sym. — Διὸ καὶ τοῦ ἀδελφοῦ Ἀλ. νόσον προφασισαμένου καὶ ἐν τῇ ἐ. μὴ κατελθόντος, ὑπόληψις γέγονε τὴν τ. ἐ. αὐτὸν κατεργάσασθαι Sym. — 18. νόσον προφασισάμενος οὐ Vat. — 19. ὑποπτευθῆναι ἀ. τὴν τ. ἐ. κατεργάσασθαι Vat.

σαι· (οὔτε ὁ Σαμωνᾶς παρῆν ἐκεῖ, ἀλλ' ἦν ἀπελθὼν ἀγαγεῖν Ζωὴν ἐν τῷ παλατίῳ πρὸς τὸ συνεῖναι τῷ βασιλεῖ). Κρατηθέντος δὲ τοῦ δόντος τὸν βασιλέα (καὶ ἐξετασθέντος) καὶ πολλὰς βασάνους καὶ τιμωρίας ὑπομεμενηκότος ἐπὶ πολλὰς ἡμέρας, ἐπεὶ μηδένα καθωμολόγει, τέλος ἐκκοπεὶς αὐτοῦ χεῖρας καὶ πόδας ἑκάτη ἐν τῇ τοῦ ἱππικοῦ σφενδόνῃ· καὶ ἔκτοτε ἐξεκόπη ἡ τοιαύτη προέλευσις.

(28) Μετὰ δέ τινα καιρὸν ἀνῆλθε Μάρκος ὁ σοφώτατος οἰκονόμος τῆς αὐτῆς ἐκκλησίας, ὃς ἦν ἀναπληρώσας τοῦ μεγάλου σαββάτου (τὸ) τετραώδιον τοῦ κυροῦ Κοσμᾶ, καὶ ἐν τῇ τραπέζῃ τῷ βασιλεῖ συνεστιώμενος, ἐξελιπάρει τὸν βασιλέα μὴ ἐκκοπῆναι τὴν ἑορτήν· τοῦ δὲ βασιλέως ἀπαναινομένου, ἔφη ὁ Μάρκος, ὅτι προγεγραμμένον ἦν παρὰ τοῦ προφήτου Δαυὶδ τὸ παθεῖν σε (τοῦτο), δέσποτα· προεφήτευσε γὰρ εἰπών· «ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου· καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου»· καὶ δεῖ σε, ὦ δέσποτα, ἀπὸ τοῦ νῦν κρατῆσαι τὴν βασιλείαν ἔτη ι', ὃ δὴ καὶ γέγονε· τῇ γὰρ αὐτῇ ἡμέρᾳ ἐν ᾗ καὶ ἔλαβεν, ἐν αὐτῇ καὶ τελευτᾷ.

903 (29) Ἦν δὲ Ζωὴ (ἡ) τετάρτη γυνὴ τοῦ βασιλέως** ἄστε-
904 πτος***. — Τοῦ δὲ βασιλέως πρόκενσον ποιησαμένου εἰς τὸ

1. οὔτε—βασιλεῖ om. Sym. Vat.—1. Κρ. τοῦ Sym. Ὁ δὲ τὸν β. πλήξας κατασχεθεὶς καὶ π. Vat. — 3. τῷ βασιλεῖ Sym.—καὶ ἐξ. om. Sym. — 4. β. ὑπομεμενηκὼς ἐπεὶ Vat.— * συνειδέναι Vat. — 5. καθωμολόγησεν, ἐκκόπτεται χ. καὶ π. καὶ ἐν τῷ σφενδόνι τοῦ Ἱ. κάεται· ἐκ τ. οὖν Sym. χ. καὶ π. ἑ. ἐν τῇ τοῦ ἱ. σφ. ἐκ. ἐκτ. δὲ ἡ τ. ἑ. πρ. Vat.—8. Περὶ Μάρκου τοῦ ἀποπληρώσαντος τοῦ μεγάλου σαββάτου τὸ τετραῴδην cod. (sic) Καὶ μ. τ. Sym. 11. — Μ. ὁ σ. μοναχὸς, ὁ. ὢν τῆς ἁ. ἐ. ὃς καὶ ἐν μεγάλῳ σμββάτῳ τ. τοῦ μεγάλου Κ. ἀνεπλήρωσεν, ἐν Vat. — φιλοσοφ. Leo. — 10. τὸ τετράῳδον τοῦ κ. Κ. τῆς μεγάλης ἑβδομάδος ἤτοι τοῦ μ. σ. πρὸς τὸν β. καὶ σ. αὐτῷ Sym. — τὸ om. Leo. — κυρίου ed. Leo. — 11. ἐν τῇ τρ. τῷ β. σ. ἐλ. τούτῳ μὴ τὴν τοιαύτην ἐ. προέλευσιν Vat. — 12. Καὶ τοῦ Leo, Sym. — 13. ὁ M. ἔφη Vat. — προείρηται τ. π. τοῦ Δ. Sym. — 14. τ. σε καθυποστῆναι Vat. — τ. om. ed. — 15. προείρηκε γὰρ ἑ. Vat. φησὶ γὰρ Sym. — ἐπονηρεύθη Leo. — ἐπὶ Sym. Ps. LXXIV. 34 τοῖς ἁγίοις.—16. ἐκαυχ. Vat.— 17. δεῖ οὖν σε, δ. ἀπὸ τοῦ νῦν ἐ. ι' τὴν β. κατασχεῖν Vat. — ἀπὸ τοῦ νῦν, ὦ δ. Leo. — 18. τ. βα' cod. τῆς βασιλείας Sym. — 19. ἐν ταύτῃ τ. Leo, τῇ ἁ. καὶ τ. Sym. — 20. Τῷ ιζ' ἔτει ἠγάγετο ὁ βασιλεὺς καὶ τετάρτην γυναῖκα Ζωὴν ὀνομαζομένην Καρβουνοψίναν Sym. 12. — ἡ om. Ven. — τοῦ β. γ. ἐν τῷ π. μετὰ τοῦ β. ἀστεφὴς Vat. — ** ἡ Καρβονεψὶς Ven. — *** ἐν τῷ παλατίῳ τοῦ βασιλέως Ven. — 21. Περὶ τοῦ Τριπολίτου Ἀγαρηνοῦ καὶ τοῦ

ἐμπόριον τοῦ Βουτίου πρὸς τὸ ἐγκαινίσαι τὴν μονὴν Χρι-
στοφόρου * πρωτοβεστιαρίου αὐτοῦ, ἦλθεν ἀγγελία, ὡς ὅτι
(ὁ) στόλος τῶν Σαρακηνῶν ἅμα τῷ Τριπολίτῃ ἀνέρχεται
κατὰ ** Κωνσταντινουπόλεως. — Ἀποστέλλει οὖν ὁ βασιλεὺς
Εὐστάθιον δρουγγάριον τοῦ πλωΐμου μετὰ παντὸς τοῦ στό-
λου (καὶ τῶν στατηγῶν) κατὰ τοῦ Τριπολίτου, οἱ *** μὴ
δυνηθέντες ἀντιπαράταξασθαι ἀπεσράφησαν κακοί.

(30) Ἦλθε δὲ ὄπισθεν αὐτῶν ὁ Τριπολίτης καὶ εἰσῆλθεν
ἔνδοθεν τῆς Ἀβύδου μέχρι **** Παρίου. Τοῦτο μαθὼν ὁ βασι-
λεὺς ἐν μεγάλῃ ἀθυμίᾳ καὶ περιστάσει γέγονε καὶ ἀποστέλ-
λει Ἰμέριον πρωτασηκρῆτιν κεφαλὴν τοῦ στόλου κατὰ τοῦ
Τριπολίτου, μὴ τολμῶντα καθ' ὅλως πλησιάσαι τῷ στόλῳ

στόλου αὐτοῦ καὶ ὅπως τὴν Θεσσαλονίκην κατέσχεν. Τῶν δὲ Βουλγαρι-
κῶν ἐφόδων Ῥωμαίους ἐπετριβόντων, οἱ ἐξ Ἄγαρ μαθόντες τοῦτο, στόλον ἐξήσαν
ναύμαχον, ἐπιστήσαντες στρατηγὸν Τριπολίτην Λεόντα, Ἀττάλου μὲν ἐξωρμημένου
τῆς πόλεως, της δὲ χριστιανῶν εὐσεβείας ἀποστήσαντα. Καὶ Τρίπολις μὲν κατω-
νόμασται ἡ κατὰ Φοινίκην τρισὶ διαιρεθεῖσα ταῖς γενεταῖς ἐξ Ἀραδίων καὶ Τυρίων
καὶ Σιδονίων ἀποίκων. Τοῦ δὲ β. ἐξελθόντος ἐν τῷ τῶν Β. ἐμπορίῳ Vat. Πρ. δὲ
τοῦ β. π. Ven. Τῷ ιη' ἔτει ἀνερχ. κ. τῆς πόλεως ὁ στ. τῶν Ἀγ. ἅμα τῷ Τρ. Τριπο-
λίτᾳ· δὲ ἐκλ. et cetera etymologica, ex gr. de Russorum nomine, quae nec a Vaticano
cod. nec a ceteris Georgii continuatoribus repetita sunt, in solo Sym. edito c. 13 in-
venienda.

1. τῶν Βωτίου Leo. — ἀνακαινίσαι Ven. — τὴν μ. ἐγκ. τοῦ πρ. ἀ. Χρ. ἡ ἁγ.
αὕτη κατέλαβεν ὡς ὁ Τριπολίτης ἅμα τῷ στόλῳ τῶν Ἀγαρηνῶν κατὰ Κ. Π. ἀν.
Vat. — τοῦ πρ. ἀ. Χρ. Ven. Vat. — * τοῦ ed. — 3. ὁ om. Ven. — Ἀγαρ. ed. Sym.
Leo, Ven. — ἀνέρχονται Leo. — ** τῆς Ven. — 7. Κωνσταντινούπολιν Leo. —
5. τὸν τοῦ π. τηνικαῦτα δ. Vat. — τῶν πλωΐμων Ven. Leo, Sym. 14. — παρόντος τοῦ στ.
Sym. τοῦ στ. παντὸς Vat. τοῦ om. ed. — 6. καὶ τῶν στρατιωτῶν Sym. om. Vat. — κατ'
αὐτοῦ Sym. — ὃς μὴ δυνηθεὶς ἀντιτ. τούτῳ, ἀπεστράφη κενός Vat. — *** καὶ Sym. —
7. ἀντεστρ. Ven. — κενῶς Leo. — 8. Κάτοπιν δὲ ἀ. ὁ Τρ. ἐλθὼν ἐντὸς Ἀ. εἰσελήλυθε
καὶ μ. Π. Vat. Ἧ. οὖν ὁ Τρ. ed. Ἧ. ὀπ. ἀ. ὁ Τρ. Ven. Ἧ. δὲ ἔμπροσθεν ἀ. καὶ ἐ. μ.
Παραίου Leo. Ἐλθόντων δὲ τῶν Ἀγαρηνῶν ἐν Ἀβύδῳ. — φοβηθέντες τὸ στενὸν, οἷα
τὰ κρίματα τοῦ θεοῦ — τὴν Θεσσαλονίκην — πορθοῦσι Sym. 14. — **** καὶ Ven. — 9. τ.
τῷ βασιλεῖ ἀγγελθὲν εἰς μεγάλην αὐτὸν ἀθυμίαν καὶ ἀμηχανίαν περιέστησεν Vat. —
10. Ἡμερίῳ οὖν πρωτοασηκρῆτις τὴν ναυτικὴν δύναμιν ἐγχειρίσας κ. τοῦ Τ. ἀπέ-
στειλεν, ὃς Ἄβυδον διελθὼν, τὴν καθ' Ἑλλήσποντον, ἣν Μιλησίων κατῴκησαν ἄποικοι,
Ἑλλήσποντον τὸν ἀπὸ Ἕλλης τῆς Φρίξου ἀδελφῆς τῷ ἐκεῖσε πελάγει δι-
αβρίφεισης οὕτως ἀγορευόμενον, καὶ Αἰγαῖον πέλαγος, ὃ τὴν κλῆσιν ἀπεί-
ληφεν ἀπὸ τῆς τῶν ὑδάτων φορᾶς ἐσσομένην (αἰσσούσης Sym.) κατὰ τρόπον
αἰγὸς, ἐξῆς δὲ προσωρμηκὼς στροβήλῳ τῇ κατὰ Κίβυρβαν — καὶ Στρόβιλος μὲν
ἀπὸ τῆς τοπικῆς θέσεως, Κίβυρβα δὲ ἀπὸ (ὑπὸ Sym.) Κιβύρβου ἀδελφοῦ
καὶ Λαμψάκου (Λάμψακος Sym.) ἀπὸ φωτὸς λάμψεως ὠνομασμένη ὅπερ (ἐν

τῶν Ἀγαρηνῶν. Τοῖς δὲ τοῦ Θεοῦ κρίμασιν ἀντεστράφη ὁ αὐτὸς Λέων ὁ Τριπολίτης καὶ ἀπῆλθεν ἐν Θεσσαλονίκῃ καὶ ταύτην ἐπολιόρκησε καὶ παρέλαβεν ἅμα τῷ στρατηγῷ αὐτῶν Λέοντι τῷ Χατζιλακίῳ (καὶ) ποιήσας πολλὴν σφαγὴν καὶ αἰχμαλωσίαν. Ῥοδοφύλλης δέ τις κουβικουλάριος ἦν ἀποσταλεὶς ἐν Σικελίᾳ διὰ χρείαν τινά, ἔχων μεθ' ἑαυτοῦ χρυσίου λίτρας ρ΄. Νοσήσας δὲ κατὰ τύχην ἐν τῇ ὁδῷ, εἰσῆλθεν ἐν Θεσσαλονίκῃ πρὸς τὸ λούσασθαι καὶ ἀνακτήσασθαι ἑαυτὸν (καὶ) ἐκρατήθη παρὰ Λέοντος· διερχόμενος δὲ Συμεὼν ἀσηκρῆτις, ὁ μετὰ ταῦτα γεγονὼς

Sym.) νυκτὶ Φωκαέων (Φωκέων Sym.) Θεμελιούντων ταύτην (καὶ Sym.) εὐξαμένων Θεῖθεν ἐπέλαμψεν, καὶ ἡ τῶν Θεμελίων βάσις καὶ (om. καὶ Sym.) καλῶς κεκραταίωτο (κεκραταίωται Sym.). Μετὰ ταῦτα τῇ Ἴμβρῳ διεληλυθώς, ἥτις ἀπὸ Ἴμβρου κέκληται υἱοῦ Ἄνθου (Ἀνθέος Sym.)

«Οὗ γενετῆς Στάφυλος Διονύσου φίλτατος ἔγγονος» (υἱὸς Sym.) Σαμοθράκην δὲ διαβὰς καὶ τῇ Θράκῃ προσπελάσας ἣν Χρυσῆν οἱ πρὶν διεφημίζοντο (quod Sym. ad Thasum refert), Σαμοθράκην δὲ ἐν (τῇ Sym.) Θράκῃ χερρόννησον, τὴν προτέραν Θηριοῦσαν διὰ τὸ θηρίων πεπληρῶσθαι (καὶ Sym.) ἱερὰν Νυμφῶν οὖσαν, μετέπειτα (δὲ Sym.) τοῦ βοῦ συββαγέντος εἰς νῆσον συστῆναι (συνέστη Sym.) καὶ ὑπὸ Σαμίων μετοίκων ἐν κατασχέσει γενέσθαι καὶ (γενομένη Sym.) Σαμοθράκην κληθῆναι (Σαμοθράκη μετωνομάσθη Sym.), τοὺς πολεμίους κατέλαβε, πλὴν οὐδὲ πλ. τούτων τῷ στ. τετόλμηκεν Vat. — τολμώντ. cod. τολμῶντες Ven. τολμώντων Leo, ed. — μηδ' ὅλως Leo, om. Ven. — τοῦ στόλου Ven.

1. Αὐθόρμητος δὲ ὁ Τρ. Θεοῦ τοῦτον ἀπελαύνοντος, ἀντ. καὶ ἐν Θ. καταλαβὼν ταύτην ἐπ. κατασχὼν καὶ Λέοντα τὸν ταύτης στρατηγὸν ᾧ Χατζιλιάκιος ἐπώνυμον, σφ. δὲ π. καὶ χύσιν αἱμάτων εἰργάσατο Vat. Ἐλθόντων δὲ τῶν Ἀγαρηνῶν ἐν Ἀβύδῳ ἠρώτησαν τοὺς ἀπάγοντας αὐτοὺς ὅτι πάλιν ταύτην τὴν ὁδὸν θέλομεν ὑποστρέψαι ἢ ἔχομεν ἄλλην δι' ἧς ἀπέλθωμεν εἰς τὰ οἰκεῖα; Τῶν δὲ εἰπόντων ὅτι διὰ ταύτην βουλόμεθα ὑποστραφῆναι, φοβηθέντες τὸ στενὸν τῆς ὁδοῦ, οἷα τὰ κρίματα τοῦ Θεοῦ, εὐθὺς ὑποστρέφουσι καὶ τὴν Θεσσαλονίκην καταλαβόντες παρθοῦσιν αὐτὴν καὶ π. σφ. καὶ ἀ. ποιοῦσι Sym. = Cont. 20. — 2. Λέων ὁ om. Ven. — 4. αὐτοῦ Ven, om. Ven. — Χατζιλακίῳ Leo, Χατζαζηλάκῃ Ven. — καὶ om. Ven. Ῥοδόφυλις Leo, Ῥοδόφυλλος Ven. Ῥοδοφάλης Vat. Ῥοδοφύλλιος Sym. — 5. Βουλομένων δὲ αὐτῶν καὶ τὴν π. κ. Σ. ὁ πρωτασ. εὑρεθεὶς λαβὼν Ῥοδοφυλλίου τοῦ ἀποσταλέντος πρὸς τοὺς Φράγγους μετὰ κανισκίου χρυσίου λίτρας ρ΄. Sym. — 6. ἦν ἀπ. διὰ τ. χ. Ven. ἔτυχεν ἐν Σ. διὰ τ. χ. ἀπ. Vat. — χ. λ. ἐπεφερόμενος ρ΄ Vat. — 7. Νόσῳ δὲ περικεσὼν ἐν Θ. ἐ. ὥστε λ. καὶ ἀπολαῦσαι ἀνέσεως. Τοῦτον ὁ Τριπολίτης κατασχὼν καὶ μαθὼν ὡς χρυσίον ἐπιφέρεται, π. βασανίσας ἀπέκτεινε μηδὲ ἔχειν διατεινόμενον, ἔτυχε γὰρ τοῦτο ἐν τῇ ὁδῷ ἀπολιπών, ὅπερ Σ. ἀσ. δ. ἀνείλετο, ὃς μ. τ. π. καὶ πρ. ἐγ. Vat. — 9. ἐ. ἐκρ. ed. — διερχομένου δὲ ed. — 10. Σ. πρωτασ. Leo, Σ. ἀσυγκρῖτης Ven.

πατρίκιος καὶ πρωτασηκρῆτις, ἀνελάβετο τό τε χρυσίον καὶ τὰ δῶρα, ἅπερ εἶασεν ὁ Ῥο(193ᵃ)δόφυλλος ἐν τῇ ὁδῷ, καὶ πολλὰ βασανισθεὶς ἐτελεύτησε. Τοῦ δὲ Τριπολίτου βουλομένου τὴν πόλιν καταστρέψαι, μαθὼν Συμεὼν δηλοῖ αὐτῷ λαβεῖν χρυσίον καὶ ταύτην ἐᾶσαι· ὃ δὴ καὶ γέγονε*.

(31) Σαμωνᾶς δὲ προφασισάμενος ἐπὶ τὴν μονὴν αὐ- 905
τοῦ τὰ Σπειρὰ ἐξελθεῖν, τὴν ἐν τῷ Δαματρὺ οὖσαν, φυγῇ ἐχρήσατο ἅμα χρήμασι καὶ ἵπποις αὐτοῦ, τοὺς ἵππους τοὺς δημοσίους κατὰ ἀλλαγὴν ἀγκυλοκοπῶν. Τοῦτο μαθὼν ὁ βασιλεὺς ἀποστέλλει ὄπισθεν αὐτοῦ Βασίλειον ἑταιριάρχην τὸν Καματηρὸν καὶ Γεώργιον τὸν Κρινίτην, τοῦ καταλαβεῖν αὐτόν. Τοῦ δὲ Σαμωνᾶ τὸν Ἅλυν βουλομένου διαπερᾶσαι, κατέλαβεν αὐτὸν Νικηφόρος δρουγγάριος ὁ λεγόμενος Καμινᾶς, οὐκ ἐῶν αὐτὸν διαπερᾶσαι· ἐπεὶ δὲ πολλὰ ὁ Σαμωνᾶς ὑπεσχνεῖτο καὶ οὐκ ἔπειθε, προσέφυγεν εἰς τὸ Σιριχὰ εἰς τὸν τίμιον σταυρὸν προφασισάμενος ὡς

1. ἀνέλαβέτε τὸ Ven. — 2. ὁ om. Ven. — ὁδῷ διὰ πολλῆς β. Ven. — 4. κατ. τὴν π. βουληθέντος, δ. ἀ. Σ. χρ. λ. καὶ τ. ἀφεῖναι ὃ καὶ γ. Vat. — αὐτὸν λ. χ. μ. ὁ Σ. δ. Leo, μ. δὲ Σ. δ. αὐτὸν λ. χ. Ven. — * Συμεὼν cod. — ** ὃν καὶ πείσας καὶ λαβὼν λόγον συνεφώνησε δοῦναι χρυσίον τῷ Τριπολίτῃ τοῦ τὴν πόλιν ἐᾶσαι Leo, ex homoioteleuto om. Sym. Ὃς καὶ δέδωκε τό τε χ. καὶ τὸ κανίσκιον τοῖς Σαρακηνοῖς καὶ καὶ εἶασε τὴν πόλιν καὶ τὰ τείχη Sym. Ὀπισθόρμητος οὖν πάλιν ὁ τῶ Σαρακηνῶν στόλος ἐπῆει Ὁ δὲ Ἡμέριος ταῦτα διεγνωκὼς πρὸς τὴν κατ' αὐτῶν διανίσταται δίωξιν· οἱ δὲ τῇ Κρήτῃ προσβάλλουσι καὶ τοῖς ἐν αὐτῇ ἀπόμοιραν τῆς λείας ἀπένειμαν, οἳ κἀκεῖθεν τῇ πατρίδι παλινοστήσαντες ἀπρακτεῖν κατὰ Δῆμνον ἐῶσιν τὸν Ἡμέριον Vat. adjungens e Cont. 22· Ὁ δὲ βασιλεὺς ἔσχε — (om. πατρίκιον — ἐκπεφώνηται et καὶ ἔτρεπεν)— πολλάκις βωμαλαιώμενος, ἔχων καὶ Ἀ. τὸν ἐκ Δ. καὶ αὐτὸς καὶ αὐτῆς μετὰ τούτου (sic) τε τῆς στρατηγεσίας ἐπειλημμένος καὶ πατρίκιος ἐνσεμνυνόμενος, ὃν τεσοῦτον οἱ Ἀγ. ἐδ. — ὄνομα πρὸς ἐκδειμάτωσιν ἐν τούτοις ἅπασι λ. — 7. Περὶ τῆς εἰς Συρίαν φυγῆς Σαμωνᾶ καὶ τῆς κατασχέσεως αὐτοῦ Vat. — Τῷ ιθ' ἔτει αὐτοῦ τοῦ Σ. φυγῇ πρὸς Συρίαν χρησαμένου, ἐπεὶ κατεδίωκον αὐτὸν ὄπισθεν Sym. 15. — ἐν τῇ μονῇ ἁ. ᾗ ἐπώνυμον Vat. = Cont. 20. — 8. διελθεῖν Ven. — τὴν om. Vat. — Δαματρὶ ed. — 9. δ. ἱ. τοὺς ἐν ἑκάστῳ σταθμῷ ἀγ. Vat. — 10. Ἀπ. οὖν ὁ β. ὀπ. ἀ. τοῦ καταδιῶξαι ἀ. Β. ἑτ. τὸν Κ. καὶ τὸν Κρ. τὸν Γ. Vat. — 13. ἦλθε δὲ καὶ εἰς τὸν Ἀ. συναντᾶ αὐτῷ Ν. δρ. ὁ Καμύτζης μὴ ἐῶν ἀ δ. Sym. Ἐπεὶ δὲ τὸν Ἀ. ὁ Σαμωνᾶς ἔμελλε διαπερᾶν Vat. — 14. δρ. ὁ Κ. καὶ κατέσχε Vat. — 15. ἐπεὶ δὲ ὁ Σ. π. ὑπ. ed. ὁ δὲ π. τοῦτον ἱκέτευε καὶ ὑπ. δοῦναι Vat. Προσφεύγει ὢν τῷ τιμίῳ σταυρῷ τοῦ Σηριχᾶ Sym. — 16. ὡς δὲ οὐκ ἔπειθεν, εἰς τὸν ἐν τῷ Σ. καταφεύγει στ. Vat. — 17. εὐχῆς δῆθεν χάριν ἐληλυθέναι πρ. Vat. οὖν ὁ Κ. ὁ τοῦ Ἀνδρωνίκου τοῦ Δ. υἱὸς καὶ τ. ἀ·αλαβὼν ἐν τῇ π. ὑπ. Vat. πρ. εὐχῆς χάριν ἐκεῖσε ἐληλυθέναι Ἀναλ. οὖν τ. ὁ του Δ. Κ. Sym.

διὰ πίστιν τοῦ σταυροῦ ἐλήλυθεν. Καταλαβὼν οὖν Κωνσταντῖνος ὁ τοῦ Δουκὸς καὶ τοῦτον ἀναλαβόμενος, ὑπέστρεψεν ἐν τῇ πόλει. — Προσέταξε δὲ ὁ βασιλεὺς αὐτὸν μὲν φυλάττεσθαι ἐν τῇ οἰκίᾳ Βάρδα τοῦ Καίσαρος, ἠρώτησε δὲ Κωνσταντῖνον τοῦ Δουκὸς περὶ αὐτοῦ καὶ μαθὼν ὡς ἀληθῶς ἐν Συρίᾳ ἔφυγε, παρεγγύησε τῷ Δουκὶ μὴ εἰπεῖν τοῦτο ἐνώπιον τῆς συγκλήτου, ὅτε παρ' αὐτοῦ ἐρωτηθῇ, ἀλλ' ὅτι δι' εὐχὴν ἀπῆλθεν ἐν τῷ Σιριχᾷ· ἤθελε γὰρ ὁ βασιλεὺς συνοψισθῆναι αὐτῷ. Προσκαλεσάμενος οὖν Κωνσταντῖνον τοῦ Δουκὸς ἔμπροσθεν τῶν ἐν τέλει ἔφη οὕτως· «Ἔχεις θεὸν καὶ τὴν κεφαλήν μου· ἔφευγεν ὁ Σαμωνᾶς ἢ οὐχί»; Ὁ δὲ ὡς εἰπὼν πρότερον τῷ βασιλεῖ μὴ ὁρκισθῆναι καὶ τὸ κελευόμενον εἰπεῖν, ἀκούσας τοὺς ὅρκους, ἐξεῖπεν ἐνώπιον πάντων ὅτι εἰς Συρίαν ἔφευγεν. Μετ' ὀργῆς δὲ τοῦ βασιλέως τοῦτον ἀποπεμψαμένου, ἐποίησε Σαμωνᾶς μῆνας δ' ἐν τῷ οἴκῳ τοῦ Βάρδα· ἀπεσυνόψισε δὲ ἐν τῇ αὐτοκρατορίᾳ τοῦ βασιλέως.

Maji 16°. (32) Ἐφάνη δὲ τότε καὶ * κομήτης ἀστὴρ τὰς ἀκτῖνας ἐπὶ ἀνατολὰς πέμπων **, φαινόμενος ἐν ἡμέραις καὶ νυξὶ μ'.

---

3. Προστάσσει οὖν ὁ β. φ. ἀ. ἐν τῇ οἰ. Β. τοῦ Κ. ἐπεὶ δὲ ἠ. ὁ β. ἀποσυνοψισθῆναι τὸν Σ. παρήγγειλε τῷ Δουκὶ — συγκλήτου ὅτι ἐπὶ Συρίαν ἔφυγεν ὁ Σ. ἀλλ' Sym. — ἐν τῇ τοῦ Κ. Β. ὁ. φ. Vat. — 5. Κ. εἰ ἀληθῶς ἐν Σ. φεύγων ἐτύγχανε καὶ μ. τοῦτο ἀληθὲς εἶναι, παρήγγειλε Κωνσταντίνῳ μὴ τ. ἐ. Vat. — πῶς Leo. — 7. ἠρωτημένῳ ἀλλ' ὅτι ἐν τῷ Σ. χάριν εὐχῆς παρεγένετο Vat. — 8. Σιρίχῳ Leo. — 9. ἀποσυν. Leo, συγγνώμης τυχεῖν τὸν Σαμωνᾶν Vat. — Ἠρώτησεν οὖν ὁ β. τὸν Κ. ἐνώπιον τῆς συγκλήτου ὁ. ὡς ἔχει τὸν θεὸν Sym. — Πρ. δὲ τὴν σύγκλητον καὶ τὸν Κ. εἰς τὸ μέσον παραγαγὼν ὁ. ἐρώτησε· πρὸς τοῦ θεοῦ καὶ τῆς ἐμῆς κεφαλῆς, ἐφ. ἐν Συρίᾳ ὁ Σ. ἢ ὁ. Vat. — 12. οὔ ed. Cont. — τοὺς ὅρκους εὐλαβηθεὶς· εἶπε γὰρ πρ. μὴ ὁρκιζόμενος ἀλλ' οὕτως ἁπλῶς ἐρωτώμενος μὴ τὸ ὂν ἐξειπεῖν, ὡμολόγησε π. ἐν. Vat. — εἶπε Cont. Leo, εἰπόντος Sym. — 14. πάντων et εἰς Σ. om. Sym. — Μετ' ὀ. οὖν τ. τοῦ β. ἀπ. Vat. — Μετ' ὀ. τ. ἀπεμέμψατο Sym. — 15. ὁ δὲ Σ. ἐπ. ἐν τῷ ὀ. τοῦ Β. μ. δ' Sym. ἐπ. Σ. ἀπὸ ὄψεως μ. δ' ἐν τῷ τοῦ Καίσαρος ὀ. καθήμενος Vat. — 16. καὶ μετὰ ταῦτα τῆς βασιλικῆς ὄψεως καὶ ὁμιλίας κατηξιώθη Vat. om. Sym. — — 16. ἐν τῇ γέννᾳ τοῦ υἱοῦ τούτου P. — 18. Περὶ τῆς γεννήσεως Κωνσταντίνου τοῦ Πορφυρογεννήτου καὶ τοῦ κομήτου ἀστέρος. Ἐγ. δὲ Λέων Κωνσταντῖνον ὑ. ἀπὸ Ζ. τῆς δ' ἀ. γαμετῆς οὗ ἐν τῇ γεννήσει ἐφ. κ. ἀ. τὰς ἀκ. ἐπ' ἀν. ἀφεῖς καὶ ἐν ἡμ. καὶ ν. φ. μ. ὃς ἐβ. ἐν τῇ μ. ἐ. ὑ. N. π. ἐν τῇ ἁγίᾳ τῶν φώτων ἡμέρᾳ, ἀναδ. ἀ. ἀπὸ τοῦ ἁγίου βαπτίσματος Ἀ. β. καὶ Σ. π. καὶ τῶν ἐν τ. ἁπ. Vat. — * ὁ Leo. — 17. ἐπὶ ἀνατολ. cod. κατ' ἀνατολὰς Sym., 16, ἐπὶ ἀνατολὴς ed. — ** καὶ Leo, Sym.

Γέγονε δὲ Σαμωνᾶς πατρίκιος ἀπὸ τῆς αὐτοῦ φυγῆς. Ἐγέννησε Sept1
δὲ υἱὸν ἀπὸ Ζωῆς τῆς δ' αὐτοῦ γυναικός· ἐβαπτίσθη δὲ 906.
τὰ ἅγια φῶτα ὑπὸ Νικολάου πατριάρχου ἐν τῇ μεγάλῃ
ἐκκλησίᾳ, δεξαμένων αὐτὸν Ἀλεξάνδρου βασιλέως καὶ
Σαμωνᾶ πατρικίου καὶ τῶν ἐν τέλει πάντων.

(33) Γέγονε δὲ καὶ ἡ Κύφη τότε γηροκομεῖον, διοχθεισῶν τῶν ἑταιρίδων.

(34) Εὐλογήθη δὲ Λέων ὁ βασιλεὺς μετὰ Ζωῆς μετὰ τὴν 907
ἑορτὴν παρὰ Θωμᾶ πρεσβυτέρου, ὃς καὶ καθηρέθη, ἀνη-
γόρευσε δὲ τὴν αὐτὴν Ζωὴν * Αὐγοῦσταν· καὶ διὰ τοῦτο
τὸν βασιλέα ὁ πατριάρχης ἐκώλυσε εἰς τὴν ἐκκλησίαν
εἰσέρχεσθαι, ὅθεν διήρχετο ἀπὸ τοῦ δεξιοῦ μέρους μέχρι
τοῦ μητατορικίου, μηδ' ὅλως εἰς τὰ κατὰ συνήθειαν διερ-
χόμενος.

(35) Προεβλήθη δὲ Σαμωνᾶς παρακοιμώμενος διὰ τὸ 908
εἶναι τῷ βασιλεῖ συνεργὸς πρὸς πᾶσαν παρανομίαν καὶ
κακίαν· καὶ κατὰ τῆς ἐκκλησίας ἤρξατο μελετᾶν· προσκα-
λεσάμενοι γὰρ Νικόλαον πατριάρχην Φεβρουαρίου μηνὸς α'
καὶ πολλὰ λιπαρήσαντες δεχθῆναι **, ἐπεὶ πεῖσαι οὐκ ἠδυ-
νήθησαν, ἀπὸ τοῦ κλητορίου διὰ τοῦ Βουκολέοντος ἐν

---

1. Τῷ κ' τούτου ἔτει ἀπεσυνῴψισε Σαμωνᾶς ἐν τῇ γέννᾳ τοῦ ὑὸ τοῦ β. Κ. τοῦ ἀπὸ Ζ. Sym. 17.—Ἐγ. Λέων ὢν Κωνσταντῖνον Leo.—2. γαμετῆς Leo, Vat. γαμετης οὔσης καὶ ἐβ. Sym. — ἁγ. Θεοφάνεια Sym. — 4. Σαμωνᾶς πατρίκιος Leo, πατρ. καὶ γέγονε καὶ πατρίκιος Sym. — 5. τότε καὶ ἡ Κ. γ. τῶν ἐκεῖσε ἐκδ. Vat. om. Sym. = Cont. 23. — 8. Τῷ κα' αὐτοῦ ἔπει ἐ. Λ. καὶ Ζωὴ Sym. 18. ὁ Α. β. ed. γέγονε δὲ τὸν βασιλέα εὐλογηθῆναι Leo. — 9. ὑπὸ Θ. Vat. — ὅστις καὶ κ. καὶ βασίλισσαν ἀ. ἀν. Vat. τοῦ καὶ καθαιρεθέντος καὶ ἀν. τὴν ἑαυτοῦ γ. Sym. — * εἰς Leo. — 10. διὰ ταύτην οὖν τὴν αἰτίαν ὁ π. τὴν β. εἰς τὴν ἐ. ἐ. διεκ. ὅθεν διὰ τοῦ δ. μ. δ. εἰς τὸ μητατόριον Vat. — ὅθεν ὁ π. ἐκ. τὸν β. εἰς τὴν ἐ. ἐ. διὸ καὶ ἤχετο Sym. — 13. μητατωρίου ed. μιτατωρικίου Leo, Sym. — 15. Τῷ κβ' τούτου ἔτει προβάλλεται τὸν Σ. ὁ β. π. διὰ τὸ συνεργὸν αὐτοῦ Sym. 19. — τὸ σ. καθεστάναι τῷ β. π. πρ. καὶ κ. ἅπασαν Vat. — 17. ἄρχονται Sym. — προσκαλεσάμενος γὰρ τὸν π. Ν. πρώτη ἦν τοῦ φ. μ. Vat. — προσκαλεσάμενοι γὰρ Ν. τὸν π. καὶ π. λιπαροῦσι ἐπεὶ δὲ οὐκ ἔπεισε διὰ τοῦ Β. εἰς μικρὸν πλοιάριον ἐ. εἰς τὴν Ἰ. περῶσιν Sym. — ** τὴν πολυγαμίαν Sym. — 19. πεῖσαι om. Vat. — 20. Β. πλ. μ. ἐμβ. Vat.

πλοίῳ μικρῷ τοῦτον ἐμβιβάσαντες διεπέρασαν ἐν τῇ Ἡρίᾳ, ἀφ' ἧς πεζῇ μέχρι Γαλακρηνῶν μόλις ἀπῄει, χίονος ἐπικειμένης πολλῆς· χειροτονεῖται δὲ ἀντ' αὐτοῦ Εὐθύμιος σύγκελλος εἰς πατριάρχην, ἀνὴρ ἱεροπρεπής, ἐγκρατής τε καὶ εὐλαβὴς πάνυ, ὃν φασι καταδέξασθαι τοῦτο ἐξ ἀποκαλύψεως θείας, ὡς τοῦ βασιλέως βουλευομένου αἵρεσιν·· καὶ νόμον ἐκθεῖναι, τοῦ ἔχειν ἄνδρα γυναῖκας γ' ἢ καὶ δ', πολλῶν εἰς τοῦτου λογιωτάτων ἀνδρῶν συνεργούντων αὐτῷ.

(36) Ἰουνίῳ δὲ μηνὶ προσεκλήθη Λέων ὁ βασιλεὺς παρὰ Κωνσταντίνου τοῦ Λιβὸς ἐν τῇ μονῇ αὐτοῦ τῇ οὔσῃ ἐν τῷ Μερδοσαγάρῃ, τοῦ τε ποιῆσαι τὰ ἐγκαίνια καὶ ἀριστῆσαι· καὶ γέγονεν ἄνεμος ὁ λεγόμενος Λίψ, ἕως τρίτης σφοδρῶς φυσήσας, συσσείσας τε καὶ δονήσας οἰκήματα καὶ ἐκκλησίας, ὥστε πάντας φεύγειν ἐν ὑπαίθροις τόποις λέγοντας συντέλειαν κοσμικὴν εἶναι, εἰ μὴ ἡ τοῦ θεοῦ φιλανθρωπία δι' ὄμβρων ἔπαυσε τὴν τοιαύτην θραῦσιν.

(37) Προεβάλλετο δὲ ὁ βασιλεὺς Ἰμέριον, λογοθέτην τοῦ δρόμου, κεφαλὴν πάντων τῶν πλωΐμων, ἐξελθόντος τοῦ στόλου τῶν Ἀγαρηνῶν κατὰ Ῥωμαίων· ἐδέξατο δὲ ··· Ἀνδρόνικος ὁ Δοὺξ διὰ κελεύσεως συνελθεῖν Ἰμερίῳ λογοθέτῃ

---

1. δ. ἐν τῇ Ἱερείᾳ Leo, ἐν τοῖς Ἠρίους δ. Vat. — 2. ἐφ' P. cod. — ' ὁ Vat. — 4. σ. πατριάρχης Vat. — πατριαρχ. cod. πατριαρχίαν Sym. — 5. καὶ θεσσ. ὃν Vat. — ἐκ θ. ἀπ. τὴν ἀρχιερωσύνην κ. Vat. κ. τὴν τετραγαμίαν Sym. — 6. καὶ γὰρ διενοεῖτο ὁ βασιλεὺς νόμον πονηρὸν ἐ. τοῦ ἐ. ἀ. γ. γ' καὶ δ' Vat. — βουλομένου Sym. — ·· ποιῆσαι Sym. — 7. γ', γυν. ἢ δ. Leo, Sym. — 8. π. τ. λογικωτάτων Sym. κ. λ. ἀ. εἰς τ. αὐτῷ α. Vat. — 10. Τῷ Ἰ. μ. γ. ἀ. λίψ Sym. 20. — 11. μ. τῇ ed. — τῇ πλησίον τῶν ἁγίων ἀποστόλων τοῦ τὰ ἐ. ἐπιτελῆσαι καὶ ἀ. Vat. — Μαρδοσαγγάρη ed. — 12. τοῦ π. ed. τοῦτο π. P. — 13. ὁ' om. Vat. — τριτ. cod. τρίτου ed. Vat. Leo, Τριτωναῖος σφοδρὸς ὡς συσσεῖσαι ὁ. καὶ ἐ. καὶ π. φ. ἐν ὑπ. καὶ λέγειν α. ἐ. ἀλλὰ τῇ τοῦ θῦ φ. δι' ὁ. ἐπαύθη Sym. φυσ. om. Vat. — Προεβάλετο Leo, ed. Τῷ κγ' ἔτει στόλος Σαρακηνῶν κ. Ῥ. ἐξῆλθε, π. δὲ ὁ β. Ἰ. τὸν λ. κ. π. τῶν πλ. Sym. 21. — 15. ὑπ. τ. Vat. ὑπ. Sym. — 16. κοσμ. om. Sym. — 17. τὴν τ. ἔστησε καταιγίδα Vat. — 18. Περὶ Ἰμερίου δρουγγαρίου καὶ τῶν αὐτοῦ ἀνδραγαθημάτων. Στόλου δὲ τῶν Ἀγ. κ. Ῥ. κινηθέντος, ὁ β. Ἰ. λ. τοῦ δ. του στόλου παντὸς ἀρχηγὸν πρ. Vat. — 20. Γράφει δὲ καὶ Ἀνδρονίκῳ τῷ Δευκὶ σ. τῷ Ἰ. ὁ δὲ Σ. ἀδ. ὧν τῷ Ἀ. καὶ π. τρ. κ. ἀ. σπουδάζων, πείθει τινὰ γρ. αὐτῷ κρ. Sym. — ··· καὶ Vat. — 21. Δ. συνεισελθεῖν ἐν τῷ στολῷ τῷ Ἰ. καὶ τ. Ἀγ. κ. Vat.

ἐν τοῖς πλοίοις καὶ καταπολεμῆσαι τοὺς Ἀγαρηνούς. Ὁ δὲ Σαμωνᾶς ἦν ἀδιάλλακτος ἐχθρὸς Ἀνδρονίκου καὶ πολλὰ κατ' αὐτοῦ διηνεκῶς συνεσκεύαζε καὶ ἐμηχανᾶτο, κακῶσαι τὸν Ἀνδρόνικον παντὶ τρόπῳ καὶ πάσῃ σπουδῇ διαμηχανώμενος ἀπὸ τῆς αὐτοῦ φυγῆς· ὑπέβαλε δέ τινι γράψαι τῷ Ἀνδρονίκῳ κρύφα· «μὴ εἰσέλθῃς εἰς τὰ καράβια καὶ κρατηθῇς παρὰ Ἰμερίου· ὁ γὰρ Σαμωνᾶς ὑπέσχηκε τῷ βασιλεῖ τὸ κρατηθῆναί σε καὶ τυφλωθῆναι παρ' αὐτοῦ». Πολλὰ δὲ προτρεπομένου Ἰμερίου Ἀνδρόνικον εἰσελθεῖν ἐν τοῖς πλοίοις κατὰ τῶν Ἀγαρηνῶν, ἀπεσκίρτησε, τῶν Ἀγαρηνῶν ἐπικειμένων. Ἰμέριος δὲ μόνος ἐν ** ἡμέρᾳ τοῦ ἁγίου Θωμᾶ συμβαλὼν πόλεμον μετὰ τῶν Ἀγαρηνῶν, μεγάλην νίκην εἰργάσατο. Τοῦτο μαθὼν Ἀνδρόνικος ***, ἀπογνοὺς, ἅμα συγγενέσιν αὐτοῦ (καὶ τέκνοις αὐτοῦ) καὶ ἀνδράποις αὐτοῦ ἀπελθὼν ἐκράτησε κάστρον τὴν Κάβαλλαν, εἰς τελείαν ἀποστασίαν ἐλθών, ὡς εἰπεῖν (καὶ) Σαμωνᾶν πρὸς τὸν βασιλέα· «Οὐκ ἔλεγόν (σοι), ὦ δέσποτα, ἀντάρτην εἶναί (σου) τὸν Δοῦκα»;

(38) Παρευθὺ δὲ ἀπέστειλεν ὁ βασιλεὺς Γρηγορᾶν δομέστικον τῶν σχολῶν τὸν **** Ἰβηρίτζην, συμπενθερὸν ὄντα τοῦ Ἀνδρονίκου *****, καταπολεμῆσαι αὐτόν. Μαθὼν δὲ τοῦτο

---

2. ἀδ. ὢν ἐ. Vat. — * τοῦ Leo, Ἀνδρονίκ. cod. — Ἀ. βόδρον αὐτῷ ὑπῳρυττε καὶ τοῖς ποσὶ παγίδας ὑπετίθει δυσμεναίνων αὐτῷ διὰ τὴν ὑπόθεσιν τῆς φυγῆς Vat. — 3. συνεσκεύασε ed. — 5. γ. λαθραίως τῷ Ἀ. μὴ ἐν τοῖς πλοίοις εἰσελθεῖν ὅτι φησὶ, παραγγελίας εἴληφεν Ἰμέριος παρὰ βασιλέως ὑποβληθέντος παρὰ Σαμωνᾶ κατασχεῖν καὶ τυφλῶσαί σε Vat. — 6. εἰσελθ. cod. εἰσέλθοι ed. — 8. τοῦ Leo, ed. τῷ cod. — 9. Π. δὲ τὸν Ἀ. ἀναγκάσαντος ἐ. σὺν αὐτῷ τῶν Ἀγ. ἐπ. οὐκ ἐπείσθη Sym. Π. δὲ τοῦ Ἰμ. πρ. τὸν Vat. — 9. ἐν τ. πλ. ἐ. τῶν Ἀγ. ἐπ. ἀπ. τοῦτο ποιεῖν καταδεξάμενον. — 10. πλ. μετὰ τῶν Ἀγ. ἐπ. Ἰ. δὲ μ. Leo. — τῶν Ἀγ. δὲ ἐπ. Ἰμ. μ. ed. — 11. μ. τῇ τοῦ ἁ. ἀπ. Θ. μνημῃ σ. Vat. — ** τῇ Sym. — *** καὶ Vat. — 13. ἁ. καὶ ἁ. ἀπ. ἀπ. σὺν τοῖς σ. ἐποίησε καὶ ἀπ. ἐκ. τὴν Κάβαλαν πόλιν Sym. — 14. σ. καὶ δούλοις ἁ. πόλιν κατέσχε τὴν λεγομένην Κάβαλαν Vat. Κ/ββαλαν Leo. — 15. εἰς ἀπ. χωρήσας Vat. — 16. Ὁ δὲ Σαμωνᾶς πάλαι ποτὲ τοιούτου ἐπιλαβέσθαι καιροῦ ἐπιθυμῶν π. β. ἔλεγεν, οὐκ ἀεί ὦ δ. ἐ. ὅτι ἀντάρτης ἐστὶ καὶ ἀποστάτης ὁ Δοὺξ καὶ τῆς βασιλείας σου πολέμιος; Vat. — 19. Τῷ κδ' ἔτει ἀπ. ὁ β. Γρ. τὸν δ. Sym. 22 Παραυτίκα γοῦν ἀπ. Vat. — ἀποστέλλει ed. Γρ. Ἰβ. λεγ. δ. ὄντα τῶν σχ. καὶ σ. Ἀ. Vat. — **** λεγόμενον Leo. — 20. τοῦ om. Leo, Sym. — ***** εἰς τὸ Sym. — 21. ἀκούσας τε ὅτι καὶ ὁ π. τ. ἐκκλησίας ἐξ. Sym.

Ἀνδρόνικος καὶ ὡς ὁ πατριάρχης Νικόλαος ἐξεώσθη, προσ-
έφυγε τοῖς Ἀγαρηνοῖς ἅμα τοῖς συγγενέσι καὶ τέκνοις
καὶ φίλοις ἐξεληλυθόσι τότε κατὰ Ῥωμαίων, καὶ ἀπε-
δέχθη παρὰ τῷ Ἀμερουμνῇ μεγάλως.

909 (39) Ἐλυπεῖτο δὲ (Δέων) ὁ βασιλεὺς διὰ τὸν Ἀνδρόνικον καὶ πολλάκις ἐβούλετο ἀποστεῖλαι αὐτῷ λόγον ἐνυπόγραφον (ὃ καὶ Θεόφιλος διὰ τὸν Μανουὴλ ἐποίησε)· συνεβουλεύσαντο δέ τινες τῷ βασιλεῖ φιλοφρονηθῆναί τινα τῶν τοῦ πραιτωρίου Σαρακηνῶν καὶ ἀποσταλῆναι ἐν Συρίᾳ μετὰ λόγου ἐνυπογράφου. Τοῦτο δὴ καὶ πεποίηκεν ὁ βασιλεὺς γράψας διὰ κιναβάρεως καὶ ἀποστείλας "", μετὰ χρυσοβούλλης ἔνδοθεν φατλίου βραχέος τράκτου· ἐξελθόντος δὲ τοῦ Σαρακηνοῦ ἀπὸ """ τοῦ βασιλέως, προσκαλεσάμενος αὐτὸν Σαμωνᾶς εἶπεν αὐτῷ· «Οἶδας τί κρατεῖς»;— τοῦτο εἰπὼν διὰ τὸν κηρόν· «Τὴν ἀπώλειαν τῆς Συρίας βαστᾷς». Καὶ δοὺς αὐτῷ """" παρήγγειλε τοῦτο βαλεῖν εἰς τὰς χεῖρας τοῦ Οὐζήρ. Ὁ δὲ (ἀπελθὼν) τοῦτο πεποίηκεν· ἐκρατήθη δὲ Ἀνδρόνικος καὶ ἐδεσμεύθη μετὰ πάντων τῶν συγγενῶν αὐτοῦ· καὶ μαθὼν ὡς διὰ δόλου τοῦ Σαμωνᾶ ταῦτα (αὐτῷ) γέγονεν, ἀναγκασθεὶς ἐμαγάρισεν (αὐτός τε καὶ

---

1. πῶς Vat.—N. τῆς ἐκκλησίας ἐξεδιώχθη Vat. N. τῆς ἐ. ἐξεώσθη Leo.—πρ. πανοικὶ τηνικαῦτα κ. Ῥ. ἐξελθοῦσι, ὃν ὁ Ἀμερούμνης ἐντίμως καὶ μεγαλοπρεπῶς ὑπεδέξατο Vat.—2. ἀ. τ. σ. καὶ φ. ἀ. καὶ τ. ed. ἀ. σ. καὶ φ. Sym.— ' τοῖς Leo.— 3. ἐξ—μεγαλ. om. Sym.— ὑπεδ. Leo,— 4. μεγαλοπρεπῶς Leo, μεγάλ. cod.— 5. Ἐλυπήθη δὲ Λ. εἰς τοῦτο καὶ δὴ Σαρακηνὸν ἀπὸ τοῦ πρ. φιλοφρονησάμενος ἀπέστειλε Sym.— Δέων om. Vat. — 6. ἐβουλεύετο Leo. — ἐν. λ. τοῦ πρὸς Ῥωμαίους ὑποστρέψαι Vat. — 7. ὃ— ἐποίησε om. Vat. — συνεβούλευσαν Vat. — 8. τοῦ om. Vat. — 10. Ὁ δὲ π. διὰ κ. γρ. καὶ βούλλη σφραγίσας χρυσ. Vat. — " πρὸς τὸν Ἀνδρόνικον μετὰ χρυσοβούλλεον διὰ κ. βαλὼν αὐτὸ ἐ. φ. τρ. βρ. Sym. — 11. χρυσοβουλ. cod. χρυσοβούλλου ed. χρυσοβουλλίου Leo.— 12. καὶ ἐ. φ. βρ. τρ. κατακλείσας αὐτό. Τοῦ δὲ Σ. ἀπὸ β. ἐ. πρ. τοῦτον ὁ Σ. ἐ. ὁ. ὃ κατέχεις Vat. — 13. Ἀγαρ. ed. — """ προσώπου Sym. — προσκαλεῖται ἀ. ὁ Σ. καὶ φησίν· ὁ. Sym. — 15. ὃ ὃν ἐκράτειτ. ὡς τῆς Σ. εἴη ἀπώλεια Vat. — 26. βαστάξεις ed. Leo, Sym. — Δ. οὖν ἀ. Vat. — """" χρήματα Sym. Vat. χρ. καὶ δῶρα Leo. — αὐτὰ εἰς τὰς χ. τοῦ Ὀ. ἐμβ. Vat. — τ. βάλλειν Leo, εἰς τὴν χεῖρα τοῦ Ὀ. β. αὐτὸ Sym. — 17. Ἀζήρ ed. — ἀπ. om. Sym. — 18. Κρατεῖται οὖν καὶ δεσμεῖται Ἀ. καὶ οἱ σὺν αὐτῷ καὶ μ. ὡς τοῦτο γ. ἀ. διὰ δ. τοῦ Σ. Sym. Ὁ δὲ Κ. καὶ οἱ λ. Sym. — ἐδεσμήθη Vat. — ἀ. σ. Vat. — 20. αὐτῷ om. Vat. — ἀν. τὴν ἰδίαν πίστιν ἀ. καὶ οἱ σὺν ἀ. ἐξωμίσαντο Vat. ἀν. ἐμαγάρισεν Sym. om. αὐτὸς—

οἱ σὺν αὐτῷ). Ἔκτοτε δὲ Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ καὶ 910
οἱ λοιποὶ ἰδόντες, ὅτι ἀδύνατόν ἐστιν * Ἀνδρόνικον (194ᵃ)
ἐξελθεῖν, βουλῇ αὐτοῦ μετ' οὐ πολὺ φυγῇ μόνοι χρησάμε-
νοι θαυμαστὸν ὄντως ἐκ μέσης Συρίας πρὸς Ῥωμανίαν
ἐξῆλθον· καὶ καταπολεμούμενοι κατὰ χώρας (μόλις ὀλίγοι
διεσώθησαν μετὰ Κωνσταντίνου υἱοῦ αὖτοῦ).

(40) Ἐκ δὲ Ταρσοῦ εἰσῆλθεν ἐν τῇ πολει περὶ ἀλλα-
γίου ὅ τε Ἀβαλβάκης ὁ γέρων καὶ ὁ τοῦ Σαμωνᾶ πατήρ·
καὶ τούτους ἐδέξατο ὁ βασιλεὺς μετὰ κοσμήσεως καὶ τι-
μῆς καὶ δόξης ἐν τῇ Μαναύρᾳ ** ἐκαλλώπισε δὲ καὶ τὴν
μεγάλην ἐκκλησίαν ἐν κόσμῳ πολυτελεῖ καὶ ὑπέδειξεν
ἅπαντα τὰ τίμια σκεύη τοῖς Ἀγαρηνοῖς, ὅπερ ἀνάξιον
ἦν (βασιλείας καὶ) χριστιανικῆς καταστάσεως, τοῦ θεα-

αὐτῷ· μαγαρίζειν vel a חרא inquinare, Hoph. מחרא inquinatus, lavacro baptismatis renuntians vel a מָחַר, מָכַר, מָגַר tradere vendere, traditor fieri vel apostata.

1. Κ. δὲ ὁ ὡς ἀ. εἰδὼς ὡς ἀδ. ἐ. Ἀνδρονίκῳ ἐκεῖθεν ἐξ. β. ἀ. φ. χρησάμενος ἀπὸ Σ. ἐξῆλθε, πρὸς βασιλέα ἐπάνεισιν σὺν τοῖς μετ' αὐτοῦ, ᾧ δῶροις ὅτι (ὃν δ. Cont. 26) πλείστοις ὁ βασιλεὺς δαψιλευσάμενος, τάδε φησὶ πρὸς αὐτόν, τὰς (στὰς Cont.) ἐν τῇ πρὸς ἀνατολὰς τοῦ χρυσοτρικλινίου τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν εἰκόνι· «Μὴ πεπλάνησο καθ' ἑαυτὸν τὸν (τῷ Cont.) παρὰ πολλοῖς εἶναι ἀδόμενον Κωνσταντῖνον βασιλεύσοντα Ῥωμαίων. Ὄμνυμί σοι εἰς τὴν παντέφορον δίκην καὶ εἰς τὴν τοῦ κυρίου καὶ θεοῦ ἡμῶν εἰκόνα, ὅτι οὔκ ἐστι σὸν διὰ τὸ κατωνομάσθαι (κατονομασθῆναι Cont.) σε Κωνσταντῖνον, ἀλλὰ τῷ φιλτάτῳ μου υἱῷ θεόθεν διὰ προγόνων δεδώρηται, καθὼς παρὰ πολλῶν ἁγίων ἀνδρῶν πεπληροφόρημαι. Εἰ γὰρ πειραθείης τοῦτο διαχειρίσασθαι, τῇ πύλῃ ταύτῃ ἡ κεφαλή σου ἐκτὸς σώματος εἰσελεύσεται». ὃ καὶ γέγονε· μετὰ γὰρ τὸ ἆραι αὐτὸν τυραννικὰς χεῖρας, ἡ κεφαλὴ αὐτοῦ αἵματι, λύθρῳ τε καὶ κόνει ἀμαυρωθεῖσα διὰ τῶν αὐτῶν πυλῶν προσεκπλυθῆναι συμβέβηκεν Vat. (π. εἰσελήλυθεν Vat.) — 2. εἰδότες Leo, Sym. — ὡς Sym. — * τὸν Sym. — 3. μετ' οὐ π. τῇ β. ἀ. Sym. — φ. χ. ed. μ. φ. χ. Leo, Sym. — 4. ὅπερ θαύματος ἄξιον Sym. — ὄντα Leo, cod. — ἐκ μὲν Σ. Leo. — αἷς Sym. — ἐξῆλθ. cod. ἐξῆλθε P. — 5. κατὰ χώραν πολ. Sym. om. μόλις — αὐτοῦ. — 7. Τότε ἀπὸ Τ. ἐλθὼν ἐν τῇ π. π. τοῦ διαλλαγῆναι — πατὴρ οὗς καὶ δεξάμενος ὁ β. ὑ. τὸν τῆς ἐκκλησίας κόσμον Sym. 23. — 9. ἐθέασατο cod. ed. Sym. — ** ὑπεδέξατο Leo, ed. Combefis et margo P. et Leo.—ὁ β. ἐθ. (ἐδέξατο Cont. 28) κόσμῳ πολλῷ καὶ δόξῃ τὴν Μαγναύραν κατακοσμήσας Vat. — 10. ἐκαλλώπισ. et ὑπέδειξ. cod. ἐκαλλώπισαν — ὑπέδειξαν ed. — 11. ἐ. παντελῶς καὶ ὑπέδοιξαν Vat. (sed ἐκαλλώπισε ut Cont. ὑπέδειξε). — 12. ὃ. ἀν. ἐστιν χ. κ. τοῦ θεάσασθαι π. τῶν ἀγίων Sym. — 13. β. καὶ om. Sym. Vat. — ἀθεμίτοις καὶ ἀλλοεθνέσιν ἀνθρώποις τὰ τῆς τοῦ θῦ λειτουργίας σκ. καταθεᾶσθαι Vat. (καταθέσθαί Sym.).

ϑῆναι παρὰ τῶν ἐϑνῶν τὰ ἱερὰ σκεύη τοῦ ϑεοῦ. Ὁ δὲ τοῦ Σαμωνᾶ πατὴρ ἤϑελε συνεῖναι τῷ υἱῷ (αὐτοῦ καὶ μεῖναι εἰς Ῥωμανίαν). Ὁ δὲ Σαμωνᾶς παρῄνεσεν αὐτῷ λέγων· «Κράτει τὴν πίστιν, ἣν ἔχεις· κἀγὼ· εἰ δυνηϑῶ, ἐλεύσομαι πρός σε μᾶλλον».

911 (41) Τῇ δὲ ἡμέρᾳ τῆς ν' στέφει * Λέων ὁ βασιλεὺς τὸν υἱὸν αὐτοῦ Κωνσταντῖνον δὶ Εὐϑυμίου πατριάρχου. — Δέδωκε δὲ Σαμωνᾶς Κωνσταντῖνον ἄνϑρωπον αὐτοῦ τὸν δουλεύσαντα πρότερον Βασλείῳ μαγίστρῳ καὶ ἐπὶ τοῦ κανικλείου **, δουλεύειν Ζωῇ Αὐγούστῃ, ὃς *** ἠγαπήϑη **** παρὰ τοῦ βασιλέως Λέοντος καὶ τῆς Αὐγούστης· διὰ τοῦτο πολλὰ ἐφϑόνει Σαμωνᾶς αὐτῷ καὶ ἐλοιδόρει ὡς συνόντα τῇ Αὐγούστῃ, ὅπερ ὁ βασιλεὺς νοήσας ἀληϑὲς εἶναι, ἀπέστειλε καὶ ἀπέκειρεν αὐτὸν μοναχὸν ἐν τῇ μονῇ τοῦ ἁγίου Ταρασίου, διὰ τοῦ Σαμωνᾶ. Μετ' ὀλίγον δὲ ὥρισε Σαμωνᾶν ἀναλαβέσϑαι αὐτὸν ἐν τῇ (αὐτοῦ) μονῇ (τὰ) Σπειρά, βουλόμενος πάλιν ἀναλαβέσϑαι αὐτόν· ἀπελϑὼν οὖν [εἰς] ***** πρόκενσον ἐν τῷ Δαματρὺ καὶ ἐν τῇ μονῇ τοῦ Σαμωνᾶ ἀριστήσας εἶδε ****** Κωνσταντῖνον καὶ παρευϑὺ ὥρισε Σαμωνᾶν· καὶ

---

1. ἅγια Leo. — * τῷ βασιλεῖ καὶ Leo. — 2. ἀ. καὶ μὴ εἶναι εἰς Συρίαν Sym. om. Vat. — 3. Ὁ δὲ οὐ κατεδέξατο τοῦτο ἀλλὰ μᾶλλον παρῄνει εἰς τὰ οἰκεῖα ὑποστρέφειν καὶ τῆς ἰδίας ἀντέχεσϑαι πίστεως· κἀγὼ δέ, φησίν, εἴπερ δ. τάχιον π. σε ἐπανελ. Vat. — 4. δυναϑῶ ed. — 5. μ. π. σε Sym. — 6. Τῷ κε' ἔτει αὐτοῦ τῇ ημ. Sym. 24 Τῇ δὲ τῆς ν. ἡμ. Vat. — ** ὁ Vat. — β. τὸν ὖν ἀ. τὸν πορφυρογέννητον Sym. — 7. Ὁ δὲ Σ. Κ. ἀν. ἀ. τὸν πρ. Β. μ. τῷ κανικλείῳ δ. τῇ Ἁ. Ζ. δ. πρὸς τὸ τοῦτῳ ὑπηρετεῖσϑαι Vat. — 8. ἀ. καὶ δ. Leo. — 9. καὶ κανικλείῳ Leo. — *** τοῦ Sym. — **** καὶ Sym, τοσοῦτον Vat. — ****** πολλὰ Sym. — 10. π. τε τοῦ Λ. καὶ τῆς βασιλίσσης αὐτῆς Vat. π. τ. τοῦ Λ. τοῦ β. καὶ τῆς Ἁ. Sym. — 11. ὅϑεν καὶ π. ἐ. Σ. αὐτὸν καὶ ἐλ. ὡς συνόντι Sym. — ὥστε καὶ τὸν Σαμωνᾶν διαφϑονεῖσϑαι αὐτὸν καὶ λοιδορεῖσϑαι τοῦτον ὡς τῇ Ἀ. σ. Vat. — 13. ἀλ. ἐ. ὑπον. ἀποστείλας ἀπέκ. ἀ. ἐν Vat. et Cont ὑπον. ἀπεκ. ἀ. μ. ἐν Leo, ὑπ. ἀ. ἐ. ἀπεκ. ἀ. ἐν Sym. — 14. διὰ Σαμ. ἐν τῇ μ. τοῦ ἁ. Τ. Sym. τοῦ ἁ. Τ. μ. τῷ αὐτοῦ Σ. ἐπιτρέψας τοῦτο ποιῆσαι Vat. — 15. Μετ' ὀ. δὲ β. τοῦτο ἀν. ἐκέλευσε τῷ Σ. ἐν τῇ τῶν Σπειρῶν μόνῃ τοῦτον ἀπαγαγεῖν· ἐν τῷ Δ. οὖν ὁ βασιλεὺς ἐξελϑὼν καὶ ἐν τῇ τοῦ Σ. ἀρ. μ. Vat. — Σαμωνᾷ Leo, ι subscr pro ν.—τὸν Σ. Sym.—16. αὐτοῦ om. Sym.—τὰ om. ed.— ******* ὁ βασιλεὺς ν. Sym. — ******* τὸν Sym. — 19. π. διεκελεύσατο καὶ ἐνέδυσαν ἀ. ἱματίῳ κ. καὶ ἔδωκεν εἰς χεῖρας τοῦ βασιλέως τὸ ποτήριον ἐν τῷ ἀρίστῳ καὶ ὑπ. μ. ἀ. ἐ. τῷ π. Vat. — Σαμωνᾷ Leo. — ἐνδυσεν ed. ἐνέδυσ. cod.

ἐνέδυσεν αὐτὸν κοσμικά· καὶ ἐκέρασε τὸν βασιλέα εἰς τὸ κλητόριον καὶ ὑπέστρεψε μετ' αὐτοῦ ἐν τῷ παλατίῳ.

(42) Ὁρῶν δὲ Σαμωνᾶς αὐξανομένην τὴν ἀγάπην τοῦ βασιλέως ἐπ' αὐτὸν, βουλεύεται μετὰ μεγίστου κοιτωνίστου καὶ Μιχαὴλ Τζηρίζωνος· καὶ ποιοῦσι χάρτην πολυλοίδορον κατὰ τοῦ βασιλέως, γράψαντος καὶ συντάξαντος αὐτὸν τοῦ Ῥοδίου νοταρίου ὄντος τοῦ Σαμωνᾶ. Ἐλθὼν δὲ ὁ βασιλεὺς ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ εὗρεν αὐτὸν ἐν ᾧ ἠὔχετο τόπῳ εἰς τὸ μητατώριον καὶ ἦρεν αὐτόν· καὶ ἀναγνοὺς ἐν μεγάλῃ θλίψει ἦν ζητῶν τὸν τοῦτο ποιήσαντα. Γέγονε δὲ καὶ ἔκλειψις σελήνης, καὶ διωρίσατο ὁ βασιλεὺς τοῖς οὖσι τότε ἀστρονόμοις εἰπεῖν τὸ ἀποτέλεσμα. Εἰσερχομένου δὲ πρὸς τὸν βασιλέα Πανταλέοντος μητροπολίτου, φίλου ὄντος τοῦ Σαμωνᾶ, ἠρώτησεν αὐτὸν ὁ Σαμωνᾶς· «Εἰς τίνα ἐστὶν ἡ κάκωσις»; Ἔφη αὐτῷ ὁ μητροπολίτης· «Εἰς σέ· «καὶ ἐὰν διέλθῃς Ἰουνίου τὰς ιγ', ἔκτοτε οὐδὲν πείσῃ κακόν». Τῷ δὲ βασιλεῖ εἶπεν· εἰς τὸν δεύτερον ἔχειν κάκωσιν τὴν σελήνην. Ὁ δὲ βασιλεὺς ὑπέλαβε τοῦτο εἰς Ἀλέ-

---

1. τῷ βασιλεῖ Sym. — 2. μετὰ ταῦτα Sym. — 3. Βλέπων οὖ ὁ Σ. Leo, Καὶ πάλιν φθονεῖται Κωνσταντῖνος ὑπὸ τοῦ Σαμωνᾶ διὰ τὴν πρὸς ἀ. ἀγ. τοῦ β. καὶ β. μετὰ τοῦ Τζιρίζωνος καὶ ἄλλων τινῶν Sym.—τὴν τοῦ β. πρὸς Κωνσταντῖνον ἀγ. αὐξ. πιττάκιον συντίθησι μ. μεγ. κ. καὶ Μ. Τζιρ. λοιδορίας κ. ἔχον ἀπείρους τοῦ Ῥ. Κωνσταντίνου τοῦ αὐτοῦ ὑπογραφίως σ. ὅπερ ἐν τῷ μιτατορίῳ ἔβριψαν Vat. — τοῦ β. ἀγ. Leo. — 5. Στηρήθωνος Leo. — χαρτ. cod. χαρτίον ed. — 7. Τοῦ δὲ βασιλέως εἰσεληλυθότος ἐν. Vat. — Ἐλθόντος δὲ τοῦ βασιλέως ἐν τῇ μ. ἐ. ἔβριψεν ἀ. ἐν τῷ μιτατορίῳ εὑρὼν οὖν ἀ. ὁ β. καὶ ἀν. Sym. — 8. εὗρας Leo, εὑρ. cod. — 9. μητάριον cod. — 10. Περὶ τῆς σεληνιακῆς ἐκκλείψεως καὶ τῆς τοῦ βασιλέως τελευτῆς Γ. δὲ ἐ. σεληνιακὴ Vat. Γ. δὲ τότε ἐκλ. σ. Sym. — 11. Ὁ δὲ β. τὸν μητροπολίτην Παντολέοντα προσεκαλέσατο μαθεῖν παρ' αὐτοῦ τὸ τῆς σεληνιακῆς ἐκκλείψεως ἀπ. Vat. — 12. Εἰσερχόμενος δὲ Ὁ Πανταλέων μ. πρὸς τὸν β. ἠρ. Sym, ὃν εἰσερχόμενον π. τὸν β. ὁ Σ. ἠρ. Vat. — 15. ἔσται Vat. — Ὁ δὲ ἔφη εἰς σέ· καὶ ἐὰν τὴν ιγ' τοῦ Ἰ. διέλθῃς Vat. Ὁ δὲ ἔφη εἰς σὲ· καὶ ἐὰν διέλθῃ Ἰ. ιγ' Sym. — 16. ὁ. ἐ. Vat. — 17. Τὸν δὲ βασιλέα cod. ed. Leo. Πρὸς δὲ τὸν β. Vat. — ὡς Vat. — εἶπον Leo. — τὴν κ. τῆς σελήνης Sym. — 18. ὑπώπτευσεν εἰς Ἀ. τὸν ἀ. ἀθ. ἀποβήσεσθαι. Ὁ δὲ Τζ. ἰδίᾳ τῷ β. μ. ταῦτα καθωμολόγησεν ὡς ὁ Σ. εἴη ὁ τὸ κ. πεποίηκε κ. οὖν κατ. Vat.

ξανδρον τὸν ἀδελφὸν αὐτοῦ. Μετὰ τοῦτο· ἰδίως Τζηριζων τῷ βασιλεῖ ἐξεῖπεν· «Ὁ Σαμωνᾶς τὸ πιττάκιον ἐποίησε»· καὶ παρευθὺ καταβιβάζει Σαμωνᾶν εἰς τὸν οἶκον αὐτοῦ καὶ ἀποκείρει μοναχὸν καὶ ἀπάγει εἰς τὴν μονὴν Εὐθυμίου πατριάρχου· καὶ μετὰ ταῦτα πάλιν λοιδορηθέντας ἀπήγαγον εἰς τὴν τοῦ Μαρτινάκη μονήν. Ἐποίησε δὲ Κωνσταντῖνον παρακοιμώμενον καὶ ἔκτισεν αὐτῷ μονὴν ἐν Νοσιαῖς καὶ ἀπῆλθεν ἅμα Εὐθυμίῳ πατριάρχῃ καὶ ἐνεκαίνισε ταύτην.

(43) Ὀκτωβρίῳ δὲ μηνὶ γέγονε πόλεμος ναυμαχικὸς Ἰμερίου λογοθέτου μετὰ Δαμιανοῦ καὶ Λέοντος τῶν Ἀγαρηνῶν, στρα(194b)τηγοῦ ὄντος ἐν Σάμῳ Ῥωμανοῦ τοῦ μετὰ ταῦτα βασιλεύσαντος· ἡττήθη δὲ Ἰμέριος καὶ μόλιν διεσώθη, σχεδὸν πάντων ἐκεῖ κυνδυνευσάντων.

912 (44) Ἤρξατο δὲ νοσηλεύεσθαι Λέων ὁ βασιλεὺς κοιλιακῷ νοσήματι, ὥστε μὴ δυνηθῆναι ἐξελθεῖν ἐν τῇ Μαναύρᾳ τὴν δημηγορίαν διαλαλῆσαι ἐν τῇ ἀρχῇ τῶν νηστειῶν. — Γέγονε δὲ καὶ ἐμπρησμὸς εἰς τὰ κηρουλάρια τῆς μεγάλης ἐκκλησίας, καέντων τῶν χαρτοθεσίων πάντων

---

1. ἀ. ἀδ. Leo, Sym.— ' δε Leo, Sym.—Τζιρήδων Leo, Τζιρίθων Sym. Vat. Τζιρήθων Cont—2. εἶπεν ὅτι Sym.—3. Καὶ εὐθὺ Sym.—καὶ ποιεῖ μ. εἶα ἀπ. Sym.—4. ἐν τῇ μονῇ τοῦ π. Ἐ. μ. δὲ τ. π. λ. Vat. — 5. κ. π. λ. ἀπαναγουσιν εἰς τὴν τοῦ Μαρτιναχίου μ. Sym. — 6. ἀπάγει αὐτὸν εἰς τὴν τοῦ Μαρτιναχίου μ. Vat. — 6. παταβιβαζει οὖν τὸν Σ. ποιῶν Κ. π. καὶ κτίζει ἀ. Sym. — 8. Νωσιαῖς ed. ὁσίαις Leo.—καὶ ἀπελθὼν μετὰ Sym. — καὶ παραγενόμενος ἀ. Ἐ. π. ἐν. ἀ. Vat. — ἐγκαινίασε ed. ἐνεγκαινίασε cod. ἐγκαινίζει αὐτὴν Sym. — 10. Τῷ αὐτῷ ἔτει ἐπὶ η' μῆνας τοῦ ναυμαχικοῦ πολέμου τῶν Σαρακηνῶν γενομένου μετὰ Ἰ. τοῦ λ. στ. ὁ. ἐν Σ. Sym. 26 post c. 25 de patre Constantini accubitoris, anno 25°; sed quae initio quadragesimae et Majo mense facta sunt, jam anno 26° adnumerari debent.—ναυτικὸς Leo. — ναυμαχία γ. Ἡμερίου λ. Vat. — 11. Ἰμερίῳ λογοθέτῃ Leo. — Λ. καὶ Δ. om. Sym. — τοῦ Ἀγαρηνοῦ ed. — 12. στρατηγοῦντον Vat. — ὁ. Σ. Leo. — 13. δὲ om. Vat. — 14. ἀπ. των μετ' αὐτοῦ κεκινδυνευκότων Vat. — 15. Μετὰ τοῦτο Λ. ὁ β. νοσεῖ κ. ν. Sym. 26. Κ. δὲ ν. περιπεπτωκὼς Λ. ὁ β. εἰς ἀδυναμίαν ἦλθεν ἐσχάτην Vat.. — 16. ὡ. μόλις δ. αὐτὸν κατὰ τὸν βασιλικὸν τύπον ἐν τῷ τῆς ἐγκρατείας καιρῷ δημογορήσαντα, ἔκειπε οὕτως· «Ὁρᾶτε κατεσκληκότα με καὶ νόσῳ τρυχομενον, οὐκέτι ταχα μεθ' ὑμῶν μεταλήψομαι τὴν τοῦ χῦ ἀνάστασιν» Vat. = Cont. 32. — 18. τῆς μ. ἐ. κ. Vat. — 19. καὶ ἐκάησαν τὰ χαρτοθέσια πάντα καὶ ἡ σακέλλη Sym.

καὶ τῆς σακέλλης*. Μαίῳ δὲ μηνὶ ια'** τελευτᾷ Λέων***, προχειρισάμενος Ἀλέξανδρον, τὸν ἀδελφὸν αὐτοῦ, βασιλέα, ὃν ἰδὼν, ὥς φασιν, εἰσερχόμενον πρὸς αὐτὸν ἔφη· «Ἴδε**** ὁ κακὸς καιρὸς μετὰ τοὺς ιγ' μῆνας», πολλὰ***** (ἐκλιπαρήσας καὶ δεηθεὶς) αὐτοῦ φυλάττειν τὸν υἱὸν αὐτοῦ Κωνσταντῖνον******.

IV. ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΑΝΔΡΟΥ.

Ἀλέξανδρος υἱὸς Βασιλείου, ἀδελφὸς δὲ Λέοντος, ἐβασίλευσεν ἔτος α', ἡμέρας κϑ' σὺν Κωνσταντίνῳ υἱῷ Λέοντος. Ἀποστείλας δὲ ἤγαγε Νικόλαον ἐκ Γαλακρηνῶν (καταγαγὼν Εὐθύμιον πατριάρχην) καὶ ἐνεθρόνισε τὸ δεύτερον αὐτοῦ Νικόλαον πατριάρχην. Ἐποίησε δὲ σελέντιον καὶ σύνοδον Ἀλέξανδρος ἐν τῇ Μαναύρᾳ, ἀγαγὼν Εὐθύμιον (ἐκ τοῦ Στενοῦ) ἀπὸ τῶν Ἀγαθοῦ. Καὶ συγκαθίσας ἅμα Νικολάῳ πατριάρχῃ ἐποιήσαντο τὴν (κατ') αὐτοῦ καθαίρεσιν, ἀτίμως ἀποτίλλοντες τοῦ ἱεροπρεποῦς καὶ ἀξιαγάστου

---

* αὐτῆς Vat. — Τῇ δὲ ια' τοῦ Μαίου μηνὸς Sym. — μ. om. Vat. — ια' om. ed. — ** ἡμέρᾳ πρώτῃ, ἰνδικτιῶνος ιε' Vat. Cont. — *** ὁ βασιλεὺς Leo, Sym. Vat. — 2. Ἀλεξάνδρῳ τῷ αὐτοῦ ἀδελφῷ τὴν βασιλείαν παραδοὺς Vat. — ἀ. ἀδ. Leo, ἀ. ἀδ. β. Sym. — 3. π. ἀ. ἐρχ. Vat. — **** καὶ Sym. — 4. μ. ιγ' μηνῶν Sym. — ***** δὲ τούτῳ ἐνέσκηψεν Vat. — ἐ. καὶ ὀ. om. Sym. — 5. τὸν ἀ. υ. Κ. φ. Vat. — ****** Καὶ ὁ λόγος τοῦ βασιλέως ἐγένετο ἀληθῶς γὰρ μετὰ ιγ' μῆνας ἐτελεύτησε ed. e glossemate. — 7. Ἀλέξανδρος υἱὸς Βασιλείου ἡ περὶ τῆς βασιλείας Ἀλεξάνδρου υἱοῦ β. Par. 1706. Περὶ Νικολάου καὶ Εὐθυμίου πατριάρχου Ὁ δὲ Ἀλ. ἐβ. Vat. — 8. Τῷ ,ϛυιβ' ἔτει τοῦ κόσμου, τῆς δὲ θείας σαρκώσεως ψιβ' ἐβ. Α. ὁ ὢς Β. ed. — 9. τῷ Δ. ὑ. Vat. — 10. Γ. καὶ ἐν. αὐτὸν κατ. Ἐ. δν καὶ εἰς τοὺ Ἁγ. ἐξορίσας μετ' ὀλίγας ἡμέρας εἰς Μαγναύραν ἠνέγκεν καὶ σελ. καὶ συν. ἐκεῖ ποιήσας, τὴν κ. ἀ. ποιοῦσι, ἀτ. τίλλοντες τοῦ ἱ. καὶ ἀξ. ἐκείνου ἀ. τὴν γ. Sym. κ. Ἐ. π. om. Sym. — 11. τοῦ πατριαρχείου Vat. Cont. om. ed. — ἐνεθρ. — πατριάρχην om. Slav. — τὸ δ. τὸν αὐτὸν N. ed. τὸν ἀ. N. τὸ δ. Vat. — 12. Ποιήσας δὲ σελ. ἐν τῇ Μαγναύρᾳ Ἀλ. κατήγαγεν ἀπὸ τῶν Ἀ. τὸν Ἐ. καὶ ἅμα Νικολάῳ καθεσθεὶς (sic) Vat. — 13. ἐκ τοῦ Στ. om. Leo, Vat. Sym. Cont. — 14. ἀπὸ τοῦ Ἁγ. cod. P. — 15. κατ' om. Sym. Vat. — τὴν ἀ. κ. ἐπ. εὐθὺς δὲ ὥσπερ ἀνήμεροι θῆρες ἐμπεπηθηκότες τοῦ ἱ. ἀ. ἐκείνου τὴν σεβασμίαν γ. ἀπέτιλλον καὶ ἐπὶ τραχηλον ὤθουν καὶ ἀ. ἀνυποίστους π. τούτῳ ἐπέφερον, ἐπιβάτην αὐτὸν ἀποκαλοῦντες καὶ μοιχὸν καὶ ἀλλοτρίᾳ ἐπικηθήσαντα γυναικί· ὁ δὲ ἱερὸς ἐκεῖνος καὶ αἰδέσιμος πρ. πάντα καὶ ἡ. ὑπέφερεν.

ἀνδρὸς τὴν τιμίαν* γενειάδα καὶ ἄλλας τινὰς ὕβρεις καὶ ποινὰς αὐτῷ ἐπιφέροντες, ἃς ἡσύχως καὶ πράως ὑπέμεινεν ὁ τίμιος καὶ ἱερὸς ἀνὴρ (καὶ ὑπερωρίσθη πάλιν εἰς τὰ Ἀγαθοῦ) ἔνθα καὶ τελευτήσας κατατίθεται ἐν τῇ αὐτοῦ μονῇ ἐν τῇ πόλει, εἰς τὰ Ψαμαθίου.** 5

(2) Οὗτος Ἀλέξανδρος διὰ τὰς ὑπονοίας, ἃς ὁ ἀδελφὸς αὐτοῦ Λέων ἔτι ζῶν εἶχε κατ' αὐτοῦ, ἀεὶ τοῖς κυνηγεσίοις καὶ τοῖς ἔξω παλατίου ἐσχόλαζεν, μηδὲν βασιλέως ἔργον διαπραττόμενος ἀλλὰ διάγων ἐν τρυφαῖς καὶ ἀσελγείαις καὶ μέθαις καὶ περὶ ταῦτα ἀεὶ διακείμενος, ὅθεν ἄρξας 10 αὐτὸς οὐδὲ γενναῖον εἰργάσατο, ἀλλὰ παρευθὺ Ἰαννῆν παπᾶν τὸ ἐπίκλην Λαζάρην βαίκτωρα πεποίηκεν, ὃς καὶ κακῶς τὸ ζῆν ἀπέρρηξε μετὰ θάνατον Ἀλεξάνδρου ἐν τῷ Ἑβδόμῳ σφαιρίζων· ὁσαύτως*** καὶ Γαβριηλόπουλον καὶ Βασιλίτζην**** (ἀπὸ***** Σκλαβίνων ἔθνους) σφοδρῶς κατεπλούτησεν 15 ἐκ τῶν τοῦ παλατίου χρημάτων· ὡς φασὶ δὲ, τὸν αὐτὸν Βασιλίτζην καὶ βασιλέα ἠβούλετο ποιῆσαι, ὡς ἄπαις αὐτὸς ὤν) καὶ Κωνσταντῖνον υἱὸν Λέοντος εὐνουχίσαι· ὃ καὶ πολλάκις βουληθεὶς διεσκεδάσθη παρὰ (196ᵃ) τῶν ὑπὸ τοῦ

Ὑπερόριος οὖν ἐν τοῖς Ἀγ. σταλεῖς καὶ τέλει τοῦ βίου χρησάμενος ἐν τῇ π. Θ. εἰς τὴν ἀ. μονὴν τὴν ἐν τῷ Ψαματίᾳ ὑπάρχουσαν Vat.

* αὐτοῦ ed. — 2. πρ. ὁ ἱ. ποιμὴν οὗτος ὑπ. καὶ πάλιν ἐπέμφθη εἰς τοῦ Ἀγ. Sym. — 3. ἀνὴρ ἔνθα καὶ εἰς τὰ τοῦ Ἀ. τ. Leo. — 5. ἐν π. Sym. — π. τῶν Ψ. Leo. — ** τῷ δὲ κληρικῷ τῷ τίλαντι κτλ Sym. — 6. Ὅπως Ἀλέξανδρος τὸν τρυφηλὸν καὶ ἀνειμένον βίον δίων (βιῶν)καὶ ἀσωτίαις σχολάζων οὐδὲν ἄξιον βασιλείας διεπράξατο Vat. — Ὁ οὖν Ἀλ. Leo. Ὁ δὲ βασιλεὺς Ἀλ. μ. βασιλικὸν ἐ. δυνάμενος ποιῆσαι τ. κ. καὶ τοῖς πονηροῖς ἔργοις ἀεὶ ἐσχ. Τὸν δὲ τοῦ Λ. παῖδα πολλάκις ἐ. β. Sym. 1. — 8. ἐ. πρ. ed. — 9. τρ. ἀσωτίαις καὶ μ. Leo. — 11. ἅμα γὰρ τῷ μονοκράτωρ γενέσθαι Ἰω. π. Λαζάνης τούτῳ ἐπώνυμον, β. Vat. — Ἰ. τὸν π. τὸν ἐπ. Λ. ed. Ἰ. π. τὸν ἐπ. Λ. Leo. — 12. κακὰ Leo. — *** οὖν φασὶ Leo, οὖν Vat. — 14. Βασιλ. cod. Βασιλίτζην P. Βασίλειον et ed, Leo. — **** τὸν Vat. — 15. ἀπὸ Σκλ. ἐ. om. Slav. — ***** τοῦ Leo. — Σκλαβήνων ed, Σκλαβίνου Vat. — κατ. καὶ τοῖς τοῦ παλατίου περιήντλησε χρήμασι Vat. — 16. φ. δὲ καὶ βεβουλεῦσθαι ἀ. πολλάκις τὸν ἀ. Β. εἰς β. προχειρίσασθαι, τὸν δὲ Κ. τὸν τοῦ Λ. υ. ἐ. Vat. — 18. εὐνοῦχον ποιῆσαι Leo. — ὃ καὶ π. βουλευθεὶς Leo, καὶ βουληθ. codex ex exemplari in quo folium transpositum erat, descriptus, nam p. 879,14 καὶ Κωνστ. post εὐνουχίσαι legitur καὶ ὁ π. β. ed.

Λέοντος εὐεργετηθέντων, ποτὲ μὲν ὡς νήπιον ὑποβαλλόντων, ποτὲ δὲ ὡς ἀσθενοῦντα.

(3) Ἐπὶ τούτου ἐφάνη ἀστὴρ κομήτης ἐκ δύσεως ἐπὶ ἡμέρας ιέ, ὃν ἔλεγον Ξιφίαν καλεῖσθαι, καὶ αἰ(196b)ματεκχυσίαν * ἐν τῇ πόλει ἐργάσασθαι.

(4) Οὗτος ** πλάνοις καὶ γόησιν ἑαυτὸν ἐξέδοτο, οἳ καὶ πεπείκασιν αὐτὸν, ὡς τὸ τοῦ συάγρου στοιχεῖον *** σοι καὶ τῇ σῇ ζωῇ προσανάκειται, χοιρόβιον τὸν ἀνόητον ὑποφαίνοντες. Ὁ δὲ τούτοις ἀπατηθεὶς αἰδοῖα καὶ ὀδόντας τῷ χείρῳ προσανενέωσεν ὡς λειπομένους αὐτῷ· καὶ τῇ αὐτῇ πλάνῃ πεποιθὼς **** ἱππικὸν (ποιήσας τὰς τῶν ἐκκλησιῶν ἐνδυτὰς καὶ πολυκάνδηλα ἅρας, τὸ ἱππικὸν) ἐστόλισε καὶ τοῖς ζώδοις φωταψίαν ἐποίησε. Διὰ τοῦτο ἤρθη ἀπ' αὐτοῦ ἡ τοῦ θεοῦ χειρ, ὡς τὴν τοῦ θεοῦ τιμὴν τοῖς εἰδώλοις προσάψαντος.

(5) Ἱμερίου δὲ λογοθέτου ἐκ τῆς τῶν Ἀγαρηνῶν ἥττης ὑποστρέψαντος, ἀποστείλας Ἀλέξανδρος περιώρισεν ἐν τῇ μονῇ τοῦ παλατίου τῇ λεγομένῃ Καλυπᾶ, ἀπειλήσας

---

1. ὑπ. post ἀσθ. Sym. ὑποβαλλόντ. cod. ὑποβάλλοντα ed, ὑποβαλόντων Leo. — νηπί. — ἀσθενοῦντι cod. νηπίου — ἀσθενοῦντος ed. — 3. ὁ ἐφ. Vat. — ἑ. ἡμ. μ' Sym. 1, om. Vat. — 4. ξ. καὶ αὐτὸν ἐκάλουν οἱ περὶ ταῦτα δεινοὶ, ὃν αἱμάτων χύσιν προσημαίνειν ἐν τῇ π. γενέσθαι ἔφασαν Vat. — * σημαίνειν Sym. — 6. Οὕτως οὖν Ἀλέξανδρος πλ. ἑαυτὸν καὶ γ. ἐκδεδωκὼς ἐπείσθη ὑπ' αὐτῶν ὡς ἐν τῷ ἱππικῷ σύαγρος χαλκοῦς ἑστηκὼς αὐτοῦ εἴη στοιχεῖον. Λέοντι γὰρ τῷ αὐτοῦ, φασὶν, ἀδελφῷ ἀντιμάχεται χοιρ. Vat. — ** ὁ Ἀλέξανδρος Sym. 1. — ἐκδοὺς τοῦ σ. τῷ στοιχείῳ καθὼς αὐτὸν ἐκεῖνοι ἐδίδαξαν Sym. — 7. πεποιήκασιν αὐτοῦ σ. ed. — *** τὸ ἐν τῷ ἱππικῷ Leo, τοῦ ἐν τῷ ἱ. τὴν ζωὴν αὐτοῦ προσανακεῖσθαι ἔφασαν τὸν χοιρώδη βίον ἐκείνου καὶ ἀνόητον Sym. — 9. ὑπεμφ. Leo, Sym. Vat. — T. πεισθεὶς αἰδοῖον καὶ ὀ. τῷ χ. περιέθετο Sym. — 10. προσανενέωσας (sic) Vat. — λειπομένου Vat. — τῇ τοιαύτῃ οὖν πλ. Vat. — 11. αὐτοῦ Leo, τούτων Sym. — **** ὧν Leo. — ποιήσας — ἱππικὸν ex homoioteleuto om. Sym. — ἱ. πεποίηκεν καὶ τοὺς ἱεροὺς τῶν ἐ. πέπλους καὶ τοὺς λαμπτῆρας ἀναλαβὼν τὸ ἱ. κατεκόσμησε τὴν τοῦ θῦ τιμὴν τοῖς εἰδώλοις ὁ δείλαιος παρασχὼν διὸ καὶ παρὰ θῦ τὴν τ. ἀφῃρέθη ὡς τάχιστα Vat. — 12. πολυκανδήλ. cod. πολυκανδήλους? — 13. τῷ ζωδίῳ Sym. — φωταγωγίαν γὰρ ed. φωταυγίαν Sym. — ἐποιή. cod. — Ὅθεν καὶ ἀπ' ἀ. ἡ χριστοῦ χ. Sym. — 16. Τοῦ μέντοι Ἰ. ἐκ Sym. — ἡ. τῶν Ἀγ. Vat. — 17. ὑπ. π. αὐτὸν Ἀ. Sym. ὑπ. ἀπ. π. ἀ. Vat. — 18. μ. Παλατίου ᾗ ἐπώνυμον Κ. Vat. — Καμπᾶ Leo, Καλυπ. cod. Καλυπτᾶ ed. — ἐπειπ. ed. διαπειλήσαμενο αὐτὸν ὡς ἐ. φανέντα ἐν ταῖς ἡμέραις τῆς βασιλείας τοῦ Vat.

ὡς ἐχθρὸν αὐτοῦ (ὄντα) ἐπὶ τοῦ ἀδελφοῦ αὐτοῦ Λέοντος. Ὁ δὲ ἐκ θλίψεως πολλῆς ἀῤῥωστήσας (περιωρισμένος ὢν ἐπὶ μῆνας ς') ἐτελεύτησε.

(6) Ἀπέστειλε δὲ Συμεὼν ὁ ἄρχων Βουλγάρων μηνύων Ἀλεξάνδρῳ τὰ πρὸς εἰρήνην, τοῦ φιλοφρονεῖσθαι αὐτὸν καὶ τιμᾶσθαι καθώσπερ ἐπὶ τοῦ Λέοντος. Ὁ δὲ ἀνοίᾳ καὶ ἀφροσύνῃ κρατυνθείς, τοὺς πρέσβεις ἀτίμως ἐξέπεμψεν, ἀπειλαῖς τὸν Συμεὼν καταπλήξας. Λυθείσης οὖν ἔκτοτε τῆς εἰρήνης, Συμεὼν παρεσκευάζετο κινῆσαι κατὰ τῶν χριστιανῶν ὅπλα.

(7) Ἀλέξανδρος δὲ * ἀριστήσας καὶ οἰνωθεὶς ἐν τοῖς ὑπὸ κύνα καύμασι κατῆλθε σφαιρίσαι καὶ ῥομφαίᾳ θεηλάτῳ πληγεὶς ** (ἀνελθὼν), αἵματος *** πολλοῦ ἐκ τῶν ῥινῶν καὶ τῶν αἰδοίων ἐκφερομένου, μετὰ δύο ἡμέρας ἐτελεύτησε **** καταλιπὼν ἐπιτρόπους Νικόλαον πατριάρχην *****, Στέφανον μάγιστρον καὶ Ἰωάννην ****** τὸν Ἑλαδᾶν καὶ Ἰωάννην ῥαίκτωρα καὶ Εὐθύμιον καὶ (τὸν) Βασιλίτζην καὶ τὸν Γαβριηλόπουλον, ἐάσας τὴν βασιλείαν Κωνσταντίνῳ ἀνεψιῷ αὐτοῦ, υἱῷ Λέοντος τοῦ βασιλέως· ἀπέθεντο δὲ Ἀλέξανδρον ἐν τοῖς τάφοις ******* μετὰ Βασιλείου τοῦ πατρὸς αὐτοῦ.

---

1. αὐτοῦ ἐπὶ ed. — 2. Ὁ δὲ ἐπὶ μ. ς' π. ἐτ. δεινῶς ὑπὸ τῆς θ. κατεργασθείς Vat. — περιορισάμενος Sym. π. ὢν ἐπὶ μ. ς' om. Sym. — 4. Δηλοῖ Σ. ὁ ἀ. Sym. 3 Ὁ δὲ ἀ. Βουλγαρίας Σ. πρέσβεις πρὸς Ἀλέξανδρον ἐξαπ. Vat. — Βουλγάρ. cod. Βουλγαρίας ed. Leo. — * τῷ Sym. — 5. περὶ τῆς ἐ. Vat. περὶ εἰρήνης Sym. Leo. — τοῦ — εἰρήνης ex homoioteleuto omittit Leo, μ. τῷ Ἀ. καὶ τοῦ φ. Sym. μ. ὡς ταύτην ἀσπάζοιτο Vat. — 6. καθάπερ καὶ ἐπὶ Λ. τοῦ β. Sym. ὥσπερ δὴ καὶ ἐπὶ τοῦ β. Λ. Vat. — 7. κρατηθεὶς Vat. ed. συγκρατούμενος Sym. — ἀ. τ. π. Sym — ἐξ. ἀπειλαῖς χρώμενος κατὰ Σ. καὶ καταπλήττειν τοῦτον οἰόμενος. Τῆς οὖν ἐ. διαλ. ὁ κ. χρ. κ. Σ. ἐβουλεύετο Vat.=Cont.— 8. καταπλήσσων Διὸ καὶ κ. χ. ὁ Σ. κινεῖται Sym.—10. Ἀλ. ἀρ. ἐν Sym. 4. — * ὁ βασιλεὺς Leo. — καὶ οἰν. κ. σφ. Sym. — οἰνωθεὶς — καὶ om. ed. ex homoioteleuto Vat. — 11. κ. τῇ τῆς σφαιρᾶς χρήσασθαι παιδιᾷ, β. δὲθ. Vat. — ** καὶ Leo. — 12. ἀν. om. Sym. — *** αὐτοῦ Vat. — 13. καὶ αἰδ. αὐτῷ φερ. Sym. καὶ ἀ. καταφ. Vat. — **** μηνὶ Ἰουνίῳ ς'. ἐν ἡμέρᾳ κυριακῇ ἰνδικτιῶνος α' Vat. — 14. κ. ἐπιτρόπ. cod. κ. ἐπίτροπον Leo, κατ. Sym. ἐπιτρόπους κ' Vat. — ***** καὶ Leo, Vat. — 15. Ἰω. Ἑ. ed. — ****** μάγιστρον Leo, Vat. ῥαίκτωρα τὸν Ἑλλαδᾶ ἐπιτρόπους Sym. omissis ceteris. — 16. καὶ Β. Vat. — 17. τὴν δὲ β. Κ. τῷ υἱῷ Λ.—τὸν β. Κ. τῷ υἱῷ Λ. παραδοὺς ἐν ἔτει (numerus deest) Vat.—18. τελευτήσας δὲ τίθεται μ. Β. τοῦ π. ἀ. Sym. Ἀπέθετο δὲ Ἀλέξανδρος Leo. — ******* τῶν βασιλέων Leo, Vat. — 19. μ. τοῦ ed. Leo, Vat. — π. ἀ. B. Vat. π. ἀ. Leo.

Μ' ΒΑΣΙΛΕΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΥΙΟΥ ΛΕΟΝΤΟΣ.

Κωνσταντῖνος δὲ τοῦ πατρὸς αὐτοῦ Λέοντος τελευτή- 913
σαντος, παῖς ἔτι τυγχάνων — ἑβδομον γὰρ εἶχε τῆς ἡλικίας ἔτος — ὑπὸ Ἀλεξάνδρου τοῦ θείου αὐτοῦ ἐν τῇ βασιλείᾳ καταλέλειπτο ὑπὸ ἐπιτρόποις τελῶν· ἐβασίλευσεν οὖν ἐπὶ τῶν αὐτοῦ ἐπιτρόπων καὶ σὺν τῇ μητρὶ* ἔτη ζ', ἅμα δὲ Ῥωμανῷ πενθερῷ αὐτοῦ ἐν ὑποταγῇ ὢν ἕτερα ἔτη κϛ', μονοκράτωρ δὲ ἔτη ιε', ὡς εἶναι τὸν πάντα χρόνον τῆς βασιλείας αὐτοῦ ἔτη νε'. Λαβόμενος οὖν τῆς τοῦ παλατίου ἐξουσίας ὁ πατριάρχης Νικόλαος, ἅτε καὶ αὐτὸς ἐπίτροπος ὢν σὺν τῷ μαγίστρῳ Στεφάνῳ καὶ τῷ Ἑλαδᾶ Ἰωάννῃ καὶ αὐτῷ μαγίστρῳ, τὴν τοῦ κοινοῦ πρόνοιαν ἐποιεῖτο καὶ τὴν φροντίδα** εἶχε τῶν τῇ βασιλείᾳ ἀνηκόντων πραγμάτων ὁσημέραι.

(2) Ἐν τούτοις οὖν τῆς βασιλείας οὔσης, δηλοῦται Κωνσταντίνῳ τῷ Δουκί, δομεστίκῳ ὑπάρχοντι τῶν σχολῶν παρά τινων τῶν ἐν τῇ πόλει μεγιστάνων φιλούντων αὐτὸν ὡς ἀνδρεῖον καὶ νουνεχῆ καὶ καλῶς δυνάμενον τὴν βασιλείαν διακυβερνᾶν, εἰσελθεῖν καὶ ταύτης ἐγκρατῆς γενέσθαι ἀπονητί***. Ὁ δὲ, ἅτε καὶ πρότερον αὐτὴν ὀνειρο-

---

1. η' Περὶ Κωνσταντίνου βασιλέως υἱοῦ Λέοντος Par. 1706, Κωνσταντῖνος υἱὸς Λέοντος ὁ πορφυρογέννητος Vat. — 2. Κόσμου ἔτος ,ϛυη', της θείας σαρκώσεως ϑη', Ῥωμαίων βασιλεὺς Κ. ὁ πορφ. ἔτη μη', Leo.—τ. Λ. Leo. Vat. τ. γὰρ τοῦ π. ἀ. Λ. ἐπαετὴς ὢν Sym. — 4. τοῦ om. Vat. Leo. — 5. ἐπιτροπ. cod. ἐπιτρόποις Leo, Vat. καταλιμπάνεται ὑπὸ Ἀ. θ. ἀ. ὑ. ἐπιτρόπους τ. Sym. — 6. ὑπὸ Vat. — αὐτῶν Sym. — ἐπ. σὺν ed. Sym. — * ἕτερα cod. ed. — 7. καὶ ἅμα Ῥ. Sym. — ὢν ἐν ὑπ. Vat. — 8. μονοκρατορεῖ δὲ Sym. — π. τὸν Sym. — 9. μὴ Sym. — τοῖς μαγίστροις Sym. — 10. ἐπ. καὶ ἀ. ed. — 11. καὶ Ἰω. τῷ Ἑλλ. Sym.— 12. μ. καὶ ἀ. Vat. — ** πᾶσαν Sym. — 15. Τὰ περὶ Κωνσταντίνου Δουκὸς καὶ τῆς ἀπωλείας αὐτοῦ Vat. — 16. Κ. Δ. Sym. 2. — τυχόντι Sym., τυγχάνοντι Sym. Vat. — 18. ἐκκλησίαν Leo, scl. ecclesiasticus vel monachus! — 19. ἐγκρατῆ ed. — *** ὡς δέ τινες φασὶ καὶ Νικόλαος πατριάρχης ἠγνοηκὼς ὡς κατ' ἐπιτροπὴν Ἀλεξάνδρου αὐτῷ ἐγκεχείριστο τὰ τῆς ἐξουσίας, ἐπιστολὴν Ἀρταβάσδῳ ἐγχειρίσας ᾧ τὸ ἱερατεύειν ἐνείργητο, ἐξαπέστειλε πρὸς τὸν τοῦ Δουκὸς Κωνσταντῖνον παρακελευόμενος εἰσεληλυθέναι τῇ βασιλίδι ὡς τῆς βασιλείας ἐπιλάβηται. Ὃς διὰ τὴν τοῦ γράμματος διαπόρθμευσιν τῆς πορφυρίου Σοφίας πρῶτος τῶν

πολῶν καὶ τοῦ στέφους ἀεὶ ἐφιέμενος, ὡς εἶχε τάχους, τὴν βασιλεύουσαν κατέλαβε ἅμα τοῖς σὺν αὐτῷ τῶν στρατευμάτων ἐγκρίτοις ἱκανοῖς οὖσι καὶ νυκτὸς διὰ παραπυλίδος εἰσελθὼν τοῦ πρωτοβεστιαρίου Μιχαὴλ, οὔσης πλησίον ἀκροπόλεως, ἐν τῷ οἴκῳ τοῦ πενθεροῦ αὐτοῦ Γρηγορᾶ, ἄϋπνος μετὰ τῶν συνόντων αὐτῷ διετέλεσε. Νικήτας δὲ ἀσηκρῆτις ὁ μετὰ ταῦτα πρωτονοτάριος γεγονὼς, τὴν Κωνσταντίνου ἄφιξιν τῷ πατρικίῳ Κωνσταντίνῳ μοναχῷ τῷ Ἑλαδικῷ κατεμήνυσε, καὶ ἅμφω τῇ αὐτῇ νυκτὶ πρὸς τὸν Δοῦκαν Κωνσταντῖνον παρεγένοντο, (197ᵇ) καὶ βουλὴν ποιησάμενοι, οὔπω τῆς ἡμέρας καταλαβούσης, ἀλλ' ἔτι σκοτίας οὔσης, μετὰ λαμπάδων καὶ λαοῦ πολλοῦ καὶ ὅπλων τὴν τοῦ ἱπποδρόμου πύλην καταλαμβάνουσι, Κωνσταντῖνον εὐφημοῦντες ὡς βασιλέα, ἔνθα δὴ ὁ τούτου ἱπποκόμος λογχευθεὶς παρὰ τῶν ἐντὸς τοῦ ἱπποδρόμου πυλῶν ἀνηρέθη.

(3) Μὴ δεχθεὶς οὖν ὁ Κωνσταντῖνος (ἀλλὰ ἀποσοβηθεὶς ὥσπερ ὑπό τινος ἐκβαχευόμενος δαίμονος) καὶ ** ἐφεστηκότα ἔχων τὸν λογισμὸν τῷ τῆς βασιλείας ἔρωτι, ἐν τῷ ἱπποδρόμῳ ὑπεχώρησε στυγνός τε καὶ κατηφὴς, κακὸν οἰωνὸν κρίνας τὴν τοῦ ἱπποκόμου σφαγήν. Ἐκεῖθεν οὖν εὐφημούμενος ἦλθε μέχρι τῆς λεγομένης χαλκῆς καὶ διὰ τῆς σιδηρᾶς πόρτης τῆς (αὐτῆς) χαλκῆς εἰσεληλυθὼς μέχρι τῶν ἐξκουβίτων παρεγένετο. Ὁ οὖν μάγιστρος Ἰωάννης ὁ Ἑλαδᾶς ἐκλογὴν τῶν (τε) τῆς ἑταιρίας καὶ τῶν ἐλατῶν ποιη-

ἱερωμένων κεκλήρωτο. Οὗτος γεννήτωρ Ἀνδρέου τοῦ ἐν χρόνοις τοῖς καθ' ἡμᾶς τὴν ζωγραφικὴν τέχνην εἰς ἄκρον ἐλάσαντος ἥπερ Ἀπελλῆς καὶ Ἀγάθαρχος, Ἡρακλείδης τε καὶ Φίλοινος οἱ Βυζάντιοι καθεστήκει Vat. = Cont. 2. — αὐτῆς ἐφιέμενος Leo.

1. τοὺς στεφάνους Leo. — τάχος Leo, Vat. — καταλαβὼν Leo. — ἅμα τῶν ἐγκρίτων τοῦ ὑκ' αὐτὸν στρατεύματος καταλαμβάνων τὴν β. ἱκανῶν ὄντων Sym. — τῶν στρ. om. ed. — * καὶ ed. Sym. Vat. — δοῦκα ed. Leo. — 11. καὶ ἅμα πρωΐ, οὔπω Sym. — 13. ἱπποδρομίου Leo. — καταλαβόντες εὐφήμουν β. ἐν τῷ ἱππικῷ ἔσωθεν Sym. — 17. οὖν ed. οὖν ἐκεῖσε ὁ K. Leo, Sym. Vat. — ἀλλὰ — τινος om. Vat. — 18. ὥσπερ ἐκ Leo. ὡ. ἐκβαχευθεὶς ὑπό τ. δ. Sym. — ** μὴ ed. Leo, Sym. Vat. — 19. λ. ἐν τῆς Vat. — ἱπποδρομίῳ Leo. — 21. τὴν τοῦ ἱ. κρ. Leo, Sym. — Ἐ. ἦκε μ. χ. Sym. — 23. αὐτῆς om. Vat. — μ. τῶν σκουταρίων Sym. — 25. τῶν τῆς Sym. — καὶ τῶν ἄλλων ποιούμενος Sym.

σάμενος, μεϑ' ὅπλων τούτους ἀπέστειλε κατὰ τοῦ Δουκός· ἐλϑόντων οὖν μέχρι τῆς χαλκῆς (καὶ πολέμου συστάντος), πολλοὶ ἐξ ἀμφοτέρων ἔπεσον τῶν μερῶν (ἔργον ἐκεῖ μαχαίρας γενόμενοι καὶ) τοσοῦτον ὥστε τὸν τόπον ἐκλιμνασϑῆναι τῷ αἵματι (ποταμηδὸν καταῤῥέοντι)· ἀνῃρέϑη δὲ καὶ Γρηγορᾶς (ὁ) υἱὸς τοῦ Δουκὸς καὶ Μιχαὴλ * ἐξάδελφος αὐτοῦ καὶ ὁ Κουρτίκης ἐκεῖνος ὁ ἐξ Ἀρμενίων.

(4) Ταῦτα ὁ Δοὺξ Κωνσταντῖνος μαϑὼν, ταραχῆς ὅτι πλείστης γενομένης, τὸν ἵππον ἐξήλαυνεν· ὁ δὲ ταῖς ἐκεῖσε ὑπεστρωμέναις ἐνολισϑήσας πλαξὶν εἰς γῆν τὸν ἐπιβάτην κατέβαλεν· ἐπεὶ δέ τις αὐτὸν κατὰ γῆς ἐῤῥιμένον ** κατέλαβε — οἱ γὰρ ἄλλοι διεσκεδάσϑησαν ἅπαντες — ξίφει τὴν τούτου ἀπέτεμε κεφαλήν ***.

(5) Τούτων οὕτω τελεσϑέντων, Γρηγορᾶς (μάγιστρος ὁ) τούτου πενϑερὸς μετὰ Λέοντος, ὃν χοιροσφάκτην ὠνόμαζον, τῇ ἁγίᾳ τοῦ ϑεοῦ μεγάλῃ ἐκκλησίᾳ προσέφυγεν, οὓς καὶ βίᾳ ἐκεῖϑεν ἀποσπάσαντες ἀπέκειραν (μοναχοὺς) ἐν τῇ τῶν Στουδίων (μονῇ), Κωνσταντῖνον δὲ τὸν Ἑλαδικὸν βουνεύροις τύψαντες, ῥάκη τε περιβαλόντες καὶ ὄνῳ ἐπικαϑίσαντες διὰ μέσης τῆς πόλεως ἐϑριάμβευσαν καὶ ἐν

---

2. καὶ π. σ. om. Sym. — 3. τῶν μ. ἐπ. Sym. — ἑ. ἑ. μ. γ. καὶ om. ed. et Sym. ἐκεῖσε Leo, Vat. — 4. τοσοῦτοι Leo, Sym. — ὡς Sym. — ἑλλ. Vat. — 5. π. κ. om. Sym. — 6. ὁ om. Vat. — * ὁ Leo. — 6. καὶ K. ed. Vat. καὶ ὁ Κορτίκης Leo. — 10. νολισϑήσας Vat. — 11. καὶ τις Sym. — ** καὶ μεμονωμένον Vat. — 12. οἱ — ἅπαντες post κατέβαλε propter homoioteleuton Leo, om. Sym. — *** ἤτις τῷ βασιλεῖ προσενήνεκτο καταφανὴς ἅπασιν τῆς ἀπάτης εἰς ἀποτροπήν Sym. Vat. Τὸ δὲ τοιοῦτον ἐπιχείρημα κατά τινα καὶ ἄλλον τρόπον ἐδεδήλωτο. Νικόλαος γὰρ τις τὰς ἐν Χαλδίᾳ τῶν δημοσίων εἰσπράξεις ἐμπεπιστευμένος εἰς Συρίαν ἀφίκετο τῆς καϑ' ἡμᾶς εὐσεβείας ἔξαρνος γεγονὼς, ὃς ἐκεῖσε διατρίβων ἀστρολογίας ἢ ἀστρονομίας τινὸς μᾶλλον μετεποιεῖτο. Οὗτος ἐν μελαμβαφεῖ γράψας ὑφάσματι, ἀπεστάλη τοῦτο πρὸς λογοϑέτην Θωμᾶν, οὗ δὴ βυφϑέντος παρὰ Μανουὴλ τοῦ τῶν Ἀγαρηνῶν ἑρμηνέως ἐν ὕδατι, τὰ ἐν αὐτῷ πεφανέρωται γράμματα οὕτω διαγορεύοντα· «Μὴ φοβήϑητε ἀπὸ τοῦ πυῤῥοῦ πετεινοῦ τοῦ Δουκός· νεωτερισϑήσεται γὰρ ἀφρόνως καὶ εὐϑέως ὀλοϑρευϑήσεται» Vat. = Cont. 3. — 14. μ. ὁ om. Sym. Cont. — 15. Λέοντα Vat. Λέοντ. cod. — ὠνόμαζε P, ὀνομάζουσι Vat. — 16. ϑῦ Σωφίᾳ Leo, Σ. ἑ. Sym. — προσέφυγ. cod. προσέφυγε Sym. Cont. — 17. μον. om. Sym. — 18. τοῦ Sym. — μονῇ om. Sym. — Ἑλλ. Leo, Sym. Vat. — 19. τ. μετὰ ῥάσου καὶ ὄνου ἐϑ. Sym.

τοῦ Δαλμάτου (ἀπαγαγόντες μονῇ ἐγκατάκλειστον (τῇ λεγομένῃ) καταδίκῃ πεποιήκασι. (Λέοντα δὲ τὸν Κατακαλίτζην καὶ Ἀβεσσαλὼμ τὸν τοῦ Ἀρωτρᾶ ἐκτυφλώσαντες· ἐξορίᾳ παρέπεμψαν. Κωνσταντῖνον δὲ τὸν τοῦ Εὐλαμπίου υἱὸν καὶ ἑτέρους σὺν αὐτῷ Θεόφιλος ὁ ὕπαρχος ὁ τοῦ Λαμπώδου ἐν τῇ τοῦ ἱππικοῦ σφενδόνῃ ξίφει ἀπέτεμεν. Οὐ μικρῶς δὲ διερευνησάμενοι περὶ Νικήτα ἀσηκρῆτις καὶ Κωνσταντίνου τοῦ Λιβὸς, οὐχ εὗρον αὐτοὺς ὡς χρησαμένους φυγῇ). Τὸν δὲ [Αἰγίδην ἐκεῖνον] καὶ τοὺς σὺν αὐτῷ ἀνδρείους ὄντας καὶ πολλοὺς ἀπό τε τῆς ἐν Χρυσοπόλει δαμάλεως καὶ μέχρι τοῦ Λευκάτου (διδύμοις ξύλοις) πάντας ἀνεσκολόπισαν· καὶ πολλοὺς ἂν τῶν ἐν τέλει τότε ἀνηλεῶς καὶ ἀναιτίως οἱ λεγόμενοι οὗτοι ἐπίτροποι ἀπέκτειναν, εἰ μή τινες τῶν δικαστῶν τούτους τῆς ἀδίκου ὁρμῆς ἀνεχαίτισαν, εἰπόντες αὐτοῖς ὡς «παιδὸς ὄντος τοῦ βασιλέως, πῶς ἄνευ τῆς αὐτοῦ κελεύσεως τοιαῦτα τολμᾶτε διαπράττεσθαι;»

(6) Τὴν τοῦ Δουκὸς οὖν γυναῖκα ἀποκείραντες εἰς τὸν ἐν Παφλαγονίᾳ οἶκον ἑαυτῆς ἐξαπέστειλαν, εὐνουχίσαντες καὶ τὸν υἱὸν αὐτῆς Στέφανον.

(7) Αὐγούστῳ δὲ μηνὶ Συμεὼν ὁ Βουλγαρίας (ἄρχων ἐκστρατεύσας κατὰ Ῥωμαίων) σὺν ὄχλῳ (πολλῷ καὶ) βαρεῖ κατέλαβε τὴν Κωνσταντινούπολιν· καὶ (δὴ περικαθίσας αὐτὴν) χάρακα περιέβαλεν ἀπό (τε) Βλαχερνῶν καὶ μέχρι τῆς λεγο-

---

1. τῶν Δαλμάτων Sym. om. απ. μ. — ἐγκατάκλειστ. cod. ἐγκατακλείστους Leo. — τῇ λ. om. Sym. — 2. Καὶ ἄλλους μὲν τυφλώσαντες ἐξωρισαν καὶ ἑτέρους ἀπεκεφάλισαν Vat. Sym. om. Λέοντα — φυγῇ 3. — τὸν om. ed. Ἀροτρᾶ Cont. Leo, — · ἐν Leo, Vat. — 5. Φιλόθεος Leo, Vat. Cont. — ὁ ante ὑπ. om. Vat. Cont. — Δαμπύδου ed. Δαμπώδ. cod. Δαμπούδη Cont. — 6. μικρ. cod. μικρὸν Vat. Cont. — 9. τοὺς δὲ τοῦ φοσσάτου Sym. — π. καὶ ἀ. ὀ. Vat. Cont. π. καὶ ἀ. ὄντες Leo, ἀ. καὶ καλοὺς ὄντας καὶ π. Sym. — 10. ἀπὸ τοῦ Δαμαλίου Sym. — 11. Λευκατίου Sym. — δ. ξ. om. Sym. — 12. ἐνεσκ. ed. ἀνεσκολόπη cod. ἀνεσκολόπισεν Vat. — π. δὲ καὶ ἀ. οἱ λ. ἐπ. ἀπ. ἂν Sym. — 13. πρὸς αὐτοὺς Leo, om. Sym. — 18. τὴν τοῦ Δ. οὖν γ. Vat. τὴν οὖν γ. τοῦ Δ. Sym. — ἀποκείροντες ed. — 19. αὐτοῖς ἐξ. Vat. — 20. αὐτοῦ Leo, Sym. (ἐν Π. αὐτοὺς εἰς τὸν ὀ. ἀ. ἀπέστειλαν). — 21. Περὶ τῆς ἐκστρατείας Συμεὼν Βουλγάρου καὶ Νικολάου πατριάρχου Vat. — Τῷ δὲ Ἀ. Sym. — Βούλγαρος ed. Sym. Βουλγ. cod. — ὀ. ἐ. κ. Ρ. om. Sym. — 22. π. καὶ om. Vat. Sym. — 23. δὴ π. ἀ. om. Sym

μένης χρυσῆς πόρτης, ἐλπίσι μετέ(197ᵇ)ωρος ὢν (ἀπονητὶ ταύτην πάντως ἐλεῖν). Ἐπεὶ δὲ τήν τε τῶν τειχῶν κατέμαθεν ὀχυρότητα, τήν τε ἐκ τοῦ πλήθους καὶ τῶν * πετροβόλων ** ἀσφάλειαν, τῶν ἐλπίδων σφαλεὶς ἐν τῷ (λεγομένῳ) Ἑβδόμῳ ὑπέστρεψεν, εἰρηνικὰς σπονδὰς αἰτησάμενος. Τῶν δὲ ἐπιτρόπων τὴν εἰρήνην ἀσμενέστατα ἀποδεξαμένων, (ἀποστέλλει Συμεὼν Θεόδωρον μάγιστρον αὐτοῦ συλλαλῆναι τὰ τῆς εἰρήνης· ἀναλαβόμενοι δὲ ὅ τε πατριάρχης Νικόλαος καὶ Στέφανος καὶ Ἰωάννης οἱ μάγιστροι τὸν βασιλέα ἦλθον μέχρι τῶν Βλαχερνῶν καὶ εἰσήγαγον τοὺς δύο υἱοὺς Συμεὼν καὶ συνεστιάθησαν τῷ βασιλεῖ ἐν τοῖς παλατίοις. Νικόλαος δὲ ὁ πατριάρχης ἐξῆλθε πρὸς Συμεών, ᾧ τινι τὴν κεφαλὴν ὑπέκλινε Συμεών· εὐχὴν οὖν ὁ πατριάρχης ποιήσας, ἀντὶ στέμματος, ὡς φασι, τὸ ἴδιον ἐπιῤῥιπτάριον τῇ αὐτοῦ ἐπέθηκε κεφαλῇ). Δώροις οὖν ἀμέτροις τε καὶ μεγίστοις φιλοφρονηθέντες ὅ τε Συμεὼν καὶ οἱ τούτου υἱοὶ εἰς τὴν ἰδίαν χώραν ὑπέστρεψαν (ἀσύμφωνοι ἐπὶ τῇ εἰρημένῃ εἰρήνῃ διαλυθέντες).

(8) Τοῦ βασιλέως οὖν Κωνσταντίνου ἅτε παιδὸς ὄντος καὶ τὴν ἰδίαν μητέρα ἐπιζητοῦντος — ἤδη γὰρ ταύτην κατήγαγε τοῦ παλατίου (ὡς εἴρηται, Ἀλέξανδρος ὁ βασιλεύς) — ἣν καὶ ἀνεβίβασε πάλιν. Αὐτὴ οὖν περικρατὴς γενομένη τῆς βασιλείας ἀναβιβάζει εἰς (τὸ) παλάτιον Κωνσταντῖνον ** παρακοιμώμενον (194ᵇ) καὶ Κωνσταντῖνον καὶ Ἀναστάσιον (αὐταδέλφους) τοὺς Γογγυλίους λεγομένους·

---

1. π. χ. Vat. π. Χ. καὶ Leo. — ἀπ. τ. π. ἐ. om. Sym. — 2. Ἀπειρότητι δὲ τῇ ἐκ τοῦ πλήθους καὶ τῶν ὅπλων καὶ τῶν περιβόλων ἀσφαλείᾳ τῶν ἐ. ἀποσφαλεὶς Sym. — τοίχων ed. — * ὁπλιτῶν καὶ τῶν Vat. Cont. — ** καὶ τοξοβόλων ὀργάνων Cont. — 4. λεγ. om. Sym. — 7. ἀπ. — κεφαλῇ om. Sym. — 8. ἀναλάβομενος Leo. — 9. Ἰω. μάγιστρος Leo, Ἰω. μάγιστροι Vat. — 12. ἦλθε Leo. — 14. ἑαυτοῦ Leo. — 15. ἑαυτοῦ Leo. — ἐπέθετο Vat. Cont. — Δ. οὖν ἀ. καὶ Leo, δ. τε ἀ. καὶ Sym. — 17. ἀσ. ἐπὶ τῇ ἐ. ἐ. δ. om. Sym. — 19. Τοῦ οὖν β. Κ. Sym. 6. — 20. αὐτὴν ed. — τοῦ π. χ. Leo. — 21. ὡς — βασ. om. Leo, Vat. nec est de hac re aliquid in Alexandri vita ὡς ἐ. et ὁ β. om. Sym. — 22. ἀναβιβάζουσι π. αὐτὴν Leo, Sym. Vat. — Καὶ π. Sym. — 23. τὸ om. Vat. — *** τὸν ed. Sym. — 25. αὐτ. om. Sym. — λ. Γ. Leo, Γ. Sym.

καὶ τῇ βουλῇ Ἰωάννου τοῦ Ἑλαδᾶ καταβιβάζουσι τοὺς οἰκείους Ἀλεξάνδρου (τοῦ) βασιλέως *, Ἰωάννην τὸν βαίκτωρα καὶ τὸν (λεγόμενον) Γαβριηλόπουλον καὶ Βασιλίτζην καὶ τοὺς λοιπούς. Προχειρίζεται δὲ Ζωὴ ** Αὐγοῦστα Θεοφύλακτον Δομήνικον ἑταιρειάρχην. Ἰωάννης δὲ μάγιστρος ὁ Ἑλαδᾶς νόσῳ περιπεσὼν καὶ ἀπαγορευθεὶς παρὰ τῶν ἰατρῶν (κατελθὼν ἐκ τοῦ παλατίου) καὶ ἐν Βλαχέρναις παραγενόμενος καὶ (ὑπὸ) τῆς νόσου βαρηθεὶς τελευτᾷ. Συμβουλῇ δὲ Δομηνίκου (ἑταιρειάρχου καταβιβάζει *** Νικόλαον πατριάρχην) ἅμα τοῖς σὺν αὐτῷ μετ' ὀργῆς, τὰ τῆς ἰδίας ἐκκλησίας (περιποιούμενον καὶ) φροντίζειν εἰποῦσα.

(9) **** Μετ' οὐ πολὺ δὲ Κωνσταντῖνος παρακοιμώμενος διαβάλλει τῇ Αὐγούστῃ Δομήνικον ἑτερειάρχην ὡς τὴν βασιλείαν σφετεριζόμενον εἰς τὸν αὐτοῦ ἀδελφόν· καὶ τοῦτον ***** προφάσει πατρίκιον ****** ποιήσαντες, κατελθόντος ἐν τῇ ἐκκλησίᾳ, ὡς ἔθος ******* εὐχὴν λαβεῖν, οἶκοι ******** μένειν παρε(195ª)κελεύσαντο· προεβάλλετο δὲ Ζωὴ Ἰωάννην Γαριδᾶν ἑταιρειάρχην καὶ Δαμιανὸν εὐνοῦχον τῆς βίγλης δρουγγάριον. Δομήνικος δὲ ἀπῆλθεν ἐν τῷ οἴκῳ αὐτοῦ ἀνόνητα ὀλοφυρόμενος.

914 (10) Τοῦ δὲ Βουλγάρου Συμεὼν τὴν Θρᾴκην (πάλιν) ληϊζομένου (ἐν φροντίδι οὔσης τῆς Αὐγούστης καὶ τῶν ἐν τέλει ὅπως αὐτὸν τῆς ἀλαζονείας παύσωσιν), ᾐτήσατο Ἰωάννης ὁ Βωγᾶς γενέσθαι πατρίκιος, ὑποσχόμενος ἀγα-

---

1. Ιω. Ἐ. καταβιβάζει Sym. — 2. τοῦ om. Vat. — * ἤγουν Sym. — 3. λεγ. om. Sym. — καὶ Β. om. Sym. — ** ἡ Sym. — 4. Θ. τὸν Δομηνίκου Sym. — 6. νοσήσας Sym.—7. κ. ἐκ τοῦ π. om. Vat. — π. ὑπὸ Vat. — 8. βαρυνθείσης Leo. — Σ. Δ. ed.— 9. ἑτ. — πατρ. om. Leo. — *** Ζωὴ ed. Vat. ante κατ. Sym. — 10. μετ' ὀ. ἀπὸ τοῦ παλατίου N. π. Sym. — τὰ om. Sym. — 11. περιποιεῖσθαι P. Sym. π. καὶ om. Vat.— **** Οὐ ed. et cod. — 12. Οὐ μ. π. δὲ Vat. — 13. πρὸς Ζωὴν τὸν Δ. Sym. — 14. ἀδ. ἀ. Sym. — τ. π. ed. προφαστικῶς οὖν Sym. — ***** ἐν — ****** αὐτὸν Sym. — 15. ἐπεὶ κατῆλθεν Sym, κατελθόντα Vat. — ******* ἐστὶ Sym. — ******** τοῦτον Sym. — 16. προβάλετο Vat. — 17. ἑτ. Ιω. τὸν Γ. Sym, Ἰω. τὸν ἑτ. Vat. — καὶ δ. τῆς β. Δ. ἐ. Sym. — 18. Δομ. — ὀλοφυρόμενος om. Sym. — 20. Περὶ τῆς δευτέρας ἐκστρατεύσεως Συμεὼν Βουλγάρου καὶ ὁποῖα δεινὰ διεπράξατο εἰς τὴν Ῥώμην Vat. — πάλιν om. Sym. 7. — 21. ἐν — παύσωσιν om. Sym.— 23. Βοσγᾶς cod. Βογᾶς ed Sym. Cont. Βαγᾶς Leo. — π. γ. καὶ ἀγ. Sym. Vat.

γεῖν κατ' αὐτοῦ Πατζινάκους. (Τῆς αἰτήσεως δὲ τυχὼν) δῶρά τε λαβὼν (εἰς τὴν * Πατζινάκων χώραν) ἀπῄει καὶ (δὴ) ὁμήρους ** ἐκεῖθεν λαβὼν ἤγαγεν ἐν τῇ πόλει, συνθεμένων τῶν Πατζινάκων διαπερᾶσαι καὶ τὸν Συμεὼν καταπολεμῆσαι.

(11) Παρεγένετο δὲ *** ἐν τῇ πόλει καὶ Ἀσώτιος ἀνὴρ ἐπὶ ῥώμῃ ὀνομαστότατος, υἱὸς ὢν τοῦ ἄρχοντος τῶν ἀρχόντων, ὃν φασὶ σιδηρᾶν ῥάβδον ἐκ τῶν ἄκρων ἑκατέραις χερσὶ κρατοῦντα τῇ ὑπερβαλλούσῃ ἀλκῇ διακάμπτειν καὶ πρὸς τὸ κυκλικὸν σχῆμα μετάγειν, τῆς ἀντιτύπου τοῦ σιδήρου φύσεως τῇ βίᾳ τῶν χειρῶν ὑπεικούσης, ὃν παραγενόμενον μετὰ πολλῆς τιμῆς ὑπεδέξαντο καὶ πάλιν εἰς τὴν ἰδίαν χώραν ἐξέπεμψαν,

(12) Σεπτεμβρίῳ δὲ μηνὶ, ἰνδικτιῶνος γ', Παγκρατούκας ὁ Ἀρμένιος τὴν Ἀδριανούπολιν τῷ Συμεὼν παρέδωκε ****. Μετ' οὐ πολὺ δὲ ἀπεστάλη Βασίλειος ***** πατρίκιος (καὶ κανίκλειος καὶ Νικήτας πρωτοσπαθάριος ὁ Ἑλαδικὸς παρὰ Ζωῆς) μετὰ δώρων πολλῶν, καὶ ἀντιπαρέλαβεν αὐτὴν (πάλιν).

(13) Ἦλθε δὲ καὶ ἀμηρᾶς ὁ Δαμιανὸς εἰς Στρόβιλον ****** 915 (μετὰ πλοίων πολεμῆσαι αὐτὴν μετὰ πολλῆς τῆς δυνάμεως)·

---

1. Πατζινάκας ed. Vat. κατ' ἀ. τοὺς Π. ἀγ. Sym. — Τῆς ἀ. δὲ τ. om. Sym. — 2. εἰς τὴν Π. χ. om. Sym. — * τῶν ed. Leo. — ἀπῆλθε Sym. — δὴ om. Sym. — ** σπεισάμενος ed. — 4. τῶν om. Vat. — περᾶσαι Sym. — *** τότε Vat. — 6. ἐπὶ ῥώμης ed. ἐμπειρίᾳ Leo. — 8. σιδηρᾷ ῥάβδῳ Vat. — ἑκατέρων Sym. 8. — κ. ταῖς χ. Sym. κ. χ. Vat. — 9. δυνάμει Vat. — 10. μεταγαγεῖν Sym. μετάγει Vat. — τῆς σ. Vat. — 11. παραγιν. Leo. — 14. Σ. μ. ed. Leo. Τῷ δὲ Σ. μ. Sym. 9. — 15. Ἀρμένης Vat. — προέδωκε P. προδεδ. Leo. Sym. — **** ἥτις τὸ πρὶν μὲν Ὀρεστιὰς ἐκαλεῖτο ἐξ Ὀρέστου υἱοῦ Ἀγαμέμνονος, ὃς ζήλῳ δικαίῳ διὰ τὴν πρὸς τὴν πατέρα Κλυταιμνήστρας δολοφονίαν ταύτην σὺν Αἰγίσθῳ ἀποκτείνας λίαν ἐκμέμηνε καὶ ἐν τῇ συνελεύσει Ἕβρου, Ἄρζου τε καὶ Ἀρτάκου, τῶν τριῶν ποταμῶν γε λουσάμενος, τῆς νόσου ἀπήλλακτο, ἔνθα ταύτην οἰκοδομήσας ἐπὶ τῷ ἰδίῳ ὀνόματι κέκληκεν. Ἀδριανὸς δὲ Καῖσαρ εὐκτίστοις οἰκήμασιν αὐτὴν μεγαλύνας πόλιν Ἀδριανοῦ μετακέκληκεν. Λύτη τρίτης ἡμέρας παρὰ ἀνδρὸς εὐπετοῦς ἐν διόδῳ Φιλιππουπόλεως σταδιάζεται ἠγκαλισμένη ὄρει τῷ Αἵμῳ παρ' ᾧ οἱ γ' ποταμοὶ (σγαγγείαν οἷον) συμβάλλονται ὄμβριμον ὕδωρ Vat. = Cont. 8. — 16. ἀπεστάλησαν Leo. — ***** ὁ Sym. — καὶ κανίκλης Leo, καὶ — Ζωῆς om. Sym. — 17. ὁ om. ed. — 18. ἑλ. Sym. — π. om. Leo, Sym. — 19. Δ. ὁ ἀ. μετὰ στόλου Sym. 9, ἀ. Leo. Δ. ἀμ. Vat. — Στρόβηλον Leo. Vat. — ****** νῆσον Leo. Vat. — 20. μετὰ — δυνάμεως om. Sym. — πολεμικῶν καὶ π. δ. Leo, πολεμικῶν καὶ π. τῆς δ. Vat.

καὶ ταύτην παρέλαβεν ἄν, εἰ μὴ νοσήσας ἐτελεύτησεν, ὑποστρεψάντων διὰ κενῆς τῶν Ἀγαρηνῶν.

(14) Οἱ δὲ τῆς Ἑλλάδος καὶ τῶν Ἀθηνῶν οἰκήτορες συνεχῶς ἐπηρεαζόμενοι παρὰ Χασὲ υἱοῦ τοῦ Γούβη, τὴν αὐτοῦ ἀσωτίαν (καὶ ἀπλήστειαν) μὴ ἐνεγκόντες, λίθοις τοῦτον· ἀνεῖλον κακῶς ἔνδοθεν τοῦ θυσιαστηρίου τοῦ ἐν Ἀθήναις ναοῦ.

917 (15) Βλέπουσα δὲ ἡ Αὐγοῦστα Ζωὴ τὴν ἔπαρσιν Συμεὼν καὶ τὴν κατὰ τῶν χριστιανῶν αὐτοῦ ἐπίθεσιν, βουλὴν μετὰ τῶν ἐν τέλει βουλεύεται, ἀλλάγιον καὶ εἰρήνην μετὰ τῶν Ἀγαρηνῶν διαπράξασθαι, διαπερᾶσαι δὲ πάντα τὸν τῆς ἀνατολῆς στρατὸν πρὸς τὸ πολεμῆσαι καὶ ἀφανίσαι τὸν Συμεών. Ἀπεστάλησαν οὖν ἐν** Συρίᾳ ἐπὶ τὸ ποιῆσαι ἀλλάγιον Ἰωάννης πατρίκιος ὁ Ῥαδινὸς καὶ Μιχαὴλ ὁ Τοξαρᾶς· οὗ γεγονότος, τὴν συνήθη τῆς ῥόγας διανομὴν ποιησάμενοι ἐν τοῖς τάγμασιν, ταῦτά τε ἀναλαβόμενοι σὺν τοῖς θέμασι, πρὸς τὰ Θρακῷα μέρη διεπέρασαν, Λέοντος μαγίστρου τοῦ Φωκᾶ δομεστίκου*** τυγχάνοντος****. Ἐξαγαγόντων δὲ τὰ σεβάσμια ξύλα καὶ ζωοποιὰ Κωνσταντίνου***** πρωτοπαπᾶ τοῦ παλατίου, τοῦ Κεφαλᾶ λεγομένου, καὶ Κωνσταντίνου τοῦ Μαλελία ἐν τῇ Θράκῃ, ἅπαντες προσκυνήσαντες καὶ ἐπομοσάμενοι συναποθνήσκειν ἀλλήλοις πανστρατεὶ (κα-

---

1. ὑπ. — Ἀγ. om. Leo, καὶ ἀπεστράφησαν οἱ Σαρακηνοὶ διὰ κενῆς Sym. — 4. Ἰούβη ed. Leo, Sym. 9, Vat. — 5. καὶ ἀπ. om. ed. — * βάλλοντες Leo, Vat. — 6. ἔνδον τοῦ ἐν Ἀ. ν. λ. βαλόντες ἀν. Sym. — 8. Περὶ τῆς γεγονυίας ἐκστρατείας κατὰ Βουλγάρων περὶ (παρὰ) τῆς βασιλίσσης Ζωῆς καὶ τῆς παστελοῦς πανολεθρίας Ῥωμαίων Vat. — Ζ. βασίλισσα Vat. Ζωὴ ἡ βασίλισσα Leo.— τὴν κατὰ χ. ἔπαρσιν τοῦ Σ. βλ. Ζ. β. μ. τῶν ἐν τ. Sym. 10. — 12. καταπολεμῆσαι Leo, Sym. — 13. Ἀπεστάλλ. cod. ἀπεστάλη ed. Leo, Sym. Vat. — ** τῇ Sym.— πρὸς ed. Sym. — 14. Ῥαδηνὸς Leo; Sym. Ῥωδηνὸς Vat.— 15. Τὰ θέματα δὲ πάντα φιλοτιμησαμένη Sym. — 16. π. τὴν Θράκην διεπέρασεν Leo, Sym. π. τῆν Θρακῷαν γῆν διεπέρασαν Vat. — 17. μ. Λ. Leo. — *** τῶν σχολῶν Leo. — **** ᾧ ἀνδρία μᾶλλον ἢ ἐπιστατικὴ φρόνησις προσανέκειτο ed. Vat. Sym. — 18. δὴ Leo, οὖν ed. — 19. τὰ ζ. καὶ σ. ξ. Vat. τὰ σ. καὶ ζ. ξ. ed. Leo. — ***** τοῦ Leo. — 21. Μαλελίας Leo. — Οἱ οὖν στρατηγοὶ καὶ ἄρχοντες πάντες τὴν εἰς ἀλλήλους ὁμόνοιαν ἐπισφίγγοντες ἐν τοῖς τιμίοις ξύλοις ὤμοσαν καὶ τοῦ ὅρκου γενομένου Sym. — 22. κ. Β. om. Sym.

τὰ Βουλγάρων) ἐξώρμησαν· ἦρχον δὲ τοῦ μὲν τάγματος τοῦ Ἐξκουβίτου Ἰωάννης ὁ Γράψων, τοῦ δὲ Ἰκανάτου ὁ τοῦ Μαρούλλου υἱός· Ῥωμανὸς δὲ ὁ Ἀργυρὸς ἐστρατήγει καὶ Λέων ὁ ἀδελφὸς αὐτοῦ καὶ Βάρδας ὁ Φωκᾶς, οἷς συνῆν· καὶ ὁ Μελίας μετὰ τῶν Ἀρμενίων (καὶ οἱ ἄλλοι πάντες στρατηγοὶ τῶν Θεμάτων)· συνῆν δὲ πρὸς τοῖς ἄλλοις καὶ Κωνσταντῖνος (πατρίκιος) ὁ Λὶψ Λέοντι δομεστίκῳ, σύμβουλος ὢν αὐτῷ ἐν πᾶσι τοῖς ἀνήκουσιν.

(16) Μηνὶ δὲ Αὐγούστῳ κ', ἰνδικτιῶνος ε' ὁ πόλεμος μεταξὺ Βουλγάρων τε καὶ Ῥωμαίων πρὸς τῷ Ἀχελῷ συγκεκρότητο ποταμῷ· καὶ οἷα τὰ τοῦ Θεοῦ κρίματα (ὡς ἀνεξερεύνητα καὶ ἀνεξιχνίαστα, τρέπονται οἱ Ῥωμαῖοι (195[b]) πανστρατεὶ, καὶ) γέγονε φυγὴ παντελὴς καὶ φρικώδης ὀλολυγὴ, τῶν μὲν ὑπ' ἀλλήλων συμπατουμένων, τῶν δὲ ὑπὸ τῶν πολεμίων ἀναιρουμένων, αἵματός τε χύσις οἷα ἐξ αἰῶνος οὐκ ἐγένετο. Λέων ** ὁ δομέστικος ἐν Μεσημβρίᾳ διεσώϑη φυγών· ἐσφάγη δὲ πρὸς τοῖς ἄλλοις ἐν τῇ τοῦ πολέμου συμβολῇ καὶ Κωνσταντῖνος ὁ Λὶψ καὶ Ἰωάννης ὁ Γράψων καὶ ἄλλοι τῶν ἀρχόντων ἱκανοί.

(17) Ἀπεστάλη δὲ (τότε καὶ) Ῥωμανὸς πατρίκιος καὶ δρουγγάριος ὢν τῶν πλωΐμων μετὰ παντὸς τοῦ στόλου ἐν τῷ Δανουβίῳ ποταμῷ βοηϑήσων Λέοντι τῷ Φωκᾷ, ἀλλὰ καὶ Ἰωάννης ὁ Βωγᾶς καταγαγεῖν Πατζινάκους, ὡς προείρηται· κελευσϑέντος *** τοῦ δρουγγαρίου Ῥωμανοῦ διαπερᾶσαι (τούτους κατὰ Βουλγάρων ὥστε συμμαχῆσαι Λέοντι **** Φωκᾶ, Ῥωμανοῦ δὲ καὶ

---

1. τῶν Ἐξκουβίτων ed. Sym. — 3. Μαρούλλ. cod. Μαρούλη ed. Leo, Μαρούλλ. Vat. — · μὲν Vat. — 5. καὶ — Θεμάτων om. Sym. — 6. σ. καὶ π. τ. ἀ. ὁ Κ. Vat. — 7. πατρ. om. Sym. — Λεόντιος Sym. — σ. αὐτοῦ Leo, Vat. σ. αὐτῷ Sym. ὢν post ἀν. — 9. ἐπινεμήσεως Sym. 10. — 10. Ἀγχιάλου vel Ἀγχιάλῳ? — Ἀχελώῳ ed. Leo, Sym, Vat. Cont. — π. συγκεκρότηται Sym. — 11. ὡς — πανστρατεὶ καὶ om. Sym. — 12. Ῥ. οἱ Vat. — 13. γίνεται σφαγὴ οἷα Sym. — 16. οὐ γέγονε Leo. Sym, Vat. — ** δὲ Leo. Sym. — ὁ δὲ δοὺξ Sym. — 20. τ. καὶ om. Sym. — π. δρ, Vat. — 21. δ. τοῦ πλωΐμου Leo, δ. τῶν πλ. Sym. 10. — 22. ἀλλὰ — Φωκᾶ om. Leo, propter homoioteleuton. — 23. Βογᾶς ed. bis Sym. et Vat. Βαγ. Leo. — Πατζινάκας cod. ed. Vat. — ὡς εἴρηται Sym. — *** δὲ Vat. Cont. — 24. τούτους — Βωγᾶ om. Sym. — **** τῷ Vat

Ἰωάννου τοῦ Βωγᾶ) εἰς ἔριδας καὶ λογομαχίας ἐλθόντων, ὁρῶντες αὐτοὺς οἱ Πατζίνακοι (πρὸς ἀλλήλους διαμαχομένους καὶ) στασιάζοντας ὑπεχώρησαν εἰς τὰ ἴδια.

(18) Τοῦ πολέμου δὲ ἤδη τέλος λαβόντος καὶ ὑποστρεψάντων ἐν τῇ πόλει τοῦ τε Ῥωμανοῦ καὶ τοῦ Βωγᾶ, τὰ κατ' αὐτῶν ἐκινήθη, καὶ εἰς τοσοῦτον κίνδυνον τὸν δρουγγάριον Ῥωμανὸν περιέστησαν, ὥστε καὶ καταδικάζουσαν ψῆφον ἀνήνεγκαν, τῶν ὀφθαλμῶν στερηθῆναι ὡς ἀμελείᾳ, μᾶλλον δὲ (καὶ) κακουργίᾳ μὴ διαπεράσαντα τοὺς Πατζινάκους, (ἀλλ' ὑποχωρήσαντα τάχιον καὶ) μηδὲ τοὺς φεύγοντας Ῥωμαίους ἐν τοῖς πλοίοις ὑποδεξάμενον· καὶ τοῦτο ἂν ἐπεπόνθει, εἰ μὴ παρὰ Κωνσταντίνου πατρικίου τοῦ Γογγύλου καὶ Στεφάνου* μαγίστρου, ὡς δυναμένων παρὰ τῇ Αὐγούστῃ πολλά, τὰ τῆς καταδίκης ἀνετράπη.

918 (19) Τῶν δὲ Βουλγάρων τηνικάδε τῇ νίκῃ κατεπαρθέντων καὶ ἐκστρατευσαμένων μέχρι τῆς πόλεως, ἐξῆλθε Λέων ὁ δομέστικος τῶν σχολῶν καὶ Ἰωάννης** ἑταιρειάρχης καὶ Νικόλαος ὁ υἱὸς τοῦ Δουκὸς (εἰς χῶρον Θρακῶον οὕτω λεγόμενον) Κατασύρτας ἅμα πλείστῳ λαῷ (κατὰ Βουλγάρων)· [τῇ δὲ νυκτὶ ἀδοκήτως ἐπιπεσόντων αὐτοῖς τῶν Βουλγάρων] καὶ τοῦ δομεστίκου φυγόντος, ἐσφάγη*** Νικόλαος ὁ υἱὸς τοῦ Δουκὸς καὶ πολλοὶ ἕτεροι μετ' αὐτοῦ.

919 (20) Θεόδωρος οὖν, ὁ τοῦ βασιλέως Κωνσταντίνου παιδαγωγός, ὁρῶν Κωνσταντῖνον παρακοιμώμενον εἰς Λέ-

---

1. εἰς μάχας δὲ ἐ. Sym. — 2. Πατζινάκαι Vat. Cont. — π. ἀ. δ. καὶ om. Sym. — 4. Τοῦ δὲ π. Leo, τοῦ δὲ π. ἤδη Sym. 10. — ὑποστρέψαντος Sym. — 5. κατ' ἀ. ἐκίνησεν ἡ πόλις Sym. — 7. περιεστήσαντο Vat. — περιεστήσ. cod. περιέστησε? — ὡ. τὴν τῶν ὀ. στέρησιν καταδικασθῆναι Sym. — 8. ἐξην. Vat. — 9. καὶ om. ed. Leo, Sym. Vat. Cont. — διαπεράσαι Sym. — 10. ἀλλ' ὑπ. τ. καὶ om. Sym. — ὑποχωρήσαντας cod. — 11. Ῥωμαί. cod. Ῥωμαίων Cont. Vat. ed. — ὑποδεξαμένου cod. ὑποδέξασθαι Sym. — 12. Κ. Γ. ed. Κ. τοῦ Γογγύλη Leo, Κ. π. τοῦ Γογγύλ. cod. Κ. π. τοῦ Γογγύλη Vat. — * τοῦ ed. — 13. μ. π. δ. π. τῇ Α. Sym. — 23. Τῶν δὲ Β. μ. τῆς π. ἐ. Sym. 11 Τῶν δὲ Β. τῇ ν. κ. καὶ ἐ. μ. τῆς π. Vat. — 17. δοὺξ τ. σχ. Sym. — ** ὁ Vat. — 18. καὶ Ν. ὁ ὡς αὐτοῦ καὶ Ἰω. ἑτ. Sym. — χ. Θ. ὁ. λ. om. Sym. — 19. κ. Β. om. Sym. — 20. τῇ — Βουλγάρων propter homoioteleuton in codice omissum, καὶ τῇ ν. Sym. — *** ὁ Leo. — 21. πάντες ἄρδην ἀπώλοντο Sym. pro καὶ τοῦ — αὐτοῦ.

οντα τὸν ἴδιον γαμβρὸν τὴν βασιλείαν σφετεριζόμενον, ὑπέθηκε Κωνσταντίνῳ βασιλεῖ, Ῥωμανὸν * δρουγγάριον προβαλέσθαι ὡς πατρικὸν αὐτοῦ δοῦλον καὶ εὔνουν τὰ πρὸς αὐτὸν, ὡς ἂν ᾖ σὺν αὐτῷ καὶ διαφυλάττῃ αὐτὸν καὶ ἐν οἷς ἂν δέοιτο σύμμαχον ἔχειν καὶ βοηθόν **. Πολλάκις οὖν περὶ τούτου λαληθεὶς Ῥωμανὸς ἀπείπατο. Γραμματεῖον οὖν ὁ βασιλεὺς Κωνσταντῖνος αὐτοχείρῳ διαχαράξας γραφῇ, καὶ ὑπογραφῇ διασφαλισάμενος ἀπέστειλεν αὐτῷ, ὅπερ οὗτος ἐπὶ χεῖρας λαβὼν ὑπέσχετο τὴν κατὰ τοῦ παρακοιμωμένου Κωνσταντίνου καὶ τῶν συγγενῶν ἐπίθεσιν ὡς δέοι ποιήσασθαι.

(21) Τῆς φήμης οὖν ταύτης διαθεούσης καὶ τοῦ παρακοιμωμένου (Κωνσταντίνου) καταναγκάζοντος Ῥωμανὸν ἀποκινῆσαι μετὰ τοῦ στόλου, αὐτὸς προεφασίζετο ὡς ἀδυνάτως ἔχει τοῦ ἀποπλεῖν μὴ τοῦ στόλου (τὴν) νενομισμένην βόγαν λαβόντος. Ἐν τῇ ἐξαρτήσει δὲ ὄντος τοῦ Ῥωμανοῦ καὶ τὰ πλοῖα εὐτρεπίζοντος, ἐξῆλθε Κωνσταντῖνος παρακοιμώμενος (ὡς) ἐπισπουδάσων αὐτὸν τοῦ ἐκπλεῦσαι. Ὁ δὲ *** δουλικῷ τῷ σχήματι προσυπήντησε καὶ προθύμως ποιήσειν τὸ κελευόμενον ἐπηγέλλετο· ὑποστρέψαι (196ᵃ) δὲ βουλομένου τοῦ παρακοιμωμένου, καὶ εἰ ἔχοι ἄνδρας εὐειδεῖς καὶ γενναίους **** τὴν βασιλικὴν ἐρέττειν τριήρη εἰπόντος πρὸς Ῥωμανὸν, οὗτος εὐθὺς ἔνευσεν αὐτοῖς τῇ χειρὶ ἑτοίμοις οὖσι πλησίον ἐλθεῖν. Οἱ δὲ τὰ τῆς βουλῆς εἰ-

---

2. Κ. τῷ β. Vat. τῷ β. Κ Sym. 12. — * τὸν Sym. Vat. — 3. προσλαβέσθαι Cont. Leo, Sym. Vat. π. Ῥ. τὸν δ. Sym. — 4. διαφυλάττ. cod. διαφυλάττειν Cont. ed. — αὐτῷ ἐν Leo. — 5. δέῃ Leo. — σ. ἔχῃ Sym. — ** ἐν οἷς ἂν δέῃ Sym, ante συμ. om. — Π. γὰρ Sym. — 6. Αὐτοχείρως οὖν ὁ β. Κ. γ. ποιήσας τῷ Ῥωμάνῳ ἔπεμψε Sym, ceteris omissis. — 9. αὐτὸς Leo. — 10. ἐπ. ὧδε π. cod. ed. ἐπ. ὡς δεῖ Cont. — 13. Κωνστ. om. Sym. — καταναγκάσαντος Vat. — 14. αὐτὸς — ἀποπλεῖν om. Cont. ex homoioteleuto. — ἀδ. ἔχειν ed. Sym. 12, ὡς ἀδ. ἔχει Vat. — 15. τῆς πόλεως ἀπ. Vat. — μετὰ τοῦ Vat. Cont. — τὴν om. Vat. — 16. Ὁ π. Κ. καταναγκάζων ἀ. ἐν τῇ ἐξ. ἕξεισι Sym. — ἐξαρτῇ cod. ἐξαρτύσει Cont. Vat. Sym. ed. — 18. ὡς om. ed. — *** τούτω ed. τοῦτον Sym. — 19. προυπ. Vat. (Sym, omissis seqq. usque ad καὶ πλησίον αὐτοῦ γενόμενος ἀνήρπασεν αὐτόν) — προθυμοποιήσειν Leo. — 21. ἔχει Leo, Vat. — **** ἐπιτηδείους Leo, Vat. — 22. αἶρε cod. — 23. τούτοις Leo, Vat. — 24. ἰδόντες Leo.

δότες, ἔγγιστα ἤδη τοῦ δρόμωνος Ῥωμανοῦ γεγονότες, ἐπειδὴ οὗτος ὀπίσω τοῦ παρακομωμένου Κωνσταντίνου περιπατῶν· «Ἀναρπάσατε αὐτὸν (ταῖς χερσὶ) καὶ ἄρατε αὐτόν» ἐπεφώνησε, παραχρῆμα οὗτοι τοῦτον ἁρπάσαντες εἰς τὴν τοῦ δρουγγαρίου Ῥωμανοῦ τριήρη εἰσήγαγον καὶ ἐν ἀσφαλείᾳ κατεῖχον· οὐδεὶς οὖν ὁ ὑπερασπίζων ἦν ἢ κατοικτείρων τὸν ἄνθρωπον, πάντων τῶν συνόντων αὐτῷ χρησαμένων φυγῇ.

(22) Ταῦτα Ζωὴ Αὐγοῦστα μαθοῦσα προσκαλεῖται τὸν πατριάρχην Νικόλαον καὶ τοὺς αὐτῆς μεγιστᾶνας καὶ ἀποστέλλει πρὸς Ῥωμανὸν τὸ γεγονὸς βουλομένη μαθεῖν. Τούτων δὲ διαπερασάντων, λίθοις ὁ λαὸς * ἐξήλασαν ** βαλόντες. Ἕωθεν οὖν ἐξελθοῦσα Ζωὴ ἐν τῷ τοῦ Βουκολέοντος ἡλιακῷ ἐπεφώνει τῷ υἱῷ καὶ πᾶσι· «Πῶς ἄρα γέγονεν ἡ ἀνταρσία αὕτη»; Ἔφησε δὲ πρὸς αὐτὴν ὁ παιδαγωγὸς τοῦ βασιλέως Κωνσταντίνου Θεόδωρος, ὅτι «διὰ τὸ ἀπολέσαι Λέοντα τὸν Φωκᾶν τοὺς Ῥωμαίους καὶ Κωνσταντῖνον παρακοιμώμενον τὸ παλάτιον, ταῦτα γεγόνασι».

(23) Προσελάβετο δὲ ὁ βασιλεὺς Νικόλαον *** πατριάρχην καὶ Στέφανον μάγιστρον συνεῖναι αὐτῷ ἐν τῷ παλατίῳ, τὴν ἐξουσίαν εἰς ἑαυτὸν ἀπὸ τῆς μητρὸς ἐπισπώμενος. Τῇ δὲ ἐπαύριον ἀπέστειλε Ἰωάννην τὸν Τουβάκην, Ζωὴν Αὐγοῦσταν τοῦ παλατίου καταβιβάσαι· ἡ δὲ μετ' ὀλολυγῆς καὶ δακρύων τῷ ἑαυτῆς προσπλακεῖσα υἱῷ (πρὸς) συμπάθειαν μητρικὴν καὶ οἶκτον ἐκίνησε, ὡς τὸν βασιλέα εἰπεῖν· «Ἐάσατε, εἶναι μετ' ἐμοῦ τὴν μητέρα (μου)». Οἱ δὲ ταύτην ἅμα τῷ λόγῳ ἀφῆκαν.

(24) Προσκαλεσάμενος δὲ ὅ τε βασιλεὺς καὶ ὁ πατρι-

---

1. γεγονότος Vat. Cont.—γεγ. ἥρπασαν Leo, ἀνήρπασεν Sym. Vat. Cont. — 3. τ. χ. om. Sym. — ἀνεφ. Vat. Cont. ἐφώνησαν Leo, ἐφώνησε καὶ οἱ σὺν αὐτῷ τ. Sym.— 5. τριήρην ed. — εἶχον Sym. omissis seqq. et c. 22. — 6. οὐδεὶς — παλατίῳ om. Sym. — 7. αὐτὸν sic Leo. — 9. μεγιστάνους Leo, Vat. Cont.— * αὐτοὺς Leo, Cont.— 11. ἐξήλασε Leo, ἐξίλασ. cod. — ** αὐτοὺς Vat. — βάλλοντες Vat. Cont. om. Leo.— 12. τοῦ Vat. — *** τὸν Leo. — 20. ἐπισπώμενον Leo, Κωνσταντῖνος δὲ ὁ β. τὴν ἐξ. ἀπὸ τῆς μ. εἰς ἑ. ἐπ. Sym. 12. — 21. τῇ ἐπ. Sym. — ἀπέστειλαν Vat. — 22. τὴν Ἀ. Ζ. ἀπὸ Sym. — 23. πρὸς om. Vat. — 24. ἐκ καὶ Ἐ. εἶπε Sym. — 25. μετ' ἐ. ἐ. Leo,—μου om. Sym. — 26. ἅμα τῷ λ. τ. Sym. — 27. Προβάλλεται δὲ ὁ β. μετὰ τῆς συμβουλῆς τοῦ πατριάρχου Ἰω. τὸν Γ. Sym.

ἀρχης Ἰωάννην τὸν Γαριδᾶν, προεβάλοντο δομέστικον τῶν σχολῶν, δεδιότες μὴ εἰς ἀνταρσίαν χωρήσῃ ὁ Φωκᾶς Λέων. Ὁ δὲ οὐ κατένευσε τοῦτο γενέσθαι, εἰ μὴ Θεόδωρον. γυναικάδελφον αὐτοῦ τὸν Ζουφινέζερ καὶ Συμεῶνα τὸν υἱὸν αὐτοῦ προεβάλλοντο ἑταιρειάρχας. Ὅρκοις (οὖν) βεβαιωθεὶς ὑπ' αὐτῶν κατῆλθεν ἐν τῷ οἴκῳ αὐτοῦ. Οἱ δὲ παραυτίκα τοὺς συγγενεῖς αὐτοῦ τοῦ παλατίου καταβιβάζουσι. Τούτων οὖν πρὸς αὐτὸν παραγεγονότων, ὡς ἐθεάσατο αὐτούς, τρόμος αὐτὸν ἔλαβε (καὶ φρίκη) καὶ φρενῶν ἔκστασις· εὐθὺς οὖν ἐξῆλθε πρὸς Ῥωμανὸν (καὶ διηγήσατο αὐτῷ οἷα πέπονθε· συμφιλιωθεὶς οὖν αὐτῷ) καὶ ὅρκους δοὺς καὶ λαβὼν (ὥστε μίαν ἔχειν ἀμφοτέρους ψυχήν), σύμφρων αὐτοῦ καὶ σύμπνους ἐγένετο (ὥστε καὶ γαμικὸν συνάλλαγμα ποιησασθαι συνεφώνησαν, πλέον ἐκ τούτου τὸν τῆς ἀγάπης δεσμὸν ἐπισφίγγοντες).

(25) Τῇ κδ' οὖν τοῦ Μαρτίου μηνὸς ἀποστέλλει Ῥωμανὸς* πρεσβύτερον, αὐτοῦ οἰκεῖον καὶ πιστότατον ὄντα καὶ Θεόδωρον τὸν Ματζούκην λεγόμενον εἰς τὸ παλάτιον ὑπεραπολογησαμένους ὡς «(οὐκ ἀνταρσίᾳ γέγονε τὸ παρ' ἐμοὶ διαπραχθὲν, ἀλλὰ) τὴν τοῦ Φωκᾶ ἐπίθεσιν ὑφορώμενος** (197[b]) δεδιὼς μή τι νεωτερισθείη (παρ' αὐτοῦ) εἰς τὸν βασιλέα· τούτου ἕνεκεν ἀνελθεῖν ἐν τῷ παλατίῳ βεβούλευται καὶ τὴν φυλακὴν ποιεῖσθαι τοῦ βασιλέως». Μὴ συνευδοκοῦντος οὖν Νικολάου τοῦ πατριάρχου (τούτοις), ἐμηνύθη

---

2. ἐδεδίει γὰρ Sym. — 5. προβάλοιντο Vat. προεβάλοντο bis ed. Sym. προεβάλετο Leo, Cont. — ἑταιριάρχην Leo. — οὖν om. ed. ὅρκοις — 9. ἐλ. ἀ. ed. — καὶ φ. om. Cont. Vat. Leo. — 10. ἔκστασις om. Sym. — καὶ διηγ. αὐτῷ om. Sym. — 12. ὥστε — ψυχὴν om. Sym. — 13. ὥστε καὶ — ἐπισφ. om. Sym. — 16. Ὅπως δρουγγάριος ὁ Ῥωμανὸς ἀνῆλθεν ἐν τῷ παλατίῳ τῇ ἑκάδε οὐν τετάρτῃ Vat. — Τῇ οὖν κδ' Sym. 13. — * Ἰωάννην ed. Leo, Vat. Cont. — 17. πρεσβ. — λεγόμενον om. Sym. — πρεσβύτην Leo, e compendio. — ὁ. αὐτῷ ed. Vat. Cont. — 18. Μαστζούσιν ed. — ἀπολ. Sym. — 19. ὅτι Sym. — οὐκ — ἀλλὰ om. Sym. — ἐπ' ἀνταρσίας Vat. — ἐμοῦ Leo, Vat, Cont. — 20. ἐπ. φοβούμενος μήτι Sym. — ** καὶ ed. Leo, Vat. Cont. — 21. δεδιῶσα cod. — παρ' ἀ. om. Sym. — 22. τοῦτο πεποίηκα πρὸς τὸ τὴν φ. π. τοῦ β. Sym. — βεβούλευμαι ed. Leo, Cont. Vat. — 23. Μὴ σ. δὲ N. Leo, Vat. Cont. — 24. τούτῳ Leo, ἐν τούτῳ Vat. Cont. om. Sym. — μηνύεται οὖν μ. τοῦ στ. π. ἐ. μ. τοῦ B. Sym.

Ῥωμανῷ παρὰ (τοῦ) ῥηθέντος Θεοδώρου παιδαγωγοῦ αὐτοῦ, ἐλθεῖν μετὰ τοῦ στόλου παντὸς μέχρι τοῦ Βουκολέοντος, (ὃς μετὰ τῶν σὺν αὐτῷ βουλευσάμενος — τὸ γὰρ ἄγον ἦγεν αὐτόν) — τῇ ἡμέρᾳ τοῦ εὐαγγελισμοῦ τῆς ὑπεραγίου Θεοτόκου — ε' δὲ ἦν — ἦλθεν ἔνοπλος ἅμα τῷ στόλῳ παντὶ ἐν τῷ Βουκολέοντι). Καὶ παρευθὺ Στέφανος μὲν μάγιστρος ἐξῆλθε τοῦ παλατίου, Νικήτας δὲ πατρίκιος, ὁ συμπενθερὸς Ῥωμανοῦ, ἀνελθὼν ἐν τῷ παλατίῳ, ἐξήγαγεν ἐκεῖθεν Νικόλαον τὸν πατριάρχην. Ὅρκοις οὖν βεβαιωθέντες οἱ τοῦ παλατίου παρὰ Ῥωμανοῦ, ἀπέστειλαν αὐτῷ τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν· καὶ προσκυνήσας (αὐτὸν) καὶ ὅρκοις βεβαιώσας αὐτοὺς ἀνῆλθε μετ' αὐτῶν ἐν τῷ παλατίῳ καὶ ὀλίγων τινῶν προσκυνήσων τὸν βασιλέα· καὶ εἰσελθὼν μετ' αὐτοῦ ἐν τῷ ναῷ τῷ ἐν τῷ Φάρῳ καὶ πίστεις αὐτῷ δοὺς παρευθὺ προχειρίζεται (παρ' αὐτοῦ) μάγιστρος καὶ μέγας ἑταιρειάρχης.

(26) Αὐτίκα οὖν γέγονε θεία κέλευσις πρὸς Λέοντα τὸν Φωκᾶν παρεγγυωμένη μηδαμῶς στάσιν τινὰ ἐννοῆσαι, ἀλλὰ πρὸς ὀλίγον ἐν τῷ ἰδίῳ οἴκῳ ἀναπαύεσθαι· ὡσαύτως καὶ γράμματα ἐκελεύσθη Κωνσταντίνῳ παρακοιμωμένῳ γράψαι τὰ ὅμοια αὐτῷ παραγγέλλοντα, τοῦ μηδὲν ἐναντίον βουλεύσασθαι, ἀλλ' ἐν ὑποταγῇ εἶναι τοῦ βασιλέως Κωνσταντίνου. Ἀναλαβόμενος οὖν ταῦτα Ἀνδρέας, πριμικήριος τοῦ βασιλικοῦ βεστιαρίου, ἀπεκόμισεν αὐτῷ ταῦτα

---

1. τοῦ om. Vat. Cont. ed. — τοῦ β. π. τοῦ έ. ed. Θ. τοῦ β. π. έ. Leo. Vat. Cont. — 3. ὃς — Βουκολέοντι om. Sym. — ἄγων cod. — εἶχεν Leo. — 4. τῆς ὑπεραμώμου παρθένου καὶ ὑ. Θ. Vat. — 5. ἅμα τῷ στ. ἐν τῷ Β. Καὶ Leo, ἐν. ἅ. τῷ στ. π. καὶ τῷ Β. Καὶ Vat. — 6. μὲν Στ. Leo, Στ. μὲν πατρίκιος Sym. — 7. Ν. δὲ ὁ α. Sym. — 8. τὸν π. Ν. Leo, Sym. — 9. Καὶ ὅρκῳ β. Sym. — 10. ἀπ. πρὸς αὐτὸν Sym. — τὸν τ. στ. ed. Leo, τὸν ζ. καὶ τ. τοῦ Κυρίου στ. Vat. — 11. αὐτὸν om. Sym. — ὅρκῳ Leo, Sym. — 12. καὶ ὀλ. τ. ἐν τῷ π. Sym. — 13. Προσκυνήσας οὖν τὸν β. Sym. προσκυνήσων οὖν τὸν β. Vat. — 14. φόρῳ ed. — 15. παρ' ἀ. om. Sym. — 17. Ἀνάβασις Ῥωμανοῦ cod. γοῦν Leo. — γ. κ. βασιλικὴ Vat. 3. κ. Cont. γ. κ. Sym. 13. — 19. ἀναπαύσασθαι Sym. — 20. γραφὴν Sym. — γρ. Κ. π. Sym. — 21. αὐτῶν Vat. Cont. — π. καὶ μ. Leo, Vat. Cont. — τοῦ — βουλ. om. Sym. — 22. καὶ ἐν ὑπ. Sym. — έ. β. Vat. Cont. — 23. Ἀν. τ. Leo, Ἅπερ δεξάμενος παρὰ Ἀνδρέου πριμικηρίου τοῦ β. προτοβ. ἐν Κ. ἐν Sym.

ἐν Καππαδοκίᾳ ὄντι· καὶ ἀναδεξάμενος ταῦτα (καὶ ἀναγνοὺς) ἀπελθὼν * ἐν τῷ ἰδίῳ οἴκῳ ἡσύχασεν **.

(27) Τῇ ε' ἑβδομάδι τῶν ἁγίων νηστειῶν *** δίδοται ἀρβαβὼν γαμικῶν συναλλαγμάτων παρὰ Κωνσταντίνου βασιλέως Ἑλένῃ τῇ θυγατρὶ Ῥωμανοῦ ****· καὶ τῇ γ' (τοῦ πάσχα τῇ λεγομένῃ) τῆς Γαλιλαίας (εὐλογεῖται καὶ) στεφανοῦται (ἅμα αὐτῇ) παρὰ Νικολάου πατριάρχου, Ῥωμανὸν βασιλεοπάτορα προβαλλόμενος· ἀντ' αὐτοῦ ***** Χριστοφόρον υἱὸν αὐτοῦ ἑταιρειάρχην κατέστησε.

(28) Μετ' οὐ πολὺ δὲ Λέων (198ª) ὁ Φωκᾶς ****** ἀπατηθεὶς παρά (τε) τινῶν ἀρχόντων (καὶ τῶν αὐτοῦ ταγμάτων) πρὸς ἀνταρσίαν κινεῖται, καὶ ἀποστείλας ἀνελάβετο εἶναι σὺν αὐτῷ τόν τε παρακοιμώμενον Κωνσταντῖνον (καὶ Κωνσταντῖνον καὶ Ἀναστάσιον τοὺς αὐταδέλφους) καὶ Κωνσταντῖνον πρωτασηκρῆτιν τὸν Μαλελίαν, πληροφορῶν ἅπαντας καὶ βεβαιῶν ὡς ὑπὲρ τοῦ βασιλέως Κωνσταντίνου τὴν τοιαύτην ποιῇ συγκίνησιν. Ῥωμανὸς δὲ ὁ βασιλεοπάτωρ χρυσοβούλλια ποιήσας ἐνυπόγραφα (ὡς) ἐκ προσώπου τοῦ βασιλέως Κωνσταντίνου, τῆς τοιαύτης ἐπιβουλῆς ἀνατροπὴν περιέχοντα, καὶ ὡς οἱ τὸν Φωκᾶν καταλιμπάνοντες, τῷ βασιλεῖ δὲ προσφεύγοντες, ὑπὲρ τοῦ βασιλέως εἰσὶν, δοὺς ****** Ἄννῃ (τινὶ) γυναικὶ ἀναιδεῖ καὶ θρασείᾳ ******* καὶ

---

1. δέξ. Vat. Cont. — καὶ ἀναγνοὺς om. Leo. — * οὖν cod. — ** ὡς ἐντεῦθεν πεπληρῶσθαι τὸ κατὰ ποίησιν λόγιον· «Δὴ τότε τὸν μὲν ἀηδὼν — ὅνδε δομώνδε» Sym. — 3. Τῇ ἑβδ. ε' ed. τῇ δὲ ε' ἑβδ. Leo, Vat. Cont. Τῷ Ἀπριλλίῳ μηνὶ Sym. 14. — *** Ἀπριλλίῳ μηνὶ Leo. Vat. Cont. — 4. γαμικοῦ συναλλάγματος Sym. Vat. Cont. — **** ἡ πρὸς κάλλος σωματικὸν ἐπήκμαζε καὶ σύνεσις Vat. ἧ π. κ. σ. προσηκ. καὶ σ. Cont. — τοῦ π. τῇ λ. et εὐλ. καὶ et ἀ. ἀ. om. Sym. — 7. παρὰ om. Vat. — β. γὰρ Ῥ. Sym. — ***** δὲ Leo, Sym. — 8. ἐτ. Χ. τὸν ὖν ἀ. κ. Sym. — 10. Περὶ τῆς ἀνταρσίας Λέοντος τοῦ Φωκᾶ Vat. — Μετ' οὐ π. Λέων Leo. — ***** μετὰ λαοῦ πλείστου Leo. — 11. π. τ. ἀ. πρὸς Sym. 14. — τῶν ἀνταυτοῦ (sic) Vat. — 13. καὶ Κ. καὶ Ἀ. τ. ἀ. om. Sym. 14. — 14. Γογγυλίους τοὺς ἀ. ed. τοὺς Γ. καὶ ἀ. Leo. — 15. ἀσηκρῆτις τὸν Μαλελίας Sym. πρ. τὸν Μ. Vat. Cont. — 17. ποιεῖται ed. Leo, Sym. — 19. χρυσόβουλλον — ἐνυπόγραφον περιέχον, ὅσοι τὸν Φ. τῷ βασιλεοπάτορι δὲ π. Sym. — ὡς om. Vat. — 20. τὴν Leo. — ****** αὐτὰ Leo. — 23. τ. om. Vat. — ******* ἣν καὶ Βασιλικὴν προσηγόρευσαν Vat. Cont.

κληρικῷ τινὶ Μιχαὴλ, ἐν τῷ (αὐτοῦ) στρατοπέδῳ ἐξέπεμψεν· οἱ δὲ ταῦτα (ἀναλαβόμενοι) διέσπειραν παντὶ τῷ στρατῷ· καὶ ὁ μὲν Μιχαὴλ φωραθεὶς παρὰ τοῦ Φωκᾶ καὶ ἀνηλεῶς τυφθεὶς, τήν τε ῥῖνα καὶ τὰ ὦτα ἀπετμήθη, ὃς μετὰ ταῦτα παρὰ Ῥωμανοῦ τῆς προσηκούσης ἔτυχεν ἀμοιβῆς, ὡσαύτως καὶ ἡ σὺν αὐτῷ σταλεῖσα γυνή*.

(29) Πρῶτος οὖν ὁ υἱὸς τοῦ βαρέως Μιχαὴλ** καταλιπὼν τὸν Φωκᾶν τῷ Ῥωμανῷ προσέδραμεν, ἀρχὴ γεγονὼς*** καταλύσεως (τῆς τοιαύτης ἀνταρσίας καὶ τυραννίδος), σὺν αὐτῷ δὲ καὶ ὁ Βαλάντιος****, τουρμάρχαι ὄντες ἀμφότεροι. Λέων οὖν ὁ Φωκᾶς μετὰ λαοῦ πλείστου (ἰσχυρῶς καθοπλισμένου) ἐν Χρυσοπόλει καταλαβὼν***** διέστησε παρατάξεις ἀπὸ τῆς (λιθίνης) δαμάλεως μέχρι Χαλκηδόνος, τοὺς ἐν τῇ πόλει φοβῶν. Ἀποστέλλεται οὖν μετὰ δρόμωνος παρὰ Ῥωμανοῦ Συμεὼν ὁ τοῦ κανικλείου, λόγον ἐνυπόγραφον τοῦ βασιλέως Κωνσταντίνου ἐπιφερόμενος******.

(30) «Ὡς ἐγὼ φύλακα τῆς ἐμῆς βασιλείας ἐγρηγορώτατον (καὶ εὐνούστατον) καὶ πιστότατον οὐδένα τῶν ὑπὸ χεῖρα ἢ Ῥωμανὸν εὑρηκὼς, τούτῳ τὴν ἐμὴν φυλακὴν μετὰ******* θεὸν κατεπίστευσα καὶ ἀντὶ πατρὸς αὐτὸν ἔχειν ἔκρινα σπλάγχνα πατρικὰ καὶ διάθεσιν γονικὴν πρὸς ἐμὲ ἐνδειξάμενον· Λέοντα δὲ τοῦτον******** Φωκᾶν ἀεὶ τῇ ἐμῇ βασιλείᾳ ὑποπτεύω ἐπιβουλεύειν, νῦν δὲ ἔργοις αὐτοῖς ἐπί-

---

1. ἐν τῷ στ. ἐξ. Sym. — 2. ἀν. om. Sym. — ἔστειλαν Leo. — 3. φ. ἀν. Vat. φ. π. τοῦ Φ. ἀν. Cont. Leo. — ἀν. ἐτύφθη Sym. — 4. τήν τε β. om. Vat. ὑπετμ. ἀλλὰ μετὰ τ. Sym. — * Ἄννα Sym. — 7. Π. ὁ ὢς τοῦ Βαρυμιχαὴλ Leo. Π. οὖν ὁ ὢς τοῦ B. Sym. 14, Vat. — ** Κωνσταντῖνος ed. K. τοῦ τάγματος ἄρχων τῶν Ἱκανάτων Sym. — *** αὐτῷ Sym. — 9. τῆς — τυραννίδος om. Sym. — σὺν ἀ. δὲ ὁ. B. Leo. — **** καὶ ὁ λεγόμενος Ἀτζίμωρος ed. Sym. Cont. — 10. τουρμάρχων ὄντων ἀνφοτέρων Sym. — Λέων δὲ Leo, Λέων ὁ Φ. οὖν Vat. — 11. ἰ. κ. om. Sym. — 12. τὴν Χρυσοπόλιν Sym. — ***** ἥτις κτλ. etymologica — Καταλαβὼν οὖν τὴν Χ. ὡς εἴρηται δ. π. ἀπὸ τῆς δ. Sym. 15. — λ. θ. om. Sym. — 14. μετὰ Ῥ. cod. — 15. ὁ ἐπὶ κ. Leo, Sym. ὁ ἐπὶ τοῦ κ. Vat. Cont. — ****** τάδε διαγορεύοντα a prima manu codicis in margine, ed. Leo, Vat. Cont. — 17. Ὡς om. Sym. 15. — γρηγ. Sym. — 18. καὶ ἐ. om. Leo. — 19. τούτου Leo. — ******* γε Leo, Sym. — 21. μητρικὰ Leo. — ******** τὸν Leo, Sym. — 22. ὑποστεύων ἐ. νῦν ἐ. ed. Leo, Sym, ὑπ. ἐ. νῦν μὲν ἐ. Vat. Cont.

βουλον εὕρηκα καὶ τῆς ἐμῆς ἀρχῆς τυραννικῶς ἐξανισταμενον· διὸ οὔτε δομέστικον αὐτὸν ἀπὸ τοῦ νῦν * εἶναι βούλομαι, οὔτε δὲ ταύτην τὴν ἀνταρσίαν μετὰ βουλῆς ἐμῆς πεπραχέναι φημί, ἀλλ' αὐθαιρέτῳ γνώμῃ ταύτην ποιήσασθαι τὴν ἐπίθεσιν, ἑαυτῷ τὴν βασιλείαν σφετεριζόμενον».—Τούτων οὖν τῷ λαῷ ὑπαναγνωσθέντων, ἤρξαντο πάντες ὑποχωρεῖν καὶ τῷ βασιλεοπάτορι προσρύεσθαι Ῥωμανῷ. Τοῦ δὲ Φωκᾶ εἰς ἀμήχανον περιστάντος (καὶ ἀπογνόντος ὡς πάσης ἐλπίδος ἠστοχηκότος) καὶ φυγῇ χρησαμένου καὶ πρὸς τὸ κάστρον Ἀτεοῦς παραγενομένου καὶ μὴ δεχθέντος (ἐν χωρίῳ δὲ ὀνομαζομένῳ Γοηλέοντι φεύγοντος καὶ συλληφθέντος), ἀπέστειλε Ῥωμανὸς Ἰωάννην τὸν Τουβάκην καὶ Λέοντα τὸν αὐτοῦ συγγενῆ, ὥστε εἰσαγαγεῖν αὐτὸν εἰς τὴν πόλιν. Οἱ δὲ τοῦτον κρατήσαντες ἀπετύφλωσαν, καίτοι μηδεμίαν περὶ τούτου δεξάμενοι ἐντολήν, ἀλλ' αὐθαιρέτῳ γνώμῃ τοῦτο πεποιηκότες, ὡς ἀγανακτῆσαι ἐπὶ τούτῳ καὶ τὸν βασιλεοπάτορα Ῥωμανόν.

(31) Αὐγούστῳ δὲ μηνὶ κατεμηνύθη τὰ τῆς ἐπιβουλῆς Κωνσταντίνου Κτηματηνοῦ καὶ Δαυὶδ Καμουλιανοῦ καὶ Μιχαὴλ κουράτωρος τῶν μαγγάνων· καὶ τυφθέντες οὗτοι καὶ δημευθέντες διὰ μέσης διῆλθον τῆς πόλεως καὶ ** ἐξορίᾳ παρεπέμφθησαν.

(32) Ἦγαγον δὲ *** Λέοντα μάγιστρον καὶ δομέστικον τῶν σχολῶν ἐν τῇ πόλει, καὶ διῆλθεν ἐν μέσῃ τῇ ἀγορᾷ ἡμιόνῳ ἐφεζόμενος.

(33) Ἐφωράθη δὲ καὶ Ζωὴ **** Αὐγοῦστα ἐ(198ᵇ)πιβου-

---

1. ἀρχῆς om. Vat. — κατεξ. Leo, Sym. Vat. Cont. — * αὐτὸν Vat. — 3. ὁ. τ. Leo. ὁ. γὰρ τ. Vat. Cont. — 6. ἐπαναγ. Leo. — 8. Τοῦ Φ. δὲ Vat. Cont. — περ. φ. τε εἰς Ἀ. χ. Sym. — 9. χ. φ. Leo, Vat. Cont. — 11. ἀλλ' ἐν χ. τινὶ ὀ. Γ. καταντήσαντος Sym. ἐν χ. δὲ ὀν. Γ. φ. καὶ σ. om. ed. — φεύγοντι σ. Leo, καταντήσαντος καὶ σ. Vat. Cont. Ἰω. T. ed. — 13. συγ. ἀγαγεῖν ἀ. οἱ δὲ ἐτ. ἀ. παρὰ γνώμην Ῥωμανοῦ Sym. — 17. τοῦτο cod. — καὶ β. Leo. — 18. Ἀ. δὲ μ. κ. ἐπιβουλὴ διὰ Κ. Κτηματεροῦ μελετωμένη Sym. 16. — 19. τοῦ Κτηματινοῦ Vat. ed. Κτηματινοῦ Cont. — 20. κουροπαλατῶν M. Sym. — οἳ καὶ τ. δ. τε καὶ πομπευθέντες ἐξωρίσθησαν Sym. — ** ἐν Leo. — 23. §. 32 om. Sym. — *** καὶ ed. Vat. Cont. — **** ἡ Sym. 16.

λεύουσα Ῥωμανῷ διὰ πεφαρμαγμένων βρωμάτων (ὑπὸ Θεοκλήτου νοταρίου τῆς ὑπουργίας σκευασθέντων)· καὶ ταύτην τοῦ παλατίου καταβιβάζουσι καὶ εἰς τὸ Πετρίον ἀπάγουσι τῇ τῆς ἁγίας Εὐφημίας μονῇ ἀποκείραντες.

(34) Προσεκλήθη δὲ παρὰ Θεοφυλάκτου πατρικίου καὶ κόμητος τοῦ στάβλου εἰς ἄριστον ὁ παιδαγωγὸς Κωνσταντίνου βασιλέως Θεόδωρος καὶ Συμεὼν ὁ αὐτοῦ ἀδελφός. Ἐσθιόντων δὲ αὐτῶν, εἰσῆλθεν Ἰωάννης δρουγγάριος τῆς βίγλης ὁ Κροκόας (λεγόμενος) μετὰ πλείστου λαοῦ καὶ τούτους ἀναρπάσας εἰς τὸ Ὀψίκιον ἐξώρισεν ἐν τοῖς αὐτῶν προαστείοις ὡς κατὰ ** Ῥωμανοῦ μελετῶντας.

(35) Κδ' τοῦ Σεπτεμβρίου μηνὸς (τιμᾶται Ῥωμανὸς) τῇ τοῦ Καίσαρος ἀξίᾳ· καὶ Δεκεμβρίου μηνὶ ιζ' ***, τῇ τῶν προπατόρων κυριακῇ, τῷ τῆς βασιλείας στέφεται διαδήματι παρὰ Κωνσταντίνου βασιλέως (τοῦ γαμβροῦ αὐτοῦ) καὶ Νικολάου πατριάρχου ****.

XI. ΠΕΡΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΡΩΜΑΝΟΥ.

921 Καὶ Ἰανουαρίου ς', τῇ τῶν ἁγίων φώτων ἡμέρᾳ, στέφει Θεοδώραν τὴν γυναῖκα αὐτοῦ· Μαΐῳ δὲ μηνὶ ιζ', ἰνδικτιῶνος ε', Χριστοφόρος ὁ υἱὸς Ῥωμανοῦ ἀναγορεύεται βασιλεύς,

---

1. ὑπὸ — σκ. om. Sym. — 2. καὶ τ. τοῦ π. καταβιβάσαντες ἐν τῇ τῆς ἁ. Ἐ. μ. ἀπέκειραν Sym. — 4. ἐν τῆς Vat. ἐν τῇ τῆς Cont. Sym. τῆς Leo. — 5. Ἐ. οὖν ed. Καὶ ἑ. Sym. 16. — ' καὶ νοταρίου Vat. — 9. τῆς βίγλας Vat. om. Leo. — Κουρκούας ed. Leo, Sym. — om. λεγ. Leo, Sym. — 10. ἀν. ὡς κ. Ῥ. μ. εἰς Ὀψ. ἐξ. Sym. — ** τοῦ ed. — 11. Περὶ Ῥωμανοῦ Καίσαρος Par. 1706 Ῥωμανὸς ὁ Ἀβάσταχτος. Εἰκάδι δὲ τετάρτῃ τοῦ Σ. μ. Vat. Ἐ. δὲ τ. Σ. μ. Leo. Cont. Τῇ κδ' τοῦ Σ. μ. Sym. 17. Ἐ. δὲ καὶ τ. Σ. μ. Ven. — 12. τ. Ῥ. om. Leo. — *** τοῦ μηνὸς Cont. Vat. — 13. πρων ed. — 14. κῦ Leo, cod. — 15. τοῦ γ. ἀ. om. Leo, Sym. Vat. Cont.—**** ἐν ἔτει τῷ ςυνή, ἰνδικτιῶνος η' Sym. ἐν ἑ. ἑξάκις χιλιοστῷ τετρακοσιοστῷ εἰκοστῷ, ἰνδ. η' Vat. — 17. Par. 1706, in codice deest rubrica. 18. Καὶ Ἰανουαρ. ς' cod. Καὶ Ἰανουαρίῳ ἕκτῃ Vat. Ἐν ἔτει ,υκη', ἰνδ. η' καὶ Ἰανουρίῳ ς' Cont. — Καὶ τῶν ἁγίων Θεοφανίων στέφεται Θ. ἡ γυνὴ ἀ. καὶ τῇ αὐτῇ ἡμέρᾳ τοῦ αὐτοῦ μηνὸς τῆς ε' ἰνδ. Χ. ὁ ὑς Ῥ. διαγ. β. Sym. 17. — 19. ἰνδ. η' margo P. in Sym. ε' ἰνδικτιῶν Vat. sed est nona, θ'; nam dies S. Ignatii in dominicam a. 920 cadit; a. 919 vero, ind. 8ª, Veneris in diem; pentecoste autem in 17-um Maji annis tantum cadit 935 et 940, 8ª indictione 932 in 20-um ut a. 921.

στέφεται δὲ τῇ κδ' τοῦ αὐτοῦ μηνὸς παρὰ Κωνσταντίνου βασιλέως τῇ τῆς ἁγίας ν' ἡμέρᾳ, καὶ μόνοι οὗτοι οἱ δύο ἐν ταύτῃ τῇ προελεύσει προῆλθον.

(2) Ἰουλίῳ δὲ μηνὶ ἰνδικτιῶνος ἡ (ἡμέρᾳ κυριακῇ) ἡ τῆς ἐκκλησίας γέγονεν ἕνωσις παρὰ Ῥωμανοῦ (ἁπάντων ἑνωθέντων μητροπολιτῶν τε καὶ κληρικῶν τῶν ἀπὸ Νικολάου πατριάρχου καὶ Εὐθυμίου) διεσχισμένων.

(3) Ὀγδόῃ δὲ Φεβρουαρίου μηνός, ἰνδικτιῶνος θ' ἀποστελλας Ῥωμανὸς ὑπερορίζει τὸν μάγιστρον Στέφανον τὸν τῆς Καλομαρίας εἰς τὴν Ἀντιγόνου νῆσον ὡς τῆς βασιλείας ἐφίεσθαι κατηγορηθέντα, μοναχὸν αὐτὸν ἀποκείρας ἅμα Θεοφάνει Τειχιώτῃ καὶ Παύλῳ ὀρφανοτρόφῳ * ἀνδρώποις αὐτοῦ. 924

(4) Ἐποίησε δὲ Ῥωμανὸς ** βασιλεὺς ἐν τῷ τριβουναλίῳ πρόκενσον, συνηγμένων ἁπάντων ἐκεῖσε μεθ' ὅπλων· τοῦ ἀδνουμίου δὲ γενομένου, αἰφνίδιον Ῥωμανὸς καὶ Κωνσταντῖνος τάχει πολλῷ εἰς τὸ παλάτιον ὑποστρέφουσιν· ἐμηνύθη γὰρ παρὰ Λέοντος, ἀνδρώπου τοῦ Ἀρσενίου, (ἢ αὐτοῦ τοῦ Ἀρσενίου) ἐπιβουλὴ καὶ Παύλου Μαγγλαβιτῶν, οἳ *** τυφθέντες καὶ δημευθέντες ἐξωρίσθησαν· (ἦν δὲ τότε παραδυναστεύων ὁ πρεσβύτερος Ἰωάννης, ὁ βαίκτωρ, ὃς Λέοντα τὸν τοῦ Ἀρσενίου ἐποίησε ἑβδομαδάριον τῷ βασιλεῖ τοῦτον προσοικειώσας.)

---

1. Τῇ εἰκάδι τοῦ Leo. — 2. ἐν τῇ αὐτῇ πρ. Leo. — 4. Περὶ τῆς ἑνώσεως τῆς ἐκκλησίας Vat. Ἰουγίῳ ed. Τῷ δὲ Ἰουλ. μ Sym. 18. — ὀγδόῃ ἰνδ. Leo, η' ἰνδ. Vat. τῆς αὐτῆς ἰνδ. Sym. — ἡμ. κῦ cod. Leo, om. Sym. — π. Ῥ. γ. ἐν. Leo, Vat. Cont. γίνεται ἕνωσις τῶν ἀποσχιστῶν Sym. om. ἁπ. — Εὐθυμίου. — 8. Ὀγδόῃ δὲ φε. μη. ἰνδ. δ'. cod. θ' δὲ φ. μ. ἰνδ. θ'. Vat. Τῷ δὲ η' μηνὶ τῆς θ' ἐπινεμήσεως Sym. — 19. Ὁ. δὲ φεβρουαρίῳ μηνὶ, ἰνδ. θ. ed. — ιθ' Leo. — ὑποπτευθεὶς Στίφανος ὁ μάγιστρος ὡς τῆς β. ἐφιέμενος ἀποκείρεται ἐν τῇ τοῦ Α. νήσῳ Sym. — 11. πρῶτον Leo, scl. a. (μοναχὸν). — * τοῖς Sym. — 14. Πάλιν μηνύεται ἐπιβουλὴ μελετᾶσθαι παρὰ Ἀ. καὶ Π. τῶν μ. Sym. 19. — ** ὁ Vat. — 15. μεθ' ὁ. ἐκ. Leo. — 18. ἡ ἀ. Ἀ. Cont. om. Vat. ex homoioteleuto. — 19. Μαγλαβιτ. cod. μαγγλαβίτου Cont. ed. — *** καὶ ed. Sym. — 20. ἦν — προσοικειώσας om. Sym. — Ἰω. ὁ πρ. καὶ Leo. — 21. Ἀρμενίου Leo. — ἐποίηκε Vat.

(5) Ἐγένετο (δέ) τις Ῥενταίκιος ἐν Ἑλλάδι, συγγενὴς ὢν Νικήτα πατρικίου, ἀπαίδευτός τε καὶ πατραλῴας, ὃς τὸν ἑαυτοῦ πατέρα καταδιώκων φονεῦσαι, ἐπειδήπερ ἐκεῖνος φεύγων αὐτοῦ τὴν ἐπίθεσιν, ἐν πλοίῳ εἰσελθών, ἐξέπλει καὶ παρὰ τῶν Κρητῶν κατεσχέθη, οὗτος ὁ Ῥενταίκιος, ἄδειαν εὑρών πάντα τὰ τοῦ πατρὸς αὐτοῦ ἐληΐσατο καὶ ἐν τῇ πόλει ἀνελθών [τῇ μεγάλῃ τοῦ θεοῦ ἐκκλησίᾳ προσέφυγεν. Ῥωμανὸς δὲ ὁ βασιλεὺς τὰς αὐτοῦ ἀταξίας καὶ ληλασίας καταμαθών] τοῦτον τῆς ἐκκλησίας ἐξαγαγεῖν ἐβουλεύσατο καὶ παιδεῦσαι. Ὁ δὲ ψευδεῖς ἐπιστολὰς πρὸς Βουλγάρους πλασάμενος, πρὸς αὐτοὺς αὐτομολῆσαι ἐβουλεύσατο. Κρατηθεὶς δὲ καὶ ἐλεγχθεὶς τοὺς ὀφθαλμοὺς ἀποστερεῖται.

(6) Τῶν δὲ Βουλγάρων πάλιν ἐξαλασάντων μέχρι Κατασυρτῶν, μετὰ τὴν τοῦ δομεστίκου Ἀδραλέστου τελευτήν, προεβλήθη Πόθος, ὁ τοῦ Ἀργυροῦ, δομέστικος τῶν σχολῶν καὶ μέχρι Θερμοπόλεως μετὰ τῶν ταγμάτων ἐξελθών, ἀπέστειλε Μιχαὴλ τὸν τοῦ Μωρολέοντος υἱὸν (τοποτηρητὴν ὄντα) τοὺς Βουλγάρους κατασκοπήσαντα· ὁ δὲ ἀπροόπτως τῷ λόχῳ αὐτῶν ἐμπεσών, πολλοὺς μὲν τῶν Βουλγάρων ἀνεῖλεν, πληγεὶς δὲ καὶ αὐτὸς εἰσελθὼν ἐν τῇ πόλει ἐτελεύτησε.

(7) Ἐμηνύθη δὲ τότε διὰ Θεοκλήτου νοταρίου τῆς ὑπουργίας ἡ κατὰ Ῥωμανοῦ (τοῦ) βασιλέως ἐπιβουλὴ Ἀνα-

---

1. Περὶ Ῥενταικίου τοῦ Ἑλλαδικοῦ Vat. Ῥενταίκης ὁ Ἑλλαδικὸς π. γενόμενος ἐπεὶ πάντα Sym. 20. — δὲ om. Vat. Cont. — Ἑλλαδικὸς Vat. Cont. — Νικήτ. cod. Νικήτα τοῦ Vat. Cont. — 2. ἀπ. δὲ Vat. Cont. — 5. π. ἐλ. Vat. Sym. Cont. — 6. καὶ τῇ π. πρ. ψ. γρ. συσκευάσας πρ. Βουλγαρίαν ἀποφυγεῖν ἐμελλε Sym. — τῇ — καταμαθών om. cod. ex homoioteleuto. — 10. ἐβούλετο Vat. Cont. — Κρ. οὖν τ. ὀ. ἐξορύσσεται Sym. — 11. τῶν ὀφθαλμῶν Vat. Cont. τῆς τε σύσης καὶ τῶν ὀ. στ.). — 12. Καὶ πάλιν οἱ Βούλγαροι μ. τῶν Κ. ἐξελαύνουσι μ. τὴν τοῦ Θουκὶς Sym. 21. — δὲ ed. cod. — 13. Ἀδραλέτου Leo. — προβάλλεται Π. δ. τῶν σχ. ὁ τοῦ Ἀ. Sym. — 16. τὸν M. ed. τὸν τοῦ Μωρολὲ Sym. — τ. ὀ. om. Sym. — 18. εἰσελθὼν ἕως π. ed. εἰσελθεσὼν π. cod. εἰσελθὼν e linea seq. irrepsit. — 19. καὶ ἀ. δὲ πλ. ἐν τῇ π. ἐ. ἐτ. Sym. καὶ ἀ. ἐν τῇ π. ἐτ. Vat. Cont. — 21. Περὶ τῆς ἐπιβουλῆς τῆς κατὰ Ῥωμανοῦ δι' ἧς προφάσεως ὑποβιβάζει τὸν πορφυρογέννητον ποιήσας αὐτὸν β' βασιλέα Vat. — Πάλιν δὲ μηνύεται ἐπ. κ. Ῥ. ὑπὸ Ἀ. γεννησομένη σ. καὶ Θ. Sym. 22. — παρὰ Θ. Leo. — 22. τοῦ om. Vat. Cont.

στασίου σακελλαρίου καὶ ἄρχοντος τοῦ χρυσοχείου καὶ Θεοδωρήτου κοιτωνίτου καὶ Δημητρίου, βασιλικοῦ νοταρίου τοῦ εἰδικοῦ, καὶ Νικολάου τοῦ Κουβάτζη καὶ Θεοδότου πρωτοκαράβου, οἳ καὶ ὑπὲρ Κωνσταντίνου βασιλέως δῆθεν ἐσπούδαζον (199ᵃ). Καὶ δὴ ἐλεγχθέντες ἐτύφθησαν καὶ ἐν τῇ μέσῃ διῆλθον καὶ ὑπερόριοι κατέστησαν. Ὁ δὲ Θεοδώρητος ἰδίᾳ ἐν τῷ λεγομένῳ τρικόγχῳ τοῦ παλατίου τυφθείς καὶ αὐτὸς ἐξωρίσθη· τὸν σακελλάριον Ἀναστάσιον ἀπέκειραν ἐν τῇ μονῇ τῶν Ἐλεγμῶν, ἔνθα καὶ τελευτᾷ.

(8) Τῆς τοιαύτης δὲ προφάσεως λαβόμενος Ῥωμανὸς τὸν βασιλέα Κωνσταντῖνον ὑποβιβάζει καὶ δεύτερον καθίστησι, ἑαυτὸν δὲ προάγει εἰς τὸ ἔμπροσθεν*.

(9) Ἐκστρατεύει δὲ πάλιν Συμεὼν κατὰ Ῥωμαίων καὶ πλῆθος Βουλγάρων ἀποστείλας ἅμα Καυκάνῳ καὶ Μηνικῷ καὶ ἑτέροις, ἐκέλευσε κατὰ τῆς πόλεως ὅτι τάχιστα ἐξελαύνειν. Διελθόντες οὖν οὗτοι διὰ τῶν ὀρῶν, ἦλθον μέχρι τῶν Μαγγλαβά. Τὴν αὐτῶν δὲ ἔφοδον μαθὼν ὁ βασιλεὺς Ῥωμανὸς (λογισάμενος μὴ τὰ τῶν Πηγῶν παλάτια καὶ τὸ Στενὸν κατελθόντες ἐμπρήσωσιν), Ἰωάννην βαίκτωρα ἀποστέλλει ἅμα Δέοντι καὶ Πόθῳ τοῖς Ἀργυροῖς λεγομένοις, ἔχοντας μεθ' ἑαυτῶν πλῆθος ἱκανὸν ἔκ τε τῶν βασιλικῶν καὶ ** τῆς ἑταιρίας καὶ τῶν ταγματικῶν, οἷς συνῆν καὶ Ἀλέξιος (ὁ) πατρίκιος καὶ δρουγγάριος τῶν πλωΐμων ὁ Μουσελὲ μετὰ τοῦ λαοῦ αὐτοῦ — ἦν δὲ ε' τῶν νησιωτῶν ἑβδο-

---

1. χρυσοχείου cod. Vat. χρυσοχέστου Cont. χρυσοχόου Leo. — 2. ν. β. Leo, πρωτονοταρίου τοῦ εἰδικοῦ καὶ ἄλλων τινῶν ὡς δῆθεν ὑ. Κ. β. ἀγωνιζόμενοι ἑλ. ἐτ. καὶ τὸν μέσην διελθόντες ἐξωρίσθησαν Sym. — 3. ἰδ. cod. — 5. Καὶ διελ. Vat. Cont. — 7. ἰδίως Leo. — 9. Ἐλειμῶν Leo. — 10. τοιαύτης — §. 16 πολεμικῶν κατὰ ex ocidit in Vat. toto folio deficiente. — ἑαυτοῦ κ. Sym. 23, om. seqq. — 12. προάγειν cod. — * τῷ τὰς ἐπιβουλὰς καὶ τὸν ἐξ αὐτῶν θάνατον δεδοικέναι κτλ. Cont. 7. — 13. Π. οὖν ἐκστρατεύουσι Βούλγαροι μ. τῶν M. Sym. 23. — 14. ἅμα καὶ χαγάνῳ Cont. 8. — 16. Δ. οὖν διὰ Cont. Διελθόντων οὖν διὰ Leo. — 17. Μαγλ. cod. — Ὅπερ μ. Sym. om. λογ. — ἐμπρ. — αὐτ. cod. αὐτὴν Leo. — 20. λεγ. om. Cont. Sym. — 21. ἔκ τε τῶν ταγμάτων καὶ τῶν τῆς ἑτ. Sym. — ** τῶν Leo, Sym. — 23. ὁ om. Cont. Sym. Leo. — Μωσηλέ ed. — 24. τῶν ν. ἑβδ. ε' Leo.

μάς. — Διατάξαντες οὖν οὗτοι τὸν λαὸν * ἐν τοῖς πεδινοῖς καὶ χαμαλωτέροις τόποις τῶν Πηγῶν, τῶν Βουλγάρων ἄνωθεν ἀναφανέντων ἐνόπλων καὶ βοῇ χρησαμένων ἀσήμῳ καὶ φοβερᾷ καὶ σφοδρωτάτως ἐπελασάντων κατ' αὐτῶν, παρευθὺ φεύγει μὲν Ἰωάννης ὁ βαίκτωρ, σφάττεται [δὲ] ὑπὲρ τούτου ἀγωνιζόμενος Φωτεινὸς ὁ τοῦ Πλατυπόδη (υἱὸς καὶ πολλοὶ ἕτεροι· μόλις οὖν ** διασωθεὶς ἦλθε φεύγων ἔνοπλος μετὰ δρόμωνος καὶ Ἀλέξιος δρουγγάριος ὁ Μουσηλὲ καὶ μὴ ἰσχύσας τέλειον ἀνελθεῖν ἐπὶ τὴν τοῦ δρόμωνος ἀποβάθραν, πεσὼν ἐν τῇ θαλάσσῃ σὺν τῷ αὐτοῦ πρωτομανδάτωρι ἀπεπνίγη). Οἱ Ἀργυροὶ δὲ ἐν τῷ καστελλίῳ φυγόντες διεσώθησαν. Πλωΐμοι δὲ καὶ τὸ (λοιπὸν) ἅπαν πλῆθος, οἱ μὲν τὰς τῶν πολεμίων χεῖρας φεύγοντες ἐν τῇ θαλάσσῃ ἀπεπνίγησαν· οἱ δὲ σιδήρου γεγόνασι παραπάλωμα· οἱ δὲ χερσὶ Βουλγαρικαῖς (αἰχμάλωτοι) συνελήφθησαν. Οἱ δὲ Βούλγαροι μηδένα τὸν κωλύοντα ἔχοντες τά τε παλάτια τῶν Πηγῶν ἐπυρπόλησαν καὶ τὸ Στενὸν ἅπαν κατέκαυσαν. (Οὕτως ἄρα δεινὸν ἀβουλία καὶ ἀπειρία θρασύτητα σύμμαχον ἔχουσα.)

(10) Κ' δὲ φεβρουαρίου μηνὸς ι' ἰνδικτιῶνος Θεοδώρα *** σύμβιος Ῥωμανοῦ τελευτᾷ· καὶ κατετέθη τὸ σῶμα αὐτῆς ἐν τῷ οἴκῳ αὐτοῦ τοῦ βασιλέως Ῥωμανοῦ τῷ ὑπ' αὐτοῦ (εἰς) μοναστήριον ἀμειφθέντι.

(11) Τῷ δὲ αὐτῷ μηνὶ στέφεται Σοφία ἡ τοῦ βασιλέως

---

1. Δ. οὖν τὸν ed. Δ. οὐτ. τὸν Cont.— * αὐτῶν Sym.—3. ἐν. βοῇ Cont.—4. παρελ. Cont.—ἀ. εὐθὺς φ. ὁρ. Sym. ἀ. π. μὲν φ. Cont. ἀ. φαν. π. ed. π. μὲν φ. Leo.—6. ὁ τοῦ Πλατύποδος ὃς Φ. ed. — Πλατυπόδ. cod.— ὃς — ἀπεπνίγη om. Sym. — ** ὁ βαίκτωρ Cont. — 7. εἰσῆλθεν εἰς τὸν δρόμωνα· ἦλθε δὲ φ. ἐν καὶ Ἀλ. ed. Leo, Cont. — 8. ὁ M. δρ. Leo. δρ. ὁ Μωσηλὲ cod. — 9. ἰσχ. ἀν. ed. — ἐν τῇ τοῦ δ. ἀποβ/θρα Leo, Cont. — ἀναβ. ed. — 11. Οἱ om. Cont. — *** ὅτε Πόθος καὶ Δέων πατρίκιος Cont. — δ. φεύγοννες Leo. — 12. καὶ οἱ λοιποὶ οἱ μὲν ἐσφάγησαν, οἱ δὲ ἐν τῇ θ. ἀπώλοντο, ἄλλοι ἀ. γεγόνασι οἱ Α. δὲ ἐν τῷ κ. φ. δ. Sym. — λοιπὸν et αὐμ. om. Cont. — 15. μ. ἐχ. κ. Leo. — 16. τῶν π. π. Cont. — 17. οὕτως — ἐχ. om. Leo, Sym. — 19. Εἰκάδι δὲ φεβρουαρίῳ μηνὶ Cont. ed. Leo, τῷ δὲ φ. μ. Sym. 24. Κ. δὲ φε. μη cod. — ἰνδ. ι' ed. Cont. τῆς ι' ἰνδ. τῇ κ. τοῦ μηνὸς Sym, ια' ἰνδ? — **** ἡ Sym. — 20. καὶ κατατίθεται εἰς τὸν οἶκον τοῦ β. Ῥ. τὸν ὑπ' ἀ. εἰς μ. γενόμενον Sym. — 21. εἰς om. Cont. — 23. Καὶ στ. Sym. 24.

Χριστοφόρου γυνή· τηνικαῦτα δὲ καὶ κουροπαλάτης Ἴβηρ ἐν τῇ πόλει παρεγένετο καὶ διὰ μέσης τῆς ἀγορᾶς διελθὼν κεκοσμημένης λαμπρῶς μετὰ δόξης πολλῆς καὶ τιμῆς ὑπεδέχθη (ὃν καὶ ἐν τῇ ἁγίᾳ τοῦ θεοῦ Σοφίᾳ εἰσήγαγον*, τὸ κάλλος αὐτῆς καὶ τὸ μέγεθος θεασάμενον καὶ τὸν πολυτελῆ κόσμον — καλλωπίσαντες γὰρ αὐτὴν καὶ περιστείλαντες πέπλοις χρυσουφέσι καὶ κόσμῳ παντοίῳ οὕτως εἰσήγαγον ἐν αὐτῇ—)· Ὁ δὲ τὸ θαυμαστὸν καὶ ὑπερμέγεθες τοῦ ναοῦ ἔργον καταπλαγεὶς καὶ τὸν πολυτελῆ κόσμον ὑπερθαυμάσας καὶ ἀληθῶς θεοῦ κατοικίαν εἶναι τὸν** χῶρον τοῦτον εἰπών, αὖθις ὑπέστρεψεν εἰς τὰ οἰκεῖα.

(12) Ἰουνίῳ δὲ μηνὶ τῶν Βουλγάρων πάλιν ἐκστρατευσάντων καὶ μέχρι τῶν τῆς ἁγίας Θεοδώρας παλατίων ἐλθόντων καὶ ταῦτα πυρὶ παραδόντων, εἰς ἄριστον ὁ βασιλεὺς Ῥωμανὸς (τοὺς) τῶν ταγμάτων ἄρχοντας συνεκάλεσεν, συνόντος αὐτοῖς καὶ τοῦ λεγομένου Σακτίκη, καὶ παρῄνει τούτοις καὶ προυτρέπετο κατὰ τῶν ἐναντίων ἐξελθεῖν καὶ τῆς πατρίδος ὑπεραγωνίσασθαι· οἱ δὲ συνέθεντο ἑτοίμως τῆς αὐτοῦ βασιλείας καὶ τῶν χριστιανῶν ὑπεραποθνήσκειν. Τῇ οὖν ἐπαύριον καθοπλισθεὶς παρὰ τοῦ βασιλέως ὁ εἰρημένος Σακτίκης ἀληθῆ οὖσαν τὴν ἑαυτοῦ πίστιν (τε) καὶ ἀνδρείαν ἀπέδειξεν· ὄπισθε γὰρ τῶν Βουλγάρων (199[b]) γενόμενος καὶ εἰς τὸ στρατόπεδον αὐτῶν ἐμπεσὼν πάντας τοὺς ἐκεῖ εὑρεθέντας κατέσφαξεν. Μαθόντες οὖν οἱ Βούλγαροι τὸ γεγονὸς ὑποστρέφουσιν ἐν τῷ στρατοπέδῳ καὶ πολέμου συγκροτηθέντος, τρέπουσι τὸν Σακτίκην σὺν ὀλίγοις ὑπαρ-

---

1. Τότε καὶ Ἰ. κ. ἐν τῇ π. π. καὶ πρόοδος αὐτῷ λαμπρὰ γέγονε καὶ μ. τ ὑπ. καὶ ἡ ἁγ. Σ. τούτῳ κεκοσμημένη ὑπεδείχθη Sym, om. ὃν — αὐτῇ. — 4. ἀπηγ. Cont. — * καὶ Leo. — 5. θεάσαμ. cod. θεασάμενος Leo. — 6. ταύτην Cont. — 7. αὐτῷ ed. — 8. εἰς ὃν ναὸν εἰσελθὼν καὶ θαυμάσας πάλιν εἰς τὰ ἴδια ὑπ. Sym.— ** ἱερὸν Cont. — 10. ἴδια Leo, Cont. Sym. — 12. τῶν δὲ B. π. ἐκστρ. καὶ μ. τῆς Cont. Καὶ π. οἱ Βούλγαροι ἐν τῷ Ἰ. μ. μ'χρι τῶν τῆς ἁ. Θ. π. ἦλθον καὶ τ. π. δόντες τὰ ἑξῆς ἐληΐζοντο καὶ πάλιν πολέμου γενομένου, τρέπονται Ῥωμαῖοι Sym. 25 om. seqq. — 13. ἑ. π. Cont. — 14. παραδόντες cod. παραδιδόντων Cont. — ἐξανιστάμενος ὁ β. P. Leo, — 15. τοὺς om. Cont. — 16. αὐτῷ Leo. — 21. τε om. Cont.— 26. ὀλίγων Cont.

χοντα. Ὁ δὲ ἐπειδὴ γενναίως ἀγωνισάμενος*, πολλοὺς ἀνελὼν οὐκ ἔτι ἀντέχειν ἠδύνατο πρὸς τὸ πλῆθος τῶν πολεμίων, μεθίησι τοῦ ἵππου τὸν χαλινὸν καὶ εἰς φυγὴν ἤλαυνε, ποταμὸν δέ τινα (ἐκεῖσε) παραῤῥέοντα διαπερῶν, τοῦ ἵππου αὐτοῦ ἐν τῇ** ἰλῦι ἐμπαγέντος, τιτρώσκεται κατὰ τῆς ἕδρας καὶ τοῦ μηροῦ· μόλις οὖν τοῦ ἵππου ἐκ τῆς ἰλύος ἀνασπασθέντος συνεργείᾳ τῶν ὑπὸ χεῖρα διασώζεται μέχρι τῶν Βλαχερνῶν καὶ τεθεὶς ἐν τῇ ἁγίᾳ σορῷ, καιρίας τῆς πληγῆς οὔσης, τῇ νυκτὶ ἐτελεύτησε.

(13) Τηνικαῦτα δὲ καὶ Πετρωνᾶς αἰδεσιμώτατος προστάξει Ῥωμανοῦ βασιλέως ἤγαγε λάρνακα ἔνζῳδον καὶ ἕτερα δύο γλυφῆς ἀμοιροῦντα ἐκ τῆς τοῦ ἁγίου Μάμαντος μονῆς ἀνδρείας, τῆς πλησίον οὔσης τῶν Ξυλοκέρκου λεγομένης πόρτης, ἐν οἷς φασὶν ἐναποκεῖσθαι Μαυρίκιον σὺν τοῖς αὐτοῦ παισὶν, ἃ καὶ ἀπετέθη ἐν τῇ τοῦ βασιλέως*** μονῇ****.

(14) Ἀδριανὸς δέ τις Χάλδος, πρὸς δὲ καὶ Τατζάτης Ἀρμένιος πλούσιος πάνυ, τῇ ὑποθήκῃ καὶ συμβουλῇ Βάρδα τοῦ Βοήλα στρατηγοῦντος ἐν Χαλδίᾳ τυραννίδα καὶ ἀνταρσίαν κατὰ Ῥωμανοῦ βασιλέως συσκευάζουσι, τὸ Πάνπερ τε λεγόμενον ὀχύρωμα κατασχόντες, οὓς ὁ τῶν σχολῶν δομέστικος Ἰωάννης ὁ Κροκόας καταπολεμήσας τοὺς μὲν κατέσχεν, ὧν τοὺς περιφανεστέρους ἀποτυφλοῖ, τὰς οὐσίας αὐτῶν δημεύσας*****. Τατζάτης δὲ ἐν ἑτέρῳ ὀχυ-

---

* καὶ Leo, Cont. — 4. ἐκεῖσε om. Cont. — ** τούτου Cont. — 6. ἐκτὸς ἰ. Leo. Ὁ δὲ λεγόμενυς Σ. πολλὰ ἀνδραγαθήσας, πολλούς τε ἀνελὼν καὶ πρὸς τὸ πλῆθος ἀντιστηναι μὴ δυνάμενος, καιρίαν πληγεὶς φεύγει καὶ ἐν τῷ ναῷ τῶν Βλ. τ. εὐθὺς ἀποθνήσκει Sym. — 8. τίθεται ed. — 11. λαρνακίδιον ἔνδοξον ἐν καὶ Cont. — 12. ἀ. μ. Cont. — 13. οὔσης τῆς Ξ. ed. Cont. Ξυλοκέλκου cod. — συναπ. Cont. om. αὐτοῦ. — *** Ῥωμανοῦ Cont. — **** ἤτοι εἰς τὸ Μυριέλαιον ed. Cont. — 16. Ἀνταρσίας δὲ γενομένης ἐν Χ. ὑπὸ Ἀδριανοῦ Χαλδέως καὶ Τατζάτου Ἀ. τῇ ὑποθ. Β. τοῦ Β. στ. ἐν Χ. καὶ τὸ Π. ὀ. ἐκρατήθη Sym. 26. — δὲ Τατζάκης Cont. — Τζάντζης ed. cod. — 17. συνθήκῃ Leo. — 18. Βόιλα ed. Sym. — 19. σκευάζουσι Cont. — τὸ Παῖπερ τὸ λ. Ρ. — 20. δ. τῶν σχ. Leo, τῶν σχ. δ. Ἰω. ὁ Κ. Sym. om. οὓς. — 21. Κουρκούας Leo, Sym. Cont. — καταπ. καὶ κατασχὼν τοὺς μὲν Sym. Cont. — 22. τὴν οὐσίαν δ. Leo, καὶ τὰς οὐ. δημεύει Sym. — ***** τοὺς δὲ πενιχροὺς καὶ ἀσήμους ἀθώους κελεύσας ὅποι βούλοιντο ἀπιέναι Sym. ed. Cont. — 23. Ὁ δὲ Τ. ἐν ἑ. ὀχυρώματι δ. καὶ λ. αἰτήσας ἐν τῇ π. Sym.

ρωτάτῳ καστελλίῳ διαφυγὼν καὶ λόγον τοῦ μήτι κακὸν παθεῖν δεξάμενος, ἐν τῇ πόλει εἰσεληλύθει καὶ τῇ τοῦ μαγλαβίτου ἀξίᾳ τιμηθεὶς ἐν τῷ οἴκῳ τῶν μαγγάνων διητᾶτο τηρούμενος· δρασμὸν δὲ βουλευσάμενος ἁλίσκεται καὶ τῶν ὀμμάτων στερίσκεται. Βάρδαν τὸν Βοήλαν ἀπέκειραν μοναχὸν, τοῦ βασιλέως οἰκτείραντος φίλον τυγχάνοντα.

(15) Τοῦ πατρικίου τοῦ ** ἐπονομαζομένου Μωρολέοντος *** Ἀδριανουπόλεως στρατηγοῦντος, κρατίστου τὰ πολλὰ καὶ περιδεξίου τυγχάνοντος, ὃς πλείστας κατὰ Βουλγάρων ἀνδραγαθίας ἐπεδείξατο, (καὶ πάλιν) ὁ Βούλγαρος Συμεὼν σὺν παντὶ τῷ στρατεύματι αὐτοῦ τὴν εἰρημένην πόλιν περιεκύκλωσε καὶ χάρακα περιβαλὼν ἰσχυρῶς ταύτην ἐπολιόρκει· ἐπεὶ δὲ ὅ τε σῖτος τοὺς ἐν τῇ πόλει ἐπελελοίπει καὶ λιμὸς ἐπίεζε χαλεπός — οὐδαμόθεν γὰρ εἶχον ἐπισιτίσασθαι — τῇ ἐνδείᾳ πιεζόμενοι προδεδώκασιν ἑαυτούς (τε) καὶ τὸν στρατηγὸν τοῖς Βουλγάροις, ὃν **** χειρωσάμενος ***** Συμεὼν καὶ δεσμὰ καθ' ὅλου τοῦ σώματος περιβαλὼν καὶ μυρίαις αἰκίαις τοῦτον τιμωρησάμενος τελευταῖον ἀπέκτεινε (θανάτῳ πικρῷ, ἀξίῳ τῆς ἑαυτοῦ ἀπηνεστάτης καὶ ὠμοτάτης ψυχῆς). Βουλγάροις οὖν τὴν τῆς πόλεως φυλακὴν παραδοὺς ὑπεχώρησεν, οἳ τὴν κατ' αὐτῶν τοῦ Ῥωμαίων στρατοῦ ἔφοδον ἀκηκοότες, ταύτην καταλελοιπότες ἀπῆλθον· καὶ πάλιν ὑπὸ Ῥωμαίους (αὐτὴ) ἐγένετο.

(16) Λέοντος δὲ τοῦ Τριπολίτου μετὰ δυνάμεως πολ-

---

1. φυγὼν Cont. — λ. ἀπαθείας δ. ed. — 2. ἐ. καὶ μάγιστρος γενόμενος ἐν τοῖς Μαγγάνοις τ. δ. δρᾶσαι δὲ β. Sym. — 4. ὀφθαλμῶν ed. — 5. στερεῖται Cont. — * δὲ Leo, Sym. Cont. — ἀπ. τοῦ β. αὐτὸν κατοικτ. Sym. — 7. Συμεὼν δὲ σὺν π. τῷ λαῷ ἀ. τὴν Ἀ. παρακαθίσαντος καὶ ἰ. πολιορκοῦντος, ἐπεὶ καὶ λ. αὐτοὺς ἐπ. κραταιὸς καὶ ὁ. ἐ. ἐπ. πρ. Sym. 29. — ** ὄντος Leo, οὕτως Cont. — *** ἢ μᾶλλον εἰπεῖν οἰκειότερον Θυμολέοντος Cont. — 8. κρ. π. καὶ δεξιοῦ ed. κρ. τὰ πολεμικὰ καὶ π. Cont. — 10. καὶ π. om. Cont. Leo. — 11. τὴν ἐ. π. σὺν π. τῷ στ. π. Cont.— 12. περιεκύκλ. cod. περιεκύκλωσαν ἐπεὶ ed. — 14. κραταιὸς Cont. — 16. τε om. Cont. — **** καὶ Sym. — ***** ὁ Sym. — 17. Σ. μ. τε ἀ. Sym. — 19. θαν. — ψυχῆς om. Sym. — 20. Καὶ Β. τὴν Sym. — παρ. φ. Leo. — 21. ἀ. τῶν Ῥ. ἐφ. ἀκ. τὴν πόλιν κατ. Sym. — 22. καταλιπόντες Sym. Cont.— 23. αὐτὴ om. Sym. — 24. Τοῦ δὲ Τρ. Δ. Sym. 28.

λῆς (καὶ πλοίων πολεμικῶν κατὰ Ῥωμαίων ἐξελθόντος καὶ ἐν)* νήσῳ Λήμνῳ καταλαβόντος, Ἰωάννης** πατρίκιος καὶ δρουγγάριος τοῦ πλωΐμου ὁ Ῥαδινὸς κατονομαζόμενος αἰφνιδίως ἐπέθετο αὐτῷ (καὶ τὴν νῆσον κατέλαβε)· καὶ πολέμου γεγονότος, θεοῦ συνεργείᾳ οἱ ὑπ' αὐτὸν τρέπονται Ἀγαρηνοί, μόνος δὲ ὁ Τριπολίτης φυγῇ διασώζεται.

(17) Σεπτεμβρίῳ δὲ μηνὶ, ἰνδικτιῶνος β' Συμεών*** ὁ ἄρχων Βουλγαρίας (200ª) πανστρατὶ κατὰ Κωνσταντινουπόλεως ἐκστρατεύει καὶ ληΐζεται μὲν Θρᾴκην (τε) καὶ Μακεδονίαν, ἐμπυρίζει δὲ πάντα (καὶ) καταστρέφει καὶ δενδροτομεῖ· μέχρι Βλαχερνῶν παραγενόμενος ἐπεζήτησεν αὐτῷ ἀποσταλῆναι τὸν πατριάρχην Νικόλαον καί τινας τῶν μεγιστάνων ὥστε περὶ εἰρήνης αὐτοῖς συντυχεῖν· ἔλαβον**** ὁμήρους παρ' ἀλλήλων ἀμφότεροι, καὶ ἐξῆλθε πρότερον μὲν ὁ πατριάρχης*****, ἔπειτα****** Μιχαὴλ πατρίκιος ὁ προσαγορευόμενος Στυπιώτης καὶ Ἰωάννης ὁ μυστικός τε καὶ παραδυναστεύων· ἤδη γὰρ******* Ἰωάννης ὁ βαίκτωρ διαβληθεὶς πρὸς τὸν βασιλέα ἀσθένειαν προφασισάμενος τοῦ παλατίου κατελήλυθει καὶ ἐν τῇ αὐτοῦ μονῇ τῇ πλησίον******** Γαλακρηνῶν ἀπεκάρη.

(18) Οἱ μὲν οὖν μετὰ Συμεὼν περὶ εἰρήνης διελέγοντο· ὁ δὲ αὐτοὺς (μὲν) ἀπεπέμψατο, αὐτὸν δὲ τὸν βασιλέα Ῥω-

---

1. καὶ πλ.— καὶ ἐν om. Sym. — * ἐν Sym. — ** ὁ Sym. — 3. τῶν πλωΐμων Leo, Sym. Cont. — Ῥ. αἰφνίδιος Leo, Ῥ. αἰφνίδιον Sym. — 4. ἐπιπεσὼν αὐτοῖς πάντας ἀπώλεσε Sym. — καὶ τὴν ν. κ. om. Vat. et Cont. — 6. μόλις δὲ μ. ἀ. Tp. Vat. μόλις δὲ μ. ὁ Tp. Cont. μ. δὲ αὐτὸς Tp. Leo. — μόνου αὐτοῦ τοῦ Τριπολίτου διαφυγόντος Sym. — διασωθεὶς Leo. — 7. Τῷ δὲ Σ. μ. τῆς β' ἰνδ. πάλιν Σ. ὁ Βούλγαρος Sym. 29. — *** δὲ ed. — ὁ om. Vat. Cont. — 9. τε om. Sym. Vat. Cont. — 10. πάντα κατ. Leo. — 11. μ. δὲ B. γεν. ἐπ. ἐπισταλῆναι ἀ. Leo. μ. τῶν B. παρ. καὶ δὴ ἐπιζητῶν ἀπ. ἀ. Sym. Περὶ τῆς ἐκστρατείας Συμεὼν καὶ συντυχίας τοῦ Ῥωμανοῦ καὶ Νικολάου πατριάρχου μ. δὲ B. π. ἐπ. ἀπ. Vat. — **** οὖν Leo, Sym, Vat. Cont. — 14. ὁμ. ἀμφ. Leo, Sym. — ἐξῆλθ. cod. ἐξῆλθον ed. Sym. Leo. ἐξ. ὅ τε π. καὶ M. Sym. — ***** Νικόλαος Leo, Vat. Cont. — 15. εἶτα ed. — ****** ὁ Vat. Cont. — ὁ Στουπ. Leo, ὁ Στυπ. Sym. — 16. Ἰω. μ. ed. Ἰω. μ. ὁ π. Sym. Ἰω. ὁ μ. π. Leo. Ἰω. ὁ μ. καὶ π. Vat. Cont. — ******* ὁ Vat. — 17. διαβ. τῷ βασιλεῖ ἀπ. Sym. — ******* τῶν Leo. — 21. οἱ μὲν οὖν τῷ Σ. π. ἐ. δ. αὐτὸς δὲ τὸν β. Ῥ. ἤθελε Sym. 29. — 22. ὁ δὲ ἀ. ἀπ. ed.

μανὸν ἐζήτει ϑεάσασϑαι· παρὰ πολλῶν γὰρ πεπληροφόρητο περί τε τῆς αὐτοῦ φρονήσεως καὶ ἀνδρείας καὶ (τῆς) συνέσεως). Ὁ τοίνυν βασιλεὺς σφόδρα ἠγαλλιάσατο· ἐπόϑει γὰρ τὴν εἰρήνην καὶ τὸ στῆναι τὰς καϑ' ἑκάστην ἐγγινομένας τῶν αἱμάτων ἐκχύσεις *· ἀποστείλας οὖν ἐν τῷ ** Κοσμιδίου αἰγιαλῷ κατεσκεύασεν ἐν τῇ ϑαλάσσῃ ὀχυρωτάτην ἀπόβασιν, ὥστε τὴν βασιλικὴν τριήρην διεκπλέουσαν ἐν αὐτῇ προσορμίζεσϑαι· περιφράξας οὖν αὐτὴν πάντοϑεν διατείχισμα μέσον γενέσϑαι προσέταξεν, ἐν ᾧ ἀλλήλοις ἔμελλον ὁμιλεῖν· Ἀποστείλας οὖν *** Συμεὼν τὸν τῆς ὑπεραγίας Θεοτόκου ναὸν τὸν ἐν τῇ Πηγῇ **** ἐνέπρησε καὶ τὰ πέριξ αὐτοῦ σύμπαντα, δῆλος ὢν ἐντεῦϑεν μὴ τὴν εἰρήνην ἐϑέλων ἀλλ' ἐλπίσι μετεώροις τοῦτον ἐξαπατῶν.

(19) Παραγενόμενος δὲ ἐν Βλαχέρναις ὁ βασιλεὺς ἅμα Νικολάῳ (τῷ) πατριάρχῃ ἐν τῇ ἁγίᾳ εἰσῆλϑε σορῷ καὶ τὰς χεῖρας ἐξέτεινεν εἰς εὐχήν· εἶτα ***** πρηνὴς πεσὼν τὸ ἅγιον ἔδαφος ἐκεῖνο τοῖς δάκρυσι κατέβρεχε ******, τὴν πανάχραντον Θεοτόκον ἀντιβολῶν, τὴν ἀκαμπῆ καὶ ἀμείλικτον τοῦ τυράννου καὶ ὑπερηφάνους Συμεὼν καρδίαν μαλάξαι (καὶ πεῖσαι) τὰ πρὸς εἰρήνην συνϑέσϑαι· τὸ ἅγιον οὖν κιβώτιον διανοίξαντες, ἔνϑα τὸ σεπτὸν τῆς ὑπεραγίας Θεοτόκου τε-

---

1. ἐπεζ. Leo, Vat. Cont. — π. π. δὲ πεπ. ed. Vat. Cont. om. — συνέσεως Sym.— 2. καὶ συν. Vat. Cont. Leo. — 3. Ὁ δὲ β. Leo, ὅπερ ἀκούσας ὁ β. Sym. — σφ. ἐπὶ τούτου Vat. ἐπὶ τούτου σφ. ed. Cont. σφ. ἐπὶ τούτῳ Leo. — 4. καὶ τὰς γενομένας τῶν ἁ. ἐ. Leo, καὶ τὸ στ. τὴν τῶν ἁ. χύσιν Sym. καὶ τὸ στ. τὰς γ. τῶν ἁ. χ. Vat. Cont. — * ὁσημέραι Leo, Vat. Cont. — ** τοῦ Sym. Vat. Cont. Leo. — 6. ὀχ. ἐν τῇ ϑ. Vat. ἐν τῇ ϑ. Sym. — 8. αὐτῷ Sym. — καὶ π. ἀ. π. πρ. δ. μ. γ. Sym. — 9. ἔνϑα ἀλλ. Sym Vat. Cont. — *** ὁ Vat. — 10. Ἐπὶ τούτοις ἀπ. Σ. τὸν ἐν τῇ Π. τῆς ὑπ. Θ. ναὸν ὃν Ἰουστινιανὸς ὁ βασιλεὺς ἐδομήσατο ἐν. Sym. — 11. ἐν τὸν ἐν τῇ Π. Leo, Vat. Cont. — **** ὃν Ἰ. ο β. ἐδ. Vat. Vat. Cont. — 12. ἐ. ἐλὼν ἀλλ' Leo, ἐ. ἐϑέλειν ἀλλ' Vat. — 13. τ. ἐξαπατᾷν Vat. τὸν βασιλέα ἐξ. Sym. — 14. Καὶ π. ὁ β. ἅμα τῷ π. ἐν Βλ. εἰς τὴν ἁγίαν ἐ. σορὸν Sym. 29. — 15. τῷ om. Vat. Cont. — εἰσῆλϑ. cod. εἰσῆλϑον Leo, σ. ἐ. ed. — 16. ἐκτείνας Sym. — ***** καὶ Sym. — δ. τὸ ἁ. κ. ἐδ. Leo, Sym. Vat. δ. κ. τὸ ἁ. ἐδ. Cont. — ****** καὶ Vat. — 18. τοῦ ὑπ. Σ. Leo, Sym. Vat. Cont. — 19. μ. κ. Leo. — καὶ π. om. ed. — 20. καὶ τὸ ἁ. κ. Leo. — τὸ ἁ. οὖν μαφόριον τῆς παναγίας Θ. ἐκ τῆς κιβωτοῦ ἀν. ἐξῆει Sym. — 21. τῆς ἁγίας Leo, Vat. Cont.

θησαύριστο ὠμοφόριον καὶ τοῦτο ἐκεῖθεν ὁ βασιλεὺς ἀνελόμενος καὶ ὥσπερ τινὰ θώρακα ἀδιάῤῥηκτον περιβαλλόμενος καὶ τὴν πίστιν τὴν εἰς τὴν ἄμωμον θεοτόκον οἷα περικεφαλαίαν τινὰ περιθέμενος ἔξεισι τοῦ ναοῦ, ὅπλοις ἀσφαλέσι φραξάμενος· τὸν σὺν αὐτῷ οὖν στόλον ἀσπίσι τε καὶ ὅπλοις (ἀσφαλέσι) κατακοσμήσας τὸν ὡρισμένον τόπον κατέλαβε συνομιλῆσαι τῷ Συμεών.

(20) Πέμπτη οὖν ἡμέρα (ἦν) ὅτε ταῦτα ἐγίνετο, ϑ' τοῦ Σεπτεμβρίου μηνός· τετάρτῃ δὲ τῆς ἡμέρας ὥρᾳ παρεγένετο* Συμεὼν πλῆθος ἄπειρον ἐπαγόμενος εἰς πολλὰς δεδιηρημένον** παρατάξεις, τῶν μὲν χρυσασπίδων καὶ χρυσοδοράτων, τῶν δὲ ἀργυρασπίδων καὶ ἀργυροδοράτων, τῶν δὲ πάσῃ ὅπλων χροιᾷ κεκοσμημένων, πάντων καταπεφραγμένων σιδήρῳ, οἱ μέσον αὐτῶν διειληφότες τὸν Συμεὼν ὡς βασιλέα εὐφήμουν τῇ τῶν Ῥωμαίων φωνῇ· πάντες δὲ οἱ τῆς συγκλήτου βουλῆς τοῖς τείχεσιν ἐφεστῶτες ἐθεώρουν τὰ δρώμενα· ἦν οὖν ἰδεῖν τότε ψυχὴν βασιλικὴν τῷ ὄντι καὶ μεγαλόφρονα καὶ θαυμάσαι τὸ τοῦ φρονήματος ἀκατάπληκτον καὶ τὸ τῆς ἀνδρείας παράστημα, ὅπως τοσαύτην πολεμίων βλέπων ἐπιφορὰν οὐ κατεπλάγη καὶ συνεστάλη καὶ ὑπεχώρησεν, ἀλλ' ὥσπερ εἰς φίλιον χωρῶν πλῆθος οὕτως ἀτρέμας ἀπῄει, μόνον οὐχὶ τὴν ψυχὴν τοῖς πολεμίοις τῶν ὑπηκόων διδοὺς ἀντίλυτρον.

(21) Πρῶτος οὖν ἐν τῇ ῥηθείσῃ ἀποβάθρᾳ καταλαβὼν τὸν Συμεὼν ἐξεδέχετο· ἐπεὶ δὲ ὅ(200ᵇ)μηροι ἐξ ἀμφοτέ-

---

3. ὑπεράμωμον Leo, Vat. Cont. — 4. ἐξῄει Leo, Sym. Vat. Cont. — ναοῦ καὶ καταλαμβάνει τὸν ὡ. τ. Sym. — περιφ. ed. — 6. ἀσφ. om. Vat. Cont. Leo. — κοσμήσας Leo. — 8. π. δὲ ἦν ἡ. ὁ. τ. ἐγ. ἐνάτη τοῦ Ν. μ. τετ. δὲ τῆς ἡ. ὡ. Vat. Cont. Θ' δὲ ἦν τοῦ Σ. μ. ἑ δὲ τῆς ἑβδομάδος ἡμέρα· καὶ τῇ δ' ὥρᾳ παραγίνεται Σ. Sym.— ἦν om. Leo. — ιϑ' ed. — 9. Νεμβ. cod. ed. Vat. Cont. Leo. — δὲ om. Leo. — * δὲ Vat. δὲ καὶ ὁ Cont. — ** τὰς Sym. — 11. τῶν δὲ χ. ed. — 12. τῶν δὲ ἀ. καὶ ἀ. ex homoioteleuto om. Vat. — 13. χρείᾳ ed. Leo. — περφ. ed. — 15. ἐτιμοουν (sic) Vat. — 16. κατεϑεῶντο Leo, Sym. Vat. Cont. — 17. ἰ. τὴν ψ. ed. τότε ἰ. ψ. Leo. — 19. ὅτι Sym. — 20. ὁρῶν ed. — οὐ κατ. καὶ ὑπ. ed. — 20. φιλίων Vat. φίλων Leo, Sym. π. φ. χ. Sym. Vat. Cont. Leo. — 24. ἀναβ. ed. Leo. — 25. ὅμηρα ed.

ρων ἐλήφθησαν τῶν μερῶν καὶ τὴν ἀποβάθραν οἱ Βούλγαροι διερευνήσαντο ἀκριβῶς, μήπω τις δόλος ἢ ἐνέδρα τυγχάνῃ, κατῆλθε Συμεὼν τοῦ ἵππου καὶ πρὸς τὸν βασιλέα εἰσῆλθεν· ἀσπασάμενοι δὲ ἀλλήλους εἰρήνης λόγους ἐκίνησαν· εἰπεῖν δὲ λέγεται τὸν βασιλέα πρὸς Συμεών· «Ἀκήκοά σε θεοσεβῆ ἄνθρωπον ὄντα καὶ χριστιανὸν ὑπάρχειν ἀληθινόν, βλέπω δὲ τὰ ἔργα μηδαμῶς τοῖς λόγοις συμβαίνοντα· ἴδιον μὲν γὰρ θεοσεβοῦς ἀνθρώπου καὶ χριστιανοῦ τὸ τὴν εἰρήνην * παὶ τὴν ἀγάπην ἀσπάζεσθαι, εἴπερ «ὁ θεὸς ἀγάπη ** ἐστιν» καὶ λέγεται, ἀσεβοῦς δὲ καὶ ἀπίστου τὸ χαίρειν σφαγαῖς καὶ αἵμασιν ἀδίκως ἐκχεομένοις· εἰ μὲν οὖν ἀληθὴς χριστιανὸς ὑπάρχεις καθὼς πεπληροφορήμεθα, στῆσόν ποτε τὰς ἀδίκους σφαγὰς καὶ τὰς τῶν ἀνοσίων αἱμάτων ἐκχύσεις καὶ σπεῖσαι μεθ' ἡμῶν τῶν χριστιανῶν τὴν εἰρήνην, χριστιανὸς καὶ αὐτὸς ὢν καὶ ὀνομαζόμενος, καὶ μὴ θέλε μολύνεσθαι χριστιανῶν δεξιὰν αἵμασι ὁμοπίστων χριστιανῶν· ἄνθρωπος εἶ καὶ αὐτὸς, θάνατον προσδοκῶν καὶ ἀνάστασιν καὶ *** ἀνταπόδοσιν· σήμερον ὑπάρχεις καὶ αὔριον εἰς κόνιν διαλυθήσῃ· εἷς πυρετὸς ἅπαν κατασβέσει τὸ φρύαγμα· τίνα οὖν λόγον δώσεις τῷ θεῷ ἐκεῖ ἀπελθὼν ὑπὲρ τῶν ἀδίκων σφαγῶν; ποίῳ προσώπῳ τῷ φοβερῷ καὶ δικαίῳ ἐνατενίσεις κριτῇ; εἰ πλούτου ἐρῶν ταῦτα ποιεῖς, ἐγὼ σε κατακόρως τοῦ ἐπιθυμουμένου ἐμπλήσω, μόνον ἐπίσχες τὴν δεξιάν (σου), ἄσπασαι τὴν εἰρήνην, ἀγάπησον τὴν ὁμόνοιαν, ἵνα καὶ αὐτὸς βίον ζήσῃς εἰρηνικὸν καὶ ἀναίμακτον καὶ ἀπράγμονα, καὶ οἱ χριστιανοί

---

1. διερευνήσαντες cod. P. — 2. μήπου τις Vat. Cont. — τυγχάνει ed. cod. Vat. Cont. Sym. — 4. ἀ. οὖν Leo, Sym. Vat. Cont. — 6. ανον καὶ χ. ὑπάρχοντα Leo, Vat. Cont. — 7. τ. λ. μὴ σ. Vat. Cont. — 8. ἀ. θ. Vat. Cont. — * ἀγαπᾷν. — ** τε Vat. post ἐστι Cont. cf. 1 Io. IV. 8. — 11. τοῦ Sym. — ἐκχεομένων Leo. — 12. καθ. cod. — 13. τῶν ἀναιτίων vel ἀνοσίους? — 14. ἡμῶν χ. εἰρ. ed. ἡ. τῶν χ. ἐ. Vat. Cont. — 15. ὢν καὶ ἀ. Leo, Sym. Vat. Cont. — 16. δεξιὰς Leo, Sym. Vat. Cont. — *** κρίσιν καὶ Vat. Cont. — 18. καὶ σ. μὲν ὑπάρχων ἀ. δὲ εἰς κ. διαλυόμενος Sym. — 20. σβέσει Vat. — 22. ἐρᾷς, ἐγώ σε κ. τούτου ἐ. Sym. — 24. σου om. Leo, Sym. Vat. Cont.

παύσωνταί ποτε τῶν συμφορῶν καὶ στήσωνται τοῦ χριστιανοὺς ἀναιρεῖν· οὐ θέμις γὰρ αὐτοῖς αἴρειν ὅπλα καθ' ὁμοπίστων». Τοσαῦτα οὖν εἰπὼν ὁ βασιλεὺς ἐσίγησεν. Αἰδεσθεὶς οὖν ὁ Συμεὼν τὴν τούτου ταπείνωσιν καὶ τοὺς λόγους (αὐτοῦ) κατένευσε τὴν εἰρήνην ποιήσασθαι. Ἀσπασάμενοι οὖν ἀλλήλους διεχωρίσθησαν, δώροις μεγαλοπρεπέσι τοῦ βασιλέως δεξιωσαμένου τὸν Συμεών.

(22) Ὃ δὲ τότε συμβέβηκε, διηγήσομαι τεράστιόν τι καὶ τοῖς τὰ τοιαῦτα συγκρίνειν εἰδόσι παράδοξον· Δύο φασὶν ἀετοὺς, τῶν βασιλέων ὁμιλούντων, ἄνωθεν αὐτῶν ὑπερπτῆναι, κλάγξαι τε καὶ πρὸς ἀλλήλους συμμίξαι καὶ παραυτίκα διαζευχθῆναι ἀλλήλων, καὶ τὸν μὲν ἐπὶ τὴν πόλιν ἐλθεῖν, τὸν δὲ ἐπὶ τὴν Θράκην διαπτῆναι. Τοῦτο οἱ ἀκριβῶς τὰ τοιαῦτα σκοποῦντες οὐ καλὸν ἔκριναν οἰωνόν· ἀσυμβάτους γὰρ ἐπὶ εἰρήνην ἀμφοτέρους διαλυθήσεσθαι ἔφασαν. Συμεὼν δὲ τὸ αὐτοῦ στρατόπεδον καταλαβὼν τοῖς ἑαυτοῦ μεγιστᾶσι τὴν τοῦ βασιλέως ἀπήγγειλε σύνεσιν καὶ ταπείνωσιν (ἐξεθείαζέ τε αὐτοῦ τὸ ' εἶδος τήν τε ῥώμην καὶ τὸ ἀκατάπληκτον τοῦ φρονήματος).

(23) Δεκεμβρίῳ δὲ μηνὶ κε' ἔστεψε Ῥωμανὸς τοὺς υἱοὺς αὐτοῦ ἐν τῇ '' μεγάλῃ ἐκκλησίᾳ, Στεφανόν τε καὶ Κωνσταντῖνον· ἀλλὰ καὶ Θεοφύλακτον εὐνοῦχον, υἱὸν αὐτοῦ, ὁ πατριάρχης Νικόλαος ἀπέκειρε κληρικὸν, χειροτονήσας ὑποδιάκονον σύγκελλόν τε προχειρισάμενος, διελθόντα πρότερον ἐν τῷ τῶν ὑποδιακόνων τάγματι εἰς τὰ ἅγια.

925 (24) Ἀπριλλίῳ δὲ μηνὶ ιθ''' ἐτίμησε Ῥωμανὸς Ἰωάν-

---

1. παύσονται τοὺς ed. π. π. τῶν Vat. — στ. τὸ χ. Sym. στήσονται τοῦ χ. Vat.— 2. οὐ γὰρ θ. Sym.—αὐτοὺς Leo, Vat. Cont. — 3. Τ. ὁ β. εἰπὼν ἐσ. Sym. 30.— Ὁ δὲ Σ. ἀ. Sym.— 5. αὐτοῦ om. Sym.— ἐπεν. Leo. — 6. καὶ διαχωρισθέντες Sym. — 8. τ. τε ὂν καὶ Sym. 30. — 9. ἐ. σ. Vat. Cont. — 11. ἦξαί Leo. — 13. διελθεῖν ed. — Τ. ἀκ. οἱ τὰ Sym. Τ. οἱ ἀκ. Vat. Cont. — 15. τῇ εἰρήνῃ Vat. Cont. Sym. — 16. ἔφησαν Sym. Vat. Cont. — 18. ἐξ. — φρον. om. Leo. — ' τε Vat. Cont. — 20. Μ. Δ. Sym. 31. — '' τοῦ θῦ Leo. — 21. Στ. καὶ Κ. τὸν δὲ Sym. — 22. Θ. τὸν ὖν Leo, Sym. ἀ. εὐνοῦχον ὄντα ἐποίησε κληρικὸν ὁ Ν. καὶ σ. π. χειροτονεῖ δὲ ὑποδιάκονον Sym. — 26. κθ' Leo. — ''' τοῦ μηνὸς Vat. Cont.

νην μυστικὸν καὶ παραδυναστεύοντα, πατρίκιον καὶ ἀνθύπατον, ὥστε δι' αὐτὸ τοῦτο φθόνον κινηθῆναι αὐτῷ καὶ κατηγορηθῆναι αὐτὸν ὑπό τινων.

(25) Μαΐῳ δὲ μηνὶ ιε', ἰνδικτιῶνος ιγ', τελευτᾷ τὸν βίον ὁ πατριάρχης Νικόλαος, κρατήσας ἐν τῇ β' αὐτοῦ ἀναβάσει τοῦ πατριαρχείου ἔτη ιγ'· καὶ ἀπετέθη τὸ σῶμα αὐτοῦ ἐν τῇ ὑπ' αὐτοῦ κτισθείσῃ μονῇ τῶν Γαλακρηνῶν. Αὐγούστῳ δὲ μηνὶ πατριάρχης καθίσταται Στέφανος Ἀμασίας μητροπολίτης, εὐνοῦχος ὑπάρχων.

(26) Ὀκτωβρίῳ δὲ μηνὶ κα(201ᵃ)τηγορήθη ὁ μυστικὸς Ἰωάννης καὶ παραδυναστεύων ὡς τῆς βασιλείας ἐφιέμενος ὑποθήκη τοῦ πατρικίου Κοσμᾶ καὶ λογοθέτου τοῦ δρόμου διδόντος εἰς γυναῖκα τὴν θυγατέρα αὐτῷ. Τούτου ἕνεκεν καταβιβάζεται μὲν τοῦ παλατίου, συγχωρεῖται δὲ προέρχεσθαι καὶ τῷ βασιλεῖ ἐξυπηρετεῖν καὶ σὺν αὐτῷ τὰ ἀνήκοντα διοικεῖν· στοργὴν γὰρ ὅτι πλείστην ἐκέκτητο πρὸς αὐτὸν ὁ βασιλεὺς Ῥωμανός, ὡς ἐν πᾶσιν αὐτὸν θεραπεύειν δυνάμενον, καὶ τελείως τοῦτον ἀπώσασθαι οὐκ ἐβούλετο. Τῶν κατηγόρων οὖν κατεπειγόντων τὸν βασιλέα καὶ σαφῆ (αὐτῷ) ἀποδεικνύντων τὰ κατηγορημένα, ἐρευνήσας ὁ βασιλεὺς καὶ ἀληθῆ ταῦτα εἶναι μαθών, ἔμελλε τοῦτον κατασχὼν ἀνετάζειν. Ὁ δὲ τοῦτο προγνοὺς χρῆται φυγῇ καὶ τὴν Μονοκάστανον λεγομένην καταλαβὼν ἀποκείρεται μοναχός. Πέφευγε δὲ καὶ Κωνσταντῖνος ὁ τοῦ Βοήλα ὁ τῆς τραπέζης, οἰκεῖος καὶ φίλος ὢν αὐτῷ, καὶ τὸν Ὄλυμπον καταλαβών, τὸ μοναχικὸν (καὶ αὐτὸς) σχῆμα ἐνδύεται· ἐδεδοίκει

---

4. Τῇ δὲ ιε' τοῦ Μαΐου μηνὸς, ἰνδ. γ' τ. ὁ π. N. Sym. 32. — 6. καὶ θάπτεται ἐν τῇ μ. ἀ. τῶν Γ. τῷ δὲ Ἀ. μ. Στ. ὁ Ἀ. ἐ. ὧν γίνεται π. Sym. — 7. Αὐγ. — ὑπάρχων om. Vat. — Ἰω. δὲ ὁ μ. καὶ π. ἐπεὶ κατὰ τοῦ βασιλέως φρονεῖν ἠλέγχθη φυγῇ χρησάμενος ἐν τῇ τῆς Μ. ἀπ. μ. Sym. 32. — κατηγορηθ. cod. κατηγορηθεὶς ed. — 12. κ. λ. τ. δ. K. Leo. — 15. προσερχ. Leo. Vat. Cont. — ὑπηρ. Leo. — 16. τὸ ἀνῆκον ed. — ἐ. ὁ β. π. ἀ. Leo. — 19. αὐτῷ om. Vat. Cont. ed. — 10. κατηγορούμενα Vat. Cont. — 21. ἀναμ. Vat. Cont. — 22. λ. M. Leo. — 24. K. δὲ ὁ τοῦ B. ἐν τῷ Ὀλύμπῳ ἀποκείρεται Sym. — K. τοῦ B. Vat. Cont. — Βοΐλα ed. Vat. Cont. Sym. — 26. καὶ ἀ. om. Vat. Cont. Leo.

γὰρ καὶ αὐτὸς ἅτε συμμύστης ὑπάρχων τοῦ μυστικοῦ καὶ τῶν ἀπορρήτοτέρων αὐτοῦ κοινωνός. (Τὸν δὲ πατρίκιον Κοσμᾶν ἐν τῷ ὡρολογίῳ τοῦ παλατίου τύψας ὁ βασιλεὺς διεδέξατο)· προβάλλεται δὲ ἀντὶ τοῦ μυστικοῦ Ἰωάννου Θεοφάνην* παραδυναστεύοντα.

(27) Ἐγένετο δὲ τὸ τηνικαῦτα καὶ σεισμὸς φοβερὸς ἐν τῷ τῶν Θρᾳκησίων ϑέματι καὶ χάσμα μέγα καὶ καταπληκτικὸν, ὥστε πολλὰ χωρία καὶ ἐκκλησίας** καταποϑῆναι.

927 (28) Μαΐῳ δὲ μηνὶ κζ', ἰνδικτιῶνος ιε'*** Συμεὼν (ὁ) ἄρχων Βουλγαρίας ἐτελεύτησε, Πέτρον**** υἱὸν αὐτοῦ προβαλόμενος ἄρχοντα, ὃν ἐκ τῆς δευτέρας αὐτοῦ ἔσχε γυναικὸς, τῆς ἀδελφῆς Γεωργίου (τοῦ) Σουρσουβούλη, ὃν καὶ ἐπίτροπον τοῖς ἑαυτοῦ παισὶν ὁ Συμεὼν καταλέλοιπε. Μιχαὴλ δὲ ἐκ τῆς προτέρας αὐτοῦ γενόμενον γυναικὸς ἀπέκειρε μοναχόν. Ἰωάννης δὲ καὶ Βενιαμὴν, οἱ τοῦ Πέτρου ἀδελφοὶ, ἔτι στολῇ ἐκοσμοῦντο Βουλγαρικῇ.

(29) Τὰ κύκλῳ οὖν ἔϑνη τὴν τοῦ Συμεὼν μαϑόντα τελευτὴν, οἵτε Χρωβάτοι***** καὶ οἱ λοιποὶ ἐκστρατεύειν κατὰ Βουλγάρων ἐβουλεύοντο· λιμοῦ δὲ σὺν ἀκρίσι τὸ Βουλγαρικὸν ἔϑνος ἰσχυρῶς ἐκπιέζοντος, ἐδεδίεσαν μὲν καὶ τῶν ἄλλων ἐϑνῶν τὴν ἔφοδον, ἐδεδίεσαν δὲ πλέον****** τὴν τῶν Ῥωμαίων

---

1. τυγχάνων Leo, Vat. — 2. Τὸν — διεδέξατι om. Sym. — 4. πρ. δὲ ὁ βασιλεὺς Ῥωμανὸς Θεοφ. Sym. — * πρωτοβεστιάριον καὶ Leo. πρ. Sym Vat. Cont. — 6. Γίνεται δὲ τότε σ. Sym. 32. Ἐ. δὲ τὴν. καὶ σ. ed. — 7. Θρᾳκῶων Leo. — χάσματι Vat. 3. ante τῶν Θρ. Cont. — χ. γῆς μ. κατ. ed. χ. γῆς μ. καὶ κατ. Leo, Sym. — ** αὐτάνδρους Leo, Sym. Vat. Cont. — 8. καταπτωϑῆναι Sym. — 9. Περὶ Συμεὼν Βουλγάρου καὶ τῆς ὑπὸ τῶν Χρωβάτων ἥττης αὐτοῦ καὶ τοῦ ϑανάτου αὐτοῦ. M. δὲ μ. εἰκάδι ἑβδόμῃ, πεντεκαιδεκάτῃ ἰνδικτιῶνι Vat. — *** Ἰω. ὁ ἀστρονόμος εἶπε Ῥωμανῷ κτλ. — εἰς Βουλγαρίαν ἐτ. Sym, 33. — ὁ om. Vat. Cont. — 10. ἐτελεύτα Leo. κατὰ Χρωβάτων κενίνηκε (ἐκίνησε Cont.) στράτευμα καὶ συμβαλὼν μετ' αὐτῶν πόλεμον, ἡττηϑεὶς τοὺς ὑπ' αὐτὸν (αὐτῶν Vat.) ἅπαντας ἄρδην ἀπώλεσεν. (Cont. 20. Ἐντεῦϑεν ἀνοίᾳ συσχεϑεὶς καὶ νόσῳ κατακαρδίᾳ ἁλοὺς διέφϑαρτο ἀνομήσας διὰ κενῆς Vat. — **** τὸν Sym. — 11. γ. ἐ. Vat. γ. εἶχε, M. δὲ τὸν Sym. — 12. τοῦ om. Vat. Cont.— Σουρσούβουλ. cod. — 15. ἀδ. ἐπιστολὴν ἐκομίσαντο Βολγαρικὴν Sym? — 17. μαϑόντες ed. Sym. 32. — 18. Χορεβάτοι cod. Χροβάτοι Sym. — ***** Τοῦρκοι Vat. οἱ T. Cont. — κατὰ B. κινεῖν ἐβούλοντο Sym. — 19. λ. δὲ μεγίστου σὺν ἀκρίδι Vat. Cont. λ. δὲ μεγίστου μετὰ καὶ ἀκρίδων τὴν Βουλγαρίαν ἐκπ. ἐδ. καὶ μᾶλλον τὴν Sym. — 20. καὶ τὴν τῶν ἀ. ἐ. ἐφ. Vat. καὶ τῶν ἀ. ἐ. ἐφ. Cont. — ****** καὶ ed. Vat. Cont. — 21. ἐπ. ὅϑεν καὶ κατὰ Ῥωμανίαν ἐ.

ἐπέλευσιν· βουλὴν οὖν ποιησάμενοι κατὰ Ῥωμαίων ἐκστρατεύουσι καὶ ἐν Μακεδονίᾳ καταλαμβάνουσι, φόβον, ὡς εἰκός, τοῖς Ῥωμαίοις ἐμποιήσοντες· ἔπειτα μαθόντες ὅτι μέλλει κατ' αὐτῶν ὁ βασιλεὺς ἐκστρατεύειν, ἀποστέλλουσι Πέτρος* καὶ Γεώργιος κρυφίως τινὰ μοναχὸν Καλοκύρην ὀνομαζόμενον τῷ γένει Ἀρμενιακὸν, χρυσοβούλλιον ἐπιφερόμενον· διηγόρευε [δὲ] τὰ ἐν αὐτῷ ὡς τὴν μετὰ (τῶν) Ῥωμαίων εἰρήνην ἀσπάζονται καὶ πρόθυμοι ταύτῃ συνθέσθαι εἰσίν· οὐ μόνον δὲ, ἀλλ', εἴγε βούλονται, καὶ γαμικὸν ποιῆσαι συνάλλαγμα.

(30) Τὸν τοιοῦτον** μοναχὸν ὁ βασιλεὺς ἀποδεξάμενος ἀσμενέστατα, παρευθὺ ἀπέστειλε μετὰ δρόμωνος (ἐν Μεσημβρίᾳ) τὸν μοναχὸν Θεοδόσιον τὸν Ἀβούκην καὶ Βασίλειον τὸν Ῥόδιον, τὰ εἰς εἰρήνην συλλαλῆσαι τοῖς Βουλγάροις***. Οἱ δὲ παραγενόμενοι καὶ τὰ εἰκότα συλλαλήσαντες ἐξῆλθον ἅμα Στεφάνῳ Βουλγάρῳ διὰ**** ξηρᾶς. Ὄπισθε δὲ αὐτῶν κατέλαβε καὶ Γεώργιος***** Σουρσούβουλος. Καὶ παραγενόμενοι ἐν Κ. Π. τὴν εἰρήνην ἐσπείσαντο καὶ συνάλλαγμα μετὰ τοῦ βασιλέως ποιῆσαι ἠτήσαντο· θεασάμενοι δὲ τὴν θυγατέρα Χριστοφόρου βασιλέως Μαρίαν καὶ με-

καὶ τῇ Μ. καταλυμαίνονται. Οἱ δὲ Βούλγαροι τὴν πρὸς αὐτοὺς ἐξέλευσιν τοῦ βασιλέως ἀκούσαντες Sym.

3. ἐμποιήσαντες Vat. — 4. ἐκστρ. ὁ β. ed. ὁ β. Ῥωμανὸς ἐκστρ. Leo, Vat. Cont. — περὶ εἰρήνης φροντίζουσι καὶ ἀπ. μ. τινὰ Sym, ceteris omissis. — * τε ed. Leo, Vat. om. (Πέτρον τε καὶ Γεώργιον?) — 7. τῶν om. Vat. Cont Leo. ed. — 8. βούλονται Vat. Cont. — 11. Ὃς παρὰ τοῦ βασιλέως ἀ. δεχθεὶς τὴν εἰρήνην ἐβεβαίωσε καὶ συνάλλαγμα μετὰ τοῦ βασιλέως ποιῆσαι αἰτεῖται Sym. 34. — ** οὖν ed. Leo. — ἀσ. ἀπ. Vat. Cont. — 12. ἐν M. om. Vat. Cont. καὶ Βασιλ. τὸν Ῥόδιον cod. — 13. Θεόδωρον Leo. — καὶ Κωνσταντῖνον βασιλικὸν κληρικὸν τὸν Ῥ. Cont. ed. καὶ β. κλ. τὸν Ῥ. Vat. Leo. — 14. Ῥ. τὴν εἰρήνην Leo. — *** ἐν Μεσημβρίᾳ, τὸ πρὶν μὲν Μενεβρίᾳ καλουμένῃ ἀπὸ Μένου, Θρᾳκὸς τοῦ ταύτην οἰκίσαντος καὶ Βρία τὸ παρά τισι Θρᾳκῶν πόλισμα λεγόμενον πρὸς δὲ τὸ εὐφραδέστερον Μεσημβρία νῦν ὀνομάζεται Vat. = Cont.— **** τῆς Leo, Vat. Cont.— 17. κατέλαβ. cod. κατέλαβον Vat. Cont. — ***** ὁ ed. Leo, Vat. Cont. — Σουρσουβούλης καὶ Συμεὼν ὁ Καλουτερκάνος καὶ Οὐσάμψις καὶ Συμεὼν τοῦ ἀρχηγοῦ Βουλγαρίας ἀδελφὸς πρὸς γυναῖκα, πρὸς τούτοις καὶ ὁ ἀγχιστεὺς αὐτοῦ Στέφανος καὶ μὲν καὶ Μαγοτῖνος, Κρόνος τε καὶ Μηνικὸς διεκρατύναντο πρὸς τὸν ἄνακτα Ῥωμανόν· θεασ. Vat. Cont. — 18. ἐποιήσαντο ed. — Σύμφωνά τε ποιήσαντες εἰς τὸ δοῦναι αὐτῷ Πέτρῳ τὴν θυγατέρα Χ. τοῦ β. Μ. γράφουσι τῷ Π. ἐλθεῖν Sym. Περὶ τῆς

γάλως ἐπ' αὐτῇ ἀρεσθέντες (ἔγραψαν τῷ Πέτρῳ) διὰ τάχους παραγενέσθαι, σύμφωνα ποιήσαντες πρότερον περὶ τῆς γεγονυίας εἰρήνης.

(31) Ἀπεσταλη δὲ Νικήτας μάγιστρος, ὁ συμπενθερὸς Ῥωμανοῦ * βασιλέως, ὑπαντῆσαι καὶ ἀγαγεῖν Πέτρον μέχρι τῆς πόλεως. Τοῦ Βουλγάρου οὖν Πέτρου καταλαβόντος, τριήρους ὁ βασιλεὺς Ῥωμανὸς (201[b]) ἐπιβὰς ἐν Βλαχέρναις παρεγένετο καὶ τὸν Πέτρον ὡς ἑαυτὸν ἀφικόμενον ἐθεάσατό τε καὶ κατησπάσατο. Ἐπεὶ δὲ ἀλλήλοις τὰ εἰκότα συνωμίλησαν, ὑπογράφονται τά τε σύμφωνα τῆς εἰρήνης καὶ τὰ γαμικὰ συναλλάγματα, μεσολαβοῦντος ἐν τούτοις (καὶ συνεχῶς διευθετοῦντος τὰ μεταξὺ Ῥωμαίων τε καὶ Βουλγάρων) τοῦ πρωτοβεστιαρίου Θεοφάνους.

(32) Η' δὲ τοῦ Ὀκτωβρίου μηνὸς ἐξῆλθεν ὁ πατριάρχης Στέφανος ἅμα Θεοφάνει πρωτοβεστιαρίῳ καὶ Μαρίᾳ τῇ τοῦ ** Χριστοφόρου θυγατρὶ καὶ πάσῃ τῇ συγκλήτῳ εἰς τὸν ναὸν τῆς ὑπεραγίας Θεοτόκου τὸν τῆς Πηγῆς καὶ εὐλόγησαν Πέτρον *** καὶ Μαρίαν καὶ τοὺς νυμφικοὺς στεφάνους ταῖς αὐτῶν ἐπέθηκαν κεφαλαῖς, παρανυμφευόντων Θεοφάνους πρωτοβεστιαρίου καὶ Γεωργίου Σουρσουβούλου, λαμπρᾶς **** καὶ πολυτελοῦς γεγονυίας τραπέζης καὶ πάντων τῶν εἰθισμένων τοῖς γάμοις φαιδρῶς ἐπιτελεσθέντων, εἰσῆλθε Θεο-

---

γενομένης πρὸς Βουλγάρους εἰρήνης καὶ τῆς γαμελίου συναλλαγῆς Vat. — 19. X. M. ed .β. X. Vat. β. M. Sym.

1. ἐγ. τῷ Π. om. Vat. — 4. Ἀποστέλλεται οὖν N. Sym. 34. — * τοῦ Sym. — 5. ὑπ. αὐτῷ καὶ ἀγ. μ. τῆς π. Καὶ ἐλθόντες ἐν Βλ. ὁ β. κατελθὼν κατ. αὐτὸν Sym. — 6. τριήρει Leo, Cont. — 9. Καὶ τὰ εἰκότα συνομιλήσαντες ὑπέγραψαν τά τε σ. Sym. Ἐπὶ δὲ ἀλλήλων Vat. γράφοντες τὰ συμφ. Leo. — 11. γ. ἀλλ. Leo. reliquis omissis. — καὶ σ. — Βουλγάρων om. Sym. — 12. διευθετύνοντος Vat. διευθύνοντος Cont. — 13. Θεοδώρου P. et cod. Θεοφάνους ed. Sym. — 14. Τῇ δὲ ἡ Sym. 34. — ἐξῆλθ. cod. ἐξῆλθον? στέφεται Πέτρος καὶ Μ. ἐν τῷ ναῷ τῆς ὑπ. Θ. τῶν Π. παρὰ Στ. π. Sym. — 15. Θεοφὶν. cod. — ** βασιλέως Leo, Vat. Cont. — 17. εὐλόγησεν — ἐπέθηκεν Vat. Cont. Leo. — *** τε ed. Leo, Vat. Cont. — 19. παρανυμφευόντ. cod. — 20. Σουρσούβουλ. cod. Σουρσούβελ. Vat. Σουρσουβούλη Cont.— **** δὲ ed. Leo, Vat. Cont. — 21. γενομένης Leo. — Πάντων δὲ τῶν ἐ. φ. τελ. Sym. omissis reliquis usque ad §. 33.

φάνης πρωτοβεστιάριος ἅμα Μαρίᾳ τῇ θυγατρὶ τοῦ βασιλέως Χριστοφόρου ἐν τῇ πόλει.

(33) Τῇ γ' δὲ τοῦ γάμου ἡμέρᾳ ἐποίησεν ὁ βασιλεὺς Ῥωμανὸς εὐωχίαν λαμπρὰν ἐν τῇ τῶν Πηγῶν ἀποβάθρᾳ τοῦ βασιλικοῦ δρόμωνος, περικοσμήσας αὐτὴν ὑφάσμασι σηρικοῖς, ἔνθα συνειστιάθη Ῥωμανὸς ὁ βασιλεύς, Πέτρος Βούλγαρος ἅμα Κωνσταντίνῳ γαμβρῷ καὶ Χριστοφόρῳ υἱῷ. Τῶν δὲ Βουλγάρων ἔνστασιν οὐ μικρὰν ποιησαμένων πρότερον εὐφημισθῆναι Χριστοφόρον, εἶθ' οὕτως * Κωνσταντῖνον, ὕπειξε τῇ ἐνστάσει τούτων ὁ βασιλεὺς Ῥωμανὸς καὶ γέγονε ὅπερ ἠτήσαντο.

(34) Ἐπειδὴ δὲ πάντα τὰ ἐπὶ τοῖς γάμοις συνετελέσθησαν, ἔμελλε δὲ ** Μαρία ἤδη τὴν πρὸς Βουλγαρίαν σὺν τῷ ἀνδρὶ (αὐτῆς) Πέτρῳ (ὁδὸν) ὁδεύειν, οἱ ταύτης γονεῖς μέχρι τοῦ Ἑβδόμου συνεξῆλθον αὐτῇ ἅμα Θεοφάνει πρωτοβεστιαρίῳ καὶ συνεστιασθέντες ἐκεῖσε Πέτρῳ, ἐπειδὴ ἀπαίρειν ἔμελλεν, περιχυθέντες τῇ θυγατρὶ καὶ πολλὰ καταχέαντες δάκρυα καὶ ὅσα εἰκὸς ἐπὶ στερήσει σπλάγχνου περιποθήτου τόν τε αὐτῶν γαμβρὸν ἀσπασάμενοι καὶ ταύτην ταῖς αὐτοῦ χερσὶ παραθέμενοι, ἐν τοῖς βασιλείοις ὑπέστρεψαν. Μαρία δὲ Βουλγαρικαῖς παραδοθεῖσα χερσὶ τὴν ἐπὶ Βουλγαρίαν ἀπῄει, χαίρουσά τε ἅμα καὶ λυπουμένη, λυπουμένη μὲν ἐφ' οἷς γονέων φιλτάτων ἐστέρηται καὶ βασιλείων οἴκων καὶ συνηθείας τῶν γένει προσηκόντων, χαίρουσα δὲ ὡς βασιλεῖ προσηρμόσθη ἀν-

---

3. τῇ δ' δὲ ed. τῇ δὲ γ' Leo, om. Sym. — 5. τοῦ β. δρ. ἑστηκότος ἔνθα Vat. π. ἀ. ὑφ. σ. παρ' αὐτῇ τῇ ἀποβάθρᾳ τοῦ β. δ. ἑστ. ἔνθα Cont. — 6. συνεστιάθ. cod. συνέστη Cont. — Ῥ. Πέτρῳ Βουλγάρῳ Vat. Cont. — 7. Οἱ Βούλγαροι ἐ. οὐ μ. ἐ.— ποιήσαντο τοὺ πρ. Sym. — 8. εὐφημεῖσθαι Leo, Sym. — 9. εἶτα Κ. ὃ καὶ ἐπένευσεν ὁ β. Sym. — * τὸν Vat. Cont. — 10. Ῥ. ὁ β. Vat. Cont. — 12. Καὶ μετ' ὀλίγας ἡμέρας λαμβάνει τὴν ἰδίαν γυναῖκα Μ. ὁ Π. καὶ ἐπὶ Β. πορεύεται Sym. 34. — π. ἐν τοῖς γ. Leo, τὰ ἐν γ. Vat. Cont. — 13. καὶ ἐμ. Leo. — ** ἡ Vat. Cont. — 14. αὐτῆς et ὁδὸν om. Vat. Cont. — 16. ἐμ. ἀπ. ed. ἀπ. ἔμελλ. cod. — περιχυθέντων τῇ θ. λαὶ π. κατέχεαν τὰ Leo. — 17. ὡς Leo. — 18. πεποθημένου Leo. — 19. τούτου Leo, Vat. Cont. — περιθ. Vat. Leo. — 20. ὑπέστρε. cod. ὑπέστρεψε Vat. — 22. ἐν Vat. Cont. sed infra ἐφ'. — 23. τῷ γ. cod. ι subscr. pro ν. — 24. προσοικαμύντων ed. — 24. προστρμόστο Vat. Cont.

δρὶ καὶ δέσποινα Βουλγάρων προσηγορεύθη· ἀπῆει τοίνυν πλοῦτον ἐπικομιζομένη λαμπρὸν καὶ παντοδαπῆ καὶ ἀποσκευὴν ἀναρίθμητον.

928 (35) Τότε δὲ καὶ πρέσβεις πρὸς τὸν βασιλέα Ῥωμανὸν ἐκ * Μελιτινῆς παρεγένοντο, εἰρηνικὰς σπονδὰς ἐπὶ τοῖς ποιῆσαι πάκτα παρέχοντες· μετ' οὐ πολὺ δὲ καὶ Ἀπόχαψ ὁ τοῦ ἄμερ ἔκγονος, ἀμηρᾶς ὢν Μελιτινῆς καὶ ** Ἀπολασάτ, στρατηγὸς εὐγενέστατός τε καὶ πλούσιος ὤν, ἐκ Μελιτινῆς παρεγένοντο. Ἀποδεχθέντες οὖν μεγάλως μετὰ τῆς προσηκούσης τιμῆς παρὰ Ῥωμανοῦ καὶ σύμφωνα εἰρήνης ποιήσαντες, ὑπέστρεψαν εἰς τὰ ἴδια· ἔκτοτε δὲ συνεξεστράτευον τοῖς Ῥωμαίοις κατὰ τῶν ὁμοφύλων Ἀγαρηνῶν, ἔν τε τοῖς ἐπινικίοις συνεισήρχοντο τοῖς Ῥωμαίοις ἐν τῇ πόλει, αἰχμαλώτους ἄγοντες Ἀγαρηνούς, ὅπερ ἦν θαυμαστὸν καὶ παράδοξον καὶ δεῖγμα τῆς τῶν ἀθέων Ἀγαρηνῶν δυστυχίας. Τελευτήσαντος δὲ τοῦ Ἀπόχαψ, ἀνδρὸς φρονίμου καὶ συνετοῦ (καὶ δυνατοῦ), διέλυσαν τὴν εἰρήνην οἱ τὴν Μελιτινὴν κατοικοῦντες· ἐκ-(202ᵃ) στρατεύουσιν οὖν κατ' αὐτῶν *** ὅ τε δομέστικος τῶν σχολῶν Ἰωάννης ὁ Κροκέας μετὰ **** τῶν θεμάτων καὶ τῶν ταγμάτων καὶ ὁ Μελίας μετὰ τῶν Ἀρμενίων καὶ πολλὰς προνομὰς καθ' ἑκάστην ποιούμενοι καὶ ταῖς συνεχέσιν ἐπιδρομαῖς αἰχμαλωτίζοντες τούτους καὶ ληίζοντες, εἰς τοσαύτην στένωσιν τὴν Μελιτινὴν περιέστησαν, ὥστε αὐτὴν συντομώτατα ἐκπορθῆσαι καὶ

---

1. Βουλγρ. προσηγορεύθ. cod. — κομ. παντοδαπῆ καὶ ἀπ. Vat. Cont. — 2. σκευὴν ed. — 4. Ἔρχονται π. ἀπὸ Μ. καὶ μετ' αὐτῶν καὶ ὁ στρ. αὐτῶν Ἀπ. Sym. 25. — * τῆς Leo, Vat. — 5. εἰρήνης Vat. — ποιῆσαι Leo, π. ἐπὶ τῷ π. π. Vat. — 6. παρέχειν cod. Vat. — 7. ἔγγονος ed. Vat. — ἀμ. τῆς Leo. — ** ὁ Leo. — 8. ἐ. καὶ πλ. ὢν ed. Leo, Vat. ἐ. ὢν καὶ πλ. Cont. — 9. Καὶ ὑποδ. παρὰ Ῥ. μ. τῆς πρ. τ. σ. τε ἐ. Sym. — 11. πρὸς Leo. — Καὶ ἔκτοτε συνεστρατεύοντο Ῥ. Sym. — 12. Σαρακηνῶν καὶ ἐν τοῖς Sym. — 13. συνεξήρχοντο cod. συνηρχ. Syn. — 14. καὶ π. δ. ed. — 15. Ὅπως κατέστη τὴν Μελιτηνὴν Κουρκούας ὁ τῶν σχολῶν δομέστικος Vat. Τ. δὲ Ἀπολάσαθ. Sym. — 16. καὶ δ. om. Leo, Sym. — 17. ἐκ. δὲ κατ' Leo, ἐκστρατεύσαντες οὖν κατ' Sym. — *** πάλιν ed. Vat. Cont. — Ἰω. post K. Cont. — 19. Κουρκούας Vat. Cont. Sym. Leo. — **** καὶ Leo. — καὶ τ. Sym. Vat. Cont. om. Leo. — 20. Μηλίας ed. καὶ Μελίας Sym. — Ἀρμ. οἵ καὶ εἰς Sym. — 22. ληίζομενοι Vat. Cont. — 23. παρέστησαν Leo, κατεστ. καὶ τὰ περὶ αὐτὴν, ὡς καὶ κουρ. ποιῆσαι ταύτην τὸν βασιλέα Sym.

ἕως ἐδάφους καταστρέψαι, οὐ μόνον δὲ ταύτην, ἀλλὰ καὶ τὰς ὁμόρους αὐτῇ πόλεις καὶ χώρας, πολυφόρους τε οὔσας καὶ πιοτάτας καὶ οἵους πολλὰς παρέχειν προσόδους. Ταύτην οὖν τὴν Μελιτινὴν εἰς κουρατωρίαν ἀποκαταστήσας ὁ βασιλεὺς πολλὰς χιλιάδας χρυσίου καὶ ἀργυρίου ἐκεῖθεν δασμοφορεῖσθαι ἐτησίως πεποίηκε.

(36) Κατηγορήθη δὲ Νικήτας* μάγιστρος καὶ πενθερὸς Χριστοφόρου βασιλέως ὡς ὑποτιθέμενος αὐτῷ κατὰ τοῦ ἰδίου γενέσθαι πατρὸς καὶ τῆς βασιλείας αὐτὸν ἐξεῶσαι. Τοῦτον οὖν ἐξαγαγόντες τῆς πόλεως ἀπέκειραν μοναχὸν, ὑπερορίσαντες (ἐν) τῷ αὐτοῦ προαστείῳ.

(37) Μηνὶ δὲ Ἰουλίῳ ιη', ἰνδικτιῶνος ς', τελευτᾷ Στέφανος πατριάρχης ποιήσας ἔτη β' (καὶ) μῆνας ια'. Δεκεμβρίῳ δὲ μηνὶ** ιδ' ἄγουσι Τρύφωνα μοναχὸν ἐν τῷ Ὀψικίῳ μονάζοντα, ἐπ' εὐλαβείᾳ καὶ ἁγιότητι μαρτυρούμενον, καὶ χειροτονοῦσι πατριάρχην ἐπὶ χρόνῳ ῥητῷ μέχρις ἂν εἰς μέτρον ἡλικίας φθάσῃ Θεοφύλακτος, ὁ τοῦ βασιλέως Ῥωμανοῦ υἱὸς, ὃν ἔμελλον πατριάρχην χειροτονεῖν Κωνσταντινουπόλεως.

(38) Κε' δὲ τοῦ αὐτοῦ μηνὸς· χειμὼν ἀφόρητος γέγονεν, ὥστε κρυσταλλωθῆναι τὴν γῆν ἐπὶ ἡμέρας ρκ', ὅθεν καὶ γέγονε*** μέγας λιμὸς (τοὺς πώποτε γενομένους ὑπερβάλλομενος) καὶ θάνατος ἐκ τοῦδε πολὺς, ὡς μὴ δύνασθαι τοὺς ζῶντας ἐκκομίζειν τοὺς τεθνεῶτας. Ὁ δὲ βασιλεὺς Ῥωμανὸς

---

1. ἐπ' ἐδ. Leo.—2. τε καὶ ὁ. π. Vat. τε καὶ π. ὁ. Cont.—3. καὶ ἄλλας π. ed. καὶ οἵας π. Vat. Cont.—5. ἐκ. λαμβάνειν ἐτησίως Sym.— 6. αἰτὴ cod.— 7. μ. ὁ π. Sym. 36.— * ὁ Leo, Vat. Cont. — 10. Τ. ἐξώρισαν τῆς π. καὶ μ. ἐποίησαν Sym. — 11. ἐν om. Vat. Cont. — 12. Τῇ ιη' τοῦ Ἰουνίου μηνὸς τῆς ς ἰνδ. Sym. 37, μ. δὲ Ἰουλίῳ ιε' ἰνδ. ς' Vat. Cont. Ced. M. δὲ Ἰουλίῳ ὀγδόῃ καὶ δεκάτῃ, ἰνδ. ἕκτης Leo. Legendum ἰνδ. α'. — Στ. ὁ π. τ. Leo. — 13. κρατήσας Sym. πατριαρχεύσας Vat. Cont. — καὶ om. Vat. Cont. — Τῇ δὲ ιδ' τοῦ Δεκεμβρίου μηνὸς ἀγ. Τ. ἀπὸ τοῦ Ὀψικίου ἐπ' Sym. — ** τῇ Vat. Cont. — 14. ἀγούσης ed. (Ven.) — 16. β. χ. ὅθεν αὐτοῦ μὴ ἀνεχομένου ἐπὶ β. χ. γενέσθαι δόλῳ πείθουσι κτλ. Sym. — 17. ὁ Ῥ. τοῦ β. Leo. — 20. Περὶ τοῦ μεγίστου χειμῶνος καὶ τοῦ καθ' ὑπερβολὴν λιμοῦ. Εἰκάδι δὲ πέμπτῃ Vat. Τῇ δὲ κε' Sym. 38. — χ. μέγας γ. Leo. — *** ὁ Vat. Cont. — 22. τοὺς — ὑπ. om. Leo, Sym. — 23. τούτου Sym. — ὥστε Leo. — 24. Ὅθεν β. Sym.

*

τὴν ἀφόρητον ἐκείνην βίαν* κατανοήσας, ἀξίαν τῆς αὐτοῦ συμπαθοῦς καὶ ἐλεήμονος φύσεως πρόνοιαν ἐποιήσατο, πολλαῖς ἐλεημοσύναις τὴν ἐκ τοῦ λιμοῦ παραμυθησάμενος ἔνδειαν, ἀνέφραξέ τε θυρίσι καὶ σανιδώμασι τὰς τῶν ἐμβόλων στοὰς, ὡς μὴ τὴν χίονα καὶ τὸ ψῦχος ἐκεῖθεν ἐπεισιέναι τοῖς πένησι. Τότε** καὶ τὰς λεγομένας ἄρκλας ἐν πᾶσι κατεσκεύασε τοῖς ἐμβόλοις, ἀργυρόν τε κατὰ μῆνα τοῖς ἐν ταύταις κατακειμένοις πένησι δίδοσθαι διετάξατο καὶ τὰ μηνιαῖα τριμίσια ἐν ταῖς ἐκκλησίαις τοῖς πένησι διανέμεσθαι, ὡς εἶναι τὰ διδόμενα τοῖς τε ἐν ταῖς ἄρκλαις πτωχοῖς καὶ τοῖς ἐν ταῖς ἐκκλησίαις ἀργύρου ἐγκεχαραγμένου χιλιάδας ιβ'. Οὐ μόνον δὲ ταῦτα ἡ συμπαθὴς ἐκείνη ψυχὴ διετυπώσατο τῶν πενήτων προνοουμένη, ἀλλὰ καὶ καθ' ἡμέραν γ' αὐτῷ συνεσθίειν πένητας διετάξατο, οἳ καὶ ἀνὰ ἓν ἐλάμβανον νόμισμα, τετράδι δὲ καὶ παρασκευῇ γ' πένητες μοναχοὶ*** συνήσθιον, τὸ τετυπωμένον λαμβάνοντες ἕκαστος νόμισμα· ὅπερ δὲ ἐν τοῖς μοναστηρίοις εἰώθει γίνεσθαι, ὥστε ἐν τῷ καιρῷ τῆς ἑστιάσεως ἀνάγνωσιν γίνεσθαι, τοῦτο καὶ αὐτὸς ἐποίει, διπλῆν ἑαυτῷ καὶ τοῖς δαιτυμόσι τὴν τράπεζαν παρατιθείς, ὥστε τὸ μὲν σῶμα τρέφεσθαι τῇ συνήθει τροφῇ, τὴν δὲ ψυχὴν τῇ καταλλήλῳ τῶν λόγων ἐπεντρυφᾶν ἡδονῇ, οἷς ἐκεῖνος**** πρσέχων τὸν νοῦν κατενύσσετο τὴν ψυχὴν καὶ πολλὰς δακρύων ἠφίει πηγάς.

---

1. ἀπόβρητον ed. — * τοῦ ψύχους Sym. — κατ. καὶ τὴν τοῦ λιμοῦ παραμ. Sym. — 2. σ. ἐλεημοσύνης πρ. ed. — δ. ὥστε Leo. — στῆθος ἐκ. Vat. — 6. Καὶ ἀ. ἐν π. τ. ἐ. κατ. ἀργύρια Sym. — ** δὲ Leo. — 7. ἄργυρ. cod. ἀργύριά Vat. Cont. ἀργύριόν Leo. — 9. τριμήσια Sym. τριμήτια Leo. — τοῖς ἐν τ. ἐ. π. δ. Leo. — ταῖς πεν. — ἐκκλ. ex homoioteleuto om. ed. — 10. διδ. καθ' ἕκαστον μῆνα ἀργυρίου Sym. — 12. ιβ', γ' δὲ ἀ. πένητες καθ' ἑκάστην συνήσθιόν λαμβάνοντες ἀνὰ ν. ἑνός Sym. — Καὶ ταῦτα Leo. — ἐκείνου ψ. διετύπωσεν Leo. αὐτοῦ ψ. διετύπωσεν Vat. Cont. — 14. οἳ ἀνὰ Vat. Cont. Leo. — 15 — 838,16 om. Ven. Τῇ δὲ δ' καὶ τῇ π. μοναχοὶ ὁμοίως λαμβάνοντες ἀνὰ νομίσματος ἑνός· ἦν δὲ καί τις τῶν παίδων ἀναγινώσκων ἐν τῇ τραπέζῃ αὐτοῦ Sym. — *** τούτῳ Leo, Vat. Cont. — 16. λ. ἕκαστον cod. ἕκαστοι λ. ν. Vat. Cont. λ. ν. ἕκαστος ed. λ. ν. Leo. — 17. εἰώθη cod. εἴωθεν Vat. Cont. Leo. — γ. ἐν τῷ κ. ἀνὰ (γινώσκειν) τῆς ἑ. Vat. Cont. — 18. ἀναγινώσκειν τῆς ἑ. Leo. — 19. τ. ἀ. Vat. Cont. — 21. τῇ δὲ ψυχῇ κατ. Vat. Cont. τὴνδὲ ψ. κατενύσσετο Leo. — **** ἐπιμελῶς ed. Vat. Cont. — 22. κατένυσσε Vat. Cont. — 23. ὑφίει Vat. Cont.

(39) Τὴν δὲ πίστιν, ἣν ἐκέκτητο πρὸς πάντας μὲν μοναχούς, μάλιστα δὲ τοὺς ἐπὶ ἁγιοσύνῃ διαβοήτους καὶ εὐλαβείᾳ, τίς ἂν διηγήσαιτο; οὐκ ἐθεάσατό γάρ ποτε μοναχὸν ἀρετῆς ἀντεχόμενον, ᾧ τινι τὰς ἑαυτοῦ πράξεις σὺν πολλοῖς οὐκ ἐξηγόρευσε δάκρυσιν. Πιστότατος δὲ ὢν καὶ ὀρθοδοξότατος, πάσας τὰς τῆς πόλεως ἐκκλησίας πέπλοις διαφανέσι καὶ φωταγωγίαις λαμπρῶς κατεκόσμει καὶ κατεφαίδρυνεν· (202[b]) ἀλλὰ καὶ τοῖς ἐν τοῖς ὄρεσι μοναχοῖς, τῷ τε Ὀλύμπῳ καὶ τῷ Κυμηνᾷ καὶ τῇ χρυσῇ καλουμένῃ πέτρᾳ καὶ τῷ τοῦ Βαραχέου ὄρει, οὐ διέλιπεν ἐτησίους ῥόγας ἐξαποστέλλων καὶ φροντίζων τούτων καὶ προνοούμενος καὶ τοὺς ὀνομαστοὺς ἐπὶ πράξει καὶ θεωρίᾳ μεταλαλούμενος εἰς αὐτὸν καὶ τῶν εὐχῶν αὐτῶν τὰς εὐλογίας τρυγῶν· οὐ μόνον δὲ, ἀλλὰ καὶ τοῖς διὰ τὸν θεὸν ἐγκλείστοις καὶ (ἑαυτοὺς) ἐν στενωτάτοις οἴκοις καθείρξασι καὶ πᾶσι τοῖς μοναστηρίοις τὰς ἐτησίους ῥόγας, ἃς διετύπωσεν, οὐ διέλιπεν ἐπιχωρηγῶν. Ταῦτα ὡς ἐκ πολλῶν ὀλίγα τῶν (ἀπείρων) αὐτοῦ κατορθωμάτων καὶ ἐλεημοσυνῶν διεξήλθομεν.

(40) Πέτρῳ δὲ τῷ Βουλγάρῳ ἐπέθετο Ἰωάννης ὁ ἀδελ- 929
φὸς αὐτοῦ μετὰ καὶ ἑτέρων μεγιστάνων τοῦ Συμεών, καὶ φωραθέντων αὐτῶν, ὁ μὲν Ἰωάννης τύπτεται καὶ ἐγκλείεται * φυλακῇ, οἱ δὲ λοιποὶ τιμωρίαις οὐ ταῖς τυχούσαις ὑποβάλλονται. Ταῦτα ** δῆλα ποιήσαντος Πέτρου τῷ βασιλεῖ Ῥωμανῷ, ἀπέστειλεν ὁ βασιλεὺς τὸν μοναχὸν Ἰωάννην, ὃς ἐγεγόνει βαίκτωρ, προφάσει μὲν ὡς ποιῆσαι *** ἀλ-

---

1. Φιλομόναχος δὲ εἰ καί τις ἄλλος ὢν πᾶσι τοῖς ἀ. ἀντεχομένοις μοναχοῖς τὰς ἐ. πρ. μετὰ δακρύων ἔλεγε, τάς τε ἐκκλ. παντοίως ἐκόσμει καὶ τοῖς ἐν πᾶσιν ὁ. μ. β. ἐξαπέστειλε, τά τε μοναστήρια περιέθαλπε καὶ τοῖς ἐν αὐτοῖς διὰ θν ἀποκαρτέρησιν ἢ καὶ ἐγκ. οὗσι β. τυπώσας οὐ δ. διδόναι κτλ. Sym. — ὅσην Vat. Cont.—4. δ. οὐκ ἐ. Vat. Cont.—7. λαμπρ. cod. λαμπραῖς?—8. ἐν ὁ. Vat. Cont. Leo. Κομηνᾷ Vat. Κομινᾷ 9. καὶ Cont.—τοῦ Vat. Cont.—Βαραχίος ed. Βαραχαίου Vat. Cont. Leo.—10. αἰτησίοις cod. ἐτησίως Vat. Cont. — ἐξαποστέλλ. cod. ἐξαποστέλλειν ed.—12. ὡς ed. Vat. Cont.—13. διὰ θν Vat. Cont. — ἐ. ἐν om. Vat. Cont. — 14. οἰκίσκοις Vat. Cont. — 16. ἀπ. om. Vat. Cont.—18. Ἐπέθεντο Π. τῷ Β. Sym. 39.—19. ἐτ. Βουλγάρων τοῦ Σ. Leo. καὶ φωραθέντες, ὁ μὲν Sym. — * ἐν τῇ Sym.—22. Τοῦτο μαθὼν ὁ βασιλεὺς ἀναλαμβάνει τὸν Ἰω. Sym. — ** δὲ Leo. Vat. Cont. — Π. π. Vat. Cont. — *** τὸ Vat. Cont.

λάγιον τῶν κρατουμένων αἰχμαλώτων, τῇ δὲ ἀληθείᾳ κατασχεῖν Ἰωάννην καὶ ἐν Κωνσταντινουπόλει ἀγαγεῖν (ὃ δὴ καὶ γέγονεν)· εἰσελθὼν γὰρ ἅμα τῷ Ἰωάννῃ ἐν * πλοίῳ ἀπὸ Μεσημβρίας, ἦλθεν ἐν τῇ πόλει· καὶ μετ' οὐ πολὺ τούτου τὸ μοναχικὸν σχῆμα ἀποῤῥίψαντος καὶ γυναῖκα ἐπιζητήσαντος, δέδωκεν αὐτῷ ὁ βασιλεὺς οἶκον καὶ κτήματα πάμπολλα καὶ γυναῖκα ἐκ τῆς αὐτοῦ πατρίδος τῆς τῶν Ἀρμενιακῶν ὁρμωμένην, γάμον τε λαμπρὸν ἐν τῇ τοῦ Καίσαρος οἰκίᾳ πεποίηκε, Χριστοφόρου βασιλέως καὶ Ἰωάννου μοναχοῦ, τοῦ γεγονότος ῥαίκτωρος, παρανυμφευσάντων **.

930 (41) Μαρτίῳ δὲ μηνὶ, ἡμέρᾳ β' κοσμίτης ἔπεσεν ἐν τῷ φόρῳ ἐκ τῶν *** στιχιδὸν ἱσταμένοις ἐκεῖσε κίοσιν (ἐπικειμένων) καὶ ἀπέκτεινεν ἄνδρας ς'. Γέγονε δὲ καὶ ἐμπρησμὸς μέγας καὶ φοβερὸς εἰς τὸν τοῦ φόρου ἔμβολον πλησίον τοῦ ναοῦ τῆς ὑπεραγίας Θεοτόκου, ὥστε καταχαῆναι τά τε κηρωλεῖα καὶ τὰ γουνάρια τοῦ φόρου μέχρι τῶν ψιχῶν.

931 (42) Ἐτελεύτησε δὲ Χριστοφόρος **** βασιλεὺς μηνὶ Αὐγούστῳ ἰνδικτιῶνος δ', πολλὰ κοψαμένου αὐτὸν τοῦ πατρὸς *****, ὡς ἤδη εἰς γῆρας αὐτοῦ ἐληλακότος καὶ τῶν υἱῶν αὐτοῦ ἔτι νηπίων ὄντων· καὶ ἐτέθη τὸ λείψανον αὐτοῦ ἐν τῇ ῥηθείσῃ μονῇ τοῦ πατρὸς αὐτοῦ.

---

1. τῇ ἀ. δὲ Vat. Cont.—Ἰω. κατ. Leo, Vat. Cont.—2. ὃ δὴ καὶ γ. om. ed. sed habet γάρ. — * τῷ Leo. — ** Ἀλλὰ καὶ Μιχαὴλ μοναχὸς, αὐτὸς ὁ ἀδελφὸς Πέτρῳ (Πέτρου Cont. 29), κατὰ σπουδὴν ἔχων τῆς Βουλγαρικῆς ἐκκλησίας ἐπιλαβέσθαι, ἰδιοστάτησεν (ἰδιοστασίασεν Cont.) ἔν τινι Βουλγαρικῷ κάστρῳ· καὶ τούτῳ προσεββύησαν οἱ τῆς Πέτρου ἀρχῆς διεστηκότες Σκύθαι· οὗ μετὰ τὴν τοῦ βίου καταστροφὴν ἐπῆλθον οὗτοι ταῖς Ῥωμαϊκαῖς χώραις, ὥστε συμβῆναι τούτους ἀπὸ Μακέτιδος διὰ Στρύμονος πρὸς Ἑλλάδα καὶ τὴν Νικόπολιν προσχωρῆσαι καὶ τὰ ἐκεῖσε πάντα λῃΐσασθαι. Νικόπολις δὲ ἐπωνόμασται κατὰ τὸ ἐπώνυμον τῆς, νίκης ἣν Αὔγουστος Σεβαστὸς κατὰ Ἀντωνίου καὶ Κλεωπάτρας εἰργάσατο καὶ τὴν Αἰγυπτίων ἀρχὴν τοῖς Ῥωμαίοις ὑπέκλινεν Vat. Cont. — 11. Μ. δὲ μ. δευτέρᾳ ἡ. Vat. Cont. Μαρτίου δὲ μηνὸς β' ἡ. Leo, τῇ β' ἡ. τοῦ Μ. μ. Sym. — κ. ὃς ἐπέμενε τῷ φ. ἐν τοῖς ἑ. κ. Leo, κοσμήτης Vat. Cont. — *** ἐν τοῖς Sym. Vat. Cont. — στιχιδ. cod. στοιχ. ed. — 12. ἱσταμ. cod. ἱσταμένων ed.— ἐπικ. om. Sym.— 13. ἐμπ. εἰς τὸν τῆς ὑπ. Θ. τοῦ φ. ἑ. καὶ ἐκάησαν τὰ κ. καὶ τὰ γ. μ. τῶν ψ. Sym. — 16. ψηχῶν Leo. — 17. Τῷ δὲ Ἀ. μ. τῆς δ' ἰνδ. τελευτᾷ Χ. ὁ β. καὶ ἐτάφη ἐν τῷ οἴκῳ τοῦ π. ἀ. Sym. 41.— **** ὁ ed. — ***** μεῖζον ἢ Αἰγυπτίους Vat. μ. ἢ κατ' Ἀ. Cont. — 20. τὸ σῶμα ἀ. Leo.

(43) Κατήγαγον δὲ καὶ Τρύφωνα πατριάρχην Αὐγούστῳ μηνὶ ἰνδικτιῶνος γ', τὸν βηθέντα χρόνον τελέσαντα, καὶ ἀπελθὼν ἐν τῇ ἰδίᾳ μονῇ τελευτᾷ, χηρευσάσης τῆς ἐκκλησίας χρόνον α' καὶ μηνᾶς ε' διὰ τὸ τῆς ἡλικίας ἀτελὲς Θεοφυλάκτου υἱοῦ Ῥωμανοῦ βασιλέως· αὐτὸν γὰρ, ὡς εἴρηται, ἔμελλε πατριάρχην ἀποκαθιστᾶν.

(44) Βασίλειος δέ τις Μακεδὼν πλάνος Κωνσταντῖνον Δοῦκα ἑαυτὸν εἶναι ἐπευφημήσας, πολλοὺς μεθ' ἑαυτοῦ συνεπήγετο. Οὗτος κρατηθεὶς ὑπὸ Ἐλεφαντίνου, τουρμάρχου ἐκ τοῦ Ὀψικίου ὄντος, ἤχθη ἐν Κωνσταντινουπόλει καὶ ὑπὸ Πέτρου ἐπάρχου τῆς μιᾶς ἀλλοτριοῦται χειρός· εἶτα καιροῦ λαβόμενος καταλαμβάνει πάλιν τὸ Ὀψίκιον καὶ χεῖρα χαλκῆν ἀντὶ τῆς κοπείσης προσαρμοσάμενος καὶ σπάθην ὑπερμεγέθη κατασκευασάμενος διήρχετο πλανῶν (αὖθις τῶν ἀγυρτευόντων) πολλοὺς ὡς αὐτὸς εἴη Κωνσταντῖνος ὁ τοῦ Δουκὸς, (οὓς καὶ συνεφελκόμενος μεγάλην κατὰ Ῥωμανίας ἀνταρσίαν κινεῖ) καὶ φρούριον κατασχὼν ὃ πλατεῖα Πέτρα κατονομάζεται, πᾶν εἶδος ἐδωδίμων ἐν τούτῳ ἀπέθετο, ἀφ' οὗ ἐξορμῶν ἐλεηλάτει καὶ τοὺς παρατυγχάνοντας προενόμευεν. Ἀποστείλας οὖν ὁ βασιλεὺς στρατὸν κατ' αὐτοῦ, αὐτόν τε συνέλαβε καὶ τοὺς σὺν αὐτῷ, ὃν καὶ ἀγαγόντες (203ᵃ) ἐν τῇ πόλει, ἀνέκρινόν τε καὶ πολλὰς αὐτῷ πληγὰς ἐπετίθεσαν *, τοὺς στασιώτας εἴ τινες εἶεν εἰπεῖν· ὁ δὲ πολλοὺς τῶν ἐν τέλει ἐσυκοφάντει ψευδῶς ὡς συνόντας αὐτῷ, μηδὲν δὲ

---

1. Κ. δὲ καὶ τὸν π. Τ. τὸν β. χ. τ. καὶ ἐν τῇ ἰ. μ. τ. Sym. 41 cf. §. 37. — ε. τὸν β. χ. τ. ἰ. γ', triginta menses inde a 14. Dec. 928. — καὶ ἀπελθόντος Leo, χ. ἐ. χρόνου (χρόνον) Cont. ἕνα καὶ μ. ε' Vat. Cont. χηρεύει δὲ ἡ ἐκκλησία χ. α' μ. ε' κτλ. Sym. — 5. αὐτὸν — ἀπ. Sym. — 7. Περὶ Βασιλείου Μακεδόνος καὶ λαοπλάνου Vat. om. Ven. — 8. ἐπιφημίσας ed. Sym. Vat. Cont. ἐπιφημήσας cod. — συνεπείγετο cod. — 9. συσχεθεὶς Leo, Sym. σ. τῆς μ. χ. ἀ. — 11. Π. ὑπ. Cont. Leo. τοῦ ἐπ. ed. — 14. κατασκευάσας Leo, Vat. Cont. — ᾤχετο πλ. ed. — 15. ἀ. τῶν ἀγ. om. Leo, Sym. — 16. οὓς — κινεῖ om. Sym. — Ῥωμανοῦ Leo, Vat. Cont. — 17. καὶ φ. κ. ὁ πλ. π. κατ. καὶ τροφὴν πολλὴν ἀποθέμενος μ. κ. Ῥωμανίαν ἀ. κ. προνομεύων καὶ λεηλατῶν τ. π. Τοῦτον κρατήσαντες ἀνήγαγον ἐν τῇ π. καὶ ἐν τοῖς Α. ἔκαυσαν Sym. — 22. ἀνέκριναν ed. — * τοῦ ed. — 23. στρατιώτας cod. συστασιώτας Vat. Cont.

ἀληϑὲς κατ' αὐτῶν λέγειν ἐξελεγχϑείς, ἐν τοῖς Ἀμαστριανοῦ πυρὸς παρανάλωμα γίνεται.

933 (45) Χειροτονεῖται δὲ πατριάρχης ὁ πολλάκις ϐηϑεὶς τοῦ βασιλέως υἱὸς Θεοφύλακτος, Φεβρουαρίου β', ἰνδικτιῶνος ς', τοποτηρητῶν ἐκ Ῥώμης ἐλϑόντων καὶ τόμους συνοδικὸν ἐπιφερομένων περὶ τῆς αὐτοῦ χειροτονίας διαγορεύοντα, οἱ καὶ τῷ πατριαρχικῷ ϑρόνῳ τοῦτον ἐνίδρυσαν.

934 (46) Ἡ δὲ εἰρημένη τοῦ βασιλέως Ῥωμανοῦ ἐκγόνη **Μαρία**, ἡ γυνὴ Πέτρου Βουλγάρου, πολλάκις ἐν τῇ πόλει εἰσῆλϑεν, τοῦ τὸν ἴδιον πατέρα καὶ τὸν πάππον αὐτῆς ἐπισκέψασϑαι· τελευταῖον δὲ μετὰ παίδων εἰσῆλϑε γ', ἤδη τῶν πατρὸς αὐτῆς Χριστοφόρου τελευτήσαντος· πλοῦτον οὖν παρὰ τοῦ πάππου λαβοῦσα (πολὺν καὶ ἔντιμον) ἐντίμως ὑπέστρεψεν.

(47) Ῥωμανὸς δὲ ὁ βασιλεὺς τῷ υἱῷ Στεφάνῳ γυναῖκα ἠγάγετο, ϑυγατέρα οὖσαν τοῦ Γαβαλᾶ, ἐγγόνην δὲ Κατακύλα, Ἄνναν ὀνόματι· ἅμα δὲ τῷ νυμφικῷ στεφάνῳ καὶ ὁ τῆς βασιλείας αὐτῷ στέφανος ἐπετέϑη.

(48) Ἐγένετο δὲ ἐκστρατεία πρώτη τῶν Τούρκων κατὰ Ῥωμαίων ἰνδικτιῶνος ζ' Ἀπριλλίῳ μηνὶ οἳ καὶ καταδραμόντες μέχρι τῆς πόλεως ἐληΐσαντο πᾶσαν Θρᾳκῷαν ψυχήν. Ἀπεστάλη οὖν ὁ πατρίκιος Θεοφάνης ὁ πρωτοβεστιάριος καὶ παραδυναστεύων, μετ' αὐτῶν ποιῆσαι ἀλλάγιον, ὃς καὶ ϑαυμασίως καὶ συνετῶς αὐτοὺς μετελϑὼν ὅσαπερ

---

2. καταλ. Leo. — 3. Τῷ δὲ φεβρουαρίῳ μηνὶ τῆς ς' ἰνδ. τῇ ἑορτῇ τῆς ὑπαπαντῆς χ. π. ὁ β. Sym. 43. — ὁ προβδ. Leo, ὁ β. Vat. Cont. — 4. Φε. cod. Φεβρουαρίῳ Leo, Vat. φ. μηνὶ Cont. — ' τοῦ πατρῴου φρονήματος ἐφ' ἅπασιν ἐξερχόμενος ἀλλὰ καὶ τοῖς πρόσω παρεκτεινόμενος κατορϑώμασι μετὰ καὶ τῆς προσούσης ἐλλογιμότητος Vat. Cont. — 5. ἀνελϑ. Leo, Sym. Vat. Cont. — 9—14 om. Ven. Οἱ δὲ εἰρημένοι τοῦ β. ἔγγονοι Vat. Ἡ ἐ. τοῦ β. Ῥ. ἐγγ. ed. — 12. Χριστοφόρου τ. π. ἀ. Vat. — 13. π. καὶ ἐ. om. Vat. Cont. — 16. τὴν τοῦ Γαμαλᾶ ϑ. Ἀ. ἥτις ἅμα τῷ ν. στ. καὶ τὸν β. τῆς ἐπέϑετο Sym, 43. — οὖσαν Γαβριηλίου ed. — 17. ὄνομα Vat. Cont. — 18. ἐπετέϑειτο Leo, Vat. ἐπετίϑετο Cont. — 19. Μ. Ἀ. ἰνδ. ζ' γέγονε πρ. ἐ. τῶν Τ. κ. Ῥωμανίας καὶ κατατρέχουσι Sym. 44. — 19—946,9 om. Ven. — 20. ἰνδικτιῶνι ἑβδόμῃ Leo, καὶ κατατρέχουσι μ. τῆς π. καὶ λεηλατοῦσι Sym. — 21. μ. τῆς π. cod. in margine. — 22. χώραν Vat. — Ἀποστέλλεται Sym. — πρωτ. καὶ ποιεῖ καταλλαγὴν μετ' αὐτῶν Sym. — 24. αὐτοῖς Vat. Cont.

ἠβούλετο κατεπράξατο, πολλὰ παρ' αὐτῶν ἐπὶ τῇ φρονήσει καὶ εὐβουλίᾳ ἐπαινεθείς τε καὶ θαυμασθείς, ὅτε καὶ τὸ μεγαλόψυχον αὐτοῦ καὶ φιλάνθρωπον ὁ βασιλεὺς Ῥωμανὸς ἐπεδείξατο, μηδενὸς φεισάμενος χρήματος πρὸς τὴν τῶν αἰχμαλώτων ἀνάῤῥυσιν.

(49) Ἠγάγετο δὲ γυναῖκα ὁ βασιλεὺς Ῥωμανὸς τῷ τε- 941
λευταίῳ υἱῷ Κωνσταντίνῳ ἐκ γένους τῶν Ἀρμενιακῶν, τοὔνομα Ἑλένην, τοῦ πατρικίου Ἀδριανοῦ θυγατέρα, ἧς καὶ τελευτησάσης Φεβρουαρίῳ μηνὶ ἰνδικτιῶνος β' (ἑτέρᾳ τοῦτον συνέζευξε γυναικὶ ὀνόματι Θεοφανῷ ἐκ γένους τοῦ Μάμαντος * καταγομένῃ.)

(50) Ἰουνίῳ δὲ μηνὶ ια' ** κατέπλευσαν οἱ Ῥῶς *** κατὰ Κωνσταντινουπόλεως μετὰ πλοίων χιλιάδες ι' ****. Ἀπεστάλη δὲ κατ' αὐτῶν μετὰ τριήρων καὶ δρομώνων, ὅσα καὶ ἔτυχον ἐν τῇ πόλει, ὁ πατρίκιος Θεοφάνης ὁ παραδυναστεύων καὶ πρωτοβεστιάριος καὶ τόν τε στόλον προευτρεπίσας τε καὶ ἑτοιμασάμενος καὶ νηστείᾳ καὶ δάκρυσιν ἑαυτὸν κατωχυρώσας ὡς μάλιστα, τοὺς Ῥῶς προσεδέχετο, καταναυμαχῆσαι μέλλων αὐτούς. Ἐπεὶ δὲ ἐκεῖνοι κατέλαβον καὶ πλησίον τοῦ Φάρου ἐγένοντο ***** (οὗτος πρὸς τῷ τοῦ Εὐξείνου πόντου στόματι παρεδρεύων) ******, ἐν τῷ Ἱερῷ λεγομένῳ ******* ἄθρῳον τούτοις

---

1. ἐν τῇ Vat. Cont. — 6. Τῷ δὲ ιδ' τοῦ Ἰ. μ. ἡγ. Ῥ. γ. τῷ τ. υ. αὐτοῦ Κ. ἐκ τοῦ γ. Sym. 45. — γυναῖκα ante τ. Ἑ. Leo. — 7. ἐκ γένους — Θεόφανῷ om. Vat. ex homoioteleuto. — 9. φ. μ. δευτέρᾳ ἑτέραν Sym. ut Cont. — ἑτέραν τούτῳ σ. γυναῖκα ἐκ τοῦ γ. τοῦ Μάμω ἐκείνου Θ. λεγομένην Sym., om. ed. — * ἐκείνου Vat. Cont. Sym. — 12. Ἰουνίου δὲ μηνὸς Leo, Ἰουν. δὲ μη. cod. Τῷ ἐνιαυτῷ ἐκείνῳ κατ. Sym. 46. Δεκάτης καὶ τετάρτης ἰνδικτιῶνος, Ἰουνίῳ δὲ μηνὶ ἐνδεκάτῃ Cont. 39. — ** ἰνδικτιῶνι ιε' ed. ιδ' ἰνδικτιῶνι Leo, τοῦ μηνὸς, δ' ἰνδ. Vat. — *** οἱ καὶ Δρομῖται λεγόμενοι, οἱ ἐκ γένους τῶν Φρύγγων ὄντες Sym. — 13. χιλιάδ. cod., χιλίαδων ed. Vat. Cont. — **** οἱ καὶ Δ. λ. οἱ ἐκ γ. τῶν Φ. ὁ. Cont. καθίστανται Vat. — Πέμπεται οὖν πρὸς αὐτοὺς ὁ πρ. Θ. μετὰ πλοίων καὶ τὸν στ. εὐτρ. αὐτοὺς ἐξεδ. Sym. Ἀπ. οὖν Cont. — 15. πρ. τὸν Vat. — 18. ἐξεδ. Leo, Sym. — 19. Ἐπεὶ δὲ πλ. τοῦ ἐν τῷ Π. φ. ἐγ. Sym. — ***** Φάρος δὲ καλεῖται ἀφίδρυμά τι ᾧ πυρὰ ἐπιτίθεται εἰς ὁδηγίαν τοῖς ἐν νυκτὶ παροδίταις Vat. Cont. Sym. — 20. οὗτος — παρεδρεύων om. Sym. Leo. — ****** ὃς κατὰ ἀντίφρασιν κέκληται· κακόξενος γὰρ διὰ τὰς συνεχεῖς τῶν ἐκεῖσε ληστειῶν πρὸς τοὺς ἐπιξενουμένους καταδρομὰς οὓς (ὡς, om. Cont.) φασιν, ἀνελὼν Ἡρακλῆς (καὶ om.

ἐπέθετο· καὶ δὴ πρῶτος * τῷ οἰκείῳ δρόμωνι διεκπλεύσας τήν τε σύνταξιν τῶν Ῥωσικῶν πλοίων διέλυσε καὶ τῷ ἐσκευασμένῳ πυρὶ πλεῖστα κατέφλεξε, τὰ δὲ λοιπὰ ἐτρέψατο εἰς φυγήν, ᾧ ἀκολούθως καὶ οἱ λοιποὶ δρόμωνες καὶ αἱ τριήρεις ἐπεκδραμοῦσαι τελείαν εἰργάσαντο τὴν τροπὴν καὶ πολλὰ μὲν πλοῖα κατέδυσαν αὐτανδρα, πολλοὺς δὲ κατέτρωσαν, πλείστους δὲ ζῶντας συνέλαβον. Οἱ περιλειφθέντες οὖν εἰς τὸ τῆς Ἀνατολῆς μέρος εἰς τὰ Σγώρα λεγόμενα καταπλέουσιν. Ἀπεστάλη δὲ τότε καὶ Βάρδας ὁ Φωκᾶς διὰ γῆς μετὰ ἱππέων ἐγκρίτων παρατρέχειν αὐτούς· καὶ δὴ τούτων σύνταγμα ἱκανὸν ἀποστειλάντων πρὸς τὰ τῆς Βιθυνίας μέρη, ὥστε τὰ πρὸς τροφὴν καὶ τὴν ἄλλην χρείαν αὐτοῖς πορίσασθαι, περιτυχὼν τῷ τοιούτῳ συντάγματι ὁ εἰρήμενος Βάρδας ὁ Φωκᾶς κακῶς τούτους διέθηκε, τρεψάμενος καὶ κατασφάξας αὐτούς. Κατῆλθε δὲ τηνικαῦτα καὶ Ἰωάννης μαγίστρος καὶ δομέστικος τῶν σχολῶν ὁ Κροκόας μετὰ παντὸς τοῦ τῆς Ἀνατολῆς στρατεύματος καὶ πολλοὺς τούτων διέφθειρεν ἀποσπάδας τῇδε κἀκεῖσε καταλαμβάνων, ὥστε συσταλέντας αὐτοὺς δέει τῆς αὐτοῦ ἐπιθέσεως μένειν ἀθρόως ἐπὶ τὰ οἰκεῖα πλοῖα καὶ μηδαμοῦ διεκτρέχειν (203[b]) κατατολμᾶν.

Cont.) ἀθείας τυχόντες οἱ παροδῖται, τοῦτον Εὔξεινον ἐπωνόμασαν Vat. Cont. Sym.— ..... ὃ τὴν ἐπωνυμίαν εἴληφε διὰ τῶν (τὸ Vat. Cont.) τῆς Ἀργοῦς πλωτήρων ἐκεῖσε διερχομένων αὐτόθεν ἀνίδρυσαν ἱερὸν Sym. post ἐπίθετο Vat. Cont. — αὐτὸς ἀθ. Τ. ἐπ. καὶ τὰ μὲν πλ. πλοῖα κατ. Sym.

* ἐν Leo. — 2. Ῥωσιακῶν ed. — 3. τὰ λ. δὲ Vat. τὰ δὲ λ. τούτων Cont. τὰ δὲ λ. εἰς φυγὴν ἐτράπησαν ὅθεν καὶ τελείας τροπῆς γενομένης τὰ μὲν τῶν πλοίων αὐτῶν αὐτ. κατ. Sym. τὰ λ. δὲ Leo. — 4. ὡς ed. — 5. ἐπεκδραμόντες Leo. — 6. αὐτ. πλείστους Sym. ἄνταυδρα Leo. — 7. κατέστρωσαν Leo. — Οἱ δὲ π. εἰς Sym. — 8. τὰς Ῥωγὰς λεγομένας κ. Sym. τὰ Σγόρα λ. κ. Vat. Cont. — 9. Καὶ ἐπεὶ σ. π. τὰ τῆς Β. μ. ἀπέστειλαν χρειῶν ἕνεκα, ἐντυγχάνει τούτους Β. ὁ Φ. καὶ γὰρ ἀποσταλεὶς ἦν ἐπὶ τούτῳ μ. ἱ. ἐκκρίτων παρατρέχων ἀ. καὶ κατέσφαξεν ἅπαντας Sym. — 10. ἐκκρ. τοῦ π. Vat. ἐκκρ. ἀνδρῶν τοῦ π. Cont. — 12. συμπ. Vat. — 13. αὐτοὺς δ. Vat. — 14. Ἀλλὰ καὶ ὁ Κουρκούας Sym. — 15. Ἰω. μ. καὶ δ. τῶν σχ. ὁ Κουρκούας Vat. Ἰω. ὁ δ. τῶν σχ. ὁ Κ. Cont. Ἰω. ὁ δομέστικος ὁ Κουρκούας Leo. — 16. στρ. κατελθὼν τοὺς ὑπολειφθέντας εὑρίσκων ἀπέκτεινεν Sym. — 17. τ. π. ed. — 18. διαλαμβάνων Vat. — 19. μ. ἐπὶ τὸ αὐτὸ παρὰ τὰ Vat. Cont. — πλ. μ. δὲ Vat. — 20. διατρέχειν ed. ἐκτρ. Vat. παρεκτρ. Cont.

(51) Πολλὰ δὲ καὶ μέγιστα κακὰ οὗτοι διεπράξαντο πρὸ τοῦ τὸ Ῥωμαϊκὸν στράτευμα κατελθεῖν· τό τε γὰρ Στενὸν λεγόμενον ἅπαν ἐνέπρησαν καὶ οὓς συνελάμβανον αἰχμαλώτους, τοὺς μὲν ἀνεσταύρουν, τοὺς δὲ τῇ γῇ προσεπατταλευον τοὺς δὲ ὥσπερ σκοποὺς ἱστῶντες βέλεσι κατετόξευον· ὅσους δὲ τοῦ ἱερατικοῦ κλήρου συνελάμβανον, ὄπισθεν τὰς χεῖρας δεσμοῦντες, ἥλους σιδηροῦς κατὰ μέσης τῆς κεφαλῆς αὐτῶν κατεπήγνυον, πολλούς τε ἁγίους ναοὺς τῷ πυρὶ παραδεδώκασι. Χειμῶνος δὲ ἤδη ἐνισταμένου καὶ τροφῶν ἀπορουῦντες, τότε ἐπελθὸν στράτευμα δεδιότες, τάς τε ναυμάχους πλέον τριήρεις, ἐβουλεύσαντο τὰ οἰκεῖα καταλαβεῖν· καὶ δὴ λαθεῖν τὸν στόλον σπουδάζοντες (Σεπτεμβρίῳ μηνὶ ιε' ἰνδικτιῶνος)· ἀντιπλεῦσαι ὁρμηκότες (ἐπὶ τὰ Θρᾳκῷα μέρη), παρὰ τοῦ ῥηθέντος Θεοφάνους πατρικίου ὑπηντήθησαν (οὐ γὰρ ἔλαθον τὴν αὐτοῦ ἐγρηγορωτάτην καὶ γενναίαν ψυχήν). Εὐθὺς οὖν δευτέρα ναυμαχία συνάπτεται, καὶ πλεῖστα πλοῖα ἐβύθισε (καὶ πολλοὺς τούτων ἀπέκτεινεν ὁ εἰρημένος ἀνήρ·) ὀλίγοι δὲ μετὰ τῶν πλοίων περισωθέντες καὶ ἐν τῇ τῆς Κοίλης περιπεσόντες ἀκτῇ, νυκτὸς ἐπελθούσης, διέφυγον. Θεοφάνης δὲ ὁ πατρίκιος μετὰ νίκης λαμπρᾶς καὶ τῶν μεγίστων ὑπέστρεψε τροπαίων καὶ ἐντίμως καὶ μεγαλοπρεπῶς ὑπεδέχθη καὶ παρακοιμώμενος ἐτιμήθη.

(52) Ἐπεὶ δὲ ὁ ῥηθεὶς Ἰωάννης ὁ μάγιστρος ὁ Κροκόας ἄριστός τις ἐγένετο τὰ πολεμικὰ καὶ πολλὰ ἀνέστησε τρόπαια καὶ τὰ

---

1. Π. γὰρ κ. Leo. Πολλοὺς δὲ τόπους καὶ ν. ἐνέπρησαν καὶ τοὺς συλλαμβανομένους Ῥωμαίους τοὺς μὲν ἀν. Sym. 46. — 4. προσεπατάλευσαν Leo, προσεπήγνυον Sym. — 5. ἱστάντες Leo, Vat. Cont. — Τοὺς δὲ τοῦ κλ. ὁ. τὰς χ. δ. — αὐτῶν ἐπήγνυσαν Sym. — 8. παρέδωκαν Leo. — 9. Χ. δὲ ἤ. καταλαμβάνοντος καὶ εἰς τὰ ἐ. βουλόμενοι ἀπελθεῖν τὸν στ. λ. ἐσπούδαζον Sym. — 10. ναυμαχούντας τρ. ed. — νυκτὸς Leo, Cont. Vat. — 12. Ν. οὖν ἐκκλεύσαντας ὁ πατρίκιος Θ. τούτους ὑπήντησε Sym. om. Σεπτ. μ. ιε' ἰνδ. — 14. π. Θ. π. ed. ὑπὸ τοῦ β. Θ. Leo. π. τοῦ β. π. Θ. Cont. — Οὐδὲ γὰρ Leo, Vat. Cont. οὐ — ψυχὴν om. Sym. — 16. Καὶ εὐθὺς Sym. — ν. ἐγίνετο Leo. — 7. πλ. ἐπόντωσε ed. πλ. ἐβύθησ. cod. πλ. βυθίζονται Sym. om. καὶ π. — ἀνήρ. — 19. παραπ. Vat. Cont. περισωθέντες Leo. — ἐφ. ed. — 20. λ. καὶ μ. ὑποστρέψας τρ. ἐντ. Vat. Cont. ὑποστρέψας λ. ἐντ. Leo. — 23. Ἰω. μ. ed. Vat. Cont. ὁ Κουρκούας Vat. Cont. — 24. πολ. π. τε καὶ μεγάλα ἀν. ed.

Ῥωμαϊκὰ ἐπλάτυνεν ὅρια πλείστας τε πόλεις ἐπόρθησε τῶν Ἀγαρηνῶν, διὰ * τὸ περιφανὲς τῆς τοῦ ἀνδρὸς ἀρετῆς ἠβουλήθη ὁ βασιλεὺς Ῥωμανὸς εἰς τὸν ἑαυτοῦ ἔγγονον Ῥωμανὸν, τὸν ἐκ (τοῦ) Κωνσταντίνου ** υἱοῦ αὐτοῦ, τὴν τούτου θυγατέρα ἀναλαβεῖν. Φθόνου δὲ αὐτῷ τῆς τοιαύτης ἕνεκεν ὑποθέσεως παρὰ τῶν λοιπῶν βασιλέων κινηθέντος, ἐκπίπτει τῆς ἀρχῆς, δομέστικος δὲ ἀντικαθίσταται ὁ πατρίκιος Πανθήριος, συγγενὴς τοῦ βασιλέως Ῥωμανοῦ.

943 (53) Ἰνδικτιῶνι δὲ α', Ἀπριλλίῳ μηνὶ ἐπῆλθον πάλιν οἱ Τοῦρκοι μετὰ πλείστης δυνάμεως· ὁ δὲ πατρίκιος Θεοφάνης ὁ παρακοιμώμενος ἐξελθὼν σπονδὰς εἰρηνικὰς ἐποίησε μετ' αὐτῶν, ὁμήρους τῶν ἐμφανῶν ἀναλαβόμενος, ἐξ οὗ καὶ συνέβη ἐπὶ χρόνοις ε' τὴν εἰρήνην διαφυλαχθῆναι ***.

944 (54) Δευτέρᾳ δὲ ἰνδικτιῶνι ὁ βασιλεὺς Ῥωμανὸς Πασχάλιον πρωτοσπαθάριον καὶ στρατηγὸν Λογγιβαρδίας πρὸς τὸν ῥῆγαν Φραγγίας Οὔγγονα ἐξαπέστειλε τὴν **** αὐτοῦ θυγατέρα ἐπιζητῶν εἰς νύμφην Ῥωμανῷ τῷ τοῦ γαμβροῦ αὐτοῦ Κωνσταντίνου υἱῷ, ἣν καὶ ἀναλαβὼν ὁ εἰρημένος Πασχάλιος μετὰ πλούτου πολλοῦ ἐν τῇ πόλει ἀνήγαγεν. Γέγονε δὲ ὁ γάμος Σεπτεμβρίῳ μηνὶ ἰνδικτιῶνος τρίτης *****.

---

* δὲ ed. — 3. ἐκγ. Vat. Cont.—ἐκ K. Vat. Cont. — ** τοῦ ed. Vat. Cont.—8. ὧν τοῦ β. P. ed. — 9. Ἰνδ. cod. Ἰνδικτιῶνος ed. — 13. χρόν. cod. χρόνους Leo. — *** Ὁ δὲ βασιλεὺς Ῥωμανὸς πλείσταις πόλεσι κατά τε Μακεδονίαν καὶ Θρᾴκην τὰς μὲν ἐκ βάθρων ἀνῳκοδόμησε, τισὶ δὲ καινισμὸν ἐνεποίησεν, οὐ μὴν δὲ ἀλλὰ καὶ κατὰ τὴν βασίλειον πόλιν περιφανῆ παλάτια ἐκαινούργησεν, ἔτι καὶ κατ' ἀγροὺς τὸ ἐμπρεπὲς ἐμπαρέσχετο, πρὸς δὲ (ἔτι Cont.) καὶ λειμῶνας ἀμφιλαφεῖς καὶ εὐκάρπους ἐξ ὧν οὐ τυχοῦσα τέρψις ἐγγίνεται, ναὶ δὴ καὶ γερόντων τροφεῖα ξενουμένων τε καταγώγια, ἀρρωστούντων ἐνδιαιτήματα, τῶν κατὰ ψυχὴν ἕνεκεν ἀντιδόσεων Vat. et Cont. cf. Ced. 318,18: Ἱλασκόμενος δὲ τὸν θεὸν ὁ βασιλεὺς Ῥωμανὸς διὰ τὴν τῶν ὅρκων παράβασιν καὶ μετανοῶν ἐφ' οἷς κακῶς παρεσπόνδησεν, ἐποίει μὲν καὶ ἄλλας εὐποιίας, ἃς καταλέγειν ἔργον, ἀπέτισε δὲ καὶ τὰ χρέα τῆς πόλεως ἀπό τε πλουσίων καὶ πενήτων, δεδωκὼς, ὥς φασι, κεντηνάρια ιθ', τὰ δὲ γραμματεῖα κατακαύσας ἐν τῷ κατὰ τὴν Χαλκῆν πορφυρῷ ὁμφαλίῳ· δέδωκε δὲ καὶ τὰ ἐνοίκια τῆς πόλεως ἀπὸ τοῦ ὑψηλοτάτου καὶ μέχρι τοῦ ἐσχάτου· ἃ δὲ διετυπώσατο γίνεσθαι ψυχικὰ ἐπιτείως ἐν τῇ νεουργηθείσῃ παρ' αὐτοῦ μονῇ τοῦ Μυρελαίου, ἴσασι πάντες μέχρι τοῦ νῦν τελούμενα. — 14. Β' δὲ ἰνδ. cod. Δευτέρας δὲ ἰνδικτιῶνος ed. Cont. Τῇ δὲ β ἰνδικτιῶνι Sym. 48. — 15. Λογγοβάρδων Leo. — 16. ῥίγαν Φ. Ὁ. cod. ῥῆγα Φ. Οὔγωνα Leo. Vat. Cont. ῥῆγα τῶν Φράγγων Sym. 48. ῥῆγα Φ.Οὔγοννα ed.— **** τοῦ Leo. — 17. τῷ υ. τοῦ γ. ἀ. K. ed. — ***** ἥτις καὶ Vat. Cont.

ζήσασα· ἔτη πέντε ἐτελεύτησεν ἐν ταῖς ἡμέραις τῆς αὐτοκρατορίας Κωνσταντίνου τοῦ αὐτῆς πενθεροῦ.

(55) Ἀνέμου δὲ βιαίου σφόδρα καταπνεύσαντος Δεκεμβρίῳ μηνί, οἱ λεγόμενοι ἐν τῷ ἱππικῷ δῆμοι κατέπεσον, οἳ ἀπ' ἐναντίας τοῦ βασιλικοῦ θρόνου ἐτύγχανον, καὶ συνέτριψαν τά τε ὑποκάτωθεν αὐτῶν βάθρα καὶ τὰ στήθεα λεγόμενα. Χρόνου δὲ περικυκλεύσαντος, τῷ αὐτῷ μηνὶ τὸν βασιλέα Ῥωμανὸν** τοῦ παλατίου κατήγαγον.

(56) Τῆς δὲ πόλεως Ἐδέσης, ἐν ᾗ τὸ τοῦ Χριστοῦ τί- 944
μιον ἐκμαγεῖον ἀπέκειτο, παρὰ τοῦ Ῥωμαϊκοῦ πολιορκουμένης στρατεύματος [καὶ] εἰς ἀνάγκην μεγίστην περιϊσταμένης, ἀπέστειλαν οἱ ταύτης οἰκήτορες πρὸς τὸν βασιλέα Ῥωμανὸν διαπρεσβευόμενοι τῆς πολιορκίαν λυθῆναι, τὸ*** τοῦ Χριστοῦ ἅγιον ἐκμαγεῖον παρέχειν ἐπαγγειλά-
(204ª)μένοι· ὑπὲρ τῆς τοιαύτης δὲ χάριτος δεσμίους ᾐτήσαντο τῶν ἐπιφανῶν ἀντιλαβεῖν, χρυσοβουλλίον τε λαβεῖν ὥστε μηκέτι τὴν τούτων χώραν παρὰ τοῦ Ῥωμαίων στρατοῦ ληΐζεσθαι· ὃ δὴ καὶ γέγονε. Τοῦ δὲ ἁγίου ἐκμαγείου ἀποσταλέντος καὶ ἤδη τῇ Κ. Π. πλησιάζοντος, Θεοφάνης ὁ πατρίκιος καὶ παρακοιμώμενος ἐν τῷ ποταμῷ Σαγάρῳ ἐξελθὼν, ὑπήντησεν αὐτῷ μετὰ λαμπρᾶς φωταγωγίας, τιμῆς τε καὶ ὑμνῳδίας****. Καὶ τῇ ιε' τοῦ Αὐγούστου μηνὸς σὺν αὐτῷ ἐν τῇ πόλει εἰσῆλθεν, τοῦ***** βασιλέως [ἐν Βλα-

---

* μετὰ τοῦ ἀνδρὸς Cont. μ. τοῦ ἀ. αὐτῆς post ἔτη Vat. ἐτ. ζ. ἐ. μ. τοῦ ἀ. ἀ. ε Leo. — ἐτ. ταῖς Cont. — 3. β. καὶ σφοδροῦ Vat. Cont. — 6. ὑπ. μάρμαρα καὶ στ. Leo. — στιθέα cod. στηθεῖα Vat. Cont. — 7. περικυκλωμένου Leo, περικυκλωσ. Vat. Cont. — ** οἱ υἱοὶ αὐτοῦ ed. Cont. — 9. Ὅπως τὸ τίμιον τοῦ χῦ ἀφομοίωμα εἰσῆλθεν ἐν τῇ Κ. Π. Vat.—τὸ τ. τοῦ χῦ Leo.—τὸ τοῦ χῦ ἅγιον Sym. 50. στρ. οἱ ὁ. τ. π. τὸν β. δ. Ῥ. τοῦτο παρέχειν εἰ τὴν π. λύσειεν ὅπερ καὶ γ. καὶ χρυσόβουλλον ἐδόθη μηθ' ἕτι ὑπὸ Ῥ. τὴν χ. αὐτῶν λ. Sym.—προιστ. Leo. — *** δὲ Leo.—14. ἐπαγγελλομ. Leo, Vat. Cont.—15. ὑ. τ. δὲ χ. Leo, ὑ. δὲ τῆς τ. χ. Vat. Cont.— 16. ἐπιφ. Vat. Cont.—ἀπολ ed.—χρυσοβούλλ. cod. χρυσόβουλλα ed.—λ. ὥστε τὴν τ. χ. μ. cod. ἀπ. ἀπηντ. ἀ. Θ. ὁ π. Sym.—19. τῆς ed.—πλησιασαμένου cod.— 20. Σαγγάρῳ cod. Σάγαρ. Leo. — 21. μ. φ. καὶ τῆς δεούσης τ. καὶ ὑ. cod. μ. λ. τ. τε καὶ ὑ. Leo. μ. λ. φ. καὶ τῆς δ. τ. τε καὶ ὑ. Vat. Cont. μ. λ. φ. καὶ τῆς δ. τ. καὶ ὑ. Sym. — **** κατὰ τὸν Σάγγαριν ποταμὸν Sym. — 22. τῇ δὲ ιθ' τοῦ αὐτοῦ μηνὸς Sym. — 23. εἰσῆλθ. cod. εἰσῆλθον ed. — ***** δὲ Sym. — ὁ. ἐν B. Sym.

λάγιον τῶν κρατουμένων αἰχμαλώτων, τῇ δὲ ἀληθείᾳ κατασχεῖν Ἰωάννην καὶ ἐν Κωνσταντινουπόλει ἀγαγεῖν (ὃ δὴ καὶ γέγονεν)· εἰσελθὼν γὰρ ἅμα τῷ Ἰωάννῃ ἐν * πλοίῳ ἀπὸ Μεσημβρίας, ἦλθεν ἐν τῇ πόλει· καὶ μετ' οὐ πολὺ τούτου τὸ μοναχικὸν σχῆμα ἀποῤῥίψαντος καὶ γυναῖκα ἐπιζητήσαντος, δέδωκεν αὐτῷ ὁ βασιλεὺς οἶκον καὶ κτήματα πάμπολλα καὶ γυναῖκα ἐκ τῆς αὐτοῦ πατρίδος τῆς τῶν Ἀρμενιακῶν ὁρμωμένην, γάμον τε λαμπρὸν ἐν τῇ τοῦ Καίσαρος οἰκίᾳ πεποίηκε, Χριστοφόρου βασιλέως καὶ Ἰωάννου μοναχοῦ, τοῦ γεγονότος βαίκτωρος, παρανυμφευσάντων **.

930 (41) Μαρτίῳ δὲ μηνὶ, ἡμέρᾳ β' κοσμίτης ἔπεσεν ἐν τῷ φόρῳ ἐκ τῶν *** στιχιδὸν ἱσταμένοις ἐκεῖσε κίοσιν (ἐπικειμένων) καὶ ἀπέκτεινεν ἄνδρας ς'. Γέγονε δὲ καὶ ἐμπρησμὸς μέγας καὶ φοβερὸς εἰς τὸν τοῦ φόρου ἔμβολον πλησίον τοῦ ναοῦ τῆς ὑπεραγίας Θεοτόκου, ὥστε καταλαβεῖν τά τε κηροπωλεῖα καὶ τὰ γουνάρια τοῦ φόρου μέχρι τῶν ψιχῶν.

931 (42) Ἐτελεύτησε δὲ Χριστοφόρος **** βασιλεὺς μηνὶ Αὐγούστῳ ἰνδικτιῶνος δ', πολλὰ κοψαμένου αὐτὸν τοῦ πατρὸς *****, ὡς ἤδη εἰς γῆρας αὐτοῦ ἐληλακότος καὶ τῶν υἱῶν αὐτοῦ ἔτι νηπίων ὄντων· καὶ ἐτέθη τὸ λείψανον αὐτοῦ ἐν τῇ δηθείσῃ μονῇ τοῦ πατρὸς αὐτοῦ.

---

1. τῇ ἀ. δὲ Vat. Cont.—Ἰω. κατ. Leo, Vat. Cont.—2. ὃ δὴ καὶ γ. om. ed. sed habet γάρ. — * τῷ Leo. — ** Ἀλλὰ καὶ Μιχαὴλ μοναχὸς, αὐτὸς ὁ ἀδελφὸς Πέτρῳ (Πέτρου Cont. 29), κατὰ σπουδὴς ἔχων τῆς Βουλγαρικῆς ἐκκλησίας ἐπιλαβέσθαι, ἰδιοστάτησεν (ἰδιοστασίασεν Cont.) ἔν τινι Βουλγαρικῷ κάστρῳ· καὶ τούτῳ προσεβύησαν οἱ τῆς Πέτρου ἀρχῆς διεστηκότες Σκύθαι· οὗ μετὰ τὴν τοῦ βίου καταστροφὴν ἐπῆλθον οὗτοι ταῖς Ῥωμαϊκαῖς χώραις, ὥστε συμβῆναι τούτους ἀπὸ Μακέτιδος διὰ Στρύμονος πρὸς Ἑλλάδα καὶ τὴν Νικίπολιν προσχωρῆσαι καὶ τὰ ἐκεῖσε πάντα ληΐσασθαι. Νικόπολις δὲ ἐπωνόμασται κατὰ τὸ ἐπώνυμον τῆς, νίκης ἣν Αὔγουστος Σεβαστὸς κατὰ Ἀντωνίου καὶ Κλεωπάτρας εἰργάσατο καὶ τὴν Αἰγυπτίων ἀρχὴν τοῖς Ῥωμαίοις ὑπέκλινεν Vat. Cont. — 11. Μ. δὲ μ. δευτέρᾳ ἡ. Vat. Cont. Μαρτίου δὲ μηνὸς β' ἡ. Leo, τῇ β' ἡ. τοῦ M. μ. Sym. — κ. ὃς ἐπέμενε τῷ φ. ἐν τοῖς ἑ. κ. Leo, κοσμήτης Vat. Cont. — *** ἐν τοῖς Sym. Vat. Cont. — στιχιδ. cod. στοιχ. ed. — 12. ἱσταμ. cod. ἱσταμένων ed.— ἐπικ. om. Sym.— 13. ἐμπ. εἰς τὸν τῆς ὑπ. Θ. τοῦ φ. ἑ. καὶ ἐκάησαν τὰ κ. καὶ τὰ γ. μ. τῶν ψ. Sym. — 16. ψηχῶν Leo. — 17. Τῷ δὲ Ἀ. μ. τῆς δ' ἰνδ. τελευτᾷ Χ. ὁ β. καὶ ἐτάφη ἐν τῷ οἴκῳ τοῦ π. ἀ. Sym. 41.— **** ὁ ed. — ***** μεῖζον ἢ Αἰγυπτίους Vat. μ. ἢ κατ' Ἀ. Cont. — 20. τὸ σῶμα ἀ. Leo.

(43) Κατήγαγον δὲ καὶ Τρύφωνα πατριάρχην Αὐγούστῳ μηνὶ ἰνδικτιῶνος γ', τὸν ϐηϑέντα χρόνον τελέσαντα, καὶ ἀπελϑὼν ἐν τῇ ἰδίᾳ μονῇ τελευτᾷ, χηρευσάσης τῆς ἐκκλησίας χρόνον α' καὶ μηνᾶς ε' διὰ τὸ τῆς ἡλικίας ἀτελὲς Θεοφυλάκτου υἱοῦ Ῥωμανοῦ βασιλέως· αὐτὸν γὰρ, ὡς εἴρηται, ἔμελλε πατριάρχην ἀποκαϑιστᾷν.

(44) Βασίλειος δέ τις Μακεδὼν πλάνος Κωνσταντῖνον Δοῦκα ἑαυτὸν εἶναι ἐπευφημήσας, πολλοὺς μεϑ' ἑαυτοῦ συνεπήγετο. Οὗτος κρατηϑεὶς ὑπὸ Ἐλεφαντίνου, τουρμάρχου ἐκ τοῦ Ὀψικίου ὄντος, ἤχϑη ἐν Κωνσταντινουπόλει καὶ ὑπὸ Πέτρου ἐπάρχου τῆς μιᾶς ἀλλοτριοῦται χειρός· εἶτα καιροῦ λαβόμενος καταλαμβάνει πάλιν τὸ Ὀψίκιον καὶ χεῖρα χαλκῆν ἀντὶ τῆς κοπείσης προσαρμοσάμενος καὶ σπάϑην ὑπερμεγέϑη κατασκευασάμενος διήρχετο πλανῶν (αὖϑις τῶν ἀγυρτευόντων) πολλοὺς ὡς αὐτὸς εἴη Κωνσταντῖνος ὁ τοῦ Δουκὸς, (οὓς καὶ συνεφελκόμενος μεγάλην κατὰ Ῥωμανίας ἀνταρσίαν κινεῖ) καὶ φρούριον κατασχὼν ὃ πλατεῖα Πέτρα κατονομάζεται, πᾶν εἶδος ἐδωδίμων ἐν τούτῳ ἀπέϑετο, ἀφ' οὗ ἐξορμῶν ἐληλάτει καὶ τοὺς παρατυγχάνοντας προενόμευεν. Ἀποστείλας οὖν ὁ βασιλεὺς στρατὸν κατ' αὐτοῦ, αὐτόν τε συνέλαβε καὶ τοὺς σὺν αὐτῷ, ὃν καὶ ἀγαγόντες (203ᵃ) ἐν τῇ πόλει, ἀνέκρινόν τε καὶ πολλὰς αὐτῷ πληγὰς ἐπετίϑεσαν*, τοὺς στασιώτας εἴ τινες εἶεν εἰπεῖν· ὁ δὲ πολλοὺς τῶν ἐν τέλει ἐσυκοφάντει ψευδῶς ὡς συνόντας αὐτῷ, μηδὲν δὲ

---

1. Κ. δὲ καὶ τὸν π. Τ. τὸν ϐ. χ. τ. καὶ ἐν τῇ ἰ. μ. τ. Sym. 41 cf. §. 37. — 2. τὸν ϐ. χ. τ. ἰ. γ', triginta menses inde a 14. Dec. 928. — καὶ ἀπελϑόντος Leo, χ. ἐ. χρόνου (χρόνον) Cont. ἕνα καὶ μ. ε' Vat. Cont. χηρεύει δὲ ἡ ἐκκλησία χ. α" μ. ε' κτλ. Sym. — 5. αὐτὸν — ἀπ. Sym. — 7. Περὶ Βασιλείου Μακεδόνος καὶ λαοπλάνου Vat. om. Ven. — 8. ἐπιφημίσας ed. Sym. Vat. Cont. ἐπιφημήσας cod. — συνεπείγετο cod. — 9. συσχεϑεὶς Leo, Sym. σ. τῆς μ. χ. ἀ. — 11. Π. ὑπ. Cont. Leo. τοῦ ἐπ. ed. — 14. κατασκευάσας Leo, Vat. Cont. — ᾤχετο πλ. ed. — 15. ἀ. τῶν ἀγ. om. Leo, Sym. — 16. οὓς — κινεῖ om. Sym. — Ῥωμανοῦ Leo, Vat. Cont. — 17. καὶ φ. κ. ὁ πλ. π. κατ. καὶ τροφὴν πολλὴν ἀποϑέμενος μ. κ. Ῥωμανίαν ἀ. κ. προνομεύων καὶ λεηλατῶν τ. π. Τοῦτον κρατήσαντες ἀνήγαγον ἐν τῇ π. καὶ ἐν τοῖς Ἀ. ἔκαυσαν Sym. — 22. ἀνέκριναν ed. — ' τοῦ ed. — 23. στρατιώτας cod. συστασιώτας Vat. Cont.

ἀληϑὲς κατ' αὐτῶν λέγειν ἐξελεγχϑείς, ἐν τοῖς Ἀμαστριανοῦ πυρὸς παρανάλωμα γίνεται.

933 (45) Χειροτονεῖται δὲ πατριάρχης ὁ πολλάκις ῥηϑεὶς τοῦ βασιλέως υἱὸς Θεοφύλακτος, Φεβρουαρίου β', ἰνδικτιῶνος ς', τοποτηρητῶν ἐκ Ῥώμης ἐλϑόντων καὶ τόμους συνοδικὸν ἐπιφερομένων περὶ τῆς αὐτοῦ χειροτονίας διαγορεύοντα, οἱ καὶ τῷ πατριαρχικῷ ϑρόνῳ τοῦτον ἐνίδρυσαν.

934 (46) Ἡ δὲ εἰρημένη τοῦ βασιλέως Ῥωμανοῦ ἐκγόνη Μαρία, ἡ γυνὴ Πέτρου Βουλγάρου, πολλάκις ἐν τῇ πόλει εἰσῆλϑεν, τοῦ τὸν ἴδιον πατέρα καὶ τὸν πάππον αὐτῆς ἐπισκέψασϑαι· τελευταῖον δὲ μετὰ παίδων εἰσῆλϑε γ', ἤδη τῶν πατρὸς αὐτῆς Χριστοφόρου τελευτήσαντος· πλοῦτον οὖν παρὰ τοῦ πάππου λαβοῦσα (πολὺν καὶ ἔντιμον) ἐντίμως ὑπέστρεψεν.

(47) Ῥωμανὸς δὲ ὁ βασιλεὺς τῷ υἱῷ Στεφάνῳ γυναῖκα ἠγάγετο, ϑυγατέρα οὖσαν τοῦ Γαβαλᾶ, ἐγγόνην δὲ Κατακύλα, Ἄνναν ὀνόματι· ἅμα δὲ τῷ νυμφικῷ στεφάνῳ καὶ ὁ τῆς βασιλείας αὐτῷ στέφανος ἐπετέϑη.

(48) Ἐγένετο δὲ ἐκστρατεία πρώτη τῶν Τούρκων κατὰ Ῥωμαίων ἰνδικτιῶνος ζ' Ἀπριλλίῳ μηνὶ οἳ καὶ καταδραμόντες μέχρι τῆς πόλεως ἐληΐσαντο πᾶσαν Θρᾳκῴαν ψυχήν. Ἀπεστάλη οὖν ὁ πατρίκιος Θεοφάνης ὁ πρωτοβεστιάριος καὶ παραδυναστεύων, μετ' αὐτῶν ποιῆσαι ἀλλάγιον, ὃς καὶ ϑαυμασίως καὶ συνετῶς αὐτοὺς μετελϑὼν ὅσαπερ

---

2. καταλ. Leo. — 3. Τῷ δὲ φεβρουαρίῳ μηνὶ τῆς ς' ἰνδ. τῇ ἑορτῇ τῆς ὑπαπαντῆς χ. π. ὁ β. Sym. 43. — ὁ προβρ. Leo, ὁ β. Vat. Cont. — 4. Φε. cod. Φεβρουαρίῳ Leo, Vat. φ. μηνὶ Cont. — * τοῦ πατρῴου φρονήματος ἐφ' ἅπασιν ἐξερχόμενος ἀλλὰ καὶ τοῖς πρόσω παρεκτεινόμενος κατορϑώμασι μετὰ καὶ τῆς προσούσης ἐλλογιμότητος Vat. Cont. — 5. ἀνελϑ. Leo, Sym. Vat. Cont. — 9—14 om. Ven. Οἱ δὲ εἰρημένοι τοῦ β. ἔγγονοι Vat. Ἡ ἐ. τοῦ β. Ῥ. ἐγγ. ed. — 12. Χριστοφόρου τ. π. ἀ. Vat. — 13. π. καὶ ἐ. om. Vat. Cont. — 16. τὴν τοῦ Γαμαλᾶ ϑ. Ἀ. ἥτις ἅμα τῷ ν. στ. καὶ τὸν β. τῆς ἐπέϑετο Sym, 43. — οὖσαν Γαβριηλίου ed. — 17. ὄνομα Vat. Cont. — 18. ἐπετέϑειτο Leo, Vat. ἐπετίϑετο Cont. — 19. Μ. Ἀ. ἰνδ. ζ' γέγονε πρ. ἐ. τῶν Τ. κ. Ῥωμανίας καὶ κατατρέχουσι Sym. 44. — 19—946,9 om. Ven. — 20. ἰνδικτιῶνι ἑβδόμῃ Leo, καὶ κατατρέχουσι μ. τῆς π. καὶ λεηλατοῦσι Sym. — 21. μ. τῆς π. cod. in margine. — 22. χώραν Vat. — Ἀποστέλλεται Sym. — πρωτ. καὶ ποιεῖ καταλλαγὴν μετ' αὐτῶν Sym. — 24. αὐτοῖς Vat. Cont.

ἠβούλετο κατεπράξατο, πολλὰ παρ' αὐτῶν ἐπὶ τῇ φρονήσει καὶ εὐβουλίᾳ ἐπαινεθείς τε καὶ θαυμασθείς, ὅτε καὶ τὸ μεγαλόψυχον αὐτοῦ καὶ φιλάνθρωπον ὁ βασιλεὺς Ῥωμανὸς ἐπεδείξατο, μηδενὸς φεισάμενος χρήματος πρὸς τὴν τῶν αἰχμαλώτων ἀνάρρυσιν.

(49) Ἠγάγετο δὲ γυναῖκα ὁ βασιλεὺς Ῥωμανὸς τῷ τε- 941
λευταίῳ υἱῷ Κωνσταντίνῳ ἐκ γένους τῶν Ἀρμενιακῶν, τοὔνομα Ἑλένην, τοῦ πατρικίου Ἀδριανοῦ θυγατέρα, ἧς καὶ τελευτησάσης Φεβρουαρίῳ μηνὶ ἰνδικτιῶνος β' (ἑτέρᾳ τοῦτον συνέζευξε γυναικὶ ὀνόματι Θεοφανῷ ἐκ γένους τοῦ Μάμαντος* καταγομένῃ.)

(50) Ἰουνίῳ δὲ μηνὶ ια'** κατέπλευσαν οἱ Ῥῶς*** κατὰ Κωνσταντινουπόλεως μετὰ πλοίων χιλιάδες ι'****. Ἀπεστάλη δὲ κατ' αὐτῶν μετὰ τριήρων καὶ δρομώνων, ὅσα καὶ ἔτυχον ἐν τῇ πόλει, ὁ πατρίκιος Θεοφάνης ὁ παραδυναστεύων καὶ πρωτοβεστιάριος καὶ τόν τε στόλον προευτρεπίσας τε καὶ ἑτοιμασάμενος καὶ νηστείᾳ καὶ δάκρυσιν ἑαυτὸν κατωχυρώσας ὡς μάλιστα, τοὺς Ῥῶς προσεδέχετο, καταναυμαχῆσαι μέλλων αὐτούς. Ἐπεὶ δὲ ἐκεῖνοι κατέλαβον καὶ πλησίον τοῦ Φάρου ἐγένοντο***** (οὗτος πρὸς τῷ τοῦ Εὐξείνου πόντου στόματι παρεδρεύων)******, ἐν τῷ Ἱερῷ λεγομένῳ******* ἀθρῶν τούτοις

---

1. ἐν τῇ Vat. Cont. — 6. Τῷ δὲ ιδ' τοῦ Ἰ. μ. ἡγ. Ῥ. γ. τῷ τ. υ. αὐτοῦ Κ. ἐκ τοῦ γ. Sym. 45. — γυναῖκα ante τ. Ἑ. Leo. — 7. ἐκ γένους — Θεόφανὼ om. Vat. ex homoioteleuto. — 9. φ. μ. δευτέρᾳ ἑτέραν Sym. ut Cont. — ἑτέραν τούτῳ σ. γυναῖκα ἐκ τοῦ γ. τοῦ Μάμω ἐκείνου Θ. λεγομένην Sym., om. ed. — * ἐκείνου Vat. Cont. Sym. — 12. Ἰουνίου δὲ μηνὸς Leo, Ἰουν. δὲ μη. cod. Τῷ ἐνιαυτῷ ἐκείνῳ κατ. Sym. 46. Δεκάτης καὶ τετάρτης ἰνδικτιῶνος, Ἰουνίῳ δὲ μηνὶ ἐνδεκάτῃ Cont. 39. — ** ἰνδικτιῶνι ιε' ed. ιδ' ἰνδικτιῶνι Leo, τοῦ μηνὸς, δ' ἰνδ. Vat. — *** οἱ καὶ Δρομῖται λεγόμενοι, οἱ ἐκ γένους τῶν Φρύγγων ὄντες Sym. — 13. χιλιάδ. cod., χιλίαδων ed. Vat. Cont. — **** οἱ καὶ Δ. λ. οἱ ἐκ γ. τῶν Φ. ὀ. Cont. καθίστανται Vat. — Πέμπεται οὖν πρὸς αὐτοὺς ὁ πρ. Θ. μετὰ πλοίων καὶ τὸν στ. εὐτρ. αὐτοὺς ἐξεδ. Sym. Ἀπ. οὖν Cont. — 15. πρ. τὸν Vat. — 18. ἐξεδ. Leo, Sym. — 19. Ἐπεὶ δὲ πλ. τοῦ ἐν τῷ Π. φ. ἐγ. Sym. — ***** Φάρος δὲ καλεῖται ἀφίδρυμά τι ᾧ πυρὰ ἐπιτίθεται εἰς ὁδηγίαν τοῖς ἐν νυκτὶ παροδίταις Vat. Cont. Sym. — 20. οὗτος — παρεδρεύων om. Sym. Leo. — ****** ὃς κατὰ ἀντίφρασιν κέκληται· κακόξενος γὰρ διὰ τὰς συνεχεῖς τῶν ἐκεῖσε ληστειῶν πρὸς τοὺς ἐπιξενουμένους καταδρομὰς οὓς (ὡς, om. Cont.) φασιν, ἀνελὼν Ἡρακλῆς (καὶ om.

ἐπέθετο· καὶ δὴ πρῶτος * τῷ οἰκείῳ δρόμωνι διεκπλεύσας τήν τε σύνταξιν τῶν Ῥωσικῶν πλοίων διέλυσε καὶ τῷ ἐσκευασμένῳ πυρὶ πλεῖστα κατέφλεξε, τὰ δὲ λοιπὰ ἐτρέψατο εἰς φυγήν, ᾧ ἀκολούθως καὶ οἱ λοιποὶ δρόμωνες καὶ αἱ τριήρεις ἐπεκδραμοῦσαι τελείαν εἰργάσαντο τὴν τροπὴν καὶ πολλὰ μὲν πλοῖα κατέδυσαν αὐτάνδρα, πολλοὺς δὲ κατέτρωσαν, πλείστους δὲ ζῶντας συνέλαβον. Οἱ περιλειφθέντες οὖν εἰς τὸ τῆς Ἀνατολῆς μέρος εἰς τὰ Σγώρα λεγόμενα καταπλέουσιν. Ἀπεστάλη δὲ τότε καὶ Βάρδας ὁ Φωκᾶς διὰ γῆς μετὰ ἱππέων ἐγκρίτων παρατρέχειν αὐτούς· καὶ δὴ τούτων σύνταγμα ἱκανὸν ἀποστειλάντων πρὸς τὰ τῆς Βιθυνίας μέρη, ὥστε τὰ πρὸς τροφὴν καὶ τὴν ἄλλην χρείαν αὐτοῖς πορίσασθαι, περιτυχὼν τῷ τοιούτῳ συντάγματι ὁ εἰρημένος Βάρδας ὁ Φωκᾶς κακῶς τούτους διέθηκε, τρεψάμενος καὶ κατασφάξας αὐτούς. Κατῆλθε δὲ τηνικαῦτα καὶ Ἰωάννης μαγίστρος καὶ δομέστικος τῶν σχολῶν ὁ Κροκόας μετὰ παντὸς τοῦ τῆς Ἀνατολῆς στρατεύματος καὶ πολλοὺς τούτων διέφθειρεν ἀποσπάδας τῇδε κἀκεῖσε καταλαμβάνων, ὥστε συσταλέντας αὐτοὺς δέει τῆς αὐτοῦ ἐπιθέσεως μένειν ἀθρόως ἐπὶ τὰ οἰκεῖα πλοῖα καὶ μηδαμοῦ διεκτρέχειν (203[b]) κατατολμᾶν.

Cont.) ἀδείας τυχόντες οἱ παροδῖται, τοῦτον Εὔξεινον ἐπωνόμασαν Vat. Cont. Sym.— ..... ὃ τὴν ἐπωνυμίαν εἴληφε διὰ τῶν (τὸ Vat. Cont.) τῆς Ἀργοῦς πλωτήρων ἐκεῖσε διερχομένων αὐτόθεν ἀνίδρυσαν ἱερὸν Sym. post ἐπίθετο Vat. Cont. — αὐτὸς ἀθ. Τ. ἐπ. καὶ τὰ μὲν πλ. πλοῖα κατ. Sym.

* ἐν Leo. — 2. Ῥωσιακῶν ed. — 3. τὰ λ. δὲ Vat. τὰ δὲ λ. τούτων Cont. τὰ δὲ λ. εἰς φυγὴν ἐτράπησαν ὅθεν καὶ τελείας τροπῆς γενομένης τὰ μὲν τῶν πλοίων αὐτῶν αὐτ. κατ. Sym. τὰ λ. δὲ Leo. — 4. ὡς ed. — 5. ἐπεκδραμόντες Leo. — 6. αὐτ. πλείστους Sym. ἄνταν̃δρα Leo. — 7. κατέστρωσαν Leo. — Οἱ δὲ π. εἰς Sym. — 8. τὰς Ῥωγὰς λεγομένας κ. Sym. τὰ Σγόρα λ. κ. Vat. Cont. — 9. Καὶ ἐπεὶ ὁ. π. τὰ τῆς Β. μ. ἀπέστειλαν χρειῶν ἕνεκα, ἐντυγχάνει τούτους Β. ὁ Φ. καὶ γὰρ ἀποσταλεὶς ἦν ἐπὶ τούτῳ μ. ἱ. ἐκκρίτων παρατρέχων ἀ. καὶ κατέσφαξεν ἅπαντας Sym. — 10. ἐκκρ. τοῦ π. Vat. ἐκκρ. ἀνδρῶν τοῦ π. Cont. — 12. συμπ. Vat. — 13. αὐτοὺς δ. Vat. — 14. Ἀλλὰ καὶ ὁ Κουρκούας Sym. — 15. Ἰω. μ. καὶ δ. τῶν σχ. ὁ Κουρκούας Vat. Ἰω. ὁ δ. τῶν σχ. ὁ Κ. Cont. Ἰω. ὁ δομέστικος ὁ Κουρκούας Leo. — 16. στρ. κατελθὼν τοὺς ὑπολειφθέντας εὑρίσκων ἀπέκτεινεν Sym. — 17. τ. π. ed. — 18. διαλαμβάνων Vat. — 19. μ. ἐπὶ τὸ αὐτὸ παρὰ τὰ Vat. Cont. — πλ. μ. δὲ Vat. — 20. διατρέχειν ed. ἐκτρ. Vat. παρεκτρ. Cont.

(51) Πολλὰ δὲ καὶ μέγιστα κακὰ οὗτοι διεπράξαντο πρὸ τοῦ τὸ Ῥωμαϊκὸν στράτευμα κατελθεῖν· τό τε γὰρ Στενὸν λεγόμενον ἅπαν ἐνέπρησαν καὶ οὓς συνελάμβανον αἰχμαλώτους, τοὺς μὲν ἀνεσταύρουν, τοὺς δὲ τῇ γῇ προσεπατταλευον τοὺς δὲ ὥσπερ σκοποὺς ἱστῶντες βέλεσι κατετόξευον· ὅσους δὲ τοῦ ἱερατικοῦ κλήρου συνελάμβανον, ὄπισθεν τὰς χεῖρας δεσμοῦντες, ἥλους σιδηροῦς κατὰ μέσης τῆς κεφαλῆς αὐτῶν κατεπήγνυον, πολλούς τε ἁγίους ναοὺς τῷ πυρὶ παραδεδώκασι. Χειμῶνος δὲ ἤδη ἐνισταμένου καὶ τροφῶν ἀπορουῦντες, τότε ἐπελθὸν στράτευμα δεδιότες, τάς τε ναυμάχους πλέον τριήρεις, ἐβουλεύσαντο τὰ οἰκεῖα καταλαβεῖν· καὶ δὴ λαθεῖν τὸν στόλον σπουδάζοντες (Σεπτεμβρίῳ μηνὶ ιε' ἰνδικτιῶνος)· ἀντιπλεῦσαι ὁρμηκότες (ἐπὶ τὰ Θρᾳκῶα μέρη), παρὰ τοῦ ῥηθέντος Θεοφάνους πατρικίου ὑπηντήθησαν (οὐ γὰρ ἔλαθον τὴν αὐτοῦ ἐγρηγορωτάτην καὶ γενναίαν ψυχήν). Εὐθὺς οὖν δευτέρα ναυμαχία συνάπτεται, καὶ πλεῖστα πλοῖα ἐβύθισε (καὶ πολλοὺς τούτων ἀπέκτεινεν ὁ εἰρημένος ἀνήρ·) ὀλίγοι δὲ μετὰ τῶν πλοίων περισωθέντες καὶ ἐν τῇ τῆς Κοίλης περιπεσόντες ἀκτῇ, νυκτὸς ἐπελθούσης, διέφυγον. Θεοφάνης δὲ ὁ πατρίκιος μετὰ νίκης λαμπρᾶς καὶ τῶν μεγίστων ὑπέστρεψε τροπαίων καὶ ἐντίμως καὶ μεγαλοπρεπῶς ὑπεδέχθη καὶ παρακοιμώμενος ἐτιμήθη.

(52) Ἐπεὶ δὲ ὁ ῥηθεὶς Ἰωάννης ὁ μάγιστρος ὁ Κροκόας ἄριστός τις ἐγένετο τὰ πολεμικὰ καὶ πολλὰ ἀνέστησε τρόπαια καὶ τὰ

---

1. Π. γὰρ κ. Leo. Πολλοὺς δὲ τόπους καὶ ν. ἐνέπρησαν καὶ τοὺς συλλαμβανομένους Ῥωμαίους τοὺς μὲν ἀν. Sym. 46. — 4. προσεπατάλευσαν Leo, προσεπήγνυον Sym. — 5. ἱστάντες Leo, Vat. Cont. — Τοὺς δὲ τοῦ κλ. ὁ. τὰς χ. δ. — αὐτῶν ἐπήγνυσαν Sym. — 8. παρέδωκαν Leo. — 9. Χ. δὲ ἡ. καταλαμβάνοντος καὶ εἰς τὰ ἐ. βουλόμενοι ἀπελθεῖν τὸν στ. λ. ἐσπούδαζον Sym. — 10. ναυμαχούντας τρ. ed. — νυκτὸς Leo, Cont. Vat. — 12. Ν. οὖν ἐκκλεύσαντας ὁ πατρίκιος Θ. τούτους ὑπήντησε Sym. om. Σεπτ. μ. ιε' ἰνδ. — 14. π. Θ. π. ed. ὑπὸ τοῦ β. Θ. Leo. π. τοῦ β. π. Θ. Cont. — Οὐδὲ γὰρ Leo, Vat. Cont. οὐ — ψυχὴν om. Sym. — 16. Καὶ εὐθὺς Sym. — ν. ἐγίνετο Leo. — 7. πλ. ἐπόντωσε ed. πλ. ἐβύθησ. cod. πλ. βυθίζονται Sym. om. καὶ π. — ἀνήρ. — 19. παραπ. Vat. Cont. περισωθέντες Leo. — ἐφ. ed. — 20. λ. καὶ μ. ὑποστρέψας τρ. ἐντ. Vat. Cont. ὑποστρέψας λ. ἐντ. Leo. — 23. Ἰω. μ. ed. Vat. Cont. ὁ Κουρκούας Vat. Cont. — 24. πολ. π. τε καὶ μεγάλα ἀν. ed.

Ῥωμαϊκὰ ἐπλάτυνεν ὅρια πλείστας τε πόλεις ἐπόρθησε τῶν Ἀγαρηνῶν, διὰ * τὸ περιφανὲς τῆς τοῦ ἀνδρὸς ἀρετῆς ἠβουλήθη ὁ βασιλεὺς Ῥωμανὸς εἰς τὸν ἑαυτοῦ ἔγγονον Ῥωμανὸν, τὸν ἐκ (τοῦ) Κωνσταντίνου ** υἱοῦ αὐτοῦ, τὴν τούτου θυγατέρα ἀναλαβεῖν. Φθόνου δὲ αὐτῷ τῆς τοιαύτης ἕνεκεν ὑποθέσεως παρὰ τῶν λοιπῶν βασιλέων κινηθέντος, ἐκπίπτει τῆς ἀρχῆς, δομέστικος δὲ ἀντικαθίσταται ὁ πατρίκιος Πανθήριος, συγγενὴς τοῦ βασιλέως ὢν Ῥωμανοῦ.

943 (53) Ἰνδικτιῶνι δὲ α', Ἀπριλλίῳ μηνὶ ἐπῆλθον πάλιν οἱ Τοῦρκοι μετὰ πλείστης δυνάμεως· ὁ δὲ πατρίκιος Θεοφάνης ὁ παρακοιμώμενος ἐξελθὼν σπονδὰς εἰρηνικὰς ἐποίησε μετ' αὐτῶν, ὁμήρους τῶν ἐμφανῶν ἀναλαβόμενος, ἐξ οὗ καὶ συνέβη ἐπὶ χρόνοις ε' τὴν εἰρήνην διαφυλαχθῆναι ***.

944 (54) Δευτέρᾳ δὲ ἰνδικτιῶνι ὁ βασιλεὺς Ῥωμανὸς Πασχάλιον πρωτοσπαθάριον καὶ στρατηγὸν Λογγιβαρδίας πρὸς τὸν ῥῆγαν Φραγγίας Οὔγγονα ἐξαπέστειλε τὴν **** αὐτοῦ θυγατέρα ἐπιζητῶν εἰς νύμφην Ῥωμανῷ τῷ τοῦ γαμβροῦ αὐτοῦ Κωνσταντίνου υἱῷ, ἣν καὶ ἀναλαβὼν ὁ εἰρημένος Πασχάλιος μετὰ πλούτου πολλοῦ ἐν τῇ πόλει ἀνήγαγεν. Γέγονε δὲ ὁ γάμος Σεπτεμβρίῳ μηνὶ ἰνδικτιῶνος τρίτης *****.

---

* δὲ ed. — 3. ἐκγ. Vat. Cont.—ἐκ K. Vat. Cont. — ** τοῦ ed. Vat. Cont.—8. ὢν τοῦ β. P. ed. — 9. Ἰνδ. cod. Ἰνδικτιῶνος ed. — 13. χρόν. cod. χρόνους Leo. — *** Ὁ δὲ βασιλεὺς Ῥωμανὸς πλείσταις πόλεσι κατά τε Μακεδονίαν καὶ Θράκην τὰς μὲν ἐκ βάθρων ἀνῳκοδόμησε, τισὶ δὲ καινισμὸν ἐνεποίησεν, οὐ μὴν δὲ ἀλλὰ καὶ κατὰ τὴν βασίλειον πόλιν περιφανῆ παλάτια ἐκαινούργησεν, ἔτι καὶ κατ' ἀγροὺς τὸ ἐμπρεπὲς ἐμπαρέσχετο, πρὸς δὲ (ἔτι Cont.) καὶ λειμῶνας ἀμφιλαφεῖς καὶ εὐκάρπους ἐξ ὧν οὐ τυχοῦσα τέρψις ἐγγίνεται, ναὶ δὴ καὶ γερόντων τροφεῖα ξενουμένων τε καταγώγια, ἀῤῥωστούντων ἐνδιαιτήματα, τῶν κατὰ ψυχὴν ἕνεκεν ἀντιδόσεων Vat. et Cont. cf. Ced. 318,18: Ἱλασκόμενος δὲ τὸν θεὸν ὁ βασιλεὺς Ῥωμανὸς διὰ τὴν τῶν ὅρκων παράβασιν καὶ μετανοῶν ἐφ' οἷς κακῶς παρεσπόνδησεν, ἐποίει μὲν καὶ ἄλλας εὐποιίας, ἃς καταλέγειν ἔργον, ἀπέτισε δὲ καὶ τὰ χρέα τῆς πόλεως ἀπό τε πλουσίων καὶ πενήτων, δεδωκὼς, ὡς φασι, κεντηνάρια ιβ', τὰ δὲ γραμματεῖα κατακαύσας ἐν τῷ κατὰ τὴν Χαλκῆν πορφυρῷ ὁμφαλίῳ· δέδωκε δὲ καὶ τὰ ἐνοίκια τῆς πόλεως ἀπὸ τοῦ ὑψηλοτάτου καὶ μέχρι τοῦ ἐσχάτου· ἃ δὲ διετυπώσατο γίνεσθαι ψυχικὰ ἐπετείως ἐν τῇ νεουργηθείσῃ παρ' αὐτοῦ μονῇ τοῦ Μυρελαίου, ἴσασι πάντες μέχρι τοῦ νῦν τελούμενα. — 14. Β' δὲ ἰνδ. cod. Δευτέρας δὲ ἰνδικτιῶνος ed. Cont. Τῇ δὲ β' ἰνδικτιῶνι Sym. 48. — 15. Λογγοβάρδων Leo. — 16. ῥίγαν Φ. Ὁ. cod. ῥῆγα Φ. Οὔγωνα Leo. Vat. Cont. ῥῆγα τῶν Φράγγων Sym. 48. ῥῆγα Φ.Οὔγοννα ed.— **** τοῦ Leo. — 17. τῷ ὑ. τοῦ γ. ἀ. K. ed. — ***** ἥτις καὶ Vat. Cont.

ζήσασα· ἔτη πέντε ἐτελεύτησεν ἐν ταῖς ἡμέραις τῆς αὐτοκρατορίας Κωνσταντίνου τοῦ αὐτῆς πενθεροῦ.

(55) Ἀνέμου δὲ βιαίου σφόδρα καταπνεύσαντος Δεκεμβρίῳ μηνί, οἱ λεγόμενοι ἐν τῷ ἱππικῷ δῆμοι κατέπεσον, οἱ ἀπ' ἐναντίας τοῦ βασιλικοῦ θρόνου ἐτύγχανον, καὶ συνέτριψαν τά τε ὑποκάτωθεν αὐτῶν βάθρα καὶ τὰ στήθεα λεγόμενα. Χρόνου δὲ περικυκλεύσαντος, τῷ αὐτῷ μηνὶ τὸν βασιλέα Ῥωμανὸν** τοῦ παλατίου κατήγαγον.

(56) Τῆς δὲ πόλεως Ἐδέσης, ἐν ᾗ τὸ τοῦ Χριστοῦ τί- 944
μιον ἐκμαγεῖον ἀπέκειτο, παρὰ τοῦ Ῥωμαϊκοῦ πολιορκουμένης στρατεύματος [καὶ] εἰς ἀνάγκην μεγίστην περιϊσταμένης, ἀπέστειλαν οἱ ταύτης οἰκήτορες πρὸς τὸν βασιλέα Ῥωμανὸν διαπρεσβευόμενοι τῆς πολιορκίαν λυθῆναι, τὸ*** τοῦ Χριστοῦ ἅγιον ἐκμαγεῖον παρέχειν ἐπαγγειλά(204ᵃ)μενοι· ὑπὲρ τῆς τοιαύτης δὲ χάριτος δεσμίους ᾐτήσαντο τῶν ἐπιφανῶν ἀντιλαβεῖν, χρυσοβουλλίον τε λαβεῖν ὥστε μηκέτι τὴν τούτων χώραν παρὰ τοῦ Ῥωμαίων στρατοῦ ληΐζεσθαι· ὃ δὴ καὶ γέγονε. Τοῦ δὲ ἁγίου ἐκμαγείου ἀποσταλέντος καὶ ἤδη τῇ Κ. Π. πλησιάζοντος, Θεοφάνης ὁ πατρίκιος καὶ παρακοιμώμενος ἐν τῷ ποταμῷ Σαγάρῳ ἐξελθών, ὑπήντησεν αὐτῷ μετὰ λαμπρᾶς φωταγωγίας, τιμῆς τε καὶ ὑμνῳδίας****. Καὶ τῇ ιε' τοῦ Αὐγούστου μηνὸς σὺν αὐτῷ ἐν τῇ πόλει εἰσῆλθεν, τοῦ***** βασιλέως [ἐν Βλα-

---

* μετὰ τοῦ ἀνδρὸς Cont. μ. τοῦ ἀ. αὐτῆς post ἔτη Vat. ἐτ. ζ. ἐ. μ. τοῦ ἀ. ἀ. ε Leo. — ἐτ. ταῖς Cont. — 3. β. καὶ σφοδροῦ Vat. Cont. — 6. ὑπ. μάρμαρα καὶ στ. Leo. — στιθέα cod. στηθεῖα Vat. Cont. — 7. περικυκλωμένου Leo, περικυκλωσ. Vat. Cont. — ** οἱ υἱοὶ αὐτοῦ ed. Cont. — 9. Ὅπως τὸ τίμιον τοῦ χῦ ἀφομοίωμα εἰσῆλθεν ἐν τῇ Κ. Π. Vat.—τὸ τ. τοῦ χῦ Leo.—τὸ τοῦ χῦ ἅγιον Sym. 50. στρ. οἱ ὁ. τ. π. τὸν β. δ. Ῥ. τοῦτο παρέχειν εἰ τὴν π. λύσειεν ὅπερ καὶ γ. καὶ χρυσόβουλλον ἐδόθη μηθ' ἕτι ὑπὸ Ῥ. τὴν χ. αὐτῶν λ. Sym.—προισ. Leo. — *** δὲ Leo.—14. ἐπαγγελλομ. Leo, Vat. Cont.—15. ὑ. τ. δὲ χ. Leo, ὑ. δὲ τῆς τ. χ. Vat. Cont.— 16. ἐπιφ. Vat. Cont.—ἀπολ ed.—χρυσοβούλλ. cod. χρυσόβουλλα ed.—λ. ὥστε τὴν τ. χ. μ. cod. ἀπ. ἀπηντ. ἀ. Θ. ὁ π. Sym.—19. τῆς ed.—πλησιασαμένου cod.— 20. Σαγγάρῳ cod. Σάγαρ. Leo. — 21. μ. φ. καὶ τῆς δεούσης τ. καὶ ὑ. cod. μ. λ. τ. τε καὶ ὑ. Leo. μ. λ. φ. καὶ τῆς δ. τ. τε καὶ ὑ. Vat. Cont. μ. λ. φ. καὶ τῆς δ. τ. καὶ ὑ. Sym. — **** κατὰ τὸν Σάγγαριν ποταμὸν Sym. — 22. τῇ δὲ ιθ' τοῦ αὐτοῦ μηνὸς Sym. — 23. εἰσῆλθ. cod. εἰσῆλθον ed. — ***** δὲ Sym. — ὁ. ἐν B. Sym.

χέρναις] ὄντος κἀκεῖ αὐτὸ προσκυνήσαντος. Τῇ δὲ ἐπαύριον ἐξῆλθον ἐν τῇ χρυσῇ πόρτῃ οἵ τε τοῦ βασιλέως δύο υἱοὶ Στέφανός τε καὶ Κωνσταντῖνος καὶ ὁ γαμβρὸς αὐτοῦ Κωνσταντῖνος σὺν τῷ πατρίαρχῃ Θεοφυλάκτῳ· καὶ μετὰ τῆς δεούσης τοῦτο ἀναλαβόντες τιμῆς, τῆς συγκλήτου πάσης προπορευομένης καὶ φωταγωγίας μεγίστης προαγούσης, μέχρι τοῦ * ναοῦ τῆς ἁγίας τοῦ θεοῦ σοφίας πεζοὶ ** διεκόμισαν καὶ προσκυνηθὲν ἐκεῖσε ἐν τῷ παλατίῳ ** ἀνήγαγον.

(57) Ἐν ταύταις δὴ ταῖς ἡμέραις Ἀρμενιόν τι τέρας τῇ πόλει ἐπεδήμησεν, παῖδες συμφυεῖς ἄῤῥενες, ἐκ μιᾶς προελθόντες γαστρὸς, σῶοι μὲν καὶ ἄρτιοι πάντα τὰ μέλη τοῦ σώματος, ἀπὸ δὲ τοῦ στόματος τῆς γαστρὸς καὶ μέχρι τῶν ὑπογαστρίων συμπεφυκότες καὶ ἀλλήλοις ὑπάρχοντες ἀντιπρόσωποι, οἱ ἐπὶ πλεῖστον *** τῇ πόλει ἐνδιατρίψαντες καὶ ὑπὸ πάντων ὡς ἐξαίσιόν τι τέρας ὁρώμενοι, τῆς πόλεως ὡς πονηρός τις οἰωνὸς ἐξηλάθησαν. Ἐπὶ δὲ τῆς μονοκρατορίας **** Κωνσταντίνου πάλιν εἰσήλθοσαν. Ἐπεὶ δὲ ὁ ἕτερος αὐτῶν ἐτεθνήκει, ἰατροί τινες ἔμπειροι τὸ συγκεκολλημένον μέρος διέτεμον εὐφυῶς, ἐλπίδι τοῦ τὸν ἕτερον ζήσεσθαι, ὃς τρεῖς ἡμέρας ἐπιβιοὺς ἐτελεύτησεν.

(58) Ὁ δὲ Ῥωμανὸς ὁ βασιλεύς, ὡς ἀνωτέρω εἴρηται, ἐν

---

1. Καὶ τῇ ἐπ. Vat. Cont. τῇ ἐπ. Sym.— 2. ἐξῆλθ. cod. ἐξῆλθεν Leo.—οἱ δὲ τοῦ Leo, οἵ τε Vat. Cont.— 3. Στ. καὶ Κ. Leo. Sym.— 4. Θ. καὶ τῇ συγκλήτῳ πάσῃ καὶ τοῦ λαοῦ προπορευομένου μετὰ φ. μ. Sym. — * ἁγίου cod. — 7. τοῦ θῦ om. Sym.— 8. πεζῇ cod. πεζὸν Leo.— ** τοῦτο Sym. bis.—Περὶ τῶν κεκολλημένων παίδων cod. π. τῶν συγκ. β' ἀῤῥένων καὶ τέρας τι μέγα φαινομένων Vat. — Διήγησις τεραστίου τινός Ven. Ἐν τ. δὲ Leo. Ἐν τ. Sym. 51. — 10. — 11. ἐκφοιτήκει Leo, Vat. Cont. Sym. — 12. γ. ἀ. μὲν π. Leo, Vat. Cont. Sym. — 13. ἀπὸ δὲ στ. Vat. Cont.— 14. τὸν ὑπὸ γαστέρα Leo, τῶν ὑπὸ γ. Vat. Cont. Sym. τῶν ὑπογαστρ. cod. — καὶ om. Sym. — ἀλλήλους Leo. — *** ἐν Sym. — 15. ἐνδ. ὑπὸ π. ὡς ἐ. τι τ. ἐθαυμάζοντο, ὅθεν καὶ ὡς π. τις ὀ. τῆς π. ἐξηλάθη, πάλιν δὲ ἐπὶ Sym.— 18. τῆς om. Cont. — **** βασιλείας Leo, Vat. τῆς β. Sym. — Κ. εἰσῆλθε Sym. Κ. εἰσήλθεσαν Leo. — 19. Καὶ ἐπειδὴ ὁ Sym.— 23—848,4 om. Ven. ἐτέθνηκεν Leo.— Leo. — 21. ἀλλὰ καὶ οὗτος γ' ἡ. Sym. — Καὶ ἐν π. μὲν ὡς ἀ. ἐ. μ. π. ἐ. ὁ β. Leo. Ἐν π. μὲν οὖν ὡς ἀ. ἐ. τοῖς μ. π. ἐκ. ἀμ. Sym. 52. Καὶ ἐν π. μὲν μ. ὡς ἀ. ἐ. π. ἐ. ἀ. ὁ β. Cont. Καὶ ἐν π. ὡς ἀ. ἐ. μ. π. ἐ. ὁ β. Vat.

πᾶσι μοναχοῖς πίστιν ἐκέκτητο ἄμετρον, διαφερόντως δὲ ἐτίμα καὶ ὑπερεσέβετο Σέργιον, τὸν ἐν μοναστα῀ῖς διαλάμποντα, ὃς ἀδελφὸς μὲν τοῦ μαγίστρου ὑπῆρχε Κοσμᾶ *, ἀνεψιὸς δὲ τοῦ πατριάρχου Φωτίου **, ὃν πλέον τῆς σαρκικῆς εὐγενείας ἡ κατὰ ψυχὴν ἐτίμα εὐγένεια· ἀρετῆς γὰρ εἰς ἄκρον καὶ γνώσεως ἤλασεν, ὡς δυσχερὲς εἶναι διακρίνειν ποτέρῳ μᾶλλον πλεονεκτεῖ· οὕτως εἰς ἄκρον ἑκατέραν ἐξήσκησεν· ἐπήνθει τε αὐτῷ πρὸς τοῖς ἄλλοις καὶ τὸ τῆς διακρίσεως χάρισμα καὶ τὸ χάριεν τοῦ ἤθους καὶ τὸ μέτριον τοῦ φρονήματος· οὐ γὰρ ἀνέσπα τὰς ὀφρῦς ὡς οἱ νῦν σοφοί, οὐδὲ ἀλαζών τις ἐδόκει καὶ ὑπερήφανος, ἀλλὰ τὸν λόγον μὲν εἶχε γλυκύτερον μέλιτος ἀποστάζοντα, τὸ ἦθος δὲ πάγιόν τε καὶ σταθερὸν, ταπεινὸν δὲ τὸ φρόνημα. Τοῦτον δὴ τὸν ἀοίδιμον ἀδιαλείπτως μεθ' ἑαυτοῦ εἶχεν ὁ βασιλεὺς, κανόνα ὄντως καὶ στάθμην τὸν αὐτοῦ βίον ἀεὶ ῥυθμίζοντα, ὃς πολλὰ παρῄνει τῷ βασιλεῖ τῶν παίδων ἐπιμελεῖσθαι καὶ μὴ ἀπαιδεύτους ἐᾷν εἰς πονηρίαν ἐκκλίνοντας, μή ποτε *** αὐτὸς πάθοι τὸ τοῦ Ἠλεὶ, τιμωρίαν ἐκ τῆς τῶν παίδων παρανομίας ἐκτίσας ****.

(59) Ἐπειδὴ δὲ τοῦ παλατίου τοῦτον οἱ παῖδες κατήγαγον καὶ ἐν τῇ Πρώτῃ νήσῳ ἐξώρισαν, πάλιν τοῦτον εἶχε τῶν συμφορῶν παραμύθιον καὶ τῶν θλίψεων ἀκεσώδυνον φάρμακον, ᾧ συνῆν τότε καὶ Πολύευκτος μοναχὸς εὐλαβέστατος *****, καὶ αὐτὸς τὰ εἰκότα παραμυθούμενος,

---

2. ὑπερέσεβεν Leo, Vat. Cont. Sym. — μοναχοῖς Sym. — 3. ἀδ. ἐπεφύκει τοῦ μ. Cont. — ἐπεφύκει Leo, Vat. Cont. Sym. — Θωμᾶ Sym. — * τοῦ πρώτου τῶν κριτηρίων κτλ. Cont. — ** ἐτύγχανεν Leo, Vat. Cont. — 5. εὐσυγγενείας ed. συγγ. Vat. Cont.—εὐγ. τό τε τῆς διακρίσεως εὖθὺ καὶ τὸ τοῦ προσώπου χ. τὸ μ. τετ οὐ φρ. καὶ τοῦ ἡ. τὸν μέν γὰρ λ. Sym. — 7. ἐπλεονέκτει ed. — οὕτος cod. — 8. ἐπ. δὲ Vat. Cont. — δ. ἔρευθος καὶ Vat. Cont. — 9. χάριεν cod. — 10. κατὰ τοὺς νῦν σοφοὺς Vat. Cont. — 12. δὲ om. Sym. — τε om. ed. Vat. Cont. Sym. — σταθρ. cod. — τὸ δὲ φ. πολὺ φυσινὸν καὶ τ. Sym. — 14. κ. ὡς ἄν τις εἴποι τὸν ἀ. β. ἀεὶ β. οὗτος π. Sym.— 16. ἐγκλ. Leo. πορεύεσθαι Vat. — *** καὶ Leo, Vat. Cont. Sym. — 17. πάθ. cod. πάθοις Vat. πάθῃ Cont. — Ἠλὶ ed. Vat. Cont. Sym. — τ. ὑπὲρ τῆς Vat. Cont. τ. ἐκτ. ὑ. τῆς τῶν π. π. Sym. — **** ὃ καὶ γέγονεν Vat. Cont. Sym. — 19. Ἐκεῖ δὲ Leo, Vat. Cont. Καὶ γὰρ πρὸ ὀλίγων ἡμερῶν — ὅθεν δὴ καὶ τοῦ π. κατάγουσι τὸν πατέρα αὐτῶν καὶ ἐν τῇ ν. ἐξορίζουσι· ἀλλὰ δὴ καὶ π. αὐτὸν ἐ. ἐκεῖ Ῥωμανὸς ὁ βασιλεύς Sym. — 22. φ. ο. τούτῳ καὶ Π. ο ἐ. μ. τὰ Sym. — ***** οὐκ ἔλαττον (ὧν ἢ κατὰ om. Cont.) τὸν τοῦ εἰρημένου τρόπον Vat. Cont.

ὃς* τοῦ πατριάρχου Θεοφυλάκτου τελευτήσαντος, πατριάρχης ὑπὸ τοῦ βασιλέως Κωνσταντίνου προχειρίζεται Κ. Π.

(60) Ἐπεὶ δὲ πολλοῖς τρόποις βούλεται ὁ θεὸς σώζειν τὸν ἄνθρωπον, συνεχώρησε καὶ τὸν βασιλέα Ῥωμανὸν ἀδοκήτῳ περιπεσεῖν (204[b]) συμφορᾷ, ἵνα δι' αὐτῆς σωφρονισθεὶς καὶ τῶν οἰκείων ἐν συναισθήσει παραπτωμάτων γενόμενος, σωτηρίας ἀξιωθῇ. Συνεχώρησε γὰρ ἐπαναστῆναι αὐτῷ τὸν υἱὸν αὐτοῦ Στέφανον ὥσπερ ποτὲ Ἀβεσαλὼμ ἐπανέστη τῷ οἰκείῳ πατρὶ τῷ μεγάλῳ Δαυίδ. Συμβούλοις οὖν οὗτος πρὸς τοῦτο χρησάμενος τῷ τε ἀπὸ μοναχῶν Μαριανῷ καὶ Βασιλείῳ** τῷ πετεινῷ*** καὶ Μανουὴλ τῷ Κουρτίκῃ, συνειδότων αὐτῷ καὶ τῶν ἄλλων βασιλέων****, τοῦτον τοῦ παλατίου κακῶς κατήγαγε καὶ ἐν τῇ Πρώτῃ νήσῳ ἐξορίσας ἀπέχειρε μοναχόν.

ΙΒ'. ΒΑΣΙΛΕΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ.

Ὑπελείφθη οὖν αὐτοκράτωρ Κωνσταντῖνος ὁ τούτου γαμβρὸς*****, ὃς παραυτίκα Βάρδαν τὸν τοῦ Φωκᾶ τῇ τοῦ μαγίστρου ἀξίᾳ τιμήσας ὡς χρόνῳ πολλῷ τὴν ἐν****** πο-

---

* μετὰ ταῦτα διὰ τὸν εἰλικρινῆ αὐτοῦ βίον Vat. Cont. — 2. ἐπὶ ed. — Κ. τοῦ β. Sym. — 3. Κ. Π. om. Leo Vat. Cont. — post πατρ. Sym. multa alia de Sergio adjungens usque ad finem §. 62. — 4. Στέφανος τοίνον ὁ υἱὸς Ῥωμανοῦ ἐπαναστὰς τῷ πατρὶ καί τε χρ. Sym. 53. — ὁ ὃς β. Leo, Vat. Cont. — 5. α. ἀδ. π. Leo, Vat. α. ἀδ. προσπ. Cont. — 7. αἰσθ. Leo. — 8. Συνεχώρη. cod. Συνεχώρει Leo. — ἐπ. τὸν υ. αὐτῷ Στ. Vat. — 10. ἐπ. Δ. τῷ ὁ. π. Leo. Cont. ἐπ. ποτὲ τῷ ὁ. π. Vat. — τῷ Δ. ed. — ** τῷ πρωτοσπαθαρίῳ ed. Cont. — 12. τῷ Πετεινάκῃ ed, τῷ λ. πετεινῷ Sym. — *** λεγομένῳ Vat. — 13. λοιπῶν Sym. — **** ἐπεὶ μακρῷ γήρει καὶ νόσῳ τρυχόμενον εἶδε — βασιλείας Sym. — 15. ἔκειρε ed. — 17. Αὐτοκρατωρία Κ. Leo et Cont. Βασιλέως Κ. υἱοῦ Δέοντος ἐκ δευτέρου, ἐξ ἑτέρου βιβλίου. Τῷ ϛυμδ' ἔτει τοῦ κόσμου, τῆς δὲ θείας σαρκώσεως ϡμδ' ἐβασίλευσε μόνος ὁ Κ. ἐκ β' μετὰ καθαροτάτης χαρᾶς καὶ ἐποίησε στρατάρχην Β. τὸν Φ. δ. τῶν σχ. Par. 1708 (1). — ***** μηνὶ Δεκεμβρίῳ εἰκάδι ἐνδικτιῶνι τρίτῃ, ἐν ἔτει ϛυνδ' Vat. Cont. μ. Δ. κ', ἐνδικτιῶνος γ', ἐν ἔτει ϛυνδ' Cont. Sym. 1. — 19. ὃς αὐτ. Vat. Cont. — τὸν Φωκᾶν μάγιστρον καὶ δ. Sym. — 20. ὡς om. ed. ὃς Leo. — ****** τοῖς Leo. Vat. Cont.

λέμοις ἀνδραγαθίαν * ἐπιδειξάμενον, δομέστικον τῶν σχολῶν προχειρίζεται **, εἶτα *** Βασίλειον, ᾧ ἐπίκλην Πετεινός, πατρίκιον καὶ μέγαν ἑταιρειάρχην, τῷ δὲ τοῦ γένους τῶν Ἀργυρῶν Μαριανῷ τὰ μοναχικὰ ἀποδύσας, πατρίκιον καὶ κόμητα τοῦ στάβλου πεποίηκεν, ὡσαύτως καὶ Μανουὴλ τὸν λεγόμετον Κουρτίκην πατρίκιον καὶ δρουγγάριον τῆς βίγλης ****· οὕστινας τρεῖς οὐ μετὰ πολὺν χρόνον ἡ τοῦ θεοῦ δικαία κρίσις ὡς εἰς χριστὸν Κυρίου παροινήσαντας καὶ χεῖρας ἀδίκως ἐπιβαλόντας (καὶ) τῆς βασιλείας ὀρεγομένους μετῆλθεν· ἐπὶ καθοσιώσει γὰρ καταληφθέντες ***** ἑκάτερος αὐτῶν οἰκτίστῳ θανάτῳ τὸ ζῆν ἀπέῤῥηξαν· τὰ δὲ περὶ αὐτῶν πλατύτερά τε καὶ ἐπεξεργαστικώτερα ἐν τῇ προηγουμένῃ ἐξηγήσει ἐκθήσομαι.

(2) Μετὰ δὲ μ' ἡμέρας, τῇ κζ' τοῦ Ἰανουαρίου μηνός, 945
ὑποπτεύσας Κωνσταντῖνος τόν τε βασιλέα Στέφανον καὶ Κωνσταντῖνον τὸν ἀδελφὸν αὐτοῦ, μήποτε ****** κατ' αὐτοῦ τὰ ὅμοια διαπράξωνται (καὶ λογισάμενος), ὅπερ ἦν εἰκός, ὅτι εἰ τοῦ ἰδίου πατρὸς οὐκ ἐφείσαντο, πῶς αὐτοῦ φείσονται *******; ἑστιάσας αὐτοὺς, ἤδη ἐν τῇ τραπέζῃ ******** καθεζομένους, ἔτι τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν, ἀνήρπασαν τούτους οἵ (τε) λεγόμενοι Τόρνικοι καὶ ὁ πατρίκιος Μαριανὸς καὶ οἱ λοιποὶ οἱ) πρὸς τοῦτο ἡτοι-

---

* πολλάκις Leo, Vat. Cont. — 1. ἐπιδειξάμενος Leo. — ** καὶ Κωνσταντῖνον τὸν Γογγύλην Cont. ναυμαχίας ἡγήτορα καὶ στρατιάρχας τινὰς τῶν εὐχρήστων Vat. Cont. Sym. — 2. τὸν δὲ Πετεινὸν π. καὶ κ. τοῦ στ. π. τὸν δὲ Κ. π. Sym. — *** τὸν Leo.—πετεινάκης ed. πετεινὸν Leo.—3. τὸν δὲ τοῦ γ. τῶν Ἀ. Μαριανὸν Leo, τὸν δὲ ἐκ τοῦ γ. τῶν Ἀ. M. Vat. Cont.— 6. ἐπιλ. Leo, Vat. Cont.—βίγλας Leo, Vat. Sym.— **** ἐποίησεν Cont. — 7. μετ' οὐ π. Leo.—ὁ. ὁ ὃς συντόμως ἐπεξῆλθεν ὡς εἰς χ. κῦ π. ἐπὶ Sym.—9. καὶ om. ed. Vat. Cont. Leo. — ***** ὡς Sym.— 11. τὸν βίον ἀπ. Sym. omissis reliquis.—ἀπέῤῥηξ. cod. ἀπέῤῥηξε Leo, Vat.—12. πλατύτερόν τε καὶ ἐπεξεργαστι κώτερον Leo, Vat. Cont. — 13. προειρημένῃ Leo, cf. Cont. 4 qui solus horum exitum narrat.—ἐκθήσωμ. cod.—14. ἡμ. ὁ Πορφυρογέννητος ὑπ. Στ. Sym. 2.—15. τὸν τότε ed. τοὺς αὐταδέλφους Sym. — ****** καὶ Vat. Cont. Sym. — 17. πραξ. ed. — καὶ λ. om. Sym. — 18. φείσωνται Vat. Cont. — ******* λέγεται γὰρ ὅτι φθείρουσιν ἤδη χρηστὰ ὁμιλίαι κακαὶ, τῶν ὁμαιμόνων τί γίνεται; Sym. — 19. ἀ. καὶ φιλοφρονήσας ἔτι Sym. — ******** καὶ Vat. Cont. — 21. ἀν. οὗτοι οἱ Vat. Cont. — οἱ om. Vat. Cont., λεγ. — λοιποὶ οἱ om. Sym. — Τορνίκιοι ed. Vat. Cont. — 22. ηὐτρεπισμένοι Vat. Cont. Sym.

μασμένοι (καὶ τοῦ παλατίου καταγαγόντες) καὶ ἐν ταῖς πλησιαζούσαις νήσοις αὐτοὺς περιορίσαντες κληρικοὺς ἀπέκειραν.

(3) Μετ' ὀλίγον οὖν αἰτησάμενοι * τὸν ἴδιον πατέρα θεάσασθαι, ἐν τῇ Πρώτῃ νήσῳ παρεγένοντο καὶ τοῦτον ἐν τῷ μοναχικῷ σχήματι θεασάμενοι πένθει κατεσχέθησαν ἀφορήτῳ· οἷς ἐπιδακρύσας ὁ πατὴρ ἔφη· «υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν». Εἶθ' οὕτως ἐξωρίσθησαν, ὁ μὲν Στέφανος εἰς Προικόνησον **, ἀπὸ δὲ Προικονήσου εἰς Ῥόδον, ἀπὸ δὲ Ῥόδου εἰς Μιτυλήνην, ὁ δὲ Κωνσταντῖνος εἰς Τένεδον, ἐκεῖθεν εἰς Σαμοθράκην, ἐν ᾗ καὶ ἀνταρσίαν μελετήσας *** παρὰ τῶν αὐτὸν φυλασσόντων ἐσφάγη. Μιχαὴλ δὲ τὸν τοῦ Χριστοφόρου βασιλέως υἱὸν τὰ βασιλικὰ πέδιλα ἀφελόμενος, κληρικὸν **** πεποίηκεν.

(4) Ὄντος δὲ τοῦ βασιλέως Ῥωμανοῦ ἐν τῇ νήσῳ, ὁ πατριάρχης Θεοφύλακτος καὶ Θεοφάνης ὁ πατρίκιος καὶ παρακοιμώμενος βουλὴν ἐβουλεύσαντο ὥστε πάλιν ἐν τῷ παλατίῳ τοῦτον ἀγαγεῖν, ἣν καὶ αὐτῷ ἀνακοινωσάμενοι καὶ

---

1. καὶ τοῦ π. κ. om. Sym. — κατηγάγον καὶ Leo, Vat. Cont. — 2. περιώρισαν Sym. περιώρισαν καὶ Leo, Vat. Cont. — 4. Μετ' ὀ. δὲ τὸν ἰ. π. αὐτῶν ἀ. ἰδεῖν μοναχὸν ὄντα, π. ἀ. κατεχόμενοι· ὁ δὲ ὁμοίως ὀδυρόμενος πρὸς αὐτοὺς ἐφθέγξατο Sym. 2. — * οὗτοι Leo, Vat. Cont. — 8. ἐξορίζονται Sym. — 9. Πρ. εἶτα εἰς Ῥόδον, ἔπειτα εἰς Μ. Sym. — ** ἤντινα Νέβριον (Νεβρίαν Cont.) ὠνομασμένην (ἐκ τῆς Cont.) κατὰ χρησμὸν δεδομένης ἀποικίας Σαμίων, οἷς ἀφικόμενος (ἀφικομένοις Cont.) πρὸς νῆσον καὶ τῷ θεῷ ἱλασκομένοις ἀριστοπιτουμένοις τε ἀωρία ἐτύγχανεν, ὁπόθεν ὕδωρ κομίσοιντο· γυνὴ δέ τις ἔφη αὐτοῖς· «εἰ ἔχετε πρόχοον δώσω ὑμῖν ὕδωρ» ὅπερ λαβόντες ὡς ὁ χρησμὸς, καὶ γῆν ἐξητήσαντο· τῆς δὲ καὶ ταύτην δεδωκυίας, Πρόχοον τὴν νῆσον ὠνόμασαν καὶ τοῖς ἀργυροῖς νομίσμασιν πρόχοον εἰκόνιζον Vat. Cont. — *** καὶ τὸν ἐκ βασιλικῆς κελεύσεως τὴν αὐτοῦ φυλακὴν πεπιστευμένον Νικήταν πρωτοσπαθάριον ἀναιρήσας καὶ αὐτὸς Cont. Vat. — 12. κατὰ Leo. — φ. ἀ. σφάζεται Sym. — 13. ἀνεσφάγη, οὗ τὸ σῶμα παρακομισθὲν ταφῇ παραδίδοται μεγαλοτίμως (ἐν λάρνακι ἐν τῇ μονῇ ἣ παρὰ Ῥωμανοῦ κατοικεῖτο om. Cont.) ἐν ᾗ πρὸ τούτου ἡ πρώτη αὐτοῦ σύμβιος ἀπέκειτο Ἑλένη τοὔνομα. Μιχαὴλ Vat. Cont. — βασ. om. ed. ante Χρ. Vat. Cont. Sym. — **** καὶ βαίκτορα Vat. καὶ μάγιστρον καὶ β. Cont. 14. ἐποίησε Θεοφύλακτος ὁ πατριάρχης Sym. — 16. Ὁμοίως καὶ Θ. π. καὶ παρακοιμώμενον ἐξ. καὶ Γ. πρ. καὶ π. Sym. 2. — 18. π. τ. ἐν τῷ π. ἀγ. Leo, Vat. τ. π. ἐν τῷ π. ἀγ. Cont. 5 post narratum Romani somnium quod hic solus exhibet inter chronographos.

παραπείσαντες τοῦτον, ἐκαιροσκόπουν πότε* πέρας τῇ τοιαύτῃ βουλῇ ἐπιθῶσιν. Ἐπεὶ δὲ τὰ τῆς βουλῆς ἐφωράθη καὶ κατεμηνύθη Κωνσταντίνῳ βασιλεῖ, τοὺς συνεργοὺς ταύτης ἠμύνετο· τὸν μὲν γὰρ Θεοφάνην πατρίκιον ἐξώρισεν, τὸν δὲ πρωτοσπαθάριον Γεώργιον καὶ πιγκέρνην καὶ Θωμᾶν πριμικήριον δείρας καὶ κουρεύσας καὶ μέσον τῆς πόλεως θριαμβεύσας οὕτως ὑπερορίᾳ παρέπεμψεν.

(5) Δεκεμβρίῳ δὲ μηνὶ, ς' ἰνδικτιῶνος, ἐπιβουλήν τινες 947
κατὰ τοῦ βασιλέως Κωνσταντίνου ἐμελέτησαν, βουλόμενοι τὸν βασιλέα Στέφανον ἐν τῷ παλατίῳ ἐκ τῆς νήσου ἀγαγεῖν. Ταύτης (205ᵃ) οὖν μηνυθείσης τῆς ἐπιβουλῆς Κωνσταντίνῳ διὰ Μιχαὴλ τοῦ Διαβολίνου λεγομένου, τοὺς ἐπιβούλους κρατήσας ὁ βασιλεύς, τῶν μὲν τὰς ῥίνας καὶ τὰ ὦτα ἀπέτεμεν, τοὺς δὲ δαρμῷ ἀφορήτῳ ὑπέβαλε καὶ ὄνοις ἐπικαθίσας διὰ μέσης τῆς πόλεως ἐθριάμβευσε καὶ ἐξορίᾳ παρέπεμψε.

(6) Πεντεκαιδεκάτῃ δὲ Ἰουλίῳ μηνὶ, ἰνδικτιῶνος ς', Ῥω- 948
μανὸς ὁ βασιλεὺς ἐν τῇ Πρώτῃ νήσῳ τελευτᾷ· καὶ τὸ σῶμα αὐτοῦ ἐν τῇ πόλει διακομισθὲν ἐν τῇ αὐτοῦ ἀπετέθη μονῇ.

Δόξα τῷ θεῷ πάντων ἕνεκα· ἀμήν.
Τετέλεσται καὶ τὰ τοῦ λογοθέτου.

---

* τὸ Leo, Cont. — 2. ἐπιθήσουσιν Leo, Vat. Cont. — ἐφωράθησαν Leo. — 4. ἠμύνατο Vat. Cont. — π. Θ. ed. Vat. Cont. — 5. καὶ π. Γ. ed. Γ. τὸν π. Vat. — 6. οὗς δ. καὶ κ. θρ. ἐξώρισε διὰ τὸ φωραθῆναι αὐτοὺς καιροσκοπεῖν τοῦ εἰσαγαγεῖν π. Ῥ. ἐν τῷ π. Sym. — καὶ μ. τῆς π. θρ. om. Vat. Cont. — 8. Τῷ Δ. μ. Sym. — ς' ἰνδ. cod. ἕκτῃ ἰνδικτιῶνι Vat. ἰνδικτιῶνος ς' Cont. τῆς ς' ἰνδ. Sym. — ἐπιβουλῆς γενομένης εἰς τὸ τὸν Στ. ἐκ τῆς ν. ἀγ. ἐν τῷ π. ἐπεὶ παρὰ Μ. τοῦ Δ. ἐμηνύθη, πάντων κρατηθέντων, τῶν μὲν Sym. — 12. ἐπ. δ. ἀφ. ὑπ. τοὺς μὲν τὰς β. καὶ τὰ ὠ. ἀπ. Leo. — 14. ἐγκ. Leo, ἐπικ. καὶ θριαμβεύσας ἐξώρισεν Sym.—17. Τῇ δὲ ιε' τοῦ Ἰουλίου μηνὸς τῆς ς' ἰνδικτιῶνος Sym. 4. ιε' δὲ ἰουλ. μὴν. ἰνδ. ς' cod. Πέμπτῃ δὲ καὶ δ. Ἰουλίου μηνὸς ἕκτης ἰνδ. Leo, Π. δὲ Ἰουλίου μ. ἕκτῃ ἰ. Vat. Π. δὲ Ἰουνίου μ. ἰνδικτιῶνος ἕκτης Cont. Π. Ἰ. μ. ed. — Ῥ. β. Vat.—18. Πρ. om. Sym. (et Leo.?).— προτελ. Leo. pro Πρώτῃ τελ. — 19. ἕως ὧδε τὸ πέρας τῶν χρονικῶν συνταγμάτων, clausula indicis codicis Par. 1706. ἐτελείωθη ἡ τῶν νέων βασιλέων χρονογραφία πληρωθεῖσα παρὰ Λέοντος γραμματικοῦ μηνὶ Ἰουλίῳ ὀγδόῃ, ἑορτῇ τοῦ ἁγίου μεγάλου μάρτυρος Προκοπίου, ἔτους ϛφκα', ἰνδικτιῶνι ἑνδεκάτῃ Leo. Quae sequuntur e breviario Sym. edito desumta sunt. nec in codice Mosquensi nec in ceteris Georgii codicibus inveniuntur praeter Par 1708 et Ven.

[Π' ΜΟΝΟΚΡΑΤΟΡΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ].

945 (5) Μετὰ γοῦν τὸ μόνον καταλειφθῆναι τὸν αὐτοκράτορα Κωνσταντῖνον, προεχειρίσατο Βασίλειον τὸν πρωτοβεστιάριον αὐτοῦ, τὸν ἀπὸ παλλακῆς φυσικὸν υἱὸν Ῥωμανοῦ τοῦ πρὸ αὐτοῦ βασιλέως, πατρίκιον καὶ παρακοιμώμενον καὶ παραδυναστεύοντα τῆς συγκλήτου. Οὗτος δὲ ἦν ἐχέφρων καὶ λόγιος καὶ τῷ βασιλεῖ ἐν πᾶσιν
956 ὑπηρετῶν αἰσίως καὶ πρεπόντως *. — Τότε καὶ ὁ πατριάρχης Θεοφύλακτος ἀῤῥωστήσας καὶ ὑπ' αὐτῆς κυριευθεὶς ἐτελεύτησε, κρατήσας τῆς ἐκκλησίας ἔτη κδ'. χειροτονεῖται δὲ ἀντ' αὐτοῦ (ὁ ἀνωτέρω εἰρημένος) Πολύευκτος μοναχὸς, τίμιος ἀνὴρ καὶ ἁγιώτατος.

(6) Τότε καὶ ἀποστολικῶν ἐσθήτων ἀποκεκρυμμένων ἔν τινι γωνίᾳ τῆς πόλεως δηλωθεισῶν τῷ βασιλεῖ, μετὰ πάσης τιμῆς καὶ δοξολογίας ἀνελόμενος αὐτὰς τῷ μεγάλῳ τῶν ἀποστόλων ἀπεθησαύρισε ναῷ καὶ τὰ λείψανα τοῦ θεολόγου Γρηγορίου, ἃ καὶ μερισθέντα τὰ μὲν ἐν τῷ σηκῷ τῶν ἁγίων ἀποστόλων ἐτέθησαν, τὰ δὲ ἐν τῷ ναῷ τῆς ἁγίας μάρτυρος Ἀναστασίας.

(7) Ὁ τοίνυν βασιλεὺς διὰ τὸ τὸν μάγιστρον καὶ δομέστικον τῶν σχολῶν, Βάρδαν τὸν Φωκᾶν λεγόμενον εἰς γῆρας ἐλάσαι καὶ ἀδυνάτως πρὸς τοὺς κόπους ἔχειν, τοῦ δομεστίκου ἀποκινεῖ καὶ ἀντ' αὐτοῦ προβάλλεται δομέστικον Νικηφόρον πατρίκιον καὶ στρα-

---

1. Rubrica a nobis addita *ad textum breviarii Symeonis logothetae editum*. — 3. Μετὰ δὲ Cont. 9 post insertam §. 8 historiam de terrae hiatu in domo Ioannis Curcuae facto. — κατ. αὐτ. Cont. — * Ὁ δὲ φιλάνθρωπος Κωνστάντινος διενοήθη ἀλλάγιον ποιῆσαι μετὰ τοὺς Ταρσίτας κτλ. Cont. 9 de exactionum oneribus sublevatis 10. — 8. Ὁ δὲ π. Cont. 11. — ** πρὸς τὸ θανεῖν ἐγγίσας καὶ μικρὸν βωσθεὶς οὐκ ἐνέδωκεν ἑαυτὸν τῆς πονηρᾶς μοχθηρίας καὶ τοῦ μετὰ δώρων χειροτονεῖν τοὺς ἀρχιερεῖς καὶ ἐπιμελεῖσθαι τῶν ἵππων καὶ βλακεῖων καὶ αὖθις Cont. — 9. ὑπὸ τῆς νόσου κ. τέλει τοῦ βίου χρᾶται, πατριαρχεύσας χρόνους κδ' Cont. — 10. ὁ ἀν. ἐ. om. Cont. — 11. μον. ἀσκητικὸν βίον διαλάμπων κτλ. Cont. — 12. Τῶν δὲ ἱερῶν καὶ πέπλων ὧν παρεῖχεν εἰς τὸ κοινὸν ἱλαστήριον τὸ μέγα καὶ πανθαύμαστον τίς ἐξείποι Cont. 28. — 18. Ὁ δὲ πορφυρογέννητος διὰ Cont. 41. Ἐπεὶ δὲ ὁ Βάρδας ἐγήρασε καὶ οὐδὲν ἐδύνατο πλέον νὰ στρατηγεῖ, ἔστεψε τὴν στραταρχίαν εἰς Ν. τὸν Φωκᾶν, ὡς εἰπεῖν ἀπὸ λέοντος εἰς ἄλλον λέοντα· Par. 1708 (3). — 19. τὸν λ. Φ. ἀδ. ἐχ. καὶ εἰς γ. ἐλ. τοῦ Cont.

τηγὸν τῶν ἀνατολικῶν, τὸν υἱὸν αὐτοῦ *. Ὡσαύτως καὶ πατρίκιον Λέοντα, τὸν τούτου αὐτάδελφον, στρατηγὸν τῶν δυτικῶν προχειρίζεται. Γέγονε δὲ ** ἐμπρησμὸς μέγας *** πλησίον τοῦ ναοῦ τοῦ ἁγίου Θωμᾶ, ὡς καῆναι τὸν ἔμβολον τὸν **** πρὸς τὴν σιδηρᾶν πόρταν.

(8) Ἰστέον δὲ ὅτι τῷ ιδ' ἔτει τῆς βασιλείας Κωνσταντίνου τοῦ 957
πορφυρογεννήτου — δεκαπέντε γὰρ ἐκράτησεν — ἐγεννήθη ὁ βασιλεὺς Βασίλειος ὁ ἔκγονος αὐτοῦ, υἱὸς δὲ Ῥωμανοῦ τοῦ υἱοῦ αὐτοῦ.—Τῶν δὲ Τούρκων ***** καταδραμόντων μέχρι τῆς πόλεως ἐν τῇ 958
ἑορτῇ τοῦ πάσχα καὶ ληϊσαμένων πᾶσαν τὴν Θρᾴκην καὶ παῖδαν πολλὴν λαβόντων, ὁ βασιλεὺς εὐθὺς τὸν πατρίκιον καὶ δομέστικον τῶν ἐξκουβίτων Πόθον τὸν Ἀργυρὸν μετὰ τοῦ τάγματος αὐτοῦ καὶ τοῦ στρατηγοῦ τῶν βουκελλαρίων καὶ τοῦ ὀψικίου καὶ Θρᾳκησίου κατὰ πόδας αὐτῶν ****** ἐξαπέστειλεν, οἳ καὶ νυκτὸς ἐπιπεσόντες κατέσφαξαν αὐτούς, λαβόντες καὶ τὴν παῖδαν καὶ τὴν αἰχμαλωσίαν πᾶσαν.

(9) Φασὶ δὲ, ὅτι εἰς τὴν γέννησιν τοῦ πορφυρογεννήτου λαμπρὸς ἀστὴρ ἐφάνη ἐπὶ ἡμέρας μ', καὶ πάλιν ἐπὶ τῇ κοιμήσει καὶ ἐξόδῳ αὐτοῦ ἀστέρα φανῆναι ἀμαυρὸν ἔχοντα φῶς. — Τελευτᾷ οὖν 959

---

* ἄνδρα ἐν πολλοῖς καὶ διαφόροις πολέμοις εὐδοκιμήσαντα κτλ. Cont. — 1. Ὁ δὲ βασιλεὺς τὸν π. Δ. τὸν υἱὸν Βάρδα μάγιστρον τοῦ Φωκᾶ στ. εἰς Ἀνατολικοὺς ἀντὶ τοῦ ἀδελφοῦ αὐτοῦ Νικηφόρου πρ. κτλ. Cont. 45 cf. infra in Romano (§. 1.) ipsum Sym. — ** καὶ Cont. 46. — *** καὶ φοβερὸς Cont. — 4. ὥστε κατακ. Cont. — **** ἀπερχόμενον Cont. — 6. Ἐγέννησε δὲ καὶ ἡ γυνὴ αὐτοῦ Ἑλένη, ἡ θυγάτηρ Ῥωμανοῦ, υἱὸν καὶ ὠνόμασεν αὐτὸν Ῥωμανόν· ὡς δὲ ἀνετράφη καὶ ἦλθεν εἰς ἡλικίαν, ἔζευξεν αὐτὸν καὶ γυναῖκα, καὶ ἐποίησεν υἱὸν τὸν ἐπὶ ἀνδραγαθίας μέγαν Βασίλειον τὸν Βουλγαροκτόνον καὶ ἐδέχθη αὐτὸν ὁ πάππος αὐτοῦ ὁ Κ. εἰς τὰς ἀγκάλας αὐτοῦ τὸν τοιοῦτον ἀριστέα καὶ γενναιότατον Par. 1708 (4). — ***** ἐκστρατείας ποιησάντων κατὰ Ῥωμαίων καὶ Cont. 47. — 9. π. τῇ ἑ. τοῦ ἁγίου π. Cont. — 10. π. Θρακῴαν ψυχὴν καὶ Cont. — 11. λαβόντες ed. om. Cont. — 13. καὶ τοῦ Θρᾳκήση κατὰ Cont. — ****** περάσας Cont. — 14. οἳ τῇ εὐπροσδέκτῳ πρὸς θν εὐχῇ τοῦ πορφυρογεννήτου ν. κ. καὶ κατεπολέμησαν λ. τὴν π. καὶ ἀ. αὐτοὶ δὲ ὑπὸ τῆς ἄγαν ἥττης καὶ τροπῆς αἰσχυνθέντες εἰς τὴν ἰδίαν γῆν ὑπέστρεψαν Cont. — 17. Φ. γὰρ εἰς τὴν γ. τοῦ ἄνακτος ἀστέρα λαμπρὸν κομήτην φανῆναι ἡ. μ', νῦν δὲ π. εἰς τὴν νόσον καὶ ἔξοδον ἀ. ἀσ. κατ' οὐρανὸν δειχθῆναι θολερὸν δὲ καὶ ἀμ. φ. ἐ. κτλ. Cont. 48, adjungems 49 et 50 de profectione ad balnea Olympi montis, 51 de morte, 52 et de sepultura. — 19. Ἐπεὶ δὲ μετὰ μικρὸν καιρὸν ἔμελλε καὶ αὐτὸς τελευτᾶν, ἀφῆκε τὴν βασιλείαν τὸν υἱὸν αὐτοῦ τὸν Ῥωμανόν. Par. 1708 (5).

νοσήσας πεποιηκὼς βασιλέα τὸν υἱὸν αὐτοῦ Ῥωμανὸν καὶ ϑάπτεται ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων μετὰ Λέοντος βασιλέως, τοῦ πατρὸς αὐτοῦ. Ἦν δὲ τῇ ἰδέᾳ εὐμήκης τὴν ἡλικίαν, λευκὸς τὴν χροιάν, εὐόφϑαλμος, χαροποὺς ἔχων (τοὺς) ὀφϑαλμούς, γρυπὸς ἤτοι ἐπίρινον, μακροπρόσωπος*, μακροτράχηλος**, εὐρὺς τοὺς ὤμους***, φιλοτράπεζος, φιλοινος, ἡδὺς τοῖς λόγοις ****. Ἔζησε δὲ χρόνους νε' καὶ ἐτελεύτησε μηνὶ Νοεμβρίῳ ιε', ἰνδικτιῶνος ς', ἔτους ,ϛυνς', καταλείψας αὐτοκράτορα ***** Ῥωμανὸν τὸν υἱὸν αὐτοῦ μεϑ' Ἑλένης τῆς μητρὸς αὐτοῦ.

[ΙΔ'] ΒΑΣΙΛΕΙΑ ΡΩΜΑΝΟΥ ΥΙΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ.

Κόσμου ἔτος ,ϛυνς', ϑείας σαρκώσεως ἔτει ϑνς' Ῥωμαίων βασιλεὺς Ῥωμανὸς ἔτη γ', μῆνας γ', ἡμέρας ε'. — Ἦν δὲ τὴν ἡλικίαν νέος, σφριγῶν τῷ σώματι, σιτόχροος, εὐόφϑαλμος, ἐπίρινον******, χαροπός, γλυκὺς τῇ ῥήμασι, ὄρϑιος******* ὡς κυπάρισσος, εὐρὺς τοὺς ὤμους, ἥσυχος καὶ προσηνής. — Καταλειφϑεὶς δὲ αὐτοκράτωρ παρὰ τοῦ πατρὸς αὐτοῦ Κωνσταντίνου τοῦ πορφυρογεννήτου, ἐτῶν ὢν κά σὺν Βασιλείῳ τῷ υἱῷ αὐτοῦ ἐναυσιαίῳ ὄντι καὶ τῇ μητρὶ αὐτοῦ Ἑλένῃ καὶ τῇ συνεύνῳ αὐτοῦ Θεοφανῷ, καὶ παρευϑὺ

---

5. Ἦν τῇ ἰ. ὁ πορφυρογέννητος Κωνσταντῖνος ὁ βασιλεὺς ἐ. Cont. 34. — τῇ ἡλικίᾳ Cont. — 3. τῇ χροιᾷ ὡσεὶ γάλα Cont. — 4. χ. ἐ. ὀ. Cont. — ** βοδινὸς Cont. — *** τῇ ἡλικίᾳ ὄρϑιος ὡσεὶ κυπάρισσος Cont. sicut in filio Romano. — 5. τοῖς ὤμοις Cont. — **** καλότροπος, προσηνὴς τοῖς πᾶσι καὶ ὡς τὰ πολλὰ δειλὸς Cont. — ***** καὶ ταῖς ἀντιλήψεσι πλούσιος Cont. — 6. Οὗτος ἀπὸ τῆς γεννήσεως μέχρι τοῦ ϑανάτου αὐτοῦ ἔζ. χ. νε' μῆνας β', ἡμέρας ... ἐτ. δὲ μ. Cont. — 7. ἰνδ. γ' Cont. ,ϛυξϑ' Cont. Ῥ. καὶ Ἑλένην Αὐγοῦσταν τὴν μητέρα Ῥωμανοῦ Cont. — ****** τὸν Cont. — 11. Rubrica Cont.; B. Ῥ. υ. Κ. Par. 1708—12. Ῥ. ὁ β. κατελείφϑη ἀ. π. τοῦ π. ἀ. τοῦ π. Κ. ἐ. ὡς κα', τοῦ πορφυρογεννήτου B. ἐναυσιαίου ὄντος ἅμα καὶ τῇ μ. ἀ. Ἑ. καὶ Θ. τῇ σ. ἀ. μηνὶ Νοεμβρίῳ ς', ἰνδικτιῶνος ἕκτης, ἔτους ἀπὸ κτίσεως κ. ,ϛυξϑ'. Cont. 1. Τῷ ϛυνϑ' ἔτει τοῦ κόσμου, τῆς δὲ ϑ. σ. ϑνϑ' ἐβασίλευσε Ῥ. ὁ υἱὸς Κ. Par. 1708 1). — ,ϛυξη' Cod. 337,14 — 13. Ἦν γὰρ τῇ ἡλικίᾳ ν. Cont. 5. — ******* βοδινοπρόσωπος Cont. — 14. χαροποιὸς καὶ γ. Cont. — ******** τῇ ἡλικίᾳ Cont. — 15. ὡσεὶ Cont. — τοῖς ὤμοις Cont. — 18. ἀλλ' ὁ Ῥωμανὸς οὗτος ἔϑηκεν ἄλλους ἐπιτρόπους καὶ οἰκονόμους εἰς τὰς βασιλικὰς ὑπηρεσίας Par. 1708 (2).

τοὺς * ἀνθρώπους τοῦ πατρὸς αὐτοῦ ** ἐν *** ἀξιώμασι μεγίστοις ὑπεραναβίβασε καὶ δώροις καταπλουτίσας **** τοῦ παλατίου κατήγαγεν· ἐξελέξατο δὲ καὶ προέκρινε παραδυναστεύοντας καὶ πρώτους ***** τῆς συγκλήτου Ἰωσὴφ πατρίκιον ****** καὶ δρουγγάριον τῶν πλωΐμων, ὄντινα καὶ μετὰ βραχὺ παρακοιμώμενον ἐποίησεν· τὸν δὲ πρωτοσπαθάριον Ἰωάννην τὸν Χοινὸν πατρίκιον καὶ μέγαν ἑταιρειάρχην προεβάλετο *******, τὸν δὲ πρωτοσπαθάριον Σισίνιον, τὸν ἀπὸ σακελλίου, ἔπαρχον πόλεως ἐχειροτόνησε ******** καὶ μετὰ βραχὺ πατρίκιον καὶ γενικὸν λογοθέτην *********. Τὰς δὲ ἀδελφὰς αὐτοῦ, Ζωὴν καὶ Θεοδώραν, Ἀγάθην καὶ Θεοφανὼ καὶ Ἄνναν, ἀπὸ τῶν βασιλικῶν κατήγαγε δόμων καὶ εἰς τὸν βασιλικὸν οἶκον, τὸν λεγόμενον Κανικλείου, ἐν ᾧ καὶ Σοφία Αὐγοῦστα ἡ τοῦ Χριστοφόρου βασιλέως γαμετὴ ἦν ἀποκεκαρμένη, ἐπήγαγεν καὶ μετὰ διΐππευσιν ἡμερῶν εἰς τὸ Ἀντιόχου ἐκλήρωσε· τὴν δὲ Ἀγάθην εἰς τὸ ἱδρυθὲν ********** φροντιστήριον παρὰ Ῥωμανοῦ τοῦ βασιλέως καὶ πάππου αὐτοῦ ἀπέστειλεν καὶ διωρίσατο χορηγεῖσθαι αὐταῖς ἃ καὶ ἐν τῷ παλατίῳ ἐδίδοντο. Τὸν δὲ δομέστικον τῶν σχολῶν καὶ πατρίκιον Νικηφόρον τὸν Φωκᾶν μαγίστρον ἐτίμησε καὶ ἐν τῇ ἀνατολῇ ἐξέπεμψεν· ὡσαύτως καὶ τὸν ἀδελφὸν αὐτοῦ πατρίκιον Λέοντα μάγιστρον καὶ δομέστικον τῆς δύσεως ἐποίησεν· καὶ αὐ-

---

* κοιτωνίτας καὶ Cont. 1. — ** πατρικάτα καὶ πρωτοσπαταράτα τιμήσας καὶ Cont. — *** ἑτέροις Cont. — 1. ἀξ. ὑπερβιβάσας καὶ Cont. — **** τῶν βασιλικῶν δόμων Cont. — ***** τοὺς Cont. — ****** πραιπώσιτον Cont. — 5. παρ. προανεβίβασεν καὶ πᾶσαν ἐξουσίαν καὶ φροντίδα τοῦ ὑπηκόου ἀνατέθεικε Cont. — 6. Ἰω. λεγόμενον τὸν Χοιρινᾶν Cont. — ******* τοῦ φυλάττειν τὸν ἄνακτα ἀπὸ τῶν ὑποπτευομένων προσώπων Cont. — 7. καὶ τὸν πρ. Cont. — ******** ἄνδρα λόγιον καὶ πρὸς τὸ κοινὸν ἐπιτήδειον ὄντινα Cont. — ********* προεβάλετο κτλ. de Sisinio, §. 2 de legationibus ad exteros et honoribus in viros generosos collatis. — 10. ἐκ τῶν β. δ. εἰς τὰ Κ. ἐν οἷς Σ. ἡ Ἀ. ἡ τοῦ Χ. καὶ τοῦ β. ἦν ἀπ. μοναχὴ κατ. καὶ μοναχὰς ἀπέκειρεν, πολλὰ καὶ τῆς Ἑλένης τῆς μητρὸς Ῥωμανοῦ καὶ αὐτῶν ὁλοφορυμένων καὶ ἀποκλαιουσῶν καὶ τῇ χειρὶ παρ' ἀλλήλων σφιγγουσῶν καὶ τῷ τραχήλῳ ἐπικειμένων, πλέον οὐδὲν ὠφέλησαν ἢ κωφοῖς καὶ κενοῖς δάκρυσι πάλιν δὲ αὐτὰς μετὰ δ. ἡ ἀπ' ἐκεῖσε ὁ αὐτοκράτωρ μετέθηκε καὶ τὴν μὲν Ζ. καὶ Θ. καὶ Θεοφ. εἰς τὰ Ἀ. ἐκλ. καὶ τὴν Cont. 3. — ********** καὶ κατασκηνωθὲν Cont. τοῦ τηνικαῦτα βασιλεύσαντος Cont. καὶ π. τοῦ αὐτοκράτορος ἀπ. Cont. αὐτὰς Cont. — 17. Τὸν δὲ Ν. καὶ δ. τῶν σχ. τὸν τοῦ Φ. μ. ἐτ. καὶ κατὰ τῶν ἀρνητῶν τοῦ χῦ ἐν τῇ ἑῴᾳ ἐξ. καὶ Cont. 4. — 19. π. τὸν Δ. στρατηγὸν προεβάλετο ὄντινα καὶ μετ' οὐ πολὺ μ. Cont. — 20. Καὶ ἦν ἰδεῖν τὸν ἄνακτα εὐφραίνομενον καὶ ἐν Cont. Καὶ ἀ. ἐδίδωκεν εἰς κυνήγια καὶ εἰς παραδιαβασμοὺς καὶ ἐξαφῆκε στρατείας καὶ φοσάτα καὶ ἐγύρευε λαγωνικὰ καὶ ζα-

τὸς ἦν εὐφραινόμενος ἐν κυνηγίοις καὶ θήραις δι' ὅλου ἁβροδίαιτος
961 τυγχάνων. — Ἐγέννησε καὶ ἕτερον υἱὸν μετὰ θάνατον τοῦ πατρὸς αὐτοῦ καὶ Κωνσταντῖνον αὐτὸν ὠνόμασεν, ὃς καὶ μετ' οὐ πολὺ ἐστέφθη παρὰ Πολυεύκτου πατριάρχου ἐν τῷ ἄμβωνι τῆς ἁγίας Σοφίας Ἡ δὲ Αὐγοῦστα Ἑλένη ἐν τῷ παλατίῳ συνῆν τῷ βασιλεῖ ἕως ἀῤῥωστήσασα κατὰ τὴν ιθ' τοῦ Σεπτεμβρίου μηνὸς τέθνηκεν· καὶ κατετέθη ἐν τῇ μονῇ τοῦ πατρὸς αὐτῆς, Ῥωμανοῦ τοῦ βασιλέως, ἐν λάρνακι πλησίον τοῦ πατρὸς αὐτῆς.

960 (2) Τὸν δὲ μάγιστρον καὶ δομέστικον * Νικηφόρον τὸν Φωκᾶν ὁ βασιλεὺς μετὰ στρατείας ** πολλῆς καὶ ἐξοπλίσεως πλοίων πολεμικῶν καὶ ὑγροῦ πυρὸς εἰς τὴν Κρήτην ἀπέστειλεν, ἥτις ὑπὸ Ῥωμαίους μὲν ἦν τὸ πρότερον, ἐπὶ δὲ τῆς βασιλείας Μιχαὴλ τοῦ Τραυλοῦ, τοῦ πατρὸς Θεοφίλου, ἐκρατήθη ὑπὸ τῶν ἀπὸ Ἱσπανίας ἀνελθόντων Σαρακηνῶν διὰ τὸ τηνικαῦτα ἀσχολεῖσθαι τὰ Ῥωμαϊκὰ στρατεύματα εἰς τὴν τυραννίδα καὶ στάσιν τοῦ ἀντάρτου Μωροθωμᾶ, τοῦ συντρόφου Μιχαὴλ, ὡς γενέσθαι τὴν ταύτης νήσου κράτησιν ἕως τῆς ἡμέρας ἧς πάλιν ἐπορθήθη παρὰ Νικηφόρου μαγίστρου καὶ δομεστίκου Φωκᾶ, ἔτη ρνη'. Ὑπῆρχον δὲ χελάνδια

γάρια καὶ κυνηγοὺς καὶ ἀφῆκε τὴν πολιτείαν καὶ ἐγύρευε τοὺς κάμπους καὶ τὰ ὄρη, καὶ διὰ λαγωὸν ἕνα ἢ ἀγρίμιν τί ποτε ἤθελε καταλύσει ὑπὲρ φ' Par. 1708 (3).

1. ἀγροδιαιτοῦντα ὡς τὸν βασιλικὸν δόμον πάντη ἀποστρεφόμενον κτλ. Cont. 4. adjunctis §. 5 aliis de exercitationibus ejus et de formositate, quae Sym. initio exhibet. — 2. Ὁ δὲ βασιλεὺς Ῥ. καὶ ἑ. ὑ. μ. θ. τοῦ π. ἀ. ἀπεγ. Κ. τοῦτον ὀνομάσας καὶ μετ' οὐ π. στέφεται Cont. 6. — 5. π. οὖσα κλινήρης καὶ συναγαλλομένη τῷ ἄνακτι καὶ ἐπὶ ἱκανοὺς χρόνους ἀῤῥωστοῦσα, εὐσεβῶς τεθ. κ. τὴν ιθ' τοῦ Σ. μ. καὶ ταύτην βασιλικῶς τιμήσας καὶ ἐν τῷ χρυσοκολλήτῳ καὶ διὰ μαργαριτῶν καὶ λίθων κλίνῃ τεθεῖσα, τῆς συγκλήτου προπεμπούσης, ἐν τῷ μοναστηρίῳ τῷ π. τοῦ π. τοῦ π. ἀ. Ῥ. β. συσταθέντι τῷ ὄντι εἰς τὸ Μυρέλαιον θάπτεται ἐν λ. π. καὶ σύνεγγυς τοῦ π. αὐτοῦ (sic) Cont. 6. — 9. Τότε ἐκρατοῦσαν τὴν Κρήτην οἱ Ἄῤῥαβες καὶ ἐποίησαν κάτεργα πλεῖστα καὶ ἐκούρσευαν τὰς νήσους καὶ τὰ παραγίαλα ὅλα Ν. δὲ ὁ Φ. ἄνθρωπος δραστικὸς καὶ δόκιμος καὶ πολεμιστὴς ἔμπειρος ἐνεπιστεύθη τὸν στόλον τὸν πολεμικὸν Par. 1708 (4). — * τῶν σχολῶν Cont. 7. — τὸν τοῦ Φωκᾶ ὁ ἄναξ κτλ. Cont. ἐκστρ. Cont. — ** καὶ δυνάμεως Cont. — 10. ἐξ. παραβίων π. Cont. — 11. εἰς Κ. διωρίσατο ἀπελθεῖν· οἱ γὰρ Κρητικοὶ πολλὰ δεινὰ καὶ κακὰ καὶ αἰχμαλωσίας καθ' ἑκάστην εἰς τὴν Ῥωμαίων γῆν ἐποιοῦντο κτλ. ἐπὶ γὰρ Μ. τοῦ Ἀμοῤῥαίου τοῦ π. Θ. ταύτην ἐκράτησαν καὶ τῶν στρατευμάτων εἰς τὴν στ. καὶ τ. τοῦ Μ. τοῦ σ. τοῦ Μ. κτλ. εὐκαιρίαν εὑρόντες οἱ ἀπὸ Σπ. ἀνελθόντες Σ. κτλ. ὡς εἶναι τὴν τούτων διακρατήσιν καὶ κατάσχεσιν ἕως τῆς ἡ. ἧς ἐπορθήθησαν π. τοῦ μ. καὶ δ. Ν. τοῦ Φ. ἐ. ρνη' (ρλη'?) Cont. — 18. Νῆες γὰς ὑπ. μ. ὑ. π. β Cont. 10 post Iosephi

μετὰ τοῦ ὑγροῦ πυρὸς β', δρόμωνες ά, καράβια καματηρὰ σιτάριν ἔχοντα καὶ ὅπλα πολεμικὰ τξ'. Ἀπάρας οὖν τῆς βασιλείας Νικηφόρος ὁ δομέστικος καὶ τὰ Φύγελα καταλαβὼν, ἐφρόντιζεν ὅπως ὁ σύμπας στόλος αὐτῷ ἐπὶ τὸ αὐτὸ εἴη καὶ προσορμίζοιτο· σπουδῇ ουν τὴν νῆσον καταλαμβάνουσιν· καὶ ἀποβάντων τῶν νηῶν χάρακα καὶ τάφρον βαθεῖαν κατεσκεύασαν. Τούτων οὕτως παρακαθεζομένων τῇ νήσῳ καὶ ἀπείρου χειμῶνος καὶ ὑετοῦ καὶ κρύους γενομένου καὶ τῶν σιτίων ** δαπανηθέντων ***, καταναρκήσαντες οἱ τοῦ στρατοῦ οἱκαδε ἠβουλήθησαν ἀναστρέψαι. Ὁ δὲ συνετώτατος Νικηφόρος καὶ δοὺξ τῇ τῶν λόγων ἡδύτητι τούτους κατέσχεν. Μαθὼν οὖν ὁ βασιλεὺς τὴν ἔνδειαν τοῦ στρατοῦ ἐπισιτισμὸν παντοίων τροφῶν αὐτοῖς ἀπέστειλεν. — Κατὰ δὲ τὸν Μάρτιον μῆνα πολέμου 961
κροτηθέντος σφοδροῦ καὶ καρτερᾶς μάχης γενομένης, παρέλαβον οἱ Ῥωμαῖοι τὸ κάστρον.

(3) Ἐν δὲ τῷ Ὀκτωβρίῳ μηνὶ τοῦ β' ἔτους τῆς βασιλείας Ῥω- 960
μανοῦ ἐγένετο σπάνη σίτου καὶ κριθῆς ἐν τῇ πόλει· ἐπράθη γὰρ ὁ σῖτος τῷ νομίστατι μόδιοι δ', ἡ δὲ κριθὴ μόδιοι ς' ****. Οὐ πολὺς

---

laudes §. 8 et 9 factas. Καὶ ἐγέμισε τὴν θάλασσαν ἅρμενα καὶ ἔπλευσεν εἰς τὴν Κρήτην κατὰ τῶν ἀγρίων θηρίων τούτων τῶν Ἀββάβων Par. 1708 (5).

1. σιτήσεις Cont. — 2. τζ'. Ὁ δὲ δ. N. ἀπ. τῆς β. ἐν Φυγέλοις κατέλαβε καὶ τοῦτο ἐφρ. ὁ. ὁ σ. πλοῦς ἐπὶ τὸ ά. εἶναι καὶ πρ. Ἔμπροσθεν δὲ ὁ συνετὸς ταχυδρόμους γαλέας ἀποστείλας—εὐθὺς τῷ δρόμῳ καὶτῇ σπ. κατέλαβεν καὶ προσώρμισεν καὶ ἀποβὰς τῶν ν. Cont. Καὶ ἐποίησε πολέμους ἰσχυροὺς καὶ ἐνίκησε τοὺς βαρβάρους καὶ ἐνέπρησε τὰ πάτεργα αὐτῶν Par. 1708 (6). — * καὶ πρὸς κοῦρσον ἐχώρει καὶ πάντας παρῆνει ἐπὶ τὸ αὐτὸ εἶναι καὶ μὴ ἐξελαύνειν πρὶν ἂν τὴν δύναμιν αὐτοῦ γνώσωνται· πρὸς δὲ κάστρον χωρήσας πάντας τοὺς Κρητικοὺς τοὺς ἔξω ὄντας τοῦ κάστρου μετὰ φόβου ἔσω ἀπέκλεισεν — διακοσμήσας στρατον — Ῥὼς et §. 11 de amira Curupa. Τοῦ δὲ στρατοῦ παρακαθιζομένου ἐν τῇ ν. Cont. 12. — ** καὶ τροφῶν Cont. — *** καὶ τῶν περιβολαίων διαλυθέντων καὶ γυμνωθέντων Cont.—9. Ὁ δὲ ἀνδρεῖος καὶ συνετὸς ἡγεμὼν N. τῇ διαλαλιᾷ καὶ τῇ ἡδ. τῶν λ. αὐτοῦπάντας κ. ἔφη γὰρ πρὸς αὐτούς κτλ. Cont. 12. inserens §. 13 de penuria tritici C. P. mense Octobri (960) orta (quae §. 3 in Sym. leguntur) §. 14 de Leonis victoria in Oriente mense Martio reportata(= §. 4), 15 de Turcis a Mariano victis.—10. Τοῦ δὲ αὐτοκράτορος Ῥωμανοῦ μαθόντος τὴν στενοχωρίαν καὶ γύμνωσιν καὶ ἐνδ. τῶν τροφῶν τοῦ στρατοπέδου τῇ εὐβουλίᾳ τοῦ παρακοιμωμένου Ἰωσὴφ παρευθὺ τὰ πρὸς χορηγίαν ἀ. ἀπ. Οἱ δὲ βραχὺ ψυχαγωγηθέντες καὶ ἐπὶ μησὶν ὀκτωκαίδεκα (ὀκτὼ? cf. Ced. ζ') σχεδὸν καὶ πλέον παρακαθίσαντες καὶ τῆς τροφῆς καὶ δαπάνης τῶν Κρητικῶν δαπανηθείσης—τῇ τοῦ Μαρτίου μηνὸς τῆς ἕκτης (ς' pro δ') ἰνδ. ὁ δομέστικος — Ῥὼς—ἐπελθεῖν τῷ κάστρῳ ἐκέλευσεν — καὶ ἦν θεάσασθαι τοὺς Σαρακηνοὺς γυναῖκας καὶ παῖδας Cont. qui his in verbis desinit cf. Ced. 340,17 τῇ ζ' δὲ Μαρτίου μηνὸς τῆς ιδ' (δ') ἰνδικτιῶνος. — 17. καὶ ἡ κρ. Cont. 13.— **** καὶ ἦν θεάσασθαι τὸν ἐγρήγορον νοῦν Ἰωσὴφ προνοού-

οὖν· χρόνος παρῆλθε, καὶ εὐθὺς γέγονεν ὁ σῖτος μόδιοι ή', ἡ δὲ κριθὴ μόδιοι ιβ'.

961 (4) Τῷ δὲ Μαρτίῳ μηνὶ κατηγορήθη Βασίλειος ὁ πετεινὸς ὑπό τινων ὡς τῆς βασιλείας ἐφιέμενος, ὅστις ἐν ἐξορίᾳ παρεπέμφθη, ἐν ᾗ καὶ τελευτᾷ. Ὁ δὲ βασιλεὺς μαθὼν τὴν τῆς Κρήτης ἅλωσιν ἐδόξασε τὸν θεόν. Μετ' οὐ πολὺ δὲ καὶ ὁ δομέστικος τῶν σχολῶν Νικηφόρος κελεύσει τοῦ βασιλέως πρὸς τὴν πόλιν εἰσῆλθε καὶ μετὰ τῶν λαφύρων καὶ τῆς αἰχμαλωσίας ἦλθε πεζῇ ἀπὸ τοῦ οἴκου αὐτοῦ εἰς τὸ ἱπποδρόμιον μετὰ τοῦ ἀμηρᾶ Κρήτης τοῦ λεγομένου Κουροπαλάτου καὶ πάντων τῶν συγγενῶν αὐτοῦ, στολὰς λευκὰς περιβεβλημένων πάντων τῶν Σαρακηνῶν. Καὶ ὁ μὲν μάγιστρος τιμῶν καὶ γερῶν μεγάλων ἠξιώθη παρὰ τοῦ αὐτοκράτορος. Ὁ ἀμηρᾶς δὲ πλεῖστα δῶρα καὶ χρυσὸν καὶ ἄργυρον παρὰ τοῦ βασιλέως λαβὼν σὺν τοῖς τέκνοις αὐτοῦ εἰς χωρία οἰκεῖν συνεχωρήθη, εἰς δὲ τὴν σύγκλητον οὐκ ἀνεβιβάσθη διὰ τὸ μὴ βούλεσθαι αὐτοὺς βαπτισθῆναι. Ὁ δὲ βασιλεὺς Ῥωμανὸς Νικηφόρον τὸν μάγιστρον αὖθις κατὰ τὴν ἑῴαν ἐξαπέστειλε κατὰ τοῦ ἀλαζόνος Χαμβδᾶ. Ὁ δὲ ἀπελθὼν πρῶτον μὲν τὸν Χέλεπέ κάστρον παρέλαβεν, ἐξ οὗ καὶ λαφύρων πολλὴ γίνεται συναγωγή.

ς'

(5) Τότε παρέλαβαν καὶ οἱ Τοῦρκοι τὴν μεγάλην Ἀντιόχειαν τῆς Συρίας καὶ ἐποίησαν αἰχμαλωσίαν καὶ αἱματεκχυσίαν πολλὴν καὶ ἠφάνισαν πόλιν λαμπρὰν καὶ περίδοξον.

μενον τὸ κοινόν· εὐθὺς οὖν ἐξαποστέλλει εἰς τὴν ἀνατολικὴν καὶ θύσιν τοῦ ἐξελάσαι συνωνὰς καὶ ἐμπορευτικὰ πλοῖα καὶ τοῦ κωλῦσαι τοὺς σιτοκαπήλους ἀποτιθέναι τὸν σῖτον· ἦν γὰρ ὁ ἀνὴρ δίκαιος καὶ ἀπροσωπόληπτος καὶ πιστός Cont.

· ἐν μέσῳ Cont. — 1. παρ. ζ' ἢ ἡ τῷ νομίσματι ἐπράθη· τοιοῦτος γὰρ ἦν ὁ ἀνὴρ, σπουδαῖος καὶ θερμὸς ὡς ἄλλον τῶν πρὸ αὐτοῦ ἢ μετ' αὐτοῦ (αὐτὸν) μὴ ἐξισωθῆναι Cont. cf. Ced. 343,10—20 de crabro bovina. — 9. ἅμα τῷ ἀ. Κ. κτλ. ed.— 10. Κουρουπᾶ? Cont. 11. ἐπιάσε δὲ καὶ τὸν ἀρχηγὸν αὐτῶν ἐκεῖνον τὸν πάντολμον καὶ θρασὺν ὥσπερ βρίφος καὶ ἐστράφη μετὰ νίκης μεγάλης εἰς τὴν Κ. Π. καὶ ἐδοξάσθη παρὰ τοῦ βασιλέως καὶ πάσης τῆς συγκλήτου Par. 1708 (7). — 19. Hucusque Symeonis breviarium editum. Sequentia sol. liber sextus, e codicibus Par. 1708 et Veneto petita sunt. — 23. Par. 1708 (8), Ced. 344,13—16.

(6) Καὶ πάλιν ὁ Φωκᾶς ἔσεισε τὴν μάχαιραν αὐτοῦ καὶ ἐθυμώθη θυμὸν καὶ ζῆλον δίκαιον καὶ ἔλαβε στρατηγοὺς καὶ φοσάτα καὶ δύναμιν ἰσχυρὰν καὶ ἐκίνησε κατὰ τῶν Τούρκων καὶ συνεπλάκη μετ' αὐτῶν καὶ ἔδωκε πολέμους μεγάλους καὶ ἔτρεψε καὶ κατέκοψε μυριάδας πολλὰς καὶ ἐγλήτωσε τὴν Ἀντιόχειαν ἀπὸ τὰς βαρβαρικὰς χεῖρας καὶ κατέστησεν αὐτὴν καλὴν καὶ ὡραίαν καθὼς ἦτον καὶ πρότερον.

(7) Ὡς ἦτον δὲ ὁ Φωκᾶς εἰς τὸν πόλεμον, ἐτελεύτησεν ὁ Ῥωμανὸς καὶ ἀφῆκε τὴν βασιλείαν εἰς τὴν γυναῖκα αὐτοῦ Θεοφανὼ καὶ εἰς τὰ παιδία αὐτοῦ.

Α' ΒΑΣΙΛΕΙΑ ΘΕΟΦΑΝΩ ΜΕΤΑ ΤΩΝ ΥΙΩΝ ΑΥΤΗΣ.

Τῷ ,ςυξγ' ἔτει τοῦ κόσμου, τῆς δὲ θείας σαρκώσεως ϡξγ' ἐβασίλευσε Θεοφανὼ ἡ γυνὴ Ῥωμανοῦ μετὰ τῶν υἱῶν αὐτῆς ἔτη ν'.

(2) Μαθὼν δὲ ὁ Φωκᾶς τὸν θάνατον τοῦ βασιλέως Ῥωμανοῦ, ἔδραμεν εἰς τὴν Κ. Π. καὶ ὤμοσεν ὅρκους φρικτοὺς τῆς βασιλίσσης, ὅτι ποτὲ τοῦ νὰ μὴν ἐπιβουλευθῇ τὰ παιδία τοῦ Ῥωμανοῦ· καὶ πάλιν ἐγένετο στρατηγὸς τῆς ἀνατολῆς καὶ ἀπεστάλη μετὰ δυνάμεως εἰς Συρίαν.

(3) Ἀλλ' ὁ φθόνος καὶ ἡ βασκανία ἅτινα προξενοῦσι τὰ πολλὰ κακὰ καὶ τρώγουσι τὰς καρδίας τῶν ἀνθρώπων, εἰσῆλθε καὶ ὧδε νὰ συγχύσῃ τὰ πράγματα· εἷς γὰρ εὐνοῦχος τοῦ παλατίου, ὅστις εἶχε τότε πολλὴν παῤῥησίαν καὶ ἐμετέστρεφεν τὰς βασιλικὰς ὑποθέσεις ὡς ἤθελεν, ἐφθόνησε κατὰ τοῦ στρατηλάτου Φωκᾶ καὶ οὐκ ἔφερε νὰ βλέπῃ ἑτέρου καλὸν καὶ εὐτυχίαν· καὶ ἀπέστειλεν εἰς Ἰωάννην τὸν Τζιμισχὴν γραφὰς κρυφὰς ὅτι νὰ φονεύσῃ τὸν Φωκᾶν ἢ νὰ τὸν φαρμακώσῃ καὶ νὰ φθάσῃ εἰς τὴν πόλιν νὰ μένηται βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων.

(4) Ἦτον δὲ ὁ Τζιμισχῆς ἄνθρωπος ὡραῖος, ξανθός, εὔμορφος,

---

7. Par. 1708 (9), Cod. 334,16 — 21. — 10. Par. 1708 (10) Cod. 334,22. — 12. ,ςυξα' Cod. — 18. Par. 1708 (1) lege η', cum relegata sit a. 970. — 18. Par. 1708 cf. Cod. 345,25. — — 27. Par. 1708 cf. Cod. 347,8.

πολεμιστής, ἐπιδέξιος, ἀνδρειωμένος, εὔτολμος, βουλευτής, ἀγαθός, μεγαλόψυχος, σώφρων, ἥμερος, πραότατος, ἄκακος, γλυκύς, ἀμνησίκακος, ἀγαθότροπος, εἰπεῖν ὅτι ἦτον ὡς παράδεισος μετὰ μεγάλων χαρίτων, ὅπερ ἐφύτευσεν ὁ θεός· καὶ εἶχε πᾶσαν καλὴν ἀρετὴν ἐπ' αὐτόν· τοιοῦτος ἦτον ὁ Τζιμισχῆς ἀγαθογνώμων καὶ χαριέστατος· καὶ ἦτον τότε σύντροφος τοῦ Φωκᾶ καὶ ὑποστράτηγος· ἦτον δὲ καὶ συγγενὴς αὐτοῦ.

(5) Καὶ ὡς ἔφθασαν αἱ γραφαὶ τοῦ εὐνούχου εἰς τὰς χεῖρας αὐτοῦ τοῦ Τζιμισχῆ, ἄνοιξε καὶ ἀνέγνωσεν αὐτάς, καὶ ἦτον ἄνθρωπος μισῶν πᾶσαν κακίαν καὶ πονηρίαν· ἔδωκε ταύτας τὰς γραφὰς εἰς χεῖρας τοῦ Φωκᾶ εἰπών· «ὦ ἀτιμία μεγάλη καὶ ἀτυχία τῶν Ῥωμαίων· ὅταν ἔχουσι τὴν βασιλείαν τῶν Ῥωμαίων καὶ ἀνακατωνοῦσιν αὐτὴν εὐνοῦχοι πονηρότατοι καὶ κακίας ἐργάται».

(6) Ἤκουσε ταῦτα ὁ στρατηγὸς καὶ ἐθυμώθη καὶ ἔπνευσε πῦρ καὶ ὀργήν· καὶ ὥσπερ λέων ὅταν ὑπνώτει καὶ ἐξυπνήσει καὶ βρυχηθῇ, οὕτως ἠνοιξεν ἐκεῖνος τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ ἐβρυχήθη, καὶ περιέδραμε φόβος καὶ δειλία εἰς πάντας· καὶ ἀνεφημίσθη βασιλεὺς καὶ ἔφθασεν εἰς τὴν Κωνσταντινούπολιν, καὶ χωρὶς βίας τινὸς ἢ ἀνάγκης εἰσῆλθεν ἔσω εὐκόλως· καὶ πάντες οἱ ἄρχοντες καὶ ὁ λαὸς ὅλος καὶ ἡ βασίλισσα καὶ ὁ πατριάρχης ἐδέξαντο αὐτὸν μετὰ χαρᾶς μεγάλης καὶ ἔστεψαν αὐτὸν ἀπὸ κοινῆς βασιλέα Ῥωμαίων.

[Β'] ΒΑΣΙΛΕΙΑ ΝΙΚΗΦΟΡΟΥ ΦΩΚΑ.

963 Τῷ ϛυοα ἔτει τοῦ κόσμου, τῆς δὲ θείας σαρκώσεως θοα, ἐβασίλευσε Νικηφόρος ὁ Φωκᾶς.

(2) Βασιλεύσαντος δὲ τούτου, ἔβλεπον αὐτὸν πάντες καὶ εὐφραίνοντο· ὅτι ἦτον στρατηγικώτατος καὶ τολμηρὸς ἄνθρωπος καὶ δυνατὸς καὶ ἀταπείνωτος εἰς κόπους καὶ πόνους καὶ εἰς τοὺς πολέμους ὥσπερ ἀκμόνην.

---

13. Par. 1708. — 14. Par. 1708 cf. Ced. 348,2. — 22. Par. 1708 cf Ced. 348,6. — 25. Par. 1708 cf. Ced. 351,1. — 29. Par. 1708.

(3) Ἡρμώθη δὲ μετὰ Θεοφανῶ τῆς βασιλίσσης· καὶ ἔδειξεν εἰς τὰ παιδία τοῦ Ῥωμανοῦ πατρικὴν στοργὴν καὶ ἀγάπην.

(4) Ὡς γοῦν παρέλαβε τὸ ὕψος τῆς βασιλείας, τότε ἔδειξε καὶ ὁποῖος ἐστὶν εἰς ἀνδρείαν καὶ ποταπὴν γενναιοτάτην ἔχει ψυχήν· ὅτι καὶ ἀπ' ἀρχῆς τοιοῦτος ἦν φρόνιμος καὶ συνετὸς ἄνθρωπος καὶ πολεμιστὴς ἄριστος καὶ στρατηγὸς ἔμπειρος· ἀλλὰ τοσοῦτον ἀγαθὸν ἦν σκεπασμένον, ἐπεὶ ἡ ἐξουσία ἦτον εἰς ἑτέρων θέλημα· ἐπεὶ δὲ ὁ τροχὸς τοῦ καιροῦ ἔφερεν αὐτὸν εἰς τοιαύτην μεγάλην ἐξουσίαν, τότε ἐφάνη ὁ Φωκᾶς ὥσπερ ἀστραπὴ καὶ ἔδραμεν εἰς τοὺς ἐχθροὺς τῶν Ῥωμαίων· καὶ ὡς πῦρ, ὅταν εὕρῃ καλάμην ἢ ξηρὰν ἄλλην ὕλην καὶ ἔχει μέγαν ἄνεμον καὶ δώσῃ μέσα εἰς τὴν ὕλην καὶ ἀναβῇ ἡ φλὸξ καὶ ὁ καπνὸς καὶ ὁ κτύπος νὰ ὑπομαυρίσουσι τὸν ἀέρα, οὕτως ἐποίησε καὶ ἐκεῖνος εἰς τοὺς βαρβάρους καὶ κατέκοπτεν καὶ ἐξολόθρευεν καὶ ἔκαιεν καὶ ἠχμαλώτιζεν καὶ ἐχάλα πόλεις καὶ χώρας βαρβαρικὰς καὶ κατέλυε μυριάδας τῶν ἀλλοφύλων καὶ ἐπλάτυνε τὴν ἀρχὴν καὶ ἐξουσίαν τῶν Ῥωμαίων· ἐτρόμαξαν οἱ Ἄῤῥαβες, ἔφριξαν οἱ Ἀρμένιοι καὶ οἱ Σῦροι, καὶ ἐδειλίασαν οἱ Σαρακηνοὶ καὶ ἔφευγαν οἱ Τοῦρκοι, καὶ πάλιν ἔπερναν οἱ Ῥωμαῖοι τοὺς τόπους αὐτῶν καὶ τὰς χώρας, καὶ ὄνομα τοῦ Φωκᾶ ἦτον φοβερὸν εἰς πάντας, ἐπεὶ πᾶσα ἀρετὴ ἦν ἐπ' αὐτῷ, καὶ ἅπαντα τὰ ἀγαθὰ εἶχεν· δύναμιν, ἀνδρείαν, φρόνησιν, πραότητα, σωφροσύνην.

(5) Πλὴν οὐδεὶς τῶν ἐπὶ γῆς γεννηθέντων ἀνθρώπων ἐστὶν νὰ μηδὲν ἔχει τινὰ ψόγον ἢ ἐλάττωμα, εἰ καὶ μετὰ τῶν ἀγγέλων γένονεν ἰσοστάσιος· οὗτος γὰρ ὁ μέγας καὶ ἀριστεὺς Φωκᾶς εἰς ὅσα καλὰ ὀφείλει νὰ ἔχει τὸ κορμὶν τοῦ ἀνθρώπου, εἶχε καὶ τὸ κορμὶν ἐκείνου, καὶ ἡ ψυχὴ αὐτοῦ ἦτον πολλὰ ἀγαθὴ καὶ θεοφιλής· καὶ εἶχε μυριάδας χάριτας, καὶ τοσοῦτον ἠγωνίζετο εἶναι εἰς τὸν φόβον τοῦ θεοῦ καὶ εἰς τὴν ἀγάπην αὐτοῦ· ὅτι εἰς τῆς βασιλείας τὴν

---

2. Par. 1708 cf. Cod. 351,14. — 22. Par. 1708 [in mar. Σημείωσαι· ὅτι οὗτος ὁ Νικηφόρος ἔλαβε τὴν Κρήτην ἀπὸ τὰς χεῖρας τῶν Τουρκῶν, ἤγουν τῶν Μόρων, ἔχων μεθ' ἑαυτοῦ καὶ τὸν μέγαν Ἀθανάσιον, τὸν ἐν τῷ Ἄθῳ, καλόγηρον ὄντα· αὐτὸς ἀφῆκε καὶ τοὺς Καλέργηδες (Καλέργιδας) ἐν τῇ Κρήτῃ, οἵτινες ἀπὸ τούτου καλοῦνται Φωκάδες].

δόξαν ἐφόρει ἔσωθεν καταύαρκα βάσην χοντρὸν, τρίχινον καὶ ἐπάνωθεν τὰ βασιλικὰ ἐνδύματα· ἀλλὰ καὶ ἐκεῖνος ὡς ἄνθρωπος εἶχεν ὀλίγον ἐλάττωμα· ὡς γὰρ λέγουσιν, ὅτι ἡ βασίλισσα Θεοφανὼ ἦτον συντέκνισα αὐτοῦ, καὶ ὕστερον εἶχεν αὐτὴν εἰς γυναῖκαν αὐτοῦ· ἄλλο δὲ πάλιν εἶχεν ὅτι οὐδὲν ἦτον εὐεργετικὸς οὐδὲ μεγαλόδωρος· καὶ τοῦτο ἦτον ὁποῦ ἐσκέπαζε τὰ καλὰ αὐτοῦ πάντα καὶ ὡμοίαζεν δένδρον χωρὶς φύλλα.

(6) Ἦτον δὲ τοῦτο, ὅτι ἐγένετο εἰς τοὺς Ῥωμαίους λιμὸς μέγας, καὶ ἀπέθνησκεν ὁ λαὸς ἀπὸ τὸ κακὸν τοῦ λιμοῦ, καὶ παντοχοῦ ἦτον θλίψις καὶ στενοχωρία καὶ ὀδυρμὸς καὶ κλαυθμὸς ὅτι οὐδὲ αὐτὸ τὸ ξυλοκαύκιον, ὄγδοον τοῦ μοδίου, εὑρίσκετο εἰς τὸ ὑ. Ἤκουσε δὲ ταῦτα ὁ Φωκᾶς καὶ ἐλυπήθη καὶ τάχα ἐφιλοτιμήθη νὰ ποιήσῃ καλὸν εἰς τὸν λαὸν καὶ ὥρισε νὰ ἀνοίξωσι τὰς ἀποθήκας τῆς μέσης καὶ νὰ πωληθοῦν καυκία εἰς τὸ ὑ· τόσον ἦτον ἀφιλότιμος, καὶ ταῦτα ἐκεῖ ὁποῦ ἦσαν χίλιαι ἀποθῆκαι σιταρίου ἀπὸ τοῦ καιροῦ τῆς εὐθυνίας· καὶ οὐδὲν ἐθυμήθη τὸν Μακεδόνα Βασίλειον τὸν ἀληθινὸν βασιλέα· οὗτος γὰρ ὁ Βασίλειος τῇ ἑορτῇ τοῦ πάσχα ἐκαβαλίκευσε μετὰ τῶν στρατηγῶν καὶ ἀρχόντων λαμπροφορημένος ἔσω εἰς τὴν Κωνσταντινούπολιν· ἦτον δὲ καὶ τότε μέγας λιμός· καὶ ὡς ἐδιέβαινεν ὁ βασιλεὺς, ἐστράφη καὶ εἶδεν οἰκοδεσπότας ἀνθρώπους καὶ ἱερεῖς καὶ ἴσταν μαυροφορημένοι καὶ πολλὰ θλιμμένοι, καὶ ἠρώτησεν ὁ βασιλεὺς τὴν αἰτίαν ὁποῦ δὲν ἐλαμπροφόρησαν καὶ αὐτοὶ νὰ τιμήσουσι τὴν ἀνάστασιν τοῦ Χριστοῦ, καὶ ἀποκριθέντες εἶπον· «Τίνα λαμπροφορίαν θέλουσιν οἱ ἄνθρωποι οἱ μὴ εὑρίσκοντες ἄρτον νὰ χορτάσωσι τὴν κοιλίαν αὐτῶν»; Καὶ τοῦτο ἀκούσας ὁ βασιλεὺς ἐδάκρυσε καὶ ἐλυπήθη ἔνδον κατὰ ψυχὴν αὐτοῦ· καὶ ἐκέλευσεν εὐθὺς, ἵνα ἀνοίξωσι τὰς βασιλικὰς ἀποθήκας καὶ τῶν πραγματευτῶν, καὶ διελάλησεν νὰ πωληθῶσι μόδια δύο εἰς τὸ ὑ. καὶ οὕτως ἔλυσε τοῦ λιμοῦ τὴν ἀνάγκην καὶ τὴν στενοχωρίαν τοῦ λαοῦ· καὶ ταῦτα μὲν οὕτως.

969 (7) Ὁ δὲ Φωκᾶς εἶχεν ὑποψίαν εἰς τὸν Τζιμισχῆν, ὅτι ἀγαπᾷ

---

7. Par. 1708.—11,14 et 28 ὑ. πρ. In marg. Σημείωσαι περὶ τοῦ λιμοῦ. cf. Ced. 372,21 αὐτὸς β' (νομισμάτων) τὸν μόδιον πωλεῖσθαι ἐπέταξε. — 30. δώδεκα τοῦ νομίσματος Ced.

αὐτὸν ἡ βασίλισσα· ἔμαθε δὲ ὅτι γυρεύει νὰ ἐπάρῃ τὴν βασιλείαν, καὶ καθεῖλεν αὐτὸν ἀπὸ τῆς στρατηγίας· καὶ ἐπῆρεν ἐξ αὐτοῦ πᾶσαν δύναμιν καὶ ἐξουσίαν ἣν εἶχεν, καὶ ἐκέλευσεν αὐτὸν ἵνα κάθηται εἰς τὸν οἶκον αὐτοῦ καὶ ὡς οἶδεν νὰ ζῇ· ἄλλο δέ τί ποτε κακὸν οὐκ ἐποίησεν αὐτῷ.

(8) Τὴν βασίλισσαν γοῦν ἐφάνη τοῦτο πολλὰ βαρύ, διότι οὐδὲν ἔβλεπε τὸν Τζιμισχῆν συχνὰ εἰς τὸν παλάτιν· καὶ ἠνάγκασε τὸν Φωκᾶν καὶ κατέπεισεν ὅτι πάλιν ἔφερεν αὐτὸν πλησίον του· καὶ ἔδωκεν αὐτῷ καὶ τὴν ἐξουσίαν, ἣν εἶχε καὶ πρότερον. — Ὡς δὲ ἦλθεν ὁ Τζιμισχῆς πάλιν καρδιότρωτος καὶ εἶχε τὴν κακίαν ἔσω ἡ ψυχὴ αὐτοῦ, ἔμπροσθεν μὲν τοῦ βασιλέως ἐφαίνετο περιχαρὴς καὶ ἔσω εἶχε κεκρυμμένας καὶ μελετημένας τὰς βουλὰς καὶ τὰς πονηρίας καὶ πάσας μυρίας σκέψεις καὶ δόλους καὶ ἀεὶ ἔπλεκε τοὺς βρόχους ὅπως νὰ ἔχῃ αὐτοὺς εἰς καιρὸν χρείας· ὁ βασιλεὺς δὲ οὐκ ἐγίνωσκε ὡς παγίδας στένουσι δι' αὐτοῦ, οὔτε τὰς ἐπιβουλὰς τοῦ οἴκου αὐτοῦ· ὥσπερ γὰρ ὁ ἀετὸς πέτεται ὑψηλὰ εἰς τὸν ἀέρα ἀκόπως, οὕτως καὶ ἐκεῖνος ἀνῆλθεν εἰς τὸ ὕψος τῆς ἀρετῆς· ὅτι τὴν μὲν ἡμέραν ἔβλεπε τοὺς ἄρχοντας καὶ τὰς ὑποθέσεις τῆς βασιλείας, τὴν δὲ νύκταν διεβίβαζε πᾶσαν ἄγρυπνος εἰς προσευχὴν καὶ εἰς ψαλμῳδίαν καὶ ἐκράτει τὸ ψαλτήριον καὶ ἀνεγίνωσκε· καὶ μόλις ὅταν ἤθελεν ἔλθῃ πρὸς βραχὺν ὕπνον, ἔμπροσθεν τοῦ εἰκονοστασίου αὐτοῦ ἔπιπτεν ἐπάνω ψιαθίου καὶ ὑπνεῖ ὀλίγον· ἀπὸ γυναικῶν γοῦν ἐπιθυμίας καὶ ἄλλας σαρκικὰς ὀρέξεις, τοσοῦτον ἐμίσει αὐτάς, ὅτι οὐδὲ κατὰ νοῦν αὐτοῦ κἂν ἀνέβαινον, οὔτε ἐν ὀνείρῳ ἐφαντάζετον· ἀλλ' ἦτον ἡ διαγωγὴ αὐτοῦ καθαρὰ καὶ θεοφιλὴς ὥσπερ καλοῦ καὶ ἐναρέτου μοναχοῦ, καὶ πᾶσα ἡ ἐπιθυμία αὐτοῦ ἦν πρὸς τὸν θεὸν καὶ πρὸς τὴν κληρονομίαν καὶ ἀπόλαυσιν τῶν δικαίων.

(9) Ἀλλ' ἐπὶ τούτοις οὐδὲν ἠρέσκετον ἡ βασίλισσα· ἐπεὶ ἔχρηζεν περιπλοκὰς καὶ φιλήματα καὶ σωματομιξίας· διὰ τοῦτο ἔβαλλε καὶ αὐτὴ ἐπιβουλὴν κατ' αὐτοῦ καὶ ἐσυμφώνησε μετὰ τοῦ Τζι-

---

5. Par. 1708 cf. Ced. 375,7. — 28. Par. 1708. — 29. Ἀναίρεσις Φωκᾶ παρὰ Ἰωάννου τοῦ Τζιμισχῆ. Ὅρα τὴν κακὴν γυναῖκα· σημείωσαι, ἄστατον Par. 1708 cf. Ced. 375,11.

μισχῆ, ἐπεὶ ἠγάπα τοῦτον πολλὰ καὶ εἶχεν ἐπιθυμίαν πολλὴν ἐπ' αὐτοῦ· ἐκεῖνος δὲ πάλιν ἦτον ἀπὸ τὸν Φωκᾶν λυπημένος καὶ θυμωμένος, καὶ ὡμοφώνησαν εἰς τὸ ἐπιχείρημα· μίαν γοῦν νύκταν ἀφ' οὗ ἠγρύπνησεν ὁ Φωκᾶς ἀπὸ τῆς προσευχῆς καὶ ἔπεσε νὰ ὑπνώσῃ ἐπάνω τοῦ ψιαθίου, ὡς εἶχε συνήθειαν, καὶ ἡ Θεοφανὼ ἀνέβασεν κρυφὰ τὸν Τζιμισχῆν μετὰ καὶ ἑτέρων ἁρματωμένων, δείξας αὐτοῖς κρυφὰ τὸν τόπον ἐν ᾧ ἔκειτο· αὐτοὶ οὖν ἀπελθόντες πρῶτον εἰς τὸν βασιλικὸν κράββατον καὶ μὴ εὑρόντες αὐτόν, ἐφοβήθησαν καὶ ἐβουλήθησαν τοῦ φυγεῖν· τότε ἐρευνῶντες εὗρον αὐτὸν ἐπὶ τοῦ ψιαθίου κείμενον καὶ ἔδωκεν αὐτῷ ὁ Τζιμισχῆς λακταῖαν καὶ ἐξύπνησεν· καὶ ὡς ἦλθε νὰ ἀναστηκοθῇ, ἔδοσάν τον σπαθέαν κατὰ κεφαλῆς· καὶ ἐδευτέρωσαν αὐτὸν καὶ κατεκέντησαν αὐτὸν ὥσπερ κακοῦργον καὶ ληστήν· ἐκεῖνος δὲ ἄλλο τί ποτε οὐκ ἐλάλει, εἰ μὴ τό· «Κύριε ἐλέησον»· ἐφόνευσαν γοῦν τὸν τοιοῦτον ἄνθρωπον διὰ τὴν προδοσίαν τῆς γυναικὸς αὐτοῦ ὥσπερ καὶ τὸν Σαμψὼν ποτε ἀπὸ τῆς Δαλιδᾶς, καὶ ἐχύθη τὸ αἷμα τοῦ δικαίου ἐπὶ τῆς γῆς ὡς τοῦ Ἄβελ διὰ χειρῶν Καΐν τοῦ ἀδελφοκτόνου, καὶ ἀνέπεμπεν εἰς τὸν θεὸν θρηνητηρίους βοάς.

[Γ'] ΒΑΣΙΛΕΙΑ ΙΩΑΝΝΟΥ ΤΟΥ ΤΖΙΜΙΣΧΗ.

969 Τῷ ϛυοη τοῦ κόσμου, ἀπὸ δὲ τῆς ἐνσαρκα οἰκονομίας ϡση ἐβασίλευσεν Ἰωάννης ὁ Τζιμισχῆς.

(2) Εἶτα ἄπεισιν ὁ Ἰωάννης εἰς τὴν μεγάλην ἐκκλησίαν ταινιοθησόμενος· ἀλλ' οὐκ ἐάθη παρὰ τοῦ Πολυεύκτου εἰς τὸν ναὸν εἰσελθεῖν ὡς φόνῳ μεμιασμένος· πράως δὲ τὴν ἐπιτίμησεν ὁ Τζιμισχῆς ἐνεγκών, ἀπελογεῖτο μὴ αὐτὸς αὐτόχειρ γενέσθαι τοῦ φόνου· ἔλεγε τὸν Ἀλβανίτην καὶ τὸν Ἀτζυποθεόδωρον, ἐπιτροπῇ τῆς Θεοφανοῦς, τὸν Νικηφόρον διαχειρίσασθαι· τὴν μὲν οὖν Θεοφανὼ ὁ πατριάρχης ἀπῄτησε τῶν βασιλείων ἀπελαθῆναι καὶ περιορισθῆναι καὶ τοὺς αὐτέχειρας τοῦ Νικηφόρου ἐκδιωχθῆναι· τὸν δὲ τόμον ὅνπερ ἐθέσπισεν, τοῦ μὴ ἄνευ γνώμης τοῦ βασιλέως ἀρ-

21. Par. 1708. Ἰω. ὁ Τζιμισχῆς ἐβ. ἔτη ἓξ καὶ μῆνας ἓξ. Ven. 273$_a$.

χιερέα τινὰ προχειρίζεσθαι, διαραγῆναι καὶ αὐτὸν τὸν Ἰωάννην δέξασθαι ἐπιτίμια. Ὁ δὲ πάντα ποιῆσαι ὑπέσχετο· καὶ αὐτίκα στέλλει καὶ κατάγει τὴν βασιλίδα τῶν ἀνακτόρων καὶ τὸν τόμον ἐκεῖ κειμισθέντα διέρρηξε καὶ ἦν ἐν ἰδιώταις τελῶν εἶχε περιουσίαν, διανεῖμαι πένησιν ἐπηγγείλατο· τούτων δὲ γενομένων κατὰ τὴν γενεθλίαν τοῦ Σωτῆρος ἡμῶν καὶ θεοῦ ἑορτὴν, ἅμα τε τὴν εἰς τὴν ἐκκλησίαν ἐπιτρέπεται εἴσοδον καὶ ἅμα τῷ διαδήματι στέφεται· τὴν δὲ Θεοφανῶ εἰς Προικόνησον περιώρισεν.

(3) Ἦν δὲ καὶ οὗτος καρτεροκάρδιος καὶ εὐτολμώτατος· καὶ οὕτως ἔλαβε τὴν βασιλείαν, ἐστράτευσε κατὰ τῶν Ἀράβων καὶ κατὰ παντὸς ἐχθροῦ Ῥωμαίων· καὶ ἐφοβήθησαν τὰ ἔθνη ἀπὸ τὴν ὁρμὴν τοῦ Τζιμισχῆ φόβον μέγαν· καὶ ἐπλάτυνε τὴν γῆν τῶν Ῥωμαίων· καὶ ἔφυγαν οἱ Σαρακηνοὶ καὶ Ἀρμένιοι, καὶ ἐδειλίασαν οἱ Πέρσαι, καὶ πανταχόθι ἔφεραν αὐτῷ δῶρα, καὶ παρεκάλουν ἵνα ἔχῃ μετ' αὐτῶν εἰρήνην, καὶ ἐξέδραμε μέχρι Ἐδέσης καὶ Εὐφράτου ποταμοῦ, καὶ ἐγεμίσθη ἡ γῆ τὰ φοσάτα τῶν Ῥωμαίων· καὶ ἡ Συρία καὶ ἡ Φοινίκη καταπατήθη ὑπὸ τῶν Ῥωμαϊκῶν φαρίων, καὶ ἐποίησε νίκας μεγάλας· καὶ τὸ σπαθὶ τῶν χριστιανῶν ἔπλευσεν ὥσπερ δρέπανον.

(4) Καὶ πάλιν ἐστράφη εἰς τὴν Κωνσταντινούπολιν καὶ ἐστρά- 972
τευσεν ἕως τοῦ Δούναβη καὶ κατέκοψε μυριάδας πολλὰς Τατάρων καὶ Βουλγάρων καὶ κατέλυσε σατράπας καὶ στρατηγοὺς ὥσπερ λέων ὅταν ὁρμήσῃ εἰς βόας μεγαλοπλεύρους καὶ ἐξεσχίζει αὐτούς· τότε ἐμετετράπησαν τὰ ῥεύματα τῶν ποταμῶν εἰς αἷμα· καὶ οἱ Ῥωμαῖοι ἐχώρευσαν εἰς τοῦ Ἴστρου τὰ παραπόταμα, καὶ τὰ βασιλικὰ σκῆπτρα ἐδιέβαιναν μετὰ χαρᾶς ἕως εἰς τὴν Ταρταρίαν· καὶ

---

8. Par. 1708. Οὗτος [διὰ] τὸ τοῦ Νικηφόρου πάθος σωφρονέστερον διατεθεὶς ἑαυτὸν τῶν (δὲ) πορφυρογεννήτων παίδων σφόδρα ἐπεμελεῖτο καὶ ἠγάπα. (970) Τούτου τοῦ πρώτου ἔτους τῆς βασιλείας θνήσκει ὁ πατριάρχης Πολύευκτος, καὶ χειροτονεῖται ἀντ' αὐτοῦ πατριάρχης Βασίλειος ὁ Σκαμανδρινὸς ἐπισκοπεύσας ἔτη δ'. (973) Καὶ τῷ ε' ἔτει τῆς βασιλείας αὐτοῦ ἐξορίζεται καὶ χειροτονεῖται Ἀντώνιος ὁ ἀπὸ τῆς μονῆς τοῦ Στουδίτου καὶ ἐπισκόπευσεν ἔτη ἓξ, ὁ δὲ (δὴ) ἐπονομαζόμενος Σκανδάλιος· χειροτονεῖται δὲ μηνὶ Δεκεμβρίῳ ἰνδ. β', ἔτους ϛυπβ' Ven. 273b. — 19. Par. 1708. Ὁ βασιλεὺς δὲ οὗτος καὶ πολλὰ τὰ τῆς Ῥωμανίας ὅρα ἐπλ. καὶ πάντα τὰ γειτονοῦντα κυκλόθεν ἔθνη, οὐ χρυσίῳ, ἀλλὰ ξίφεσι σιγᾶν κατηνάγκασε, γενναῖος ὢν πάνυ καὶ φοβερὸς ἐν πολέμῳ καὶ τοῖς ἐχθροῖς ἀνυπόστατος Ven. 273b.

ἐποίησε μετὰ Βουλγάρων πόλεμον μέγαν καὶ ἀπῆγεν ἕως τὴν Πρεσθλάβαν πόλιν μεγάλην καὶ πολυάνθρωπον· κἀκεῖσε ἦν ὁ βασιλεὺς τῶν Βουλγάρων μετὰ μυριαρίθμου στρατοῦ· καὶ κατέλυσεν αὐτοὺς καὶ τὸν βασιλέαν αὐτῶν καὶ ἐστράφη μετὰ νίκης ἰσχυρᾶς εἰς τὴν Κωνσταντινούπολιν.

(5) Τοιοῦτος ποιμὴν ἦτον ὁ Τζιμισχὴς ὅτι ἐδίωκε τὰ ἄγρια θηρία καὶ ἐφύλασσε τὰ πρόβατα αὐτοῦ, ὅτι οὐδὲ αὐτὸν τὸν ὕπνον ἐχόρτηνε, καὶ συνέτριβε τὰς σιαγόνας τῶν ἐχθρῶν τῆς Ῥωμαϊκῆς γῆς· τὸν καιρὸν δὲ καθ' ὃν ἦν ἀργία πολέμου, ἦτον πρὸς πάντας ἥμερος καὶ γλυκὺς καὶ εὐεργετικός· καὶ ἦτον μεγαλοπρεπὴς καὶ ὡραιότατος ὥσπερ παράδεισος, καὶ εἶχεν ἐπ' αὐτὸν τέσσαρας ποταμούς, δικαιοσύνην, φρόνησιν, ἀνδρείαν καὶ σοφροσύνην καὶ πᾶσαν ἄλλην ἀρετήν, ὅτι, ἂν οὐκ ἤθελε συγκοινωνήσει εἰς τὸν φόνον τοῦ Φωκᾶ, οὕτως ἤθελε λάμπει ὥσπερ καθαρώτατον ἄστρον.

(6) Ἐπεὶ δὲ, καὶ αὐτὸς ἄνθρωπος ὢν, ἔδωσε τὸ χρέος τῆς φυσικῆς ἀνάγκης, ἐξήνθη δὲ Βασίλειος καὶ Κωνσταντῖνος, οἱ πορφυρογέννητοι υἱοὶ Ῥωμανοῦ υἱοῦ Κωνσταντίνου ἐγγόνου Βασιλείου τοῦ Μακεδόνος· καὶ ἐβασίλευσαν Ῥωμαίων.

[Δ'] ΒΑΣΙΛΕΙΑ ΒΑΣΙΛΕΙΟΥ ΒΟΥΛΓΑΡΟΚΤΟΝΟΥ.

976 Τῷ ϛυπε ἔτει τοῦ κόσμου, τῆς δὲ θείας σαρκώσεως ϡπε ἐβασίλευσε Βασίλειος ὁ Βουλγαροκτόνος [καὶ] Κωνσταντῖνος, υἱοὶ Ῥωμανοῦ, ἔτη νγ.

(2) Οὗτοι γὰρ παιδία ὄντες περιεκόπησαν ἀπὸ τῆς προγονικῆς βασιλείας ἀναμεταξὺ τοῖς καιροῖς τοῦ Φωκᾶ καὶ τοῦ Τζιμισχῆ·

---

5. Par. 1708. — 8. ἐχόρτενε Par. 1708. — 13. Par. 1708. Τἆλλα δὲ ὁ ἀνὴρ ἡδύτατος ἦν καὶ γαληνὸς ἄγαν καὶ π. π. ψυχὴν συμπαθῆ κεκτημένος. Καὶ εἰ μὴ τὸ τοῦ φόνου μῖσος ἦν, οὐκ ἦν ἀνέμποδος μὴ ὡς ἕνα τῶν ἁγίων τοῦτον καὶ παρὰ πάντων μετὰ θάνατον σέβεσθαι Ven. — 19. Par. 1708. Οὗτος κτίζει τὸν Σωτῆρα ἐν τῇ Χαλκῇ καὶ θανὼν θάπτεται, καταλιμπάνει δὲ βασιλεῖς Βασίλειον καὶ Κωνσταντῖνον τοὺς πορφυρογεννήτους ἀδελφούς Ven. 274ª. — 23. Par. 1708 (σοδ'). B. ὁ υἱὸς Ῥωμανοῦ σὺν Κωνσταντίνῳ τῷ ἀδελφῷ αὐτοῦ οἱ πορφυρογέννητοι ὁμοῦ ἐβασίλευσαν ἔτη ν' Ven.

ὡς γοῦν διέβησαν κἀκεῖνοι, καὶ οὗτοι εὗρον ῥάδιον τὸν καιρὸν καὶ ἐπιτήδειον, πάλιν ἐφανέρωσαν καὶ περιεσύναξαν αὐτὴν ὥσπερ χρυσῆν ἄλυσσον· ὁ γοῦν πρῶτος ἀδελφὸς Βασίλειος ἐμιμήθη τὸν προπάππουν αὐτοῦ Βασίλειον ἐκεῖνον τὸν Μακεδόνα καὶ τὸν καρτερικώτατον Ἡρακλέα καὶ τοὺς ἄλλους ὀνομαστοὺς καὶ γενναιοτάτους βασιλεῖς· τὰ δὲ βρώματα, πόματα καὶ τὴν εὐπάθειαν καὶ τὴν ἀνάπαυσιν παντελῶς ἐμίσησεν ἀπὸ καρδίας· ἠγάπησε δὲ τὴν δυσπάθειαν καὶ τὸν κόπον καὶ τὰ ἅρματα καὶ τὰς στρατείας καὶ τοὺς πολέμους, καὶ ἐν αὐτοῖς ἦν ἡ χαρὰ αὐτοῦ καὶ ὁ γλυκασμός· φορήματα δὲ εὔμορφα ἢ κραβάτια χρυσόστρωτα καὶ μαργαριταρόλιθα οὐδὲ ἐπὶ καρδίαν αὐτοῦ ἀνέβαινον· ἀλλ' ἐπεθύμει νὰ βλέπῃ σκουταρίων κτύπους καὶ ἄλογα πολεμικὰ καὶ εἰκονιμένα σπαθία καὶ κασίδια ἔκλαμπρα καὶ κονταρια ἔκστιλβα· ἐκεῖνα οἰκονόμα, εἰς ἐκεῖνα ἠντράνιζεν.

(3) Ἀλλὰ ὁ φθόνος καὶ ἡ κακία πάλιν ἐσέβη καὶ ἐνεμπόδιζε τὴν καλὴν αὐτοῦ προθυμίαν καὶ τὸ τοσοῦτον καλόν· ὁ γὰρ Βάρδας ὁ σκληρὸς, ἄνθρωπος καὶ μέγας καὶ πολεμικώτατος καὶ συγγενὴς τοῦ βασιλέως, ἠπίστησε καὶ ἐσύναξε φοσάτα ἰσχυρὰ καὶ ἐγύρευε νὰ ἐπάρῃ τὴν βασιλείαν· καὶ ἡ ταραχὴ καὶ ἡ δυναστεία αὐτοῦ ἦν μεγάλη καὶ φοβερὰ, καὶ ἐτάραξε τὴν ζωὴν τοῦ βασιλέως, ὥσπερ εἰς τὸ πέλαγος μικρὸν πλοιάριον ὅταν τὸν εὕρῃ ἡ ἀνεμοζάλη καὶ κλύδων μέγας· ἐπεὶ δὲ ἡ μάχη καὶ ἡ ἀποστασία τοῦ κλήρου ἐκράτησε καιρὸν πολὺν, καὶ ἦτον ἐμφύλιος σύγχυσις καὶ τοπικὴ ἀκαταστασία, ηὗρασιν οἱ Ἄραβες ἄδειαν καὶ ἐξέβησαν καὶ κατέλυσαν τὴν ἀνατολὴν, καὶ ὁ τόπος τῶν Ῥωμαίων καὶ αἱ χῶραι εἶχασι μεγάλην στενοχωρίαν ἀπὸ τοὺς Ἀσυρίους· ἐξέβησαν δὲ καὶ οἱ Βουλγαροι καὶ ἐκούρσευαν τὴν Θρᾴκην· καὶ ἀπὸ πᾶσαν μεραίαν ἦτον τὸ κακὸν πολύ· καὶ ὁ βασιλεὺς ἦτον εἰς τὴν μέσην ὥσπερ ἀρνίον μέσον εἰς πολλοὺς λύκους ἢ πουλὶν εἰς δρακόντων στόματα· ἀλλὰ πάλιν ἐξαίφνης ἐγένετο γαλήνη ἀντὶ χειμῶνος, καὶ ἔφθασεν ἀντὶ

14. Par. 1708. Οὗτος ὁ Β. νέος ὢν καὶ γυναικὶ συναφθῆναι [οὐκ] ἠβουλήθη, ἀλλ ἔρωτας τῷ Χριστῷ [ἀνεφέρετο], πολεμίων καὶ ὅπλων καὶ στρατιῶν κατορθωμάτων [ἐραστής] Ven.

τοῦ κλύδωνος εὐδία· καὶ ὁ μὲν Βάρδας ἐποίησεν ὁρκωματικὰ μετὰ τοῦ βασιλέως καὶ ἐγένετο ἀγάπη μεγάλη.

992 — 1022 (4) Καὶ εὐθὺς ἅπαντες οἱ ἀγαπῶντες τὴν βασιλείαν συνήχθησαν· ἀλλ' ὁ Βασίλειος οὐδὲν ἐκαρτέρησε μετὰ τῆς καταστάσεως ταύτης, ἀλλ' ἐκίνησε πᾶσαν Ῥωμαϊκὴν δύναμιν καὶ ἐξέδραμε κατὰ τῶν Ἀράβων καὶ διέβη μέχρι τῶν Ἰβήρων καὶ ἕως Φοινίκης· ἔφριξαν γοῦν οἱ βασιλεῖς καὶ τοπάρχαι καὶ σατράπαι αὐτῶν· καὶ ὥσπερ ἀστραπὴ σύντομος διέβη τὴν ἀνατολὴν ὅλην· καὶ ἐμεθύστη ἡ ῥομφαία αὐτοῦ ἀπὸ τῶν ἐθνικῶν αἱμάτων· καὶ οὐκ ἔδωκεν ἀνάπαυσιν τοῦ κορμίου αὐτοῦ οὔτε ὕπνον τοῖς ὀφθαλμοῖς αὐτοῦ ἕως οὗ ὅτι ἐδίωξε τοὺς ἀγρίους λύκους καὶ τὰ βάρβαρα καὶ ἄπιστα ἔθνη, ἅτινα διέφθειραν τὴν χριστιανικὴν μάνδραν, καὶ ἐποίησεν αὐτοὺς νὰ τρέμουσι τὴν σπάθην τῶν Ῥωμαίων· εἶτα ἐστράφη μυριονικηφόρος εἰς τὴν Κωνσταντινούπολιν μετὰ πλήθους αἰχμαλωσίας καὶ πλούτου πολλοῦ.

996 (5) Μαθὼν δὲ ὅτι οἱ Βούλγαροι εὑρόντες ἄδειαν διὰ τῆς εἰς τὴν ἀνατολὴν ἀποδημίας τῶν στρατευμάτων, κατεπάτησαν καὶ ἠρήμωσαν πολλὴν γῆν τῶν Ῥωμαίων, πάλιν ἐνεπλήσθη θυμοῦ δικαίου καὶ ζήλου· καὶ πάλιν ἐξέβη μετὰ ὁρμῆς καὶ δυνάμεως κατ' αὐτῶν καὶ ἔβαψε τοὺς κάμπους ἀπὸ τῶν αἱμάτων αὐτῶν· καὶ ἐγέμισαν αὐτοὺς τὰ παράπλαγα καὶ τὰ ῥυάκια, καὶ ἀπὸ τοὺς πολλοὺς φόνους ἐβρώμισεν ἡ γῆ καὶ ἐκενίνησεν, καὶ τὰ σπαθία καὶ τὰ κοντάρια τῶν Ῥωμαίων ἀποστομώθησαν ἀπὸ τὰ ὀστᾶ τῶν βαρβάρων καὶ ἀπὸ τοὺς πολλοὺς τραχηλοκοπημούς αὐτῶν· καὶ περιεπατοῦσαν ἄφοβα καὶ ἁρματωμένοι μὲν καὶ ἀναρμάτωτοι οἱ Ῥωμαῖοι· καὶ παρέλαβεν ὁ βασιλεὺς κάστρα καὶ χώρας τῶν Βουλγάρων πολ-

---

2. Par. 1706. Τούτου τῷ ε' ἔτει θνήσκει ὁ πατριάρχης Ἀντώνιος καὶ χειροτονεῖται πατριάρχης Νικόλαος Κ. Π. ὁ καλούμενος Χρυσοβέργης καὶ ἐπισκόπευσεν ἔτη ιγ' (982—995). Οὗτος κτίζει μοναστήριον ἐν τῷ Ὀλύμπῳ· καὶ μετὰ ταῦτα θνήσκει Νικόλαος καὶ χειροτονεῖται Σισίνιος πατριάρχης Κ. Π. καὶ ἐπισκόπευσεν ἔτη [γ'] καὶ τῷ [κγ' = 998] τῆς βασιλείας Βασιλείου ἐθνήσκει ὁ πατριάρχης Σισίνιος· καὶ χειροτονεῖται Σέργιος ὁ Μανουηλίτης, ἀνὴρ ὅσιος πατριάρχης καὶ ἐπισκόπευσεν ἔτη [κ']· καὶ τῷ ἔτει [μδ' = 1019] τῆς αὐτοῦ βασιλείας τελευτήσαντος τοῦ Σεργίου, χειροτονεῖται Εὐστάθιος πατριάρχης καὶ ἐπισκόπευσεν ἔτη δ'· καὶ τῷ [να' = 1025] ἔτει τῆς αὐτοῦ βασιλείας θνήσκει Εὐστάθιος καὶ χειροτονεῖται Ἀλέξιος πατριάρχης Κ. Π. ὁ Στουδιώτης καὶ ἐπισκόπευσεν ἔτη ιβ' Ven. 273ᵃ—275ᵃ. — 15. Par. 1708.

λὰς καὶ ἔβαλλεν ἐπ' αὐτὰς φυλάκτορας ἐδικούς του. Παρέλαβε δὲ 1018
καὶ τὴν χώραν, ἐν ᾗ ἦτον ἡ βασίλισσα τῶν Βουλγάρων· καὶ εὗρεν
ἐν αὐτῇ πράγματα καὶ θυσαυροὺς πολλοὺς καὶ χρυσίον καὶ ἀργύ-
ριον ἄπειρον καὶ στέμματα καὶ διαδήματα καὶ ἀποσκευὰς βασι-
λικάς.

(6) Ἰδὼν δὲ ὁ ἀρχηγὸς τῶν βαρβάρων τὴν τοσαύτην βίαν καὶ
ὅτι τὸ φοσάτον αὐτοῦ διεφθάρη καὶ ἐρημώθη, ἐκράτησε πρὸς ὀλί-
γον τὴν ἀλαζονείαν αὐτοῦ καὶ ἐταπείνωσε τὸ βαρβαρικὸν θράσος·
ἐπεὶ δὲ πάλιν ἐπερισύναξε στρατὸν ἄλλον καὶ προσκαλεστικὸν φο-
σάτον ξένον, καὶ ἐξέβη εἰς πολέμους καὶ μάχας θυμοῦ πνέων καὶ
μανίας καὶ ἔκλεισε τὰς κλεισούρας καὶ τὰ διαβατὰ, ποῦ μὲν με-
[τὰ] τείχους, ποῦ δὲ με[τὰ] νευραίας καὶ ξύλα, καὶ ἐποίει χαντά-
κια μηχανικά· καὶ ἦτον τὸ φοσάτον ὅπερ ἔσυρνε χιλιάδας τξ, καὶ
ἠλαζονεύετον ἐπὶ τοσούτου πλήθους· τὰ δὲ στενώματα ἐποίησε
διὰ σκοπὸν, ὅτι ἂν ἀποκλείσῃ τὸν βασιλέα μετὰ τοῦ φοσάτου αὐ-
τοῦ, νὰ μηδὲν ἠμπορεῖ νὰ ἔχῃ ἔκβασιν νὰ γλητώσῃ· ἦλθε γοῦν καὶ
ἔπεσε κοντὰ εἰς τὰ σύνορα τῶν Ῥωμαίων· καὶ ἐκεῖ ὁποῦ ἔκειτο
ἦτον κάμπος καὶ ποταμοὶ μεγάλοι καὶ ὄρη μεγάλα καὶ ὑψηλὰ καὶ
σκληρὰ καὶ χιονισμένα μέσον τῆς Ῥωμανίας καὶ τῶν Βουλγάρων,
καὶ ἦτον πόρος εἷς, καὶ ἔδησεν αὐτόν· καὶ ἔβαλλε φύλαξιν δυνατὴν
καὶ ἐπολέμα καθ' ἡμέραν ἐμφάνειαν καὶ ἐνέπαυε τὰ φοσάτα· ἡ
αἰτία διὰ νὰ ἐξέβῃ ἐξαίφνης νὰ ἐμπλακῇ τὸν βασιλέα.

(7) Ὁ οὖν βασιλεὺς διὰ παντὸς εἶχε κατασκόπους καὶ ἐγίνωσ-
κε πάντα καὶ ἐστερέωσε τὸν λογισμὸν αὐτοῦ· καὶ ἵνα δείξῃ πο-
ταπὴν ἀνδρείαν καὶ τόλμαν ἔχουσιν οἱ Ῥωμαῖοι, οὐδὲν ἐπέμεινεν
ἵνα ἔλθωσιν ἐκεῖνοι ἐπ' αὐτὸν, ἀλλ' οὐδὲ ἐδειλίασεν νὰ στραφῇ
ὀπίσω, οὐδὲ ἠγάπα νὰ ἀποκλείεται ἔσω εἰς τὸ παλάτι καὶ νὰ
κρύπτεται ὥσπερ τρυφερὸν κοράσιον· ἀλλὰ τὰς τρίχας τῆς κε-
φαλῆς αὐτοῦ τάς ποτε μυρισμένας ἔβαψαν αὐτὰς αἱ πάχναι καὶ
δροσίαι τῆς αὐγῆς, καὶ ἡ σὰρξ αὐτοῦ ἀπὸ τὸν κονιορτὸν καὶ
ἀπὸ τῶν ἱδρώτων ἐκδάρθη· καὶ τὸ πρόσωπον αὐτοῦ ἠμαύρωσεν
ἀπὸ τὴν πυρὰν τοῦ ἡλίου· ἀπέστειλε δὲ δύο στρατηγοὺς, ἕκαστον

---

1. ἰδικούς? — 5. Par. 1708 cf. Ced. 468,3. — 22. Par. 1708. — 23. Νίκη Ῥωμαίων καὶ (κατὰ?) Βουλγάρων. — 30. πειράν?

μετὰ καβαλαρίων ἐκλεκτῶν, χιλιάδας ιβ̄, καθὼς ὀρθώσουσιν, ἵνα εὕρωσι μονοπάτια ἀπὸ τόπους δυσβάτους καὶ νὰ σύρωσι τὰ ἄλογα αὐτῶν καὶ νὰ ἀναβοῦσιν εἰς τὸ ὄρος πεζεί, ἔνθα οὐκ εἴχασιν οἱ βάρβαροι προσοχὴν ἢ λογισμόν, καὶ νὰ καταβῶσιν ἀπὸ τόπους οὓς θέλουσι σύρον αὐτοὺς οἱ πρόβοδοι· ὁ δὲ ἕτερος στρατηγὸς ὁμοίως ἐτάχθη νὰ ὑπάγῃ καὶ αὐτὸς δι' ἄλλης ὁδοῦ νὰ πέσῃ ἐπάνω εἰς τὴν φύλαξιν, ὅπου ἐκράτει τὸν πόρον, καὶ νὰ τοὺς δώσουν οὕτως ἐπιδέξια, ὅπου οὐδὲ καὶν εἷς ἐξ αὐτῶν εἰπεῖν νὰ μηδὲν γλητώσῃ νὰ ὑπάγῃ μαντάτον. Καὶ ὁ μὲν πρῶτος ἐπῆρε τὸ ὄρος καὶ ἐπ' αὐτὸ ἀνέβη μετὰ χιλιάδων ιβ̄· καὶ ἐγένετο μεγάλη βία ὥστε νὰ διαβοῦσιν αὐτὸ ἕως ἡμέρας τρεῖς· καὶ ἐνυκτοπάτησε καὶ κατέβη εἰς τὴν ἄλλην μεραίαν καὶ ἐγκρυμάτοσεν εἰς τόπον σύνδενδρον καὶ κρυπτόν· καὶ οἱ Βούλγαροι ἦσαν πλησίον, ἀλλ' οὐκ εἶχασιν εἴδησίν τινα περὶ τούτων· ὁ δὲ ἄλλος εὗρε καὶ αὐτὸς τόπους λίαν δυσκόλους καὶ δυσβάτους· ὅμως μετὰ σκοποῦ πολλοῦ ἐδιέβη αὐτοὺς καὶ ἀπῆγεν ἀπὸ τοῦ ἔσωθεν μέρους, ἔνθα ἦν ἡ φύλαξις· καὶ πρὸς ὥραν τῆς αὐγῆς ἔδωκαν τὰ ὄργανα καὶ τὰ παιγνίδια τοῦ πολέμου· καὶ ἐφοβήθησαν οἱ Βούλγαροι φόβον μέγαν εἰς τὸ ἀνέλπιστον κακόν· ἐπήδησαν γοῦν οἱ Ῥωμαῖοι οἱ ἐπάνω αὐτῶν καὶ ἐκύκλωσαν αὐτοὺς καὶ ἄλλους μὲν ἔσφαξαν, ἄλλους δὲ ἐπίασαν· καὶ οὐδὲ εἷς ἐγλήτωσεν ἀπὸ τὰς χεῖρας αὐτῶν· καὶ οὕτως ἐχάλασαν τὸ δέμα· καὶ ὁ βασιλεὺς ὢν ἕτοιμος μετὰ τοῦ φοσάτου εἰσῆλθε καὶ ἀπῆγεν μετὰ προθυμίας κατὰ τοῦ μεγάλου ἐκείνου φοσάτου, καὶ οὕτως ἀπερχόμενος καθ' ὁδὸν ὑπήντησε τοὺς καβαλαρίους ὅπου ἤρχοντο διὰ βίγλαν, καὶ ἐπίασεν ἅπαντας· καὶ μετ' ὀλίγον πάλιν ὑπήντησεν ἄλλους ἑκατὸν, βίγλας καὶ αὐτοὺς ὄντας, καὶ ἐπίασε καὶ αὐτούς· οἱ Βούλγαροι οὖν θαρροῦντες ὅτι ἔχουσι βίγλας, ἦσαν ἀμέριμνοι, καὶ ἐκαθέζοντο δίχα φόβον τινά· καὶ ὁ βασιλεὺς πάλιν ἐνυκτοπάτησε καὶ πρὸς ὥραν τῆς αὐγῆς ἔδωκεν ἐπάνω εἰς αὐτοὺς ἄφνω καὶ ἀπὸ τοῦ ἑτέρου μέρος ὁ ἐγκρυματωμένος στρατηγὸς ὁμοίως· καὶ εὑρέθησαν οἱ Βούλγαροι ἀναρμάτωτοι καὶ βεβαρημένοι τοῦ ὕπνου καὶ ὥρμησαν νὰ φεύγουν· καὶ ἐγένετο ἡ συντριβὴ καὶ ἡ ἀνάγκη αὐτῶν καὶ ὁ φόβος πολλὰ μέγας· καὶ οὐκ ἐγίνωσκαν ποῦ ὑπάγουσιν καὶ ἔπιπταν εἰς τοὺς ποταμοὺς καὶ ἐπνίγοντο· καὶ κα-

τέσφαξεν εἰς τὸν ἄλλον· καὶ οἱ Ῥωμαῖοι κατέκοπτον καὶ ἐφόνευον αὐτοὺς ἀνηλεῶς· καὶ ἔπεσον ἀπὸ τῆς Ῥωμαϊκῆς σπάθης τὴν ἡμέραν ἐκείνην ρξ̄ χιλιάδας βαρβάρων· καὶ οἱ ποταμοὶ ἀντὶ ὕδατος ἔῤῥεον αἷμα, καὶ ὁ ἀρχηγὸς αὐτῶν ἔφυγε, καὶ ἐπήρασιν οἱ Ῥωμαῖοι τὰς τέντας καὶ τὰ χρήματα καὶ τὰ ἅρματα καὶ τὰς ἀποσκευὰς τῶν Βουλγάρων, καὶ ἐγένετο χαρὰ μεγάλη καὶ εὐχαριστεία εἰς θεόν.

(8) Ἀλλὰ πάλιν ὁ βασιλεὺς Βουλγάρων οὐδὲν ἠθέλησε νὰ σιγάσῃ οὐδὲ νὰ καταπῇ καὶ νὰ ὑπομένῃ ὅπερ ἔπαθε κακὸν, ἀλλὰ μετ' ὀλίγας ἡμέρας ἐπερισύναξε τὸ ἐναπολειφθὲν φοσάτον· ἀπέστειλε δὲ καὶ ἐπροσκαλέσατο φοσάτα καὶ ἀπὸ ἄλλας γενεὰς, καὶ ἦλθε κατὰ πρόσωπον τοῦ βασιλέως νὰ ἐκδικηθῇ· καὶ εἰς τὸν χαλασμὸν καὶ καταλυμὸν αὐτοῦ χορτασίαν οὐκ εἶχεν· ἀμὴ ὡμοίαζεν ἀγριοχοίριν ὅταν συναπαντηθῇ μετὰ τοῦ κυνηγοῦ καὶ ἀπὸ τὸν θυμὸν αὐτοῦ κουντᾷ τὸ κορμὶν αὐτοῦ εἰς τὸ ξίφος καὶ καταφρονεῖ τὸν θάνατον· ὅμως ἡρματώθησαν οἱ Ῥωμαῖοι ἀπὸ τὸ ἓν μέρος, καὶ οἱ Βούλγαροι ἀπὸ τὸ ἕτερον· καὶ ἐκ τῶν δύο μερῶν ὁλοσίδηροι ὄντες καβαλάριοι καὶ ἁρματωμένοι καὶ ὁλοσίδηροι κονταράτοι, ἐσήκωσαν τὰ φλάμουλα αὐτῶν καὶ ἐδώκασι τὰ βούκινα καὶ τὰ τρουμπέτια, σημεῖα τοῦ πολέμου· καὶ ἦτον μεγάλη βοὴ καὶ ταραχὴ καὶ εἰς τὰ δύο φοσάτα καὶ πολὺς τρόμος· ὡς δὲ συνυπηντήθησαν καὶ ἐδώκασιν ἀλλήλως, ὥσπερ ἄγρια καπρία ἢ λέοντες ἰσχυροὶ, καὶ ἐτζάκισαν τὰ κονταρία καὶ ἐκτυποῦσαν καὶ ἐσυνετρίβοντο τὰ σπαθία, καὶ ὁ κτύπος καὶ ἡ βοὴ καὶ ἡ ἀνάγκη ἀνέβαινεν ἕως εἰς οὐρανὸν, καὶ τὰ αἵματα ἐχύνοντο ὑπὲρ ὕδωρ, καὶ τῶν ἀλόγων ὁ χλυμιτρισμὸς ἐσκέπαζε τὸν ἀέρα, καὶ ὁ βασιλεὺς τῶν Ῥωμαίων ἀνέβαινε καὶ κατέβαινεν ὥσπερ γοργὸς πετρίτης ἢ πρόθυμον γεράκιν, καὶ ἔδιδεν δύναμιν εἰς τὰς παραταγὰς αὐτοῦ, καὶ παρεκίνα τοὺς στρατηγοὺς αὐτοῦ νὰ δείξουν ὁπόσον χρήζουν οἱ Ῥωμαῖοι ἀπὸ τὰς ἄλλας γενεάς· εἰς τὸ ὕστερον δὲ ἐτράπησαν οἱ Βούλγαροι καὶ ἐγύρισαν πρόσωπον νὰ φεύγουν· τὰ δὲ στρατεύματα τῶν Ῥωμαίων ἐδιώκαν αὐτοὺς ἐξόπισθεν καὶ ἐσκότωναν καὶ ἐκατεπάτουν αὐτοὺς

3. χιλιάδες? — 7. Par. 1708 φάρια in margine?

καὶ ἐκούρσευαν τὰς τέντας αὐτῶν καὶ ἐνίκησαν αὐτοὺς νίκην μεγάλην· οὕτως οὖν παρέλυσεν ὁ βασιλεὺς τὴν ἀλαζονείαν καὶ τὸ θράσος τῶν Βουλγάρων καὶ ἐδίωξε καὶ κατέστησεν αὐτοὺς δούλους καὶ ὑποχειρίους.

(9) Ἐπεὶ δὲ ὁ θάνατος οὐκ ἐλεεῖ τινάν, ἐτελεύτησε καὶ ὁ Βασίλειος, καὶ ἐχάθη μέγα θεμέλιον τῶν Ῥωμαίων· ὅμως εἰς βαθὺ γῆρας ἀπέθανε, καὶ ἐπέμεινεν ἡ βασιλεία εἰς τὸν ἀδελφὸν αὐτοῦ τὸν Κωνσταντῖνον.

[Ε']. ΒΑΣΙΛΕΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΑΔΕΛΦΟΥ ΒΑΣΙΛΕΙΟΥ.

1025 Τῷ ,ϛφλη ἔτει τοῦ κόσμου, τῆς δὲ θείας σαρκώσεως ,αλη ἐβασίλευσε Κωνσταντῖνος, ἀδελφὸς Βασιλείου, ἔτη β'.

(2) Ἐνταῦθα ἐφάνη ἀληθὴς ἡ παροιμία ἡ λέγουσα· ποτήριον καὶ καρούρα ἀπὸ ὑαλὶν ἕνα ἢ σταυρὸς καὶ πτυάριν ἀπὸ ξύλον ἕνα· ἡ γὰρ γνῶσις τῶν δύο τούτων ἀδελφῶν ἦτον ἀπόμακρα ἡ μία τῆς ἄλλης· ὅτι ὁ μὲν Βασίλειος ἐμίσει τὰς χαρὰς καὶ τοὺς παραδιαβασμούς, καὶ ἦτον ὁ λογισμὸς αὐτοῦ εἰς ἅρματα καὶ εἰς πολέμους καὶ τὸ πῶς νὰ τιμήσῃ τὴν βασιλείαν τῶν Ῥωμαίων· ὁ δὲ Κωνσταντῖνος οὐδὲ αὐτὸ τοῦ πολέμου τὸ ὄνομα ἤθελεν νὰ ἀκούσῃ, οὐδὲ εἰς ὕπνον τοῦ εἰδὼν ἅρματα οὔτε φωνὰς πολεμικάς, ἀλλ' ἔτρωγε καὶ ἔπινε καὶ παρεδιάβαζε μὲ γυναῖκας πολιτικὰς καὶ ἀνθρώπους μωρούς καὶ ὀρχηστάδας, καὶ ταῦτα γέρων ἄνθρωπος καὶ παλαιόχρονος· καὶ οὔτε θεὸν ἐφοβεῖτο, οὔτε ἀνθρώπους ἐντρέπετον· ἦτον δὲ δειλὸς καὶ τρομερὸς πολλὰ καὶ ἀπὸ μικρὴν κατεμπλοκὴν ἐπίασεν, καὶ ἐτύφλωσεν οὐκ ὀλίγους, αἰτιῶν αὐτοὺς ὅτι εἰσὶν ἐπίβουλοι αὐτοῦ.

---

4. Par. 1708. — 8. Par. 1708. Τελευτᾶ δὲ ὁ Βασιλεὺς ὁ Β. εὐσχήμων καὶ θάπτεται ἐν τῷ παρ' ἐκείνου οἰκοδομηθέντι ναῷ τοῦ ἠγαπημένου Ἰω. τοῦ Θεολόγου, καὶ καταλιμπάνει Β. τὸν ἀδελφ'ν αὐτοῦ Κωνσταντῖνον ἤδη γεγηρακότα Ven. 275b. — 11. σοε' Par. 1708; Κ. ὁ πορφυρογέννητος ὁ ἀδ.-Β. ἐβ. μόνος ἐ. γ' Ven. 175a. — 24. ἐπίανεν Par. — 25. Par. 1708. Οὗτος εἶχε γυναῖκα Βασίλισσαν καὶ ἔτεκεν ἐξ αὐτῆς θυγατέρας β' Ζωὴν καὶ θυγατέραν ἑτέραν Θεοδώραν, δειλὸς ὢν καὶ πρὸς τοὺς πολέμους ἀσθενής Ven.

(3) Εἶχε δὲ θυγατέρας δύο· καὶ ἤκουσε παρά τινος ὅτι ἐξ αὐτῶν βασιλεύσει τις Ῥωμανὸς, εἷς τῶν μεγιστάνων ὁ Ἀργυρόπουλος, καὶ ἠνάγκαζε τοῦτον τὸν Ῥωμανὸν νὰ χωρισθῇ ἀπὸ τῆς ἰδίας αὐτοῦ συζύγου καὶ ἵνα ἁρμοσθῇ τὴν θυγατέραν αὐτοῦ τὴν πορφυρογέννητον ὀνόματι Ζωήν· ἐξ οὗ καὶ ἐγένετο· καὶ ἐχάρη τὴν βασιλείαν πολλὰ ὀλίγον καὶ ἀπέθανεν.

[ς'] ΒΑΣΙΛΕΙΑ ΡΩΜΑΝΟΥ ΤΟΥ ΑΡΓΥΡΟΠΟΥΛΟΥ.

Τῷ ͵ςφμ ἔτει τοῦ κόσμου, τῆς δὲ θείας σαρκώσεως ͵αμ ἐβασί- 1028
λευσε Ῥωμανὸς ὁ Ἀργυρόπουλος, ὁ γαμβρὸς Κωνσταντίνου, ἄνθρωπος σοφὸς καὶ φοβούμενος τὸν θεὸν καὶ φρόνιμος.

(5) Καὶ ἡ χαρὰ αὐτοῦ ἦτον τοῦ θεοῦ τὰ λόγια καὶ ἀγρυπνίαι ὁλονύκτιαι καὶ ἡ ἀνάγνωσις τῶν θείων γραφῶν, καὶ ᾠκοδόμησεν μοναστήριον θαυμάσιον καὶ μεγαλοπρεπὲς εἰς ὄνομα τῆς ὑπεραγίας θεοτόκου, ἣν λέγουσι περίβλεπτον.

(3) Ἡ δὲ βασίλισσα ἦτον νέα εἰς τὴν αὔξησιν αὐτῆς καὶ ἠγάπα ἐρωτομιξίας καὶ περιπλοκὰς ἀνδρὸς, ἔβλεπε δὲ τὸν Ῥωμανὸν ὅτι τὸ πλέον ἐσωφρόνει καὶ οὐκ ἐνεθυμεῖτο ἂν ἔχει γυναῖκα· καὶ ἔβαλλεν εἰς τὸν νοῦν αὐτῆς πάσας πονηρὰς ἐνθυμήσεις καὶ μελέτην κακήν· ἦτον δὲ εἰς τὸ παλάτιν εἷς νέος εὔμορφος ᾧ ὄνομα Μιχαὴλ ἐκ γένους τῶν Παφλαγόνων· καὶ ὡς ἐπεριπάτει εἰς τὴν αὐλὴν τοῦ παλατίου, ὡραιομένος καὶ κουρτέσης, καὶ ἰδοῦσα τοῦτον ἡ βασίλισσα ἐτρώθη ἔρωταν ἐν τῇ καρδίᾳ αὐτῆς καὶ ἐπεθύμει τὸ κάλλος καὶ τὴν λαμπρότητα τοῦ Μιχαὴλ, ὅτι ἦτον τρυφεροπρόσωπος καὶ καταλευκος καὶ ῥοδινὸς καὶ περικαλὴς, ὥστε καὶ εἶχεν αὐτὸν καὶ ἐμοιχεύετο μετ' αὐτοῦ καὶ ἐχόρταινεν αὐτοῦ τὴν εὐμορφίαν· καὶ μίαν τῶν ἡμερῶν ὡς ἦτον ὁ Ῥωμανὸς ἔσω εἰς τὸ λουτρὸν

---

5. δ καὶ ἐγ.? — 6. Par. 1708 Ὁρῶν δὲ ἑαυτὸν τῷ θανάτῳ ἐγγίζοντα, ἵνα τῶν τῆς συγκλήτου προκρίνας Ῥωμανὸν τὸν Ἀργυρόπουλον, συνάπτει τῇ ἰδίᾳ θυγατρὶ Ζωῇ καὶ βασιλέα χειροτονησας θνήσκει Ven. 275b. — 10. Par. 1708 σος' 349ab. Ῥ. ὁ τοῦ πορφυρογεννήτου ὁ Ἀ. ἐβ. ἔτη ε' Ven. — 15. Par. 1708 349b. Οὗτος γυναῖκα, ἔχων ταύτην ἀπώσατο καὶ ἐγημε τὴν θυγατέραν τοῦ Κωνσταντίνου Ζωήν, ἀλλὰ παῖδας οὐκ ἐποίησεν ἦν δὲ ὁ ἀνὴρ σοφὸς καὶ θεοσεβής· ἐποίησε δὲ τὴν περιφανεστάτην μονὴν τὴν περ. ἐν ᾗ καὶ τέθνηκε καὶ ἐτάφη βασιλικῶς Ven. — 25. ἐχόρτενεν Par.

καὶ ἐλούετον, ἐσέβησαν ἄνδρες φονικοὶ καὶ δόλιοι καὶ κακοποιοὶ καὶ εὗρον αὐτὸν γυμνὸν καὶ ἔθηκαν αὐτὸν κάτω καὶ ἔσφιξαν τὸν λαιμὸν αὐτοῦ καὶ ἔπνιξαν αὐτόν· ἀλλὰ πόθεν ἦν ἡ ἐπιβουλία οὐδὲν ἐφανερώθη, ἢ ἐγίνωσκεν αὐτὸ ἡ γυνὴ αὐτοῦ ἡ Ζωὴ ἢ οὔ· ὡς δὲ ἐπνίγη ὁ Ῥωμανὸς καὶ ἀπέθανεν, ἐβασίλευσε Μιχαὴλ ὁ Παφλαγὼν ὁ πρότερος ἀφανὴς καὶ ἀγνώριστος.

[Ζ'] ΒΑΣΙΛΕΙΑ ΜΙΧΑΗΛ ΤΟΥ ΠΑΦΛΑΓΟΝΟΣ.

1034 Τῷ ͵ϛφμς ἔτει τοῦ κόσμου, τῆς δὲ θείας σαρκώσεως ͵αμς ἐβασίλευσε Μιχαὴλ ὁ Παφλαγών, ἔτη ζ καὶ μῆνας η.

(2) Κατ' αὐτὴν γὰρ τὴν νύκτα, ὅτε ἐτελεύτησεν ὁ Ῥωμανὸς καὶ ἦτον ἄταφος, ἔστειλεν ἡ βασίλισσα καὶ ἔφερε τὸν πατριάρχην καὶ τοὺς πρώτους τοῦ παλατίου καὶ τοὺς μεγιστάνας· καὶ ἔδωσαν αὐτοῖς ὅρκον, καὶ ἔστεψεν ὁ πατριάρχης τὸν Μιχαὴλ, καὶ ἀνευφήμησαν αὐτὸν οἱ στρατάρχαι· ἦτον δὲ ὁ Μιχαὴλ καὶ εἰς τὸ πρόσωπον καὶ εἰς τὸ κορμὶν πάνυ ὡραῖος· ἀλλὰ καὶ ἡ ψυχὴ αὐτοῦ εἶχε μεγάλας χάριτας καὶ καλὴν ἀρετήν· ὡς γὰρ συνετὸς καὶ φρόνιμος ἐνεθυμεῖτο καὶ ἀνελογίζετο ἀπὸ ποίαν ἀτιμίαν ποίαν δόξαν εὗρε· καὶ ἀπὸ ποταπὴν πτωχείαν καὶ ἀδοξίαν εἰς ποῖον ὕψος ἀνέβη τῆς βασιλείας· καὶ ἦτον πρὸς πάντας ἀνθρώπους καὶ ἄρχοντας καὶ πτωχοὺς συγκαταβατικὸς καὶ ταπεινὸς καὶ ἥμερος· ἐκυβέρνα τοὺς πτωχοὺς καὶ ἐπλούτιζε τοὺς ἀπόρους· ἐὰν ἔμαθεν ὅτι τινὰς ἦτον πλούσιος ἢ πλουσίων ἀνθρώπων υἱὸς καὶ ἔτυχεν ὅτι ἐδυστύχησεν, ἐποίει αὐτὸν πάλιν ἄρχοντα· ἦτον δὲ ὥσπερ καλὸς πατὴρ εἰς χήρας καὶ ὄρφανα· ἀσθενεῖς καὶ ξένους ἐπαρηγόρει· καὶ οὐδεὶς ἀπήρχετο ἰδεῖν αὐτὸν καὶ νὰ μηδὲν ἐπιστραφῇ χαίρων.

(3) Ὅμως εἰς τοσαῦτα καλὰ ὁποῦ εἶχεν, ἔπασχεν ἀπὸ κακὴν ἀῤῥωστείαν, καὶ ἡ ζωὴ αὐτοῦ ἦτον πάντοτε λυπηρὰ καὶ ἐπικίνδυνος· καὶ οὐδεὶς οἶδεν εἴτε ἀπὸ πλεονασμὸν ὕλης θερμαινόμενος

---

1. Par. 1708. — 9. Par. 1708, σοζ'. M. ὁ Π. σὺν τῇ ἰδίᾳ γαμετῇ Ζωῇ καὶ τῇ ἀδελφῇ ταύτης Θεοδώρᾳ τῶν θυγατέρων Κωνσταντίνου τοῦ πορφυρογεννήτου ἐβ. ὁμοῦ ἑ. ζ' Ven. 276ª. — 25. Par. 1706. Ἦν δὲ ὁ ἀνὴρ λίαν ἀγαθώτατος καὶ πάσης θεϊκῆς ἀρετῆς ἀνάπλεως καὶ τὸν θεὸν ἐξ ὅλης καρδίας φιλῶν καὶ φοβούμενος Ven.

ἐταράττετο καὶ ἔπιπτεν, εἴτε ἀπὸ δαίμονος ἐκολάζετο· πολλάκις γὰρ οὕτως ὡς ἴστατο λαλῶν, ἔπιπτεν ἄφνω εἰς τὴν γῆν καὶ ἤφριζε τὸ στόμα αὐτοῦ καὶ ἠμαύριζε τὸ πρόσωπον αὐτοῦ καὶ ἐστρεβλώνοντο οἱ ὀφθαλμοὶ αὐτοῦ καὶ ἐφώναζεν ἀγρίας φωνὰς ὡς αἴγα· καὶ ἐὰν οὐκ ἐτύχανον τινὲς νὰ τὸν πιάσουν, ἔκρουε τὴν κεφαλὴν αὐτοῦ καὶ συνέτριβεν αὐτὴν εἰς τοὺς τοίχους· ὅταν δὲ ἤθελε νὰ ἀποδιαβῇ ἡ ζάλη ἐκείνη καὶ ἤρχετο εἰς αἴσθησιν αὐτοῦ, τότε ἐγίνετο δοκιμώτερος εἰς ἀρετὴν καὶ ἠγωνίζετον ὑπὲρ τῆς ἰδίας ψυχῆς, καὶ εἶχε μεγάλην ἐπιθυμίαν νὰ γένηται μοναχός.

(4) Εἶχε δὲ ἀδελφοὺς γνησίους, ἀνθρώπους ἅρπαγας καὶ κακοτρόπους, χωριάτας, χοιροβίους καὶ κακοήθεις· καὶ ὁ πρῶτος καὶ χειρότερος ἦτον ἀπὸ μικρόθεν εὐνοῦχος, κακοῦργος ἄνθρωπος καὶ ἀπαίδευτος καὶ ἄδικος· καὶ πᾶσαν τῆς βασιλείας τὴν ἐξουσίαν εἶχεν εἰς τὸ θέλημα αὐτοῦ, νὰ τὴν στρέφῃ ἄνω καὶ κάτω καὶ ἦτον ὥσπερ βάγιλλος τοῦ βασιλέως, καὶ ἀνάγκασε πολλὰ τὸν Μιχαὴλ ἵνα συντύχῃ τὴν βασίλισσαν τὴν Ζωὴν διὰ τὸν ἀδελφότεκνον αὐτοῦ, ἵνα ποιήσῃ αὐτὸν ὡς πνευματικὸν υἱόν· καὶ ὁ βασιλεὺς ἐσυγκατετέθη τῇ θελήσει αὐτοῦ, καὶ ἐποίησεν υἱοθετὸν αὐτοῦ τὸν Μιχαὴλ — οὕτως γὰρ ὠνομάζετον—εἰς τὴν βασίλισσαν καὶ ἔστεψεν αὐτὸν Καίσαρα, ἄνδρα μωρὸν καὶ ἀνόητον καὶ κτηνώδη· ὁ δὲ βασιλεὺς ἐνοχλούμενος ὑπὸ τῆς δεινῆς ἀσθενείας ἧς εἶχε καὶ ἀναγκαζόμενος ὑπὸ τῆς οἰκείας γνώμης ὡς ἀρετῆς φίλος, ἐξαφῆκε τὴν βασιλείαν καὶ τὸ στέμμα καὶ τὸ διάδημα καὶ πᾶσαν ἀπόλαυσιν βασιλικὴν καὶ δόξαν καὶ ἐγένετο μοναχὸς καὶ ἀπὸ τὰς ταραχὰς τοῦ κόσμου ἔδραμεν εἰς μεγάλην γαλήνην· ἡ δὲ φροντὶς τῆς βασιλείας ἐπέμεινεν εἰς Ζωὴν τὴν βασίλισσαν καὶ τὸν ἀδελφότεκνον τοῦ ἀνδρὸς αὐτῆς ἐκεῖνον τὸν μιαρὸν Μιχαήλ.

---

9. Par. 1708. Συνείχετο πάθει τινὶ λαθραίῳ, ὑφ' οὗ πολλάκις ἐνεργουμένος κατὰ γῆς ἄφωνος ἔβριπτο, καὶ νεκρῷ [ὅμοιος] δι' ὅλης μιᾶς ὥρας ἔκειτο ἕως αὐτὸν καταλιπόντος τοῦ συμπνίγοντος δεινοῦ, εἰς τὴν προτέραν ἐπανέρχεται αἴσθησιν Ven. — 27. Par. 1708. Καὶ δὴ ἕνα τοῦ ἀδελφοῦ αὐτοῦ παῖδα, συνώνυμον αὐτοῦ Μιχαήλ, προχειρίζεται εἰς βασιλέα καὶ πρότερον αὐτὸν υἱοτεθήσας τῇ βασιλίδι Ζωῇ, οἵ δὴ γεγονότος, ὁ βασιλεὺς καὶ τοῦ χαλεποῦ ἐκείνῳ πάθους ἐπισυχνάζοντος, ἐξατενίσας καὶ πρὸς μετάνοιαν καὶ τὸ μοναχικὸν σχῆμα ἐρωτικῶς ἔχων ἀεί, εἰς τὸ παρ' αὐτοῦ κτισθὲν μοναστήριον τοῦ Κοσμιδίου κατέρχεται καὶ αἴφνης ἀποκείρεται, καὶ ὀλίγον ἐπιβιοὺς, πρὸς ὃν ἠγάπησε θεὸν ἐξεδήμησεν ὁ ἀοίδιμος, καὶ χοροῖς ἀγγέλων συναριθμεῖται Ven. 276.

[Η'] ΒΑΣΙΛΕΙΑ ΜΙΧΑΗΛ ΤΟΥ ΚΑΛΑΦΑΤΗ.

1041 Τῷ ͵ςφνδ ἔτει τοῦ κόσμου, τῆς δὲ θείας σαρκώσεως ͵ανδ ἐβασίλευσε Μιχαὴλ ὁ Καλαφάτης, ἄνθρωπος δαιμονιάρις καὶ προβατόνους, καὶ εἶχεν ἀπὸ τὸ φυσικὸν αὐτοῦ πολλὴν μωρίαν καὶ ἀπαιδευσίαν.

(2) Ἡ δὲ νεότης καὶ ἡ αὐθεντία καὶ ἡ ἀλαζονεία συνηνώθησαν μετὰ τῆς μωρίας καὶ ἀπαιδευσίας καὶ ἐποίησαν κακὸν μέγαν· ὁμοίαζεν γὰρ ἕνα ὄγριον βορδόνιν, ὅταν οὐδὲν δέχεται χαλινάριν εἰς τὸ στόμα αὐτοῦ, ἀμὴ λακτίζῃ ἀτάκτως· καὶ ἔνθα ἔπρεπε νὰ στρέψῃ μεγάλην τιμὴν καὶ φιλοτιμίαν εἰς τοσοῦτον ἀξίωμα καὶ καλὸν ὅπερ εὗρεν ἀπὸ τὴν βασίλισσαν, τοσούτας πικρίας μεγάλας ἐπέτιζεν· καὶ τότε ἐνόησε καὶ αὐτὴ ποταπὸν ἐχθρὸν ἔτρεφε καὶ οἷον ὄφιν περιέθαλπεν εἰς τὸν κόλπον αὐτῆς καὶ ὁποῖον δράκοντα ἔθωκε τῆς βασιλείας τὸ βυζίν νὰ τὸ θηλάζῃ· ἐπεὶ γὰρ ἦλθεν ὁ Μιχαὴλ εἰς τόσην μεγάλην ἀξίαν καὶ ἐπελάβετο πραγμάτων ἀξιολόγων καὶ ἀναγκαίων, ἄνθρωπος νέος, ἄβουλος, ἀδόκιμος, ἀλαζονικός, καὶ διὰ τοῦτο ἐξεκυλίσθη καὶ ἔπεσεν εἰς κρημνὸν μέγαν· ἡ γὰρ εὐτυχία ὥσπερ μόλιβδός ἐστιν· καὶ ἂν οὐδέν ἐστι καλὰ δυνατὸς ὁποῦ νὰ βαστάξῃ αὐτὴν καὶ κυβερνήσῃ μετὰ φρονήσεως, ἐμπίπτει εἰς τὴν γῆν πρόμητα καὶ συντρίβεται· καὶ πρῶτον μὲν ἔβαλεν ἀρχὴν ἀπὸ τοὺς ἄρχοντας καὶ τοὺς ὑψηλοτέρους τῆς πόλεως καὶ ἐκόλαζεν αὐτοὺς μετὰ μανίας βαρβαρικῆς καὶ εὐνούχιζεν αὐτούς, ὥστε καὶ πολλοὶ ἀπὸ τὸ μέγα κακὸν τοῦτο παρηλλάγησαν ἀπὸ τῆς ἀνθρωπίνης φύσεως, καὶ οὐκ ἐγνώριζαν αὐτοὺς ἐὰν ἦσαν ἄνθρωποι· οὕτως οὖν ἐφάνη κακὸς καὶ ἄγριος ἀπὸ τὴν ἀρχήν, ὅτι ἀπὸ τὴν πρώτην ἡμέραν τὸν ἐγνώρισαν ἀνωφέλητον· εἶτα ἐπερισύναξεν κεπέλους νέους καὶ μωροὺς καὶ εἶχεν αὐτοὺς εἰς τὴν βουλὴν αὐτοῦ· καὶ ἐξώρισε τὰς βασιλίσσας τὴν Ζωὴν καὶ τὴν Θεοδώραν, καὶ ἀπέστειλεν αὐτὰς εἰς νησίν, καὶ ἐφόρεσιν αὐτὰς μαῦρα· τοῦτο δὲ ἐποίησεν εἰς ὀδυνηρὰν αὐτοῦ ἡμέραν, ὅτι ἔῤῥιψεν ἐπάνω του μεγάλας ὀχλήσεις καὶ ταραχάς, ἃς οὐκ ἠδυνήθη ἐπιστρέψαι εἰς γαλήνην· τότε μαθεῖν χρὴ ἀπὸ τὸ γεγονὸς

---

5. Par. 1708. σοὴ. M. ὁ ἀνεψιὸς αὐτοῦ ὁ Κ. ἐβ. μῆνας δ'. Ven. 277b.—26. κωπήλους?

τὸ συμβὰν καὶ ποταπὴν ἔχειν ὑποταγὴν τὸ κοινὸν τοῦ λαοῦ εἰς ἥμερον καὶ γλυκὺν αὐθέντην καὶ εὐεργέτην καὶ πόσα δύναται βασιλεύς, ὅταν ἀγαπᾷ αὐτὸν ὁ λαὸς αὐτοῦ· οὕτως γὰρ ὡς ἤκουσαν οἱ πάντες ὅτι ὁ Μιχαὴλ ἐξώρισε τὰς βασιλίσσας εἰς νησὶν καὶ ἔκοψε τὰ μάλια αὐτῶν καὶ ἐφόρεσεν αὐτὰς μαῦρα, ἐθυμώθη τὸ πλῆθος τοῦ λαοῦ ὅλον, καὶ ἀπὸ μιᾶς κραυγῆς καὶ ὁρμῆς καὶ βουλῆς ἐπήρασι λίθους, ῥάβδους, καὶ εἴτι ἔδραξεν ὁ καθεὶς, ὁ μὲν σπαθὴν, ὁ δὲ ἀξίνην, ἄλλος σουβλὶν καὶ ἕτερος ἀπελατίκην· ἐξέβησαν καὶ αἱ γυναῖκες μὲ πέτρας καὶ ξύλα, καὶ μετὰ βοῆς καὶ δρόμου ἀκρατήτου ἀπήγασιν εἰς τὸν βασιλέα ζητοῦντες τὰς βασιλίσσας· καὶ ὕβριζαν καὶ ἐποιοῦσαν αὐτὸν ἀτιμίας μεγάλας, ὅτι Μιχαὴλ, ὅστις ἦν πρότερον ἀγριοπρόσωπος ὡς δράκων, ἐταπεινώθη καὶ ἔτρεμεν ὥσπερ λαγωὸς καὶ ἔχασε τὸ θράσος καὶ τὴν ἀλαζονείαν αὐτοῦ καὶ μετὰ συντομίας ἔπεμψεν κάτεργα εὐθέως, καὶ ἤγαγον τὰς βασιλίσσας, καὶ ἔδωκεν πάλιν ταύτας τὴν παππογονικὴν βασιλείαν· ὅμως ὁ θόρυβος οὐκ ἔσβεσεν, ἀλλὰ μᾶλλον ἐξῆψε πλέον· καὶ ὁ λαὸς εἶχε θυμὸν μέγαν ἐπάνω εἰς τὸν καταπτυστον καὶ μυσαρόν· καὶ ὡς εἶδε τὴν βίαν καὶ τὴν ταραχὴν ἐκείνην καὶ τὸ πῶς ἐστενοχωρήθη, ὥσπερ ἕνα κακὸν ἀρκούδιν ἀπὸ πολλοὺς σκύλους, τάχα διὰ νὰ γλητώσῃ τὴν ζωὴν αὐτοῦ, ἐδοκίμασε νὰ φύγῃ καὶ ἔφυγεν ὥσπερ λαγωὸς εἰς τὴν τρύπαν καὶ ἔδραμεν εἰς τὴν ἐκκλησίαν ἐν τῷ ἁγίῳ βήματι ὑποκάτω τῆς ἁγίας τραπέζης· ἀλλ' ὅταν κινηθῇ τὸ κοινὸν εἰς μανίαν, νικᾷ καὶ αὐτὴν τοῦ πυρὸς τὴν δύναμιν· ἐσέβησαν γὰρ κἀκεῖσε ἔνδον, ἔνθα ἦν ἐν τῷ ἁγίῳ βήματι καὶ ἥρπαξαν αὐτόν· καὶ ἐφώναζε καὶ ἐθρήνει καὶ παρεκάλει πολλά· ἀλλὰ τέως ἐξώρυξαν τοὺς ὀφθαλμοὺς αὐτοῦ μετὰ μαχαίρας· ἐπίασαν καὶ τὸν θεῖον αὐτοῦ ἐκεῖνον τὸν εὐνοῦχον καὶ ἐτύφλωσαν αὐτὸν δικαίως.

(3) Καὶ ἔμεινεν ἡ βασιλεία εἰς τὴν Ζωὴν καὶ εἰς τὴν Θεοδώραν· ἡ δὲ βασίλισσα εἶδεν καὶ διέκρινεν ὅτι ἡ βασιλεία τῶν Ῥωμαίων ἄνδρα χρήζει κυβερνητὴν καὶ ὁδηγόν· εἶτα ἐπεθύμει νὰ

---

20. γλυτώσῃ Par. — 27. Par. 1708. Τοῦτον τὸν Μιχαὴλ [ἅμα] τῷ τῆς ἡλικίας νέῳ καὶ τοῦ βασιλικοῦ ὕψους ἐκ τοῦ αἰφνιδίου ὄγκῳ ἐπαρθέντα ἡ οἰκουροῦσα τῇ τούτου ψυχῇ κακία καὶ τοῦ συνήσοντος αὐτῷ φρονήματος καὶ βασιλείας καὶ αὐτῶν τῶν ὀμμάτων αὐτοῦ ἐστερήσεν.

ποιήσῃ καὶ παιδίν νὰ κληρονομήσῃ τὴν βασιλείαν· ὅτι ἀπὸ τοὺς δύο ἄνδρας ὅπου ἔπειρε δὲν ἔτυχε νὰ ἐγγαστρωθῇ, καὶ ἦτον πάντοτε κακόκαρδος διὰ τὴν ἀτεκνίαν· ἀπέστειλε δὲ εἰς τὴν Μιτυλήνην, καὶ ἔφεραν μετὰ κατέργων ἄνδρα τινὰ χαριέστατον καὶ γλυκύτατον ὀνόματι Κωνσταντῖνον τὸν μονομάχον, ὃν ὁ πρῶτος βασιλεὺς Μιχαὴλ ἐξώρισε κἀκεῖσε εἰς Μιτυλήνην διατί ἔλεγαν τινὲς ὅτι θέλει νὰ ἁρπάξῃ τὴν βασιλείαν· ἄλλοι δὲ ἔλεγον τὸ ἀληθέστερον δι' ἣν αἰτίαν ἐξώρισεν αὐτόν, ὅτι ὑφοῦτο αὐτὸν εἰς Ζωὴν τὴν βασίλισσαν· ἦτον γοῦν ἐκεῖ εἰς τὴν νῆσον περιορισμένος· καὶ παρ' ὀλίγον ἔφθασεν νὰ τὸν τυφλώσουν· εἶτα ὡς ἐγύρισεν ὁ ἄστατος τροχὸς τοῦ καιροῦ, καὶ τὸ ζάρη ὅπερ παίζει ἡ τύχη, ἐγένετο βασιλεὺς ὁ δοῦλος καὶ ἐξορισμένος, αὐθέντης τῶν Ῥωμαίων, καὶ ἡρμώσθη μετὰ Ζωῆς τῆς βασιλίσσης.

[θ'] ΒΑΣΙΛΕΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΜΟΝΟΜΑΧΟΥ.

1042 Τῷ ϛφνε ἔτει τοῦ κόσμου, τῆς δὲ θείας σαρκώσεως ϡνε ἐβασίλευσε Κωνσταντῖνος ὁ μονομάχος.

(2) Οὕτως ἐστὶν ὁ κόσμος ἀστάθμητος καὶ ὁ βίος τῶν ἀνθρώπων ὡς παιγνίδι· καὶ οὕτως στρέφει τὰς ὑποθέσεις ὁ τροχὸς ἄνω καὶ κάτω καὶ κυλλίει αὐτὰς καὶ κλώθει ὡς θέλει· λέγουσι δὲ περὶ τούτου τοῦ μονομάχου, ὅτι εἰς τοὺς πολέμους καὶ μάχας καὶ ἄρματα ἦτον ἀδόκιμος· εἰς δὲ τὰ ἄλλα ἦτον ὡραῖος, μεγαλοπρεπὴς καὶ φιλώδορος, ἥμερος, γαληνὸς, εὐεργετικὸς, πρᾶος καὶ συγκαταβατικός· θάλασσα ἦν εἰς τὰς χάριτας αὐτοῦ καὶ ποταμὸς μεγαλοδωρείας, καὶ πολλοὶ ἔπιαν καὶ ἐχόρτασαν ἀπὸ τὰ ἀγαθὰ αὐτοῦ· καὶ ὥσπερ Νεῖλος ὁ ποταμὸς πλημμυρεῖ καὶ ποιεῖ ὥσπερ θάλασσα καὶ ποτίζει τὴν γῆν τῆς Αἰγύπτου, οὕτως ἦτον καὶ ἐκεῖνος πλατὺς εἰς πάντας ἀνθρώπους· εἰς πλουσίους, εἰς πτωχοὺς, εἰς ξένους, εἰς ἀδυνάτους καὶ εἰς πᾶσαν ἐκκλησίαν καὶ εἰς μοναστήρια ἐδιέβησαν

---

13. Par. 1708. Ὁρῶσα δὲ τὰ πράγματα ἡ Ζωὴ δεόμενα ἀνδρὸς ἐπιστημονικωτάτου καὶ ζητοῦσα συνοικεῖν ἀνδρὶ διὰ παιδαγωγίαν, μεταπαλεῖται τὸν Μονομάχον Κωνσταντῖνον ἀπὸ τῆς ἐξορίας καὶ ἀναγορεύει τὸν ἄνδρα βασιλέα καὶ συνήφθη αὐτῷ Ven. — 16. Par. σοδ'. Κ. ὁ Μ. ἐβ. ἔτη ις' Ven. 277b.

καὶ ἐξεκενώθησαν τὰ ἀγαθὰ αὐτοῦ, καὶ εἰς πολλοὺς τόπους ἔκτισε διαφόρους ναοὺς καὶ μεγάλους.

(3) Καὶ εἴτις βούλεται γνωρίσαι τὴν φιλοτιμίαν τῆς ψυχῆς αὐτοῦ καὶ τὸ φιλόκοσμον, ἂς ἴδῃ τὴν λαμπρὰν καὶ μεγάλην μονήν, ἣν ἔκτισεν ἐξ αὐτῶν τῶν θεμελίων εἰς ὄνομα τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, ἣν λέγουσι μάγγανα.

(4) Ἀλλὰ μετὰ τοσούτων ὧν εἶχεν ἀγαθῶν, ἦτον ἀσθενὴς, καὶ πάντοτε ἐπόνουν οἱ πόδες αὐτοῦ· καὶ ἐκαθέζετο πάντοτε εἰς τὸ παλάτι εἰς ὑψηλὰ καὶ μαλακὰ κραβάτια διὰ νὰ ἀναπαύῃ τοὺς πόδας αὐτοῦ.

(5) Διὰ τοῦτο ἐξέβησαν κατ' ἐκεῖνον τὸν καιρὸν πολλὰ κακὰ, καὶ ἐξηγέρθησαν κύματα μεγάλων συμφορῶν· ἄνθρωπος γάρ τις ὀνόματι Μανιάκης, γιγαντοπόλεμος καὶ ὀξὺς καὶ θρασυκάρδιος, ζέων θυμοῦ καὶ μανίας, ἐσύναξε φοσάτον δυνατὸν καὶ πολὺ καὶ ἐξέβη μετὰ ὁρμῆς ἰσχυρᾶς καὶ κατέλυε τὰς χώρας καὶ πόλεις καὶ κάστρα· καὶ ἤλθεν ὥσπερ μαῦρον σύνεφον κατὰ τοῦ βασιλέως καὶ εἶχεν ἔπαρσιν καὶ ἀλαζονείαν ἀκράτητον· καὶ τίς ἤλπιζε νὰ γλητώσῃ ἀπὸ τοσοῦτον κακόν; ἀλλ' ὃν ὁ θεὸς φυλάσσει, οὔτε γίγαντας τρέμει, οὔτε θηρία φρίττει, ἀλλ' οὔτε κάμινον, οὔτε σίδηρα· διὰ τοῦτο καὶ ὁ Μανιάκης οὐκ ἴσχυσε βλάψαι τὸν βασιλέα, ἔχοντος αὐτοῦ τὸν θεὸν βοηθόν· καὶ ὡς ἐγένετο πόλεμος, ἔδωκαν αὐτὸν εἰς τὴν πλευρὰν κονταρέαν· καὶ ἔπεσε καὶ ὅλοι ἐγλήτωσαν ἀπὸ τὰς χεῖρας αὐτοῦ.

(6) Ἀλλ' ἀπ' ἐκεῖνον πάλιν ἐξέβη ἄλλον μέγα καὶ κακόν· ὁ Τορνίκος, ἄλλον φοβερὸν καὶ ἀνήμερον θηρίον, συντρίβων καὶ καταλύων τὰ ἐναπολειφθέντα· ἀλλὰ καὶ τοῦτον συντόμως ἀφεῖλεν ἡ δικαιοσύνη τοῦ θεοῦ· καὶ εἰς τὴν σύναψιν τοῦ πολέμου ἐτόξευσαν

---

2. Par. 1708. Οὗτος ἀνὴρ ἦν ἀγαθὸς καὶ πάντας εὐεργετῶν καὶ ὑπὸ πάντων δοξάζεσθαι καὶ κολακεύεσθαι [ἄξιος]· ἔχαιρε δὲ θεάτροις καὶ μίμοις καὶ γελωτοποιοῖς Ven. — 6. Par. 1708. Οὗτος τὸ τῶν Μαγγάνων λαμπρότατον μοναστήριον ἐπ' ὀνόματι τοῦ ἁγ. Γ. ἐκτ. Τῷ δὲ α' ἔτει αὐτοῦ, τελευτήσαντος τοῦ πατριάρχου Ἀλεξίου καὶ ταφέντος εἰς τ' παρ' ἐκείνου κτισθὲν μοναστήριον, χειροτονεῖται πατριάρχης Μιχαὴλ μοναχὸς καὶ ἐπισκόπησεν ἔτη ιε' Ven. — 10. Par. 1708. — 18. γλυτ. Par. — 23. Par. 1708.

αὐτὸν ἐν τῷ στήϑει, καὶ ἀπέϑανε· τότε εἰρήνευσεν ὁ βασιλεὺς καὶ οὐκ εἶχεν ποϑὲν ὄχλησιν.

(7) Ἀναγκάζοντες αὐτὸν αἱ πολλαὶ κακοψυχίαι, ἔδωκεν καὶ αὐτὸς τὸ φυσικὸν χρέος τοῦ ϑανάτου· καὶ πάλιν ἐπέμεινεν ἡ βασιλεία εἰς Θεοδώραν τὴν βασίλισσαν· ἡ γὰρ Ζωὴ προετελεύτησεν.

[Ι'] ΒΑΣΙΛΕΙΑ ΘΕΟΔΩΡΑΣ ΤΗΣ ΠΟΡΦΥΡΟΓΕΝΝΙΤΟΥ.

Ἐπεὶ δὲ ἐβέβαζεν ὀλίγον καιρὸν εἰς τὴν ἐξουσίαν καὶ προεγνώρισε τὸν ϑάνατον αὐτῆς — ἦτον γὰρ παρϑένος — καὶ ὡς ἔμελλε τελευτᾶν, εὗρε τινὰ γέροντα τρομαλαῖον καὶ ἀδύνατον ὀνόματι Μιχαὴλ, ἀνὴρ ἐκ Βυζαντίου μὲν γεγονὼς, πρὸς πραγμάτων δὲ καὶ ταῦτα τοσαύτης ἡγεμονίας μεταχείρησιν ἀποπεφυκώς· ἔκ τε φυσικῆς νοϑείας καὶ ἀφελείας καὶ διὰ χρόνου μῆκος, ὃ τῇ ἐκείνου παρεξετάϑη ζωῇ — ἤδη γὰρ οὐ γέρων ἦν, ὡς παρὰ τοῦ δημώδους πλήϑους ὠνόμαστο, ἀλλὰ πρεσβύτης. — Τοῦτον οὖν πείϑουσιν τὴν Θεοδώραν, ἀντικαταστῆσαι τῇ βασιλείᾳ· ἡ δὲ αὐτίκα ταινιοῖ τῷ βασιλείῳ τὸν Μιχαὴλ διαδήματι, πρότερον ὅρκοις καταληφϑέντα φρικώδεσι, μήτι τῆς ἐκείνων γνώμης χωρὶς ἐπὶ ταῖς τῆς βασιλείας οἰκονομήσασϑαι διοικήσεσιν· ἐπὶ τούτοις τὴν βασιλίδα τὸ πνεῦμα ἐξέλιπε· μοναρχήσασαν ἔτος ἓν ἐπὶ ἐννέα μησίν.

[ΙΑ'] ΒΑΣΙΛΕΙΑ ΜΙΧΑΗΛ.

Ὃν οὖν εἴρηται τρόπον ὁ πρεσβύτης Μιχαὴλ αὐτοκράτωρ ἀναῤῥηϑεὶς τοῖς μὲν τῆς γερουσίας καὶ τῷ δημώδει πλήϑει καὶ παρὰ τὸ προσῆκον ὤπτο φιλοτιμώτατος, ἕκαστον τούτων εἰς βαϑμοὺς προβιβάζων ἀξιωμάτων καὶ τιμὰς προσνέμων ἀκαταλλήλους τοῖς πλείοσι· τοῖς δὲ στρατιωτικοῖς καταλόγοις, καὶ μάλιστα τοῖς

---

2. Par. 1708.—19. Par. 1708 in margine adjungensi: λείπεται ἀπὸ τὸ ἀντιβόλ. (1050) Θνήσκει δὲ ἡ βασίλισσα Ζωὴ καὶ ϑάπτεται λίαν βασιλικῶς ἐν τῷ παρ' αὐτῆς ἀνεγερϑέντι ναῷ τοῦ Ἀντιφωνίτου. Ὁ δὲ βασιλεὺς δωρεὰς καὶ ἐτησίους βόγας πάσαις ἐδωρήσατο ταῖς ἐκκλησίας τοῦ ϑεοῦ. Τελευτᾷ δὲ καὶ ὁ βασιλεὺς Μ. καὶ ϑάπτεται εἰς τὸ παρ' αὐτοῦ οἰκοδομιϑὲν μοναστήριον, καταλιπὼν τὴν Θεοδώραν μόνην βασίλισσαν Ven. — 20. Par. 1708. ἐξ ἑτέρου (scl. Zonara) σπ'. M. ὁ γέρων ἐβασίλευσεν ἔτος ἕν. Οὗτος τὸν τῆς βασιλείας στέφανον καὶ τὸ ὄνομα μόνον εἶχε· τὰ πράγματα δὲ διῳκεῖτο οὐχ ὡς τῷ βασιλεῖ, ἀλλ' ὡς ἐδόκει τοῖς ἀνϑρώποις τῆς Θεοδώρας Ven.

τούτων ἐξόχοις, οἷς στραταρχεῖν τε καὶ ἰλαρχεῖν ἀπονενέμητο πρὸ πολλοῦ· καὶ λίαν ἀντιῤῥόπως τοῖς ἄλλοις ἐκέχρητο· οὔτε γὰρ φιλότιμόν τι πρὸς αὐτοὺς ἐπεδείξατο, ἄρτι καταλαβόντας τὴν βασιλίδα τῶν πόλεων, οὔτε [μὴν πραέσιν αὐτοὺς ἐδεξιώσατο ῥήμασιν. Ἦστην δὲ τούτων πρωτεύοντε] ἄνδρε διττὼ, μαγίστρω μὲν ὄντε καὶ ἄμφω, λαμπρὼ δὲ τὰ γένη· καὶ οὐχ ἧττον στρατηγικῇ συνέσει καὶ κράτει χειρῶν καὶ θάρσει ψυχῶν εἰχέτην τὴν περιφάνειαν· τούτων ἄτερος ἦν ὁ Κομνηνὸς Ἰσαάκιος, ὁ δὲ λοιπὸς ὁ Κατακαλὼν ὁ (οὐ) Κεκαυμένος, ᾧ Κολώνεια ἡ πατρὶς, ὃν καὶ δοῦκα Ἀντιοχείας τυγχάνοντα ἅμα τῇ ἀναῤῥήσει παρέλυσε τῆς ἀρχῆς, τὸν οἰκεῖον ἀνεψιὸν Μιχαὴλ αὐτίκα μάγιστρόν τε καὶ δοῦκα τῆς Ἀντιοχείας προχειρισάμενος καὶ Οὐρανὸν ἐκείνῳ θέμενος τὸ ἐπώνυμον, ἵνα πρὸς τὸν ἀρχαῖον Οὐρανὸν ἀναφέρειν δοκῇ τὸ γένος. Τοῦτον τοίνυν τὸν Κεκαυμένον ὡς δῆθεν μὴ καλῶς χρησάμενον τῇ ἀρχῇ, ἀλλὰ τὰς δυνάμεις καταλελυκότα καὶ φορτικὸν τοῖς ὑπὸ χεῖρα γενόμενον, καὶ ἐπέπληξεν ἰταμώτερον καὶ ὀνείδεσιν ἔβαλλε καὶ οὐδ' ἐφείσατο ὕβρεων· ἀλλὰ καὶ τῶν ἄλλων λαμπροτάτων ἀνδρῶν καὶ συνταγματαρχούντων ἐκείνῳ ὑπεραπολογήσασθαι τοῦ ἀνδρὸς ὡρμηκότων, οὐδ' ἐπ' ἐκείνους τῆς γλώττης ἐφείσατο, οὔτε μὴν αὐτὸν ᾐδέσθη τὸν Κομνηνόν.

(3) Ταῦτα τοὺς στρατιώτας εἰς ἀθυμίαν ἐνέβαλε, τοῖς μὲν ἄλλοις φιλοτιμότατον ὁρῶντας τὸν Μιχαὴλ, ἑαυτοῖς δὲ μηδ' ἐν λόγοις τὸ εὐμενὲς ἐνδεικνύμενον· ὅμως μέντοι ἐπέσχον μηδέν τι νεωτερίσαι, ἀλλὰ καὶ δευτέραν πεῖραν ἐπαγαγεῖν ἐβουλεύσαντο.

(4) Ἀλλ' ἑτέραν κατὰ τοῦ βασιλέως προτέραν τούτων ὁ λόγος διηγησάσθω νῦν ἐπανάστασιν [καὶ οὕτω πρὸς τὴν τῶν ἀνδρῶν τού-

---

8. ὁ κεκ. Κατ. Zon. — * τε Zon. — 18. ἐκείνου Par. 1708. — 19. Par. 1708. Ισαάκιος δὲ ὁ Κομνηνὸς τῶν ἐν ἀνδρείᾳ καὶ συνέσει τότε διαλάμπων καὶ πρωτεύων καὶ μᾶλλον τοῖς πολεμικοῖς ἀνδραγαθήμασιν, οὗτος μετὰ τῶν σὺν αὐτῷ στρατηγῶν πρὸς τὸν βασιλέα εἰσεληλυθὼς ἐφ' ᾧ παρ' ἐκείνῳ καὶ τιμηθῆναι καὶ ἐπαινεθῆναι, τοὐναντίον μᾶλλον παρὰ τῶν διοικούντων ἐξουδενώθη καὶ ὡς εἷς τῶν ἀφανῶν ἀντ' οὐδενὸς ἐλογίσθη Ven. 278b, 279a. — 21. ὁρῶντες Par. — 23. Par. 1708. Ος τῇ τοιαύτῃ ἀτιμίᾳ τὴν καρδίαν ἀλγήσας καὶ τἄλλα μακρόθυμος ὤν, τότε φιλοσοφήσας οὐκ ἠθυνήθη, ἀλλὰ συγκαλεσαμενος τοὺς τῶν στρατηγῶν περιφανεστέρους καὶ τὰ τῆς γνώμης αὐτοῦ ἐξειπὼν εὑρίσκει πάντας περὶ τὰ βουλευόμενα ἑτοιμοτέρους Ven. — 24. Πρ. δὲ ὁ λ. ἐτ. κ. τοῦ B. Zon. cf. Ced. 619,12. Καὶ δὴ τῶν βασιλικῶν οἱ πάντες ἐξελθόντες καὶ τῆς πόλεως ἀνεχώρησαν Ven. 279b.

των ἐπανελεύσεται]· ὁ γὰρ τοῦ βασιλέως Κωνσταντίνου τοῦ μονομάχου ἐξάδελφος, ὁ πρόεδρος Θεοδόσιος, ἄρτι τοῦ Μιχαὴλ [ἀναῤῥηθέντος περὶ — δείλην ὀψίαν διὰ τῆς ἀγορᾶς ἀπῄει — ἑαυτῷ προσήκειν τὸ κράτος λέγων] *.

[ΙΒ'] ΒΑΣΙΛΕΙΑ ΙΣΑΑΚΙΟΥ ΚΟΜΝΗΝΟΥ.

Μετὰ ταῦτα πολλὰς καὶ στάσεις, ἔτι ζῶντος τοῦ Μιχαὴλ, ἔλαβε τὴν βασιλείαν Ἰσαάκιος ὁ Κομνηνός· ἕνα μὲν οὖν ὁ γηραιὸς Μιχαὴλ αὐταρχήσας ἐναυτὸν, τῆς βασιλείας ἐκπέπτωκε· καὶ οὐ πολὺ ἐν ἰδιωτικῷ σχήματι βιώσας, ἀπέτισε τὸ χρεών.

(2) Ὁ δὲ Κομνηνὸς τῇ βασιλείᾳ ἐγκαταστὰς, ἑαυτῷ τὴν ταύτης ἐπιτυχίαν καὶ οὐ τῷ θεῷ ἐπεγράψατο· καὶ τοῦτο δῆλον, ὅτι τῷ νομίσματι ξιφήρη ἑαυτὸν ἐνεχάραξε, μόνον οὐχὶ βοῶν, ὅτι τοῦτό μοι τὴν βασιλείαν καὶ οὐχ ἑτερόν τι προυξένησε.

(3) Τοὺς δὲ συναραμένους αὐτῷ φιλοτιμώτατα ἀντημείψατο, καὶ ἔσπευσεν ἑκάστῳ τὰς ἀμοιβὰς ἀποδοὺς, πάντας οἴκαδε παρασκευάσαι ἀποχωρεῖν, ἵνα μή τι θορυβηθῶσιν ἢ τοῦ δήμου κατεξαναστῶσιν ἀστυπολοῦντες.

(4) Τὸν δὲ πατριάρχην δι' αἰδοῦς ἦγεν ὅτι πολλῆς καὶ τοὺς αὐτοῦ ἀδελφόπαιδας δι' ἐκεῖνον καὶ τιμαῖς ἐτίμησε μεγάλαις καὶ ἀρχαῖς ὑπερηφάνοις ἐπέστησε· χαριζόμενος δ' ἔτι τῷ πατριάρχῃ καὶ τὴν τῶν ἐκκλησιαστικῶν πραγμάτων οἰκονομίαν τῇ ἐκκλησίᾳ ἀπένειμε, μέχρι τότε τοῦ μεγάλου οἰκονόμου προχειριζομένου παρὰ

---

4. Zon. 207 C. — 210 E. — * Καὶ εὐθὺς τὸν τῆς ἀνατολῆς ὅλον συναθροίσας στρατὸν καὶ βασιλεὺς αὐτοκράτωρ ὑπ' αὐτῶν ἀναγορευθεὶς ὁ Κομνηνὸς Ἰσάακιος σὺν παντὶ τῷ πλήθει καταλαμβάνει εἰς τὴν Νίκαιαν. Ὁ δὲ βασιλεὺς Μιχαὴλ αὐτὸς ἕτοιμος ἦν ἄνευ ὅχλου καὶ πολέμου παραχωρῆσαι τῷ Κομνηνῷ τῶν βασιλικῶν σκήπτρων· οἱ δὲ οἰκοῦντες οὐκ εἴων τοῦτο γενέσθαι. Ὅθεν καὶ πόλεμον συγκροτησάμενοι, Ἰσάκιος νικητὴς ἀνεφάνη καὶ Μιχαὴλ ἀποκαρεὶς ἀνεχώρησεν. Ὁ Ἰσάακιος δὲ παρὰ πάντων εὐφημούμενος εἰσῆλθε [καὶ] βασιλεύς. Ven. 279b. — 9. Par. 1708 σπα'. — Ἰσ. ὁ Κ. ἐβ. ἔτη β' καὶ μῆνας β'. Οὗτος εἶχε γυναῖκα βασιλίσσαν Αἰκατερίναν Ven. 280a. — 10. τῆς βασιλείας κατ. Par. — 13. Par. 1708. Φρονιμώτατος δὲ ὢν ὁ βασιλεὺς οὗτος, δραστικωτάτως ἥπτετο καὶ τῶν πραγμάτων καὶ τοῦ ταχέως ἦν καταπειθής Ven. cf. Scyl. 641,3—5. — 16. θορυβήσωσι Zon. — 17. Par. 1708; ἀλλὰ πείρᾳ τοὺς ἀνθρώπους ἠγάπα καὶ οὐ κολακείᾳ οὐδὲ ἀξιώματι Ven. cf. Scyl. 642,5—9. — 19. ἐτ. μείζοσι Zon.

τοῦ βασιλεύοντος, ἀλλὰ μὴν καὶ τοῦ σκευοφύλακος· ἐκεῖνος δὲ καὶ ἄμφω ὑπὸ τὴν τοῦ πατριάρχου ἔθετο ἐξουσίαν *.

(5) Ἀλλ' ἤδη ῥητέον καὶ ὅπως τὴν βασιλείαν ἀπέθετο **, εἰ καὶ 1059
μὴ συμφωνοῦσιν οἱ συγγεγραφότες περὶ αὐτοῦ. Ὁ μὲν γὰρ πολὺς τὴν γλῶτταν ὁ σοφώτατος Ψελλὸς, ἐν θήραις ἐκεῖνον λέγει τὸν βασιλέα σχολάζοντα, καὶ συχνάκις τὴν δεξιὰν λογχηφόρον ἐπ' ἄρκτους καὶ σύας ἐπανατείνοντα, βληθῆναι πνεύματι ψυχρῷ τὴν πλευράν, κἀντεῦθεν φρίκην ἐπισυμβῆναι αὐτῷ καὶ πυρετὸν ἐκ τοῦ βάθους ἀναφλεγῆναι, εἰς δὲ τὴν ἐπιοῦσαν νύττεσθαι τὴν πλευράν, καὶ τὸ ἆσθμα μὴ ἐῤῥῶσθαι αὐτοῦ, κἀκ τούτων ἀμφισβητήσιμον γενόμενον τὸ βιώσιμον, ἢ καὶ ἀπεγνωκότα τέλεον τὴν ζωὴν, καὶ τὸν Δοῦκαν Κωνσταντῖνον τῇ βασιλείᾳ ἐγκαταστήσαντα, πρὸς τὴν κρείττω μετατάξασθαι βιοτήν· Ὁ δέ γε Θρᾳκήσιος, θηρᾶν κἀκεῖνος τὸν βασιλέα *** ἱστόρησε περὶ τὴν Νεάπολιν, σῦν δ' ἐπιφανῆναι ποθὲν τὴν θέαν φρικτὸν, καὶ τὸν Κομνηνὸν ἐνδεδωκότα τῷ ἵππῳ τὸν χαλινὸν, διώκειν τὸν σῦν· τὸν δὲ εἰσδῦναι τὴν θάλασσαν, γενέσθαι τε ἀφανῆ ****, ἐν τοσούτῳ δὲ, ὡς ἐξ ἀστραπῆς, ἐνσκῆψαι λαμπηδόνα τῷ βασιλεῖ, καὶ τῇ ταύτης βολῇ διαταραχθέντα τὸν αὐτοκράτορα, τοῦ ἵππου τε ἐκπεσεῖν καὶ κεῖσθαι [παρὰ] τῇ γῇ, ἀφρὸν τοῦ στόματος ἀποπτύοντα καὶ μηδὲν τῶν κατ' αὐτὸν αἰσθανόμενον· ἀκατίῳ δ' ἐκεῖθεν ἐμβιβασθέντα, κομισθῆναι εἰς τὴν βασιλεύουσαν, καὶ νοσήσαντά τι βραχὺ, εἶτα δὴ καὶ ἀπογνωσθέντα, κείρασθαί τε τὴν τρίχα καὶ ἀντὶ τῆς πορφύρας τραχὺ τριβώνιον ἀμφιέσασθαι, τὸν Δοῦκα Κωνσταντῖνον βασιλέα προχειρισάμενον, καὶ οὕτω τῇ τοῦ Στουδίου προσορμίσαι μονῇ κἀκεῖ τὸ λοιπὸν καταβιῶναι τῆς βιοτῆς ἀναῤῥωσθέντα ἐκ τοῦ νοσήματος.

---

2. Par. 1708. Scyl. 642,9—643,4 Τῷ δὲ β' ἔτει τῆς αὐτοῦ βασιλείας ἰνδ. β' Μιχαὴλ τὸν πατριάρχην τῆς ἐκκλησίας ἐξώρισεν καὶ χειροτονεῖ ἀντ' αὐτοῦ πατριάρχην Κ. Π. εὐνοῦχον κοσμικὸν τὸν Λειχούδην [ὃς] πρωτοπρόεδρος ὢν (ἦν) τῆς συγκλήτου καὶ πρωτοβεστιάριος, ἀνὴρ δραστήριος καὶ σοφός· καὶ ἐπισκόπευσε ἔτη δ' καὶ μῆνας ς'. ὁ δὲ ἐκβληθεὶς Μιχαὴλ ὑνήσκει μετ' ὀλίγον καὶ θάπτεται ἐν τῷ παρ' ἐκείνου ἐγερθέντι μοναστηρίῳ Ven. 280ab cf. Scyl. 643,6—645,6.— * ἀποξενώσας ἀμφοῖν τὸ δημόσιον Zon. 211 A—213 A.— 3. Ἃ ἤδη Par. 1708 350ab. — ** οὗτος ὁ Ἰσαάκιος Zon. 213 B.— 4. συμφρον. Zon. — 6. λόγχοφ. Zon. — 11. εἰ βιώσεται Zon. — *** τοῦτον Zon.— **** ὃν οὐ σῦν οἱ πολλοὶ, φάντασμα δέ τι δαιμόνιον ὑπειλήφασι Zon.—21. τὰ βασίλεια Zon. — 26. Ὁ δὲ βασιλεὺς Ἰσ.νόσῳ συμπεσὼν καὶ τὸν θάνατον ὑποπτεύσας καὶ

(6) Ἐβασίλευσε δὲ δύο ἐναυτοὺς καὶ μῆνας τρεῖς, δραστήριος ὢν καὶ τὸ ἦθος σοβαρὸν ἐνδεικνύμενος, πρὸς πράξεις ὀξύτατος, στρατηγικώτατος τὰ πολέμια, λόγοις μὲν οὐχ ὡμιληκώς, προσέχων δ' αὐτοῖς καὶ τοὺς τούτων τροφίμους ἀποδεχόμενος *. Αἰτιώμενος δὲ ὅτι τυραννίδι ἐπικεχείρηκεν· «ὤκνουν, ἔλεγε, τῷ συνδούλῳ δουλεύειν καὶ τῶν εἰκότων μὴ τυγχάνειν».

[ΙΓ'] ΒΑΣΙΛΕΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΔΟΥΚΑ.

1059 Τῷ ͵ςφογ ἔτει τοῦ κόσμου, τῆς δὲ θείας σαρκώσεως ͵αογ ἐβασίλευσε Κωνσταντῖνος ὁ Δοῦκας.

(2) Οὗτος ὁ Κωνσταντῖνος ἦτον συνεργὸς τοῦ [Κομνηνοῦ] νὰ ἐπάρῃ τὴν βασιλείαν, καὶ ἔδειξεν αὐτῷ θησαυροὺς χρημάτων πολλῶν· αὐτὸς δὲ ἐπροαιρέθη τὴν μοναδικὴν πολιτείαν καὶ ἀπεγυμνώθη οἰκειοθελῶς πᾶσαν βασιλικὴν δόξαν καὶ φαντασίαν καὶ ἐγένετο μοναχὸς καλὸς καὶ δόκιμος καὶ δέδωκεν ἑαυτὸν εἰς κακουργίαν πολλὴν τῆς μοναδικῆς πολιτείας καὶ κόπους πολλοὺς καὶ μεγάλους καὶ ὁ βίος αὐτοῦ ἐγένετο θαυμαστὸς καὶ οὗτος ἐτελεύτησε καὶ ἐκέρδησε τὴν βασιλείαν.

(3) Ὁ δὲ Δοῦκας ἐπαναλαβὼν τῆς ἀρχῆς τῆς βασιλείας, ἦτον οὔτε πολλὰ πρόθυμος, ἀλλ' οὔτε πολλὰ δειλός, ἀναμέσον τῶν δύο· ἀλλὰ καὶ ἀπὸ τὸ θράσος ἐκρατεῖτο· καὶ παλιν νὰ ὑπάγῃ νὰ κρημνίσῃ ὅπου ὀρθώσῃ ἄσκοπα, οὐδὲν τὸν ἐφαίνετον καλόν· εἶχε δὲ καὶ παιδία ἑπτά.

1063 (4) Τούτου τῷ δ' ἔτει τῆς βασιλείας θνήσκει ὁ πατριάρχης Κωνσταντῖνος καὶ ἐχήρεισεν ὁ θρόνος αὐτοῦ ἄνευ ποιμένος μῆνας ε'.

φοβηθεὶς ἕνα τῶν στρατιωτῶν, Κωνσταντῖνον καλούμενον Δοῦκα, βασιλέα χειροτονήσας ἀποκείρεται καὶ εἰς τὴν μονὴν τοῦ Στουδίου ἡσυχάσας καὶ μετὰ μικρὸν θνήσκει καὶ ἐκεῖσε θάπτεται Ven. cf. Scyl. 647,11—649,8. — 6. Par. 1708. — * σώφρων τε τὰ πρὸς εὐνὴν κτλ. Zon. 213 D.

9. Par. 1708. β. Κ. τοῦ Δουκός Κ. ὁ Δοὺξ ἐβ. ἔτη [ζ' καὶ μῆνας] β' Ven. 281a, ς' μῆνας Scyl. Zon. — 16. οὕτως? — 17. Par. 1708. — 22. Par. 1708. Οὗτος εἶχε γυναῖκα βασίλισσαν Εὐδοκίαν τὴν τοῦ Μακρεμβολίτου καὶ παῖδας ἐξ αὐτῆς Μιχαήλ, ὃν καὶ βασιλέα ποιεῖ, Ἀνδρόνικον καὶ Κωνσταντῖνον τὸν πορφυρογέννητον, ὅντινα καὶ αὐτὸν στέφει, καὶ θυγατέρας Ζωὴν καὶ Μαρίαν, Θεοφανώ, Ἀναστασίαν, Ἄνναν, Εἰρήνην καὶ Καλήν. — 24. Ven.

(5) Τῷ δὲ ε' ἔτει τῆς βασιλείας αὐτοῦ, ἐν ἔτει ἀπὸ κτίσεως 1064
κόσμου ,ςφοβ', ἰνδ. α', μηνὶ Ἰανουαρίῳ α', χειροτονεῖται Ἰωάννης ὁ
Ξιφιλῖνος πατριάρχης Κ. Π. καὶ ἐπισκόπευσεν ἔτη ια', μῆνας ζ'
εὐσεβῶς καὶ θεαρέστως καὶ πᾶσαν μαθήσεων παιδείαν ἄριστα ἐξη-
σκηκώς. Οὗτος καὶ ἐν τῷ ὄρει τοῦ Ὀλύμπου μονάσας ἄρτι παρὰ
Κωνσταντίνου τοῦ Δουκὸς μετήχθη ἐκεῖθεν καὶ εἰς τὸν πατριαρ-
χικὸν ἀνήχθη θρόνον, ἀνὴρ καθαρώτατος καὶ ἁγνότατος. Οὗτος τὴν
μεγάλην ἐκκλησίαν ἀνελάμπρυνεν καὶ κατεκόσμησε, πάσας τὰς ἐν
αὐτῇ ἀναστηλωμένας εἰκόνας τῶν ἁγίων ἀνακαινίσας.

(4) Καὶ ὡς ἔμελλε καὶ αὐτὸς τελευτᾶν, εἶχε μεγάλας φροντί- 1067
δας καὶ ταραχὴν ἡ καρδία αὐτοῦ· ἠγάπα τὴν βασίλισσαν καὶ
ἤθελε νὰ τὴν ἀφήσῃ κληρονόμον τῆς βασιλείας μὲ τὰ παιδία αὐ-
τῆς· ἀλλὰ ἐπεὶ ἦτον νέα καὶ εὔμορφος, ἐφοβεῖτο μήποτε ἁρμωθῇ
μεθ' ἑτέρου καὶ ποιήσῃ ἄλλα παιδία καὶ καταφρονηθοῦν τὰ ἴδια
αὐτοῦ καὶ χάσουν τὴν βασίλισσαν εἰς τόπους καὶ χώρας ἄλλας,
τὴν δὲ βασιλείαν νὰ ἀφήσῃ εἰς τὰ παιδία αὐτοῦ, καὶ νὰ θέσῃ ἐπ'
αὐτοὺς ἐπιτρόπους, ἕως οὗ νὰ μεστώσουν. Ἀλλ' οὐδεὶς τὸ μέλλον
δύναται ἐκφυγεῖν. Γνωρίσασα οὖν ἡ βασίλισσα τὴν βουλὴν καὶ τὸ
θέλημα τοῦ ἀνδρὸς αὐτῆς, ἐσύντυχέ τον εἰς τὸ πρῶτον λυπητικὰ
πολλά, καὶ τέλος ὤμοσέν του φρικτοὺς καὶ μεγάλους ὅρκους, ὅτι
ποτὲ νὰ μηδὲν ἐπιβλέψῃ εἰς δεύτερον γάμον μηδὲ ἁρμοσθῆναι ποτὲ
ἑτέρῳ ἀνδρί, ἀλλ' ἵνα σωφρονῇ καὶ φυλάξῃ τὴν βασιλείαν διὰ τὰ
παιδία αὐτοῦ. Ὁ μὲν οὖν οὗτος ἀπέθανε· καὶ ἀπεφορτίσθη τὸ τῆς
σαρκὸς βάρος.

[ΙΔ'] ΒΑΣΙΛΕΙΑ ΕΥΔΟΚΙΑΣ ΜΕΤΑ ΤΩΝ ΥΙΩΝ ΑΥΤΗΣ.

Τῷ ,ςφπε ἔτει τοῦ κόσμου, τῆς δὲ θείας σαρκώσεως ,απα ἐβα-
σίλευσεν Εὐδοκία ἡ γυνὴ Κωνσταντίνου μετὰ τῶν τέκνων αὐτῆς,

---

9. Ven. 281ab. — 24. Par. 1708. Ὁ δὲ βασιλεὺς Κ. θνήσκει καταλιπὼν γυ-
ναῖκα βασίλισσαν μετὰ τῶν παίδων αὐτοῦ· θάπτεται ἐν τῇ μονῇ τοῦ Μωλιβωτοῦ
ἐξώθεν τῆς χρυσῆς πόρτας. — 25. Par. 1708 σπγ' — Ἐ. καὶ τῶν παίδων ἀ. Ven.
281b. —26. Τῷ ,σφπα' Par.

Κωνσταντίνου, Μιχαὴλ καὶ Ἀνδρονίκου· ἐκυβέρνα δὲ τὴν βασιλείαν σὺν τοῖς τέκνοις αὐτῆς.

(2) Ἀλλὰ εἰς τοσαύτην ἀμεριμνίαν καὶ γαλήνην, ἐσηκώθη μεγάλη σκληρία καὶ ἀνεμοζάλη, καὶ ἠνοίχθη στόμα καὶ φάρυγξ νὰ καταπίῃ τὴν βασίλισσαν καὶ τὰ παιδία αὐτῆς· ἡ δὲ αἰτία ἦτον τοιαύτη· ἦτον στρατηγός τις ὀνόματι Ῥωμανὸς ὁ Διογένης, εὔμορφος καὶ ὡραιοπρόσωπος, Καππαδοκεὺς τῷ γένει· ἦτον δὲ καὶ ἀνδρειωμένος καὶ ἀπὸ τὰ καλά, ὁποῦ εἶχεν ἐπάνω του, ἄξιον ἦτον νὰ βασιλεύσῃ· οὗτος γοῦν ὁ Ῥωμανὸς ἰδὼν τὴν δυναστείαν τῆς βασιλείας καὶ τὴν ἰσχὺν καὶ ἐξουσίαν τῶν Ῥωμαίων ὅτι κεῖται εἰς συλαστάρια βρέφη καὶ εἰς γύναιον ψιμυθισμένον, ἐκινήθη ὥσπερ δράκων νὰ καταπίῃ μητέρα μετὰ τέκνων· καὶ οὐδὲν ἐγίνωσκεν ὅτι ἕνα μικρὸν βεργὶν σὺν τόξου ῥίπτει τὸν ὑψιπέτη ἀετὸν εἰς τὴν γῆν, καὶ λεπτὸν δίκτυον πιάνῃ ἄρκτους καὶ λέοντας· ὡς γοῦν ἐσύναξε στρατὸν πολὺν καὶ περιέπατε καὶ ἐκούρσευε τὰς βασιλευκὰς χώρας καὶ πόλεις, ἐπιάσθη ἀπὸ στρατιώτας, καὶ ἐφόρεσαν αὐτὸν σίδηρα καὶ ἤγαγον αὐτὸν εἰς Κωνσταντινούπολιν πρὸς τὴν βασίλισσαν ὅπως θανατώσῃ αὐτὸν ὡς ἐπίβουλον.

(3) Στραφεῖσα δὲ ἡ βασιλὶς καὶ ἰδοῦσα τὸ κάλλος τοῦ προσώπου αὐτοῦ καὶ τὴν ὡραιότητα, ἐθαύμασε, καὶ ἐτρώθη ἀπὸ τοῦ ἔρωτος ἔνδον ἡ καρδία αὐτῆς, καὶ εἰς οὐδὲν ἐλογίσατο τὴν ἐπιβουλὴν αὐτοῦ, οὔτε τοὺς φρικωδεστάτους ἐμνήσθη ὅρκους οὓς ἐποίησε τῷ ἀνδρὶ αὐτῆς ἐν καιρῷ τῆς ἀποβιώσεως, ὡς εἴπομεν· ἀλλ' ἔλυσεν αὐτὸν ἀπὸ τῶν σιδήρων καὶ ἐποίησεν αὐτὸν βασιλέα καὶ ἠρμώθη αὐτόν.

---

2. Par. 1708. Ἐ. σὺν τοῖς παισὶν αὐτῆς M. καὶ K. καὶ Ἀ. τῶν βασιλέων συνεβασίλευσε μῆνας ζ' Ven. 282a. — 10. θηλύτερα? — 18. Par. 1708. — Καὶ δή τῶν στρατιωτῶν τις — οὗτος πάνυ περιβοήτων Καππαδόκης τὸ γένος, ὄνομα Ῥωμανὸς πατρίκιος τὸ ἀξίωμα, Διογένης τὸ ἐπώνυμα — ἔντινι τῶν τῆς Θρᾴκης διάγων καίστρων πρὸς ἀποστασίαν ἀποχωρεῖ· καὶ εὐθὺς παρ' αὐτῶν (?) κρατηθεὶς δέσμιος πρὸς τὴν βασίλισσαν ἄγεται καὶ εἰς ἐξέτασιν κριταῖς κατὰ νόμον θάνατον καταψηφίζεται Ven. — 25. Par. 1708. — Ἡ βασίλισσα δὲ ἀθρόως μεταβληθεῖσα καὶ ὅλη τῇ [ψυχῇ] πρὸς τὸν ἄνδρα γενομένη ἔρωτι, ἀωρὶ τῶν νυκτῶν εἰς τὰ βασίλειά τε τὸν θανάτῳ κατάδικον ἀναβιβάζει καὶ βασιλέα ἀναγορεύει συναφθεῖσα τοῦτον πρὸς γάμον Ven.

[ΙΕ'] ΒΑΣΙΛΕΙΑ ΡΩΜΑΝΟΥ ΔΙΟΓΕΝΟΥΣ.

Τῷ ͵ϛφπβ ἔτει τοῦ κόσμου, τῆς δὲ θείας σαρκώσεως ͵απβ, ἐβα- 1087
σίλευσε Ῥωμανὸς ὁ Διογένης· ἀντὶ γὰρ θανάτου καὶ φυλακῆς ἐχά-
ρισεν αὐτῷ ἡ βασίλισσα τὸ κορμὶν αὐτῆς καὶ τὴν αὐθεντίαν τῶν
Ῥωμαίων· τοιαῦτα εἰσὶ τὰ παιγνίδια ἅτινα ποιεῖ ὁ τροχὸς τοῦ
καιροῦ.

(2) Ὡς δὲ ἦλθεν ὁ Ῥωμανὸς εἰς τὸ ὕψος τῆς βασιλείας, ἀπὸ
τῆς ἀρχῆς ἔδειξε τὸ πρόθυμον τῆς ψυχῆς αὐτοῦ καὶ τὴν τόλμαν
τῆς καρδίας αὐτοῦ, ὅτι οὐδὲν ἔβλεψεν εἰς τῆς βασιλείας τὴν δόξαν
καὶ τρυφὰς καὶ σπαταλας, οὐδὲ ἠγάπησε ζωὴν ἀποκλεισμένην ὥσπερ
ὁ σκώληξ ὅπερ τρώγει τὴν γῆν καὶ ζῇ, οὐδὲ ἐφοβήθη τὰς μάχας
καὶ τοὺς πολέμους νὰ κρύπτεται εἰς τὸ παλάτιν ἔσω, ἀλλ' ἠκό-
νισε τὴν σπάθην αὐτοῦ καὶ ἐθυμώθη θυμὸν δίκαιον καὶ ζῆλον
κατὰ τῶν Τούρκων καὶ Σαρακηνῶν, καὶ ἐσκέπασε τὴν γῆν ἀπὸ
τὰ σώματα αὐτῶν, καὶ οἱ ποταμοὶ ἦσαν πολλὰ ὀλίγοι πρὸς τὰ αἵ-
ματα ὁποῦ ἐχύθησαν, καὶ ἔδειξε νὰ γινώσκουσι ποταπὴν ἀνδρείαν
καὶ φρόνησιν εἶχασιν οἱ Ῥωμαῖοι καὶ ποταποὶ πολεμισταὶ εἰσίν.

(3) Καὶ ἐὰν οὐκ εἶχε πέσει ὁ φθόνος διὰ μέσου καὶ ἐνεμπό-
δισαν αὐτὸν, ὡς ἦτον φυσικὸς ἀλαζονικὸς καὶ αὐθάρεστος καὶ
ἐπηρμένος πολλὰ καὶ ἀπρόσδεκτος καὶ ὑπερήφανος· τότε δὲ μά-
λιστα ἀπὸ τὴν ἀξίαν τῆς βασιλείας ἠλαζονεύθη περισσοτέρως· εἶχε
δὲ καὶ ἄστατον γνώμην καὶ ὑφορᾶτο ἅπαντας εἰς τὸ κακὸν καὶ
ἐδικοὺς καὶ ξένους, καὶ ἐφαίνετο αὐτῷ ὅτι σχεδὸν οἱ πάντες κατ'
αὐτοῦ εἰσὶν ἐπίβουλοι· διὰ τοῦτο ἦτον πολλὰ βαρετὸς καὶ ἄγριος
καὶ ἀχαιρέτιστος, μὴ μόνον εἰς τοὺς ἄρχοντας αὐτοῦ, ἀλλὰ καὶ εἰς
τὴν γυναῖκαν αὐτοῦ καὶ εἰς τὰ προγόνια αὐτοῦ.

---

7. Par. 1708. σπδ'; Ῥ. τοῦ Δ. ἅμα τῇ βασιλίσσῃ Εὐδοκίᾳ καὶ τοῖς ἀπὸ Κ. τοῦ Δουκὸς παισὶν αὐτῆς Μιχαὴλ, Κωνσταντίνῳ καὶ Ἀνδρονίκῳ τοῖς βασιλεῦσι καὶ Νικηφόρῳ καὶ Λέοντι υἱοῖς· μετ' αὐτῶν ἐβασίλευσεν ἔτη γ' καὶ μῆνας γ' Ven. — 18. Par. 1708. Οὗτος παρ' ἐλπίδα τῆς βασιλείας τυχὼν, οὐ πρὸς ἀνέσεις καὶ τρυφὰς ἔβλεψεν· ἀλλ' ὅσον ἦν ἐπ' αὐτῷ, τοῦ στρατοῦ ἐπεμελεῖτο· καὶ πρὸς τῶν ἀθέων, φημὶ, Τούρκων ἄμυναν καὶ ἀντιπαράταξιν οὐχ ἅπαξ ἀλλὰ δὶς καὶ τρὶς ἐστρατοπεδεύσατο καὶ εἰ καὶ κρίμασιν ἀῤῥήτοις διὰ τὰς ἡμῶν ἁμαρτίας, οἱ πολέμιοι αὐτὸν κατεστρώσαντο καὶ ἐκυρίευσαν Ven. 282b. — 27. Par. 1708. Οὗτος τὴν βηθεῖσαν

1071 (4) Διὰ τοῦτο πανταχοῦ ἐσυνετύχαιναν κρυφὰ καὶ ἐμελετοῦσαν κατ' αὐτοῦ καὶ κατεσκεύαζον παγίδα, καὶ ἐμίσησαν αὐτόν· καὶ ἔβαλαν βουλὴν χωρὶς πολέμου νὰ τὸν προδώσουν εἰς τοὺς Σαρακηνούς· τοῦτο γοῦν κατεσκεύαζε Καῖσαρ, ὁ ἀδελφὸς Κωνσταντίνου τοῦ Δοῦκα, καὶ ἐβουλεύθη τοῦτο μετὰ τοῦ υἱοῦ αὐτοῦ Ἀνδρονίκου στρατηγοῦντος τότε τοῦ Ῥωμαϊκοῦ φοσάτου, καὶ μετὰ τῶν ἄλλων στρατηγῶν καὶ μεγιστάνων ὁμοίως· καὶ ἔπλεξαν ὑπὲρ τοῦ τοιούτου βασιλέως, καὶ μᾶλλον κατ' αὐτοῦ δολιότητος δίκτυον· ὁ μὲν Ῥωμανὸς ἐπέρασεν ἀπὸ τὴν Κωνσταντινούπολιν εἰς τὸ Σκουτάριον ἑρμώμενος κατὰ τῶν χριστομάχων Τούρκων· οὕτως δὲ ὡς ἐκαθέζετο, ἐπέτασε περιστέρι καὶ ἦλθε καὶ ἐκάθισεν εἰς τὰ γόνατα αὐτοῦ, ὅπερ ἦν κακὸν σημεῖον κατ' αὐτοῦ· ἐκεῖνος δὲ ἐχάρη πολλὰ δοκῶν ὅτι ἐστὶν εἰς καλόν, καὶ ἀπέστειλεν αὐτὸ τὴν βασίλισσαν διὰ νὰ ἔχῃ παρηγορίαν· ἐπεὶ ἐκεῖνο ὅπερ θέλει ὁ ἄνθρωπος, ἐκεῖνο θαῤῥεῖ καὶ ἀπαντέχει· ἀλλ' εἰς τὸν ἄνθρωπον χειροτέρα κακοριζικία οὐκ ἔστι παρ' ὅταν ἔχει ἐχθροὺς τοὺς οἰκειακούς αὐτοῦ· ἐὰν γάρ τινα ἐπιβουλεύωνταί τινες τῶν ἐκτὸς, φίλοι ἢ ἄλλοι τινὲς, ἔχει θεραπείαν καὶ διόρθωσιν τὸ κακόν· εἰ δὲ παρὰ τῶν οἰκειακῶν καὶ γνησίων τῶν ἐσθιόντων τὸν ἄρτον αὐτοῦ νὰ ἐπιβουλεύεταί τις, οὐ δύναται φυγεῖν τοιαύτης τιμωρίας θανάτους· εἰ γάρ ἐστί τις μετὰ τοῦ προδότου εἰς μίαν οἰκίαν, πῶς ἐστι δυνατὸν φυλαχθῆναι ἀπὸ τῆς πανουργίας αὐτοῦ; Ὅμως οὕτω πάλιν ἱσταμένης τῆς τέντας τοῦ βασιλέως, ἔπεσε τὸ μέγα ξύλον, ὅπερ ἐκράτει αὐτὴν, καὶ παρ' ὀλίγον ἤθελε δώσει τὸν βασιλέα κατακέφαλα· ἦτον γοῦν καὶ τοῦτο ἄλλον κακὸν σημεῖον. Ὅμως ἐγένοντο πόλεμοι συχνοὶ καὶ κατέλυσον οἱ Ῥωμαῖοι τοὺς Πέρσας· καὶ ἐφοβήθησαν οἱ Πέρσαι φόβον μέγαν καὶ ἐστενοχωρήθησαν καὶ ἐζητοῦσαν τὸν βασιλέα καὶ παρεκάλουν νὰ γένηται εἰρήνη ἀναμεταξὺ αὐτῶν· εἰς γὰρ τοὺς πολέμους ὅπερ ἐγένοντο, ἔφριξαν οἱ βάρβαροι τοῦ βασιλέως· καὶ περιέτρεχε καὶ ἐπλευροκόπα καὶ χορτασμὸν οὐκ εἶχεν εἰς τὰς σφαγὰς καὶ εἰς τὰ αἵματα αὐτῶν· ἄλλοτε μὲν ἐθέριζε τὰς κεφαλὰς τῶν Περσῶν μετὰ

Εὐδοκίαν εἰς γυναῖκα μεταλαβὼν παῖδας ἐξ αὐτῆς ἀποτίκτει ἄῤῥενας δύο Νικηφόρον καὶ Δέοντα Ven.

τῆς σπάθης ὥσπερ στάχυας, ἄλλοτε δὲ μετὰ τοῦ κονταρίου αὐτοῦ ἔῤῥιπτεν τοὺς καβαλαρίους ὁμοῦ μετὰ τῶν ἀλόγων, καὶ ὅσπερ ἱέραξ εἰς μικρὰ πτηνά, ἢ κεραυνὸς ἢ δρέπανον πύρινον ἢ φλογερὸς καταβάτης, οὕτως ἐφαίνετο εἰς τοὺς Πέρσας· καὶ ἀπὸ τοὺς πολλοὺς φόνους ἔβαψαν τὰ φορήματα αὐτοῦ, καὶ τὸ αἷμα ἔπηξεν ἐπ' αὐτοῦ, ὥσπερ λέων ὅταν ἐπιτύχῃ ἐλάφιν καὶ πεινᾷ καὶ ἐκλύσῃ τὰς πλευρὰς αὐτοῦ καὶ ῥοφήσει τὰ σωθικὰ αὐτοῦ καὶ νὰ αἱματωθοῦν τὰ χείλη αὐτοῦ, οὕτως ἦτον καὶ ὁ Ῥωμανὸς εἰς τοὺς Πέρσας· καὶ ἐγένετο εἰς τοὺς Ῥωμαίους μεγάλη χαρά· καὶ ἐτρόμαξαν οἱ Πέρσαι καὶ ἐπαρακάλουν νὰ γένηται ἀγάπη· ὁ βασιλεὺς δὲ εἶχε μέριμναν ἐπεὶ προέβλεπε τὸ πνεῦμα αὐτοῦ τὸ μέλλον· καὶ ἐλειτούργησεν ὁ ἱερεὺς καὶ ἠνόιξεν τὸ ἅγιον εὐαγγέλιον καὶ ἐξέβη κεφάλαιον τοῦτο· «Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν», καὶ ἐλυπήθη ὁ στρατός· ὅμως ἐποίησεν ἀγάπην μετὰ τῶν Περσῶν καὶ ἔστειλεν αὐτοὺς ὁρκωματικὰ βέβαια· καὶ εἰς περισσοτέραν ἐμπιστοσύνην ἀπέστειλεν αὐτοῖς καὶ τὸν σταυρὸν αὐτοῦ· καὶ τοῦτο ἦν εἰς κακὸν αὐτοῦ, μὴ γινώσκων ὅτι ἀφ' οὗ ἔστειλεν εἰς τοὺς ἐχθροὺς τὸν σταυρὸν αὐτοῦ, ὅλην τὴν αὐτοῦ δύναμιν ἐκείνους τὴν ἔδωκεν.

(5) Τέως δὲ οἱ Πέρσαι, ὡς ἐγένετο ἡ συμβίβασις καὶ ἡ ἀγάπη στερεὰ καὶ τὰ ὁρκωματικὰ δυνατά, ἦσαν ἀνενοίαστοι· καὶ ἦν ἡ βουλὴ αὐτῶν νὰ στραφοῦν εἰς τὴν χώραν αὐτῶν· οἱ δὲ στρατηγοί, οἵτινες ἦσαν ἐπίβουλοι, ἠνάγκαζαν τὸν βασιλέα, ὅτι τώρα εἰς τὴν ἀμεριμνίαν αὐτῶν καὶ τὸ θάῤῥος ὁποῦ κάθουνται ἁπλᾶ, ἂς τοὺς δώσωμεν νὰ τοὺς καταλύσωμεν· καὶ τόσον ἐπαρεκίνησαν αὐτὸν καὶ ἐβίασαν, ὅτι ἔδωκεν ὁρισμὸν καὶ ἡρματώθη τὸ φοσάτον, καὶ ἐδώκασι τὰ βούκινα, καὶ ἐσήκωσαν τὰ φλάμουλα εἰς σημεῖον πολέμου. Στραφέντες δὲ οἱ Πέρσαι καὶ ἰδόντες τοῦτο τὸ αἰφνίδιον κακὸν καὶ τὰ σπαθία γυμνὰ καὶ τὸ φοσάτον ἁρματωμένον, καὶ κατέβαιναν ἐπάνω τους, τῆς ὥρας ἄλλο οὐδὲν εἶχασί τι νὰ ποιήσουν εἰ μὴ ὡς ὄρθωσε καὶ κατευόδωσεν ἕκαστος αὐτῶν· ἄλλος μὲν ἥρπασε σπαθίν, ἄλλος δὲ ἐκαβαλίκευσεν ὡς ἔτυχεν ἢ ἁρματωμένος ἢ ἀναρμάτωτος, καὶ ἔβαλαν τὰ ὁρκωματικὰ τοῦ βασιλέως ἐπάνω

---

18. Par. 1708.

εἰς ἕνα κοντάριν, καὶ ἐπῆγεν ἔμπροσθεν αὐτῶν, καὶ ἔδειχναν πῶς εἶναι παραβάτης τοῦ ὅρκου αὐτοῦ, καὶ ὁ Θεὸς θέλει κρίνει δικαίως· καὶ ὡς ἐδώκασι κατὰ πρόσωπα καὶ ἐγένετο ἀνάμιξις τοῦ πολέμου, πρῶτος ἔφυγεν ὁ Καῖσαρ μὲ τὴν σύναξιν αὐτοῦ. Εἶτα πάντες οἱ στρατηγοὶ ὁμοίως ἔφυγον μετὰ τῶν φοσάτων αὐτῶν· καὶ ἐπέμεινε μόνος ὁ βασιλεὺς χωρὶς συντροφίαν· ἠντράνιζεν ἐκ δεξιῶν καὶ ἀριστερῶν καί τινα οὐδὲν ἔβλεπε· καὶ ἦτον μέσα εἰς ἀνεκβάτους βρόχους· ὡς δὲ ἴδασι τοῦτον οἱ ἀμηράδαι καὶ οἱ στρατάρχαι τῶν Περσῶν, ἔπεσαν καὶ ἐδίωκαν καὶ ἐφιλονικοῦσαν τίς νὰ κατευοδώσῃ νὰ πιάσῃ τὸν Ῥωμανόν· ἐπίασαν γοῦν αὐτὸν, καὶ ἐκυνηγήθη ὁ λέων ὑπὸ τῶν λυσιασμένων σκύλων, καὶ ἐκρατήθη δοῦλος αἰχμαλωτος ὁ βασιλεὺς τῶν Ῥωμαίων· καὶ ἐπίασαν αἱ νυκτερίδαι τὸν ἀετὸν τὸν χρυσόπτερον καὶ ἤγαγον ἐπ' αὐτὸν τὸν σουλτάνον ὡς ὑποχείριον δεσμωμένον.

(6) Τότε ὁ σουλτάνος ἐκεῖνος ἀνελπίστως ἐγένετο ἥμερος, καὶ ἠντράνησεν εἰς τὸν βασιλέα γλυκὺν ὄμμα, καὶ ἐσύντυχέ τον γαληνὰ καὶ ἐπαρηγόρησεν αὐτόν· καὶ ἔδειξεν ἐκεῖνος ὁ βάρβαρος φιλανθρωπότερος καὶ ἀγαθῆς γνώμης παρὰ τοὺς φίλους καὶ συγγενεῖς καὶ ὁμοφύλους, οἵτινες ἐπρόδωσαν αὐτόν· καὶ ἐποίησαν ὁμοῦ ἡμέρας η̄ καὶ συνήθιον καὶ συνέπινον καὶ ἐπαραδιάβαζαν, καὶ ἐθαύμαζεν ὁ σουλτάνος τὴν ἀνδρείαν καὶ φρόνησιν τοῦ βασιλέως· καὶ ὕστερον ἐποίησαν ἀδελφοσύνην καὶ ἀγάπην μεγάλην καὶ ὅρκους φοβεροὺς ἀπ' ἀλλήλων· καὶ ἔδωκεν ὁ σουλτάνος τῷ Ῥωμανῷ χαρίσματα καὶ πλοῦτον πολὺν, καὶ τοὺς Ῥωμαίους ὅσους εἶχασι πιασμένους ἐδώκασί τους μὲ τὰ ἅρματα αὐτῶν καὶ ἄλσγα αὐτῶν καὶ ἠλευθέρωσαν αὐτούς· ἔδωκέ τον δὲ καὶ δέκα χιλιάδας Σαρακηνοὺς, ἵνα τὸν συνοδεύσουν εἰς τὸν τόπον ὅπερ ἔχρηζε, καὶ ἂν τοὺς χρήζῃ καὶ εἰς βοήθειαν αὐτοῦ νὰ τοὺς ἔχει μετ' αὐτόν.

(7) Ἐγλήτωσε γοῦν ὁ Ῥωμανὸς ὥσπερ πάρδος ἀπὸ τῶν μαγγάνων ἢ ὡς ἰχθὺς ἀπὸ τὸ ἀγγίστριν, καὶ πάλιν ἤλπιζε νὰ ἐπάρῃ τὴν βασιλείαν· ἀλλὰ ὁ φθόνος ἐκατέλυσε τὸ θάρρος αὐτοῦ· οἱ γὰρ

---

16. Par. 1708. Ὅθεν (?) καὶ εἰς τὴν τρίτην αὐτοῦ ταξίδα ἐν τῷ πολέμῳ ὑπὸ τῶν Τούρκων αἰχμάλωτος οἷμοι γεγονώς Ven. 283a. — 28. Par. 1708 330ab.

στρατηγοὶ τῶν Ῥωμαίων προαπέστειλαν πανταχοῦ γραφὰς ὅτι εἰς οἷον κάστρον ὑπάγει ὁ Ῥωμανὸς νὰ μή τον δέξωνται, ἀλλὰ νὰ σφαλίζουν τὰς θύρας, καὶ νὰ τὸν ἀφήσωσιν ἔξω· ἐπεριπάτει γοῦν ὁ Ῥωμανὸς ἄνω καὶ κάτω ἄφιλος, ἀβοήθητος καὶ ἐστερημένος τῆς βασιλείας, καὶ ὅπου ἂν ἐπήγαινεν, ἐδιώχναν αὐτόν.

(8) Ἀλλ' οὐδὲ πάλιν ἔπαυσεν ὁ φθόνος νὰ σταθῇ ἕως ὧδε· ὁ γὰρ Δοῦκας Μιχαὴλ ὁ υἱὸς τοῦ Κωνσταντίνου, γεγονὼς εἰς αὔξησιν ἡλικίας, καὶ ἐγένετο εἴκοσι ἐτῶν, εἶχε τὸν θεῖον αὐτοῦ τὸν Καίσαρα βοηθὸν καὶ συγκροτητὴν καὶ ἅπαντας τοὺς δυνατοὺς στρατηγοὺς καὶ μεγιστάνας, καὶ ἐκάθισε εἰς τὸν πατρικὸν θρόνον καὶ ἐπῆρε τὴν γονικὴν βασιλείαν.

[ις'] ΒΑΣΙΛΕΙΑ ΜΙΧΑΗΛ ΤΟΥ ΠΑΡΑΠΙΝΑΚΗ.

Τῷ ͵ςφπγ ἔτει τοῦ κόσμου, τῆς δὲ θείας σαρκώσεως ͵απγ ἐβα- 1071
σίλευσε Μιχαὴλ ὁ Παραπινάκης· βασιλεύσαντος δὲ τούτου εὐθέως ἐξέβαλλεν Εὐδοκίαν, τὴν μητέρα αὐτοῦ, ἀπὸ τοῦ παλατίου, πολλὰ κλαίουσαν καὶ παρακαλοῦσαν· ὅμως ἐκούρευσεν καὶ ἐποίησεν αὐτὴν καλογεραίαν, καὶ ἐφόρεσεν αὐτὴν ῥάσα καὶ ἔβαλεν αὐτὴν εἰς μοναστήρι.

(2) Μαθὼν δὲ ὅτι καὶ ὁ Ῥωμανὸς ἀκόμη πάσχει καὶ γυρεύει νὰ ἐπάρῃ τὴν βασιλείαν καὶ συνάγει βοηθούς, ἔστειλε φοσάτον

---

3. ἀφήνουσιν Par.—5. Par. 1708. Καὶ πάλιν ἀναρυσθεὶς οὐ συνεχωρήθη τῆς βασιλείας ἐπιλαβέσθαι. Ἡ γὰρ Εὐδοκία ὑπὸ τῶν συγγενῶν παρακινηθεῖσα κέλευσιν διὰ τάχους ἐκπέμπει βασιλικὴν τὸν βασιλέα Ῥωμανὸν ὡς αἰχμάλωτον γεγονότα, παρά τινος ὡς βασιλέα μὴ προσδεχθῆναι, ὃ καὶ γέγονε Ven. — 6. φθόγγονος Par. — 9. Par. 1708. Μιχαὴλ δὲ ὁ υἱὸς αὐτῆς, ἡλικίᾳ ἤδη ἀφάμενος καὶ νεανίσκος ὤν, γενναῖόν τε καὶ νεανικὸν ἀποτολμᾷ. Συμβουλευσάμενος γὰρ Ἰω. τῷ Καίσαρι κατάγει τὴν μητέρα τοῦ παλατίου πολλὰ βοῶσαν καὶ ὀδυρομένην καὶ εἰς τὸ παρ' αὐτοῦ κτισθὲν μοναστήριον ἀποκείρει καὶ γίνεται τῶν σκήπτρων ἐγκρατής· σὺν αὐτῇ δὲ καὶ ταὺς β' υἱοὺς τοῦ Ῥωμανοῦ τῶν βασιλικῶν παρασήμων ἀπογυμνῶν καὶ ἰδιώτας ἀποδεικνύει Ven. — 13. Par. 1708 σπε'. β. Μ. τοῦ υἱοῦ Κ. τοῦ Δουκός Ven. — 18. Par. 1708. Μ. ὁ υἱὸς Κ. τοῦ Δοῦκα σὺν Ἀνδρονίκῳ καὶ Κωνσταντίνῳ τοῖς ἀδελφοῖς αὐτοῦ ἐβασίλευσεν ἔτη ἓξ καὶ μῆνας ἓξ. Οὗτος εἶχε γυναῖκα βασίλισσαν Μαρίαν τὴν ἐξ Ἀβασγίας καὶ παῖδα ἐξ αὐτῆς, ὃν καὶ βασιλέα ποιεῖ, Κωνσταντῖνον ὄνομα Ven. 283b.

καὶ ἐπολέμησε· καὶ ἐπίασαν αὐτὸν, καὶ ὃν ἠλέησαν ἐχθροὶ καὶ βάρβαροι, ἐμυριοφαρμάκωσαν αὐτὸν οἱ ποτε φίλοι καὶ ἐδικοί αὐτοῦ καὶ ἐξέβαλαν τοὺς ὀφθαλμοὺς αὐτοῦ ἀνηλεῶς μετὰ μαχαίρας καὶ ἔῤῥιψαν αὐτὸν εἰς μικρὸν καὶ σκληρὸν καὶ ἀπαρηγόρητον νησόπουλον· καὶ ἐσκωληκίασε τὸ πρόσωπον αὐτοῦ, καὶ ἐξήρχοντο οἱ σκώληκες ἀπὸ τῶν ὀφθαλμῶν· αὐτοῦ καὶ ἄκραν οὐκ εἶχε τὸ κακὸν καὶ ἡ συμφορὰ ἥτις συνέβη αὐτῷ.

(3) Ὁ δὲ Μιχαὴλ ἡνίκα ἐξέβη ἀπὸ πάσης ἐννοίας καὶ λογισμοῦ καὶ οὐδὲν εἶχε δειλίαν παρά τινος, ἐξεπέλυσεν καὶ τὰ ἅρματα καὶ τὰς ταραχὰς τοῦ πολέμου καὶ τὰ περισυνάγματα τῶν φοσάτων, καὶ οὐδὲ καὶν εἰς ὕπνον του ἐμελέτα περὶ τοιούτων, ἀλλ' ἀσχολάστως· νύκταν τε καὶ ἡμέραν ὁ νοῦς αὐτοῦ εἰς τὴν μελέτην τῶν γραφῶν καὶ ἀνάγνωσιν τῶν βιβλίων· καὶ πολλάκις ἀπὸ τὸν γλυκασμὸν τῶν βιβλίων ἤτοι γραφῶν οὐκ ἤσθιεν, ἀλλὰ μέχρι τῆς αὐγῆς ἐκαθέζετο εἰς τὴν ἀνάγνωσιν τῶν γραφῶν.

(4) Τότε ἐκίνησαν πανταχόθι τὰ ἔθνη καὶ ἐνέπευσαν, καὶ ἀπὸ πᾶσαν μεραίαν ἦλθεν εἰς τοὺς Ῥωμαίους κλύδων καὶ ταραχὴ μεγάλη, καὶ πανταχοῦ ἦσαν πόλεμοι καὶ φθοραὶ καὶ αἰχμαλωσίαι τῶν Ῥωμαϊκῶν πόλεων καὶ χωρῶν· ὁ γὰρ βασιλεὺς αὐτῶν ἔζη κοχλίου βίον καὶ ἐξέβαινεν ὀλίγον καὶ ἐφαίνετον καὶ πάλιν ἐστρέφετον καὶ ἐπεκλείετον εἰς τὸ παλάτιν· καὶ ἐλησμόνα ὅτι ἔστι βασιλεύς· καὶ ἤθελέ τινὰ νὰ τὸν ἐνθυμήσῃ ὅτι ἔχει ὑποκάτω του κάστρα καὶ χώρας, καὶ ὅτι τὰ ἔθνη ἐκίνησαν ὡς δράκοντες καὶ καταπίνουσι τὴν γῆν τῶν Ῥωμαίων ὥσπερ στρουθίον· ἦτον γοῦν εἰς τοὺς Ῥωμαίους θλῖψις μεγάλη· καὶ πάντες ἠγανάκτουν κατὰ τοῦ βασιλέως βλέποντες τὸν κόσμον πῶς ἐκινδύνευε νὰ χαθῇ πατελῶς.

---

7. Par. 1708. Οὗτος ἀντιπαραταξάμενος τῷ Ῥωμανῷ Διογένει ἀνθισταμένῳ καὶ τὴν βασιλείαν ζητοῦντι καὶ τρέψας, φεύγοντα συλλαμβάνει καὶ ἐκτυφλώσας ἀποκείρει ἐν τῇ παρὰ τοῦ Ῥωμανοῦ κτισθείσῃ μονῇ, ἐν ᾗ καὶ μετὰ βραχὺ τεθνηκὼς θάπτεται ὁ βασιλεὺς Ῥωμανὸς Ven. 283b. — 15. Par. 1708. Τῷ δὲ δ' ἔτει τῆς τοῦ Μιχαὴλ βασιλείας θνήσκει ὁ ὁσιώτατος πατριάρχης Ἰω. καὶ θάπτεται ἐν περατικῇ μονῇ τῇ καλουμένῃ Ἀγγουρίᾳ καὶ χειροτονεῖται πατριάρχης Κ. Π. Κοσμᾶς, ἀνὴρ γηραιὸς καὶ τίμιος καὶ ἐπισκόπευσεν ἔτη ε' καὶ μῆνας θ'. Ἐπὶ τούτου ἡ σύμπας κόσμος σχεδὸν κατασχεθεὶς ὑπὸ τῶν ἀθέων Τούρκων ἤρανισται καὶ ἔρημος οἰκητόρων ἀπεκατέστη Ven. 283b, 284a qui in his verbis desinit. — 26. Par. 1708.

(5) Εἷς δέ τις ἄνθρωπος ἔνδοξος καὶ μεγαλογενὴς καὶ ἐμπει- 1077
ροπόλεμος — ἦτον τὸ κορμίν αὐτοῦ κατάτρωτον καὶ καταπληγον ἀπὸ τοὺς μεγάλους πολέμους, οὓς ἐπολέμιζεν ἐκ νεότητος αὐτοῦ, καὶ ἦτον δυνατὸς καὶ δόκιμος εἰς τὰς μάχας — ὄνομα Νικηφόρος ὁ Βοτανιάτης· οὗτος ἐπερισύναξε φοσάτον σύμμαχον καὶ ἦλθεν εἰς τὴν Νίκαιαν καὶ ἐμήνυσε τὸν Μιχαὴλ ὥσπερ συμβουλὴν καὶ παραγγελίαν νὰ ἀφήσῃ τὴν βασιλείαν καὶ νὰ ἐπάρῃ αὐτὴν οὗτος ὁ γέρων Βοτανιάτης, ὁ δὲ Μιχαὴλ, ὡς ἄπειρος πολέμου καὶ ἀδόκιμος τῶν τῆς βασιλείας πραγμάτων, νὰ καθίσῃ χωρὶς φροντίδων καὶ νὰ ζῇ ἀνενοχλήτως· καὶ εἰς ὀλίγον ἔφθασεν εἰς Κωνσταντινούπολιν, καὶ χωρὶς πολέμου ἢ ταραχῆς τινος ἐσέβη καὶ ἀνεφημίσθη βασιλεὺς Ῥωμαίων.

[ΙΖ'] ΒΑΣΙΛΕΙΑ ΝΙΚΗΦΟΡΟΥ ΒΟΤΑΝΙΑΤΟΥ.

Τῷ ͵ϛϕιγ ἔτει τοῦ κόσμου, ἀπὸ δὲ θείας σαρκώσεως ͵αιγ ἐβα- 1078
σίλευσε Νικηφόρος ὁ Βοτανιάτης ἔτη γ καὶ ἐφόρεσε τὸ διάδημα καὶ τὴν χρυσόπαστον ἁλουργίδα· ἐλησμόνησε δὲ τὸ πολυχρόνιον αὐτοῦ γῆρας καὶ συνηρμώθη μετὰ τῆς γυναικὸς τοῦ Μιχαὴλ, νέαν οὖσαν καὶ τρυφερὰν κόρην ὁ παλαιὸς καὶ πεπολιωμένος.

(2) Τὸν δὲ Μιχαὴλ ἐποίησε μοναχὸν καὶ μητροπολίτην Ἐφεσίων.

(3) Τὸν δὲ καιρὸν ἐκεῖνον ἀπέστειλεν ὁ βασιλεὺς Νικηφόρος στρατηγοὺς μετὰ φοσάτου ἐπάνω εἰς τοὺς Βουλγάρους· ὁ δὲ βασιλεὺς τῶν Βουλγάρων ἐξέβη μὲ φοσάτον χιλιάδας π καὶ κατέλυσε χώρας πολλὰς τῶν Ῥωμαίων καὶ ἐπῆρεν αἰχμαλωσίαν πολλήν· ὅπου ἤθελεν, ἠπλίκευε καὶ ἀναπαύετον, οὐκ ἔχων φόβον παρά τινος, ἐπειδὴ ἤκουεν ὅτι οἱ Ῥωμαῖοι ἔχουσιν διὰ μέσου αὐτῶν ἰδίας ταραχὰς καὶ ἀτυχίας· ἐξέβησαν γοῦν καὶ οἱ στρατάρχαι τῶν Ῥωμαίων μὲ φοσάτον χιλιάδας δώδεκα καὶ οὐκ ἐτόλμουν νὰ φανῶσι ποθὲν φανερὰ, μήπως ἐκκαθαρίσωσι αὐτοὺς οἱ Βούλγαροι καὶ νοήσωσιν ὅτι εἰσὶν ὀλίγοι καὶ κατελύσουν αὐτούς. Ὅμως ἐτριγύριζαν

12. Par. 1708. — 19. Par. 1708 σπζ'. — 18. συνηρμόθη Par. — 21. Par. 1708.

καὶ ἐμελετοῦσαν σκέψιν καὶ βουλὴν πῶς νὰ ποιήσουν κἂν εἰς ἄκραν νὰ δώσουν· ἐχώρισε γοῦν ὁ στρατηγὸς δύο ἄρχοντας καλοὺς καὶ φρονίμους καὶ ἔδωκε τὸν καθ' ἕνα στρατιώτας καβαλαρίους ἐκλεκτοὺς καὶ ἀνδρειωμένους ᾧ μὲ ἄλογα καλὰ καὶ ἅρματα ἐκλεκτά· καὶ ὥρισεν αὐτούς, ἵνα ὑπηγένουσι κατόπισθεν τοῦ Βουλγαρικοῦ φοσάτου ἀπόκρυφα καὶ ἐπιδέξια καὶ νὰ βλέπουν εἰς τί τόπον ἀπλικεύουν καὶ ποταπὴν φύλαξιν ἔχουν τὰς νύκτας καὶ πῶς κοιμῶνται καὶ τί πολεμοῦσιν· καὶ ἂν ἠμπορέσουν, νὰ πιάσουν τινὰ ἀπὸ τοὺς Βουλγάρους νὰ μάθουν τίνα βουλὴν ἔχουν· καὶ νὰ τὸν μηνύσωσι συχνὰ μανδάτα νὰ ἐξεύρῃ. Ἐξέβησαν γοῦν ἐκεῖνοι οἱ δύο στρατάρχαι· καὶ ἕκαστος αὐτῶν εἶχε τὴν σύνταξιν αὐτοῦ, καὶ ἠκολουθοῦσαν ἐπιδέξια ὅτι νὰ μηδὲν τοὺς ἀποσκεπάσουν οἱ Βούλγαροι· καὶ μίαν νύκτα πρόσαργα ἔφθασαν οἱ Βούλγαροι καὶ ἀπλίκευσαν εἰς ἕνα εὔφορμον κάμπον καὶ ἤπλωσαν τὰς τέντας· καὶ ὡς ἦσαν ἀφυρόμενοι, ἤψαν πανταχοῦ σθία καὶ ἐκαθέζοντο καὶ ἔτρωγαν καὶ ἔπιναν καὶ ἐκοιμῶντο ἀνενοίαστοι· καὶ ὀλίγοι τινὲς ἦσαν ἄγρυπνοι. Καὶ ὅταν ἐδιέβη ἡ τρίτη μοῖρα τῆς νυκτὸς, ἦλθασιν οἱ δύο ἄρχοντες μὲ τὰς δύο συντάξεις κοντὰ καὶ ἔβλεπαν τὸ φοσάτον πῶς ἔνε πολύ· καὶ τίς ἦτον νὰ καταπροσωπίσῃ αὐτό· ἐπάνω εἰς τοῦτο ἔπεσε φιλονεικία μέσον τῶν στρατιωτῶν τούτων· καὶ ἔλεγεν ἡ μία μεραία πρὸς τὴν ἄλλην, ὅτι ἡμεῖς ἤμεθα καλλιώτεροι ἀπ' ἐσᾶς· καὶ εἷς φρόνιμος στρατιώτης ἐσέβη εἰς τὴν μέσην αὐτῶν καὶ εἶπεν· «Ἄρχοντες καὶ [σύν]τροφοι, πόθεν νὰ φανῇ ἡ ἀλήθεια καὶ νὰ τὸ ἐξεύρομεν, ὅτι ὑμεῖς ἦσθε καλλιώτεροι ἀφ' ἡμῶν; πλὴν, εἰ βούλεσθε, ἡ δοκιμὴ ἐνώπιον ἡμῶν καὶ ὑμῶν ἐστι, καὶ οἱ ἐχθροὶ ἡμῶν ἔμπροσθεν ἡμῶν κεῖνται· καὶ ἂς φανῇ ποία μεραία ἔνε δοκιμωτέρα». Ἤκουσαν τοῦτο οἱ στρατιῶται καὶ ἀνεπτερώθησαν καὶ εἶπασιν ὅτι καλὰ καὶ δίκαια λέγεις· καὶ ἐχωρίσθησαν οἱ πεντακόσιοι καὶ ἐπήρασιν τὴν ἄνωθεν μεραίαν, οἱ δὲ ἕτεροι πεντακόσιοι τὴν κάτω καὶ ἐδώκασιν ἄμφω τοὺς Βουλγάρους· καὶ οἱ Βούλγαροι ἦσαν γυμνοὶ καὶ βεβαρημένοι τοῦ ὕπνου, καὶ ἐπῆραν δειλίαν καὶ

---

2. ἐχώρησε Par. — 5. ὑπεκγένωσι? — 8. εὐπορ.? — 10. ἠξεύρῃ Par. — 15. ἀφορωμ.? — 19. οἱ 27 εἶναι? — 24. ἠξευρ. εἴαθε Par.

ἐδώκασιν νὰ φεύγουν· καὶ ἦτον σκοτεινὰ, καὶ συνέκρουεν εἷς μὲ τὸν ἄλλον, καὶ ἐσκωτόνοντο ἀλλήλως, ἔσω εἰς τὰς τέντας καὶ ἔξω· καὶ τὰ σπαθία τῶν Ῥωμαίων ἐκείνων τῶν χιλίων ἐθέριζαν καὶ κατέκοπτον ἕως τὸ ἐξημέρωμα· κατέσφαξαν γοῦν καὶ τὸν βασιλέα τῶν Βουλγάρων, καὶ ἐγένετο εἰς αὐτοὺς νίκη μεγάλη καὶ ἀνέλπιστος, καὶ ἔμειναν αἱ τένται, αἱ κατοῦναι, τὰ ἅρματα, ἡ αἰχμαλωσία, τὸ κοῦρσος, καὶ ἔγεμεν αὐτὰ ὁ κάμπος, καὶ ὁ ἥλιος ἐπλάτυνε, καὶ οἱ Ῥωμαῖοι πάντοτε κατέσφαζον ὅσους εὕρισκον· καὶ ἔστειλαν μανδάτα εἰς τὸν στρατὸν καὶ συγχαρίκια· καὶ ἔφθασε μὲ τὸ φοσάτον καὶ εἶδε τὸν μέγαν ἐκεῖνον φόνον καὶ τὸ φοβερὸν ἔργον καὶ τὴν ἀπολμίαν· καὶ ἐδόξασαν τὸν θεὸν τὸν δόντα δύναμιν εἰς τοσαύτην ἀπορίαν· καὶ οἱ αἰχμάλωτοι ἔπερναν ἄλογα καὶ πράγματα, καὶ ἀπήρχοντο ἐν τοῖς ἰδίοις· καὶ ὁ στρατηγὸς ἐστράφη μετὰ τοῦ φοσάτου.

(4) Ὁ δὲ βασιλεὺς Νικηφόρος ἦν ἄνθρωπος γηραιὸς καὶ ἐξαπέλυσε τὰς μάχας καὶ τοὺς πολέμους καὶ ἐκαθέζετο καὶ ἐφόρει χρυσὰ καὶ κατέκλαμπρα καὶ ἔτρεφε τὸ γῆρας αὐτοῦ μὲ συχνὰ λουτρὰ καὶ μυρίσματα καὶ τραπέζια βασιλικὰ καὶ ἔτρωγε καὶ ἔπινε καὶ ἐσπαταλᾶ, καὶ εὐφραίνετον τὴν κόρην ἐκείνην τὴν ὡραιοτάτην, τὴν γυναῖκα τοῦ Μιχαὴλ· καὶ οὕτως ἐνετρύφα καὶ ἔπαιζεν ὥσπερ νέος ὅπου ἄρχεται νὰ χαίρεται τὰς ἡδονὰς τοῦ κόσμου· τὰς δὲ βασιλικὰς δουλείας καὶ τὰς μεγάλας ὑποθέσεις ἐνεμπίστευεν εἰς ἀνθρώπους βαρβάρους, ἀγροίκους καὶ μεθυστάδας, οἵτινες ἦσαν ἀπὸ προπάππων αὐτῶν δοῦλοι καὶ ἀγνώριστοι, οὐδὲν καλὸν μὴ γινώσκοντες, κακόγνωμοι πάντες καὶ ἀπαίδευτοι ὄντες· καὶ ὡμοίαζεν ἡ βασιλεία τῶν Ῥωμαίων πλοῖον φορτωμένον χωρὶς ναυτικοὺς καὶ ναυκλήρους· ὁ δὲ Νικηφόρος ἐκαθέζετον εἰς θρόνους ὑψηλοὺς ἀργυροδιαχρύσους, ἔστιλβεν ἀπὸ τὴν χρυσοφορίαν καὶ ἤλασεν ἄλλα καὶ ἕτερα διάφορα φορήματα, τὴν ἡμέραν φορὰς δέκα καὶ εἴτις ἔχρηζε νὰ ἐπάρῃ ὀφφίκιον βασιλικὸν, ἤρχετο καὶ ἐξένιζε δῶρα καὶ ἠτίμωσε τὸ μεγαλεῖον τῆς βασιλείας· καὶ τὰς τιμὰς καὶ τὰ ἀξιώματα, ἅτινα ἐδίδασιν οἱ ἄλλοι βασιλεῖς εἰς ἐνδόξους καὶ μεγάλους

---

7. ἐπλαπλ. Par. — 11. ἀπολείαν? — 14. Par. 1708. — 28. ἤλασεν?

ἄρχοντας καὶ στρατηγοὺς καὶ δοκίμους ὀνομαστοὺς, οὗτος ἔδιδεν αὐτὰ τζεγγαρίους, βάπτας, πελεκάνους, κωμοδρόμους, κρεμυδοπώλους, ζευγηλάτας· καὶ ἐποίησε τὰ τίμια ἄτιμα, καὶ τὰ ὑψηλὰ καὶ ἔνδοξα, ταπεινὰ καὶ ἀνωφέλητα· καὶ τὴν ἡμέραν ἐν ᾗ οὐ δεήρχετο τίς χωριάτης νὰ ζητήσῃ ὀφφίκια, ἐκαθέζετο σοβαρός· καὶ ἄλλην κἀμμίαν ἔννοιαν οὐκ εἶχεν, εἴτε ἂν κουρσεύονται τὰ κάστρα αὐτοῦ, εἴτε ἂν καταλύουσι τὰ ἔθνη τὸν κόσμον αὐτοῦ, εἴτε ἂν ἦσαν φοσάτα, εἴτε οὐκ ἦσαν, ἀλλ' ἡ φροντὶς αὐτοῦ εἰς τὰς πράξεις ἃς ἐδηλώσαμεν.

(5) Ἐπεὶ δ' ἐν τοῖς βασιλείοις ὁ Βοτανειάτης ἐγένετο, ἀναδεῖται κατὰ τὴν μεγάλην τρίτην παρὰ τοῦ πατριάρχου ταινίᾳ βασιλικῇ.

(6) Καὶ πρῶτον ἅπασι παρέσχε τὸ φιλοτίμημα, τὰς εἰς τὸ δημόσιον ἁπάντων κοινῶς ὀφειλὰς ἐκτεμὼν ἀπροσδιορίστως· καὶ χρεωκοπίαν τούτων θέσπισμά τι μεγαλοπρεπῶς ἐργασάμενος.

(7) Ἔτι δὲ τῷ Βρυεννίῳ κατὰ τὴν ἑσπέραν ἐχομένῳ τῆς τυραννίδος [στέλλει τοὺς ἀπαγγέλλοντος τὴν τοῦ Καίσαρος ἀξίαν αὐτῷ διδόναι, εἰ τῆς τυραννίδος] ἀπόσχοιτο, καὶ τοῖς αὐτῷ συναραμένοις τὰς τιμὰς ἐπιβεβαιῶσαι, αἷς αὐτοὺς ἐκεῖνος ἐτίμησεν. Ὁ δὲ σφόδρα τῆς βασιλείας ἐφίετο καὶ ἀνένδοτος ἦν. Πάλιν οὖν ἕτερα πρεσβεία· καὶ ἐπὶ ταύτῃ τρίτη· ὁ δ' ὑπερηφανεύετο, καὶ οὐδὲ κατὰ [τὰ] τῶν πρέσβεων νόμιμα τοὺς πρέσβεις ἐδέχετο, ἀλλ' ἀτίμως αὐτοὺς ἀπεπέμπετο. Ὡς οὐδὲν οὖν εἰρηνικῶς ἄνυειν ἔγνω ὁ βασιλεὺς, καὶ ἄκων πρὸς μάχην ἀπένευσεν, καὶ τὸν Κομνηνὸν Ἀλέξιον τετιμηκὼς νωβελίσιμον καὶ προχειρισάμενος μέγαν δομέστικον καὶ Ῥωμαϊκῶν αὐτὸν δυνάμεων προστησάμενος, κατὰ τοῦ Βρυεννίου ἐξέπραττεν· ὃς τούτῳ συμβαλὼν κατά τι χωρίον Καλαβρύην λεγόμενον, διὰ τὸ καταῤῥυτον εἶναι τὸν τόπον βρύσεσι ὑδάτων πολλαῖς τε καὶ ἀγαθαῖς, ῥαδίως τῆς ἐκείνου περιεγένετο στρατιᾶς· καὶ τῶν μὲν πεσόντων, τῶν δὲ φυγόντων, εἷλε μονωθέν-

---

4. ἀνωφέλετα Par. — 9. Par. 1708. — 12. Par. 1708 iterum cum rubrica βασιλεία Νικηφόρου Βοτανειάτου quae alteram indicat continuationem scl. e Zonara petitam 229 B. — 14. κοινὰς Par. — 15. Par. 1708 = Zon. 229 B. — 23. οὖν οὐδὲν Zon. — 27. ἐξέπεμψεν Zon. — 30. πολλῶν τε καὶ ἀγαθῶν Zon.

τα τὸν τυραννήσαντα· καὶ τοῦ φωτὸς τὸν δείλαιον ἀπεστέρησεν καὶ εἰσήγαγε τυφλὸν εἰς τὴν βασιλεύουσαν· καὶ ἡ μὲν τοῦ Βρυεννίου εἰς τοῦτο τέλος κατήντησεν ἐπανάστασις.

(8) Ἐπανέστησαν δὲ καὶ οἱ Βάραγγοι κατὰ τοῦ βασιλέως ἀνελεῖν αὐτὸν μελετήσαντες· ἀντιταξαμένης δ' αὐτοῖς χειρὸς ἑτέρας Ῥωμαϊκῆς, εἰς ἱκεσίαν ἐτράποντο καὶ συγγνώμης ἐπέτυχον.

(9) Τῷ δὲ βασιλεῖ τούτῳ τῆς ὁμοζύγου τελευτησάσης, πολλαὶ μὲν ἐμνηστεύοντο παρθένοι, καὶ πρὸ τῶν ἄλλων ἡ τοῦ βασιλέως τοῦ Δούκα θυγάτηρ Ζωή· ὁ δὲ [ἢ] τὴν βασιλίδα Εὐδοκίαν ἤθελεν ἀγάγεσθαι ἢ τὴν ἐξ Ἀλανῶν Μαρίαν, τὴν τῷ πρὸ αὐτοῦ συνοικήσασαν. Στέλλει γοῦν τὴν Εὐδοκίαν μετακαλούμενος· ἡ δὲ, ὡς λόγος, οὐκ ἀπηνήνατο· ἐκωλύθη δὲ πρὸς τοῦτο ὁ βασιλεὺς παρά τινων μοναχῶν· καὶ ἄγεται τὴν βασιλίδα Μαρίαν· οὐδὲν ἧττον παρανομήσας ἢ εἰ τὴν Εὐδοκίαν ἠγάγετο· μοιχεία γὰρ ἦν ἀπηρυθριασμένη τὸ τολμηθέν· διὸ καὶ ὁ τὴν ἱερολογίαν τετελεκὼς ἐπ' αὐτοῖς, τῆς ἱερωσύνης ἐκπέπτωκεν.

(10) Ὁ μέντοι προβεβασιλευκὼς Μιχαὴλ, ὡς εἴρηται, τὴν τρίχα καρείς, καὶ ψήφῳ συνοδικῇ μητροπολίτης Ἐφέσου κεχειροτόνητο· καὶ ἅπαξ φοιτήσας ἐκεῖ, ἐπανῆλθε καὶ ἐν τῇ τοῦ Μανουὴλ μονῇ ἐποιεῖτο τὴν δίαιταν· μετὰ δὲ τὸ τὸν Βοτανειάτην τῆς βασιλείας ἐκπεπτωκέναι, ὑνήσκων οὗτος ὁ Μιχαὴλ, πολλὰ δεηθείσης αὐτοῦ τῆς βασιλίσσης Μαρίας, ἤδη κἀκείνης μοναχῆς γεγονυίας, συγγνώμην ἔνειμε ταύτῃ καὶ συγχώρησιν ἐπηύξατο ἐκ θεοῦ.

(11) Ὁ δὲ πρωτοπρόεδρος Νικηφόρος ὁ Βασιλάκιος, τοῦ Βρυεννίου γενόμενος ἐπὶ τῷ Δυρραχίῳ διάδοχος, καὶ αὐτὸς ἔρωτα τῆς βασιλείας ἐνεγκυμόνησε· καὶ στρατιὰν ἀθροίσας, σὺν αὐτῇ πρὸς Θεσσαλονίκην ἀνῄει· ἔνθα μαθὼν ὡς ὁ Βοτανειάτης βεβασιλεύκει, ἐκείνῳ μὲν ἐπέστειλε δουλικῶς, λάθρα δὲ [τὰ] τῆς ἀποστασίας ἐτύρευε καὶ πρὸς συμμαχίαν μετεπέμπετο Πατζινάκους· ᾧ γνοὺς ὁ Βοτανειάτης, χρυσόβουλλον αὐτῷ στέλλει γραφὴν, ἅμα περι-

3. τέλους Zon.; Par. 1708 = Zon. 229 B. C. — 3. ἀντιταξάμενος δ' αὖθις Par. 1708. — 6. Par. 1708 = Zon. 229 D. — 7. τούτων Par. ν pro ι subscr. cf. Zon. 229 D. — * τὴν τῷ πρὸ αὐτοῦ συνοικήσασαν Zon. — 16. Par. 1708 = Zon. 229 D. E. — 23. 1708 = Zon. 229 E, 230 A. — 29. μεταπέμπεται Zon. — ** μὲν Zon.

ποιοῦσαν αὐτῷ ἐφ' οἷς ἐτόλμησε τὸ ἀμέριμνον, ἅμα δὲ καὶ τιμὴν αὐτῷ νωβελισίμου βραβεύουσαν· ἀλλ' ἐκεῖνος ἄτεγκτος ἦν· ὅθεν καὶ κατ' αὐτοῦ ὁ Κομνηνὸς Ἀλέξιος στέλλεται, τιμηθεὶς σεβαστός· καὶ κατὰ Θεσσαλονίκην γενόμενος καὶ τῷ Βασιλακίῳ συμμίξας, τοὺς περὶ ἐκεῖνον κατετροπώσατο· κἀκεῖνον τὴν εἰς τὴν [τῆς] Θεσσαλονίκης συμφυγόντα ἀκρόπολιν, πολιορκίᾳ ἐξώγρησε καὶ τοὺς ὀφθαλμοὺς ἐξέκοψε τοῦ ἀνδρὸς κελεύσει βασιλικῇ.

(12) Καὶ ἄλλοι δὲ ἀντάραντες ἦσαν χεῖρας τούτῳ τῷ βασιλεῖ· ἀλλ' ἐκ τῶν περὶ τὸν Βρυέννιον συμβάντων καὶ περὶ τὸν Βασιλάκιον σωφρονισθέντες, τὰ ὅπλα κατέθεντο.

(13) Τῶν Τούρκων δὲ τὴν ἑῴαν κατατρεχόντων, στέλλει κατ' αὐτῶν ὁ βασιλεὺς σὺν ἀξιομάχῳ στρατεύματι Κωνσταντῖνον τὸν υἱὸν τοῦ προβεβασιλευκότος Κωνσταντίνου τοῦ Δούκα, ἐκεῖνον στρατάρχην τῆς κατὰ τῶν Τούρκων στρατιᾶς παραστήμενος· ὁ δὲ πρὸς τὴν καλουμένην Χρυσέπολιν διαπεραιωθείς, νεωτερίζει εὐθύς, καὶ παρὰ τῆς ἐκεῖσε οὔσης στρατιωτικῆς πληθύος ἀναγορεύεται βασιλεύς· ἀλλὰ τοὺς μὲν τῶν στρατιωτῶν δώροις ὁ βασιλεὺς ὑπηγάγετο, τοὺς δὲ ἀξιωμάτων τιμαῖς ᾠκειώσατο, ἄλλους δ' ἄλλως μετεχειρίσατο· καὶ παρ' αὐτῶν συσχεθεὶς ὁ Κωνσταντῖνος, παρεδόθη τῷ βασιλεῖ· κείρεται τοίνυν ὁ νεανίας καὶ εἰς νῆσον περιορίζεται· λόγος δ' ἔχει καὶ ἱερέα χρισθῆναι τὸν ἄνθρωπον.

(14) Τοῦ πατριάρχου δὲ Ἀντιοχείας [τοῦ] Αἰμιλιανοῦ τὸν βίον μετηλλαχότος, προκεχείριστο ἕτερος Νικηφόρος ὁ Μαῦρος λεγόμενος.

(15) Οὗτος τοίνυν ὁ βασιλεύς, τὸ μέν τοι καὶ διὰ γῆρας βαθύ, τὸ δέ τοι καὶ διὰ φυσικὴν χαύνωσιν, οὐ πάνυ τι τῆς τῶν πραγμάτων διοικήσεως ἥπτετο, ἀλλὰ τὸν Σίθης μητροπολίτην καὶ οὗτος προσλαβόμενος, ἐκείνῳ τὴν τῶν κοινῶν ἀνέθετο πρόνοιαν· ἦσαν δὲ τῷ βασιλεῖ τούτῳ καὶ δύο δοῦλοι, ὧν ὁ μὲν Βορίλος, ἕτερος δὲ Γερμανὸς ὠνομάζοντο· οὗτοι τοίνυν ἦγον τὰ πάντα καὶ ἔφερον, ὡς

1. τιμῆς Par. 1708. — 2. νωβασιλλισίμου Par. 1708. — 6. εἰς τὴν Θεσαλονίκην Par. 1708. — 7. Par. 1708 = Zon. 230 A. B. — 10. Par. 1708 = 230 B. — 21. Par. 1708 Κωνστάντιος bis; Zon. 230 B. C. Κωνσταντῖνος. — 24. Par. 1708 = Zon. 230 C. — 26. δέ τι Zon. — 27. ἠπτ. δ. Zon.

ἐβούλοντο, καὶ αὐτὸν τὸν κρατοῦντα καὶ κύριον ἑαυτῶν, δι' οὗ καὶ μισεῖσθαι τοῦτον παρὰ τῶν ἐν τέλει συνέβαινεν, προσφερομένων τῶν δούλων ἐκείνοις ἀλαζονικώτερον καὶ θρασύτερον.

(16) Ὡς ἤδη εἴρηται, ὁ λογοθέτης Νικηφόρος προ[σ]χωρήσας τῷ Ῥουσελίῳ, ὑπὸ δεσμοῖς παρ' ἐκείνου συντετήρητο· ἀλλ' αἰφνίδιον θανὼν ὁ Ῥουσέλιος ὑποψίαν παρέσχεν ὡς παρὰ τοῦ λογοθέτου φαρμάκῳ ἀνῄρητο· διὸ καὶ παρὰ τῶν τῷ Ῥουσελίῳ προσηκόντων τῷ Βοτανειάτῃ παραδοθείς, εἰς μίαν [τῶν] πρὸ τῆς βασιλίδος τῶν πόλεως κειμένων νήσων περιορίζεται· οἱ δέ γε περὶ τὸν βασιλέα δεδοικότες, ὡς εἰς ὄψιν ἐλεύσεται τῷ βασιλεῖ, προσληφθήσεται καὶ πάντας παραγκωνίσεται, ὑποτιθέασι τῷ Βοτανειάτῃ, ἀμυθήτων εὐπορεῖν χρημάτων τὸν λογοθέτην, καὶ ταῦτα τῷ βασιλικῷ χρῆναι προσενεχθῆναι ταμείῳ· στέλλεται τοίνυν ὁ Στραβορωμανὸς μέγας ἑταιρειάρχης τότε γενόμενος, ἐρωτήσων τὸν ἄνθρωπον ὅπῃ αὐτῷ τὰ χρήματα κέκρυπται· οἱ δὲ περὶ τὸν βασιλέα οὓς καὶ δεδοικέναι τὴν τοῦ λογοθέτου παρουσίαν ὁ λόγος προδιηγήσατο, πείθουσι τὸν Στραβορωμανὸν ἀνελεῖν τὸν ἄνθρωπον ἐκ τρόπου παντός· ὃς καὶ γενόμενος κατὰ τὴν νῆσον, ἐν ᾗ περιώριστο, ἐτάζει τὸν ἄνδρα οὕτω σφοδρῶς, ὡς ἐν αὐταῖς ταῖς βασάνοις ἐναποψύξαι· καὶ ταῦτα ὑπισχνούμενον ὡς πάντα δοίη ἐνυπογράφως, εἰ τὸν ἐτασμὸν [δια]φεύξοιτο· ὁ μὲν οὖν οὕτως ἀπώλωλεν.

(17) Οἱ δὲ Κομνηνοὶ ὁ Ἰσαάκιος καὶ [ὁ] Ἀλέξιος ὑπερβαλλόντως πρὸς τοῦ βασιλέως καὶ τετίμηντο καὶ ἐστέργοντο, καὶ διαδόχους αὐτοὺς τῆς βασιλείας ὠνόμαζε· διὸ καὶ παρὰ τῶν περὶ τὸν Βοτανειάτην σφοδρῶς ἐβασκαίνοντο, καὶ μᾶλλον παρὰ τῶν εἰρημένων δύο δούλων αὐτοῦ, οἳ καὶ πρὸς ἐκεῖνον τοὺς ἄνδρας διέβαλλον, ὡς τυραννίδα μελετῶντας, καὶ τὴν εἰς αὐτοὺς τοῦ βασιλέως διάθεσιν ὑπώρυττόν τε καὶ παρεσάλευον· ὃ γνόντες οὗτοι καὶ μήτε πάθωσι πταθέντες, ὡς δὲ λόγος, καὶ πάλαι παρ' ἑαυτοῖς τὸν τῆς βασιλείας τρέφοντες ἔρωτα, καὶ ἄλλοις οἷς ἐθάρρουν τὸ βούλευμα κοινωσάμενοι, ἐξῆλθον τῆς πόλεως· καὶ τὴν πόλιν Ἀδριανοῦ κατ- 1081

---

3. Par. 1708 = Zon. 230. C, D. — · δὲ Zon. cf. 228 A. — 5. τετήρητο Zon. — 7. περὶ Par. 1708. — 20. ὑπισχνουμένου Zon. — ἐν ἀπογράφοις Zon. — 21. Par. 1708 = Zon. 230 D, E 231 A.

ειληφότες, εἰς ἑαυτοὺς τὸ στρατιωτικὸν ξύμπαν σχεδὸν ἐπεσπάσαντο· καὶ ἀναγορεύεται βασιλεὺς ὁ Ἀλέξιος τοῦ μείζονος προτιμηθεὶς ἀδελφοῦ, ὅτι τε προσέκειντο τούτῳ οἱ στρατιῶται μᾶλλον ὡς στρατηγικωτέρῳ, καὶ ὅτι σπουδῇ τε καὶ ὑποσχέσεσι παρὰ τῶν περὶ αὐτὸν μεθειλκύσθησαν· οὕτως οὖν ἀναῤῥηθεὶς ὁ Ἀλέξιος, καὶ τοῦ Ἰσαακίου μὴ πάνυ τι πρὸς τὴν ἀναῤῥησιν δυσχεράναντος, τὴν βασιλίδα καταλαμβάνει καὶ πρὸς πολιορκίαν ἡτοίμαστο· ὁ δὲ Βοτανειάτης τοῖς τείχεσιν ἐπέστησε φύλακας· ἦσαν δὲ περί τινα πῦργον πρὸς τῇ πύλῃ τῆς πόλεως, ἣ Χαρσίου καλεῖται, φυλάσσοντες Νέμιτζοι—ἔθνος δ' οἱ Νέμιτζοι Κελτικόν—οὗτοι λάθρα τοῖς περὶ τοὺς Κομνηνοὺς ἐκοινολογήσαντο περὶ προδοσίας τῆς πόλεως. Ἔωθεν οὖν κατὰ τὴν μεγάλην πέμπτην τῆς ἑβδομάδος τοῦ σωτηρίου πάθους τοῦ σωτῆρος ἡμῶν, οἱ μὲν περὶ τοὺς Κομνηνοὺς τῷ κατ' ἄντικρυ τοῦ παρὰ τῶν Νεμίτζων κατεχομένου πύργου ἐξωτέρῳ τείχει πμσσέβαλλον κατὰ σύνθημα· οἱ δ' ἐφεστῶτες αὐτῷ τοὺς προσβάλλοντας ἔβαλλον καὶ ἀπεῖργον τοῦ προσιέναι ἀγχοῦ· ὡς δ' ὑπὸ τῶν Νεμίτζων ἐκ τοῦ πύργου οἱ ἐν τῷ τείχει ἐβάλλοντο, μὴ οἷοί τε ὄντες καὶ πρὸς τοὺς ἐκτὸς ἀνθίστασθαι καὶ πρὸς τοὺς ἐκτὸς ἀπομάχεσθαι, ἐξ ὑπερδεξίων εἰς αὐτοὺς ἀκοντίζοντας, ἐνέδωκαν τῆς ὁρμῆς· οἱ δὲ τειχομαχοῦντες, κλίμαξιν αὐτίκα πρὸς τὸ τεῖχος ἀνῆσαν καὶ τὰ κλεῖθρα τῶν πυλῶν διατεμόντες πελέκεσιν ἄνετον τοῖς συνομόταις παρέσχον τὴν εἴσοδον· ὅπερ ἰδόντες οἱ τὸν ἐντὸς τηροῦντες περίβολον σύγκλυδες ἄνθρωποι, καὶ πολέμων οἱ πλείονες ἀδαεῖς, ἢ μᾶλλον ἐξ ἀγοραίων ἀθροισθέντες καὶ πληθύος δημότιδος, οἱ μὲν κατιόντες ᾤχοντο, οἱ δὲ καὶ ἑαυτοὺς ἐπισφαλῶς κατακρημνίζοντες ἔφευγον· ὅθεν κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν καὶ τὸν ἐντὸς περίβολον οἱ περὶ τοὺς Κομνηνοὺς παρειλήφασι, καὶ τὰς τούτου πύλας ὁμοίως ἀναπετάσαντες βατὴν τὴν πόλιν παντί που παρέσχοντο· καὶ αὐτίκα πρὸς διαρπαγὴν χρημάτων οἱ εἰσελθόντες ὥρμήκασι, σύμμικτον πλῆθος, ἐκ Θρᾳκῶν τε καὶ Μακεδόνων καὶ Ῥωμαίων ἄλλων καὶ βαρβάρων συνεστηκὸς, οὐδὲν ἄμεινον πολεμίων πρὸς τοὺς ὁμοφύλους διατεθέμενοι. Καὶ μέχρι

---

4. μ. ὡς στρ. οἱ στ. Zon. — 8. παρὰ Zon. — 10. Νίμετζοι bis Zon.

γὰρ ἐκχύσεως αἱμάτων προυχώρησε τὸ κακὸν, καὶ παρθένοι δὲ τῷ θεῷ καθιερωμέναι ἀσεβῶς ἐμιάνθησαν, καὶ γυναῖκες ἀνδράσι συνεζευγμέναι πρὸς βίαν ὑβρίσθησαν· καὶ θεῖοι ναοὶ τὸν κόσμον αὐτῶν ἐσυλήθησαν· καὶ οὐδὲ τῶν ἁγίων κρατήρων ἀπέσχοντο, ἀλλὰ καὶ τούτους οἱ πάντολμοι καὶ τὰς ἱερὰς φιάλας τῆς ἀναιμάκτου καὶ φρικώδους θυσίας πλήρεις διήρπαζον, ἐκχέοντες τὰ ἅγια κατὰ γῆς. Καὶ ὅσοις δὲ τῆς γερουσίας συνήντων, κατασπῶντες τῶν ἡμιόνων αὐτοὺς, ἐνίους δέ γε καὶ ἀποδύοντες, ἐν μέσαις ταῖς ἀγυιαῖς εἶων ἡμιγύμνους τε καὶ πεζούς. Καὶ ταῦτα καθ' ὅλην τὴν ἡμέραν ἐπράττετο· καὶ τὸ δεινὸν ἄχρι τοῦ Βοὸς ἐπεφθάκει, γινόμενον κοινόν τε καὶ πάδημον· ἤδη δέ τινες καὶ μέχρι τοῦ Φιλαδέλφου ἢ καὶ προσωτέρω ἀπέδραμον. Οἱ δὲ Κομνηνοὶ εἰς τὴν προνομὴν σκεδασθέντων πάντων, [μόνοι] σὺν εὐαριθμήτοις σφόδρα τοῖς περὶ αὐτοὺς κατελείφθησαν· καὶ ἕως τοῦ Ταύρου γενόμενοι, προσωτέρω ἀπιέναι οὐκ ἐπεθάρρουν· τοσοῦτον γὰρ ἐψιλώντο ἀξιομάχου δυνάμεως, ὡς εἰ τότε τούτοις ἐπῆλθον τινὲς, ῥᾷον ἂν εἷλον αὐτοὺς καὶ δεσμίους τῷ Βοτανειάτῃ προσήγαγον· ἀλλὰ τὸ δόξαν ἤδη θεῷ μετατραπῆναι οὐκ ἦν· ἔνθεν τοι ὁ μὲν Βοτανειάτης μαθὼν τῶν Κομνηνῶν τὴν εἰσέλευσιν, ἄπεισιν αὐτίκα τῶν βασιλείων, αὐτοῦ που ῥίψας ἃ ὑπεδεῖτο φοινικόχροα πέδιλα· καὶ εἰς τὴν τῆς Περιβλέπτου [μονὴν] ἀπελθὼν, ἧς ἐκεῖνος, μετὰ τὸν κατὰ τοὺς Ἀργυροὺς Ῥωμανὸν ἐκεῖνον τὸν αὐτοκράτορα, κτήτωρ δεύτερος ἐχρημάτισε, κείρεταί [τε] τὴν τρίχα καὶ μεταμφιέννυται τὴν στολὴν, τριβώνιον κατὰ μονάζοντας ἐνδυσάμενος· ἔνθα καὶ χρόνον ἐπιβίούς τινα τὸν χοῦν ἀπέθετο τῷ χοΐ, ταφεὶς παρ' αὐτῇ· οἱ δὲ Κομνηνοὶ μηδενὸς αὐτοῖς ἀντιβαίνοντος, τοῖς ἀνακτόροις προσπεφοιτήκασι ἀταλαιπώρως τούτοις ἐπιβάντες καὶ ὁμαλῶς καὶ μετὰ πολλῆς τῆς λείοτητος. Τοιαῦτα σφίσι τὰ προσόδια γέγονε, τοιαῦτα τὰ εἰς τὴν βασιλίδα τῶν πόλεων εἰσιτήρια· τοιαῦτα τῆς βασιλείας ἐπιβατήρια.

---

10. γεν. ἄτοινόν (ἄποινον?) Par. 1708. — 12. Φιλαδελφίου Zon. — 15. ἀπεθ. Zon. — 28. προεισόδια Zon. — 29. Par. 1708 = Zon. 231 A—232 B.

Z'

ΕΙΣ ΚΟΣΜΟΠΟΙΙΑΝ ΣΥΜΕΩΝ ΛΟΓΟΘΕΤΟΥ ΕΚ ΔΙΑΦΟΡΩΝ ΧΡΟΝΙΚΩΝ ΚΑΙ ΙΣΤΟΡΙΩΝ.

[Α' ΠΕΡΙ ΤΟΥ ΦΩΤΟΣ].

Θεὸς * ἄχρονος τόνδε τὸν κόσμον μὴ πρότερον ὑφεστῶτα ἐν χρόνῳ παράγων «ἐποίησεν ἐν ἀρχῇ οὐρανὸν καὶ γῆν»· συνυπέστη δὲ τῇ γῇ τό τε ὕδωρ καὶ πῦρ· καὶ τούτου τεκμήριον ἐναργὲς τὸ ἐκ λίθου μὲν καὶ σιδήρου, ὄντων ἐκ γῆς, πῦρ ἄφθονον ἐξάλλεσθαι (ἐκ πηγῶν δὲ καὶ φρεάτων ὕδωρ πλούσιον ἀναδίδοσθαι)· ταύτης γὰρ ἐκ μὴ ὄντων ὑποστάσης, δηλονότι καὶ τὰ ἐν αὐτῇ. Πάντα οὖν γέγονε κατὰ τὴν τοῦ θεοῦ βουλήν. Ἐπειδὴ δὲ δίκην σκηνῆς ὁ οὐρανὸς περιτεθεὶς τὸν ἐναπολειφθέντα τόπον ἐσκότισεν, εἶπεν ὁ θεός· «Γενηθήτω φῶς»· καὶ εὐθὺς ** τῷ λόγῳ ἡ φύσις τοῦ φωτὸς ἡ πάγκαλος αὕτη παρήχθη· καὶ τὸ σκότος *** ἐκ ἀντιφράξεως τοῦ οὐρανίου σώματος ἐπισυμβὰν διεσκέδασε καὶ τὸν ἀλαμπῆ ἐκ τῆς τοιαύτης αἰτίας ἀέρα λαμπρώτατον ἄφνω ἀνέδειξεν. Ὅτι δὲ πᾶν ὅ τι ἦν πρὸ τῆς τοῦ κόσμου τοῦδε συστάσεως, ἐν φωτὶ ἦν, δῆλον· οὔτε γὰρ αἱ τῶν ἀγγέλων χορεῖαι, οὔτε πᾶσαι αἱ ἐπουράνιαι στρατιαὶ ἐν σκότῳ διῆγον, ἀλλ' ἐν φωτὶ καὶ πάσῃ εὐφροσύνῃ πνευματικῇ τὴν πρέπουσαν ἑαυτοῖς λειτουργείαν ἐκπληροῦσιν, ἐφ' οὗ καὶ οὗτοι ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παρήχθησαν. Τούτου τοίνυν τοῦ φωτὸς ἐκ τῆς εἰρημένης αἰτίας ἐναποκλεισθέντος ἄνω, αὖθις ἐδημιούργησεν ὁ θεὸς τὸ νῦν καταλάμπον καὶ φαιδρύνον τὸν μεταξὺ οὐρανοῦ καὶ γῆς τόπον. Ταῦτα γεγένηται ἐν τῇ πρώτῃ τῆς κοσμοποιΐας ἡμέρᾳ. Ἐν ταύτῃ οὖν τῇ ἡμέρᾳ λέγει Μωϋσῆς ἐν τῇ λεπτῇ Γένεσει ἐκτίσθαι τὰς οὐρανίους δυνάμεις.

---

3. Th. ἐκ τῆς γενέσεις καὶ ἐξ ἄλλων ἱστορικῶν ἐφεξῆς συναγωγὴ ἐκ δ. χ. Θεοδοσίου; P. Ἰουλίου Πολυδεύκους ἱστορία φυσικὴ εἰς τὴν κ. ἐκ τῆς γ. καὶ χρονικὸν ἐφ. (ed. Bianconi Bon. 1776, vonder Hardt. Mon. 1792). — 4. Rubrica in codice (203a) evanuit. — * ὁ P. Th. — 5. χρόνον P. cod. Vat. 163 p. 1. — 6. Gen. I. 1. — 8. ἐκ — ἀν. om. Th. — 10. καὶ τῶν ἐν αὐτῇ πάντων cod. — 11. βούλησιν Th. — 13. I. 3. — ** σὺν Th. P. — *** τὸ Th. P. — 19. σκότει Th. P.

[Β'] ΠΕΡΙ ΤΟΥ ΣΤΕΡΕΩΜΑΤΟΣ.

Πάλιν* β' ἡμέρᾳ τῆς ἀβύσσου ἁπλεως καὶ ἀπείρως τῇ γῇ περικεχυμένης, προσέταξε «στερέωμα» γενέσθαι ἐκ τῶν ὑδάτων «ἐν μέσῳ» αὐτῶν, ὃ καὶ μετὰ ταῦτα «οὐρανὸν» προσηγόρευσε· καὶ σὺν τῷ κελεύσματι τὸ ἔργον ἀπετελέσθη· καὶ στερέωμα ἐκλήθη τὸ δημιούργημα διὰ τὴν φύσιν τῶν ὑπερκειμένων ἢ καὶ ὑποκειμένων ὑδάτων, λεπτὴν οὖσαν καὶ ἀραιάν, οὐρανὸς δὲ διὰ τὸ καθορᾶσθαι τρόπον δέρρεως ὑπὲρ κεφαλῆς ἠπλωμένον.

[Γ'] ΠΕΡΙ ΘΑΛΑΣΣΗΣ.

Αὖθις δὲ τῇ γ' ἡμέρᾳ ἐκέλευσε τὰ ἐναπολειφθέντα ὕδατα κάτω τοῦ στερεώματος συνελθεῖν «εἰς συναγωγὴν μίαν», ἣν καὶ ἐπωνόμασε «θάλασσαν» πρὸς τὸ ὀφθῆναι τὴν ξηράν· καὶ οὕτω κοιλότητές τινες βαθεῖαι ἐγγεγενημέναι εἰσεδέξαντο αὐτήν· ξηρὰ [δὲ ἡ γῆ ἐπ]εκλήθη, ἐπειδὴ καὶ ἴδιόν ἐστιν αὐτῆς κατὰ φύσιν τὸ πρόσ-ρημα· τὸ [γὰρ κυρίως ξηρόν ἐ]στιν ἡ γῆ· ἐπειδὴ δὲ ὥσπέρ τι βάρος ἀπέθετο τὰ ἐν αὐτῇ [ἐναποκείμενα αὐτῇ ὑδατα, λοιπὸν] βλαστάνειν προσετάχθη «βοτάνην χόρτου» καὶ σπ[έρμα κατὰ γένος καὶ ξύλον κάρ]πιμον· καὶ εὐθὺς πρὸς καρπογονίαν συγκινηθ[εῖσα τὰ μυρία τῶν βλαστημάτων] (205[b]) τε καὶ φυτῶν προεβάλλετο γένη καὶ εὐπρεπὴς καὶ χαρίεσσα συνανεφάνη· οὐ μόνον γὰρ ἐκ τῆς τῶν ληΐων ἀναδόσεως ἐφαιδρύνετο, ἀλλὰ καὶ κέδρων καὶ κυπαρίσσων σὺν τῇ ἄλλῃ τῶν δένδρων πληθύϊ αὐτομάτως ἐξ αὐτῆς ἀνακυψάντων, ἱκανῶς κατεκοσμεῖτο.

[Δ'] ΠΕΡΙ ΤΩΝ ΦΩΣΤΗΡΩΝ.

Πάλιν ἐν τῇ δ' ἡμέρᾳ φωστῆρας εἶπε γενέσθαι· καὶ ἐγένετο ἥλιός τε καὶ σελήνη καὶ ἄστρα, καθὼς ἠβουλήθη ὁ κελεύσας·

---

* ἐν τῇ P. Th. — 2. ἀπείρως καὶ ἁπλέτως P. Th. — 3. Gen. I. 6. — 4. I. 8. — 7. ἀραῦιαν? P. — 8. ἁπλωμένον P. — 11. Gen. I. 9,10. — 17. Gen. I. 11,12. — 23. κατεκοσμήτ. cod.

καὶ τὸ καθαρώτατον ἐκεῖνο φῶς τὸ ἐν τῇ α' κτίσει, ἐν ᾗ μέτρα ἐν τούτοις καταμετρήσας, πολυμερῆ ἐξ αὐτῶν παρέσχετο τῷ παντὶ ὠφέλειαν, μίαν μὲν τὴν ἐκ τοῦ φαίνειν καὶ ταῖς οἰκείαις λαμπηδόσι καταυγάζειν τὸν κόσμον πλουσίως, ἑτέραν δὲ τὴν ἐκ τοῦ ἀνίσχειν καὶ καταδύεσθαι, αἰτίαν οὖσαν τῆς τῶν χρόνων ἀπαριθμήσεως, ἄλλην δὲ τὴν διά τινων σημείων εὐεργετοῦσαν διαφόρως τοὺς εὐσεβῶς στοχαζομένους καὶ μὴ πέρα τοῦ μέτρου περιεργαζομένους, οἷά ἐστι καὶ * διὰ τῆς σελήνης πολλάκις σημαινόμενα· λεπτὴ γὰρ οὖσα ταῖς ἀκτῖσι περὶ τὴν ἡμέραν καὶ καθαρὰ, σταθερὰν εὐδίαν καταγγέλλεται· παχεῖα δὲ ταῖς κεραίαις καὶ ὑπέρυθρος φαινομένη, ἢ ὕδωρ λάβρον ἀπὸ νεφῶν ἢ χειμῶνα ἔσεσθαι μηνύει· ὡσαύτως καὶ ὁ ἥλιος ἀνθρακώδης γινόμενος καὶ ὕφαιμος ταῖς ἀκτῖσιν ἢ τῷ ἀπαυγάσματι, βιαίαν κίνησιν δηλοῖ ἐπιγενέσθαι· πολλάκις οὖν ἐκ τῆς τοιαύτης σημειώσεως ὠφελήθησαν πολλοὶ πλωτῆρές τε καὶ γεωργοὶ καὶ ὁδοίποροι.

[Ε'] ΠΕΡΙ ΤΩΝ ΙΧΘΥΩΝ ΚΑΙ ΤΩΝ ΠΕΤΕΙΝΩΝ.

Ἐν δὲ τῇ ε' ἡμέρᾳ ἐκέλευσεν «ἐξαγαγεῖν τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν καὶ πετεινὰ κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ πετόμενα» καὶ σὺν τῷ προστάγματι τὸ ἔργον ἐτελειοῦτο, τῆς πρὸς τὸ ζωογονεῖν ἐπιτηδειότητος ἐγγενομένης τοῖς ὕδασιν· εὐθὺς γὰρ θάλασσα μὲν τὰ παντοδαπὰ γένη τῶν νηκτῶν ἀπέτεκεν, ποταμοὶ δὲ καὶ λίμναι τῶν οἰκείων καὶ κατὰ φύσιν ἰχθύων ἐπληρώθησαν· προήγαγε δὲ αὖθις καὶ τὰ πετεινὰ τὰ ὕδατα, τρόπον τινὰ καὶ συγγένειαν πρὸς τὰ νηκτὰ ἔχοντα· ὥσπερ γὰρ οἱ ἰχθύες ἐν τοῖς ὕδασι τῇ κινήσει τῶν πτερύγων ἐπὶ τὸ πρόσω χωροῦσιν, τῇ δὲ συχνῇ μεταστροφῇ τοῦ οὐραίου τὰς εὐθείας αὐτοῖς ὁρμὰς ὑακίζουσιν, οὕτως καὶ τὰ πετεινὰ κατὰ τὸν ἀέρα νηχόμενα τέμνουσι μὲν τοῦτον, περῶσι δὲ ὅπου καὶ βούλονται.

---

1. ἐν ᾗ ἡμέρᾳ vel ἐν ἡμέρᾳ ἐν τ. καταμερίσας P. Th. — 2. πολυμερεῖ cod. — * τὰ? — 8. καὶ ἡ — σημαινομένη P. — καθ. cod. — 17. Gen. I. 20.

[ς'] ΠΕΡΙ ΤΩΝ ΚΤΗΝΩΝ ΚΑΙ ΤΩΝ ΘΗΡΙΩΝ.

Αὖθις δὲ ἐν τῇ ς' ἡμέρᾳ ἐπετράπη «ἐξαγαγεῖν ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος, τετράποδα καὶ ἑρπετὰ καὶ θηρία»· καὶ εὐθὺς προήγαγε τά τε ἄγρια καὶ ἥμερα ζῶα. ψυχὴν δὲ ζῶσαν ἐξαγαγεῖν ἐκέλευσεν, ἵνα ἐκ τούτου γινώσκηται τῆς τε ἀλόγου ψυχῆς ἡ διαφορὰ καὶ τῆς ἀνθρωπείας· ἐκ γὰρ γῆς ἐφύη τῶν ἀλόγων ἡ ψυχή, ἡ δὲ τῶν ἀνθρώπων ἐκ τοῦ θείου ἐμφυσήματος συνέστηκεν· καὶ ὅτι γεηρὰ ἡ τῶν ἀλόγων ψυχή, ἐξ αὐτῆς ἐστι γνῶναι πάλιν τῆς γραφῆς· εἴρηται γὰρ· «ψυχὴ παντὸς κτήνους τὸ αἷμα αὐτοῦ ἐστιν»· αἷμα δὲ πηγνύμενον εἰς σάρκα μεταβάλλεται· σὰρξ δὲ φθει[ρομένη] εἰς γῆν ἀναλύεται. Εἰκότως οὖν γεώδης ἡ ψυχὴ τοῦ ἀλόγου.

[Ζ'] ΠΕΡΙ ΤΗΣ ΚΑΤΑΣΚΕΥΗΣ ΤΟΥ ΑΝΘΡΩΠΟΥ.

Ἐπειδὴ [δὲ] λοιπὸν [τῷ καταλλ]ήλῳ κάλλει πάντα διεκοσμεῖτο, ὁ οὐρανὸς μὲν τοῖς τῶν φωστήρων, [αὐγαῖς, θαλασσα]... δὲ καὶ ἀὴρ τοῖς νηκτοῖς καὶ ἀερίοις τῶν ζώων, γῇ δὲ ταῖς [παντοίαις διαφοραῖς] τῶν φυτῶν τε καὶ βοσκημάτων, ὥσπερ τινὰ βασιλέα [ὁ τοῦ παντὸς ποιητὴς εἰσάγ]ει τὸν ἄνθρωπον ἐν κόσμῳ, οὐχ ὡς ἀπόβλητον ἔσχατον (206ᵃ) κτίσας, ἀλλ' ὡς ἅμα τῇ γενέσει βασιλεύειν ὀφείλοντα. Τί γὰρ φησὶν ἡ γραφή· «Καὶ εἶπεν ὁ θεός· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ τῶν θηρίων καὶ πάσης τῆς γῆς». Καὶ τὰ μὲν ἄλλα πάντα κτίσματα ῥήματι μόνῳ παρήχθη· ὁ δὲ ἄνθρωπος ἔσχεν ἐξαίρετόν τι κατὰ τὴν ποίησιν παρὰ ταῦτα· βουλῆς γὰρ προηγησαμένης ἐκτίσθη, ἵνα ἐκ τούτου δειχθῇ, ὅτι περ τίμιόν τι χρῆμα ὑπάρχει· τὸ γάρ· «ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν» οὐδὲν ἕτερον δείκνυσιν ἢ ὅτι συμβούλῳ ἐχρήσατο ὁ πατὴρ τῷ μονογενεῖ αὐτοῦ υἱῷ ἐπὶ τῇ τούτου κατασκευῇ «τῷ

---

2. Gen. I. 24. — 6. τοῦ ανου P. Th. — 7. συνέστη P. Th. 9. Lev. XVII. 11,14 ψ. πάσης σαρκός. — 20. I. 26. — 39. Heb. I. 3.

ἀπαυγάσματι τῆς δόξης», κατὰ τὸν ἀπόστολον «καὶ χαρακτῆρι τῆς ὑποστάσεως αὐτοῦ». Οὔτε γὰρ ἐνῆν ἄλλῳ τινὶ συμβούλῳ τινὶ κεχρῆσθαι ἢ τῷ ζῶντι καὶ ἐνυποστάτῳ αὐτοῦ λόγῳ τῷ ἀπαραλλάκτῳ κατ' εἰκόνα καὶ ὁμοουσίῳ καὶ ἰσοδυνάμῳ. (Κβ΄ ἔργα, ὡς λέγει Μοϋσῆς, ἔκτισεν ὁ θεὸς ἐν ταῖς ς΄ ἡμέραις· διὸ καὶ κβ΄ γράμματα καὶ βιβλία τοσαῦτα παρ' Ἑβραίοις καὶ κβ΄ γενεαρχίαι ἀπὸ Ἀδὰμ μέχρι Ἰακώβ).

[Η΄] ΕΙΣ ΤΟ ΚΑΤ ΕΙΚΟΝΑ.

Ἐπειδὴ τοίνυν, ὡς εἴρηται, βασιλεὺς ὥσπερ εἰσήχθη ἐν κόσμῳ ὁ ἄνθρωπος, εἰκότως οὖν καὶ κατ' εἰκόνα θεοῦ γεγένηται· ἔδει γὰρ τὸν μέλλοντα ἄρχειν τῶν ἄλλων, ὥσπερ τινὰ εἰκόνα εἶναι ἔμψυχον τῆς τοῦ βασιλέως ὁμοιότητος, οὐκ ἐν πορφυρίδι καὶ σκήπτρῳ καὶ διαδήματι τὴν ἀξίαν ἐμφαίνοντα, ἐπειδὴ μηδὲ τὸ ἀρχέτυπον ἐν τούτοις ἐστίν; ἀλλ' ἐν τῷ κοσμεῖσθαι τῇ ἀφθαρσίᾳ καὶ ἀθανασίᾳ καὶ ἀρετῇ· τούτοις γὰρ τιμηθεὶς ὁ ἄνθρωπος τὴν πρὸς τὴν πρωτότυπον εἰκόνα ὁμοίστητα διασώζει· ἔτι δὲ καὶ ἡ αὐτεξουσιότης τὸ βασιλικὸν καὶ ἐπηρμένον τῆς φύσεως τοῦ ἀνθρώπου καὶ πρὸς τὴν θείαν εἰκόνα ἀμφερὲς ἐμφανέστατα δείκνυσιν. Καὶ κατὰ τοῦτον τὸν λόγον καὶ χειρῶν θεοῦ ἔργον ὁ ἄνθρωπος διὰ τὸ τίμιον τῆς κατασκευῆς· βουλῆς γὰρ ἐνέργεια τὸ πᾶν. Εἶτα μετὰ τὴν τούτου διάπλασιν τί φησιν ἡ γραφή; «Καὶ συνετέλεσεν ὁ θεὸς τῇ ἡμέρᾳ τῇ ς΄ τὰ ἔργα αὐτοῦ, ἃ ἐποίησε, καὶ κατέπαυσεν ἐν τῇ ἡμέρᾳ τῇ ζ΄— καὶ ἡγίασεν αὐτήν, ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ ὧν ἤρξατο ὁ θεὸς ποιῆσαι».

[Θ΄] ΠΕΡΙ ΤΟΥ ΣΑΒΒΑΤΟΥ.

Τίνος χάριν τὴν ζ΄ ἡμέραν εὐλόγησεν ὁ θεὸς μόνην καὶ οὐχὶ τὰς πάσας; ὅτι ἑκάστη τῶν ἄλλων ἐκ τῆς ἐν αὐτῇ γενομένης δημιουργίας ἔσχε τὴν εὐλογίαν· ἐπὶ τῆς ζ΄, οὐδεμιᾶς ἐν αὐτῇ γενο-

4. κβ΄— Ἰακώβ om. P. — 15. πρὸς τὸν cod. — 18. προφαν. P. — 20. Gen. II. 2,3. — 29. ἐπειδὴ δὲ ἔμελλεν αὐτὴ μένειν ἀέργαστος, οὐδ. Th. οὐδ. — δημ. om. P. uterque ex emendatione anacoluthi?

μένης δημιουργίας, τούτου χάριν εὐλογίσθη καὶ αὐτὴ ὑπὸ τοῦ ϑεοῦ.

[Ι'] ΠΕΡΙ ΤΟΥ ΠΑΡΑΔΕΙΣΟΥ.

Πάλιν οὖν φησὶν ἡ γραφή· «Καὶ ἐφύτευσε Κύριος ὁ ϑεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολὰς καὶ ἔϑετο ἐκεῖ τὸν ἄνϑρωπον, ὃν ἔπλασεν. Καὶ ἐξανέτειλεν ὁ ϑεὸς ἔτι ἐκ τῆς γῆς πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν καὶ καλὸν εἰς βρῶσιν καὶ τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ». Τὴν λογικὴν ὑπόστασιν τιμῆσαι προϑέμενος ὁ ϑεὸς κατασκευάζει καὶ λαμπρὸν οἰκητήριον καὶ πάσης γέμον ϑυμηδίας καὶ καϑίστησιν ἐκεῖ τὸν Ἀδάμ· ἔστι δὲ ἐνταῦϑα γενόμενοι τοῦ λόγου, ϑαυμάσαι τοῦ ϑεοῦ τὴν ἄφατον φιλανϑρωπίαν, ὅτιπερ πανταρχικὴν ἔχων καὶ ἀΐδιον ἐξουσίαν εἰς τὸ πᾶν, καὶ γεωργεῖν ἑαυτὸν ἐπέδωκεν διὰ τὸν ἄνϑρωπον. Ὁ γὰρ τοσοῦτον μέγεϑος οὐρανοῦ καὶ γῆς καὶ ϑαλάσσης λόγῳ ὑποστησάμενος, πολλῷ μᾶλλον ἱκανὸς ἦν καταφυτεῦσαι παράδεισον ῥήματι καὶ λόγῳ ῥιζῶσαι τὸ πανόλβιον χωρίον· ἀλλ', ὡς εἴρηται, (206[b]) διὰ τὴν πρὸς τὸν ἄνϑρωπον τιμὴν καὶ φυτουργὸς γίνεται μυστικῷ τινὶ λόγῳ ὁ ἀκαμάτως τόνδε τὸν κόσμον ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ϑελήσει μόνῃ παραγαγών.

[ΙΑ'] ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΖΩΩΝ ΟΝΟΜΑΣΙΑΣ.

Εἶτα αὖϑις ἡ γραφή· «Καὶ ἤγαγεν ὁ ϑεὸς πάντα τὰ ϑηρία καὶ τὰ κτήνη καὶ τὰ ἑρπετὰ πρὸς τὸν Ἀδάμ, ἰδεῖν τί καλέσει αὐτά· καὶ πᾶν ὁ ἐκάλεσεν αὐτὰ Ἀδάμ *, τοῦτο ὄνομα αὐτῷ». Ὁρᾷν οὖν ἐστι καὶ ἐντεῦϑεν τὴν τιμὴν μετὰ ταῦτα τοῦ ἀνϑρώπου, ἣν ἔσχεν ἐξ αὐτῆς τῆς γεννήσεως. Ὥσπερ γὰρ ἀγελάρχης τις προκάϑηται Ἀδάμ· καὶ ὁ ϑεὸς ἦγε πρὸς αὐτὸν τὰ μυρία τῶν ϑηρίων καὶ τῶν κτηνῶν ** καὶ τῶν πετεινῶν γένη, ἵνα ἡγεμόνα τοῦτον χειροτονήσῃ, ὃν κατ' εἰκόνα ἰδίαν πεποίηκεν. Καὶ ἐκεῖνος μὲν

4. Gen. II. 8,9. — 11. ἔτι δὲ P. — γινομένου cod. P. Tb. pro γενομένοις. — 24. Gen. II. 19. — * ψυχὴν ζῶσαν Gen. —. ** καὶ τῶν κτηνῶν cod. iterum καὶ τῶν νηκτῶν?

θείῳ καταπνευσθεὶς καὶ προφητικῷ πνεύματι, ὀνόματα κύρια ἑκάστῳ τῶν ἀλόγων ἐπέθηκε· τὰ δὲ ζῶα ὥσπερ τιμὴν μεγάλην ἐκ τῆς ἐπικλήσεως λαβόντα, οὕτως ἐν συζυγίᾳ ὑπεχώρουν.

[ΙΒ'] ΠΕΡΙ ΤΗΣ ΠΟΙΗΣΕΩΣ ΤΗΣ ΓΥΝΑΙΚΟΣ.

Ἐπειδὴ δὲ ἐξ ἁπάντων τούτων τῶν γένων οὐδὲν ἦν ὅμοιον τῷ Ἀδάμ, εἶπε πάλιν ὁ θεός, καθά φησιν ἡ γραφή· «οὐ καλόν εἶναι τὸν ἄνθρωπον μόνον· ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν», βοηθὸν λέγων τὸ θῆλυ διὰ τὸν τῆς παιδογονίας λόγον, συνεργεῖν μέλλον τῷ ἀνδρὶ πρὸς τὴν τοῦ γένους αὔξησίν τε καὶ διαμονήν. Αὖθις δὲ ἐπιλέγει· «καὶ ἐπέβαλεν ὁ θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδάμ, καὶ ὕπνωσε, καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ καὶ ἀνεπλήρωσε σάρκα ἀντ' αὐτῆς καὶ ᾠκοδόμησε τὴν πλευράν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδάμ, εἰς γυναῖκα». Ἔστι δὲ ὁ εἰρημένος τῆς γραφῆς σκοπὸς οὗτος· Κρίνας ὁ ἐν σοφίᾳ τὰ πάντα ποιήσας θεὸς δοῦναι τῷ Ἀδὰμ βοηθὸν κατ' αὐτόν, ὡς ἐπηγγείλατο, οὐκ ἐκ γῆς πλάττει τὸ θῆλυ καθάπερ καὶ τὸν ἄνδρα, ἀλλ' εἰς ὕπνον τρέπει τοῦτον καταφορᾷ πνεύματος τὸν νοῦν αὐτοῦ φαντασιώσας καὶ τὸν τῆς ψυχῆς ὀφθαλμὸν εἰς ἄπλητον ὄψιν ἐκκαλεῖται, ἵνα τῇ φαντασίᾳ τοῦ τοιούτου καλλους κατεχόμενος, μὴ γνῷ τὸ γινόμενον· εἶτα λαμβάνει μίαν τῶν πλευρῶν αὐτοῦ ἀκαμάτως, αἴσθησιν ἀλγηδόνος αὐτῷ μὴ ἐπαναγαγών· καὶ εὐθὺς ὡς τεχνίτης καὶ ἰατρὸς σύντομος, τὸ λεῖπον διὰ σαρκὸς ἀνεπλήρωσεν· ἐν ὅσῳ γὰρ τὴν ψυχὴν τῇ ἀκρεάστῳ τῆς θείας ἡδονῆς περιέσπα, τὴν πλευράν, ἣν ἔλαβεν, ᾠκοδόμησεν εἰς γυναῖκα, μυστικῶς ἐκτυπώσας αὐτὴν εἰς ζῶον λογικόν, καλλει ἀμηχάνῳ καὶ σχήματι εὐπρεπεστάτῳ κεκοσμημένην, καὶ ἄγει τοῦτο πρὸς τὸν Ἀδάμ· εἶτα ἐκεῖνος, ἅτε θείου πνεύματος μέτοχος ὤν, ἐγνωκὼς, ὅτι ἐξ αὐτοῦ ἦν, φησί· «τοῦτο νῦν ὀστοῦν ἐκ τοῦ ὀστῶν μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου· αὕτη κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη» αὕτη. Ὁρῶν οὖν ὁ Ἀδὰμ τὴν γυναῖκα, οὐχ

---

6. Gen. II, 18. — 8. λέγει P. Th. — μέλλων cod. — 10. Gen. I. 21,22. — 13. οὕτως cod. — 22. γὰρ cod. a secunda manu, δὲ P. Th. — 27. Gen. II, 24.

ὡς γυναῖκα θεώμενος ἔπασχεν, ἀλλ' ὡς ἑαυτὸν ὁρῶν, πνευματικῶς ἠυφραίνετο, τὴν ὁμοίαν βλέπων καὶ ταύτην ἔχουσαν κατασκευήν. Ὡσαύτως δὲ καὶ ἡ γυνή, θεωροῦσα τὸν ἄνδρα, μεγάλως ἠγάλλετο, κατ' αὐτὸν οὖσαν ἑαυτὴν ἐννοῦσα. Ὄντων οὖν αὐτῶν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς, νόμον δίδωσιν αὐτοῖς ὁ θεὸς ἐπ' εὐεργεσίᾳ, τοῦ δεῖξαι μὲν ἐλευθέραν τὴν φύσιν ἐν τῇ αὐτεξουσιότητι, ὑποδεῖξαι δὲ ὡς ὑπὸ δεσπότην καὶ κηδεμόνα εἰσί, λέγων οὕτως· «ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ, ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, οὐ φάγεσθε ἀπ' αὐτοῦ· ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε», τουτέστιν· ἔνητοι ἔσεσθε. Οὕτω γὰρ καὶ ὁ Σύμμαχος ἡρμήνευσε· «ᾗ δ' ἂν ἡμέρᾳ φάγῃ ἀπὸ τοῦ ξύλου, θνητὸς ἔσῃ».

(207ᵃ) [ΙΓ] ΠΕΡΙ ΤΟΥ ΞΥΛΟΥ ΓΙΝΩΣΚΕΙΝ ΚΑΛΟΝ ΚΑΙ ΠΟΝΗΡΟΝ.

Ἀλλὰ μή τις ὑπολάβοι, ὅτι τὸ ξύλον τοιαύτης ἦν φύσεως, ὡς γνῶσιν παρέχειν καλοῦ τε καὶ κακοῦ — οὐ γὰρ δὴ βλαβερόν τι ἦν ἐν τῷ παραδείσῳ — ὅρος δὲ ἐτέθη ἐπὶ τῷ φυτῷ πρὸς γυμνασίαν τῆς ἐλευθεριότητος. Καὶ ὅτι οὐ τὸ ξύλον αἴτιον τῷ Ἀδὰμ γνώσεως γέγονε, δῆλον· ἡ γὰρ ἐντολὴ ὡς πρὸς εἰδότε ἄμφω ἐδόθη, τό τε καλὸν καὶ τὸ πονηρόν, τήν τε ὑπακοὴν καὶ τὴν παρακοήν, ὥστε ἡ γνῶσις προῦλαβε τὴν ἐντολήν· δέδοται δὲ αὐτὴ διὰ τὸ, ὡς εἴρηται, αὐτεξουσίῳ βουλήματι κινούμενον τὸν ἄνθρωπον, ἐπ' ἀδείας τε ἔχοντα ἀπὸ πάντων μεταλαμβάνειν τῶν ἄλλων δένδρων, ἑνὸς δὲ μόνου νόμῳ προσταττομένου ἀπέχεσθαι *, γινώσκειν ὡς ὑπὸ δεσπότην ἐστι ** καὶ τὴν ἐντολὴν δεδωκότα. Ἦσαν οὖν ἐν τῷ καθαρωτάτῳ τούτῳ τόπῳ ὅ τε Ἀδὰμ καὶ ἡ Εὔα διάγοντες καὶ τῇ ποικιλίᾳ τῶν ἀθανάτων ἀνθέων δαψιλῶς ἀπολαύοντες.

---

2. τυφ. — κατ. om. T. — ταυτὴν P. — 7. Gen. II, 16,17 e. III. 1 plurabis pro singulari hebraicoque et Sym. expresint. — 19. ὡς προειδότ. cod. ὡς πρὸς εἰδότα P. T. — * καὶ cod. ὥστε? — ** τὸν?

[ΙΔ'] ΠΕΡΙ ΤΟΥ ΔΙΑΒΟΛΟΥ ΚΑΙ ΤΟΥ ΟΦΕΩΣ.

Ἀλλ' ὁ ἐχθρὸς τῆς ἡμετέρας φύσεως βασκήνας ἐπὶ τῇ πολλῇ τιμῇ τοῦ ἀνθρώπου καὶ φθόνον ἐγκισσήσας, τὸν πρὸς αὐτὸν ἤρατο πόλεμον καὶ τὸν ὄφιν ἐνδὺς ἐπέστη τῇ γυναικί, ἀπόντος τοῦ Ἀδάμ, καὶ πανούργως αὐτὴν τοῦ συμφέροντος παρατρεψάμενος διὰ ψευδους καὶ τὸν Ἀδὰμ ταύτῃ συνεξαπατήσας, παραβάτας τοῦ θείου παρεσκεύασε νόμου γεγενῆσθαι. Λέγει γὰρ ἡ γραφὴ περὶ τούτου ὧδε· «Ὁ δὲ ὄφις ἦν φρονιμώτατος παρὰ πάντα τὰ θηρία τῆς γῆς, ἃ ἐποίησε Κύριος ὁ θεός». Φρόνιμος δὲ ἐκλήθη ὁ ὄφις, ὅτι τὸ λογικὸν ζῶον τὸν ἄνθρωπον καὶ τῶν ἄλλων ἀγχινοίᾳ διαφέροντα ἐξαπατᾶν ἔμελλεν. Εἶτα ἐπιλέγει· «καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί· τί ὅτι εἶπεν ὁ θεός· οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ; καὶ εἶπεν ἡ γυνὴ τῷ ὄφει· ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ φαγούμεθα· ἀπὸ δὲ τοῦ καρποῦ τοῦ ξύλου, ὅ ἐστιν ἐν μέσῳ τοῦ παραδείσου, εἶπεν ὁ θεός· οὐ μὴ φάγητε ἀπ' αὐτοῦ οὐδ' οὐ μὴ ἅψησθε αὐτοῦ, ἵνα μὴ ἀποθάνητε». — Ἆρα δὲ καὶ ὁ ὄφις τῷ κατὰ προφορὰν λόγῳ ἐχρήσατο; οὐ πάντως, ἀλλ' οἱ πρωτόπλαστοι, ἅτε κακίας ὄντες ἀμιγεῖς, ἀκριβεστάτας εἶχον τὰς αἰσθήσεις καὶ πολὺ τῶν ἡμετέρων διαλλαττούσας, ὥστε τὴν ἀκοὴν αὐτῶν πάσης ὑπάρχειν φωνῆς ἀκουστικήν· καὶ τὰ θηρία καὶ τὰ κτήνη λαλεῖν λέγει· μιᾷ γλώσσῃ ποτέ, ὅτε δὲ Ἀδὰμ κατεδικάσθη, τότε αὐτὰ πεφιμῶσθαι, τὸν δὲ ὄφιν καὶ τοὺς πόδας ἀφαιρεθῆναι καὶ ἕρπειν ἐπὶ τὴν γῆν, καὶ ἐν αὐτῷ ἐπὶ τὴν γλῶσσαν ἐντεθῆναι. Εἶτα ἐπάγει· «καὶ εἶπεν ὁ ὄφις τῇ γυναικαί· οὐ θανάτῳ ἀποθανεῖσθε, ᾔδει γὰρ ὁ θεός, ὅτι ᾗ** ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί, καὶ ἔσεσθε ὡς θεοὶ γινώσκοντες καλὸν καὶ πονηρόν. Καὶ εἶδεν ἡ γυνή, ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν καὶ ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν καὶ ὡραῖόν ἐστι τοῦ κατανοῆσαι· καὶ λαβοῦσα τοῦ καρποῦ αὐτοῦ ἔφαγε καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ αὐτῆς, καὶ ἔφαγον, καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο, καὶ ἔγνωσαν, ὅτι γυμνοὶ ἦσαν».

---

3. ἐγκοπείσας cod. a secunda manu. — 8. Gen. III 1—3. — 19. διαλλαγούσας T. — * scl. ἡ γραφή? vel λέγεται. — 24. Gen. III, 4—7. — ** δ' cod.

[ΙΕ'] ΕΙΣ ΤΟ ΔΙΗΝΟΙΧΘΗΣΑΝ ΟΙ ΟΦΘΑΛΜΟΙ ΤΩΝ ΔΥΟ.

Οὐχ, ὡς τότε ἀναβλεψάντων τῶν πρωτοπλάστων εἴρηται τὸ «διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο». Δείκνυνται γὰρ καὶ πρὸ τῆς βρώσεως ὁρῶντες ἐκ τοῦ λέγεσθαι· «καὶ εἶδεν ἡ γυνή, ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν καὶ ὅτι ἀρεστόν ἐστι τοῖς ὀφθαλμοῖς ἰδεῖν», ἀλλ' ὡς τὸ ἀπειρόκακον ἀπαθεμένων διὰ τῆς παραβάσεως, (206[b]) ὃ καὶ τὴν γύμνωσιν ἀδιάφορον παρέσχεν· ἐρρέθη δὲ ὅτι «διηνοίχθησαν οἱ ὀφθαλμοὶ αὐτῶν· πέφυκε γὰρ ὁ ὀφθαλμὸς ἅπας ὑπὸ τοῦ λογισμοῦ διεγείρεσθαι πρὸς ἃ βλέπει· σύνεσιν γὰρ αὐτὸς καθ' ἑαυτὸν οὐκ ἔχει, ὥστε πολλάκις, πρὸς ἕτερα τῆς διανοίας ἀσχολουμένης, τυφλοῦ δίκην ἐνίοτε παρερχόμεθα καὶ τὸ πάνυ γνώριμον· καὶ ἐπειδὰν ἐγκληθῶμεν τῇ ἀσχολίᾳ τοῦ λογισμοῦ, τὸ αἴτιον ἀνατιθέντες ἀπολογούμεθα. Οὕτως οὖν Ἀδὰμ καὶ ἡ Εὔα τῇ αἰσθήσει τοῦ νοῦ πρὸς τὴν ὄψιν διεγέρθησαν· τὸ γὰρ «ἔγνωσαν, ὅτι γυμνοὶ ἦσαν» ἀποκάλυψιν σημαίνει τὴν ἐγγενομένην τῷ στολισμῷ, οὐκ ἀνάβλεψιν ὀφθαλμῶν. Ληχθήσεται δὲ κἀκεῖνο, ὅτι πρὸ τῆς ἀπαθείας, ἐπειδὴ καιρὸν οὐκ εἶχε τὰ τῆς παιδοποιΐας, οὐκ ἐδέδοτο παρὰ θεοῦ ἡ παρατήρησις τῆς γυμνώσεως, ἀλλὰ διῆγον ὡς ἄσαρκοι, σαρκικῆς διαθέσεως οὔπω καιρὸν ἔχοντες· ἐπειδὴ δὲ ἡ ἀπείθεια ἐπισυμβᾶσα τὸ θνητὸν ἐπήγαγεν, εἰκότως τὸ λοιπὸν ἐνεδόθη τούτοις ἡ πρὸς ἀλλήλους αἰδώς· καὶ νενοήκασι ὕστερον τῶν σχημάτων τὴν διαφορὰν προθεωρηθεῖσαν τῷ πλάσαντι πρὸς τὸ ἀναγκαῖον τῆς διαδοχῆς τοῦ γένους.

[ις] ΠΕΡΙ ΤΩΝ ΦΥΛΛΩΝ ΤΗΣ ΣΥΚΗΣ.

Γυμνοὺς οὖν ὄντας ἑαυτοὺς αἰσθόμενοι ὅ τε Ἀδὰμ καὶ ἡ Εὔα μετὰ τὴν παράβασιν, ἐκ φύλλων συκῆς «ἐποίησαν ἑαυτοῖς περιζώματα», αἰνιττόμενοι διὰ τοῦ ξύλου τὸν τρόπον τῆς κακοπραγίας. Ὡς γὰρ ἡδὺς ὁ καρπὸς τῆς συκῆς, τραχὺ δὲ καὶ πικρώτατον τὸ

---

16. πρώην P. Th. — ἀπαθείας cod. — 17. ἐδιδ. cod. — 20. ἐπηγάγετο P. Th. — 22. προθεωθεῖσαν cod. — 26. Gen. III. 7.

φύλλον, οὕτως πᾶσα ἁμαρτία ἐν τῇ πράξει δείκνυται ἡδεῖα, μετὰ δὲ τὴν πρᾶξιν ὀδύνην παρέχει τῷ πεπραχότι. Τί οὖν πάλιν ἡ γραφή; «Καὶ ἤκουσαν τῆς φωνῆς Κυρίου τοῦ θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινὸν, καὶ ἐκρύβησαν, ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ — ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου», μετὰ τὸ τόλμημα εἰς συναίσθησιν ἐλθόντες τοῦ πταίσματος, τῷ κριτικῷ κρατοῦνται φόβῳ καὶ κρύπτεσθαι· τὸν ἀλάθητον ὀφθαλμὸν καὶ παραιτοῦνται τὴν πρόοδον καὶ ἀναδύονται τὴν παράστασιν· οὕτω δὲ αὐτοὺς κεκλονημένους ὑπὸ τοῦ δέους θεασάμενος ἀνακαλεῖται ὡς πατὴρ φιλόστοργος ὁ θεὸς καὶ φησί· «Ἀδὰμ, Ἀδάμ, ποῦ εἶ». Καὶ εἶπεν αὐτῷ· «Τῆς φωνῆς σου ἤκουσα περιπατοῦντος ἐν τῷ παραδείσῳ καὶ ἐφοβήθην, ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην».

[ΙΖ'] ΠΕΡΙ ΤΗΣ ΚΑΤΑΔΙΚΗΣ ΤΟΥ ΠΡΩΤΟΠΛΑΣΤΟΥ ΚΑΙ ΤΟΥ ΟΦΕΩΣ.

Ἦν οὖν ἰδεῖν λοιπὸν βῆμα καὶ δικαστήριον ὀξὺ καὶ φοβερὸν τὸ τρυφηλὸν γεγονὸς τοῦ παραδείσου χωρίον· ἀγαγὼν γὰρ εἰς μέσον τοὺς βλαβέντας καὶ τὸν βλάψαντα καὶ τὸν μὲν ὄφιν εὑρηκὼς ἀδικήσαντα, τὴν δὲ Εὔαν ἀδικηθεῖσαν, ὡρίσατο ἑκάστῳ τὴν προσήκουσαν τιμωρίαν· τὸν γὰρ ὄφιν κατάρατον ἀποφήνας, ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ κατεδίκασε σύρεσθαι καὶ γῆν ἐσθίειν ἀντὶ ἐδωδίμου τροφῆς, τὴν δὲ Εὔαν σύντροφον ἔχειν τὴν λύπην καὶ ὀδύναις τίκτειν ἐδικαίωσεν, τὸν Ἀδὰμ δὲ ἐν ἱδρῶτι τοῦ προσώπου ἐσθίειν κατέκρινεν τὸν ἄρτον ἕως ὅτου ἐπιστρέψαι αὐτὸν εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθη. Εἶτα αὖθις ἡ γραφή· «Καὶ ἐποίησεν ὁ θεὸς τῷ Ἀδὰμ καὶ τῇ γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους καὶ ἐνέδυσεν αὐτοὺς καὶ εἶπεν ὁ θεός· «Ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν τοῦ γι(207ᵃ)νώσκειν καλὸν καὶ πονηρόν· καὶ νῦν μήποτε ἐκτείνῃ τὴν χεῖρα καὶ λάβῃ τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ καὶ ζήσεται εἰς τὸν αἰῶνα». Τίνος ἕνεκεν ἐκβάλλεται ὁ ἄνθρωπος ἐκ τοῦ παραδείσου καὶ περὶ τῶν δερματίνων

3. Gen. III, 8. — ᵃ οἴονται P. — 10. Gen. III, 9,10. — 24. Gen. III, 21,22. — 28. וָחַי καὶ ζήσηται.

χιτώνων. Ἔστι τοίνυν ἐκ τῶν εἰρημένων ἐννοεῖν, ὅτι ἠδύνατο ὁ ἄνθρωπος καὶ μετὰ τὴν παράβασιν εἰς αἰῶνας ζῆν· διὸ ἵνα μὴ ἀθάνατον ᾖ τὸ κακὸν ὁ ἄνθρωπος*, θνητὸν** αὐτὸν ἀπεφήνατο ὁ θεὸς νεκρότητι περιβαλών· τοῦτο γὰρ οἱ δερμάτινοι χιτῶνες σημαίνουσι ἀπὸ τοῦ λόγου τῆς τῶν ζώων νεκρότητος, ὅπως διὰ τῆς λύσεως τοῦ σώματος καὶ τῆς δέσεως ἡ ἁμαρτία πᾶσα αὐτοπρέμνως διαφθαρῇ.

[ΙΗ'] ΕΙΣ ΤΟ ΙΔΟΥ ΑΔΑΜ ΓΕΓΟΝΕΝ ΩΣ ΕΙΣ ΕΞ ΗΜΩΝ.

Εἴρηται δὲ ὑπὸ τοῦ θεοῦ τό· «ἰδοὺ, Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν, τοῦ γινώσκειν καλὸν καὶ πονηρόν», οὐχ ὡς προκόψαντος αὐτοῦ διὰ τῆς ἀπειθείας ἐπὶ τὴν τῆς ἀρετῆς τε καὶ κακίας γνῶσιν, ἀλλ' ὡς τοιούτου ἐξ ἀρχῆς πλασθέντος. Φθάσασα γὰρ εἶπεν ἡ γραφὴ, ὅτι «ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν». Ὁ δὲ πλασθεὶς κατ' εἰκόνα θεοῦ, δῆλον ὡς προκαταβεβλημένην εἶχεν ἐν τῇ φύσει τὴν γνῶσιν τοῦ καλοῦ τε καὶ**** πονηροῦ· διὸ ἵνα μὴ τῇ αὐτεξουσιότητι κέχρηται καὶ λάβῃ τοῦ ξύλου τῆς ζωῆς καὶ γένηται κακὸς ἀθάνατος, ἐξεβλήθη σὺν τῇ Εὔᾳ εἰς τὴν γῆν τῆς κτίσεως αὐτοῦ. Τί γὰρ μετὰ ταῦτα πάντα ἡ θεία γραφὴ φησιν; «Καὶ ἐξαπέστειλεν αὐτὸν Κύριος ὁ θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς ἐργάζεσθαι τὴν γῆν ἐξ ἧς ἐλήφθη· καὶ ἐξέβαλε τὸν Ἀδὰμ καὶ κατῴκισεν αὐτὸν ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς καὶ ἔταξε τὰ Χερουβὶμ καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην, φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς».

---

* εἰ ἐγεύσατο τοῦ τῆς ζωῆς ξύλου Leo grammaticus, P. V. — 3. κ. ἀθ. ᾖ L. T. P. — ** τοῦ παραδείσου ἐξοστρακίζεται, ὅπως μὴ γεύσηται τοῦ τῆς ζωῆς ξύλου καὶ ἀθάνατος διαμείνῃ Leo. — *** δὲ ἀ. — 6. νεκρώσεως Leo. — 7. δύσεως cod. — 13. Gen. I. 27. — **** τοῦ Leo. — 17. κεχρημένος μεταλάβῃ Leo. — 20. Gen. III. 23,24. — 23. τῆς τρ. τοῦ π. Leo.

[ΙΘ'] ΠΕΡΙ ΤΩΝ ΧΕΡΟΥΒΙ ΚΑΙ ΤΗΣ ΡΟΜΦΑΙΑΣ.

Μετὰ τὸ ἐκβληθῆναι τὸν ἄνθρωπον ἔξω τοῦ μακαρίου χωρίου, ἀκαταμάχητοι φρουραὶ καὶ λίαν ὑπέροπτοι φυλάττειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς ἐτάχθησαν, ὡς μηδένα τοῦ λοιποῦ ἰσχύειν παρελθεῖν ποσὶ βεβήλοις* ἐκεῖνον τὸν τόπον· καὶ γὰρ μάχαιρα φλογίνη ἐτέθη ἐκεῖ, ἐπὶ τῷ τὸν πλησιάζοντα, ἐξ ὕλης ὑπάρχοντα, (τῷ) πυρὶ φλεγόμενον ἀναλίσκεσθαι παρ' αὐτὰ καὶ ἀπόλλυσθαι· στρέφεται δὲ ἡ ῥομφαία, ἵνα ἐν τῇ παλιγγενεσίᾳ, ὅτε καὶ αὖθις ὁ ἄνθρωπος οἰκήτωρ γένηται τοῦ παραδείσου, τοὺς μὲν δικαίους φωτίσῃ παρερχομένους ἐπὶ τὸ θεῖον τῆς ἀθανασίας χωρίον, τοὺς δὲ ἀδίκους, εἴγε προσεγγίσαιεν, καταφλέξῃ. Καὶ αὐτόματα πάντα ἡ γῆ ἔφερε πρὸ τῆς παραβάσεως τοῦ Ἀδὰμ καὶ μετὰ τοῦτο· (καὶ ἡ γῆ) μηδὲν φέρειν πόνου χωρὶς ἐξεκελεύσθη. Ἐξελθὼν τοίνυν ὁ Ἀδὰμ σὺν τῇ Εὔᾳ ἐκ τοῦ παραδείσου καὶ συνελθὼν αὐτῇ, ἐγέννησε τὸν Κάϊν, εἶτα** τὸν Ἄβελ.

Η'

(208ᵃ) ΕΡΜΗΝΕΙΑ ΕΝ [ΣΥΝΤΟΜΩ ΑΠΟ ΑΔΑΜ [ΕΩΣ ΤΟΥ ΝΥΝ ΚΑΙΡΟΥ].

[α'] Ἀδὰμ ἐγέννησε τὸν Σήθ, Σὴθ τὸν Ἐνώς, Ἐνὼς τὸν Καϊνᾶν, Καϊνᾶν τὸν Μαλελεήλ, Μαλελεὴλ τὸν Ἰάρεδ, Ἄρεδ τὸν Ἐνὼχ,

---

* εἰς Leo, et sed deest etiam in ed. Cramerana (C.).—6. τὸ cod. et C.—7. τῷ om. Leo. — 9. ὁ ανος ἀ. Leo. — 11. τὸν — χῶρον Leo. — 12. προσεγγίσει cod. προσεγγίσειε C. — 13. Ἀ. δὲ Leo. — 14. καὶ ἡ γῆ om. Leo. — 15. χ. ἐκ. Leo. — ** μετ' αὐτὸν Leo. Cetera Georgius p. 24,27 seqq. exhibet e Genesi minori cf. Leo. 5,14 οὐ μόνον ταῦτα ἀλλὰ καὶ ὅσα ἐφεξῆς ἐκ τῆς Λεπτῆς Γενέσεως ἔχουσι τὰ Μακρὰ ἐπὶ κακίᾳ τοῦ Καΐν Non igitur haec sunt Sym. logothetae ut praecedentia XIX capita. — 19. Sic Interpres Slavonicus in полное собраніе русскихъ лѣтописей C. II. 1846 I. p. 246 cf. Chronographiam Nicephori patr.

Ἐνὼχ τὸν Μαθουσαλά, Μαθουσαλὰ τὸν Λάμεχ, Λάμεχ τὸν Νῶε, Νῶε τὸν Σήμ.

Εἰσὶν οὖν ἀπὸ τοῦ Ἀδὰμ ἕως τοῦ κατακλησμοῦ ἔτη ,β[σ]μβ'.

[β'] Μετὰ δὲ τὸν κατακλυσμὸν Σὴμ (208[b]) υἱὸς Νῶε ἐγέννησε τὸν Ἀρφαξὰδ, Ἀρφαξὰδ τὸν Καϊνᾶν, Καϊνᾶν τὸν Σάλα, Σάλα τὸν Ἔβερ, Ἔβερ τὸν Φαλὲκ, Φαλὲκ τὸν Ῥαγαῦ. Ἐν δὲ ταῖς ἡμέραις Φαλὲκ διεμερίσθη ἡ γῆ· κατὰ τοῦτον ἡ πυργοποιΐα συνέστη. Μετὰ Φαλὲκ Ῥαγαῦ γεννᾷ τὸν Σερούχ, Σερούχ δὲ τὸν Ναχὼρ, Ναχὼρ τὸν Θάῤῥα, Θάῤῥα γεννᾷ τὸν Ἀβραάμ. Ὁμοῦ ἔτη (ἀπὸ Ἀδὰμ ἕως Ἀβραὰμ ἔτη) ,γτιβ'.

[γ'] Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαὰκ, Ἰσαὰκ τὸν Ἰακὼβ, Ἰακὼβ τὸν Λευΐ, Λευΐ τὸν Κάαθ, Καάθ τὸν Ἄβραμ, Ἄβραμ τὸν Μωϋσῆν τὸν προφήτην. Μωϋσῆς ἐξάγει τὸν λαὸν ἐξ Αἰγύπτου.

Ἀπὸ Ἀβραὰμ ἕως τῆς ἐξόδου ἔτη φθ'.

[δ'] Ἀπὸ δὲ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἕως Δαυὶδ ἔτη χμα'.

[ε'] Δαυὶδ (δὲ ὁ βασιλεὺς) ἐγέννησε τὸν Σολομῶντα, κρατήσας τῆς βασιλείας ἔτη μ'. Σολομὼν ἐγέννησε τὸν Ῥοβοὰμ, βασιλεύσας ἔτη μ'. Ῥοβοὰμ ἐβασίλευσεν ἔτη ιζ', (Ἀβιᾶ ἔτη γ'), Ἀσᾶ ἔτη μ [α'] Ἰωσαφὰτ ἔτη λθ'. Ἐπὶ αὐτοῦ προφητεύει Μιχαίας καὶ Ἠλίας καὶ Ἐλισσαέ. Ἰωρὰμ ἐβασίλευσεν ἔτη θ', Ὀχοζίας ἔτος α', Γοθολία ἡ μήτηρ αὐτοῦ ἔτη ζ', Ἰωᾶς ἔτη μ', Ἀμασίας ἔτη κθ', Ἀζαρίας (ὁ καὶ Ὀζίας) ἔτη νθ', Ἰωάθ[αμ] ἔτος α', Ἄχαζ ἔτη ις', Ἐζεκίας ἔτη κθ', Μανασσῆς ἔτη·νε'. Ἐπὶ αὐτοῦ ἐκτίσθη τὸ Βυζάντιον. Ἀμὼς ἔτη [ι]β', Ἰωσίας λα', Ἰωάχαζ ἔτος α', Ἰωακεὶμ ἔτη ιδ', Ἰεχονίας ἔτος α', Ζεδεκίας ἔτη ιδ'. Τοῦτον ἐκτυφλώσας Ναβουχοδονόσορ, αἰχμάλωτον εἶλε. Καὶ ὁ ναὸς πυρπολεῖται ὑπὸ τοῦ Ναβουζαρδᾶν. Εἰσὶν ἀπὸ ἀρχῆς βασιλείας Σολομῶντος ἕως αἰχμαλωσίας Ἰουδαίων τῆς εἰς Βαβυλῶνα ἔτη φιθ'.

---

3. βμβ' etiam Slav. — 9. ἀπὸ Ἀ. ἑ. Ἀ. ἑ. om. Slav. — 10. ,γτκδ' Nic.— 14. φβ' Nic. — 15. [δ'] ἀπὸ δὲ τοῦ κακακλυσμοῦ ἔτη ,αφοδ', ὁμοῦ ἀπὸ Ἀδὰμ ἕως Δαυῖδ ἔτη δυξβ' (δύο) Slav.—16. χμθ'? χλ' Nic.—17. δὲ ὁ β. om. Slav.— 19. Ἀ. ἑ. γ' om. Nic. — 20. κε' Nic. — 22. ις' pro μ. Nic. — 23. ὁ καὶ Ὀ. om. Slav. — νβ' Nic. ut 4 Regg. XV. 1,2 Chr. XXVI. 3. — ἔτη ιζ' pro ἔτος α' Nic.—24. νβ' Slav.—22. Ἐλιακ. ἔτη ιβ' Nic.—26. ια' Nic. ut 4 Regg. XXV. 2.—28. Δαυίδ.?—19. υπη'? υμη' Nic.

[ς'] Ναβουχοδονόσορ ἐβασίλευσεν εἰς Βαβυλῶνα ἔτη κδ', Οὐλεμαροδὰχ υἱὸς αὐτοῦ ἔτη ε', Βαλτάσαρ (καὶ αὐτὸς υἱὸς Ναβουχοδονόσορ) ἔτη γ', Δαρεῖος (ὁ Ἀστυάγης ἐβασίλευσε πρῶτος Περσῶν ἔτη ιζ', Κῦρος ἔτη λβ', Καμβύσης ἔτη ιϑ', Δαρεῖος ἄλλος ἔτη κζ', Ἀρταξέρξης ἔτη λγ', Δαρεῖος ἔτη ιϑ', Ἀρταξέρξης ὁ μακρόχειρ ἔτη λδ', Ὦχος ἔτη κα', Ἀρσίσωχος ἔτη β', Δαρεῖος Ἀρσάμου ἔτη ς'. Τοῦτον ἀνελὼν Ἀλέξανδρος ὁ Μακεδὼν καὶ καταλύσας τὴν τῶν Περσῶν ἀρχὴν ἐβασίλευσεν ἔτη ιβ' καὶ ἐτελεύτησεν ἐν Βαβυλῶνι ἐτῶν λε'· ὑπέταξε βαρβάρων ἔϑνη κβ' καὶ φυλὰς Ἑλλήνων ιγ'.

Ὁμοῦ ἀπὸ τοῦ Ἀδὰμ ἕως τῆς τελευτῆς Ἀλεξάνδρου ἔτη ,ερπη'.

[ζ'] Μετὰ δὲ τὴν τούτου τελευτὴν Αἰγύπτου καὶ Ἀλεξανδρείας ἐβασίλευσεν Πτολεμαῖος ἔτη κδ', Πτολεμαῖος ὁ φιλάδελφος ἔτη λ'. Ἐπὶ τούτου αἱ παρ' Ἑβραίοις ἱεραὶ βίβλοι εἰς τὴν Ἑλλάδα φωνὴν μετεβλήϑησαν. Πτολεμαῖος ὁ εὐεργέτης ἔτη κε', Πτολεμαῖος ὁ φιλοπάτωρ ἔτη ιζ', Ἐπιφανὴς ἔτη κγ', ὁ Φιλομήτωρ ἔτη λε', ἄλλος Εὐεργέτης ἔτη κϑ', Φίσκος ἔτη ιζ', Σιδηρίτης ἔτη ζ', Ἀλέξανδρος ἔτη γ', Πλοτεμαῖος ὁ σωτὴρ ἔτη η', Διονύσιος νέος ἔτη κη', Κλεοπάτρα ἔτη κβ'. (1) Τῷ γ' ἔτει ταύτης πρῶτος ἐμονάρχησεν ἐννομος Γάϊος Ἰούλιος Καίσαρ ἀφ' οὗ Καίσαρες οἱ ἑξῆς βασιλεῖς ἤρξαντο καλεῖσϑαι (οὗτος ἐβασίλευσεν Ῥώμης ἔτη) δ'· (2) ὁ Αὔγουστος ἔτη νς'. Τῷ ιε' ἔτει τῆς αὐτοῦ βασιλείας (209ᵃ) Κλεοπάτραν ἀνελὼν καϑεῖλε τὴν τῶν Πτολεμαίων ἀρχήν, οἳ ἐβασίλευσαν ἔτη σή'.

Γίνονται οὖν [τὰ] πάντα ἀπὸ Ἀδὰμ ἕως ἀρχῆς βασιλείας Αὐγούσ-

---

2. καὶ ἀ. ὑ. N. om. Slav. quum Nicephorus LXX annos enumeret sine nominibus regum. — 3. ὁ Ἀ. ἐβ. πρ. Π. om. Slav. — 4. λα' Slav. λ' Nic. pro λβ'—κϑ' Slav. pro ζ', β' Nic. pro ιϑ'.—κη' Slav. pro λς' Nic. post quem desunt in codice Mosq. Xerxis XX anni (XXVIII Nic.).—5. μα' Nic. pro λδ'—ϑ' Slav. sed ιϑ' Nic.— 6. Ἀρσῆς Ὦχου ἔτη δ' Nic.— 9. λβ' Slav. — 11. ἕως τελ. Ἀ. Nic. ἕως Ἀ. Slav. — 12. ,ερξζ' Nic. — 14. μ'—λη' Nic.—15. ἑλλάδ. cod.—17. κς' pro κγ' Nic.— 18. Φούσκων Nic. — Σ. ἐ. ϑ'. Slav., om. Nic. Πτολεμαῖος ὁ Ἀλ. ἔτη ι'. Πτ. ὁ ἀδελφὸς αὐτοῦ ἔτη η' Nic. — Πτ. ὁ καὶ Δ. ἐ. λ' Nic. Δ. κϑ' Slav. — 21. προσηγορεύϑησαν Nic. unde glossema post ἡ. κ. in cod. Προσίγμος e compendio male lecto, a Slavonico repetitum, qui om. ὁ. ἐβ. Ῥ. ἔτη Nic. om. Ῥώμης. — 24. σρς' Nic. sed sunt σξη'. — ' καὶ μῆνας ς' Nic. unde cod. correxit a prima manu νζ'.

του κατὰ τοὺς ἀκριβεῖς χρονογράφους ἔτη ,ευνζ'. [η'] Τῷ δὲ μγ' ἔτει τῆς αὐτοῦ βασιλείας ἐγεννήθη τὸ κατὰ σάρκα ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀεὶ παρθένου Μαρίας· Κυρῖνος δὲ ὑπὸ τῆς συγκλήτου βουλῆς ἀποσταλεὶς εἰς τὴν Ἰουδαίαν ἀπογραφὰς ἐποιήσατο τῶν οὐσιῶν καὶ τῶν οἰκητόρων.

Γίνονται οὖν ἀπὸ τοῦ Ἀδὰμ ἕως τῆς ἐνανθρωπήσεως τοῦ (Κυρίου ἡμῶν Ἰησοῦ) Χριστοῦ ἔτη ,εφ'.

[θ'] (3) Μετὰ Αὔγουστον ἐβασίλευσε Τιβέριος ἔτη κβ'. Τῷ ιε' ἔτει τῆς αὐτοῦ βασιλείας, τῆς εὐαγγελικῆς διδασκαλίας ἄρχεται ὁ Κύριος (ἡμῶν Ἰησοῦς Χριστός). Τῷ ιθ' ἔτει ἔπαθεν (ὁ Κύριος ἡμῶν) ὑπὲρ ἡμῶν τὸ ἑκούσιον πάθος.

Ὁμοῦ ἀπὸ Ἀδὰμ ἕως τοῦ σωτηρίου πάθους καὶ τῆς ἁγίας αὐτοῦ ἀναλήψεως ἔτη ,εφλγ'.

[ι'] (4) Μετὰ Τιβέριον ἐβασίλευσε Γαΐος ἔτη δ', (5) Κλαύδιος ἔτη ιδ', (6) Νέρων ἔτη ιδ' καὶ φυγὼν ἑαυτὸν ἔχωσε ζῶντα, (7) Οὐεσπασιανὸς ἔτη ι'. Ἐν ἔτει β' τῆς αὐτοῦ βασιλείας γέγονεν ἡ ἅλωσις τῆς Ἱερουσαλὴμ ὑπὸ τοῦ υἱοῦ αὐτοῦ Τίτου μετὰ μ' ἔτη τῆς τοῦ Κυρίου ἀναλήψεως. (8) Τίτος (ἐβασίλευσεν) ἔτη γ' *, (9) Δομετιανὸς ἔτη ιε', (10) Νερούας ἔτος α', (11) Τραϊανὸς ἔτη ιη', (12) Ἀδριανὸς ἔτη κα', (13) Τίτος Ἀντώνιος (ὁ ἐπικληθεὶς εὐσεβὴς) ἔτη κ[β'], (14) Μάρκος υἱὸς αὐτοῦ ἔτη ις', (15) Ἀντώνιος (ὁ καὶ) Βῆρος ἔτη ζ', (16) Κόμοδος ἔτη ιβ', (17) Ἀντώνιος ἄλλος ἔτη δ', (18) Σεβῆρος ἔτη ιη'. (Ἐπὶ αὐτοῦ Δεωνίδης ὁ πατὴρ Ὠριγένους ἐμαρτύρησεν **. (20) Ἀλέξανδρος ὁ Μάμαλος ἔτη ιγ', (21) Μαξιμῖνος ἔτη ς', (22) Φίλιππος ἔτη ς', (23) Δέκιος ἔτος α',

---

1. μβ' Nic.—6. κῦ ἡ. ιῦ om. Slav.—8. κγ' Nic. — 10. ἡ. ῖς χ̃ς om. Slav. — ἐπ. ἐν Ἰλῆμ ὑπὲρ Nic.—ὑ. ἡ. om. cod. a prima manu; secunda adjungit in margine σωτήριον τοῦ κόσμου μὴ. Μαρτ. κε'.... e Nic. — 17. ὑπὸ τῶν Ῥωμαίων Slav. — 18. ἐβ. om. Slav. et Nic. — * καὶ μῆνας γ' Nic. — 20. Ἀντωνῖνος Nic. ter. — ὁ ἐπ. ἐπ. ἐ. om. Slav. — 21. θ' pro ις' Nic. et ο καὶ om. cum Slav. — 22. ιβ' Nic. — ιγ' Nic. pro ζ'—(17) Αἴλιος Περτίναξ μῆνας ς'· ἐσφάγη ἐν τῷ παλατίῳ Σε. Nic. — 23. Ἐπὶ τῆς τούτου βασιλείας Α. ὁ π. Ὠ. τοῦ κακόφρονος ἐμ. καὶ Ἱππόλυτος ὁ Ῥωμαῖος συγγραφεὺς ἤκμαζε καὶ Γρηγόριος ὁ θαυματουργὸς καὶ Κλήμης ὁ Ἀλεξανδρεὺς Nic. om. Slav.— ** (19) Ἀντωνῖνος μῆνας β' Slav. Ἀ. ὗς Σευήρου ἔτη ζ', ἐσφάγη μεταξὺ Βαΐων καὶ Ἐδέσης. (20) Μακρῖνος ἔτος α', ἐσφάγη. (21) Ἀντωνῖνος ὁ Ἡλαγάβαλος ἔτη δ'. ἐσφάγη ἐν Ῥώμῃ Nic. — 24. Μαμμαίας Nic.

(24) Αὐριλλιανὸς ἔτη ς', (25) Πρόβος ἔτη ζ', (26) Κάρος ἔτη β', (27) Διοκλητιανὸς (καὶ (28) Μαξιμιανὸς ἔτη) κ'.

[ια'] Ἀρχὴ [τῆς] χριστιανῶν βασιλείας· (29) Κωνσταντῖνος ὁ μέγας ἔτη λβ'. Τῷ ιβ' ἔτει τῆς αὐτοῦ βασιλείας γέγονεν ἡ ἐν Νικαίᾳ συνόδος ἐν ἔτει τιη' ἀπὸ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου. Ἐτελεύτησε δὲ ὁ μέγας Κωνσταντῖνος ἐτῶν ξϑ', καταλείψας γ' υἱούς, (30) Κώνσταντα, (31) Κωνσταντῖνον καὶ (31) Κωνστάντιον. (Ἐν μὲν τῇ Ῥώμῃ ἐβασίλευσεν Κώνστανς, ἐν δὲ τῇ νέᾳ Ῥώμῃ Κωνσταντῖνος, ἐν Ἀντιοχείᾳ Κωνστάντιος), οἵτινες ἐβασίλευσαν ἔτη κδ', (33) Ἰουλιανὸς ὁ παραβάτης ἔτη β', (34) Ἰουβιανὸς μῆνας ϑ', (35) Οὐαλεντινιανὸς ὁ μέγας ἔτη ιϛ', (36) Οὐάλις (ἔτη δ',) (37) Γρατιανὸς ς', (38) Οὐαλεντινιανὸς (ὁ μικρὸς ἔτη) ιε', (39) Θεοδόσιος ὁ μέγας ἔτη ιϛ', ἐφ' οὗ γέγονεν ἡ β' σύνοδος (ἐν Κ. Π.) (40) Ἀρκάδιος (ὁ υἱὸς Θεοδοσίου ἔτη) δ', (41) Θεοδόσιος ὁ μικρὸς ἔτη μβ', ἐφ' οὗ γέγονεν ἡ γ' σύνοδος (ἐν Ἐφέσῳ), (42) Μαρκιανὸς ἔτη ς', ἐφ' οὗ ἡ δ' σύνοδος γέγονεν (ἐν Καλχηδόνι), (43) Λέων ὁ μέγας ἔτη ιη', * (45) Ζήνων ἔτη ιζ', (46) Ἀναστάσιος ἔτη κζ', (47) Ἰουστῖνος ὁ Θρᾷξ ἔτη ϑ', ** (49) Ἰουστῖνος ἄλλος ἔτη ιγ', ἐφ' οὗ ἡ ε' σύνοδος γέγονεν (ἐν Κ. Π.), (50) Τιβέριος ἔτη γ', (51) Μαυρίκιος ἔτη κ', (52) Φωκᾶς ἔτη η', (53) Ἡράκλειος ἔτη λ', (54) Κώνστανς υἱὸς Ἡρακλείου ἔτη (κζ', (50) Κωνσταντῖνος ἔγγονος Ἡρακλείου ἔτη) ιζ', (56) Ἰουστινιανὸς (ὁ υἱὸς αὐτοῦ ἔτη) ι', (57) Λεόντιος ἔτη γ', (58) Τιβέριος ὁ καὶ Ἀψίμαρος ἔτη ζ', Ἰουστινιανὸς (τὸ β' ἔτη) ς', (59) Φιλιππικὸς ἔτη β', (60) Ἀναστάσιος ὁ

---

2. καὶ M.ἑ. om. Slav. — 23. Hanc codicis rubricam omittunt Nic. et Slav. — 4. λα' Nic. Slav. τῷ κ' Nic. — Ἐπὶ τούτου γ. ἡ α' σ. ἀπὸ τῆς ἐν τοῦ κ. ἡμῶν ἕως τῆς α' συνόδου τιη' ἁγίων πατέρων εἰσὶν ἔτη Slav. Τῷ κ' ἔτει τῆς ἀ. β. γ. ἡ α' ἁγία σ. τῶν τιη' ἁγ. π. τῶν ἐν Ν. τῶν Βιϑυνῶν ἑ. τιη' (τ'?) ἀπὸ τῆς τοῦ κῦ ἡ. ἐν. ἀπὸ δὲ τοῦ τιμίου πάϑους καὶ τῆς ἐνδόξου ἀναστάσεως αὐτοῦ ἔτη οπε' Nic. — 6. ξε' Nic, Slav. — 7. καὶ ἐν μὲν τῇ πρεσβυτέρᾳ Ῥ. Κῶνσταν βασιλέα, ἐν δὲ τῇ ν. Ῥ. Κωνσταντῖνον, ἐν Ἀ. δὲ Κωνστάντιον Nic. om. Slav. — 11. Ὁ. ὁ μ. καὶ Ὁ. ἔτη ι' Nic. Slav. — Ὁ. Γ. Slav., om. Nic. — 12. ὁ νέος Nic. om. Slav. — ις' καὶ μῆνας γ' Nic. — 13. ἐν Κ. Π. om. Slav. — 14. ὁ υ. Θ. ἑ. om. Slav. ιγ' Nic. pro δ'. — 15. ἐν Ἐ. om. Slav. — 16. ἐν Κ. om. Slav. — * (44) Λέων ὁ μικρὸς ἔτος α'. — ** (48) Ἰουστινιανὸς ὁ μέγας ἔτη λϑ', ἐφ' οὗ γέγονεν ἡ ε' σύνοδος ἐν Κ. Π. — λη' Nic. — 19. ἐν Κ. Π. om. Slav. — 21. Κωνσταντῖνος υ. Ἡ. ἔτη ιζ' Slav. — 22. Ἰουστῖνος cod. — ὁ ὃς ἀ. ἑ. om. Slav. — 23. Λέοντιος ἑ. ι' Nic. — 24. τὸ β' ἑ. om. Slav.

καὶ Ἀρτέμιος ἔτη β', (61) Θεοδόσιος ἔτος α', (62) Λέων ὁ καὶ Κόνων, πρῶτος τῶν εἰκονομάχων, (ἔτη κε', μῆνας γ',) (63) Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ ἔτη η', (64) Λέων ὁ υἱὸς Κωνσταντίνου ἔτη ε', (65) Κωνσταντῖνος σὺν τῇ ὀρθοδόξῳ μητρὶ αὐτοῦ Εἰρήνῃ ἔτη ι', Τούτων (ἔτος η') γέγονεν ἡ ἐν Νικαίᾳ σύνοδος τὸ β'. (66) Κωνσταντῖνος μόνος ἔτη η', (67) * ἡ μήτηρ αὐτοῦ Εἰρήνη πάλιν ἔτη ε', μῆνας β', (68) Νικηφόρος ἔτη ζ' (μῆνας θ'), (69) Σταυράκιος (ὁ υἱὸς αὐτοῦ ἔτος) α', μῆνα α', (70) Μιχαὴλ ἔτος α', μῆνας θ', (71) Λέων ἔτη ζ', μῆνας ε', (72) Μιχαὴλ ἔτη η', μῆνας θ', (73) Θεόφιλος * ἔτη ιβ', μῆνας γ'. [ιβ'] (74) Θεοδώρα ἡ γυνὴ αὐτοῦ καὶ Μιχαὴλ ὁ υἱὸς αὐτοῦ ἔτη (κς'?), (75) (209[b]) Βασίλειος ὁ Μακεδὼν ἔτη ιθ', (76) Λέων ὁ υἱὸς αὐτοῦ ἔτη κζ', (77) Ἀλέξανδρος [ὁ ἀδελφὸς Λέοντος] ἔτος α', μῆνα α', (78) Κωνσταντῖνος, ὁ υἱὸς Λέοντος μετὰ τῆς μητρὸς αὐτοῦ Ζωῆς ἔτη ζ', (79) Ῥωμανὸς ὁ Ἀρμενιακός, ὁ πενθερὸς αὐτοῦ τοῦ Κωνσταντίνου, ἔτη [κ]ζ', (80) Κωνσταντῖνος ὁ [βασιλεὺς πορφυρογέννητος, αὐτοῦ τὸ β', ἔτη ιέ, (81) Ῥωμανὸς ὁ υἱὸς Κωνσταντίνου ἔτη γ', μῆνας δ', (82) Βασίλειος καὶ Κωνσταντῖνος οἱ υἱοὶ Ῥωμανοῦ μετὰ τῆς μητρὸς αὐτῶν Θεοφανοῦς, μῆνας ς', (83) Νικηφόρος Καππάδοξ ὁ Φωκᾶς ὁ εὐσεβὴς καὶ φιλοδίκαιος, ἔτη ς', μῆνας δ', (84) Ἰω. ὁ Τζιμισχὴς ἔτη γ', (85) Βασίλειος ὁ υἱὸς Ῥωμανοῦ τοῦ ποιήσαντος τὰ ἰσοκοδ[ίκια] καὶ τὴν μεγάλην νεαράν, ἐβασίλευσε τὸ β', ἔτη νγ', (86) Κωνσταντῖνος ὁ ἀδελφὸς αὐτοῦ ἔτη γ', (87) Ῥωμανὸς ὁ Ἀργυρὸς ἐν τῇ κολυμβήθρᾳ τῶν Βλαχερνῶν πνιγείς, ἔτη [ε'], (87) Μιχαὴλ ὁ Παφλαγὼν διὰ συνεργείας Ἰωάννου ἀδελφοῦ αὐτοῦ ὀρφανοτρόφου, ἔτη ζ', μῆνας γ', (79) Μιχαὴλ, ὁ ἀπὸ Καισαρείας ὁ ἀνεψιὸς αὐτοῦ ὁ Καλαφάτος, ὁ τυφλωθεὶς ἐν τῷ Σίγματι παρὰ Νικολάου ἐπάρχου τοῦ καὶ παρακοιμωμένου καὶ τῶν λοιπῶν ἀρχόντων, μῆνας θ', (90) Κωνσταντῖνος ὁ μονομάχος

---

1. A. K. α' (πρῶτος) τῶν ἑ. Κων. Slav.—3. (63) ιη' Slav. λδ' Nic.—4. γ' Slav.—5. ἔτει ὀγδόῳ Nic. om. Slav. — ἡ ς' σ. Slav. — 6. * Μιχαὴλ καὶ cod.? Εἰρήνη ἡ μ. ἀ. ἔτη ε', μ. β', ἡ. β' Nic. — 7. μ. θ' om. Slav. — 8. ὁ ὡς ἀ. ἑ. om. Slav. — μῆνας β' Nic. Slav. pro ἔτος α' μ. α'. — * Τρόφορος? Slav. ὁ υἱὸς αὐτοῦ Nic. — 10. ιζ, μ. ν'. Slav. qui h. l. desinit, quum Nic. 754,18 cum Theophilo quidem desinat in ind. 5[a], sed 753,20 ad Basilii initium continuatus sit.

ἔτη ιβ', μῆνας ς', (91) Μιχαὴλ ὁ ἀπὸ Βασιλ[είου] ἔτος α', (92) Θεοδώρα ἡ πορφυρογέννητος ἔτη β'.

(93) Ἰσαάκιος ὁ Κομνηνὸς ἔτη γ' καὶ νοσήσας ἀπεκάρη προβαλλόμενος βασιλέα Κωνσταντῖνον τὸν Δοῦκα, αὐτὸς δὲ ἐμονάχησεν ἐν τοῖς Στουδίου. (94) Κωνσταντῖνος ὁ Δοῦκας ἔτη η', μῆνας· γ' καὶ τελευτῶν κατέλιπε βασιλεύειν μετὰ φρικτῶν ὅρκων καὶ ἰδιοχείρων συνόδου τε καὶ τῆς συγκλήτου τὴν γυναῖκα αὐτοῦ καὶ τοὺς παῖδας. (95) Εὐδοκία ἡ τοῦ Δουκὸς ἐβασίλευσε μετὰ τῶν τέκνων αὐτῆς ἔτη γ' καὶ ἔλαβεν ἄνδρα τὸν Διογένην ἀναγορεύσασα τοῦτον βασιλέα· (96) καὶ ἐκράτησεν ἀπὸ Ἰανουαρίου μηνὸς ἔτους ,ςφος' ὁ αὐτὸς Ῥωμανὸς ὁ Διογένης, ἐβασίλευσε χρόνους γ'· στρατεύσας δὲ κατὰ Περσῶν διαφόρως, ἐν τῇ γ' αὐτοῦ ἐκστρατείᾳ ἐκρατήθη αἰχμάλωτος παρὰ τοῦ Σουλτάνου τῶν Τούρκων. (97) Τοῦτο δὲ μαθοῦσα Εὐδοκία ἡ δέσποινα γράφει πρὸς τὰ θέματα καὶ τὰ κάστρα τοῦ μὴ δέξασθαι αὐτὸν, εἰ διασωθείη ἀπὸ τῆς αἰχμαλωσίας, ἀλλ ἐξουθενεῖν αὐτὸν καὶ ἀποβδελύττεσθαι. (98) Καὶ αὖθις ἀπεκτεστάθη Μιχαὴλ ὁ Δοῦκας ἅμα τῇ μητρὶ αὐτοῦ Εὐδοκίᾳ, (99) ἣν καὶ καταβιβάσας τοῦ παλατίου ἀπέκειρε μοναχὴν, μοναρχήσας αὐτὸς καταλειφθείς. Καὶ κρατήσας χρόνους ις' καταβιβάζεται παρὰ Νικηφόρου τοῦ Βοτονιάτου, ὃς καὶ ἐκράτησε χρόνους γ' καὶ κατεβιβάσθη παρὰ τοῦ κυρίου Ἀλεξίου, (100) ὃς καὶ ἐβασίλευσε κατὰ τὴν β' τοῦ Ἀπριλλίου μηνὸς ἰνδ. δ' τοῦ ,ςφπθ' ἔτους καὶ ἐβασίλευσεν ἔτη λζ', μῆνας έ. (101) Ἰω. ὁ πορφυρογέννητος ὁ υἱὸς αὐτοῦ ἐβασίλευσε μηνὶ Αὐγούστῳ· ἰνδ. ια' ἔτους ,ςχκς' καὶ ἐβασίλευσεν ἔτη κε'*.

[Ἔστι] δ[ὲ] καὶ [τοῦτο περὶ τῶν βασιλέων τῶν Ῥωμ.] γεγραμ-
Ῥωμανὸς Νικηφόρος Ἰω. Τζιμισκῆς Βασίλειος Κωνσταντῖνος Ῥωμανὸς
μένον· Ῥομφαία Νικητοῦ | ἰωμένη [β]λάπτουσα κόσμον· δόπαλον,
Μιχαὴλ Μιχαὴλ Κωνσταντῖνος? [Μιχαήλ?]
μικρὸν μικρὸν | κόσμου λύτρα φέρεις. Ἀπὸ τοῦ κυρίου Ἀλεξίου

17. ς'? — * Scl. usque ad annum 1143, quo imperium suscepit filius ejus Manuel cujus mortem (1180) scriptor haud compertam habuit, quum numero annorum imperatorum inde ab Isaacio Comneno sibi ignotum esse dicat et imperatores inde a Julio Caesare nuncupet.

Κομνηνοῦ γ' εἰσὶν ἕτεραι βασιλείαι, ὧν ὁ ἀριθμὸς ἀποκεκρυμμένος τυγχάνει· τελευταῖον, ὡς τὸ ἱστορικὸν φησιν, ἀπὸ τῶν ὧδε μέχρι τῆς συντελείας διὰ ἡ λέγοντ[αι]· εἰ[σιν] αἱ τῶν μελλόντων βασιλείαι, [αἱ] τοῦ ἀντιχρίστου, ἕτερος ἱστορικός φησίν· [καὶ] ἐμοῦ τὸ
5 [τῶν βασιλέων] ρα

Atramento nigro et manu recentiori:

..ἔλαβα...ρρ..ει νοεβρίου [ετει]λϚ νωκαρα τὸν πολέμιον ἐπὶ ἔτος ςχξα'. νοεμβρίῳ ι[γ'] ἡμέρᾳ παρασκευῆς. [13 Nov. 1153, Veneris die].

ΠΙΝΑΞ ΤΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΕΞ ΩΝ ΠΑΡΕΞ ΤΗΣ ΑΠΑΣΗΣ ΓΡΑΦΗΣ ΤΟ ΧΡΟΝΙΚΟΝ ΣΥΝΤΕΘΕΙΤΑΙ Η ΩΝ ΜΝΗΜΟΝΕΥΕΙ.

Α.

Ἀθανάσιος 41, 249? 423, 427, 573? 580, 602.
Ἀκύλας 19.
Αλεξανδρεὺς ἐξηγητής.
Αναστάσιος Ἀντιοχείας 186, 334.
ὁ Σκαΐτης 129, 186.
Ἀριστοτέλης 599?
Ἀφρικανός 29, 168, 243.
Βασίλειος ὁ μέγας 6, 30, 99, 147, 203, 252, 492? 510? 587 (ad lapsum 43).
Βίος τοῦ ἁγίου Παύλου τοῦ Θηβαίου 374.
τοῦ Σιλβέστρου 382, 390.
Γελάσιος ὁ Καισαρείας 378.
Γένεσις λεπτή 903.
Γεώργιος 4, 7, 15, 81, 85, 721.
Γρηγόριος ὁ Θεολόγος 177, 209, 257, 302, 356, 446, 449, 454, 479, 708.
ὁ διάλογος 584.
Διάδοχος 585.
Διατάξεις τῶν ἀποστόλων 155, 168, 171, 175, 310, 357, 416.
Διονύσιος Ἀρεοπαγίτης 163, 250, 251, 425? 585.
Ἐπιφάνιος 162, 348.
Εὐπόλεμος 29 (Scriptor anni 160 a. Chr. a Josepho, Clemente Al. et Hieronymo laudatus).
Εὐσέβιος Παμφίλου 29, 34, 91? 140? 206, 222? 242 — 248? 278, 325, 336, 377, 387, 632, 689,
Εὐστράτιος 581.
Ἐφραΐμ ὁ Σύρος 603.
(Ἡγήσιππος 279—281).
Ἡρῴδης χρονογράφος 428.
Ἡσίοδος 29, 30.
Θεοδοτίων 215.
Θεοδώρητος 127, 129, 145, 183, 221, 261, 322, 323, 368? 508.
Θεόδωρος ὁ Ῥαϊθοῦ 363.
Θεότεκνος, ὑπομνήματα Χριστοῦ, 378.
Θρακήσιος (Ἰω. Σκυλίτζης) 883.
(Ἰούλιος Πολυδεύκης 902).
(Ἰουστῖνος 43.)
Ἰοῦστος 29.
Ἱππόλυτος Ῥώμης 336.
χρονογράφος 428?
Ἰσίδωρος 100, 111, 419, 430, 483, 492? 496.
Ἰωάννης Χρυσόστομος 35, 71? 76, 84? 101, 106, 113, 149, 157, 160, 169, 218?

240, 258, 299? 303? 330, 480, 491? 527, 544, 578? 586 (in Matth. LIV) 601? 642.
Ἰώσηπος 7, 29, 31, 34, 66, 71, 80, 90, 91, 133, 134, 141, 142, 168, 174, 221, 223, 228, 232, 234, 240, 243 — 246, 280, 300, 302, 309, 311, 599?
Καισάρειος 26, 27, 337.
Κλήμης ὁ Ῥωμαῖος 66, 241, 270—275.
ὁ στρωματεύς 29.
Κύριλλος ὁ Ἱεροσολύμων 61? 71, 224, 225, 439, 441.
Κύριλλος ὁ μέγας 110, 324, 325, 533, 546.
Λογοθέτης ὁ Συμεών 81, 721, 851, 902.
Μάρκος ὁ τοῦ Χρυσοστόμου μαθητής 72.
Μαρτύριος Ἀντιοχείας 582.
Μάξιμος 351, 583.
Νεῖλος 254, 584, 586.
Νικηφόρος πατριάρχης Κ. Π. 163, 636 683.
Ξενοφῶν 265.
Ὅμηρος 30.
Παῦλος ὁ Θηβαῖος 374.
Πλάτων 58, 59, 64, 62, 262—264, 263? 328, 530.
Πλούταρχος (Παραλλ.) 54.
Προκόπιος 548.
Σιλουέστρου πράξεις 382, 390.
Σωκράτης ὁ ἱστορικός 277.
Σύμμαχος 32, 910.
Τατιανός 29.
Τερτυλιανός 235.
Φίλων 240, 243, 246 — 248, 251, 430? 431?
(Φλέγων, ὀλυμπιάδες 283).
Ψελλός 883.
Ὠριγένης 29, 38.

ΩΝΟΜΑΤΟΛΟΓΙΟΝ.

Α.

Ἀαρών אַהֲרֹן 80—89, 154, ἀρχηγός, βασιλεὺς τῶν Ἀράβων 660, 663, 674.

Ἀβαλβάνης 791.

Ἀβαρείμ עֲבָרִים διάβασις 90.

Ἄβαρεις 565, 567.

Ἄβαροι 554, 562.

Ἀββᾶς 246.

Ἄβγαρος 235, 633, 687.

Ἀβδεραχμάν 621.

Ἀβδίου עֹבַדְיָהוּ δοῦλος θεοῦ 179, 424.

Ἀβδών עַבְדּוֹן δοῦλος 107.

Ἀβέλ הֶבֶל πένθος, 4, 6, 31, 65, 272, 493.

Ἀβεσσά אֲבִישַׁי πατὴρ δώρου 125.

Ἀβεσσαλώμ אַבְשָׁלוֹם πατὴρ εἰρήνης 129, 131, 415, 802.

Ἀβιά אֲבִיָּה ὁ πατήρ μου θεός 117, 131.

Ἀβιάθαρ אֶבְיָתָר 118.

Ἄβιβος, ὁ ἄγιος 401.

Ἀβιμέλεχ אֲבִימֶלֶךְ πατὴρ βασιλέως 66, 105, 118. אֲחִימֶלֶךְ ἀδελφὸς βασιλέως 615.

Ἀβῖτος, Avitus 352.

Ἀβραάμ, Ἄβραμ, אַבְרָהָם πατὴρ πλήθους, אַבְרָם πατὴρ ὕψους 29, 64 — 70, 252, 258, 272, 273.

Ἄβυδος 637, 652, 783.

Ἀγαμέμνων 805.

Ἀγαρηνοί 8, 75, 705, 755, 806.

Ἀγράναι 756.

Ἀγαθάγγελος, ὁ ἅγιος 372.

Ἀγάθη 854.

Ἀγαθόνικος, ὁ ἅγιος 401.

Ἀγαθός 795.

Ἀγάθων 611.

Ἀγαλλιανός 747.

Ἀγαπητὸς, ὁ ἅγιος 371, 372.

Ἄγαρ הָגָר φυγοῦσα 73.

Ἀγγαῖος חַגַּי ἑορτάζων 179.
Ἀγγουρία 902.
Ἀγένωρ 11.
Ἀγησίλαος 265.
Ἀγίων (widow?) 770
Ἀγκίαλος 624, 651.
Ἄγκυρα 170, 215, 452.
Ἀγρίππας, βασιλεύς 227, 228, 239, 268, 282.
ὕπαρχος 269.
Ἀγχίαλος 663.
Ἀγχοῦς אָבִישׁ εὔθυμος 121.
Ἀδάμ אָדָם ἄνθρωπος 4, 7, 28, 31, 271, 272, 907.
Ἀδάμου τάφος 602.
Ἀδδώ יְעִדִי εἰδώς 179.
Ἀδελφιός, ὁ ἅγιος 439, ἐπίσκοπος 497.
Ἄδερ דֶּדֶר ὀλολύζων 145, 183, 185.
Ἀδινών עֲדִינוֹן τυφερός 124.
Ἀδραξάρ, Ἀδαδέζερ חֲדַדְעֶזֶר κόσμος βοηθός 145.
Ἀδριάλεστος 818.
Ἀδρίας, Ἀδριατικὸν πέλαγος 40, 462, 463
Ἀδριακή 40.
Ἀδριανός, βασιλεὺς 43, 311—343.
πάπας 665, ὁ ἅγιος 726.
πατρίκιος 841.
Ἀδριανούπολις 340, 459, 680, 724, 805, 823, 899.
Ἀδωναΐ אֲדֹנָי ἄρχων 156.
Ἀδωνιβέζεκ אֲדֹנִי־בֶזֶק κύριος ἀστραπῆς 103.
Ἀειθαλεύς, ὁ ἅγιος 361.
ἀερόλιθος 506.
Ἀέτιος 667, 671, 713.
Αἰγαῖον πέλαγος 463, 783.
Αἰγίδης 802.
Αἴγισθος 803.
Αἰγύπτιοι, Αἴγυπτος 11, 17, 25, 28, 29, 34, 40, 43, 50, 53, 56, 67, 70, 71, 101, 129, 138—140, 152, 172, 193, 194, 207, 214, 242, 257, 258, 261, 277, 304, 371, 372, 446, 455, 472, 473, 496, 500, 502, 566.
Αἰθιοπία, Αἰθίοψ 7, 40, 88, 129, 257, 348, 524, 566, 576.
Ἀζαήλ חֲזוֹאֵל θεὸν θεωρῶν 179.
Ἀζαρίας עֲזַרְיָה βοήθεια θεοῦ 153, 156, 159, 179, 189.
Ἀζούρα 4.
Ἄζωτος אַשְׁדּוֹד ἡ πλουτοῦσα, ἄρχουσα 216.
Ἀθανάσιος, ὁ Ἀλεξανδρείας 412, 420—425, 428, 452, 454, ὁ ἐν τῷ Ἄθῳ 861 ὁ Ἰακωβίτζης 568.
Ἀθηνᾶ, Ἀθήνη 43, 68.
Ἀθῆναι 168, 361, 437, 449, 502, 654, 671, 770, 779, 806.
Ἀθηναῖς 502.
Ἀθηναῖος 140, 168.
Ἀθηνόδωρος, ὁ ἅγιος 372.
Ἀλεξανδρεύς 214.
Ἴσαυρος 522.
Ἀθηνόγνωτος, ὁ ἅγιος 372.
Ἄθως 861.
Ἅλυς 13, 734.
Ἀμάζονες 28, 40.
Ἀμάν חָמָן μόνος 196.
Ἀμάντιος, Ἄμαντος Amantius 512, 524.
Ἄμαστρις 623.
Ἀμβακούμ חֲבַקּוּק περίλημμα 161, 197.
Ἀμβρόσιος, ἐπ. Μεδιολ. 460, 463, 476—479.

Ἀμβρόσιος, σύγχρονος Ὠριγένους 346.
Ἀμεζίας אֲמַצְיָהוּ θεοῦ κράτος 155.
Ἀμιναδάμ עַמִּינָדָב ἀρχέλαος 204.
Ἀμμανίτης עַמּוֹן λαογενής? 73, 107, 128, 144—146, 591.
Ἀμνία 662.
Ἀμορβαῖος אֱמֹרִי 54, 91, 101, 144, 167, 273.
Ἀμόριον 628, 645, 674, 701, 712.
Ἀμράμ עַמְרָם λαὸς ὑψηλός 80.
Ἀφιλόχιος 475.
Ἀμώς אָמוֹץ ἰσχύς 124.
אָמוֹן τιθηνός 170—172.
עָמוֹס βάρος 179.
Ἀναβαλλιανός 429.
Ἀναγαβαῖος עַוִּים 190.
Ἀνανί, Ἀνανίας חָנָנִי ὁ οἰκτίρμων 116, 152, 236.
Ἀνάνιλος 219.
Ἀνάπλους 401, 512, 517, 521.
Ἀνάργυροι, οἱ ἐν Ῥώμῃ ἅγιοι ἰατροί 371, 516.
Ἀναστασία, ἡ ἁγία 473, 512, 553, 730, 852.
γυνὴ Τιβερίου 553.
Κωνσταντίνου 884.
Ἀναστάσιος, βασιλεύς (I) 516—523, (II) 626.
Γογγύλης 803—819.
πατρ. Κ. Π. 635—645.
Ἀναξαγόρας 53, 140, 198, 200.
Ἀνατολῶν θέμα 669, 770.
Ἀνατολικοί 500. 669, 679.
Ἀνατόλιος, πατρ. Κ. Π. 504—512.
Ἀνάχαρσις 264.
Ἀνδραγάθιος 465.
Ἀνδρέας, ἀπόστολος 279, 336, 438.
δομέστικος 764—766.
ἑταιριάρχης 724.
ζωγράφος 800.
κρατερός 768.
Κρήτης 665.
κωμοδρόμος 540.
πριμικήριος 812.
Σικελιώτης 588.
Σκύθης 755=δομέστικος, ἑταιριάρχης? στρατηλάτης 753?
Ἀνδρόνικος, ὁ ἅγιος 552.
Δούξ 788, 884, 887.
Ἀνδροσαλίτης 758.
Ἀνθέμιος 348, 748.
Ἄνθιμος, ὁ ἅγιος 372.
ἐπ. Νικομηδείας, 372.
Καῖσαρ 668.
Ἄνθος 784.
Ἀνθοῦσα 490.
Ἀνίκητος, ὁ ἅγιος 372.
Ἄννα, ἡ ἁγία 739.
γυνὴ Στεφάνου 840—854.
θυγάτηρ Θεοφίλου 730.
Κωνσταντίνου τοῦ Δοῦκα 884.
Δέοντος τοῦ σοφοῦ 779.
παλλακίς 813.
Ἀντίγονος, ὁ ἅγιος 443.
βασιλεὺς 28, 206, 325.
δομέστικος 732.
Ἀντιγόνου νῆσος 817.
Ἀντιλίβανος 89.
Ἀντίνοος 43.
Ἀντιόχεια Πισιδίας 616.
Συρίας, Θεούπολις 206, 209, 326, 334, 366, 437, 438, 450, 479, 490, 514, 520, 524, 525, 527, 539, 838, 881, 908.

Ἀντίοχος, ὁ ἅγιος 340, 854?
(I) Σωτὴρ 325, ὁ Σελεύκου 206.
(II) Νόθος 325.
(III) ὁ μέγας 325.
(IV) ἐπιφανὴς φιλοπάτωρ ἢ φιλομήτωρ 206 — 211, 305—325.
(V) Εὐπάτωρ 211, 325.
(VI) ὁ Τρύφων 326. Ἀντιόχου 326.
(VII) Σιδήτης 326.
(VIII) γρυπὸς 326, τοῦ Δημητρίου 138.
(IX) Κυζικηνός 326.
Ἀντίπατρος 28, 204, 214, 219.
Ἀντιφωνίτης 880.
Ἀντωνῖνος Antoninus 341.
Ἀντώνιος, ὁ ἅγιος 238, 426, 455, 580.
δομέστικος 663.
Κανλέας, 771—779.
πατρ. Κ. Π. 700—707.
Στουδίτης 865.
Ἄπις 45, 53, 321, 482.
Ἀποδείναρ 720.
Ἀπόκρεως ἡ ἑβδομάς 541.
Ἀπολασάβ 834.
Ἀπολινάριος, Ἀλεξανδρείας 520.
Λαοδικείας 364, 438, 474.
ὀρθόδοξος 446.
Ἀπόλλων 30, 43, 44, 49, 51.
Ἀπολλωνία 229.
Ἀπολλωνίας 622.
Ἀπολλώνιος ὁ Τυανεύς 53, 333, 708, 762.
Ἀποστόλων ναὸς 279, 400, 428, 552, 766, 780.
Ἀποστύππης 761.
Ἀπόχαψ 834.
Ἄπρος Aper 370.
Ἀραβία עֲרָבָה ποδίας.
Ἄραψ עֲרָבִי νομεύς 39, 40, 52, 200, 214, 237, 277, 457, 538, 598, 660, 710, 861.
Ἀραβίας 591.
Ἀράμ רָם ὑψηλός 204.
Ἄραν חָרָן ὁ ἐγκύων? 65.
Ἀραράτ אֲרָרָט 33.
Ἀρβόγαστος 486.
Ἀργαύτης 607.
Ἀργεῖος, Ἄργος 11, 83.
Ἀργυρός 741—901.
Ἀρδαβούριος 499—511.
Ἀρέθας, ὁ ἅγιος 524.
Ἀρειανοί 29, 426—475, 511, 520 — 523, 592.
Ἄρειος 258, 348, 404, 432, 434, 436, 437.
Ἀρεόβινδος 729.
Ἄρζης 805.
Ἄρης 7, 15, 44, 63, 445, 448.
Ἀριάδνη 513.
Ἀριδαῖος 28.
Ἀριήλ אֲרִיאֵל λέων θεοῦ 125.
Ἀρίσταρχος 205.
Ἀριστόβουλος 219.
ιδ' ἀρχιερεύς 219, 327.
α' βασιλεὺς 239.
Ἀριστοτέλης 24, 45, 58, 206, 208.
Ἀρκαδία 40, 43.
Ἀρκαδιαναί, οἰκίαι 759.
Ἀρκάδιος 467—498.
Ἀρκαδίου πόλις 489, 655, 698.
στήλη 636.
Ἀρκεσίλαος 205.
Ἀρμαθαΐμ, Ἀρμαθέμ רָמָתָה 117.
Ἀρμενία, Ἀρμένιοι 33, 40, 257, 380, 403, 509, 520, 535, 554, 605, 615, 648, 657, 683, 684, 745, 747, 805, 807, 823, 834, 846, 861.
Ἀρμενιακοί 605, 628, 666, 668, 756, 767, 838.

Ἀρμενιανῶν μονή 767.
Ἀρμενογενής 841.
Ἀροτρᾶς 802.
Ἀρπάδης 772.
Ἄρραβες, Ἀρραβία 214, 589, 598, 856.
Ἀρσάκιος, πατρ. Κ. Π. 495.
Ἀρσένιος, ὁ ἅγιος 467, ὁ Μαγλαβίτης 817.
Ἄρσης 206.
Ἀρτάβανος 206.
Ἀρταβασδος 628, 644—646, ἑταιρειάρχης 751, 799.
Ἀρτάκης 805.
Ἀρταξέρξης ὁ Ἀστύαγης 196, μακρόχειρ 196, 205, ἕτερος 206,
Μνήμων 14, 206,
Ὦχος 206.
Ἀρτέμιος, ὁ ἅγιος 279, 372, ὁ μέγας 443, ὁ βασιλεύς 625—628.
Ἄρτεμις 43, 483.
Ἀρτέμων 351, 361.
Ἀρφαξάδ אַרְפַּכְשַׁד ὅρος Χαλδαίας 7, 36—38, 198.
Ἀρχάδ אַרְכַּד 8.
Ἀρχέλαος 226, 227.
Ἄσαδος 591.
Ἀσαμωναῖοι 221.
Ἀσάφ אָסָא μαλακός 151.
Ἀσάφατ 179.
Ἀσήρ אָשֵׁר εὐτυχία 79.
Ἀσία 11, 28, 138, 197, 206, 257, 336, 460, 520.
Ἀσκαλών, Ἀσκαλωνίτης אַשְׁקְלוֹן ἡ τιοὐσα σίκλον? 204, 217.
Ἀσκληπιός 30, 44, 53, 54, 104.
Ἀσουάμ 4.
Ἄσπαρ 499, 506, 511, 710, 717.
Ἀσσούρ, Ἀσσυρία, Ἀσσύριοι אַשּׁוּר διάβασις 8, 9, 30, 37 — 39, 61, 74, 123, 129, 158, 172, 190, 197, 648, 684.
Ἀστάρτη עַשְׁתֹּרֶת ἀστήρ 144 — 146, 321.
Ἀσταρώθ עַשְׁתָּרוֹת εἰκόνες Ἀστάρτης 101.
Ἀσταρώθιος עַשְׁתָּרְתִּי 120, ἄστρον 281.
ἀστρονόμος 618.
ἄστρων πτῶσις 653.
Ἀσυλέων, ἐξάδελφος Βασιλείου 740—753. μάγιστρος ὁ Θεοδωτάκιος 775.
Ἀσώτιος 805.
Ἀτεοῦς 815.
Ἄτζμωρος 814.
Ἀτζυποθεόδωρος 864.
Ἀτρώας 667.
Ἀττική 30, 40.
Ἀττικός, πατρ. Κ. Π. 499, 500.
Αὔγαρος 236, 633, 687.
Αὐγουστεύς 715.
Αὐγουστίων, κίων Ἰουστινιανοῦ 548.
Αὐξέντιος, ἐπ. Μεδιολ. 460, ὁ θεοφόρος 651.
Αὐρηλιανός 361.
Αὐσῖτις עוּץ 76.
Αὐσώνιος 423.
Αὐτονόμος, ὁ ἅγιος 372, 559.
Ἄφαρ עָפָר σποδός 76.
Ἀφρικανὸς χρονογράφος 355, 359, μάρτυρ 481.
Ἀφρική 76, 462, 506, 548, 562, 563, 575, 619.
Ἀφροδισίων 528.
Ἀφροδίτη 7, 8, 43, 44, 54, 63, 146, 283, 402, 410, 509, 597, 644.
Ἄφρος 339, 699, 780.

Ἀχαάβ אַחְאָב ἀδελφὸς πατρός? 78, 151, 169, 175, 182, 187, 424, 429, 705.
Ἄχαζ אָחָז κρατῶν 152, 158, 185.
Ἀχαΐα 40, 462, 607.
Αχαρ אָכָר λοιπῶν 102, 115.
Ἀχελῶ 651, 653, 657, 807.
Ἀχιὰβ = Ἀχαάβ.
Ἀχίας אֲחִיָּה ἀδελφὸς Θεοῦ 145, 179.
Ἀχιλλεὺς 372.
Ἀχιὼρ 199.
Ἀψίμαρος 620—623.
ἀψίς 722.
Ἀὼδ אֲהוּד 103.

B.

Βαάλ בַּעַל κύριος בְּעָלִים κύριοι 9, 169, 187, 321.
Βαάνης 606, 754.
Βαασά בַּעְשָׁא λυπῶν 181.
Βαβουτζίκιος 764.
Βαβύλας, ὁ ἅγιος 354, 360, 372.
Βαβυλών בָּבֶל σύγχυσις 7, 8, 11, 37—39, 52, 123, 124, 168, 191, 197, 292, 304, 448.
Βαβυλωνία 39.
Βαβυλώνιοι 27, 123.
Βαϑυβδίαξ 756.
Βακούριος 488.
Βακτάγιος 646.
Βάκτρα, Βακτριανὴ, Βακτριανοί 28, 39.
Βαλαάμ בִּלְעָם μὴ λαὸς, ἀλλόφυλος 121, 161, 335, 708.
Βαλάντιος 814.
Βαλβῖνος Balbinus 354, 355, ὁ ἅγιος 354= Βαβυλᾶς.
Βαλδίμερ Владимiръ 725.
Βαλλερία Valeria 372.
Βαλτάσαρ בַּלְטְשַׁאצַּר, בַּלְשַׁאצַּר Βήλου ἄρχων 13, 171, 195.
Βαναίας בְּנָיָהוּ Θεότεκνος 125.
Βάνης 598, 663.
Βάραγγοι 906, 907.
Βαράκ בָּרָק ἀστραπή 104.
Βαραχέου ὄρος 837.
Βαρβάρα, ἡ ἁγία 371.
Βαρδάνης 624, 673.
Βάρδας, ἀδελφὸς Συμβατίου 740, Βοηλας 822.
Καῖσαρ 722—728.
Κορδύλου 724.
Νικηφόρου τοῦ Φωκᾶ 773.
πατὴρ Βασιλείου 750, 757.
Σκληρός 867, 868.
Φωκᾶς 807—852.
Βαρδησάνης Βαρδησάνιος 342 bis, 438.
Βάρις 662, 757.
Βαρνάβας בַּרְנַבָּא υἱὸς παρακλήσεως 276, 515.
Βάρναι 613.
Βαρούχ בָּרוּךְ εὐλογητός 179.
Βαρυμιχαὴλ 814.
Βασάν בָּשָׁן βουνός 101.
Βασιλείδης 339.
Βασίλειος (I) Μακεδών 723—765, 862, (II) Βουλγαροκτόνος 853, 872.
ὁ ἅγιος, ὁ μέγας 439, 449, 454.
ἐπείκτης 777.
ἐπίσκοπος Ἀντιοχείας Πισιδίας, ὁ Τρικάκαβος 666.
Σελευκίας 535.

ἑταιριάρχης, Καματηρός 785.
κανίκλειος, μάγιστρος 792, 805.
Μακεδὼν 839, πατρ. Κ. Π. 865.
πετεινός, υἱὸς Ῥωμανοῦ καὶ πρωτοσπαθάριος 848—858.
βαίκτωρ 750.
Ῥόδιος 831.
Βασιλεὺς, ὁ ἅγιος, ἐπ. Ἀμασείας 401.
Βασιλισκιανός 747—749.
Βασιλίτζης 796—804.
Βασιλίσκος ὁ ἅγιος 371, βασιλεὺς 513, 514, στρατηγός 398.
Βασσωής 713.
Βασταρνία 40.
βατταρίτης βίζα 600.
Βεελφεγώρ בַּעַל־פְּעוֹר θεὸς τοῦ [ὄρους] Φεγώρ 313, 321.
Βεθήλ בֵּית־אֵל οἶκος θεοῦ 79, 173, 181.
Βεθλεέμ בֵּית־לֶחֶם οἶκος ἄρτου 125. 411.
Βελισάριος бѣлый царь? 548.
Βελλεροφόντης 454.
Βενϊαμίν בֶּן־יָמִין υἱὸς δεξιός 97, 109, 126, 150, 180, τοῦ Συμεών 830.
Βενίβολος Benevolus 465.
Βερζητία берегъ? 654.
Βερήνα, Βερῖνα Verena 513.
Βερώη 662.
Βέσβιον ὄρος Vesuvius 328.
Βετιλούα בֵּית־אֵל־יְהוָה οἶκος κυρίου θεοῦ 199.
Βηθλεέμ=Βεθλεέμ.
Βήλ בַּעַל κύριος 11, 197, 710.
Βῆρος Verus 342, 343.
Βιγίλιος Vigilius 428.
Βιθυνία 40, 402, 453, 463, 499, 842.
Βικέντιος Vincentius 413, 414.
Βικτωρῖνος Victorinus 366, 413.
Βιταλιανὸς Vitalianus 517—524.
Βιτέλιος Vitellius 284.
Βίτων Vitus 414.
Βλάσιος, ὁ ἅγιος 401.
Βλαχέρναι 510, 552, 553, 594, 620, 622, 627, 648, 737, 764, 775, 802, 822, 824.
Βλάχερνος блахарь, Влахъ? 737.
Βογομῖλος богомилый 439.
Βοϊδίτζης 713.
Βοιωτία 40.
Βολοσιανὸς Volusianus 358.
Βονηφάτιος Bonifacius 507.
Βόνος Bonus 568.
Βοὸζ בֹּעַז ἐνισχύσας 204.
Βοὸς ἀγορά 564, 619, φόρον 652.
Βόραφος 625.
Βόρδων 767.
Βόριλος 908.
Βόσπορος 40.
Βόστρα 356.
Βουβάχαρ 592.
Βουβὼν 539, 620, 647.
Βουδάν 362.
Βουδδᾶς 363.
Βουζῆς 177.
Βουκέφαλος 47, 213.
Βουκολέων 716, 777, 787, 810.
Βουλγαρία, Βούλγαρος 517, 613, 615, 616, 624, 625, 638, 651, 654, 655, 676, 698, 728, 732, 802, 818, 865, 903.
Βουλγαρογέφυρον 774.
Βοῦς 901.
Βούτιον 783.
Βραχμάνης 24, 25, 264, 362.
Βρετανία, Βρεττανία, Βρεταννικός, Βρεττανός 27, 40, 213, 345, 369, 378, 399, 462.

Βρίας 831.
Βρίσσων ἐπίσκοπος 494, εὐνοῦχος 493.
Βρουμάλια Brumalia 16.
Βροῦτος Brutus 213.
Βρύας 707, 712.
Βρυέννιος 906.
Βυζάντιον, Βυζάντιος 174, 345, 361, 399, 523, 524.
Βύζης 174.
Βυζούπολις 18.

Γ.

Γαβαά גִּבְעָה βουνός 109,
Γαβαλᾶς 840.
Γαβαών גִּבְעוֹן βουνός 79, 126, 179.
Γαβριήλ גַּבְרִיאֵל ἀνὴρ θεοῦ 160, 310, 592.
Γαβριηλόπουλος 796—804.
Γάγγης 25.
Γάγγραι, ἡ ἐν Γάγγραις σύνοδος 438.
Γάδ גַּד περιπατῶν? 79, 126, 179.
Γάδειρα 39.
Γάζα עַזָּה ληνός 108, 216, 444.
Γαιάνης, ὁ ἅγιος 372.
Γαϊδάδ, עִירָד 5.
Γαϊνᾶς 498.
Γάϊος Cajus 229.
Γαλαάδ גִּלְעָד βουνὸς μάρτυς 90.
Γαλακρῆναι 788, 795, 824, 829.
Γαλάτης 154, 652.
Γαλατία 40, 257, 452, 499, 520.
Γαλβᾶς, Galba 284.
Γαληνός 342.
Γαλιλαία, Γαλιλαῖος 449, 600.
Γαλλία, Γάλλος, Γάλος 17, 213, 257, 358, 359, 378, 390, 439, 461.
Γαλιηνός, Gallienus 358—360.
Γάμερ גֹּמֶר.
Γαστρία, τὰ, μονή 700, 730.
Γεγνέσιος 606.
Γεδεών גִּדְעוֹן τομεύς? 104.
Γελβουέ גִּלְבֹּעַ 120.
Γενέθλια 539.
Γενέσιος 606.
Γενναδίου, πατρ. Κ. Π. 511—523.
Γεργεσαῖος 101.
Γερμανίκεια 365, 648, 761.
Γερμανοί 213, 343.
Γερμανός, πατρ. Κ. Π. 604—646.
ἐπ. Κυζίκου 665.
Γέτας Geta 331.
Γεώργιος, ὁ ἅγιος 372, 879.
Βόραφος 625.
ἐπ. Τιβεριωτῶν 528.
Κρινίτης 785.
πατρ. Κ. Π. 611.
Πηγάνης 744.
πρεσβύτερος 611.
πρωτοσπαθάριος 850.
Σουρσουβούλη 830.
τοποτηρητὴς Ἀντιοχείας 665.
Γηλαῖος 57.
Γήπεδες 504.
Γηών גִּיחוֹן ἐκκρούων 40.
Γιζερίχ 506.
Γοηλέων 815.
Γοθολία עֲתַלְיָה 153.
Γοθονιήλ עָתְנִיאֵל 103.
Γολγοθᾶ גֻּלְגֹּלֶת κρανίον 411, 441, 442, 602.
Γολιάθ גָּלְיָת 118.

Γόμορρα עֲמֹרָה κατοίκησις 73, 124, 452, 542.
Γόρασις 482.
Γορδιανός Gordianus 354, 355.
Γορδίας, ὁ ἅγιος 401.
Γόρδων 769.
Γότθοι 454, 459, 464, 501, 504, 517.
Γούβε 806.
Γοῦβερ, πατρίκιος 768.
Γοῦμερ 744.
Γουρίας, ὁ ἅγιος 401.
Γρατιανός, Gratianus 460—465.
Γρηγορᾶς Ἰβηρίτζης 789, 800.
Γρηγόριος, ὁ ἅγιος Ἀρμενίας 372, 403,
ὁ μέγας Θεολόγος 449, 462, 473, 474, 852.
Θαυματουργός 359, 361, 520.
Καππαδόκης 618.
πάπας 636—641, 751.
πατριάρχης Ῥώμης 635.
πατρίκιος Μουσουλάκιος 671.
Φιλήμονος 751.
Γύγης 83.
